GAC

ΒΑΛΑΒΑΡΑΤΑ,

Ἢ

ΣΥΝΤΟΜΗ

ΤΗΣ

ΜΑΧΑΒΑΡΑΤΑΣ,

ΠΟΙΗΘΕΙΣΑ

ΥΠΟ ΤΟΥ ΑΜΑΡΑ Ἢ ΑΜΑΡΑΣΑΝΔΡΑ

ΜΑΘΗΤΟΥ ΤΟΥ ΣΟΦΟΥ ΖΗΝΑΔΑΤΑ

ΚΑΙ ΜΕΤΑΓΛΩΤΤΙΣΘΕΙΣΑ ΑΠΟ ΤΟΥ ΒΡΑΧΜΑΝΙΚΟΥ

ΠΑΡΑ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ, ΑΘΗΝΑΙΟΥ.

ΝΥΝ ΔΕ ΤΟ ΠΡΩΤΟΝ ΕΚΔΟΘΕΙΣΑ

ΦΙΛΟΜΟΥΣΩι ΜΕΝ ΔΑΠΑΝΗι

ΙΩΑΝΝΟΥ ΔΟΥΜΑ,

ΣΠΟΥΔΗι ΔΕ ΚΑΙ ΕΠΙΜΕΛΕΙΑι

Γ. Κ. ΤΥΠΑΛΔΟΥ

ΕΦΟΡΟΥ ΤΗΣ ΔΗΜΟΣΙΟΥ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ

Καὶ Γ. Ἀποστολίδου Κοσμητοῦ, Βιβλιοφύλακος.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΑΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ.

Κατὰ τὴν ὁδὸν Ἑρμοῦ, παρὰ τῇ Καπνικαρέᾳ.

1847.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 541
ΒΙΒΛΙΟΘΗΚΗ "Ο ΠΛΑΤΩΝ"

ΒΑΛΑΒΑΡΑΤΑ,

Ἢ

ΣΥΝΤΟΜΗ

ΤΗΣ ΜΑΧΑΒΑΡΑΤΑΣ.

۱۴۲

Πᾶν ἀντίτυπον, μὴ φέρον τὴν κάτωθεν σφραγῖδα, θεωρεῖται ὡς κλοπιμαῖον, καὶ καταδιώκεται ὁ πωλήσας, κατὰ τὸν νόμον.

ΤΩ. ΜΕΓΑΛΕΙΟΤΑΤΩ.

ΒΑΣΙΛΕΙ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΟΘΩΝΙ ΤΩ Α'.

ΚΗΔΕΜΟΝΙ ΚΑΙ ΠΡΟΣΤΑΤΗ

ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΠΑΙΔΕΙΑΣ

ΤΗΝ

ΒΑΛΑΒΑΡΑΤΑΝ

Ἢ

ΕΠΙΤΟΜΗΝ ΤΟΥ ΜΕΓΑΛΟΥ ΠΟΙΗΜΑΤΟΣ

ΤΗΣ

ΜΑΧΑΒΑΡΑΤΑΣ,

ΕΚ ΤΟΥ ΙΝΔΙΚΟΥ ΜΕΤΑΦΡΑΣΘΕΙΣΑΝ

παρὰ τοῦ ἀοιδίμου

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ

Εὐσεβάστως ἀνατίθησιν

Ο ΕΚΔΟΤΗΣ.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

Μετα τὸν *Πρόδρομον τῶν Ἰνδικῶν μεταφράσεων* τοῦ ἀοιδίμου Δημητρίου Γαλανοῦ τοῦ Ἀθηναίου, ἐκδίδομεν τὴν *Βαλαβαράταν*, θεωρήσαντες αὐτὴν ὡς σύγγραμμα ἀνέκδοτον μέχρι τοῦδε, καὶ παντάπασιν ἄγνωστον εἰς τὴν Εὐρώπην, κατὰ τὴν ὁποίαν ὁ πολυμαθὴς καθηγητὴς τῆς Ἱστορίας ἐξέφρασεν ἀμφιβολίαν [1]. Τὴν περὶ τούτου γνώμην ἡμῶν ἐβεβαίωσαν ἀκολούθως ἅπασαι αἱ παρὰ τῶν δοκιμωτέρων Ἰνδολόγων σπουδαῖαι κοινοποιήσεις, τὰς ὁποίας δημοσιεύοντες ἀποδίδομεν, μετὰ τῆς εὐγνωμοσύνης ἡμῶν, τὸν ὀφειλόμενον πρὸς αὐτοὺς ἔπαινον.

Ὁ ἐν Παρισίοις Κος Εὐγένιος Βυρνούφιος (Eugène Burnouf), εἷς τῶν ἐπισήμων Ἰνδιστῶν τῆς Γαλλίας, γράφων τῇ 8 Ἰουλίου τοῦ 1846 ἔτους, πρὸς τὸν ὑπουργὸν τῆς παιδείας, Κον Σαλβάνδην, ἐξηγεῖται οὕτως·.. «Ὡς πρὸς τὴν Βάλα-Βαράταν δὲ (περὶ ἧς ἐρωτοῦσιν ἐξ » Ἀθηνῶν) δύναμαι μετὰ θετικότητος, ἵνα βεβαιώσω τὴν » Υ. Ε., ὅτι τὸ σύγγραμμα τοῦτο εἶναι πάντῃ ἄγνω-

1. Ἴδε, τὸν ἐκφωνηθέντα λόγον τῇ 30 Σεπτεμβρίου, τοῦ παρελθόντος ἔτους, παρὰ τοῦ Κου Θεοδώρου Μανούσου, Πρυτάνεως τότε ἐν τῷ Ὀθωνείῳ Πανεπιστημίῳ.

» στον εἰς τὴν Εὐρώπην, ἢ τοὐλάχιστον εἰς τὴν Γαλ-
» λίαν· θεωρῶ δὲ αὐτὸ ἄξιον πολλοῦ λόγου, καθότι
» παρουσιάζει ἐν συνόψει, καὶ εἰς περιληπτικὸν τρόπον
» τὸ μέγα ἐπικὸν ποίημα, καλούμενον Μάχα-Βαράτα.
» Συμπεραίνω δὲ ἐξ ὅσων ἀνέγνωσα εἰς τὸν Πρόδρο-
» μον, ὅτι ἡ Βάλα-Βαράτα [1] εἶναι νεωτέρα ἐπιτομὴ τοῦ
» κολοσσαίου Ἰνδικοῦ ποιήματος. »

Ὁ δ' ἐν Βερολίνῳ Καθηγητὴς Κ^ος Ἀλβέρτος Οἴφε-
ρος (Albert Hœfer), γράφων τῇ 19 Σεπτεμβρίου τοῦ αὐ-
τοῦ ἔτους πρὸς τὸν Ὑπουργὸν τῆς Παιδείας Κ^ον Ἐϊ-
χόρνον, ἐξηγεῖται ὡς ἐφεξῆς· « Εἰς ἀπάντησιν τῶν ἐρω-
» τήσεων, ἃς διεβίβασεν ὁ Ἔφορος τῆς Βιβλ. τῶν Ἀθη-
» νῶν, διὰ τῆς ἐπιστολῆς αὐτοῦ τὴν $\frac{18}{30}$ Ἰουλίου τοῦ
» τρέχοντος ἔτους (1846), σπεύδων καθυποβάλλω πρὸς
» ὑμᾶς τὰ ἑξῆς· Τὸ περὶ οὗ ὁ λόγος Ἰνδικὸν σύγγραμ-
» μα, Βάλα-Βαράτα, οὔτε ἐκδεδομένον, οὔτε μεταφρα-
» σμένον εὑρίσκεταί που. Καὶ ἂν ὑποτεθῇ, ὅτι σώζεται
» χειρόγραφον τούτου ἐν Λονδίνῳ, ἢ ἐν Ὀξωνίᾳ, πά-
» λιν θεωρεῖται ὡς παντάπασιν ἄγνωστον, τοὐλάχιστον
» ἐν Εὐρώπῃ· καθότι δὲν εὑρίσκεται εἰς τὴν συλλογὴν
» τῆς ἐνταῦθα Βιβλιοθήκης, τὴν συνταχθεῖσαν ὑπὸ τοῦ
» Σαμβέρου, ἀλλ' οὔτε εἰς τοὺς ἐπισημοτέρους κατα-
» λόγους τῶν ἄλλων Βιβλιοθηκῶν ἀπήντησα ἐπιγραφὴν
» βιβλίου τοιαύτην, καίτοι πολλὰ φιλολογήσας αὐτούς [2].

---

1. Ὁ Κ^ος Βυρνούφιος καὶ οἱ λοιποὶ ἐν Εὐρώπῃ Ἰνδισταὶ χωρίζουσι τὰ ὀνόματα οὕτω· Βάλα-Βαράτα, καὶ Μάχα-Βαράτα· ὁ δὲ ἡμέτερος Γαλανὸς γράφει αὐτὰ ἡνωμένα Βαλαβαράτα καὶ Μαχαβαράτα.

2. Ὁ ἀοίδιμος Φριδερῖκος Ἀδελοῦγκος ἐδημοσίευσε τὴν Σανσκριτι-

» Ὁ τίτλος ἐν τούτοις τοῦ συγγράμματος ἐμφαίνει » σαφῶς, ὅτι ἡ Βάλα-Βαράτα ἐστὶν ἀπάνθισμα τῆς » Μάχα-Βαράτας. Ὑπάρχουσιν ἀπανθίσματα τοιαῦτα » καὶ ἄλλων μεγάλων συγγραμμάτων, φέροντα τὴν » αὐτὴν ἐπιγραφήν· οὕτως ὁ Βιλσὼν, ἐν τῷ Καταλόγῳ » τῆς Μακενσίας συλλογῆς Σ. 280, ἀναφέρει περὶ τῆς » Βάλα-Βαγαβάθα, ὅτι δηλαδὴ συνοπτικὴ μετάφρασίς » ἐστι τῆς Βαγαβάθας Πουράνας [1].

» Ἐνδεχόμενον δὲ τὸ περὶ οὗ ὁ λόγος σύγγραμμα, » ἵνα ἔχῃ τινὰ σχέσιν, ὡς πρὸς τὴν Περσιστὶ γενομένην » σύνοψιν τῆς Μάχα-Βαράτας, περὶ ἧς γίνεται μνεία » ὑπὸ τοῦ Ἀμιλτῶνος καὶ Λαγλεσίου ἐν τῷ Καταλό- » γῳ τῶν Σανσκριτικῶν χειρογράφων (ἐν Παρισίοις » 1807. Σελ. 62.)· ἀλλ' ὅπως καὶ ἂν ἔχῃ τὸ πρᾶγμα, » τὸ σύγγραμμα καλούμενον Βάλα-Βαράτα δὲν εἶναι » γνωστὸν εἰσέτι, ὡς ἐξάγεται τοῦτο καὶ ἀπὸ τὴν ἐκδο- » θησομένην κρίσιν τοῦ Προδρόμου τοῦ Γαλανοῦ, ἣν ἐν- » τὸς ὀλίγου πέμψω εὐσεβάστως τῇ ὑμετέρᾳ ἐξοχό- » τητι, ὡς συνέχειαν τῆς παρούσης ἐκθέσεώς μου. » Μετὰ παρέλευσιν, τῳόντι, ὀλίγων ἡμερῶν (τῇ 15 Ὀκτωμ- βρίου) ἐλάβομεν παρὰ τοῦ ἐν Βερολίνῳ ὑπουργοῦ τῆς

κὴν αὐτοῦ Βιβλιοθήκην ἐν Πετρουπόλει τῷ 1837 ἔτει. Εἰς αὐτὴν, πραγματευόμενος περὶ τῆς Μαχαβαράτας, τῶν ἐπεισοδίων, καὶ τῆς Περσικῆς μεταφράσεως αὐτῆς, δὲν ἀναφέρει παντάπασι περὶ τῆς Βαλαβαράτας· ἐξ οὗ συμπεραίνεται, ὅτι ἡ ἐπιτομὴ εἶναι ἄγνωστος, καὶ νεώτερον ἀπάνθισμα τῆς Μαχαβαράτας. Ὁ δὲ Κ^ος Γορρέσιος ἔγραψε πρὸς ἡμᾶς ἀκολούθως, ὅτι οὔτε μεταξὺ τῶν χειρογράφων τῆς ἐν Παρισίοις Β. Βιβλιοθήκης, οὔτε μεταξὺ τῶν εὑρισκομένων ἐν Λονδίνῳ ἀπήντησεν ἐπιγραφὴν βιβλίου τοιαύτην.

1. Ἴδε παρακατιὼν περὶ τῆς σημασίας τῆς λέξεως Βάλα.

ἐκπαιδεύσεως, ἰδιαιτέραν ἐπιστολὴν, καὶ συγχρόνως δύο φύλλα τῆς Ἐφημερίδος: *Χρονικὰ τῆς ἐπιστημονικῆς Κριτικῆς* ἀρθ. 51 καὶ 52, ἐν οἷς γίνεται εὐνοϊκὸς μὲν λόγος περὶ τοῦ Προδρόμου· περὶ δὲ τῆς Βάλα-Βαράτας ἐπαναλαμβάνει ὁ σοφὸς συγγραφεὺς τὰ αὐτὰ, ὅσα ἀνωτέρω ἐξεθέσαμεν [1].

Τὴν αὐτὴν γνώμην περὶ τῆς Βαλαβαράτας ἐξέφρασε κατ' ἔκτασιν, ἀφ' ἑνὸς μὲν ἡ ἐν Νεαπόλει Β. Ἀκαδημία εἰς τὴν πρὸς τὸν ὑπουργὸν τῶν Ἐσωτερικῶν καὶ τῆς Ἐκπαιδεύσεως Κ°ν Ν. Σαντάγγελον ἔκθεσιν αὐτῆς· καὶ ἀφ' ἑτέρου δύο ἐπίσημοι Ἰνδισταί· ὁ ἐν Βιέννῃ δηλαδὴ Κ°ς Φ. Μικλόσιχος (Miklosich) καὶ ὁ σοφὸς ἐκδότης τῆς Ῥαμαϊάνας Κ°ς Γορρέσιος. Οὗτος γράφει ἐκ Παρισίων τῇ 18 Φευρουαρίου· «Γνωρίζω ἀκριβῶς τὰ εὑρισκόμενα ἐν » τῇ Β. Βιβλιοθήκῃ τῶν Παρισίων, καὶ τὰ ἐν Λονδίνῳ Σαν» σκριτικὰ χειρόγραφα· ἰδίως δὲ ἐνησχολήθην εἰς τὰ ἐν » τῇ λεγομένῃ Ἰνδικῇ οἰκίᾳ (India hause)· σᾶς βεβαιῶ » λοιπὸν, ὅτι εἰς οὐδὲν μέρος ἀπήντησα ἐπιγραφὴν

---

1. Ὁ Κ°ς Οἴφερος, πρὸς ὃν ἐπέμψαμεν τὰ 40 πρῶτα τυπογρ. φύλλα τῆς Βαλαβαράτας, ἀφοῦ ἐσκεμμένως ἐνησχολήθη, ἀπήντησε κατὰ τὸν παρελθόντα Φευρουάριον λέγων· «Ἡ Βαλαβαράτα δὲν εἶναι γνωστὴ εἰς τὴν Εὐρώπην, μήτε ἐν πρωτοτύπῳ, μήτε ἐν μεταφράσει. Ἡ μὲν Μαχαβαράτα, οὖσα παντοτεινὸν ἀντικείμενον τῆς μελέτης τῶν Ἰνδῶν, ἔλαβε διαφόρους μορφὰς, εἴτε ὡς ἀπάνθισμα, εἴτε ὡς ἐπιτομή· π. χ. Ἡ Ἰτιχασασαμουτσαία, κτλ. τοῦ Προδρόμου, εἶναι συλλογὴ διαφόρων ἀποσπασμάτων ἐκ τῆς Μαχαβαράτας (une collection de différens extraits du Mahâ-Barâta) λέγουσιν ὁ Ἀμιλτὼν καὶ ὁ Λαγλέσιος Σ. 21. Ἡ δὲ Βαλαβαράτα, ἢ Μικρὰ Βαράτα, φαίνεται ὅτι εἶναι αὐθύπαρκτος καὶ ἐλευθέρα συντομὴ τῆς Μαχαβαράτας.

» βιβλίου τοιαύτην, οἵα εἶναι ἡ τῆς Βαλαβαράτας.»

Ἐξ ἁπάντων τούτων συνάγεται ἀδιστάκτως, ὅτι ἡ Βαλαβαράτα εἶναι καὶ ἀνέκδοτος, καὶ παντάπασιν ἄγνωστος εἰς τὴν Εὐρώπην· αὐθύπαρκτος δὲ πραγματικῶς, καὶ ἐλευθέρα συντομὴ τῆς Μαχαβαράτας, εὐκολύνουσα, ἕνεκα τούτου, τὴν γνῶσιν καὶ κρίσιν τοῦ κολοσσαίου Ἰνδικοῦ ποιήματος.

Ἡ Σανσκριτικὴ φιλολογία, κατὰ τοὺς δοκιμωτέρους Ἰνδολόγους, ἤρχισε, φαίνεται, κατὰ τὴν ΙΗ' περίπου ἑκατονταετηρίδα Π. Χ. διὰ τῶν ἱερῶν βιβλίων[1], ἤτοι Βέδων, Βεδάγγων, κτλ. προέβη μετ' ὀλίγους αἰῶνας διὰ τῶν ἐπικῶν ποιημάτων, ἤτοι τῆς Ῥαμαϊάνας, Βαλαβαράτας, καὶ τῶν ἐπεισοδίων αὐτῶν· μετὰ ταῦτα διὰ τῶν Πουράνων[2]· ἐκαλλωπίσθη δὲ, οὕτως εἰπεῖν, ἀκολούθως διὰ τῆς δραματικῆς ποιήσεως, τῶν ἠθικῶν καὶ πολιτικῶν παραγγελμάτων, καὶ ἐτελείωσε διὰ τῆς πολυμαθείας τῶν φιλολόγων καὶ τῶν σχολιαστῶν· ὥστε ἐν διαστήματι εἴκοσι περίπου ἑκατονταετηρίδων, ἡ Ἰνδικὴ φιλολογία παρήγαγε, κατὰ φυσικὴν πρόοδον, ἀναλόγως τῆς Ἑλληνικῆς, Λυρικὰς, Ἐπικὰς, καὶ Δραματικὰς ποιήσεις, ὡς νομοθετικὰ, ἐπιστημονικὰ, καὶ φιλοσοφικὰ συστήματα. Ἡ δὲ τῶν γραμματιστῶν καὶ λογίων Ἰνδῶν πολυμάθεια, συλλέξασα ἐπομένως, διετήρησεν ἐπιμελῶς

---

1. Heilige schriften, κατὰ μὲν τὸν Ἰονέσιον 1500, Π. Χ. κατὰ δὲ τὸν Κολεμβρόκιον 1400 Π. Χ. ἴδε Adelung, Billioth. Sanscrita. Σελ. 111.

2. Ὁ Κος Οὔφερος θέτει τὰς Πουράνας εἰς τὴν Γ'. Περίοδον τῆς Ἰνδικῆς φιλολογίας. Ὁ δὲ Κος Γολδστύκερος λέγει εἰς τὴν ἀγγελίαν αὐτοῦ· «Ἡ Μαχαβαράτα οὖσα νεωτέρα τῶν Βεδῶν, καὶ ἀρχαιοτέρα τῶν Πουράνων, εὑρίσκεται ἐν τῷ μέσῳ αὐτῶν.»

τὰ πολλοῦ λόγου ἄξια ταῦτα ἀριστουργήματα τῆς ἀνθρωπίνης διανοίας [1], ἅτινα διεβίβασεν εἰς τὴν Εὐρώπην ὁ ἀξιέπαινος ζῆλος τῶν Ἄγγλων, Γάλλων καὶ λοιπῶν σοφῶν ἀνδρῶν [2]. Ἡ δευτέρα λοιπὸν περίοδος εἶναι ἡ ἐποχὴ τῆς ἀληθοῦς ἐποποιίας εἰς τὴν Ἰνδίαν, ἴσως δὲ καὶ εἰς αὐτὴν τὴν Ἑλλάδα.

Σειρὰ ἐνδόξων κατορθωμάτων, λαμπρᾶς τινος ἐθνικῆς ἐπιχειρήσεως, ἣν τὰ δημοτικὰ ἄσματα, καὶ ἡ παράδοσις (περιβαλλομένη τὸ θαυμασιῶδες καὶ ὑπερφυτικὸν) διαβιβάζει ἀπὸ μιᾶς εἰς ἄλλην γενεὰν, ἀποκαθίσταται πάντοτε ἡ κυριωτέρα ὕλη τῆς *Ἐποποιΐας*, ἥτις ἐστὶ ποίησις ἀρχαία, ἐθνικὴ, αὐθόρμητος, ἀφελὴς, πλήρης ἡρωϊκοῦ φρονήματος, καὶ ἀνδρικῆς ρωμαλεότητος. Ἡ ἡρωϊκὴ ἐποχὴ τοιαύτης ποιήσεως ἀναπτύσσεται εἰς διωρισμένην τοῦ βίου τῶν ἐθνῶν περίοδον, εἰς ἣν δυσκόλως προσεγγίζουσιν οἱ μεταγενέστεροι ποιηταὶ διὰ μόνης τῆς φαντασίας καὶ τῆς μιμήσεως.

Αἱ ἰδιότητες αὗται εὑρέθησαν θαυμασίως πως ἡνωμέναι εἰς τὸ ἀρχαῖον Ἑλληνικὸν ἔθνος, καὶ ἐκ τῆς συν-

---

1. Ἴδε τὴν ῥηθεῖσαν Σανσκριτικὴν Βιβλιοθήκην παρὰ Ἀδελούγκου.

2. Ἴδε τὸν Ἥρενον (Heeren) T. I. καὶ τὴν Γαλλ. μετάφ. T. III. ἔτι τὰ προλεγόμενα τῆς Ἀσιατικῆς Συλλογῆς, καὶ τὰ εἰς τὴν Ῥαμαΐναν προλεγόμενα τοῦ σοφοῦ Γορρέσιου, τὸν Πολιέρον Mythol. des Hindous, καὶ τὴν ἐγκυκλοπαιδείαν τοῦ Ἐρσχίου καὶ Γρουβέρου. Ἡμεῖς ὄντες πρωτόπειροι εἰς τὸ εἶδος τοῦτο τῆς σπουδῆς, περιωρίσθημεν εἰς ὅσα βοηθήματα ἐχορήγει ἡμῖν ἡ ἀρτισύστατος Βιβλιοθήκη τῶν Ἀθηνῶν, καὶ ἡ μετά τινων ἐν Εὐρώπῃ σοφῶν μικρὰ ἡμῶν ἀλληλογραφία· ὅθεν ἐξαιτούμενοι τὴν ἐπιείκειαν τῶν ἀναγνωστῶν, κηρύττομεν, ὅτι τὰ ὀλίγα ταῦτα προλεγόμενα ἐγράφησαν πρὸς χάριν ἁπλῶς τῆς Ἑλληνικῆς νεολαίας.

αρμολογίας αὐτῶν παρήχθησαν τὰ δύο μεγαλοπρεπῆ καὶ ἐξαίσια ἐπικὰ ποιήματα: ἡ *Ἰλιὰς*, λέγομεν, καὶ ἡ *Ὀδύσσεια* [1].

§. 4. Μετὰ τὴν ἀνακάλυψιν τῆς φιλολογικῆς Ἰνδίας, αἴφνης παρουσιάζονται δύο ἀρχαῖα ἐπικὰ ποιήματα, ἔχοντα τοὺς αὐτοὺς χαρακτῆρας, τὰς αὐτὰς σχεδὸν ἰδιότητας, τὴν αὐτὴν ποικιλίαν καὶ μεγαλοπρέπειαν, ἡ *Ῥαμαΐάνα*, δηλονότι, καὶ ἡ *Μαχαβαράτα*. Ὁ ἐν Αὐγούστῃ Ταυρινῶν (Turin) Κος Γάσπαρης Γορρέσιος, ἐδημοσίευσεν ἐσχάτως τὸ πρωτότυπον τῆς Ῥαμαϊάνας, ὑποσχόμενος ἀκολούθως καὶ τὴν Ἰταλικὴν μετάφρασιν [2].

Τῆς Μαχαβαράτας ὅμως, ἐκτὸς ὀλίγων τεμαχίων ἢ ἐπεισοδίων, οὐδεὶς μέχρι τοῦδε ἐπεχείρησεν ὁλόκληρον αὐτῆς μετάφρασιν. Εἶναι δὲ καὶ ἐπιχείρημα δύσκολον· καθότι τὸ κολοσσαῖον τοῦτο ποίημα μετὰ τῶν ἐπεισοδίων αὐτοῦ, σύγκειται ἐξ ἑκατὸν χιλιάδων, ὡς ἔγγιστα, Σλοκῶν ἢ διστίχων [3]. Ἕνεκα τούτου ὁ ποιητὴς

---

1. Ἴδε τὰ προλ. τῆς Ῥαμαϊάνας παρὰ Γ. Γορρεσίου ἐν Παρισίοις 1845. Ὁ ἐμβριθὴς Ἥρενος διακρίνει τὴν μεταξὺ Ἑλληνικῆς καὶ Ἰνδικῆς ἐποποιΐας διαφοράν. (Σ. 176. Τ. Ι. Γερμ. καὶ Γ'. Τόμ. τῆς Γαλλικῆς μεταφράσεως).

2. Ἓν ἀντίτυπον τῆς Ῥαμαϊάνας χρεωστοῦμεν εἰς τὴν ἀγαθότητα τοῦ ἐν Ταυρίνῳ Κόμητος Ἀλφιέρου. Τὰ δύο πρῶτα βιβλία τῆς Ῥαμαϊάνας μετεφράσθησαν ἀγγλιστὶ κατὰ τὸ 1808—1810 ἔτος. Ὁ ἔνδοξος Σχλέγελος ἐδημοσίευσε τὴν Ῥαμαϊάναν μετὰ κριτικῶν σημειώσεων κατὰ τὸ 1829. Ἴδε Ἀδελοῦγκον Βιβλ. Σανσκριτ. Σελ. 224. καὶ ἑφεξῆς.

3. Ἡ Μαχαβαράτα, λέγει ὁ Ἀδελοῦγκος, ἢ μεγάλη Βαράτα, ἢ ἄλλως, μέγας πόλεμος, εἶναι γιγαντιαῖον ἡρωϊκὸν ποίημα ἐκ 18 ᾀσμάτων ἢ

Ἀμάρας ἢ Ἀμαρασάνδρας, μαθητὴς τοῦ σοφοῦ Ζηνοδότα, συνέταξε, πρὸς εὐκολωτέραν καὶ κοινὴν χρῆσιν, ἐπιτομὴν τοῦ μεγάλου τούτου ποιήματος, ἀντὶ τῆς Μαχαβαράτας, ἢ μεγάλης Βαράτας, τὴν Βαλαβαράταν, ἢ μικρὰν Βαράταν [1], ποίημα ἐλεύθερον, ὡς λέγει ὁ σο-

---

ραψῳδιῶν καὶ περιέχει 100,000 δίστιχα μετὰ τῶν ἐπεισοδίων αὐτῆς, (Adelung, αὐτόθι.) Τὸ ποίημα κατ' ἀρχὰς ἐκαλεῖτο Βαράτα ἢ Βαρατιὰς, ὡς Αἰνιὰς Ἰλιὰς, καὶ συνίστατο ἐξ 24,000 διστίχων, ἤτοι 48,000 ἑξαμέτρων. Τὸ δὲ ἐπίθετον Μάχα, μέγας, magnus, προστέθη ἀκολούθως, ὅτε τὸ ποίημα κατήντησε συλλογὴ ἢ συγκέντρωσις διαφόρων μύθων, καὶ ἀρχαίων παραδόσεων. Ἡ Μαχαβαράτα σύγκειται ἤδη ἐξ 85000 διστίχων· ἂν προστεθῇ δὲ καὶ ἡ Χαριβάνσα, σχεδὸν ἐξ 100,000, ἤτοι 200,000 ἑξαμέτρων.

Περὶ Μαχαβαράτας ἀναφέρουσιν εἰς τὸν κατάλογον τῶν Σανσκριτικῶν χειρογρ. Σ. 62 καὶ 64 ὅ,τε Ἀμιλτὼν καὶ ὁ Λαγλέσιος· ὁ δὲ Βιλ. Οὐάρδος ἐν τῇ περὶ Ἰνδῶν ἱστορίᾳ αὐτοῦ IV. Σελ. 429—448· ὁ Ἀνκουετίλος Recherches hist. et géogr. sur l'Inde. Berlin 1787. Ὁ Polier mythologie des Indiens, ὁ Görres, Heeren καὶ ἡ Ἀσιατικὴ ἐφημερὶς Lond. 1817. Τὸ πρωτότυπον ἐδημοσιεύθη ἐν Καλκούτᾳ τῷ 1801—1806 ἔτει. Ἴδε περιπλέον ὅσα περὶ Μαχαβαράτας ἀναφέρει ὁ Ἀδελοῦγκος Βιβλιοθ. Σανσκριτ. σ. 235 καὶ ἑφεξῆς. Ὁ σοφὸς Γολδστύκερος (Goldstücker) ἐπεχειρίσθη ἐσχάτως τὴν ὁλόκληρον μετάφρασιν τῆς Μαχαβαράτας εἰς Γερμανικὴν διάλεκτον· τὴν ἀγγελίαν αὐτῆς χρεωστοῦμεν εἰς τὴν ἀγαθότητα τοῦ Κ. Οἰφέρου. Ὁ μεταφραστὴς διαιρεῖ τὸ ἔργον του 1. εἰς ἁπλῆν μετάφρασιν· 2. εἰς παρατηρήσεις· 3. εἰς Σχόλια.

1 Ὡς ἂν εἴπῃ τις μικρὰν Ἰλιάδα. Ὁ Κος Γορρέσιος εἰς τὴν προρρηθεῖσαν ἐπιστολήν του φαίνεται διαφορετικῆς ἰδέας· ἐξηγεῖ μὲν τὸ Μάχα διὰ τοῦ Λατινικοῦ magnus, καὶ τοῦ Ἑλληνικοῦ μέγας ὡς ὁ Κος Οἴφερος καὶ οἱ λοιποὶ Ἰνδολόγοι· ὥστε Μάχα-Βαράτα ἐστὶ Μεγάλη Βαράτα. τὸ δὲ Βάλα, οὐχὶ συντομὴν ἢ ἐπιτομὴν, ὡς λέγει ὁ Γαλανὸς καὶ ὁ Κος Οἴφερος, ἀλλ' ἐξηγεῖ τὴν λέξιν ἀντὶ τοῦ νέα νεωτέρα· ὥστε τὸ Βάλα-Βαράτα φανερόνει κατ' αὐτὸν, Νεωτέρα Βαράτα· τοὐλάχιστον, λέγει ὁ σοφὸς οὗτος Ἰνδολόγος, ἔπρεπεν ἵνα γράψῃ

φὸς Οἴφερος, καὶ αὐθύπαρκτον, ὅπερ μετέφρασεν ὁ ἡμέτερος Γαλανός.

Τὸ ὑποκείμενον τῆς Μαχαβαράτας, καὶ ἐπομένως τῆς Βαλαβαράτας, εἶναι ἡ ἔρις δύο Σεληνογενῶν βασιλικῶν οἰκογενειῶν, ἤτοι τῶν Πανδοϊδῶν, καὶ τῶν Καουραβῶν· ἡ δὲ ἀλληγορία, ἡ νίκη τῶν ἀγαθῶν κατὰ τῶν πονηρῶν καὶ ἀδίκων [1]. Ὁ πόλεμος, λέγει ὁ ἐμβριθὴς

Βαράτα-Βάλα, καὶ οὐχὶ Βαλαβαράτα. Ἀλλ' ἀνὴρ τοσαύτης παιδείας καὶ ὑπολήψεως, ὡς ὁ Γαλανὸς, συζήσας μετὰ τῶν σοφωτέρων Βραχμάνων 50 σχεδὸν ἔτη ἐντὸς τῆς ἱερᾶς πόλεως, καὶ μετ' αὐτῶν μελετῶν τὰ ἀρχαῖα Σανσκριτικὰ ποιήματα, καὶ ὑπὸ τὴν ὄψιν, καὶ διὰ τῆς βοηθείας αὐτῶν μεταφράζων τὰ κλασικὰ τῶν Ἰνδῶν συγγράμματα, δὲν ἠδύνατο, νομίζομεν, ἵνα κάμῃ τοιαύτην παραδρομήν. Εἶναι μὲν νεώτερον ἔργον· ἀλλὰ πάντοτε Ἐπιτομὴ τοῦ μεγάλου ἐπικοῦ ποιήματος, ὡς φαίνεται τοῦτο ἐκ τῆς συγκρίσεως τῶν περιλήψεων τῆς Μαχαβαράτας καὶ τῆς Βαλαβαράτας. Οἱ Κ. Εὐγ. Βυρνούφιος, Οἴφερος, Βιλσὼν, καὶ Λαγλέσιος συμφωνοῦσι μᾶλλον μετὰ τοῦ Γαλανοῦ, παραδεχόμενοι τὴν λέξιν Ἐπιτομὴ, ἢ ἀπάνθισμα. Γίνεται δὲ μνεία περὶ τῆς γεννήσεως τοῦ Βαράτα εἰς τὸ πρῶτον βιβλίον, τρίτον κεφάλαιον, δίστιχον 34 τῆς ἀναχείρας Βαλαβαράτας.

1. Τὸ ὑποκείμενον τῆς Ῥαμαϊάνας εἶναι ἐπίσης ὁ πόλεμος καὶ ἡ νίκη τοῦ Ῥάμα κατὰ τοῦ Ῥαβάνα, ἀρχηγοῦ τῶν πονηρῶν πνευμάτων· ὥστε ἡ βάσις τῆς ἀλληγορίας, εἶναι ὁ θρίαμβος τῶν ἀγαθῶν κατὰ τῶν πονηρῶν καὶ ἀδίκων. Ἡ κακία ὑπερεπλεόνασεν ἐνταῦθα, ὡς καὶ εἰς τὴν Μαχαβαράταν. Ὁ θεὸς Βισνοῦς, ἐνσαρκωθεὶς καὶ γενόμενος ἄνθρωπος, καταβάλλει τὸν Ῥαβάναν καὶ τὰ πονηρὰ πνεύματα. Ὁ ἥρως εἰς ἀμφότερα τὰ ποιήματα εἶναι ὁ Βισνοῦς ἐνανθρωπήσας ὑπὸ τὴν μορφὴν οὐχὶ ἑνὸς, ἀλλὰ τεσσάρων ἀδελφῶν, ὧν ὁ Ῥάμας εἶναι ὁ πρωτότοκος· τὸ αὐτὸ παρατηρεῖται καὶ εἰς τὴν Μαχαβαράταν, καὶ εἰς τὴν ἐπιτομὴν αὐτῆς, τὴν Βαλαβαράταν· εἷς θεὸς Παρουσιάζεται ὑπὸ τὴν μορφὴν τῶν πέντε ἀδελφῶν Πανδοϊδῶν, ἐξ ὧν ὁ πρωτότοκός ἐστιν ὁ Ἰουδιστίρας. Εἰς ἀμφότερα τὰ ποιήματα ὑπάρχει δύσκαμπτον τόξον· τὸ ἆθλον, μία παρθένος·

Ἥρενος, τῶν Πανδοϊδῶν καὶ Καουραβῶν ὑπῆρξε διὰ τὴν Ἰνδικὴν ποίησιν, ὅ,τι καὶ ὁ Τρωϊκὸς διὰ τὴν Ἑλληνικήν. Καὶ καθὼς ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, οὕτω καὶ ἡ Ῥαμαϊάνα καὶ ἡ Μαχαβαράτα συνετέλεσαν δραστηρίως εἰς τὴν διανοητικὴν ἀνάπτυξιν, αἱ μὲν τοῦ Ἑλληνικοῦ, αἱ δὲ τοῦ Ἰνδικοῦ ἔθνους. Ἐκ τούτου πολλαὶ Ἰνδικαὶ ποιήσεις πραγματεύονται τὴν ὕλην ταύτην, ἐξ ὧν μόλις τὰ ὀνόματά εἰσι γνωστὰ μέχρι τοῦδε.

Ἡ Μαχαβαράτα εἶναι πιθανῶς νεωτέρα τῆς Ῥαμαϊάνας, ὡς πραγματευομένη μεταγενεστέραν ἐνσάρκωσιν τοῦ Βισνοῦ, ὑπὸ τὴν μορφὴν τοῦ Κρισνᾶ, ἤτοι τὴν ὀγδόην. Κατὰ τοὺς πεπαιδευμένους Ἰνδοὺς, ὁ πόλεμος τῶν Πανδοϊδῶν καὶ Καουραβῶν συνέβη τῷ 105 ἔτει πρὸ τῆς ἐνεστώσης *Καλιϋοὺγ* λεγομένης χρονολογίας [1], ἑπομένως ἀνήκει εἰς τὴν μυθολογικὴν ἐποχὴν τῆς Ἰνδικῆς ἱστορίας· ἕνεκα τούτου ἀποδίδεται τὸ ποίημα τοῦτο εἰς τὸν Βεάσαν, τοῦ ὁποίου τὸ ὄνομα εἰς τὴν αὐτὴν ἐπίσης τοῦ χρόνου ἀνήκει περίοδον [2]. Πολλαὶ μετα-

---

ἡ μῆνις τῶν ἀποτυχόντων κατὰ τοῦ ἥρωος· περιηγήσεις αὐτοῦ, συμβεβηκότα διάφορα, πόλεμος μέγας, καὶ νίκη ἐπὶ τέλους τῶν ἀγαθῶν, κατὰ τῶν ἀδίκων καὶ πονηρῶν.

1. Ἡ τετάρτη περίοδος, ἣν αἰῶνα σιδηροῦν καλοῦσιν οἱ Ἰνδοὶ κατὰ τὰς παραδόσεις τῶν Πουράνων, λέγεται Καλιϋούγ· ἀπ' αὐτὴν μόλις ἀρχίζει ἱστορική τις βεβαιότης περὶ τοῦ πολιτικοῦ βίου τοῦ Σανσκριτικοῦ λαοῦ. Κατ' αὐτὰς δὲ τὰς Πουράνας, ἡ ἐποχὴ αὕτη συμπίπτει εἰς τὸ 1055 ἔτος πρὸ τῆς ἀναγορεύσεως τοῦ Σανδραγούπτα· αὕτη δὲ συνέβη περὶ τὸ 312 ἔτος Π. Χ. Ἡ ἐποχὴ ἄρα Καλιϋούγ ἀρχίζει, τὸ 1367 ἔτος Π. Χ. ἑπομένως ὁ πόλεμος τῶν Πανδοϊδῶν καὶ Καουραβῶν συνέβη κατὰ τὸ 1472 ἔτος πρὸ Χριστοῦ.

2. Ποιητὴς τῆς Μαχαβαράτας, λέγει ὁ Ἀδελοῦγκος, ὑπῆρξεν ὁ

γενέσθαι προσθῆκαι, καὶ ἐπεισόδια παρεισέφρησαν ἀκολούθως εἰς ἀμφότερα τὰ Ἰνδικὰ ποιήματα. Ἀλλὰ τὸ σύνολον ἀνήκει, ἀναντιῤῥήτως, εἰς τὴν πρὸ τῆς ἱστορικῆς μυθολογικὴν ἐποχήν [1]· διότι τὰ πλεῖστα καὶ ἐν μεγίστῃ ἐκτάσει εἰς βράχους καὶ ὄρη γεγλυμμένα κολοσσαῖα μνημεῖα τῶν Ἰνδῶν, σωζόμενα μέχρι τοῦδε, ἀναφέρονται βεβαίως εἰς αὐτὰ τὰ ποιήματα: τὴν Ῥαμαϊάναν δηλαδὴ, καὶ Μαχαβαράταν, ἔνθα πρὸς τοῖς ἄλλοις παρατηρεῖται τὸ μέγα κράτος, καὶ ἡ ὑπερτάτη καὶ ἀπόλυτος δύναμις τῶν Βραχμάνων, πρὸ τῆς Βουδδικῆς αἱρέσεως· καθότι ὁ κατὰ τοῦ Βραχμανισμοῦ ἐγερθεὶς φρικτὸς Βουδδικὸς διωγμὸς συνέβη περὶ τὴν ς' ἢ ζ' ἑκατονταετηρίδα Π. Χ. [2]. Τὰ ἐπικὰ ἑπομένως ταῦτα

Βραχμὰν Κρισνᾶς Δβαϊπαγάνας Βυάσας ἢ Βεάσας. (Β. Σ. σελ. 236). Πλὴν εἰς τὸν Βεάσαν ἀποδίδουσι καὶ τὴν συλλογὴν τῶν Βέδων, Πουράνων, χρονολογικῶν Πινάκων κ.τ.λ. Ἕνεκα τούτου ὁ Γορρέσιος, ἀμφιβάλλων, τὸν ὀνομάζει πολύμορφον (moltiforme). (Αὐτόθι σελ. 106).

1. Ἡ Ῥαμαϊάνα, καὶ μάλιστα ἡ Μαχαβαράτα, γράφει ὁ Κ^ος Γορρέσιος, δὲν εἶναι ποίημα οὔτε ἑνὸς μόνου ἀνθρώπου, οὔτε μιᾶς ἐποχῆς. Τὰ πολλὰ αὐτῶν ἐπεισόδια διαφέρουσι κατά τε τὸν σχηματισμὸν τῆς γλώσσης, τὰς ἰδέας, τοὺς μύθους καὶ τὰ σύμβολα· ὥστε φανερόνουσιν ἐναργῶς, ὅτι εἰσὶ ποιήσεις διαφορετικῶν ἐποχῶν, καὶ διαφόρων ποιητῶν.

2. Ἴδε τὸ σοφὸν σύγγραμμα τοῦ Κ. Βυρνουφίου Introduction à l' histoire du Buddhisme Indien. Paris, 1844. Ὁ σκοπὸς, λέγει ὁ Βυρνούφιος, τοῦ Βουδδισμοῦ εἶναι ἡ Νιρβάνα, ἤτοι ἡ Σωτηρία τοῦ ἀνθρώπου· ὁ Σακίας Μούνης ἐκήρυττεν αἰῶνάς τινας Π. Χ. τὰς ἀρχὰς τῆς Σωτηρίας εἰς ὑπήκοον πάντων ἀδιαφόρως. Εἰς δὲ τὴν Ἰνδίαν ὑπῆρχον ἀνέκαθεν αἱ προνομιοῦχοι τάξεις, κατὰ τὰ ἔθιμα τῶν ὁποίων, αἱ ἀνώτεραι δὲν δύνανται, ἄνευ μολυσμοῦ, ἵνα πλησιάσωσι τὰς κατωτέρας·

ποιήματα πολλὰ πιθανῶς ἀνήκουσιν εἰς τὴν πρὸ τῆς ἱστορικῆς μυθολογικὴν ἐποχὴν, ὡς λίαν ἀρχαιότερα τῆς αἱρέσεως ταύτης [1].

Ὁ χαρακτὴρ τῆς Ἰνδικῆς ἐποποιίας ἐκπλήττει πραγματικῶς τὸν ἀναγνώστην· καθότι οἱ ἥρωες αὐτῆς δὲν εἶναι ἁπλῶς ἄνθρωποι, ἀλλ' ὄντα ἀνώτερα τῆς ἀνθρωπίνης φύσεως. Ἐνταῦθα παρουσιάζονται θεοὶ ἐνανθρωπήσαντες, Δαίμονες, Τιτᾶνες, Γίγαντες, θηρία ὑπερ-

---

ὅθεν ὁ Βουδισμὸς, διδάσκων Βασιλεῖς, στρατιωτικοὺς, ἐμπόρους, γεωργοὺς, βαναύσους, αὐτοὺς τοὺς Παρίας, καὶ αὐτὰ τὰ ἐξωλέστατα τῶν ἀγυιῶν περιτρίμματα, τὴν δι' ἀγάπης καὶ ἀδελφότητος σωτηρίαν, προσέβαλεν εἰς τὰ καίρια τὸν Βραχμανισμὸν, ὅστις πρὸ αἰώνων ἐφύλαττε δι' ἑαυτὸν πᾶσαν διδασκαλίαν καὶ γνῶσιν θρησκευτικὴν, πολιτικὴν, καὶ ἐπιστημονικήν, καὶ ὅστις διὰ κεφαλικῆς ποινῆς ἐμπόδιζεν, οὐ μόνον πᾶσαν μάθησιν εἰς τὰς κατωτέρας τάξεις, ἀλλ' οὐδὲ συγκεχωρημένον ἦτον εἰς αὐτὰς, ἵνα προσεγγίσουν τὸ ἱερὸν καὶ ἅγιον πρόσωπον ἑνὸς Βραχμᾶνος. Ὅθεν ἐκ τούτου ἠγέρθη φρικτὸς διωγμὸς, καὶ πόλεμος μεταξὺ τοῦ Βουδδισμοῦ καὶ Βραχμανισμοῦ.

Ὁ Σακίας ἔθετο τὴν Σωτηρίαν εἰς τὴν πρᾶξιν τῶν ἠθικῶν ἀρετῶν: τὴν ὑπομονὴν, τὴν ἐπιείκειαν, τὴν ἐκ τῶν κοσμικῶν λύτρωσιν, τὴν ἐθελοπτωχίαν, τὴν παρθενίαν, τὴν ἐλεημοσύνην, τὴν φιλανθρωπίαν, τὴν ἀγάπην, καὶ ἀδελφικὴν ἰσότητα· οὕτω πᾶσα κλάσις ἀνθρώπων, θέλουσα ἵνα ἐλευθερωθῇ ἀπὸ τὸν ζυγὸν τῶν Βραχμάνων, τῶν Ξατρῶν, καὶ τῶν προνομιούχων τάξεων, προσεκολλᾶτο εἰς τὸν Βουδδισμόν. Ἐκ τούτου ἡ πρόοδος αὐτοῦ ὑπῆρξε ταχεῖα καὶ μεγίστη. ὁ δὲ κατ' αὐτοῦ διωγμὸς τῶν Βραχμάνων μανιώδης.

1. Ὁ Κ. Γορρέσιος ἀποδεικνύει ἐπίσης τὴν ὕπαρξιν τοῦ Ῥάμα, ἥρωος τῆς Ῥαμαϊάνας, εἰς τὴν πρὸ μιᾶς κυκλικῆς περιόδου ἐποχὴν, πρὸ τῆς Καλιΐουγ, δηλονότι, εἰς τὴν δεκάτην τρίτην ἑκατονταετηρίδα πρὸ Χριστοῦ. (Ἰδ. Εἰσαγ. εἰς τὴν Ῥαμ. σελ. 99.) Εἰς τὴν αὐτὴν, ὡς ἔγγιστα, ἐποχὴν ἤκμασε καὶ ὁ Βαλμίκης, ὁ ποιητὴς τῆς Ῥαμαϊάνας. (Αὐτ. σελ. 100 καὶ ἑφεξῆς.)

φυσικὴν ἔχοντα δύναμιν, ὅπλα θεῖα, οὐρανίας δυνάμεως, ἡμίθεοι καὶ ἥρωες, ἀπόῤῥοια ὄντες ἀγαθῶν θεῶν, ἢ πονηρῶν πνευμάτων, καὶ ἐπῳδαὶ ἐξαισίου καὶ ὑπερφυσικῆς ἰσχύος. Πρὸς δὲ τούτοις, οἱ σοφοὶ διὰ τῆς θεωρίας τῆς θείας γνώσεως, οἱ ἀσκηταὶ διὰ τῆς μεγάλης ἀσκήσεως, καὶ οἱ θεῖοι Βραχμᾶνες, πάντες οὗτοι καὶ ζῶντες καὶ μετὰ θάνατον ἁγιάζοντες, λαμβάνουσι θείαν τινὰ χάριν καὶ δύναμιν [1]· ὥστε ταῦτα πάντα εἰσὶ μέγιστα καὶ ποικίλα ἐλατήρια τῆς Ἰνδικῆς ἐποποιίας, καὶ πηγὴ ἀένναος, ἀφθόνου ποιητικῆς φαντασίας καὶ καλλονῆς. Ἐκ τούτων τὸ Ἰνδικὸν Δράμα λαμβάνει ἄπειρον ἔκτασιν, ἐναγκαλιζόμενον, οὕτως εἰπεῖν, τὸν οὐρανόν, τὴν γῆν, καὶ τὰ καταχθόνια. Ἡ δὲ πάλη μεταξὺ τοιούτων καὶ τοσούτων προσώπων ἀρχίζει εἰς τὴν γῆν, καὶ τελειόνει πολλάκις εἰς τὸν αἰθέρα. Καθόσον ὅμως ἡ ἔκτασις τοῦ δράματός ἐστιν ἀπεριόριστος, τοσοῦτον φαίνεται ὀπωσοῦν ἐλλειπὲς κατὰ τὸν τύπον τῆς ἰδανικῆς φυσικῆς τελειότητος, εἰς ἣν ὑπερτερεῖ βεβαίως ἡ Ἑλ-

---

1. Παύει ἡ ἐξουσία καὶ αὐτοῦ, οὕτως εἰπεῖν, τοῦ βασιλέως, ἅμα παρουσιασθῇ εἰς πολιὸς καὶ σεβάσμιος Βραχμάν· ὁ βασιλεὺς, ἡνωμένας ἔχων ἐπὶ τοῦ στήθους τὰς χεῖρας, ἵσταται ἔμπροσθεν τοῦ ὁσίου τούτου· ἀφοῦ δὲ οὗτος καθήσει, κάθηται σεμνοπρεπῶς καὶ ὁ βασιλεὺς πλησίον αὐτοῦ. Κοινὴ εἶναι ἡ φιλοξενία εἰς τὴν ἐποποιίαν τῶν Ἑλλήνων καὶ τῶν Ἰνδῶν· ἀλλ' ἡ πρὸς τοὺς Βραχμᾶνας καὶ ἱεροπρεπεῖς ἄνδρας εὐλάβεια καὶ ὑπακοὴ τῶν βασιλέων, τῶν ἡρώων, καὶ τοῦ λαοῦ, εἶναι ἴδιον τῆς Ἰνδικῆς ποιήσεως. Ταπεινοῦται ὁ βασιλεὺς Δασαράτας ἔμπροσθεν τοῦ ὁσίου Βισναμίτρα· συμβουλεύουσι καὶ ἐπαπειλοῦσι τοὺς βασιλεῖς οἱ ὅσιοι Βραχμᾶνες, ὡς οἱ προφῆται εἰς τὴν Ἰουδαίαν· ἀλλ' ἐξυβρίζει ἀπειλῶν ὁ Ἀγαμέμνων τὸν ἱερέα Κάλχαντα, ὃς "ᾔδη τά τ' ἐόντα, τά τ' ἐσόμενα πρό τ' ἐόντα.

λῃνικὴ ποίησις [1]. Ὁ σκοπὸς τῆς Ἰνδικῆς ἐποποιίας εἶναι ἡ ἐπιῤῥοὴ τῆς προνομιούχου τάξεως τῶν Βραχμάνων. Οὐ μόνον τὸ κυριώτερον τῶν δύο ἐπικῶν ποιημάτων ὑποκείμενον εἶναι ὁ ἐνανθρωπήσας θεὸς, ἀλλὰ καὶ τὰ σύμβολα, καὶ οἱ μῦθοι, κτλ. εἰσὶ θρησκευτικοί. Ἡ Βραχμανικὴ ἐπιῤῥοὴ, εἶναι ἡ σφραγὶς, λέγει ὁ Ἥρενος, τῆς τε Ῥαμαϊάνας, καὶ τῆς Μαχαβαράτας· ὥςε ὁποιασδήποτε ἐποχῆς ὑποτεθῇ ἡ ποίησις, αὕτη ἀνεπτύχθη, ἀναντιῤῥήτως, εἰς τὴν μεγαλητέραν περιωπὴν τοῦ Βραχμανισμοῦ [2]. Ὁ σκοπὸς τῶν ποιημάτων τούτων, λέγει εἰς τὴν ἀγγελίαν ὁ Κος Γολδστύκερος, εἶναι τὸ κράτος, καὶ ἡ ὑπεροχὴ τῶν Βραχμάνων ὑπεράνω τῶν ἄλλων προνομιούχων τάξεων καὶ τοῦ λαοῦ, καὶ ἡ ςερέωσις τῆς θρησκευτικῆς ἀρχῆς τῆς μιᾶς *Ἐνότητος*, ἥτις εἰς τὰς Βέδας δὲν διακρίνεται οὔτε τόσον καθαρῶς, οὔτε μετὰ τοσαύτης ἀκριβείας. Κατὰ τὸν αὐτὸν τρόπον ἐξηγεῖται καὶ ὁσοφὸς Ἰνδιστὴς Λάσσενος [3].

Ἐπειδὴ δὲ τὰ δύο ταῦτα Ἰνδικὰ ποιήματα παρουσιάζουσι μετὰ τοῦ ἀληθοῦς χαρακτῆρος τῆς ἐποποιίας ἤθη, ἔθιμα, ἕξεις, θρησκείαν, καὶ τὸν πολιτικὸν βίον μεγάλου καὶ ἀρχετύπου τινὸς λαοῦ, εἰσὶ δὲ καὶ ὁ τύπος ἁπάσης τῆς Ἰνδικῆς, καὶ ἴσως ὁλοκλήρου τῆς Ἀσιατικῆς ποιήσεως, ἀνάγκη ὅπως, γνωρίζοντες τὸ ὑποκείμενον τῆς τε Μαχαβαράτας καὶ τῆς Βαλαβαράτας, διακρίνωμεν εὐκολώτερον τὴν ὁμοιότητα ἢ ἀνομοιότητα ἀμφοτέρων.

---

1. Ἴδε Ἥρενον αὐτόθι. Σελ. 178—183, καὶ τὴν Γαλλικὴν μετάφρ. Τόμ. III. Σελ. 220.

2. Ἥρενος, αὐτόθι.

3. Zeitschrift. für die Kunde des Morgenlandes, I. B. σ. 82.

Ἡ Μαχαβαράτα, λέγει ὁ σοφὸς Ἥρενος, μετεφράσθη εἰς Περσικὴν διάλεκτον κατὰ διαταγὴν τοῦ μεγάλου Ἀκβάρου [1]. Ἐπὶ κεφαλῆς τῆς μεταφράσεως ταύτης ἐτέθη ἡ περίληψις τοῦ ὅλου ποιήματος. Αὕτη μόνη μετεφράσθη ἀγγλιστί. Κατ' αὐτὴν

«Ὁ Ῥαϊὰς Βιράτας ἐβασίλευσεν εἰς τὴν πόλιν Χαστιναπούραν, πρωτεύουσαν τῶν Ἰνδῶν· ἐξ αὐτοῦ κατήγετο εἰς ἑβδόμην γενεὰν ὁ Ῥαϊὰς Βιχιτραβίργης, ὅστις ἀφῆκε δύο υἱούς· ἐξ ὧν ὁ μὲν ὠνομάζετο Πανδοῦς, ὅστις ἔσχε πέντε υἱοὺς, Ἰουδιστίραν, Βήμαν, Ἀρζούναν, Νακούλαν, καὶ Σαχαδέβαν· οὗτοι εἰσιν οἱ Πανδοΐδαι. Ὁ δὲ ἄλλος Δρυταράστρας, ὢν ἀόμματος ἐκ γενετῆς, ἔσχεν ἑκατὸν υἱούς. (οὗτοί εἰσιν οἱ καλούμενοι Δρυταράστραι, ἢ Καουραβαὶ, ἐκ τοῦ πάππου αὐτῶν Κουροῦ·) ὁ δὲ πρωτότοκος τῶν ἑκατὸν τούτων ἀδελφῶν ὠνομάζετο Δουριοδάνας. Μετὰ τὸν θάνατον τοῦ Βιχιτραβίργη διεδέχθη τὸν θρόνον ὁ Πανδοῦς. Τελευτήσαντος καὶ τούτου, ὁ ἀόμματος αὐτοῦ ἀδελφὸς ἀνηγορεύθη μὲν βασιλεὺς, πραγματικῶς δὲ ὁ Δουριοδάνας, ὡς πρωτότοκος υἱὸς, ἐκυβέρνα τὸ βασίλειον, ἑλκύσας εἰς ἑαυτὸν πᾶσαν τὴν ἐξουσίαν. Φοβούμενος δὲ μήπως ὁ θρόνος, μετὰ τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ, πέσῃ πάλιν εἰς χεῖρας τῶν Πανδοϊδῶν, ἐπροσπάθει ὅπως ἐξοντώσῃ αὐτούς· ἐπὶ τούτῳ μυρία μετεχειρίσθη τεχνάσματα· καὶ ἐπὶ τέλους, παραγεμίσας κρυφίως τὴν οἰκίαν αὐτῶν δι' ἐμπρηστικῶν ὑλῶν, ἔβαλε πῦρ. Οἱ Πανδοΐδαι ὅμως ἐσώθησαν εὐτυχῶς, καὶ διαβάντες τὴν ἔρημον, κατέφυγον εἰς τὴν πόλιν Κουμπέλαν, ἔνθα ἐν διαστήματι ὀλίγου χρόνου ἀπέκτησαν μεγίστην ὑπό-

---

1, Ἥρενος αὐτόθι. Τὸ Περσικὸν τοῦτο χειρόγραφον εὑρίσκεται εἰς τὴν Βασιλικὴν Βιβλιοθήκην τῶν Παρισίων. (Ἴδε Adelung Σ. 236. καὶ Notice des Manuscrits Sanscrits ὑπὸ τὸν τίτλον Kitab muhaberat.)

ληψιν, ἕνεκα τῶν ἀνδραγαθιῶν, καὶ τῆς ἀρετῆς αὐτῶν. Ὁ δὲ Δουριοδάρας, ἀποτυχὼν εἰς τὴν κατ' αὐτῶν πρώτην ἀπόπειραν, καὶ θέλων ἵνα ἀπατήσῃ αὐτοὺς εὐκολωτέρως μετέπειτα, παρεχώρησεν εἰς τοὺς πέντε ἀδελφοὺς μίαν ἐπαρχίαν, καὶ ἐκράτησε δι' ἑαυτὸν πᾶσαν τὴν λοιπὴν βασιλείαν μετὰ τῆς πρωτευούσης Χριστιναπούρας. Πλὴν ἐντὸς ὀλίγου ἡ εὐτυχία τῆς ἐπαρχίας ταύτης, καὶ ἡ μεγίστη ἐπὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ ὑπόληψις τῶν Πανδοϊδῶν, ἤγειρον ἐκ νέου τὸ μῖσος τοῦ Δουριοδάρα κατ' αὐτῶν. Ὅθεν ἀποφασίσας τὸν παντελῆ αὐτῶν ὄλεθρον, ἐκάλεσε τοὺς Πανδοϊδας εἰς ἐπίσημον συμπόσιον, καὶ δι' ἐπιπλάστων κύβων ἐκέρδισεν εἰς τὴν κυβοπαιδιὰν (Κυβείαν) ἅπασαν τὴν δωρηθεῖσαν εἰς αὐτοὺς χώραν. Κατὰ δὲ τὴν τελευταίαν κυβοβολὴν εἶχον συμφωνήσει, ὅτι ἂν ἀποτύχωσι, θέλουσιν ἀποσυρθῆ εἰς τὴν ἔρημον δώδεκα ἔτη, ὅπερ καὶ ἐγένετο.

« Ἀλλὰ μετὰ τὴν δωδεκαετῆ πλάνην τῶν Πανδοϊδῶν, ὁ τύραννος Δουριοδάρας ἐφέρετο ἀπηνῶς, καὶ λίαν ἐχθρικῶς πρὸς αὐτούς· ὅθεν οἱ Πανδοΐδαι ἀπελπισθέντες κατέφυγον εἰς τὰ ὅπλα. Οὕτως ἤρχισεν ὁ μέγας πόλεμος τῶν Πανδοϊδῶν κατὰ τῶν Καουραβῶν. Μετὰ μακροχρόνιον πάλην, τέλος ἡ περὶ τὰς ὄχθας τῆς λίμνης Κουρουξέτρας συγκροτηθεῖσα πεισματώδης δεκαοκτωήμερος μάχη, ἐχορήγησε τελείαν νίκην εἰς τοὺς Πανδοΐδας. Ὁ μὲν τύραννος Δουριοδάρας ἀπώλεσε τὸν βίον· οἱ δὲ Πανδοΐδαι ἀπέκτησαν ἐκ νέου τὸν πατρικὸν θρόνον.»

Παρακατιὼν ἕπεται ἡ περίληψις τῆς Μαχαβαράτας κατὰ τὸν Ἥρενον, ὅπως εὑρέθη εἰς τὸ μνημονευθὲν Περσικὸν χειρόγραφον.

Ἡ Μαχαβαράτα σύγκειται, λέγει, ἐκ 18 βιβλίων ἢ ῥαψωδιῶν (Πάρβων), τῶν ὁποίων ἡ ὕλη εἶναι ὡς ἐφεξῆς·

Βιβλ. Α'. Γενεαλογία τῶν Παρδοϊδῶν καὶ Δρυταραστρῶν ἢ Καουραβῶν.

Βιβλ. Β'. Ὁ Ἰουδιστίρας κάμνει πολλὰς κατακτήσεις διὰ τῆς ἀνδρείας τῶν ἀδελφῶν αὐτοῦ. Οἱ Καουραβαὶ προκηρύττουσι πανήγυριν καὶ Κυβοπαιδιὰν ἢ Κυβείαν. Προπαρασκευαὶ αὐτῶν.

Βιβλ. Γ'. Οἱ Παρδοϊδαι, ἡττηθέντες εἰς τὴν Κυβείαν, ἀπέρχονται εἰς τὴν ἔρημον, ἔνθα διαμένουσι δώδεκα ἔτη. Διήγησις τῶν ἐν τῷ διαστήματι τούτῳ συμβάντων.

Βιβλ. Δ'. Οἱ Παρδοϊδαι μετὰ τὴν δωδεκαετίαν ἀναχωροῦσιν ἐκ τῆς ἐρήμου καὶ καταφεύγουσι μετημφιεσμένοι εἰς τὴν πόλιν Βερούθ.

Βιβλ. Ε'. Ἐπὶ τέλους ἀνακαλύπτονται, καὶ ὁ πόλεμος ἀνάπτει. Στρατοπέδευσις τῶν δυνάμεων παρὰ τῇ Κουρουξέτρᾳ λίμνῃ.

Βιβλ. Ϛ'. Μονομαχία τῶν ἡρώων· εἰς τὰς πρώτας δέκα ἡμέρας τῆς μάχης, τὸ πλεῖστον μέρος τῶν υἱῶν τοῦ Δρυταράστρα φονεύεται.

Βιβλ. Ζ'. Ὁ Δουριοδάνας συγκαλεῖ πολεμικὸν συμβούλιον. Ὁ Δρόνας κηρύττεται ἀρχιστράτηγος· πλὴν φονεύεται καὶ οὗτος τὴν πέμπτην ἡμέραν.

Βιβλ. Η'. Συμβεβηκότα τῶν δύο ἑπομένων ἡμερῶν. Ὁ Καρνᾶς, εἷς τῶν ἐνδοξοτέρων ἡρώων, κηρύττεται ἀρχηγός. Ὁ Ἰουδιστίρας τρέπεται ὑπ' αὐτοῦ εἰς φυγήν· ἀλλ' ὁ Καρνᾶς φονεύεται ὑπὸ τοῦ Ἀρζούνα.

Βιβλ. Θ'. Ὁ Σαλέας λαμβάνει τὴν ἀρχιστρατηγίαν· ἆθλα καὶ θάνατος αὐτοῦ. Ὁ Δουριοδάνας, νικηθεὶς κατὰ κράτος, κρύπτεται εἰς τὴν λίμνην. Ὁ Βήμας τὸν ἀνακαλύπτει, καὶ εἰς μονομαχίαν τὸν φονεύει· τοῦτο δὲ συμβαίνει τὴν δεκάτην ὀγδόην ἡμέραν. Οἱ Παρδοϊδαι μένουσι νικηταί.

Βιβλ. Ι'. Διήγησις τῶν τελευταίων συμβεβηκότων.

Ὀκτὼ μόνον ἄνδρες διασώζονται ἐκ τῶν Πανδοϊδῶν.

Βιβλ. ΙΑ'. Κλαυθμὸς καὶ ὀδυρμὸς τῶν γυναικῶν ἀμφοτέρων τῶν μερῶν, ἕνεκα τοῦ φόνου τῶν ἀνδρῶν αὐτῶν. Ἡ μήτηρ τοῦ Δουριοδάνα καταρᾶται τῷ Κρισνᾷ [1].

Βιβλ. ΙΒ'. Ἔργα τοῦ Ἰουδιστίρα μετὰ τὴν νίκην· οὗτος διατίθεται ἵνα παραιτηθῇ τῆς Βασιλείας· ἀλλ' ὁ Βεάσας, ὁ Κρισνᾶς καὶ ὁ Βήμας τὸν ἀποτρέπουσι. Τὸ βιβλίον τοῦτο παρέχει ἐν ἀφθονίᾳ τὰς ὑψηλοτέρας ἀρχὰς τῆς ἠθικῆς, τῆς θρησκείας, καὶ τῆς ἐπιστήμης τοῦ κυβερνᾶν.

Βιβλ. ΙΒ'. Ὁ Ἰουδιστίρας ἐπιμένει ἵνα ὑπάγῃ εἰς τὴν ἔρημον· ἀλλ' ὁ Βεάσας ἐναντιούμενος συμβουλεύει ἵνα τελέσῃ ἱπποθυσίαν. Προπαρασκευαὶ αὐτῆς.

Βιβλ. ΙΔ'. [2].

Βιβλ. ΙΕ'. Ὁ Δρυταράστρας, ἡ Γανδαρὴ, μήτηρ τοῦ Δουριοδάνα, καὶ ἡ Πριττὰ, μήτηρ τῶν Πανδοϊδῶν, ἀναχωροῦσιν εἰς ἔρημον.

Βιβλ. ΙϚ'. Ἐξόρτωσις τῆς φυλῆς τοῦ Ἰαδοῦ, καὶ ἄλλα συμβεβηκότα.

Βιβλ. ΙΖ'. Ὁ βασιλεὺς Ἰουδιστίρας μετὰ τῶν ἀδελφῶν αὐτοῦ ἀναχωροῦσιν εἰς τὴν ἔρημον.

Βιβλ. ΙΗ'. Θάνατος τῶν Πανδοϊδῶν· ὁ Ἰουδιστίρας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἀναβαίνουσιν εἰς τὸν οὐρανόν. Τέλος.

Αἱ δύο αὗται περιλήψεις, λέγει ὁ Ἥρενος, διαλαμβάνουσιν ἐναργῶς τὸ ἱστορικὸν μόνον μέρος τῆς ἔριδος καὶ τὰς συνεπείας αὐτῆς, ὅπερ φαίνεται τὸ κύ-

---

1. Εἰς τὴν περίληψιν ταύτην μόλις εἰς τὸ ἑνδέκατον βιβλίον γίνεται μνεία περὶ τοῦ Κρισνᾶ, ὅς ἐστιν ὁ ἐνανθρωπήσας θεὸς Βισνοῦς.

2. Τὸ βιβλίον τοῦτο δὲν ὑπάρχει εἰς τὴν σημείωσιν τοῦ Ἡρένου (ἴδε Τ. Ι. Σ. 168) ἀλλ' οὔτε εἰς τὴν Γαλλ. μετάφρασιν.

ριον ἀντικείμενον τοῦ ποιήματος. Πλὴν ποῖος ἐγγυᾶται, ὅτι ἡ Περσικὴ εἰς πεζὸν γεγραμμένη μετάφρασις τῆς Μαχαβαράτας δὲν εἶναι πολλὰ ἀτελής; Πῶς ἄλλως ἐξηγεῖται ἡ ἔλλειψις τῆς ἐπιῤῥοῆς καὶ ἀναμίξεως τῶν θεῶν εἰς τὴν ὑπόθεσιν μέχρι τοῦ ἑνδεκάτου βιβλίου, ἔνθα διὰ μιᾶς, καὶ ἄνευ ἐγνωσμένης αἰτίας, γίνεται μνεία περὶ τοῦ Κρισνᾶ; Ἐκ τούτου, συμπεραίνων ὅτι αἱ περιλήψεις αὗται εἰσὶν ἐλλειπεῖς, προτιμᾷ τὸ ἐξῆς ἀπόσπασμα τῆς Μαχαβαράτας, ὅπερ ἀναφέρει ὁ Πολιέρος (Polier) εἰς τὸ περὶ Ἰνδικῆς Μυθολογίας σύγγραμμα αὐτοῦ, εἰς ὃ φαίνεται, ὅτι ὁ κατ' ἐξοχὴν ἥρως τῆς Μαχαβαράτας εἶναι ὁ Κρισνᾶς, καὶ ἡ ἐμφάνισις αὐτοῦ εἰς τὴν γῆν, τὸ πρώτιστον ἀντικείμενον τοῦ ποιήματος, ὅπερ ἐστὶν ὁ πόλεμος καὶ ἡ νίκη τῶν ἀγαθῶν κατὰ τῶν πονηρῶν.

«*Τὸ κακὸν τοσοῦτον ἐπλεόνασεν, ὥστε ἡ Γῆ, παρουσιασθεῖσα ὡς δάμαλις εἰς τὸν Ἴνδραν, ἐζήτει παρ' αὐτοῦ θεραπείαν. Ὁ Ἴνδρας τὴν διεύθυνεν εἰς τὸν θεὸν Σίβαν· οὗτος εἰς τὸν Βισνοῦν, καὶ οὗτος εἰς τὸν ὕψιστον Βραχμᾶν, ὅστις οἰκτείρας τὴν Γῆν, διέταξε τὸν Βισνοῦν, ἵνα καταβὰς εἰς τὴν πόλιν Ματούραν, ἐνσαρκωθῇ εἰς τὴν οἰκίαν τοῦ Βοσδαΐου, ὑπὸ τὸ ὄνομα τοῦ Κρισνᾶ.*

«*Ὁ Βοσδαΐας κατήγετο ἐκ τοῦ βασιλικοῦ γένους τοῦ Ἰαδοῦ· ἐκ τοῦ αὐτοῦ γένους κατήγοντο οἱ Πανδοΐδαι καὶ οἱ Καουραβαὶ, οἵτινες διεφιλονείκουν περὶ τῆς διαδοχῆς τῆς βασιλείας. Οὕτως ὁ ποιητὴς, ἀναπτύσσων τοὺς γενεαλογικοὺς πίνακας τῶν δύο οἰκογενειῶν, εὑρίσκει ἄφθονον μυθολογικὴν ὕλην.*

«*Εἰς τὴν γενεαλογικὴν αὐτὴν σειρὰν συνδέεται καὶ ἡ θαυματουργικὴ τοῦ Κρισνᾶ γέννησις, καὶ ἡ σωτηρία αὐτοῦ,*

ἐναντίον τῆς ἐπιβουλῆς τοῦ βασιλεύοντος Καρουσᾶ, πρὸς ὃν χρησμός τις προεμήνυεν, ὅτι ὁ ὄγδοος υἱὸς τοῦ Βοσδαΐα (καὶ οὗτος ἦν ὁ Κρισρᾶς) θέλει φονεύσει αὐτόν. Ἡ ἀνατροφὴ τοῦ Κρισρᾶ, καὶ τὰ κατορθώματα αὐτοῦ χορηγοῦσιν ἄφθονον ὕλην εἰς τὸν ποιητήν.

«Ὁ Κρισρᾶς ἀνδρωθεὶς ἐπανέρχεται εἰς τὴν πόλιν Ματούραν, καὶ καταβάλλει τὸν Καρουσᾶν.

«Ἡ οἰκογένεια τοῦ Ἰαδοῦ ἐβασίλευε τότε εἰς τὴν πόλιν Χαστιναπούραν. Ἐκ δὲ τοῦ οἴκου τοῦ Παρδοῦ ὑπῆρχον πέντε βασιλόπαιδες· Ἰουδιστίρας, Βήμας, Ἀρζούνας, Σαχαδέβας, καὶ Νακούλας. Πάντες οὗτοι ἦσαν ὄντα ἐξαίσια, ἀλλὰ δὲν κατεῖχον τὸν θρόνον· διότι ὁ πονηρὸς τύραννος Δουριοδάνας, καλέσας προηγουμένως τοὺς Παρδοΐδας δι' ἐπιπλάστου Κυβείας, ἀφήρπασεν ἀπὸ τὰς χεῖρας αὐτῶν τὴν βασιλείαν. Ἔκτοτε κατεδίωκε τοὺς Παρδοΐδας παντοχοῦ καὶ διὰ παντοίων μέσων. Ὁ δὲ Κρισρᾶς, πληροφορηθεὶς περὶ τῆς δυστυχίας τῶν συγγενῶν του, ὑπεσχέθη εἰς αὐτοὺς κρυφίως πᾶσαν βοήθειαν.

«Ἐν τούτοις ὁ Ῥαγκᾶς, πενθερὸς τοῦ φονευθέντος Καρουσᾶ, πρέων ἐκδίκησιν κατὰ τοῦ Κρισρᾶ, προσέβαλε τὴν πόλιν Ματράν· νικηθεὶς δὲ παρὰ τοῦ Ῥάμα, ἀδελφοῦ τοῦ Κρισρᾶ, ἑτοιμάζεται πάλιν εἰς νέον πόλεμον.

«Ἐκ τούτου ἀναγκασθεὶς ὁ Κρισρᾶς ἐπροκάλεσεν ἐκ τοῦ Ὠκεανοῦ τὴν γένεσιν μιᾶς νήσου· ἐπ' αὐτῆς ἔκτισε λαμπροτάτην πόλιν, καὶ ἐντὸς αὐτῆς μετέφερε τοὺς κατοίκους τῆς Ματρᾶς, καὶ τὴν σύζυγον αὐτοῦ, ἥτις ἦν ἡ θεὰ Λαξμὴ ἐνσαρκωθεῖσα. Πορευθεὶς ἔπειτα εἰς τὴν Χαστιναπούραν, ἐπρότεινε συμβιβασμὸν μεταξὺ τοῦ Δουριοδάνα, καὶ τῶν Παρδοϊδῶν· ἀλλ' ὁ τύραννος, ἀρνούμενος πᾶσαν διαλλαγήν, κατέφυγεν εἰς μυρία τεχνάσματα πρὸς ἐξολοθρευσμὸν αὐτῶν, ὅπερ ἠνάγκασε τοὺς πέντε ἀδελφοὺς ἵνα ἀπομακρυνθῶσι

κρυφίως τῆς πόλεως. Αἱ μετὰ ταῦτα ἀνδραγαθίαι τῶν Παρδοϊδῶν, τὰ συμβεβηκότα αὐτῶν, ἡ ἔχθρα τοῦ Δουριοδάρα, ὁ πόλεμος μεταξὺ τῶν δύο οἰκογενειῶν, ἡ ἐπικουρία τοῦ Κρισνᾶ, καὶ ἐπὶ τέλους ἡ δεκαοκτωήμερος μάχη, ἡ ἧττα καὶ ὁ θάνατος τοῦ Δουριοδάρα, παρέχουσιν εὐρύτατον στάδιον εἰς τὴν φαντασίαν τοῦ ποιητοῦ.

«Μετὰ ταῦτα ἡ μὲν νῆσος συθίζεται εἰς τὸν Ὠκεανόν· οἱ Παρδοϊδαι βασιλεύουσι· καὶ ὁ Κρισνᾶς ἀναβαίνει εἰς τὸν οὐρανόν.»

Τοιαύτη εἶναι ἐν συντόμῳ ἡ περίληψις τῆς Μαχαβαράτας κατὰ τὸν Πολιέρον. Ἡ δὲ ἀνὰ χεῖρας Βαλαβαράτα, εἶναι ἡ ἐπιτομὴ τῆς Μαχαβαράτας· τὸ ὑποκείμενον ἄρα ἐξ ἀνάγκης εἶναι τὸ αὐτό. Ὅθεν πρὸς πλειοτέραν μὲν κατάληψιν αὐτῆς, εὐκολοτέραν δὲ σύγκρισιν μεταξὺ τῆς Μαχαβαράτας καὶ Βαλαβαράτας, ἤτοι τοῦ μεγάλου Ἰνδικοῦ ποιήματος, καὶ τῆς ἐπιτομῆς αὐτοῦ, προετάξαμεν καὶ ἡμεῖς τὴν ἑξῆς περίληψιν·

«Ὁ Σίβας ἤμαρτε πρὸς τὸν Βραχμᾶν [1]· οὗτος ὀργισθεὶς εἶπεν, ὅτι δὲν θέλει συγχωρήσει τὸν Σίβαν, εἰμὴ ἀφοῦ χυθῇ τὸ αἷμα ὀκτωκαίδεκα Ἀξαουχινῶν [2].

«Ὁ Ἴνδρας, θεὸς τοῦ κεραυνοῦ, ἱστάμενος ἐπὶ τῆς ὄχθης τοῦ Γάγγου ποταμοῦ, καὶ ἰδὼν χρυσοῦν λωτὸν, εἰσέβη εἰς τὸ ὕδωρ, ὅπως λάβῃ αὐτόν· ἀλλ' οὗτος, ἀφανὴς γενόμενος, ἀνεφάνη ἐπὶ τῆς ἀπέναντι ὄχθης, ὡς παρθένος κλαίουσα. (Αὕτη ἐστὶν ἡ Νακασρὴ, περὶ ἧς ἀκολούθως.) Ὁ Ἴνδρας, ἀκολουθῶν αὐτὴν

---

1. Ἡ Ἰνδικὴ τριὰς σύγκειται ἀπὸ τὸν Σίβαν, Βισνοῦν, καὶ Βραχμᾶν.

2. Ἑκάστη Ἀξαουχινὴ εἶναι στρατιὰ πλήρης ἐκ πεζικοῦ, ἱππικοῦ, ἁρματηλατῶν καὶ ἐλεφαντηλατῶν, τὸ ὅλον ἐκ 218, 720 πολεμιστῶν.

ἔφθασε μέχρι τοῦ ὄρους Ἰμαοῦ· ἐνταῦθα ἰδὼν νέον ἀκλονήτως καθήμενον, ὠργίσθη κατ' αὐτοῦ· ἀλλ' ὁ πάγκαλος νέος (ὃς ἦν ὁ Σίβας), ἐνατενίσας τὸν ὀφθαλμὸν αὐτοῦ ἀπελίθωσε τὸν Ἴνδραν. Ἡ δὲ Νακασρὴ, ἐγγίσασα τῇ χειρὶ, κατὰ προσταγὴν τοῦ Σίβα, ἀνεκάλεσεν αὐτὸν εἰς τὴν ζωήν· πρὸς ὃν εἶπεν ὁ Σίβας· «*εἴσελθε εἰς τοῦτο τὸ σπήλαιον· πέντε γὰρ αὐτὸ ἔχον αἰσθήσεις, ἀναφαρήσονται πέντε μετὰ σοῦ Ἴνδραι, προεμβάντες.*» Εἶτα εἶπε πρὸς αὐτούς· «*Γινώσκετε τὸ παρ' ἐμοῦ τελεσθὲν κατὰ τοῦ Βραχμᾶ ἁμάρτημα· οὗτος τότε ἀφήσει ἐμὲ ἐλεύθερον, ὅταν πιὼν αἷμα πολλῶν ἡρώων ἀδίκων, μεθυσθῇ. Ὑμεῖς λοιπὸν οἱ πέντε Ἴνδραι, καταβάντες εἰς τὴν γῆν, καὶ ἐνσαρκωθέντες, ἐγείρατε πολέμους καὶ σφαγάς. Φαγήτω ἡ γῆ ταῖς ὑμῶν πέντε παρουσίαις, ὡς φοβερὰ λέαινα. Ἡ δὲ Νακασρὴ αὕτη, ἐνσαρκωθεῖσα καὶ γενομένη γυνὴ ὑμῶν τῶν πέντε, γενέσθω αἰτία πολέμου μεγάλου μεταξὺ πολλῶν πολυδυνάμων βασιλέων. Ὁ δὲ Βισνοῦς, ἐνσαρκωθεὶς ὑπὸ τὴν μορφὴν τοῦ Κρισνᾶ, βοηθήσει ὑμᾶς*» [1].

«Ὁ Πλανήτης Σελήνη, καὶ ἡ νύμφη Ῥοχινὴ, συζευχθέντες ἔσχον υἱὸν, καλούμενον Βούδαν (ὅς ἐστιν ὁ παρ' Ἕλλησιν Ἑρμῆς). Οὗτος ὑπῆρξεν ὁ πρῶτος βασιλεὺς τῶν Ἰνδῶν. Τοῦτον διεδέχθησαν κατ' εὐθεῖαν γραμμὴν 40 βασιλεῖς μέχρι τοῦ Βαράτα καὶ Πρατίσα. Τὸν τελευταῖον τοῦτον διεδέχθη ὁ Σαντανοῦς, ὅστις γήμας τὴν βασιλόπαιδα Σατεβατὴν, τὴν μητέρα τοῦ θείου, Βεάσα, καὶ μετὰ τόκον μείνασαν παρθένον, χάριτι τοῦ ὁσίου Παρασσάρα, ἔσχε δύο υἱούς, τὸν Σιτραγκάδαν καὶ τὸν Βισιτραβίργην. Ὁ πρῶτος φονευθεὶς ταχέως εἰς πόλεμον, ἄφησε τὸν θρόνον εἰς τὸν δεύτερον. Οὗτος ἔσχε δύο υἱούς, τὸν Πανδοῦν καὶ τὸν

---

1. Ἴδε Βαλαβαράτας Βιβ. Α'. κεφ. ς'. Δίστιχ. 1—32.

Δρυταράστραν [1]. Ὁ μὲν Πανδοῦς ἔσχε πέντε υἱούς, Ἰουδιστίραν (τὸν δίκαιον), Βήμαν (τὸν ἀνδρεῖον), Ἀρζούναν (τὸν ἄριστον τοξότην), Νακούλαν (τὸν ὡραῖον), καὶ Σαχαδέβαν (τὸν σοφὸν)[2]. Ὁ δὲ Δρυταράστρας ἔσχε τὸν πρωτότοκον Δουριοδάναν, καὶ ἐννενήκοντα ἐννέα ἄλλους υἱούς. Οἱ πρῶτοι ἐκαλοῦντο Πανδοΐδαι, οἱ δὲ δεύτεροι Καουραβαΐ (ἐκ τοῦ πάππου αὐτῶν Κουροῦ). Ἡ ἔρις, καὶ ὁ περὶ διαδοχῆς τῆς βασιλείας πόλεμος, καὶ αἱ συνέπειαι αὐτοῦ, μεταξὺ τῶν Πανδοϊδῶν καὶ Καουραβῶν, εἶναι τὸ ἱστορικὸν ὑποκείμενον τῆς Μαχαβαράτας, καὶ ἐπομένως τῆς Βαλαβαράτας.

« Ὁ ἀγαθὸς Βήσμας, ὁ θεῖος τῶν βασιλοπαίδων τούτων, ἐτρόντιζεν ἀνατρέφων καὶ τοὺς πέντε υἱοὺς τοῦ Πανδοῦ, καὶ τοὺς ἑκατὸν τοῦ Δρυταράστρα. Καθότι ὁ μὲν Πανδοῦς, ὡς ἐρρέθη, ἀπέθανεν· ὁ δὲ Δρυταράστρας ἦν ἐκ γενετῆς ἀόμματος. Ἀλλ' οἱ Πανδοΐδαι ὑπερεῖχον, εὐδοκιμοῦντες εἰς πᾶν εἶδος ἐπιστήμης καὶ πολεμικῆς ἀσκήσεως. Ἐκ τούτου ἐγεννήθη φθόνος καὶ μέγα μῖσος εἰς τὰς καρδίας τῶν Καουραβῶν κατὰ τῶν Πανδοϊδῶν, ἐξ αὐτῆς τῆς τρυφερᾶς αὐτῶν ἡλικίας.

---

1)

Σαντανοῦς καὶ Σατεβατὴ ἔσχον υἱοὺς 2.

1 Σιτραγκάδαν — οὗτος ἐτελεύτησεν ἄτεκνος

καὶ

2 Βισιτραβίργην — οὗτος ἔσχε υἱοὺς 2.

1 τὸν Πανδοῦν, ὅστις ἔσχε μετὰ τῆς Πριτᾶς, υἱοὺς 5 καὶ τὸν

1 Ἰουδισίραν
2 Βήμαν
3 Ἀρζούναν
4 Νακούλαν
5 Σαχαδέβαν

Πανδοΐδαι.

2 Δρυταράσραν, ὅστις ἔσχε μετὰ τῆς Γανδαρῆς υἱοὺς 100

1 Δουριοδάναν καὶ 99 ἄλλους υἱοὺς

Δρυτραράστραι ἢ Καουραβαΐ.

2. Οὗτοί εἰσιν οἱ ἐνανθρωπίσαντες Ἴνδραι· ὁ Ἴνδρας, ὁ ἐμφανισθεὶς ἐπὶ τῆς δυναστείας τοῦ Σβαϊαμβοῦ Μανοῦ, ἦλθε καὶ αὖθις ἐπὶ τῆς γῆς ἐν τῷ σώματι τοῦ Ἰουδιστίρα. Ὁ Ἴνδρας, ὁ ἐπὶ τῆς δυναστείας τοῦ Βαϊβασβάτα Μανοῦ, ἐμφανισθεὶς ὑπὸ τὴν μορφὴν τοῦ Νάρα, ἦλθε καὶ αὖθις ἐν τῷ σώματι τοῦ Ἀρζούνα. Ὁ Ἴνδρας, ὁ ἐπὶ τῆς δυναστείας τοῦ Σβαρακίσσα Μανοῦ ἦλθε καὶ αὖθις ἐν τῷ σώματι τοῦ Βήμα. Οἱ δύο Ἴνδραι, οἱ ἐπὶ τῆς δυναστείας τῶν δύο Μοναβῶν, ἦλθον καὶ αὖθις δίδυμοι υἱοὶ ἐν τῷ σώματι τοῦ Σαχαδέβα καὶ Νακούλα.

« Ὁ Βήσμας ἡτοίμασε πανήγυριν, πρὸς γύμνασιν καὶ ἐπιθεώρησιν τῶν παίδων· ἦν δὲ πρόεδρος ὁ τυφλὸς βασιλεὺς Δρυταράστρας. Οἱ Πανδοΐδαι, εὐδοκιμήσαντες εἰς τὸν ἐν ἅπασι τοῖς ὅπλοις ἀγῶνα, ἐφάνησαν καθ' ὅλα ὑπέρτεροι τῶν Καουραβῶν. Ἐκ τούτου ἐκορυφώθη τὸ μῖσος αὐτῶν κατὰ τῶν Πανδοϊδῶν. Ὅθεν ὁ Δουριοδάνας κατέπεισε τὸν ἀόμματον αὐτοῦ πατέρα, ἵνα δώσῃ τὸ μὲν βραβεῖον εἰς τὸν Καρνᾶν (ὃν ἠγάπα), τοὺς δὲ πέντε ἀδελφοὺς Πανδοΐδας ἐξορίσῃ εἰς τὴν πόλιν Βαραναβάτην.

« Μυρία τεχνάσματα μετεχειρίσθη ὁ Δουριοδάνας ἀκολούθως πρὸς ἀφανισμὸν τῶν Πανδοϊδῶν· ἀλλ' ἡ ἀρετὴ καὶ ὁ ἡρωϊσμὸς διέσωσεν αὐτοὺς ἀπὸ πάντα κίνδυνον· οὐχ' ἧττον δὲ καὶ ἀπὸ τὴν πυρκαϊὰν τῆς οἰκίας, ἥτις δολίως προητοιμάσθη παρὰ τῶν Καουραβῶν, πρὸς ἐμπρησμὸν αὐτῶν.

« Ἐνῷ δὲ οἱ πέντε ἥρωες εὑρίσκοντο πλανώμενοι εἰς τὸ δάσος, ἐπιστὰς ὤρθη ὁ ὅσιος Βεάσας, καὶ δοὺς αὐτοῖς εὐλογίαν, εἶπε· « *Πορεύθητε ταχέως εἰς τὴν πόλιν τοῦ βασιλέως Δρουπάδα, ἐπὶ τῷ γῆμαι τὴν κόρην αὐτοῦ, οὖσαν ἄθλον εὐτυχοῦς τοξεύματος.* » Ἐλθόντες δὲ εἰς τὴν ῥηθεῖσαν πόλιν, εὗρον χορείαν βασιλέων, ἐπιθυμούντων τὴν κόρην. Εἷς δὲ κῆρυξ, ἐλθὼν εἰς τὸ μέσον ἐφώνησεν· « *Ὁ ἐπιθυμῶν τυχεῖν τῆς θυγατρὸς τοῦ βασιλέως, στοχασάσθω τοῦ σκοποῦ ἐκείνου διὰ τούτου τοῦ τόξου.* » Ἀλλ' οὐδεὶς ἠδυνήθη ἐγεῖραι τὸ μέγα

Ἔλαβε δὲ σῶμα ἐπὶ γῆν ὁ Ναραϊάνας (ὅς ἐστιν ὁ Βισνοῦς) ὑπὸ τὴν ἐμφάνισιν τοῦ Κρισνᾶ, καὶ ἦλθεν εἰς βοήθειαν τοῦ φίλου αὐτοῦ Ἀρζούνα. Οὕτω ἐκπληροῦται ἡ ἐνσάρκωσις τῶν πέντε Ἰνδρῶν, καὶ ἡ ἐνανθρώπησις τοῦ Κρισνᾶ. (Ἴδε Βαλαβαρ. βιβλ. Α'. κεφ. ς'. Δίςιχ. 24—29). Vischnou (Βισνοῦς) se fait homme, λέγει ὁ Ἥρενος εἰς τὴν Ῥαμαϊάναν, sous la forme des quatre fils que donnent à Desharatha ses trois épouses. (Ῥαμαϊάνα I., Σ. 217.)

καὶ βαρὺ τόξον. Ὁ δὲ Ἀρζούνας, ἐγείρας τὸ τόξον, καὶ ῥίψας τὸ βέλος, ἔτυχε τοῦ σκοποῦ· ἡ δὲ Κρισνᾶ [1], προστάξαντος τοῦ Βασιλέως πατρὸς, ἔθετο τὸν στέφανον ἐπὶ τῆς κεφαλῆς τούτου τοῦ ἥρωος.

Ἡ Πριττὰ, μήτηρ τῶν πέντε ἡρώων, πορευομένων πρὸς τὸ στάδιον εἶπε· « *Κοινὴ ἔστω ἡ λεία ἅπασιν ἡμῶν τῶν πέν-* » *τε.* » Ὅθεν, ἵνα μὴ γένηται ψευδὴς ἡ πρόῤῥησις τῆς μητρὸς, λαβόντες τὸ ἆθλον, ἐνυμφεύθησαν καὶ οἱ πέντε ἀδελφοὶ τὴν Κρισνᾶν ἡ Δραουπαδή. αὕτη δέ ἐστιν ἡ ἐνσαρκωθεῖσα Νακασρή. Οὕτως ἐπληρώθη ἡ ῥῆσις τοῦ Σίβα, εἰπόντος· « *Αὕτη* » *ἡ Νακασρὴ, ἐνσαρκωθεῖσα καὶ γενομένη γυνὴ ὑμῶν τῶν* » *πέντε ἐνσαρκωθέντων Ἰνδρῶν, γενέσθω αἰτία πολέμου με-* » *γάλου μεταξὺ πολλῶν παντοδυνάμων βασιλέων* [2].

Ἡ νίκη τῶν Πανδοϊδῶν ἐξῆψεν ἔτι μᾶλλον τὸ μῖσος τοῦ τοῦ Δουριοδάνα, τῶν ἀδελφῶν αὐτοῦ, καὶ ὅλης τῆς χορείας τῶν βασιλέων κατ' αὐτῶν· ὥστε ἅπαντες παρεκίνουν τὸν ἀόμματον Δρυταράστραν, ἵνα ἀποκτείνῃ τοὺς Πανδοΐδας. Ἀλλ' οὗτος, πεισθεὶς εἰς τὴν συμβουλὴν τοῦ Βήσμα, παρεχώρησε τῷ πρωτοτόκῳ Ἰουδιστίρᾳ τὴν Κανδαβαπράσταν χώραν, εἰς ἣν κατῴκησαν οἱ πέντε ἀδελφοὶ, ἡ μήτηρ, καὶ ἡ γυνὴ αὐτῶν. Μετ' οὐ πολὺ, ἡ δικαιοσύνη τοῦ Ἰουδιστίρα, αἱ ἀρεταὶ, τὰ κατορθώματα καὶ αἱ νίκαι τῶν Πανδοϊδῶν ηὔξησαν τὸν πλοῦτον, τὴν δύναμιν καὶ τὴν δόξαν τοῦ βασιλέως, καὶ ὑπερευτύχησαν τὸν λαὸν, καὶ τὴν χώραν ἐκείνην ἅπασαν· ἡ δὲ Δραουπαδὴ ἐγέννησεν ἐκ τῶν πέντε αὐτῆς ἀνδρῶν πέντε υἱούς, ἕνα ἕκαστον ἐνὶ ἑκάστῳ ἔτει. Οὗτοί εἰσιν οἱ υἱοὶ τῶν υἱῶν τῆς Πριττᾶς,

---

1. Αὕτη καλεῖται καὶ Δραουπαδὴ, ὡς θυγάτηρ τοῦ Δρουπάδα.

2. Ἡ ἐν τῷ γάμῳ νίκη τῶν Πανδοϊδῶν ἐγένετο αἰτία ἔχθρας πάντων τῶν συναθροισθέντων καὶ ἀποτυχόντων βασιλέων, οἵτινες εὐχαρίστως συνεμάχησαν μετὰ τοῦ Δουριοδάνα κατὰ τῶν Πανδοϊδῶν.

ἡ πενταπρόσωπος γενεὰ τοῦ Πανδοῦ, οἷς ὁ μὲν ἱερεὺς Δαουμέας πᾶσαν ἁγιστείαν ἐτέλεσεν, ὁ δὲ Ἀρζούνας πᾶσαν μάθησιν ἐδίδαξεν.

Ὁ Ἰουδιστίρας, ὢν ἐν τῷ λαμπροτάτῳ αὐτοῦ Βουλευτηρίῳ, εἶδε τὸν ὅσιον Ναράδαν, καταβάντα ἐξ οὐρανοῦ. Ὁ δὲ ὅσιος, δοὺς αὐτῷ εὐλογίαν, ἐσυμβούλευσεν ἵνα τελέσῃ τὴν μεγάλην θυσίαν· ἦν δὲ ἡ θυσία αὕτη βασιλική, εἰς ἣν παριστάμενοι οἱ ὑποτεταγμένοι βασιλεῖς ἀναγνωρίζουσι τὸν θύοντα αὐτοκράτορα. Ἐπὶ τούτῳ ὁ βασιλεὺς ἔπεμψε τὸν Κρισνᾶν [1], τὸν Ἀρζούναν, καὶ τὸν Βήμαν, κατὰ τοῦ βασιλέως Ζαρασάνδα, τοῦ αἰχμαλωτίσαντος ὀγδοήκοντα ἐξ Ξατρὰς ὁμοφύλους βασιλεῖς, καὶ πέμψαντες αὐτοὺς εἰς τὰ ἴδια, διέταξαν ἵνα ἑτοιμάσῃ ἕκαστος τὰ εἰκότα διὰ τὴν βασιλικὴν θυσίαν. Μετὰ ταῦτα ὁ Ἀρζούνας, ἐκστρατεύσας κατὰ τοῦ βορείου μέρους τῆς Ἰνδίας, ὁ Βήμας κατὰ τοῦ ἀνατολικοῦ, ὁ Σαχαδέβας, κατὰ τοῦ μεσημβρινοῦ, καὶ ὁ Νακούλας κατὰ τοῦ δυτικοῦ, κατετρόπωσαν πολλοὺς ἡγεμόνας, ἀναγκάσαντες αὐτοὺς, ὅπως ἑτοιμάσωσι τὰ περὶ τῆς θυσίας τοῦ Ἰουδιστίρα. Συναθροισθέντων ἀκολούθως ὅλων τῶν βασιλέων καὶ τῶν θειοτέρων Βραχμάνων, ὁ θεοειδὴς Ἰουδιστίρας ὠνόμασε Πρόεδρον τῆς θυσίας τὸν Κρισνᾶν, ὅπερ

---

1. Ἐν τῇ ἱστορίᾳ τῆς ἀρχαιολογικῆς δυναστείας γίνεται ἁπλῶς μνεία περὶ Κρισνᾶ (Βιϐλ. πρώτῳ κεφ. Γ'. Διςίχ. 54), ἀλλ' ἄνευ τινὸς περιγραφῆς· αἴφνης δὲ Βιϐλ. Α'. κεφ. Ζ'. Διςίχ. 2, (περὶ τοῦ Ἔαρος), ὁ Ἀρζούνας καὶ ὁ Κρισνᾶς, λαϐόντες ἄδειαν παρὰ τοῦ Ἰουδιστίρα, ἐπορεύθησαν πρὸς διατριϐὴν εἰς τὸ ἄλσος Κανδάϐαν. Ἔκτοτε παρουσιάζεται εἰς τὴν σκηνὴν ὁ Κρισνᾶς· ὅθεν ἡ Βαλαϐαράτα δὲν ἀναφέρει ἐκτεταμένως πως περὶ τῆς γεννήσεως καὶ ἀνατροφῆς τοῦ Κρισνᾶ, ἀλλὰ παρίσταται ὡς θεὸς ἐνσαρκωθεὶς, ἔχων θεῖα ὅπλα· κατάγεται ἀπὸ τὴν γενεὰν τοῦ Ἰαδοῦ· εἶναι συγγενὴς ἀμφοτέρων τῶν Πανδοϊδῶν καὶ Καουραϐῶν, καὶ λίαν φίλος ἀγαπητὸς τοῦ Ἀρζούνα. Οὗτός ἐστιν ὁ Ναραϊάνας Βισνοῦς. Ἡ Βαγαϐάθα-Πουράνα εἶναι, κατὰ μέγα μέρος, ἡ ἱστορία τοῦ Κρισνᾶ.

ἐλύπησε μεγάλως τὸν Δουριοδάναν, τοὺς ἀδελφοὺς καὶ συμμάχους αὐτοῦ, οἵτινες ὤμοσαν τὸν παντελῆ ἀφανισμὸν τῶν Πανδοϊδῶν. Καὶ ἡ μὲν θυσία ἐτελέσθη μετὰ μεγίστης πομπῆς καὶ λαμπρότητος.

«Ὁ δὲ Δουριοδάνας, γινώσκων ὅτι ὁ Ἰουδιστίρας, ὢν δυνατὸς ἐν πολέμῳ, ἦν ἀδύνατος ἐν κυβείᾳ, ἡτοίμασε καὶ οὗτος κυβοπαιδιάν.

«*Καλέσω, εἶπεν, αὐτὸν καὶ παίξω, καὶ νικήσω, καὶ λήψομαι πᾶσαν τὴν περιουσίαν ἐκείνου· ὥστε ὁ φημιζόμενος δίκαιος, ὢν ἀνίκητος ἐν πολέμῳ, ἀπάτῃ καὶ δόλῳ νικηθήσεται.*» Ὁ μὲν Ἰουδιστίρας, προσκληθεὶς ἐν τῇ ῥηθείσῃ κυβοπαιδιᾷ, εἶπεν· «*Ἐγὼ μὲν εἰκάζω δόλον τινὰ ἐν ταύτῃ τῇ κυβείᾳ· ἀλλὰ καὶ οὕτω, δέχομαι τὴν πρόσκλησιν.*» Οὕτως ὁ Δουριοδάνας, παίζων μετὰ τοῦ Ἰουδιστίρα, ἐκέρδισε κατ' ὀλίγον πᾶσαν τὴν περιουσίαν αὐτοῦ. Εἰς δὲ τὴν τελευταίαν κυβοβολὴν ὁ Ἰουδιστίρας, ἀπολέσας τὴν βασιλείαν κατεδικάσθη (κατὰ τὴν συμφωνίαν) ἵν' ἀπέλθῃ δώδεκα ἔτη εἰς τὴν ἔρημον, μετὰ τῶν ἀδελφῶν, τῆς μητρὸς, καὶ τῆς γυναικὸς αὐτοῦ· ὥστε οἱ ἀήττητοι ἐν πολέμῳ Πανδοΐδαι, δόλῳ καὶ ἀπάτῃ νικηθέντες, καὶ δερματοφορέσαντες ἐξῆλθον τῆς Χαστιναπούρας, καὶ ἐπορεύθησαν εἰς τὴν ἔρημον, γενόμενοι ἄφαντοι. Ὁ μὲν Δουριοδάνας ἐν τῷ διαστήματι τούτῳ, θέλων ὅπως εἴη ἐν πολέμῳ ἀνίκητος, καὶ διαπαντὸς βασιλεὺς αὐτός τε καὶ οἱ ἀπόγονοι αὐτοῦ πάσης τῆς Ἰνδίας, συνήθροισε πλοῦτον, στρατεύματα, συμμάχους, καὶ δύναμιν πολλήν.

«Οἱ δὲ Πανδοΐδαι, διερχόμενοι τοὺς ἁγίους τόπους, καὶ καθαριζόμενοι, ἐδιδάσκοντο παρὰ τῶν ὁσίων Βραχμάνων τὴν γνῶσιν τῶν ὄντων, καὶ τὴν χρῆσιν τῶν θείων ὅπλων, δι' ὧν ἐνίκησαν μέχρι τοῦ ἑνδεκάτου ἔτους, οὐ μόνον τοὺς πολεμίους, ἀλλὰ Δαίμονας, Τιτᾶνας, Γίγαντας καί τινας τῶν θεῶν, ἐμφανιζομένους εἰς μορφὴν ἀλλοκότων τεράτων. Τὰ

ὅπλα ταῦτα ἔλαβεν ὁ Ἀρζούνας παρὰ τοῦ θεοῦ τοῦ πυρός [1].

« Ὁ Δουριοδάνας, καθορῶν τὸ τέλος τῆς δωδεκαετοῦς προθεσμίας, καὶ ὢν δυνατὸς, ἐπροσπάθει ἵνα ἀνακαλύψῃ τὴν διαμονὴν τῶν Πανδοϊδῶν· ὅθεν παραλαβὼν τὸν Καρνᾶν, καὶ πολλοὺς στρατιώτας, ἐπορεύθη εἰς τὸ δάσος Δβαΐαν, ἔνθα πραγματικῶς εὑρίσκοντο· ἀλλὰ προσβληθεὶς αἴφνης παρὰ τοῦ Γανδάρβα (φίλου τοῦ Ἀρζούνα) ἔλω ὑπ' αὐτοῦ· ὅπερ μαθόντες οἱ Πανδοΐδαι, καὶ μὴ καταδεχόμενοι ἵνα νικηθῇ ὁ ἐχθρὸς αὐτῶν παρ' ἄλλου, ἔδραμον εἰς βοήθειαν αὐτοῦ, ὃν καὶ ἠλευθέρωσαν. Καὶ οἱ μὲν περὶ τὸν Ἰουδιστίραν ἔμεινον εἰς τὸ δάσος· ὁ δὲ Δουριοδάνας, ἐπανακάμψας εἰς τὴν πρωτεύουσαν, καὶ λυπούμενος διὰ τὴν ἀποτυχίαν, διενοεῖτο τίνι τρόπῳ ἠδύνατο ἀπολέσαι κατὰ κράτος τοὺς Πανδοΐδας πρὸ τοῦ τέλους τῆς προθεσμίας. Ἐν τούτῳ τῷ πονηρῷ λογισμῷ εὑρισκόμενος, εἶδεν ἐμφανισθέντας τοὺς Σουδραδανάβας (εἶδος κακοποιῶν Δαιμόνων)· οὗτοι ὑπεσχέθησαν τὴν σύμπραξιν καὶ συμαχίαν αὐτῶν, εἰς τὸν κατὰ τῶν Πανδοϊδῶν ἐπαπειλούμενον προσεχῆ πόλεμον. Ὁ γηραιὸς Βήσμας, ἐννοήσας ἐκ τῆς προετοιμασίας τὴν ἐχθρικὴν διάθεσιν τοῦ Δουριοδάνα, ἐσυμβούλευσεν αὐτὸν, ἵνα διαλλαγῇ μετὰ τῶν Πανδοϊδῶν, παραχωρῶν εἰς αὐτοὺς τὸ ἐπιβάλλον μέρος τῆς βασιλείας. Ἀλλ' ὁ Δουριοδάνας, μισῶν αὐτοὺς, καὶ εἰς τὴν σύμπραξιν τῶν πονηρῶν δαιμόνων ἐλπίζων δὲν συγκατετέθη.

« Τῷ δὲ δωδεκάτῳ ἔτει οἱ Πανδοΐδαι, ἐνδυθέντες Βραχμανικὴν στολὴν κατέφυγον εἰς τὴν αὐλὴν τοῦ Βασιλέως

---

1. Ὁ Ἀχιλλεὺς ἔλαβεν ὅπλα θεῖα παρὰ τῆς Θέτιδος· ὁ Αἴας παρὰ τοῦ Ἡρακλέους, καὶ ἄλλοι ἥρωες, παρ' ἄλλων θεῶν. Ἡ μόνη διαφορὰ ἐνταῦθα εἶναι ἡ ὑπερφυσικὴ δύναμις τῶν Ἐπῳδῶν. Θεός τις ἢ ὅσιος, εὐνοῶν τινὰ ἥρωα, ἐκτὸς τῶν θείων ὅπλων, ἔδιδεν εἰς αὐτὸν καὶ μίαν ἐπῳδὴν, ἣν προφέρων ὁ ἥρως ἐλάμβανεν οὐρανόθεν πᾶσαν βοήθειαν.

Βιράτα. Τῷ δὲ δωδεκάτῳ μηνὶ, ὑποπτευθεὶς ὁ Δουριοδάνας, ὅτι οἱ Πανδοΐδαι εὑρίσκοντο παρὰ τῷ Βιράτᾳ, ἦλθε συλῆσαι τοὺς βόας τούτου τοῦ βασιλέως. Ὁ δὲ Βιράτας ἀγανακτήσας ἐξῆλθε κατ' αὐτοῦ· ἀλλὰ νικηθεὶς ἠχμαλωτίσθη. Ἀλλ' οἱ Πανδοΐδαι, τρέψαντες εἰς φυγὴν τοὺς περὶ τὸν Δουριοδάναν, ἠλευθέρωσαν τὸν Βιράταν, καὶ ἀναλαβόντες τὰς βοῦς, ἐκυρίευσαν τὰ σκεύη, καὶ αὐτὴν τὴν σκηνὴν τοῦ Δουριοδάνα.

«Ἐκ τοιούτων κατορθωμάτων ἀναγνωρισθέντων τῶν Πανδοϊδῶν, ὁ μὲν Βιράτας ἔδωκεν εἰς γάμον τὴν θυγατέρα αὐτοῦ τῷ Ἀβημαγιοῦ, υἱῷ τοῦ Ἀρζούνα. Ὁ δὲ Ἰουδιστίρας, καλέσας γενικὸν συμβούλιον, εἶπεν· « *Ἱκανοὶ μῆνες παρῆλθον ἀφ' ὅτου ἐτελείωσεν ἡ δωδεκαετὴς ἡμῶν ἐξορία. Ὁ δὲ Δουριοδάνας δὲν συγκατατίθεται ἵνα δώσῃ ἡμῖν τὸ ἐπιβάλλον μέρος τῆς βασιλείας. Ὑμεῖς φρονεῖτε, ἵνα ζητήσωμεν αὐτὸ δι' ὅπλων· ἐγὼ δὲ θεωρῶ τὸν κατὰ τῶν συγγενῶν πόλεμον ἀπρεπῆ. Ὁ πόλεμος εἶναι πάντοτε κακός· κάκιστος ὅμως καὶ ἀνόσιος, γινόμενος κατὰ συγγενῶν, καὶ τοὺς ἀδικούντων ἡμᾶς. Προτείνω λοιπὸν, ἀντὶ πολέμου εἰρήνην, ἀντὶ δὲ ὅπλων, διαλλαγήν. Δότω ὁ Δουριοδάνας εἰς ἡμᾶς τὰς πέντε κώμας, καὶ ἐχέτω αὐτὸς τὴν ὅλην βασιλείαν.* » Ὁ δὲ Σατεκὴς εἶπεν· « *Ἂν ὁ πόλεμος ἦναι δίκαιος κατὰ τῶν ἀδικούντων, εἶναι δικαιότατος κατὰ ἁρπάγων καὶ ἀδίκων συγγενῶν.*

« Ὁ δὲ Κρισνᾶς· « *Ἡ δικαιοσύνη ἄνευ ἀνδρείας, χήρα ἐστίν· ἡ δὲ ἀνδρεία, ἄνευ δικαιοσύνης, ἀλυσιτελής· αἱ δύο ὁμοῦ παράγουσι δόξαν, καὶ ἔπαινον. Ἡμεῖς ἔχοντες ἀνδρείαν, προτείνομεν τὴν δικαιοσύνην, ἤτοι διαλλαγήν· ἂν οἱ ἐναντίοι καταφρονήσωσιν αὐτὴν, τότε μεταχειριζόμεθα ἐκείνην.* »

« Ὁ δὲ Βήμας ἀναστὰς εἶπεν· « *Ἐγὼ θέλω πόλεμον, διότι θεωρῶ καὶ δίκαιον καὶ ἀναγκαῖον.* »

Ὁ δὲ Σαχαδέβας εἶπεν· « *Σὺ μὲν εἶσαι γενναῖος· ἀλλ' ὁ λόγος τοῦ Ἰουδιστίρα καὶ Κρισνᾶ, ἀθετούμενος, προξενεῖ ἀτιμίαν.* »

« Τότε ὁ ἥρως Ἀρζούνας ἐγερθεὶς εἶπεν· « *Ἡμεῖς ἑτοιμαζόμενοι εἰς πόλεμον, προτείνομεν διαλλαγήν. Ἡ δὲ ταχύτης ἐστὶ λίαν ἀναγκαία· στρατὸς εὐθέως συλλεχθήτω, καὶ ἄγγελος ἀμέσως σταλθήτω πρὸς τὸν Δουριοδάναν.* » Ἡ γνώμη ἐπηνέθη παρὰ πάντων· ὁ μὲν Πουροχύτας ἐστάλη ὡς πρέσβυς προτεῖναι εἰρήνην ἢ πόλεμον· ὁ δὲ Ἰουδιστίρας παρασκευαζόμενος εἰς πόλεμον, ἐκάλεσε τοὺς συμμάχους, οἵτινες συναθροισθέντες ἔφερεν ἕκαστος ἀνὰ μίαν Ἀξαουχινὴν [1], ὥστε συνεκροτήθη ἐν ὀλίγῳ χρόνῳ στρατόπεδον ἐξ ἑνὸς ἑκατομμυρίου καὶ πεντακοσίων τεσσαράκοντα πέντε χιλιάδων πολεμιστῶν.

« Ὁ δὲ Δουριοδάνας, προτιμῶν τὸν πόλεμον ἐκάλει τοὺς συμμάχους αὐτοῦ βασιλεῖς· οὗτοι, φέροντες ἕκαστος ἀνὰ μίαν Ἀξαουχινὴν, ἐσχημάτισαν ἓν στρατόπεδον, συγκείμενον ἐξ ἕνδεκα Ἀξαουχινῶν, ἤτοι δύο ἑκατομμυρίων καὶ τετρακοσίων χιλιάδων.

« Ἐν τούτοις, φθάσας ὁ Πουροχύτας εἶπε πρὸς τὸν Δουριοδάναν· « *Ὁ Ἰουδιστίρας, πληρώσας ἀκριβῶς τὰς ὁρισθείσας ἐν τῇ κυβείᾳ ἡμέρας, ζητεῖ τὸ ἐπιβάλλον μέρος τῆς βασιλείας.* » ἀλλ' ὁ τύραννος ἀπέρριψε πᾶσαν διαλλαγήν.

« Ὁ δὲ Ἰουδιστίρας, ἀποστρεφόμενος τὸν ἐμφύλιον πόλεμον, ἀπέστειλε πρὸς τὸν Δουριοδάναν τὸν Κρισνᾶν. Οὗτος ἐλθὼν ἐζήτει ὀλίγην γῆν, πρὸς ὕπαρξιν μόνον τῶν πέντε ἀδελφῶν· « *Πολλὴ τοῦ βασιλείου σου γῆ εἶναι ἄχρηστος, ἕνεκα τῶν ποταμῶν, τῶν δρυμῶν κτλ. Καὶ τοῦτο ἄρα τὸ ζητούμενον μέρος λογισθήτω ὡς ἐκεῖνο, καὶ ἀφεθήτω ὁ πόλεμος. Οἱ*

---

1. Ἀξαουχινὴ καλεῖται ἡ στρατιὰ ἡ συνισταμένη:

ὑπὸ πεζῶν	109,850.
ἱππέων.	65,610.
ἁρματηλατῶν	21,870.
ἐλεφαντηλατῶν.	21,870.
Τὸ ὅλον	219,200.

*Παν*δοϊδαι *ἐν τῇ κατὰ τὴν κυβείαν ἀποτυχίᾳ, οὔτε βίᾳ, οὔτε παρανομίᾳ, οὔτε παρακοῇ ἐχρήσαντο. Ὑμεῖς δὲ, οὔτε τότε εὐσπλαγχνίσθητε αὐτοὺς, οὔτε ἀκολούθως οἰκτείρατε· φαρῆτε τοὐλάχιστον ἤδη δίκαιοι, ἐνθυμούμενοι τὴν συμφωνίαν· ἄλλως καὶ αὐτὸς ἐγὼ ἐναντίος ὑμῶν ἔσομαι.*» Ἀλλ' ὁ Δουριοδάνας ἀπεκρίθη, ὅτι οὔτε σπιθαμὴν γῆς παραχωρεῖ εἰς τοιούτους μισητοὺς ἐχθρούς. Πρὸς αὐτὸν ἀπεκρίθη ὁ Κρισνᾶς· «*Ὁ Ἀρζούνας εἰς τὸ δάσος Δβαΐαν, καὶ ἐν τῇ ἁρπαγῇ τῶν βοῶν, νικητὴς ὢν, καὶ δυνάμενος ἀφαιρέσαι, καὶ στέμμα, καὶ ζωὴν, σὲ ἠλευθέρωσεν αἰχμαλωτισθέντα· σὺ δὲ, ὦ Δουριοδάνα, οὐδὲ τούτου μέμνησαι;*» Οἱ λόγοι οὗτοι ἐξῆψαν ἔτι μᾶλλον τὸν θυμὸν τῶν Καουραβῶν, ὥστε ἀπεφάσισαν τὸν θάνατον τοῦ Κρισνᾶ· ἀλλ' οὗτος ἐννοήσας τὴν ἐπιβουλὴν, ἀνεχώρησε κρυφίως· ὁ δὲ Δουριοδάνας ἐξεστράτευσε. Τούτων πάντων γνωσθέντων, ὁ Ἰουδιστίρας, ἀναλαβὼν πᾶσαν τὴν στρατιὰν, ἀντεστράτευσεν.

«Οἱ δύο στρατοὶ συναπηντήθησαν εἰς τὰς περὶ τὰς ὄχθας τῆς λίμνης Κουρουξέτρας πεδιάδας· ἐν ᾧ δὲ περιεμένετο ὁ ἦχος τῆς πολεμικῆς σάλπιγγος, ὁ Ἰουδιστίρας ἐπορεύθη εἰς προσκύνησιν τοῦ γηραιοῦ Βήσμα. Οὗτος ἐναγκαλισάμενος τὸν βασιλέα, εἶπε· «*Καλῶς ποιήσας ἐκινήθης εἰς πόλεμον, ἀδικούμενος. Ἐγὼ γνωρίζων τὸ δίκαιον, ἐσυμβούλευσα διαλλαγήν· ἀλλ' ὁ Δουριοδάνας ἐπροτίμησε τὸν πόλεμον· ὅθεν ἀναγκάζομαι ἤδη ἵνα σὲ πολεμήσω.*»

«Ἐν τούτοις ἦλθεν εἰς τὸ στρατόπεδον τῶν ἐχθρῶν καὶ ἡ Πριττὰ, ἡ μήτηρ τῶν Πανδοϊδῶν, ἰδεῖν θέλουσα τὸν Καρνᾶν, ὃν εὗρε θύοντα· ἐν δὲ τῷ τέλει τῆς εὐχῆς, πλησιάσασα εἰς τὸν ἥρωα, ἀνεκάλυψεν εἰς αὐτὸν τὸ μυστήριον τῆς γεννήσεώς του, ὅτι δηλ. εἶναι υἱὸς αὐτῆς, καὶ τοῦ Ἡλίου [1], καὶ ἀδελφὸς ὁμο-

1. Ἡ Πριττὰ μιγεῖσα τῷ Ἡλίῳ ἔτεκε τὸν Καρνᾶν, καὶ ἔμεινε πάλιν

μήτριος τῶν Πανδοϊδῶν. Ὁ ἥρως, ἀκούσας τοὺ λόγου τούτου, φρίκη συσχεθεὶς ἔπεσεν εἰς τοὺς πόδας τῆς μητρὸς αὐτοῦ. Ἡ δὲ Πριττὰ ἔβρεξε τὴν κεφαλὴν τοῦ Καρνᾶ δάκρυσι καὶ γάλακτι ἐκ τῶν μαστῶν αὐτῆς· «*Μακάριοι*, ἐφώνησεν ὁ ἥρως, *οἱ ἀδελφοί μου, οἱ θηλάσαντες τὸ γάλα τοῦτο· μακάριος καὶ ἐγὼ, ἀξιωθεὶς ταύτης τῆς χάριτος ἐν καιρῷ τῆς ἐξόδου.*» Ἡ Πριττὰ παρεκίνει τὸν Καρνᾶν, ὅπως ἐγκαταλιπὼν τὸν Δουριοδάναν συμμαχήσῃ μετὰ τῶν ἀδελφῶν αὐτοῦ. «*Γνωρίζω, ὅτι αἱ προρρήσεις, οἱ οἰωνοὶ, οἱ ὄνειροι, πᾶσαι αἱ προφητεῖαι καὶ τὰ σημεῖα βεβαιοῦσιν, ὅτι ὁ ἄδικος Δουριοδάρας νικηθήσεται, καὶ ἀπολέσει βασιλείαν καὶ ζωὴν, αὐτός τε καὶ ἡμεῖς πάντες. Ἀλλ' ἐγὼ, συζήσας μετὰ τοῦ Δουριοδάρα, καὶ ἔμπροσθεν πολλῶν ἡρώων ὀμόσας, ὅτι ὑπὲρ αὐτοῦ πολεμήσω, αἰσχύνομαι ἤδη ἐν καιρῷ τῆς ἐξόδου, καὶ ἐπικειμένου κινδύνου, ἐγκαταλεῖψαι αὐτὸν, γενόμενος ἐπίορκος καὶ λειποτάκτης. Ἀλλὰ καὶ τοῦτο μέγα μοί ἐστιν εὐτύχημα, ὅτι σὺ, ὦ μῆτερ, γινώσκεις καὶ τὴν πεποίθησιν καὶ τὴν σταθερὰν ἀπόφασίν μου, καὶ τοῦτο ἐν αὐτῇ τῇ στιγμῇ τῆς ἐξορμήσεως.*» Οὕτως ἡ Πριττὰ, καταφιλήσασα τὴν κεφαλὴν τοῦ ἥρωος, ἀνεχώρησεν [1].

Ἡ περὶ τὴν λίμνην Κουρουξέτραν μάχη διήρκεσε δέκα καὶ ὀκτὼ ἡμέρας.

Ὁ ἀρχιβουλευτὴς τοῦ ἀμμάτου Δρυταράστρα Σανζαΐας, λαβὼν ὅμμα θεῖον παρὰ τοῦ ὁσίου Βεάσα, καὶ ἐρχόμενος τῷ νοΐ εἰς τὸ στάδιον τῆς μάχης καὶ ἐπανερχόμενος, ἤρξατο διη-

---

παρθένος. Τοῦτον υἱοθέτησεν ὁ ἡνίοχος τοῦ Δρυταράστρα Σούτρας· ὅθεν ἀνατραφεὶς μετὰ τῶν υἱῶν τοῦ Δρυταράστρα, ὁ Καρνᾶς ὑπεσχέθη πρὸς τὸν Δουριοδάναν φιλίαν μέχρι θανάτου.

1. Ἀμίμητος εἶναι ὁ μεταξὺ μητρὸς καὶ υἱοῦ διάλογος οὗτος. (Ἴδε βιβλ. Ε'. κεφ. ε'.)

γεῖσθαι τὴν φθορὰν τῶν ἡρώων τῷ βασιλεῖ, ἔνδον ὄντι τοῦ οἴκου καὶ μεγαλαυχοῦντι· « Ἄκουσον, ὦ βασιλεῦ βασιλέων,

Ἡμέρα πρώτη.

« Μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου ἐδόθη ἐξ ἀμφοτέρων τῶν μερῶν τὸ σημεῖον τῆς μάχης. Ἡ σύγκρουσις ὑπῆρξε φονικωτάτη μεταξὺ πεζῶν πρὸς πεζοὺς, ἱππέων πρὸς ἱππεῖς, καὶ ἁρματηλατῶν καὶ ἐλεφαντηλατῶν, πρὸς ἁρματηλάτας καὶ ἐλεφαντηλάτας· ὁ δὲ Ἀβημανιοῦς, ὁ τοῦ Ἀρζούνα υἱὸς, καὶ ὁ βασιλεὺς τῆς Κεκαΐας, προχωρήσαντες εἰς τὰς τάξεις τῶν ἐχθρῶν, περιεκυκλώθησαν ὑπὸ δύο ἐνδόξων πολεμιστῶν, τοῦ Βριχατβάλα, καὶ τοῦ Κριπᾶ· ὑπερίσχυσαν μὲν ἐπὶ τέλους οἱ Πανδοΐδαι, ἀνῃρέθησαν δὲ πολλοὶ ἥρωες, ἐν οἷς καὶ ὁ Οὐταρᾶς, ὁ τοῦ βασιλέως Βιράτα υἱός.»

Ἡμέρα δευτέρα.

« Τὴν δευτέραν ἡμέραν, ἡλίου ἀνατείλαντος, τὰ δύο στρατεύματα παρετάχθησαν. Καὶ ὁ μὲν Βήσμας ἐπροξένει μεγίστην φθοράν· ὁ δὲ Ἀρζούνας, μὴ θέλων τὴν βλάβην τοῦ γηραιοῦ ἥρωος, ἐπροσπάθει ματαιῶσαι τὰ βέλη αὐτοῦ, ἐν ᾧ ὁ Βήμας καὶ οἱ λοιποὶ Πανδοΐδαι κατεπίεζον πανταχοῦ τὸν στρατὸν τοῦ Δουριοδάνα. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἔπεσον πολλοὶ ἥρωες, καὶ ὁ βασιλεὺς τῆς Κετουμᾶς, ἀναιρεθεὶς ὑπὸ τοῦ Βήμα.»

Ἡμέρα τρίτη.

« Τῇ ἐπαύριον, περὶ τὸν ὄρθον, στρατιῶται καὶ στρατηγοὶ, καθοπλισθέντες παρετάχθησαν. Ἡ συμπλοκὴ ὑπῆρξε τοσοῦτον μανιώδης, ὥστε οἱ πολεμοῦντες δὲν ᾐσθάνοντο τὰ ἴδια αὐτῶν τραύματα. Ὁ Βήμας, προσβαλὼν, ἐπλήγωσε τὸν Δουριοδάναν, καὶ ἐκακοποίησε τὸν στρατὸν αὐτοῦ μέχρι νυκτός.

Ἡμέρα τετάρτη.

« Αἱ ἀκτῖνες τοῦ ἀνατείλαντος ἡλίου ἐφαίνοντο ἐρυθραὶ ἐκ
« τοῦ πολλοῦ αἵματος, χυνομένου ἐξ ἀμφοτέρων τῶν μερῶν.
» Εἰς τὴν ἑωθινὴν ταύτην συμπλοκὴν ἔπεσεν ὁ βασιλεὺς τῆς
» Σαγεμινῆς. Ὁ Βήμας ἐπληγώθη ὑπὸ τοῦ Δουριοδάνα· ἀντε-
» πλήγωσε δ' αὐτὸν ὁ Βήμας, καὶ εἰς τὴν μανίαν αὐτοῦ ἐθα-
» νάτωσε δεκατέσσαρας βασιλεῖς καὶ ἡγεμόνας· μόλις ὁ ἥρως
» Βαγαδάτας, βοηθούσης τῆς νυκτὸς, ἀνεχαίτησε τὴν ὁρμὴν
» τοῦ ἥρωος τούτου, καὶ ἔσωσε τὸν στρατὸν τοῦ Δουριοδάνα.

Ἡμέρα πέμπτη.

« Ἐν καιρῷ δὲ τῆς νυκτὸς ὁ Δουριοδάνας ἠρώτησε τὸν Βή-
« σμαν· « *Ποῖοι ἔσονται οἱ νικηταί;* » — « *Οἱ πονηροὶ δαίμονες,*
« ἀπεκρίθη ὁ γηραιὸς, *διωχθέντες ὑπὸ τοῦ Βισνοῦ ἀπὸ τὸν*
« *οὐρανὸν, κατέφυγον εἰς τὴν γῆν, καὶ ἐνσαρκωθέντες κατεπίε-*
« *ζον ἅπαν τῶν ἀνθρώπων τὸ γένος. Ὁ ὕψιστος θεὸς Βραχ-*
« *μᾶς, καλέσας ἐν τῷ θείῳ αὐτοῦ νοῒ τὸν θεὸν Βισνοῦν, καὶ*
« *κατὰ διάνοιαν ὑμνήσας αὐτὸν, ὡς κύριον τοῦ παντὸς, εἶπεν·*
« Οἱ ἀναιρεθέντες ὑπὸ σοῦ δαίμονες εἰς ἄνεσιν τοῦ οὐρανοῦ, ἐνσαρ-
« κωθέντες ταράττουσι τὴν γῆν. Ἐνανθρώπησον σεαυτὸν, καὶ
« ἀπάλλαξον καὶ αὐτὴν τούτου τοῦ δεινοῦ. » *Ὁ Βισνοῦς λοιπὸν*
« (ἡ γενικὴ ψυχὴ), *καὶ ὁ φίλος αὐτοῦ Νάρας* (ἡ μερικὴ, ἡ ἐν
« πᾶσι τοῖς ἐμψύχοις), *ἐνανθρωπήσαντες ἐνεφανίσθησαν ἐπὶ*
« *τῆς γῆς· ὁ μὲν Βισνοῦς ὑπὸ τὴν μορφὴν τοῦ Κρισνᾶ· ὁ δὲ*
« *Νάρας, ὑπὸ τὴν τοῦ Ἀρζούνα. Βοηθούμενος λοιπὸν ὁ Ἰου-*
« *διστίρας παρ' αὐτῶν, νικήσει ἡμᾶς ἐν τούτῳ τῷ πολέμῳ.* »

« Ἀλλ' ὁ κακόνους Δουριοδάνας, μισῶν τοὺς Πανδοΐδας, καὶ
» ἐλπίζων εἰς τὴν σύμπραξιν τῶν πονηρῶν δαιμόνων, παρε-
» τάχθη εἰς μάχην μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου. Ὁ Βήσμας
» ἀφ' ἑνὸς, καὶ ὁ Βήμας ἀφ' ἑτέρου ἐπροξένουν εἰς ἑκάτερον τὸν
» στρατὸν μεγίστην βλάβην. Ὁ Βουρισραβᾶς ἐθανάτωσε τοὺς

» δέκα υἱοὺς τοῦ Σατεκῆ. Ὁ Ἀρζούνας, ἀγανακτήσας ἐπὶ τῷ
» θανάτῳ αὐτῶν, ἐπέστη ὡς πῦρ δεινόν. Τὰ βέλη αὐτοῦ ἔπι-
» πτον ὡς κεραυνοὶ ἐκ νέφους, βροντῶντος ἐπὶ τὰς κορυφὰς τῶν
» ὀρέων. Δισμύριοι καὶ πεντακισχίλιοι ἀνῃρέθησαν ὑπ' αὐτοῦ·
» ἡ δὲ αἱματοχυσία ὑπῆρξε τοσαύτη, ὥστε περὶ τὴν δύσιν
» τοῦ ἡλίου οἱ ἥρωες ἀναχωροῦντες, ἐπροχώρουν μετὰ δυσκολίας,
» ἕνεκα τοῦ λύθρου τοῦ αἵματος.

Ἡμέρα ἕκτη.

« Περὶ δὲ τὴν ἕω, καθοπλισθέντες οἱ ἥρωες ἐπολέμουν πλείονι
» θυμῷ. Οἱ μὲν περὶ τὸν Δρουπάδαν καὶ Βήμαν πολεμισταὶ
» ἐποίουν μεγίστην φθορὰν εἰς τὸ στατόπεδον τῶν ἐχθρῶν· ὁ
» δὲ Δουριοδάνας, θυμωθεὶς, ὥρμησε μετὰ τῶν ἀδελφῶν αὐτοῦ
» κατὰ τοῦ Βήμα. Ἀλλ' ὁ Βήμας, συνθλάσας τὸ ἅρμα τοῦ
» Δουριοδάνα, ἐπροσπάθει ἵνα φονεύσῃ αὐτόν· πλὴν ἐσώθη ὑπὸ
» τοῦ γηραιοῦ Βήσμα.»

Ἡμέρα ἑβδόμη.

« Τῇ ἐπαύριον, μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου, συνεκροτήθη
» μάχη μεταξὺ τοῦ Βήσμα καὶ Ἀρζούνα, τοῦ Δρόνα καὶ τοῦ
» Βιράτα. Ὁ Δρόνας ἐφόνευσε τὸν υἱὸν τοῦ Βιράτα Σάγχαν· ὁ
» δὲ Σατεκὴς ἐνίκησε διὰ τοῦ θείου αὐτοῦ ὅπλου τὸν δαίμονα
» Αλαμβοῦσαν, ἔχοντα ὅρος ἀνθ' ὅπλου. Ὁ Τιτὰν Ἰραβὰν,
» ὁ τοῦ Ἀρζούνα υἱὸς, ἐνίκησε τοὺς δύο βασιλεῖς τῆς Ἀβαν-
» τῆς. Καὶ ὁ μὲν βασιλεὺς τῆς Μάδρας, συντρίψας τὸ ἅρμα
» τοῦ Νακούλα, μόλις διεσώθη αὐτὸς ὁ νικητὴς, νικηθεὶς παρὰ
» τοῦ Σαχαδέβα. Ὁ δὲ Ἰουδιστίρας, νικήσας τὸν Σαταϊούσσαν
» ἐσκόρπισε τὸν στρατὸν τοῦ Δουριοδάνα· ἐπελθούσης δὲ τῆς
» νυκτὸς διεχωρίσθησαν οἱ μαχόμενοι.»

Ἡμέρα ὀγδόη.

« Μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου οἱ δύο στρατοὶ παρετάχθη-

» σαν. Εἰς τὴν πρώτην ὁρμὴν τοῦ Βήσμα, ἡ στρατιὰ τῶν
» Πανδοϊδῶν ἀπέστρεψέ πως τὸ πρόσωπον· ὁ δὲ Βήμας, ὁρμή-
» σας, ἐπληγώθη μὲν καὶ αὐτός, ἐθανάτωσε δὲ τὸν ἡνίοχον τοῦ
» Βήσμα. Οἱ ἵπποι ἀφηνιάσαντες, ἔσυρον τὸν γηραιὸν ἥρωα
» ἐκτὸς τοῦ πεδίου τῆς μάχης. Ἐν ταύτῃ τῇ συμπλοκῇ ὁ
» Βήμας ἐφόνευσεν ὀκτὼ ἀδελφοὺς τοῦ Δουριοδάνα, καὶ κατέ-
» κοψε μετὰ τοῦ Ἀρζούνα, καὶ τοῦ Ἰραβᾶνος, τοῦ βασιλέως
» τῶν ὄφεων, τὸ ἐχθρικὸν ἱππικόν. Ἀλλ' ὁ Δουριοδάνας, ἰδὼν
» τὸν κίνδυνον, ἔπεμψε κατ' αὐτῶν τὸν δαίμονα Ἀλαμβοῦσαν,
» ἔχοντα πολλοὺς δαίμονας, ἀναβάτας ἵππων μαγικῶν. Ἐν-
» ταῦθα συγκροτεῖται παράδοξος μάχη μεταξὺ ὄφεων καὶ δαι-
» μόνων. Ὁ Ἰραβὰν συνέθλασε διὰ τοῦ ξίφους τὸ βέλος τοῦ
» πρωτοστάτου τῶν δαιμόνων· ἀλλ' οὗτος, φοβερὰν ποιήσας
» τὴν ἑαυτοῦ μορφὴν, κατεσπάραξε καὶ αὐτὸν καὶ τοὺς ἀντι-
» πάλους ὄφεις, μηδενίζων τὸ ἐκχεόμενον φαρμάκιον. Τότε
» ὁ μὲν δαίμων Γατοτκάσσας ὥρμησε μετὰ πολυπληθοῦς
» στρατιᾶς δαιμόνων, καὶ γενομένης νέας δαιμονομαχίας ἐνί-
» κησε τὴν στρατιὰν τῶν δαιμόνων, πολεμούντων ὑπὲρ τοῦ
» Δοριοδάνα. Ὁ δὲ Ἀρζούνας καὶ Βήμας ἀνεῖλον, μέχρι τῆς
» δύσεως τοῦ ἡλίου, ἐννέα ἀδελφοὺς τοῦ Δουριοδάνα, καὶ κα-
» τέστρεψαν τοὺς περὶ αὐτὸν πολεμιστάς.»

Ἡμέρα ἐννάτη.

«Ὁ Βήμας καὶ ὁ Ἰουδιστίρας, τάξαντες τὸ πρωὶ τὸν στρα-
» τὸν αὐτοῦ ἕκαστος, ἤρχισαν τὴν μάχην. Μεγίστη ὑπῆρξεν ἡ
» σφαγὴ ἑκατέρωθεν. Ὁ στρατὸς τοῦ Δουριοδάνα ἐφέρετο τῇ
» δὲ κἀκεῖσε ἐκ τῆς ἐπιφορᾶς τῶν βελῶν τοῦ Ἀβημανιοῦ. Ἀν-
» τέστη δὲ κατ' αὐτοῦ ὁ Τιτὰν Ἀλαμβούσας, πεμφθεὶς παρὰ
» τοῦ Δουριοδάνα. Οὗτος, ῥίψας τὸ μαγικὸν βέλος, ἐποίησε
» μέγα σκότος· οἱ δὲ ὑπ' αὐτὸν δαίμονες ἐτάραττον τὴν στρα-
» τιὰν τῶν Πανδοϊδῶν. Τότε ὁ Ἀβημανιοῦς ἔῤῥιψε τὸ ἡλιακὸν

» αὐτοῦ βέλος, καὶ διεσκέδασε τὸ σκότος· ὁ δὲ Ἀρζούνας καὶ » ὁ Βήμας, δραμόντες ἐνεποίουν μεγίστην φθορὰν μέχρι τῆς » δύσεως τοῦ ἡλίου.»

Ἡμέρα δεκάτη.

«Περὶ δὲ τὸ λυκόφως, παραταχθέντες οἱ ἥρωες ἤρχισαν τὴν » μάχην. Μετ' ὀλίγον τὸ στράτευμα τῶν Καουραβῶν, κατα- » πιεζόμενον ὑπὸ τῶν περὶ τὸν Σικανδὴν καὶ Ἀρζούναν, ἔστρε- » ψε τὰ νῶτα. Ὁ Βήσμας ἐπολέμει μὲν γενναίως· τρωθεὶς δὲ » θανατηφόρως ὑπὸ τοῦ Σικανδῆ, ἀπεσύρθη ἐκ τοῦ πεδίου τῆς » μάχης. Τότε φόβος, καὶ λύπη κατέσχεν ἀμφότερα τὰ στρα- » τόπεδα, ἐπὶ τῷ τραύματι τοιούτου ἥρωος.»

Ἡμέρα ἑνδεκάτη.

«Τῇ ἐπαύριον ὁ Δουριοδάνας, χειροτονήσας ἀρχιστράτηγον » τὸν Δρόναν, εἶπεν αὐτῷ· «*Κράτησον ζῶντα τὸν Ἰουδιστί-* » *ραν, καὶ ἐγχείρισον τοῦτον ἐμοί.*» Περὶ δὲ τὴν ἕω παρε- » τάχθησαν οἱ δύο στρατοί, ἡγουμένων τοῦ Δρόνα μὲν ἀφ' ἑνός, τοῦ δ' Ἀβημανιοῦ ἀφ' ἑτέρου. Τὰ συνεχῆ καὶ ἀλλεπάλληλα βέλη, » ἀφιέμενα ἑκατέροθεν, ἔβλαπτον ἑκάτερον τὸν στρατόν· ὁ μὲν » Δρόνας, ἐπιθυμῶν συλλαβεῖν τὸν Ἰουδιστίραν, ἔκτεινε τρεῖς » περὶ αὐτὸν βασιλεῖς· ἀλλ' ὁ Ἀρζούνας, ἀντιστὰς ἔτρεψε τοὺς » πολεμίους, ποιήσας μεγίστην φθορὰν μέχρι δύσεως ἡλίου.»

Ἡμέρα δωδεκάτη.

«Τῇ δὲ ἐπαύριον ὁ βασιλεὺς τῆς Τριγάρτας, θέλων ἵνα » εὐκολύνῃ τὴν σύλληψιν τοῦ Ἰουδιστίρα, ἐπροκάλεσε τὸν Ἀρ- » ζούναν εἰς πόλεμον. Ὁ δὲ Ἀρζούνας, θεὶς τὸν ἀνδρεῖον βα- » σιλέα Σατεζίταν πλησίον τοῦ Ἰουδιστίρα, καὶ ἄλλους ἡγε- » μόνας, ἐπορεύθη ἐναντίον τοῦ Σουσσάρμα. Συμπλοκῆς δὲ » μανιώδους γενομένης, ἐκαλύφθη ἐν ὀλίγῳ χρόνῳ τὸ πεδίον » ἡρωϊκῶν πτωμάτων. Ἐν τούτοις ὁ Δρόνας, ὁρμήσας κατὰ

» τῶν περὶ τὸν Ἰουδιστίραν πολεμιστῶν, τὸν μὲν Σατεζίταν
» ἐθανάτωσεν· ἀνεῖλε δὲ τέσσαρας ἄλλους περὶ τὸν Ἰουδιστίραν
» βασιλεῖς σὺν τοῖς στρατοῖς αὐτῶν. Ὁ Βήμας μόλις ἡδυ-
» νήθη μετὰ τῶν περὶ αὐτὸν ἡρώων ἐμποδίσαι κατὰ μικρὸν τὴν
» ὁρμὴν τοῦ Δρόνα. Ἀλλ' ὁ Ἀρζούνας, νικήσας τοὺς περὶ τὸν
» βασιλέα Τριγάρταν, ἐπανῆλθε ταχέως, δίκην ἀνέμου, πρὸς
» βοήθειαν τῶν ἀδελφῶν. Καθ' ὁδὸν ἀπήντησε τὸν τρομερὸν
» ἐλέφαντα Σουπρατίκαν, ἀγόμενον, ὡς ὄρος, ὑπὸ τοῦ βασιλέως
» Βαγαδάτα, ὅστις ἔῤῥιπτε βέλη ἀναρίθμητα κατὰ τοῦ Ἀρ-
» ζούνα, καὶ τέλος τὸ θεῖον ὅπλον, ὅπερ ἐδέξατο ἐπὶ τοῦ στή-
» θους ὁ θεὸς Κρισνᾶς· ἀλλ' ὁ Ἀρζούνας, καταβαλὼν τόν τε
» τερατώδη ἐλέφαντα, καὶ τὸν Βαγαδάταν, καὶ τὸν βασιλέα
» τῆς Καμαρούπας, καὶ τοὺς ἀνδρείους πολεμιστὰς Βρισσάκαν
» καὶ Ἀσάλαν, καὶ νικήσας τὸν βασιλέα τῆς Γανδάρας, ἐλευ-
» θέρωσε τὸν καταπιεζόμενον Ἰουδιστίραν, ἀφοῦ ἀνεῖλε τοὺς τέσ-
» σαρας νεωτέρους ἀδελφοὺς τοῦ Καρνᾶ, καὶ πλῆθος ἀνδρείων
» πολεμιστῶν. Συγχρόνως ὁ Βήμας ἀνέστρεψε πᾶσαν τὴν στρα-
» τιὰν τῶν πολεμίων, διαῤῥηγνύων τὰ ἱππικὰ αὐτῶν τάγματα,
» ὡς μαινόμενος ἐλέφας. Οὕτω, τρέψαντες πανταχοῦ εἰς φυ-
» γὴν τοὺς Καυραβᾶς, ἐπαύσαντο πολεμοῦντες μετὰ τὴν δύ-
» σιν τοῦ ἡλίου.»

Ἡμέρα δεκάτη τριτη.

«Ἡμέρας δὲ διαλαμψάσης, ὁ μὲν Δρόνας, ἐπιθυμῶν συλλα-
» βεῖν τὸν Ἰουδιστίραν, ἔταξεν εἰς σχῆμα τροχοῦ τὸν στρατὸν
» αὐτοῦ. Ὁ δὲ Ἰουδιστίρας ἔδωκε τὴν στρατηγίαν τῆς ἡμέρας
» ἐκείνης εἰς τὸν υἱὸν τοῦ Ἀρζούνα Ἀβημανιοῦν. Οὗτος φιλοτι-
» μηθεὶς, ὑπεσχέθη διατεμεῖν τὴν φάλαγγα τῶν ἐχθρῶν.
» Ὅθεν λαβὼν τοὺς περὶ αὐτὸν ἥρωας, ἐπέπεσεν ἐπὶ τοὺς πο-
» λεμίους, ὡς κεραυνὸς, καὶ διασπάσας τὴν φάλαγγα, περιήρ-
» χετο ταράττων πᾶσαν τὴν στρατιάν· πληγώσας δὲ τὸν Σα-

» λέαν καὶ τὸν Δουριοδάναν, ἀνεῖλε τοὺς βασιλεῖς Βασαντὴν, » καὶ Λαξμάνα, τὸν τοῦ Δουριοδάνα υἱόν. Δραμόντες δὲ ὁ » Δρόνας καὶ ὁ Καρνᾶς μετὰ πολλῶν ἐκλεκτῶν πολεμι- » στῶν κατὰ τοῦ ἥρωος, τὸν μὲν ἡνίοχον τοῦ Ἀβημανιοῦ » ἐθανάτωσαν· τὸ δὲ ἅρμα αὐτοῦ συνέθλασαν. Τότε ἤρχισεν » ἡ ξιφομαχία μεταξὺ αὐτῶν. Δέκα βασιλεῖς ἐθανατώθησαν » ἐνταῦθα. Ὁ δὲ ἡρωϊκὸς Νεανίας, πληγωθεὶς θανατηφόρως » παρὰ τοῦ Δουσσασάνα ἔπεσε, μυρίας ἔχων πληγὰς, εἷς » κατὰ πολλῶν λαμπρῶς ἀνδραγαθήσας, καὶ ἡμίθεος γενόμε- » νος. Μεγάλως ἐλυπήθη ὁ Ἀρζούνας ἕνεκα τοῦ θανάτου τοῦ » υἱοῦ αὐτοῦ. Μαθὼν δὲ, ὅτι οἱ πολεμισταὶ ἐξώρμησαν κατὰ » τοῦ Ἀβημανιοῦ μετὰ τοῦ Ζαϊατράτα, ὤμοσε τὸν θάνατον » αὐτοῦ· (ἦν δὲ οὗτος γαμβρὸς τοῦ Δρυταράστρα.)»

Ἡμέρα δεκάτη τετάρτη.

« Τῇ ἐπαύριον τὸ πρωῒ ὁ Δρόνας, σχηματίσας πυκνὴν φά- » λαγγα, ἐτέθη αὐτὸς μὲν ἐπὶ τοῦ μετώπου· τὸν δὲ Ζαϊατρά- » ταν ἔταξεν εἰς τὸ κέντρον, βουλόμενος σῶσαι αὐτὸν ἀπὸ » τοῦ θυμοῦ τοῦ Ἀρζούνα, ὅστις εὑρίσκετο ἐπὶ κεφαλῆς τοῦ » στρατοῦ τοῦ Ἰουδιστίρα. Ἀνθώρμησαν λοιπὸν ἑκατέρωθεν οἱ » μάχιμοι. Ἀλλ' ὁ Ἀρζούνας παρεκδραμὼν τὸν Δρόναν, εἰσέδυ » εἰς τὴν φάλαγγα, μετὰ τῶν περὶ αὐτὸν ἡρώων. Ὁ Δρόνας, » διατάξας τὸν Δουριοδάναν ὅπως πολεμήσῃ τὸν Ἀρζούναν, » ἐπροσπάθει ἵνα ἐμποδίσῃ τὴν εἴσοδον τῆς φάλαγγος εἰς τὸν » Βήμαν καὶ λοιποὺς Πανδοΐδας. Μάχη πεισματώδης συνεκρο- » τήθη περὶ τὸν Ζαϊατράταν· πλῆθος ἡγεμόνων καὶ βασιλέων » ἔπιπτον ἐξ ἀμφοτέρων τῶν μερῶν. Πλησιάσας δὲ ὁ Ἀρζούνας » μέχρι τοῦ Ζαϊατράτα, φυλλαττομένου ὑπὸ τῶν βασιλέων τῆς » Καμβόζας, τῆς Ἀμβάστας, καὶ ἄλλων ἡγεμόνων, ἀνεῖλεν » αὐτοὺς ἐν πολέμῳ δεινῷ, σπεύδων πρὸς τὸν κυρίως σκοπόν. » Ἐνταῦθα φθάνει καὶ ὁ Δουριοδάνας μετὰ στίφους πολεμιστῶν.

» Φρικτὴ ὑπῆρξεν ἡ μάχη, γινομένη ἐπ' αὐτῶν τῶν πτωμάτων. » Ἐνταῦθα ἔπεσον ὑπὸ τῶν βελῶν τοῦ Ἀρζούνα οἱ βασιλεῖς τῆς » Ἀβαντῆς, καὶ αὐτὸς ὁ ἡνίοχος τοῦ Δουριοδάνα, ὅπερ ἠνάγ- » κασε τοῦτον ἵνα στρέψῃ τὰ νῶτα. Τότε εἰσέδυ καὶ ὁ Βήμας » εἰς τὴν πολεμίαν φάλαγγα, ἣν ὁ δεινὸς τοξότης Ἀρζούνας ἠνέῳ- » ξεν ἔνθεν καὶ ἔνθεν, καὶ ἔφθασε μέχρι τῶν προμάχων Μαχαρα- » τῶν, οἵτινες ἐφύλαττον τὸν Ζαϊατράταν. Θανατώσας δὲ τὸν » Βουρισραβᾶν, καὶ σκορπίσας τοὺς Μαχαράτας, ἀνεῖλεν ἐπὶ τέ- » λους τὸν Ζαϊατράταν, καὶ κόψας τὴν κεφαλὴν τοῦ ἥρωος τού- » του, ἔῤῥιψε πρὸ τῶν ποδῶν τοῦ πατρὸς αὐτοῦ. Πᾶσα δὲ ἡ » στρατιὰ τῶν Καουραβῶν ὑπέφερε μεγίστην φθορὰν μέχρι » νυκτός. »

Ἡμέρα δεκάτη πέμπτη.

« Ὁ θάνατος τοῦ Ζαϊατράτα ἐλύπησε καθ' ὑπερβολὴν τὸν » Δουριοδάναν. Ὁ δ' ἀρχιστράτηγος Δρόνας εἶπε πρὸς αὐτόν· « *Μὴ λυποῦ· οὐδ' ἐν νυκτὶ ἐκδύσομαι τὸν θώρακα, ἐὰν μὴ* » *ἀνέλω τοὺς σοὺς ἐχθροὺς ἐν πολέμῳ.* » Ὅθεν οἱ ἥρωες ἔλα- » βον ἐκ νέου τὰ ὅπλα, καὶ περ δύσαντος τοῦ ἡλίου, καὶ ἀνε- » νέωσαν τὸν πόλεμον μετὰ πλειοτέρας πεισμονῆς. Εἰς ταύτην » τὴν νυκτερινὴν συμπλοκὴν ἔπεσεν ὁ υἱὸς τοῦ Βήμα· τὴν δὲ » Ἀξαουχινὴν αὐτοῦ διασκεδάσας ὁ υἱὸς τοῦ Δρόνα, ἀπέκτει- » νεν ὀκτὼ υἱοὺς τοῦ Δρουπάδα. Ὁ Βήμας, θυμωθεὶς ἀνεῖλε » δέκα υἱοὺς τοῦ Δρυταράστρα, καὶ πλῆθος ἡρώων· μάχη δὲ » συνεκροτήθη μεταξὺ τοῦ Δρόνα καὶ τοῦ Ἰουδιστίρα, εἰς ἣν » ἡ στρατιὰ τῶν Καουραβῶν ἐφθείρετο ὑπὸ τῶν Πανδοϊδῶν. » Ἀλλ' ὁ Καρνᾶς, δραμὼν, καὶ ὑπερπηδήσας πᾶν ἐμπόδιον, » ἐφείσατο μὲν τοῦ νεωτέρου ἀδελφοῦ Νακούλα, διέτεμνε δὲ » τὴν στρατιὰν τῶν Πανδοϊδῶν. Τότε ἤρχισε καὶ ὁ πόλεμος » τῶν Δαιμόνων. Ὁ γίγας Γατοτκάσας (ὃς ἦν υἱὸς τοῦ Βήμα), » καὶ οἱ δαίμονες Ἀλαϊούδας καὶ Ἀλαμβάλας, μεγαλοβραχίο-

» ὄντες καὶ μεγαλόσωμοι, καὶ ἐκ φωνῶν ἀγρίων πληροῦντες τὸν
» οὐρανὸν, ἐμάχοντο, ὡς ὅρη, ῥίκνην καὶ τρόμον ἐμποιοῦντες·
» ἐπὶ τέλους ὅμως ἀνεῖλεν ὁ Γατοτκάσας τούτους τοὺς δαίμο-
» νας, καὶ ἐκ τῶν ὀπῶν τῶν αἰσθήσεων αὐτῶν, πιπτόντων κατὰ
» γῆς, ἐξῆλθον ἦχος, αἷμα, φλὸξ καὶ ἀήρ. Ὁρμήσας δὲ μετὰ
» ταῦτα ὁ δαίμων καὶ κατὰ τοῦ Καρνᾶ, ἔῤῥιπτε κατ' αὐτοῦ
» βέλη, ὡς στύλους. Ἀλλ' οὗτος, βοηθούμενος ὑπὸ τοῦ πατρὸς
» αὐτοῦ Ἡλίου, διέκοψε τὸν δίσκον τοῦ Γατοτκάσα, ὅστις ἀνα-
» βας εἰς τὸν αἰθέρα, ἔῤῥιπτεν ἐκεῖθεν φλόγας πυρὸς, δένδρα,
» λίθους καὶ ὄρη, καὶ ἐγείρας στίφη δαιμόνων κατὰ τῶν Καου-
» ραβῶν, ἐπέφερε μεγίστην φθορὰν καὶ ταραχὴν εἰς πᾶσαν τὴν
» στρατιὰν αὐτῶν. Εἰς τοιαύτην δεινὴν θέσιν ὁ Καρνᾶς, θέλων
» ἵνα σώσῃ τὸν στρατὸν, ἠναγκάσθη ῥίψαι κατὰ τοῦ φρικτοῦ
» τούτου δαίμονος τὴν δωρηθεῖσαν αὐτῷ θείαν λόγχην. Καὶ ἡ
» μὲν λόγχη, ὡς οὐρανία, διαπεράσασα τὴν καρδίαν τοῦ δαίμονος
» ἀνῆλθεν εἰς τὸν οὐρανόν· τὸ δὲ σῶμα τοῦ Γατοτκάσα, πε-
» σὸν ἐπὶ τοῦ στρατοῦ τῶν Καουραβῶν, ἀνεῖλε μίαν ὁλόκληρον
» Ἀξαουχινήν. Ἐσκίρτησαν οἱ Καουραβαὶ διὰ τὸν θάνατον
» τοιούτου ἐχθροῦ· ἐσκίρτησε δὲ καὶ ὁ Κρισνᾶς, εἰπὼν πρὸς τὸν
» Ἀρζούναν· «*Ἡ σωτηρία τῶν Καουραβῶν εἶναι ὁ Καρνᾶς·*
« *ἡ δὲ ζωὴ αὐτοῦ, ἡ θεία λόγχη· ἀλλ' ἤδη ἀπολεσθεῖσα,*
« *συναπωλέσθη μετ' αὐτῆς καὶ ἡ σωτηρία τοῦ Καρνᾶ καὶ*
« *τῶν Καουραβῶν.*» Τότε ἐπιφανεὶς καὶ ὁ θεῖος Βεάσας, εἶπε
» τῷ Ἰουδιστίρα· «*Πολέμει γενναίως· μετὰ τέσσαρας ἡμέ-*
« *ρας ἔσται σοι ἡ νίκη.*» Μικρὸν δὲ ἀναπαυθέντες οἱ ἥρωες,
» ἤρχισαν τὴν μάχην μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου. Ὁ Δρόνας,
» καταπολεμήσας τὸν Βιράταν, καὶ τὸν Δρουπάδαν, καὶ τὰς
» Ἀξαουχινὰς αὐτῶν ἀναστατώσας, ἐπροξένει μεγίστην φθοράν.
» Ὁ δὲ Κρισνᾶς εἶπεν· «*Οὗτός ἐστιν ἀνίκητος, ἐνόσῳ ὁπλο-*
« *φορεῖ.*» Τότε ὁ Βήμας, ἀνελὼν τὸν ἐλέφαντα καλούμενον
» Ἀσβατάμαν, ἐξεφώνησεν· «*Ἀνῃρέθη ὁ Ἀσβατάμας,*» (ὃς ἦν

» υἱὸς τοῦ Δρόνα, καὶ συνώνυμος τοῦ ἀναιρεθέντος ἐλέφαντος). » Ἡ φωνὴ αὕτη ἐτάραξε τοσοῦτον τὸν Δρόναν, ὑπολαβόντα ὅτι » ἀνηρέθη ὁ υἱός του, ὥστε ἔπεσον τὰ ὅπλα ἀπὸ τὰς χεῖράς » του, καὶ αὐτὸς πληγωθεὶς τότε ἐτελεύτησεν. Ὁ Ἀσβατάμας » ὅμως, μαθὼν τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ, ὥρμησε λυσ- » σώδης κατὰ τῶν Πανδοϊδῶν, ποιῶν μεγίστην φθοράν. Ἀλ- » λ' ἔτρεψαν αὐτὸν εἰς φυγὴν ὁ Κρισνᾶς, ὁ Ἀρζούνας, καὶ ὁ » Βήμας.»

Ἡμέρα δεκάτη ἕκτη.

« Ὁ Δουριοδάνας μετὰ τὸν θάνατον τοῦ Δρόνα ἐχειροτόνησεν » ἀρχιστράτηγον τὸν Καρνᾶν, τὸν κορυφαῖον τῶν ἡρώων τοῦ » στρατοῦ τῶν Καουραβῶν· κατ' αὐτοῦ ἀντέστη ὁ Ἀρζούνας, » ἀμφότεροι ἐπίσημοι ἥρωες. Δεινὴ συνεκροτήθη μάχη πρὸ τῆς » ἀνατολῆς τοῦ ἡλίου, εἰς ἣν ὁ Βήμας ἀνεῖλε τὸν βασιλέα τῆς » Κουλούτας. Ὁ Ἀρζούνας κατέστρεψε φάλαγγα ῥιψοκινδύνων » ἀνδρῶν, καὶ τοὺς διοικοῦντας αὐτὴν δύο βασιλεῖς. Καὶ ὁ μὲν » Νακούλας ἔκοψε τὴν κεφαλὴν τοῦ βασιλέως τῶν Καουραβῶν. » Ὁ δὲ μεγαλόφρων Καρνᾶς, ἀναχαιτήσας τὴν ὁρμὴν τῶν Παν- » δοϊδῶν, δὲν ἐθανάτωσε, δυνάμενος, τὸν Νακούλαν, ἐλθόντα » κατὰ συγκυρίαν εἰς τὸ πρόσω, ἐνθυμούμενος τὸν λόγον τῆς » μητρός.»

Ἡμέρα δεκάτη ἑβδόμη.

« Τῇ ἐπαύριον ὁ Καρνᾶς, ζητήσας καὶ λαβὼν ἡνίοχον τὸν » Σαλέαν, ὥρμησε κατὰ τῶν Πανδοϊδῶν· πληγώσας δὲ τὸν » Ἰουδιστίραν, καὶ πάντας τοὺς περὶ αὐτὸν διασκορπίσας, » ἐτάραξε πᾶσαν τὴν στρατιὰν τῶν ἐχθρῶν. Τοῦτο μαθόντες » ὁ Κρισνᾶς καὶ ὁ Ἀρζούνας, ἔδραμον κατὰ τοῦ Καρνᾶ. Δεινὴ » συνεκροτήθη ἐνταῦθα μάχη· ὁ ἦχος τῶν κόγχων τοῦ Κρισνᾶ » καὶ Σαλέα, ἡ κλαγγὴ τοσούτων ὅπλων, ἵππων, καὶ ἀναβα-

» τῶν, καὶ ὁ μέγας πάταγος τῶν ἁρμάτων καὶ τῶν πολεμι-
» στῶν, ἐφαίνετο ὡς τάραχος τεσσάρων ἀντικρουομένων μεγά-
» λων θαλασσῶν. Καὶ ὁ μὲν Βήμας, ὁρμήσας, ἀνεῖλε τὸν
» Δουτσασάναν, τὸν ὑβρίσαντα ἐν τῇ κυβείᾳ τὴν Δραουπαδήν·
» ὁ δὲ Ἀρζούνας, τὸν υἱὸν τοῦ Καρνᾶ Βρισσασέναν. Ἔδραμε
» δ' ἐπὶ τὸν Ἀρζούναν ὁ καρτερόθυμος Καρνᾶς, καὶ ἤρχισε
» φρικωδεστάτη μονομαχία μεταξὺ τῶν μεγαλητέρων ἡρώων
» τῶν δύο στρατῶν. Οἱ βασιλεῖς ἀμφοτέρων τῶν μερῶν, οἱ
» θεοὶ καὶ οἱ δαίμονες ἵσταντο θεωροῦντες τὴν μάχην. Πολλοὶ
» βασιλεῖς, ἡγεμόνες καὶ πλῆθος ἡρώων ἀπώλοντο ἐν τῷ φρι-
» κτῷ τούτῳ πολέμῳ. Ὁ μὲν Καρνᾶς πρῶτος ἔῤῥιψε κατὰ τοῦ
» Ἀρζούνα τὸ μέγα βέλος, ὅπερ ἀφείλετο τὸ ἄκρον τοῦ δια-
» δήματος αὐτοῦ, καὶ ἔκοψε τὴν χορδὴν τοῦ τόξου. Ὁ δὲ Ἀρ-
» ζούνας, ἐντείνας ἄλλο τόξον, ἔῤῥιψε τὸ βέλος καλούμενον
» *Ἀντζαλικά*, ὑφ' οὗ πληγωθεὶς θανατηφόρως ὁ Καρνᾶς κατὰ
» τὸν λαιμὸν, ἔπεσε νεκρός. Τότε ἡ στρατιὰ πᾶσα τῶν Καου-
» ραβῶν, τραπεῖσα εἰς φυγὴν, μόλις ἐσώθη ἀπὸ τὸ σκότος τῆς
» νυκτός.»

Ἡμέρα δεκάτη ὀγδόη.

« Ἐν τούτῳ τῷ καιρῷ, ἐλθὼν ὁ φρόνιμος Κριπᾶς, ἐσυμ-
» βούλευε τῷ Δουριοδάνᾳ διαλλαγήν. «*Εἶναι ἐχθρός μου, ἀπε-*
« *κρίθη ὁ τύραννος, ὅστις προτείνει διαλλαγὴν, καὶ οὐχὶ πό-*
» *λεμον ἀδιάλλακτον κατὰ τοιούτων ἐχθίστων ἐχθρῶν.*»
» Ταῦτα εἰπὼν, ἐχειροτόνησεν ἀρχιστράτηγον τὸν Σαλέαν.
» Κατ' αὐτοῦ ἀντέστη ὁ Ἰουδιστίρας. Ὁ δὲ Σαλέας, συλλέξας
» πᾶσαν τὴν στρατιὰν, ἔταξεν αὐτὴν εἰς σχῆμα τετραγώνου.
» Ὁ δὲ Ἰουδιστίρας διεμέρισε τὰ στρατεύματα αὐτοῦ εἰς τρία
» σώματα, δίκην τριγώνου. Ἀνατείλαντος δὲ τοῦ ἡλίου, ἤρξα-
» το ὁ πόλεμος, ἢ μᾶλλον εἰπεῖν ἡ σφαγή· καθότι ἐν βραχεῖ
» διαστήματι χρόνου ἡ γῆ πᾶσα τοῦ πολέμου ἐκαλύφθη πτω-

» μάτων, ἵππων, ἐλεφάντων καὶ ἡρώων. Ὁ μὲν Νακούλας ἀνεῖλε
» τοὺς τρεῖς υἱοὺς τοῦ Καρνᾶ, ὁ δὲ Σαλέας ἐπλήγωσε μὲν τὸν
» Βήμαν, πληγωθεὶς δὲ καὶ αὐτὸς θανατηφόρως ὑπὸ τοῦ Ἰου-
» διστίρα, ἔπεσε νεκρός. Τότε ὁ Δουριοδάνας, ἔχων μεθ' ἑαυ-
» τοῦ τοὺς γενναιοτέρους πολεμιστὰς, ἐφώρμησε κατα τῶν
» Πανδοϊδῶν, νικώντων πανταχοῦ. Ἡ ὥρα αὕτη ἐφαίνετο ὡς
» ἡ συντέλεια τοῦ αἰῶνος. Δεκατρεῖς υἱοί σου ἐφονεύθησαν· ὁ
» μὲν Ἀρζούνας ἀνεῖλε τὸν Σουσσαρμᾶνα, τὸν ἀδελφὸν καὶ τὸν
» υἱὸν αὐτοῦ, καὶ σκορπίσας τοὺς περὶ τὸν Δουριοδάναν ἀνδρειο-
» τέρους πολεμιστάς, κατέκοψε πᾶσαν τὴν στρατιὰν τῶν Καου-
» ραβῶν. Ὁ δὲ τύραννος Δουριοδάνας, ἀπολέσας φίλους, συγ-
» γενεῖς, συμμάχους, καὶ τὸν στρατὸν, μόλις ἐσώθη, κρυβεὶς ἐν
» τῇ λίμνῃ κεκμηκώς· ἀλλ' ἀνακαλυφθεὶς ὑπὸ τοῦ Βήμα, καὶ
» ἐλεγχόμενος ὑπὸ τῶν Πανδοϊδῶν, ὡς ἄνανδρος, ἀπεκρίθη ἐκ
» τοῦ ὕδατος θυμωθείς· «*Ἐγὼ ἅπαντας ὑμᾶς ἀποκτενῶ, πο-*
« *λεμῶν ἑνὶ ἑκάστῳ ἰδίως*· » Ὁ Ἰουδιστίρας, δεχθεὶς τὴν πρό-
» κλησιν τῆς μονομαχίας, ἀπεκρίθη· «*Ἔστω· νικήσας οὖν ἕνα*
« *μόνον ἐξ ἡμῶν τῷ ᾧ ἐκλέξῃς ὅπλῳ, βασίλευε μόνος σὺ*
« *τῆς γῆς.*» Τότε ὁ Δουριοδάνας, χαίρων ἐφώνησεν· «*Ὅστις βού-*
« *λεται πολεμῆσαι, ἀναστὰς πολεμείτω μοι διὰ τῆς κορύ-*
« *νης.*» Τοιαῦτα εἰπὼν, ἐξῆλθεν ἐκ τῆς λίμνης, ἔχων μόνον
» τὸν κορύνην· ἀλλ' ὁ δίκαιος Ἰουδιστίρας ἔδωκεν εἰς αὐτὸν
» θώρακα καὶ περικεφαλαίαν. Ὁ Βήμας ἐδέχθη τὴν διὰ κορύνης
» μονομαχίαν. Ἡ μάχη ἤρξατο μετ' ἀμοιβαίας μανίας, ἔμπρο-
» σθεν τῶν στρατῶν, καὶ αὐτῶν τῶν θεῶν, συναθροισθέντων ἐν
» ἀκαρεῖ ἐπὶ τῇ θέᾳ τοῦ ἰδικοῦ τούτου καὶ κρισίμου πολέμου. Μετὰ
» πολυχρόνιον καὶ ἐπιτηδείαν πάλην ὁ Βήμας ἐπλήγη σφοδρῶς
» κατὰ τὴν πλευράν· ἐγείρας δ' εὐθέως τὴν κορύνην, κατήνεγ-
» κεν αὐτὴν βίᾳ κατὰ τοῦ Δουριοδάνα· ἀλλ' οὗτος, ἀποφυγὼν
» τὴν φορὰν τῆς κορύνης, ἔπληξεν ἐκ δευτέρου τὸν Βήμαν κατὰ
» τὴν κορυφὴν, καὶ τὸ στῆθος. Ὁ δὲ Βήμας, καίτοι κλονισθείς,

» ἀντεπλήγωσε τὸν Δουριοδάναν· ἀλλ' οὗτος, συναθροίσας τὰς
» δυνάμεις αὐτοῦ, ἐπλήγωσεν ἐκ νέου τὸν Βήμαν κατὰ τὸν κρό-
» ταφον τοσοῦτον, ὥστε ἔμεινε μικρόν τι ἐμβρόντητος· ἀλλὰ
» συνελθὼν εὐθέως, ἦρε τὴν κορύνην, καὶ κατέαξε τὸν μηρὸν τοῦ
» Δουριοδάνα. Τότε ὁ Βήμας, θέσας τὸν πόδα ἐπὶ τῆς κεφα-
» λῆς τοῦ Δουριοδάνα, πεσόντος ἐκ τῆς συνθλάσεως τοῦ μηροῦ,
» καὶ μόλις ἀναπνέοντος, ἐζήτει κατασπαράξαι τὰς σάρκας αὐ-
» τοῦ, ἀναμιμνήσκων τῶν ὅσων ἐποίησε κακῶν. Πᾶσα μὲν ἡ
» στρατιὰ τῶν Πανδοϊδῶν ἐπευφήμησεν· ὁ δὲ Ἀσβατάμας, τε-
» θλιμμένος καὶ πνέων ἐκδίκησιν, ἀνεχώρησε μετά τινων λειψά-
» νων τῶν Καουραβῶν, σκυθρωπῶν καὶ ἀπηλπισμένων.

Βιβλ. Ι'., ὃ διαλαμβάνει τὴν Νυκτοφορίαν.

« Τὰ λείψανα τῶν Καουραβῶν, καὶ ἡ στρατιὰ τῶν Πανδοϊ-
» δῶν μετὰ τῶν ἀρχηγῶν, κεκμηκότες ἀνεπαύοντο· μόνος ὁ
» Ἀσβατάμας, πνέων ἐκδίκησιν διὰ τὸν θάνατον τοῦ ἰδίου πα-
» τρὸς καὶ τοσούτων φίλων, περιήρχετο τὸ δάσος, μελετῶν ἀπο-
» κτενεῖν τοὺς ἐχθροὺς κοιμωμένους. Ἀφεὶς δ' ὁ Ἀσβατάμας
» δύο ἐκ τῶν οἰκείων παρὰ τῇ εἰσόδῳ τῆς παραμβολῆς, ἔνθα
» ἀνεπαύοντο οἱ ἥρωες, καὶ εἰπὼν αὐτοῖς ἀναιρεῖν πάντα τὸν
» ἐξιόντα, αὐτὸς εἰσέδυ ἐξ ἄλλου μέρους, καὶ πλησιάσας ἔκτεινε
» πρῶτον τὸν Δρυστασιούμναν, ὕστερον τὸν Οὐττταμαουζάσαν,
» καὶ Ἰουδαμανιοῦν, καὶ τοὺς πέντε υἱοὺς τῆς Δραουπαδῆς·
» ἔτι δὲ τὸν Σικανδὴν καὶ τὸν Ζαναμεζαΐαν, καὶ πολλοὺς ἄλ-
» λους ἥρωας κοιμωμένους. Ὁ δὲ Κριπᾶς καὶ ὁ Κριταβάρμας,
» ἅψαντες πῦρ ἐντὸς τῆς εἰσόδου, ἀνήρουν τοὺς ἐξερχομένους ἐκ
» φόβου. Οὕτως οἱ τρεῖς οὗτοι ἐν μιᾷ νυκτὶ ἐπροξένησαν πλειο-
» τέραν φθορὰν ἡρώων εἰς τὸν στρατὸν τῶν Πανδοϊδῶν, παρ' ὅσην
» ὑπέφερον ἐν ὅλῳ τῷ διαστήματι τοῦ πολέμου. Περὶ δὲ τὸν
» ὄρθρον, ἀναχωρήσαντες οἱ δολοφόνοι, ἐπλησίασαν πρὸς τὸν
» Δουριοδάναν, αἷμα ἐκ στόματος αἱμοῦντα, καὶ εἶπον· « Ὦ βα-

« σιλεῦ, πάντες οἱ ἐχθροί σου ἀνῃρέθησαν ταύτῃ τῇ νυκτὶ,
« ἐκτὸς τῶν πέντε Πανδοϊδῶν, τοῦ Σατεκῆ, καὶ τοῦ Κρισνᾶ.»
» Ὁ Δουριοδάνας, ἀκούσας τοῦ λόγου τούτου, ἐφώνησε· « Νῦν
« ἐγὼ ἀφίημι τὸ πνεῦμα ἄσμενος! » καὶ ἐξέπνευσε.

« Ἐν τούτοις ὁ ἡνίοχος τοῦ Δρυσταδιούμνα, σωθεὶς ἐκ τύχης,
» ἀνήγγειλε τῷ Ἰουδιστίρᾳ τὴν νυκτοφονίαν. Οἱ Πανδοΐδαι ἰδόν-
» τες τὴν φθορὰν ἐδάκρυσαν· ἡ δὲ Δραουπαδὴ, μαθοῦσα τὸν θάνα-
» τον τῶν υἱῶν αὐτῆς, ἐλυποθύμησε· συνελθοῦσα ὅμως, εἶπεν εἰς
» τὸν Βήμαν· « Ἐὰν ἀνελὼν τὸν Ἀσβατάμαν, δείξῃς μοι τὸν ἐπὶ
« τῆς κεφαλῆς αὐτοῦ πολύτιμον λίθον, τότε ἐγὼ ζήσομαι, » καὶ
» ἐκάθησεν ἐπὶ γωνίας, σιτίων ἀπέχουσα. Οὕτως ὁ Βήμας ἐξώρ-
» μησε πάραυτα κατὰ τοῦ Ἀσβατάμα, ἡνίοχον ἔχων τὸν Νακούλαν·
» ὁ δὲ Κρισνᾶς, γινώσκων ὅτι ὁ Ἀσβατάμας εἶχεν οὐράνιον ὅπλον,
» καλούμενον *Βραχμασσίραν*, ὅπερ αὐτὸς αὐτῷ ἐδωρήσατο, καὶ
» θέλων ἵνα διαφυλάξῃ τὸν Βήμαν ἀπὸ τοιοῦτον κίνδυνον, ἀνα-
» βὰς ἐπὶ τὸ ἅρμα, ἤλαυνε κατόπιν αὐτοῦ. Φθάσαντες οἱ ἥρωες
» εἰς τὴν μονὴν τοῦ Βεάσα ἤρξαντο μάχεσθαι. Ὁ Ἀσβατάμας
» ἔῤῥιψε τὸ ὅπλον Βραχμασσίραν εἰς ὄλεθρον τῶν Πανδοϊδῶν· ὁ
» δὲ Ἀρζούνας τὸ θεῖον ὅπλον *Παραμάστρα*, εἰς κατάπαυσιν τῆς
» ἐνεργείας ἐκείνου. Ὁ θόρυβος καὶ ἡ φθορὰ τῶν ὅπλων τούτων
» ἀπεικόνιζον τὴν συντέλειαν τοῦ αἰῶνος. Οἱ περὶ τὸν Βεάσαν
» ὅσιοι, φοβηθέντες, ἠνάγκασαν τοὺς ἥρωας, ὅπως ἀνακαλέσῃ ἕκα-
» στος τὸ ἴδιον ὅπλον, διατάξαντες τὸν Ἀσβατάμαν, ἵνα παρα-
» δώσῃ τὴν ἐπὶ τῆς κορυφῆς πολύτιμον λίθον, ὡς λύτρον τῆς
» ζωῆς αὐτοῦ. Ὁ μὲν Βήμας, λαβὼν τὴν λίθον ἔδωκεν αὐτὴν
» τῇ Δραουπαδῇ· ἡ δὲ, τῷ Βασιλεῖ Ἰουδιστίρᾳ.

Βιϐ. ΙΑ'. Θρῆνος Δρυταράστρα καὶ τῶν γυναικῶν.

« Ἐν τούτοις ὁ Σανζαΐας, ἐπανελθὼν εἰς τὴν πρωτεύουσαν Χα-
» στιναπούραν, εἶπε πρὸς τὸν ἀόμματον Δρυταράστραν·

« Ὁ υἱός σου Δουριοδάρας, ὁ κύριος ἕνδεκα Ἀξαουχιτῶν,
« ἐτελεύτησεν. » Ἀκούσας τοῦ λόγου τούτου αὐτός τε καὶ
οἱ περιεστῶτες, λύπῃ καὶ φόβῳ κατασχεθέντες, ἔπεσον κα-
ταγῆς διακρυρροοῦντες ἐλεεινῶς· « Ποῦ ἡ πολλὴ στρατιά;
« ἔλεγεν ὁ δυστυχὴς Δρυταράστρας· ποῦ ἡ μεγίστη δύναμις;
« ποῦ οἱ ἀτρόμητοι ἥρωες Καρνᾶς, Δουριοδάρας, Δρόνας,
« Σαλέας, ποῦ οἱ ἑκατὸν υἱοί μου; πῶς οὐ διαῤῥήγνυται ἡ
« καρδία μου, ἐν ᾧ τὸ ἄχθος τοῦ θανάτου τῶν υἱῶν μου ἐπέ-
« πεσεν ὡς ὄρος μέγα ἐπ' ἐμέ! » Ὁ μὲν Σανζαΐας ἐπροσπάθει
παρηγορῆσαι τὸν βασιλέα, λέγων· « Οἱ υἱοί σου ἔτυχον θείας
« δόξης, δι' ἐνδόξου θανάτου. » Ὁ δὲ Βιδούρας, παραμυθῶν
ἔλεγεν· « Πόθεν ἦλθον οἱ υἱοί σου; ποῖ ἐπορεύθησαν; οὗτοι,
« ἀφέντες μορφὴν καὶ διαμονὴν ἐφήμερον, ἔλαβον ἄλλην
« ὑπέρλαμπρον καὶ ἄϋδιον· καὶ ἐκ γῆς μετέβησαν εἰς οὐρα-
« νὸν, ὅπερ ἐστὶ τὸ ἄκρον ἀγαθόν. Τίς δύναται εἰπεῖν· οὗ-
« τός ἐστιν υἱός μου, ὁ λαβών, καὶ ληψόμενος πολλὰς γεν-
« νήσεις καὶ παλιγγενεσίας, μετασωματώσεις καὶ μετεμψυ-
« χώσεις ἐν τῇ κυκλικῇ φορᾷ τοῦ κόσμου! Πρὸς δὲ τούτοις
« ὁ θάνατος τοῦ Δουριοδάρα ἦν προωρισμένος· καθ' ὅτι ἡ
« γῆ, βαρυνομένη ἀπὸ τὸ ἄχθος τῶν τυράννων, ἐπεκαλέσθη
« τὴν βοήθειαν τοῦ θεοῦ Βραχμᾶ, ὅστις εἶπεν αὐτῇ· « Ἄπιθι,
« ὦ γῆ· ὁ γὰρ υἱὸς τοῦ Δρυταράστρα ποιήσει τὸ ἐφετόν σοι
« ταχέως· οὗτος γὰρ, ὢν ἀπόῤῥοια τοῦ κακοῦ, καὶ ὑπὸ πολ-
« λῶν ἀνθρώπων, ἀπόῤῥοια ὄντων κακοποιῶν δαιμόνων βοη-
« θούμενος, αἴτιος θανάτου ἔσεται πολλῶν πολεμιστῶν παρὰ
« τῇ Κουρουξέτρᾳ λίμνῃ. »

Ἐν ταύτῃ δὲ τῇ ὥρᾳ, φθάσας καὶ ὁ βασιλεὺς Ἰουδιστίρας
μετὰ τῶν περὶ αὐτὸν, εἶπεν· « Ὦ πάτερ, ὁ ἐχθρὸς τῶν υἱῶν
« σου προσκυνεῖ σε. » Ὁ Δρυταράστρας, καλέσας πλησίον αὐτοῦ
τὸν Βήμαν, τὸν φονέα τοῦ υἱοῦ αὐτοῦ, ἐβουλήθη ἀνελεῖν ἐν τῇ
περιπτύξει· ἀλλ' ὁ Κρισνᾶς, εἰδὼς τὴν γνώμην, ἔθετο πλα-

στὸν ἀνδριάντα, ὃν καὶ συνέθλασεν. Ὁ δὲ Δρυταράστρας, νομίσας ὅτι ἀνεῖλε τὸν Βήμαν, καὶ μετανοήσας, ἔκλαιε πικρῶς· ἀλλ' ὁ Κρισνᾶς παρηγορῶν εἶπε· «*Μὴ ἄχθου, ὅτι ἠπατήθης ὑπ' ἐμοῦ.*» Ὁ Δρυταράστρας ἐχάρη, ἀγκαλισάμενος πάντας καὶ ἀφεὶς πᾶσαν μνησικακίαν· αὐτὸ τοῦτο ἐποίησε καὶ ἡ γυνὴ αὐτοῦ Γανδαρή· εἶτα ἦλθον εἰς τὴν Πριττάν. Ἡ δὲ Γανδαρὴ, λαβοῦσα ἐν ἀγκάλαις τὴν Δραουπαδὴν, λυπουμένην ἐπὶ τοῖς υἱοῖς, ἐπαρηγόρει αὐτήν. Οὕτω πάντες οἱ περὶ τὸν Ἰουδιστίραν καὶ Δρυταράστραν ἦλθον εἰς τὸ στάδιον τοῦ πολέμου, ὅπερ ἦν ἀληθὴς κοιλὰς κλαυθμῶνος. Ἐνταῦθα εὗρον γυναῖκας πάσης ἡλικίας, καὶ γέροντας ὀδυρομένους καὶ θρηνοῦντας ἐπὶ τῶν πεπτωκότων ἡρώων. Ἡ πεδιὰς πᾶσα ἦν πλήρης αἱμάτων καὶ πτωμάτων, κεφαλῶν καὶ μελῶν· οἱ δὲ θρῆνοι καὶ οἱ κλαυθμοὶ, ἀνώτεροι ὄντες τοῦ ταράχου πολλῶν θαλασσῶν, καὶ πληροῦντες τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐσυγχέοντο μετὰ τῶν ἀγρίων κραυγῶν τῶν θηρίων καὶ τῶν ἀῤῥένων καὶ θηλείων σαρκοβόρων δαιμόνων, οἵτινες καταβιβρώσκοντες τὰς σάρκας τῶν πεπτωκότων σκηπτούχων καὶ τροπαιούχων ἡρώων, ἔπινον ἡδέως τὸ αἷμα αὐτῶν ἐντὸς τοῖς κρανίοις, ὧν ἐῤῥόφησαν προηγουμένως τὸν μυελὸν, καὶ ἐξορύττοντες τὰ ὄμματα τῶν νεκρῶν τοῖς ἑαυτῶν ὄνυξιν, εὐφραίνοντο ἀλαλάζοντες.

Ἐν τούτῳ δὲ τῷ συγκροτηθέντι πολέμῳ ἔπεσον ἑξήκοντα ὀκτὼ Κότια, δώδεκα μυριάδες ἀνδρείων στρατιωτῶν, ἑκατὸν ἑβδομήκοντα πέντε βασιλεῖς, καὶ ἑκατὸν καὶ δεκατέσσαρες χιλιάδες ἐκλεκτῶν ἡρώων. Τοσαύτη ὑπῆρξεν ἡ φθορά.

Βιβλ. ΙΒ'., ὃ διαλαμβάνει περὶ τῶν προσηκόντων τῷ βασιλεῖ, καὶ περὶ τῶν προσηκόντων πράττεσθαι ἐν δεινοῖς, καὶ περὶ τῆς θείας γνώσεως.

Ὁ Ἰουδιστίρας λυπούμενος, ὅτι διὰ κτῆσιν τῆς βασιλείας

ἀνῃρέθησαν τοσοῦτοι ἥρωες, καὶ αὐτὸς ὁ Δουριοδάνας, καὶ ὢν ἐν δεινῇ θέσει, ἀπεφάσισε πορευθῆναι εἰς ἔρημον. Τὴν ἰδέαν αὐτὴν πολεμῶν ὁ Ἀρζούνας, εἶπεν· « Οἱ ἄνθρωποι τοῦ μὲν ἀπόρ-» τος ἐρῶσι· τοῦ δὲ παρόντος ἀποστρέφονται. Σὺ, ὢν ἐν ἐρήμῳ, » ἐπεθύμεις βασιλείας· νῦν δὲ ἐν βασιλείᾳ ἐπιθυμεῖς ἐρήμου. » Ὁ θεὸς ὥρισε τῷ εὐτυχοῦντι θυσίας καὶ δωρεάς· τῷ δὲ πτω-» χῷ θεωρίαν καὶ ἐγκράτειαν. Σὺ ἐν ἀπορίᾳ ὢν δὲν ἐφύλαξας » ταύτας· ἤδη ἐν εὐτυχίᾳ, ἐκπλήρωσον τοὐλάχιστον ἐκείνας».

Ὁ δὲ Βήμας πλήρης θυμοῦ εἶπεν· « Ἀναξίως ἐγεννήθης πρῶ-» τος ἡμῶν· ἂν ἠγάπας τὸν μοναστικὸν βίον, διατί ἐπολέμη-» σας; ἀντὶ δὲ τοῦ θεραπεῦσαι ἤδη τὰς πληγὰς τοῦ λαοῦ, » παραιτῆσαι τῆς βασιλείας; Πεσέτω λοιπὸν ἐπὶ σὲ πᾶσα » ἡ ἀνδροκτονία, καὶ οἱ στεναγμοὶ τοῦ λαοῦ· »

Οἱ δὲ Σαχαδέβας καὶ Νακούλας εἶπον· « Ὁ βασιλεὺς εὐ-» ποιῶν ἀπολαμβάνει τὰς ἀρετὰς τῶν ἀσκητῶν· ὁ δὲ ἀσκη-» τὴς ταλαιπωρούμενος ἀπολαμβάνει τὸν καρπὸν μόνον τῆς » ἑαυτοῦ ἀρετῆς· βασίλευε λοιπὸν εὐποιῶν, καὶ ἔσω ἐγκρα-» τὴς, ὡς οἱ ἀσκηταί. »

Ὁ δὲ Βεάσας ἐμφανεὶς εἶπεν· « Ἡ εἱμαρμένη προσδιορίζει » τὴν ζωὴν, καὶ τὸν θάνατον ἑνὸς ἑκάστου· ἄφες τὴν λύπην » ἕνεκα τῶν προγεγονότων, καὶ κυβέρνησον ἤδη τὸν λαόν. »

Ὁ δὲ Κρισνᾶς εἶπεν· « Ἡ λύπη τῶν ζώντων δὲν παραμυ-» θεῖ τοὺς ἀποβιώσαντας· ἡ ζωὴ δίδωσι τοῖς εὖ φρονοῦσι » τέσσαρα ἀγαθά· πλοῦτον, τρυφὴν, ἀρετὴν, καὶ ἀθανασίαν· » οἱ ἄφρονες ποιοῦσιν αὐτὴν ἀνωφελῆ. Ἄφες ἤδη τὴν λύπην, » ὦ βασιλεῦ, γνῶθι σαυτόν· ἔκλεξε τὴν ἀγαθὴν τοῦ βίου » μερίδα, καὶ μετάδος τὴν εὐημερίαν εἰς τοὺς ἄλλους διὰ » τῆς εὐποιΐας. Οἱ ὁπλοφοροῦντες ἐν καιρῷ πολέμου ἀναι-» ροῦσι καὶ ἀναιροῦνται, κατὰ τὸν νόμον τοῦ πολέμου, καὶ » διαμένουσι πάντοτε ἄνδρες ἀγαθοί· ἕκαστος, ὑποτασσόμε-» νος εἰς τὸν νόμον τοῦτον, εἶναι ἀνεύθυνος. Ἀνάλαβε οὖν

» τὴν βασιλείαν, χαροποίησον εὐεργετῶν τοὺς φίλους, καὶ » τὸν λαὸν, ὕστερον δὲ ἐπισκεψόμεθα τὸν Βῆμαν.» Οὕτως ὁ βασιλεὺς, πεισθεὶς εἰσῆλθεν εἰς τὰ ἀνάκτορα. Πρῶτον θύσας, καὶ πολλὰς εὐεργεσίας ποιήσας ἔλαβε παρὰ τῶν Βραχμάνων τὸν λουτρὸν τοῦ ἁγιασμοῦ· δεύτερον διώρισε τὸν Βήμαν ἐπὶ τῆς ὑπατείας, τὸν Βιδούραν ἐπὶ τῆς Βουλῆς, τὸν Ἀρζούναν ἐπὶ τοῦ κατὰ τῶν ἐχθρῶν θριάμβου, τὸν Σανζαΐαν ἐπὶ τῶν προσόδων καὶ ἀναλωμάτων, τὸν Νακούλαν ἐπὶ τοῦ Στρατοῦ, τὸν Δαουμέαν ἐπὶ τῆς πρὸς τοὺς Βραχμᾶνας τιμῆς καὶ δεξιώσεως, τὸν δὲ Σαχαδέβαν ἐπὶ τῆς παρεδρείας ἢ προεδρείας. Τελέσας δὲ ἐναγίσματα τοῖς συγγενέσι Καουραβαῖς, ὡς ὁ νόμος ἐντέλλεται, καὶ ἐν ὀνόματι αὐτῶν πολλὰ ψυχωφελῆ ἔργα ποιήσας, ἦλθεν εἰς προσκύνησιν τοῦ Κρισνᾶ, ὃν εὗρεν ἐν θεωρίᾳ. «Ὅστις ἐμὲ θεω- » ρεῖ, εἶπεν ὁ ἐνανθρωπήσας οὗτος Θεὸς, τοῦτον κἀγὼ θεωρῶ· » ὁ δὲ τοιοῦτος ἄλλος ἐγώ ἐστιν. Ὁ Βήσμας, ἐπιθυμῶν ἀθα- » νασίας, θεωρεῖ ἐμὲ τοερῶς· κἀγὼ θεωρῶ αὐτόν.» — «Κύριε, » εἶπεν ὁ Ἰουδιστίρας, ἄγε πορευθῶμεν εἰς τὸ μέρος, ἔνθα κεῖ- » ται ὁ Βήσμας, ὅπως διδάξῃ ἡμᾶς πάντα τὰ τοῦ νόμου.» Ὁ Κρισνᾶς συναινέσας ὡδήγησε τοὺς Πανδοΐδας πρὸς τὸν γη- ραιὸν Βήσμαν, πρὸς ὃν εἶπεν· «Ὦ σοφὲ, δίδαξον τὸν Ἰουδι- στίραν περὶ τῶν προσηκόντων τῷ βασιλεῖ.» Ὁ δὲ, προσκυνή- σας τὸν θεὸν, ἔλεξε λόγον πλήρη ἠθικῆς φιλοσοφίας, τοιοῦτον· « Ὁ ἀγαθὸς βασιλεὺς εὐφραίνεται, τιμῶν καὶ σεβόμενος τοὺς « σεβασμίους καὶ ἐναρέτους, ἔχων οἶκτον πρὸς ἅπαντας τοὺς » ἀνθρώπους, καὶ κυβερνῶν δικαίως τὸν λαόν. Ὁ βασιλεὺς » μὴ ἔστω φιλόγελως καὶ φιλοσκώμμων, οὔτε λίαν ἀνύποπτος » καὶ ἄφοβος, οὔτε λίαν ὕποπτος καὶ δειλὸς, οὐδ' ὑβριστὴς » τῶν ἱερῶν, οὐδ' ἀμελὴς τῶν τοῦ νόμου. Εὐτυχὴς ἡ βασιλεία » εἰς ἣν ὑπάρχει εὐσέβεια καὶ εὐνομία, εἰς ἣν παιδεύονται οἱ » πονηροὶ καὶ κακοὶ, ἀγαπῶνται οἱ ἀγαθοὶ, τιμῶνται οἱ φρό- » νιμοι καὶ ἱεροπρεπεῖς. Ὁ βασιλεὺς, ὢν μὲν ἀγαθὸς, κακοὺς

» δ' ἔχων περὶ ἑαυτὸν, ὁμοιάζει τὸ καλὸν δένδρον, ὅπερ εἶναι » περιπεπλεγμένον ἀπὸ ὄφεις. Ὁ κακὸς βασιλεὺς, ἔχων κα- » λοὺς ὑπηρέτας, λογίζεται ἀποτρόπαιος ὡς ὁ ὄφις, ὁ ἔχων » πολυτίμους λίθους. Ὁ λαὸς εὐλογεῖ, ἢ καταρᾶται τοῦ » βασιλέως, θεραπευόμενος ἢ θλιβόμενος ἀπὸ ἀγαθοὺς ἢ » πλεονέκτας διοικητάς· καθότι τὸ πλειότερον μέρος τῶν » κακῶν ἢ καλῶν πράξεων αὐτῶν ἀποδίδεται εἰς τὸν βασι- » λέα. Ὁ δὲ ἀγαθὸς καὶ εὐσεβὴς βασιλεὺς, ἀγαθοὺς καὶ » εὐσεβεῖς ἔχων ὑπαλλήλους, ἀγαθὰ καὶ δίκαια πράττει· » ὑπ' αὐτὸν εὐδαιμονεῖ ὁ λαὸς, καὶ ὁ λαὸς ἀγαπῶν εὐλογεῖ » τὸν βασιλέα. Ἡ δόξα τοῦ βασιλέως στηρίζεται εἰς τὴν » κατὰ τῶν ἀτάκτων τιμωρίαν, εἰς τὴν προς τοὺς εὐτάκτους » προστασίαν, εἰς τὴν πρὸς τοὺς σπουδαίους καὶ πεπαιδευ- » μένους στοργὴν, καὶ εἰς τὴν πρὸς τοὺς Βραχμᾶνας καὶ » λοιποὺς ἱεροπρεπεῖς ἄνδρας τιμήν. Δοξάζεται ὁ βασιλεὺς, » ὅστις καὶ ἐν αἰτίᾳ θυμοῦ, οὐ θυμοῦται· καὶ ἐν ἀπορίᾳ, οὐ » πλεονεκτεῖ, καὶ ἐν χαρᾷ, οὐκ ἀλλοιοῦται. Πλουτεῖ δὲ, » προστατεύων τὴν καλλιέργειαν τῆς γῆς.» Οὕτως ἀναπτύσσει τὴν δευτέραν ἐρώτησιν· «Τί δεῖ πράττειν τοῖς βασιλεῦσιν, ὧν » ἡ δόξα ἠφανίσθη ὑπ' ἐχθρῶν. «Εἶτα καὶ τὴν τρίτην· «Πῶς ὁ » ἄνθρωπος καρτερίαν ἕξει, ἀπολέσας συγγενεῖς καὶ δόξαν; Ἐνταῦθα, ἐξηγήσας τὰ περὶ τῆς ὑπάρξεως, καὶ τὰ περὶ ματαιότητος, τελειόνει διὰ τῆς θεωρίας τῆς θείας γνώσεως. Οὕτως ὁ ἄνθρωπος καθαρίζεται πρῶτον διὰ τῆς εὐποιΐας καὶ τῆς ἀσκήσεως· ἡ δὲ ψυχὴ αὐτοῦ, διαῤῥήξασα τὸν δεσμὸν τῆς ἀγνοίας, διὰ τῆς μελέτης καὶ τῆς θεωρίας τῆς θείας γνώσεως, καὶ ὡς φῶς εἰς τὸ θεῖον φῶς εἰδύουσα, ἑνοῦται τῷ Βισνοῦ, καὶ διαμένει ἀΐδιος καὶ ὁλξία.

Βιβ. ΙΓ'., ὃ διαλαμβάνει τὴν πρὸς τὸν Ἰουδιστίραν παρηγορίαν, καὶ τὸν θάνατον τοῦ Βήσμα.

Ὁ Ἰουδιστίρας, σκυθρωπὸς ὢν εἰσέτι, ἐλυπεῖτο ἐγκαρδίως,

συλλογιζόμενος, ὅτι ἀνῃρέθησαν οἱ συγγενεῖς, καὶ ἐπληγώθη θανατηφόρως ὁ προπάτωρ Βήσμας, διὰ τὴν ἀπόλαυσιν τῆς βασιλείας. Ὁ γηραιὸς Βήσμας, χαρεὶς διὰ τὸ σέβας τοῦ Ἰουδιτίρα, εἶπεν αὐτῷ παραμυθῶν· «*Μὴ τήκεσαι, ὦ τέκνον· οὔτε σὺ* » *ἀνεῖλες ἐμὲ, οὔτε ὁ χρόνος· ἡμεῖς ἀνῃρέθημεν ὑπὸ τῶν* » *ἔργων ἡμῶν. Ζωὴν στερεὰν καὶ εὐτυχῆ ἔχει, ὅστις ἐνα-* » *σχολεῖται εἰς εὐσεβεῖς καὶ νομίμους πράξεις, οὔτε ἐλπίζων,* » *οὔτε ἐπιθυμῶν καρπόν τινα ἐκ τῶν πράξεων τούτων. Νόμι-* » *μα δὲ πράττει ὁ εὐποιῶν πάντα ἄνθρωπον, ἄνευ διαφορᾶς* » *οἰκείου, ἢ ἀλλοτρίου· εἶναι ἀνεξίκακος ὁ εὐποιῶν καὶ αὐτὸν* » *τὸν ἐχθρὸν δυστυχοῦντα· εἶναι καθαρὸς τὴν καρδίαν ὅστις,* » *ὀργιζόμενος κατὰ τοῦ ἐχθροῦ, πολλάκις πταίσαντος, ἀφήσειν* » *αὐτὸν ἱκετεύοντα, καί τοι δυνάμενος κακοποιῆσαι τὸν ἄνδρα.* » *Ἀνὴρ ἀγαθὸς λογίζεται ὁ ἐραστὴς τῆς εὐποιΐας, ἀνέραστος* » *ὢν πάσης ἡδονῆς· μεγαλόφρων δὲ, ὅστις ἀφῆκε πᾶσαν ἀλ-* » *λην ἕξιν, καὶ ἡδυπάθειαν, εἰσέρχεται εἰς θεωρίαν, καὶ ἑνοῦ-* » *ται μετὰ τοῦ Σίβα. Ὁ ἀγαθὸς οὐτ' ἑαυτὸν ἐπαινεῖ, οὔτ' ἄλ-* » *λον ψέγει, οὔτε τὸν αἰτοῦντα ἀποβάλλει. Ἂν δὲ νικήσῃ* » *τὰ ἐξ τῆς ψυχῆς πάθη, ἤτοι τὴν ἐπιθυμίαν, τὸν θυμὸν, τὴν* » *πλεονεξίαν, τὴν ἀγροιαν, τὴν ὑπερηφάνειαν, καὶ τὸν φθόνον,* » *ὁ τοιοῦτος ἐστὶν ὑπέρτερος πάντων. Εὐκλεὴς νομίζεται ὁ* » *εὐποιῶν, κατὰ τὴν ἐντολὴν τοῦ θεοῦ, ὁ ἐναγίζων κατὰ* » *τὴν ἐντολὴν, καὶ γινώσκων τὴν ματαιότητα τοῦ κόσμου,* » *προτιμᾷ τοὺς ἁγίους τόπους. Ὅλβιος εἶναι ὁ σεβόμενος* » *ἐξ ὅλης καρδίας τὸν θεὸν Σίβαν.*» Παύσαντος δὲ τοῦ Βήσμα, ὁ Κρισνᾶς εἶρηκε λόγον βαθὺν περὶ τοῦ Σίβα, καὶ περὶ τοῦ Παντός· «*Ὅ,τι βλέπει, εἶπεν, ὁ ὀφθαλμὸς, ὅ,τι δια-* » *νοεῖται ἡ διάνοια, ὅ,τι προφέρει ἡ γλῶσσα, τοῦτο ἀθανα-* » *σίας γίνεται πρόξενον διὰ τῆς θεωρητικῆς γνώσεως· καθότι* » *τὸ πᾶν εἶναι ὁ Σίβας.*» Σιωπῆς δὲ γενομένης, πάντες οἱ περιεστῶτες ἐβυθίσθησαν εἰς θεωρίαν. Ἀνακυψάντων δὲ πάν-

» των, ὁ Βήσμας, ἀφεὶς φωνὴν εἶπεν· «Ὅστις ἔχει μίαν τῶν » ἀρετῶν, ἂς εἶπον, οὗτος ἔχει πάντα τὰ πάθη δοῦλα· ὅστις » δὲ ἔχει πάσας τὰς ἀρετὰς, ὅσας εἶπον, οὗτος οἷος Θεοῦ » ἐστι. Σὺ δὲ, ὦ Βασιλεῦ Ἰουδιστίρα, μὴ λυποῦ ματαίως· » οἱ μὲν συγγενεῖς σου ἀρπρέθησαν ὑπὸ τῶν οἰκείων ἔργων· » σὺ δὲ κυβέρνα τὴν γῆν, ποιῶν πᾶν ἀγαθὸν καὶ νόμιμον ἔρ- » γον. Ἐγὼ δὲ ἤδη ἄπειμι εἰς χώραν ἀγαθήν·» Εἶτα ὑμνήσας τὸν θεὸν, ἀφῆκε τὸ πνεῦμα.

Βιβ. ΙΔ'., Περὶ τῆς ἱπποθυσίας.

Ὁ βασιλεὺς Ἰουδιστίρας, θλιβόμενος ἕνεκα τοῦ θανάτου τοῦ Βήσμα, ἀπεφάσισε τελέσαι Ἱπποθυσίαν, ἥτις ἐξαλείφουσα τὰ ἁμαρτήματα, ἁγιάζει τὸν θύοντα [1]. Ἐπὶ τούτῳ ἀπέλυσεν ἵππον μέλανα, ὃν ἀκολουθῶν ὁ Ἀρζούνας ἐνίκησεν ἐν τρισὶν ἡμέραις πολλοὺς ἡγεμόνας. Ἐλθὼν δὲ εἰς τὴν πόλιν Μανιπούραν, εὗρε βασιλεύοντα τὸν ἐκ τῆς Σιτραγκάδας υἱὸν αὐτοῦ. Ὁ Ἀρζούνας, ἐπιθυμῶν ἰδεῖν τὴν ἀνδρείαν τοῦ υἱοῦ, ἐκάλεσεν αὐτὸν εἰς ἰδικὸν πόλεμον· ἀλλὰ πληγωθεὶς παρὰ τοῦ υἱοῦ, ἔπεσεν ἡμιθανής. Τοῦτο δὲ συνέβη, ἵνα πληρωθῇ ἡ ῥῆσις τοῦ Βήσμα ὅτε ἐπληγώθη· «Πληγωθήτω ὁ Ἀρζούνας ὑπὸ τοῦ οἰκείου » υἱοῦ. » Ἐκεῖθεν ἀναχωρῶν ὁ ἥρως, καὶ τὸν μέλανα ἵππον ἀκολουθῶν ἐχειρώσατο πᾶσαν τὴν γῆν μέχρι τῶν ὁρίων τοῦ ὠκεανοῦ. Προστάξας δὲ πᾶσι τοῖς βασιλεῦσι συνελθεῖν εἰς τὴν μεγάλην βασιλικὴν θυσίαν, ἐπανῆλθεν εἰς τὴν πρωτεύουσαν. Ἤρχισε δὲ ἡ θυσία ἱερουργοῦντος αὐτοῦ τοῦ Βεάσα· ὁ τόπος ἅπας ἦν ἅγιος. Οἱ Βραχμᾶνες ἐτελείωσαν τὴν θυσίαν. Ὁ Ἰου-

1. Ἐν τούτῳ τῷ χρόνῳ ἡ τοῦ Ἀσβατάμα γυνὴ Οὐτταρὰ ἐγέννησεν υἱὸν, ὃν ὠνόμασαν Παριξίταν, ἧν δὲ ἐκ τοῦ γένους τῶν Καουραβῶν. Ὁ παῖς οὗτος διεδέχθη τὸν θρόνον τοῦ Ἰουδιστίρα, καθότι ὁ πόλεμος ἐθέρισε πάντας τοὺς υἱοὺς τῶν Πανδοϊδῶν, καὶ Καουραβῶν, ἐκτὸς τοῦ παιδὸς τούτου, ὃς ἐγεννήθη μετὰ τὸ τέλος τοῦ πολέμου.

διστίρας ἐδωρήσατο ἄπειρον πλοῦτον τοῖς ὁσίοις· καὶ φιλοδωρήσας τοὺς βασιλεῖς ἀπέπεμψεν εἰς τὰ ἴδια. Οὕτως ἐτελέσθη ἡ ἱπποθυσία, ἐν ᾗ πολλοὶ Βραχμᾶνες ἐχάρησαν, πολλαὶ σπονδαὶ καὶ δωρεαὶ εἰς ἀξίους ἐγένοντο, καὶ πολλὰ ἁμαρτήματα ἐξηλείφθησαν. Καθότι ἡ καθαρὰ θυσία παύει τὰ δεινὰ, καὶ ἐπιφέρει πολλὰ ἀγαθά.

Βιβ. ΙΕ'. Περὶ τῆς ἐν ἐρήμῳ διατριβῆς τοῦ Δρυταράστρα.

Ὁ βασιλεὺς Ἰουδιστίρας, κυβερνῶν εὐνόμως τὸν λαὸν, ἐσέβετο υἱϊκῶς τὸν πατράδελφον Δρυταράστραν· ἀλλ' οὗτος ἐπεθύμει ἀναχωρῆσαι εἰς ἔρημον. Κατανεύσαντος οὖν τοῦ Ἰουδιστίρα, παρακλήσει τοῦ Βεάσα, ὁ Δρυταράστρας, ποιήσας ἐναγίσματα καὶ χοὰς ὑπὲρ τῶν τεθνεώτων, ἀνεχώρησεν εἰς ἔρημον μετὰ τῆς συζύγου, τοῦ νεωτέρου ἀδελφοῦ Βιδούρα, τῆς Πριττᾶς καὶ τοῦ Σανζαΐα. Μετά τινα ἔτη ὁ Ἰουδιστίρας ἦλθε μετὰ τῶν γυναικῶν τῶν Καουραβῶν εἰς τὸ ἀσκητήριον· προσκυνήσας δὲ τὸν Δρυταράστραν, ἠρώτησε περὶ τοῦ Βιδούρα. Οὗτος, εἶπεν, περιπολεῖ τὰ δάση, ὢν ἀνεμόσαρκος. Ἀλλ' αἴφνης ἰδὼν ὁ Ἰουδιστίρας ἐκάλεσεν αὐτόν· ἀλλ' ὁ Βιδούρας, ἀφεὶς τὸ σῶμα, εἰσέδυ ἐντὸς τοῦ βασιλέως. Εἰσδύσης δὲ τῆς μεγάλης ψυχῆς τοῦ Βιδούρα, ὁ Ἰουδιστίρας ἐγένετο πλήρης θαυμαστῆς γνώσεως τῶν ὄντων. Τότε καὶ ὁ Δρυταράστρας, χάριτι τοῦ Βεάσα, ἠνέωξε τοὺς ὀφθαλμοὺς, καὶ ἰδὼν τὴν λαμπρότητα τοῦ Βασιλέως, καὶ τὰς ἐκλάμπρους σκιὰς τῶν ἡρώων τῶν δύο στρατῶν, ἐπανῆλθεν εἰς τὴν τυφλότητα. Αἱ μὲν γυναῖκες, ἀφεῖσαι τὰ σώματα, ἀνῆλθον εἰς οὐρανὸν μετὰ τῶν ὁραθέντων σκιῶν· ὁ δὲ Ἰουδιστίρας ἐπανῆλθεν εἰς τὴν πρωτεύουσαν. Μετά τινα καιρὸν ἔμαθε παρὰ τοῦ ὁσίου Ναράδα, ὅτι ὁ Δρυταράστρας, ἡ σύζυγος αὐτοῦ, καὶ ἡ Πριττὰ ἀνῆλθον εἰς τὸν οὐρανόν. Ὁ δὲ Σανζαΐας ἐπορεύθη εἰς τὸν Ἰμαόν.

Βιβ. ις'., *δ διαλαμβάνει περὶ τοῦ Ὑπέρου.*

Ὁ Ἰουδιστίρας ἐκυβέρνα 36 ἔτη τὸν λαὸν διὰ τῆς ἀληθείας, τοῦ οἴκτου, τῆς ἀνοχῆς, καὶ τῆς εὐποιΐας. Ἐν τούτῳ τῷ χρόνῳ ἦλθον εἰς τὴν πόλιν Δοκραβατὴν, ὡς ἄγγελοι θανάτου, οἱ περὶ τὸν Καουσσικᾶν ὅσιοι ἄνδρες, οἷς καὶ ὁ μέγας Ἴνδρας τὸν αὐχένα ἔκλινε. Οἱ δὲ ἀπόγονοι τοῦ Βρισνῆ, πάροινοι ὄντες, σχηματίσαντες τὸν Σάμβαν (ὃς ἦν υἱὸς τοῦ Κρισνᾶ), ὡς γυναῖκα ἔγκυον, ἠρώτησαν ἐκείνους τοὺς ὁσίους· « *Τί γεννηθή-* « *σεται ἐκ ταύτης, υἱὸς, ἢ θυγάτηρ ;* » Οἱ δὲ ὅσιοι ἀπεκρίθησαν· « *Ὕπερος σιδηροῦς, φθοροποιὸς τοῦ γένους.* » Πραγματικῶς δὲ εὑρέθη ἐν τοῖς ἱματίοις αὐτοῦ ὕπερος σιδηροῦς. Οὗτος ἀποτεφρωθεὶς ἐρρίφθη εἰς γῆν ὑγρὰν, ἐξ ἧς ἐφύτρωσαν φυτὰ σιδηροειδῆ. Ὁ Κρισνᾶς, γνοὺς ἐκ τῶν ἀπαισίων οἰωνῶν, ὅτι ἐγγύς ἐστι τὸ τέλος, καὶ στερηθεὶς τοῦτε θείου ἅρματος, τοῦ πολεμικοῦ δίσκου, καὶ τῆς ἀνικήτου σημαίας, ἐπορεύθη εἰς προσκύνησιν ἁγίων τόπων. Φθάσας δὲ εἰς Πραβδάσαν χώραν, εὗρε τοὺς ἀπογόνους τοῦ Ἰαδοῦ ἐντρυφῶντας. Οὗτοι, ἐλθόντες εἰς χεῖρας, ἐπολέμουν πρὸς ἀλλήλους, μεταχειριζόμενοι ἀνθ' ὅπλων τὰ σιδηροειδῆ φυτά. Ὁ δὲ Κρισνᾶς εἶδεν ἀταράχως πίπτοντας ἕνα κατόπιν τοῦ ἄλλου ὅλους τοὺς ἐπιζήσαντας ἥρωας. Οὕτως ἡ γῆ ἐκείνη ἐγένετο γῆ νεκροφάγων θηρίων. Καὶ ὁ μὲν Κρισνᾶς ἀπέστειλε τὸν Δαρούκαν ἀγγεῖλαι ταῦτα τῷ Ἀρζούνᾳ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὸ δάσος ἀνεπαύετο ἐν θεωρίᾳ. Τρωθεὶς δὲ κατὰ τὸ πέλμα ὑπὸ θηρευτοῦ, εἰσέδυ εἰς τὸ ἄϊδιον φῶς, ἀφήσας τὸν κόσμον ἐζοφωμένον. Οἱ Πανδοΐδαι, μαθόντες πάντα ταῦτα, κατεκυριεύθησαν ἀπὸ λύπην καὶ φόβον. Ἡ μὲν πόλις τοῦ Κρισνᾶ κατεβυθίσθη εἰς τὸν ὠκεανόν· ὁ δὲ Ἀρζούνας, ὁδηγῶν τὰς γυναῖκας τοῦ Κρισνᾶ, προσεβλήθη ὑπὸ τῶν βουκόλων, βουλομένων συλῆσαι αὐτάς. Ἐξ αὐτῶν τὸ πλειότερον μέρος ἥρπαγη· καθότι ὁ Ἀρζούνας ἔχασε καὶ δύναμιν, καὶ τὴν μαγικὴν φαρέ-

τραν, καὶ τὰ θεῖα βέλη. Ὢν δὲ περίλυπος, εἶδε τὸν Βεάσαν, ὃς εἶπεν αὐτῷ· «*Μὴ λυποῦ· ὁ γὰρ χρόνος ἀφαιρεῖ τὰ πάν-*» *τα, φίλους, συγγενεῖς, πλοῦτον, ἀνδρείαν. Ὁ φρόνιμος θεω-*» *ρεῖ τὸν χρόνον ὡς δραματουργὸν ὅλων τῶν τοῦ κόσμου* » *δεινῶν,*»

Βιβ. ΙΖ'., Περὶ τῆς Ἐξόδου.

Ὁ Ἰουδιστίρας, μαθὼν τὰ γεγονότα ἐλυπήθη μεγάλως. Διαιρέσας δὲ τὴν βασιλείαν, ἔδωκε τὸ ἐπιβάλλον μέρος εἰς τὸν νόθον υἱὸν τοῦ Δρυταράστρα, καὶ τὴν ἐπίλοιπον τῷ Παριξίτα· εἶτα ποιήσας σπονδὰς, καὶ παρηγορήσας τοὺς πολίτας ἐπορεύθη εἰς ἔρημον μετὰ τῶν ἀδελφῶν, τῆς Δραουπαδῆς, καὶ ἑνὸς κυναρίου. Ἀναβαίνων δὲ τὸν Ἰμαὸν, εἶδε πίπτουσαν πρῶτον τὴν Δραουπαδὴν, διότι ἠγάπα περισσότερον τὸν Ἀρζούναν· εἶτα τὸν Σαχαδέβαν, διὰ τὴν ἣν εἶχε δοκησισοφίαν· ἔπειτα τὸν Νακούλαν, δι' ἣν εἶχε μεγαλοφροσύνην, ἕνεκα τῆς ὡραιότητος αὐτοῦ. Τέταρτον εἶδε πεσόντα τὸν Ἀρζούναν, δι' ἣν εἶχεν ὑπερηφάνειαν, ἕνεκα τοῦ ἡρωϊσμοῦ αὐτοῦ· καὶ πέμπτον τὸν Βήμαν, δι' ἣν εἶχεν ἔπαρσιν, ἕνεκα τῆς σωματικῆς αὐτοῦ δυνάμεως. Ἀκολουθῶν δὲ τὴν πορείαν εἶδε τὸν θεὸν Ἴνδραν, ὅστις εἶπεν αὐτῷ· «*Ἐλθὲ μόνος.*» *Οὐκ ἐλεύσομαι,* ἀπεκρίθη, «*ἄνευ τούτου τοῦ κυναρίου·*» καὶ εἰσῆλθε μετ' αὐτοῦ εἰς τὴν οὐράνιον πόλιν. Τότε ὁ κύων, ἀφεὶς τὴν μορφὴν αὐτοῦ, ἐφάνη ὁ Δάρμας, ὅστις εἶπε τῷ βασιλεῖ· «*Ἔστω σοι ὁ οὐρανὸς ἄδ-*» *διος, ἕνεκα τῆς ἀγαθότητος, καὶ τῆς δικαιοσύνης σου.*» Τότε ὁ Ἰουδιστίρας εἶπε πρὸς τὸν Ἴνδραν· «*Ὅπου εἰσὶν οἱ ἐμοὶ ἀδελ-*» *φοὶ, καὶ ἡ γυνὴ, ἐκεῖσε ἄγαγέ με.*»

Βιβ. ΙΗ'. Περὶ τῆς εἰς οὐρανὸν ἀναβάσεως.

Ὁ Ἰουδιστίρας, ἰδὼν τιμώμενον τὸν Δουριοδάναν, εἶπεν· «*Οὐ* » *θέλω τοιούτου οὐρανοῦ, ἔνθα δοξάζονται οἱ κακοῦργοι· ὑπά-*

» γω ὅπου καὶ οἱ ἐμοὶ ἀδελφοί.» Ὁδηγηθεὶς λοιπὸν εἰς τὸν ᾅδην ἤκουσε τῶν θλιβερῶν φωνῶν τῶν κολαζομένων συγγενῶν αὐτοῦ. ὧν δὲ εἰς ἀπορίαν ὁ βασιλεὺς, εἶδεν αἴφνης ἔμπροσθεν αὐτοῦ τὸν Ἴνδραν, ὅστις εἶπεν αὐτῷ· «Ἐπειδὴ, ψευσθεὶς μικρὸν, συ-» νετέλεσας εἰς τὸν θάνατον τοῦ Δρόνα, ἐτιμωρήθης διὰ ταύ-» της τῆς γοητείας· νῦν δὲ ἰδὲ ἐν καθαρῷ οὐρανῷ τοὺς οἰκείους » ἐν πελάγει χαρᾶς.» Ἐνταῦθα ἐκδυθεὶς τὴν ἀνθρωπείαν φύσιν, καὶ ἐνδυθεὶς θείαν, εἰσῆλθεν εἰς τὴν σύνοδον τῶν θεῶν, μετὰ τῶν ἀδελφῶν, Καρνᾶ καὶ λοιπῶν ἡρώων, οἵτινες ἦσαν ἡνωμένοι μετὰ τῶν θεῶν, ὧν ἦσαν ἀπόρροια ἐπὶ γῆς, εἰς τὸ ἀφελεῖν τὸ βάρος αὐτῆς.

Βιβ. ΙΘ'., Περὶ τῆς βασιλείας τοῦ Παριξίτα, καὶ τῆς ὀφιοθυσίας τοῦ Ζαναμεζαΐα.

Ὁ διαδεχθεὶς τὸν Ἰουδιστίραν Παριξίτας ἐπαρηγόρει τὸν λαὸν διὰ τῆς πραότητος καὶ δικαιοσύνης αὐτοῦ· γήμας δὲ τὴν Μαδραβατὴν ἔσχεν υἱὸν, ὃν ἐκάλεσε Ζαναμεζαΐαν. Ὁ Παριξίτας, ὧν ποτε εἰς θήραν εἶδε τὸν ἐρημίτην Σαμήκαν, ὃν ἠρώτησε περί τινος ἐλάφου. Ὁ Σαμήκας δὲν ἀπεκρίθη· ὁ δὲ βασιλεὺς, θυμωθεὶς, ἔθετο περὶ τὸν τράχηλον αὐτοῦ ὄφιν τεθνεῶτα. Ἐλθὼν δὲ ὁ υἱὸς τοῦ ἀναχωρητοῦ κατηράσθη οὕτως· «Ὅστις » ἔθετο ἐπὶ τοῦ πατρός μου τὸν ὄφιν, τοῦτον δακέτω αὐτὸς ὁ » ὄφις Ταξάκας μετὰ ἑπτὰ ἡμέρας.» Ὁ Σαμήκας ἐλεήσας τὸν Παριξίταν, ἀνήγγειλε τὰ περὶ τῆς ἀρᾶς. Ὁ δὲ βασιλεὺς, φοβηθεὶς, ἐφρόντιζε περὶ τῆς ἑαυτοῦ σωτηρίας· ὅθεν κατεσκεύασεν εὐθέως ὑψηλὸν οἴκημα ἐπὶ τῆς κορυφῆς μιᾶς στήλης. Ἀλλ' ἐν τῇ ῥητῇ ἡμέρᾳ ὁ ὄφις Ταξάκας πλησιάσας, ὡς σκώληξ, ἀνεῖλε τὸν Παριξίταν διὰ τοῦ ἰοῦ αὐτοῦ.

Ὁ υἱὸς αὐτοῦ Ζαναμαζαΐας, διαδεχθεὶς τὸν θρόνον, ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως τῆς Κασσῆς, ἐξ ἧς ἔσχεν υἱὸν καλούμενον Σατανείκαν. Μαθὼν δὲ ὅτι ὁ ὄφις Ταξάκας, δακὼν

ἀνεῖλε τὸν ἑαυτοῦ πατέρα, ἠβουλήθη τελέσαι ὁριοθυσίαν. Συνελθόντες ἐπὶ τούτῳ οἱ Βραχμᾶνες, συνήθροισαν διὰ τῶν ἐπῳδῶν τῆς Βέδας πλῆθος ἀναρίθμητον ὄφεων, οἵτινες πίπτοντες εἰς τὰς φλόγας τοῦ θυσιαστηρίου ἀπετεφροῦντο. Ἡ δύναμις δὲ τῶν Βραχμανικῶν ἐπῳδῶν ἦν τοσαύτη, ὥστε ὁ Ταξάκας ἔπεσεν ἀπὸ τὰς χεῖρας τοῦ Ἰνδρα, πρὸς ὃν κατέφυγε. Μόνος ὁ εἰδήμων τῆς Βέδας Ἀστείκας ἦν ἱκανὸς σῶσαι αὐτόν. Παρακληθεὶς οὖν ὁ Ἀστείκας ἐσταμάτησε τὸν Ταξάκαν ἐν μέσῳ τοῦ αἰθέρος. Ὑμνήσας δὲ ἔπειτα τὸν Βασιλέα Ζανκμεζαΐαν, καὶ ἐπαινέσας αὐτὸν, εὐλογήσας, καὶ εὐχηθεὶς αὐτὸν, ἐμπόδισε τὴν παντελῆ φθορὰν τῶν ὄφεων, καὶ ἔσωσε τὸν Ταξάκαν. Ἐνταῦθα τελειόνει ὁ ποιητὴς λέγων· «*Διαμενέτω ἐς ἀεὶ αὕτη ἡ* » *Βαλαβαράτα, τὸ μέγα Ποίημα, τὸ ποιηθὲν ὑπ' ἐκείνου* » *τοῦ Ἀμάρα, καὶ ἀγλαϊσθὲν εἰς χαρὰν τῆς καρδίας τῶν σο-* » *φῶν ἀνδρῶν, ἐν οἷς οἰκεῖ ἡ θεὰ τοῦ λόγου.*»

Ταῦτα μὲν περὶ τῆς ὑποθέσεως τοῦ ἀνὰ χεῖρας ποιήματος. Νῦν δ' ὀλίγα ἔτι τινὰ καὶ περὶ αὐτοῦ τοῦ ποιητοῦ, καὶ τῆς ἐποχῆς καθ' ἣν ἤκμασεν, ὡς ἁπλῆν εἰκασίαν προτείνοντες, ἴλεων τὸν ἀναγνώστην, καὶ τὴν κρίσιν τῶν Ἰνδολόγων ἐξαιτούμεθα.

Ὁ ἀοίδιμος Γαλανὸς δὲν ἀναφέρει εἰς οὐδὲν μέρος περὶ τοῦ Ἀμάρα, τοῦ ποιήσαντος τὴν Βαλαβαράταν, οὔτε περὶ τοῦ χρόνου καθ' ὃν ἤκμασε, καὶ συνέγραφε. Ἀλλ' εἰς μὲν τὴν ἀρχὴν τοῦ συγγράμματος, προσθέτει αὐτὸς ὁ συγραφεὺς, ἢ οἱ μεταγενέστεροι λόγιοι Ἰνδοὶ, «*Καὶ ἐποιήθη (ἡ Βαλαβαράτα) ὑπὸ τοῦ ὡς κορυ-* » *φαίου πολυτίμου λίθου, ποιητοῦ Ἀμαρασάνδρα, μαθητοῦ* » *τοῦ σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα*» [1]. Εἰς

1. Βαλαβαρ. βιβ. Α'. κεφ. Α'. 107, κεφ. Β'. 84, κεφ. Δ'. 236. καὶ βιβ. ς'. κεφ. Γ'. 218.

δὲ τὸ τέλος, «*Διαμενέτω ἐς ἀεὶ αὕτη ἡ Βαλαβαράτα, τὸ μέγα ποίημα, τὸ ποιηθὲν ὑπ' ἐκείνου τοῦ Ἀμάρα* [1].» Ἀλλὰ τίς οὗτος ὁ Ἀμάρας; καὶ πότε ἤκμασε; περὶ τούτων δὲν ἀναφέρει οὔτε εἰς τὸ κείμενον ὁ συγγραφεὺς, οὔτε ὁ μεταφραστὴς εἰς τὰ σχόλια.

Παρατηρεῖται ὅμως, ὅτι μεταξὺ τῶν ἐννέα περιφήμων ποιητῶν, οἵτινες διέπρεπον περὶ τὰ μέσα τῆς τελευταίας πρὸ Χριστοῦ ἑκατονταετηρίδος, ἐπὶ τῶν ἡμερῶν, καὶ εἰς τὴν αὐλὴν τοῦ Βασιλέως *Βικραμαδιτία* [2], ἦν καὶ εἷς ποιητὴς *Ἀμάρας*, ὅστις καὶ *Ἀμάρας Σίγχας* ἐκαλεῖτο. Οὗτος ἦν σύγχρονος καὶ ἐφάμιλλος τοῦ ποιητοῦ Καλιδάσα, τοῦ συγγράψαντος τὸ περιβόητον δράμα, καλούμενον *Σακοντάλα*, καὶ μεταῤῥυθμίσαντος, ὡς λέγουσι [3], τὰ ποιήματα τοῦ Βαλμίκη καὶ τοῦ Βεάσα. Εἶναι λοιπὸν πολλὰ πιθανὸν ὅτι, ἐν ᾧ ὁ Καλιδάσας ἐνησχολεῖτο εἰς τὴν διάταξιν καὶ διόρθωσιν τῶν μεγάλων ἐπικῶν ποιημάτων Ῥαμαΐανας, δηλαδὴ καὶ Μαχαβαράτας, δίδων εἰς αὐτὰ τὴν ἣν σήμερον διατηροῦσι τάξιν, ὁ Ἀμάρας ἢ Ἀμαρα-Σίγχας συνέγραφε τὴν ἐπιτομὴν, ἢ, ὡς λέγει ὁ Γαλανὸς, τὴν συντομὴν τοῦ τελευταίου τούτου κολοσσαίου ποιήματος, ἤτοι τὴν Βαλαβαράταν.

Κατ' αὐτὴν τὴν ὑπόθεσιν (περὶ ἧς, ὡς ἐῤῥέθη, περιμένομεν τὴν ἀπόφασιν τῶν σοφῶν Ἰνδολόγων), ὁ Ἀμά-

---

1. Βαλαβ. βιβλ. ΙΘ'. Διστίχ. 164.

2. Ἴδε Ἰονεσίου Συγράμμ. σελ. 310.

3. He (Calidas) is believed by some to have revised the works of Valmiki and Vyasa, etc. Ἰονέσιος αὐτόθι. VI. σελ. 205.

ρας, καὶ ὁ Καλιδάσας, ἡ Βαλαβαράτα καὶ ἡ Σακοντάλκ ἀνήκουσιν εἰς τὴν Π. Χ. λαμπρὰν περίοδον τοῦ βασιλέως Βικραμαδιτία [1], ὅ ἐστιν εἰσὶ μὲν ποιήσεις ἀρχαῖαι, ὡς συγγραφεῖσαι Π. Χ. λίαν δὲ νεώτεραι τῶν παλαιοτέρων ἐπικῶν ποιημάτων Ῥαμαΐανας καὶ Μαχαβαράτας.

Τὴν χρονολογίαν ταύτην τοῦ Βικραμαδιτία καὶ τῶν ἐννέα ποιητῶν παρεδέχθη ὁλόκληρον τὸ Ἰνδικὸν ἔθνος, καὶ πρεσβεύει πρὸ χιλίων περίπου κατὰ συνέχειαν ἐτῶν· ὥστε τοιαύτη τις μαρτυρία, καί τοι μὴ στηριζομένη εἰς μαθηματικὰς ἀποδείξεις, ἔχει, ἀναντιῤῥήτως, μέγα κῦρος.

Αἱ ἐποχαὶ τοῦ Βικραμαδιτία εἰς τὴν Ἰνδίαν, καὶ ἡ τοῦ Περικλέους εἰς τὴν Ἑλλάδα ὑπῆρξαν περιφανεῖς, διὰ τὴν πρόοδον καὶ τὸν πολιτισμὸν τῶν δύο ἐθνῶν· ἀλλ' αὐτὸ δὲν μηδενίζει τὴν ἐπὶ τούτων ἀρχαιοτέραν ἐπιῤῥοὴν τῆς Ῥαμαΐανας καὶ Μαχαβαράτας, τῆς Ἰλιάδος καὶ Ὀδυσσείας. Συγκρίνων, λέγει μάλιστα ὁ Ἥρενος, τὴν ἁπλότητα τῆς Σακοντάλας ἐν τῇ Μαχαβαράτᾳ (ἐξ ἧς ἔλαβε τὸ ὑποκείμενον ὁ Καλιδάσας), ὡς πρὸς τὸν καλλωπισμὸν καὶ τὴν ποικιλίαν τοῦ μεταγενεστέρου τούτου δράματος, διακρίνει οὐ μόνον τὴν μεγίστην διαφορὰν τῆς παλαιᾶς ἐπικῆς, καὶ τῆς νεωτέρας δραματικῆς ποιήσεως, ἀλλ' ἀνακαλύπτει καὶ τὴν πρόοδον, ἣν ἔλαβον ἡ διάλεκτος καὶ ἡ φιλολογία ἐν τῷ διαστήματι, τῷ μεταξὺ τῆς Σακοντάλας τοῦ ποιητοῦ Βεάσα, καὶ τῆς Σακοντάλας τοῦ δραματοποιοῦ Καλιδάσα [2]. Τὴν

1. Π. Χ. 56 ἔτη, ὡς ἔγγιστα. Κατ' αὐτὴν τὴν ἐποχὴν ἤκμαζον εἰς τὴν Ῥώμην ὁ Τερέντιος, καὶ μάλιστα ὁ Λουκρέτιος.

2. Ἥρενος Τ. ΙΙΙ. σελ. 264 τῆς Γαλ. μεταφρ.

αὐτὴν διαφορὰν παρατηροῦσιν οἱ φιλολόγοι εἰς τὰς ὑποθέσεις, ἃς οἱ μεταγενέστεροι ποιηταὶ, λαβόντες ἐκ τῶν ποιημάτων τοῦ Ὁμήρου, μετέφερον εἰς τὴν τραγῳδίαν, ὡς τὴν τοῦ Αἴαντος, τοῦ Φιλοκτήτου, τοῦ Ἀγαμέμνονος, κ.τ.λ. Τὴν αὐτὴν, ἴσως, διαφορὰν εὑρήσουσιν ἀκολούθως οἱ Ἰνδολόγοι εἰς τὴν διάλεκτον, τὴν σύνθεσιν, καὶ τὴν ἔκθεσιν τῆς Βαλαβαράτας, ὅταν εὐτυχῶς ἀποκτήσωσι καὶ τοῦ ποιήματος τούτου τὸ Σανσκριτικὸν πρωτότυπον. Οὗτοι μόνοι διδάξουσιν ἡμᾶς τὴν ἐνυπάρχουσαν φιλολογικὴν διαφορὰν μεταξὺ τῆς Μαχαβαράτας, καὶ τοῦ *Τέκνου* αὐτῆς, ἤτοι τῆς Βαλαβαράτας [1].

Ἀλλ' ἐπανερχόμενοι καὶ αὖθις εἰς τὸ αὐτὸ ἀντικείμενον, παρατηροῦμεν, ὅτι ὁ Ἀμάρας, ὁ ποιητὴς τῆς Βαλαβαράτας, μεταχειρίζεται ἐν ἀφθονίᾳ εἰκόνας τῶν ἐν τῇ Ἰνδίᾳ λαμπροτέρων ἀνθέων, φυτῶν, καὶ δένδρων, καὶ οὐχ ἧττον μυθολογικὴν καὶ θεογονικὴν ὕλην. Ὁ δὲ Ἀμάρας-Σίγχας, ὁ ἀκμάσας ἐπὶ τῆς βασιλείας τοῦ Βικραμαδιτία, συνέγραψεν ἓν εἶδος ποιητικοῦ λεξικοῦ, ἐν ᾧ ἐξηγοῦνται τὰ ὀνόματα θεῶν, ἡρώων, ἀςέρων, στοιχείων φυτῶν, κ.τ.λ. [2].

---

1. «Στεργέτω, ὡς τέκνον ἑαυτῆς τοῦτό μου τὸ ποιημα ἡ ἱστορικὴ Μαχαβαράτα,» (Βαλαβ. βιβλ. ΙΘ'. Διστίχ. 163) λέγει ὁ ποιητὴς Ἀμάρας εἰς τὸ τέλος τοῦ ποιήματος. Εἰς δὲ τὴν ἀρχὴν, ἐξευμενίζων τὸν Βεάσαν, διότι συντέμνει τὸ ποίημα αὐτοῦ, ἤτοι τὴν Μαχαβαράταν, λέγει· «Ἔστω μοι ἵλεως οὗτος τῆς Σατεβατῆς, ὃς συνέγραψε τὴν θείαν Μαχαβαράτανν.» (Βαλ. βιβ. Α'. κεφ. ά. 1.)

2. Adelung Bibl. sanscr. pag. 54. Τὸ λεξικὸν τοῦτο καλεῖται Ἀμάρα Κόσχα, ἤτοι Ἀμάρα λεξικόν. Ὁ Κολεβρώκιος καὶ μάλιστα ὁ

Πρὸς τούτοις οἱ μεταγενέστεροι λόγιοι Ἰνδοὶ καὶ ὁ Δ. Γαλανὸς ὀνομάζει τὸν ποιητὴν τῆς Βαλαβαράτας οὐ μόνον Ἀμάραν, ἀλλὰ καὶ *Ἀμαρασάνδραν*. Οἱ δὲ Κολεβρώκιος, Ἀδελοῦγκος, Βενθλέϋος, καλοῦσιν ἐπίσης τὸν ἐπὶ τῆς βασιλείας τοῦ Βικραμαδιτία ἕνα τῶν ἐννέα ποιητῶν Ἀμάρα-Σίγχα [1], καὶ ἡνωμένως Ἀμαρασίγχα· ἑλληνικώτερον δὲ Ἀμαρασάνδρας. Ἐκ τούτων, καὶ ἄλλων εἰκασιῶν (περὶ ὧν ἀκολούθως) συμπεραίνεται, ὅτι ὁ Ἀμάρας ἢ Ἀμαρασάνδρας, ὁ συγγραφεὺς τῆς Βαλαβαράτας, καὶ ὁ Ἀμάρας ἢ Ἀμαρασίγχας, ὁ συγγραφεὺς τοῦ μνησθέντος λεξικοῦ, ὁ ἀκμάσας ἐπὶ τῶν ἡμερῶν τοῦ Βικραμαδιτία, εἷς τῶν ἐννέα ποιητῶν, ἢ λαμπρῶν ἀστέρων, οἵτινες ἐλάμπρυνον τὴν αὐλὴν τοῦ βασιλέως τούτου, καὶ τὴν ἐποχὴν ἐκείνην, εἶναι εἷς καὶ ὁ αὐτός· ὥστε ἡ Βαλαβαράτα συνεγράφη περὶ τὰ τέλη τῆς τελευταίας πρὸ Χριστοῦ ἑκατονταετηρίδος, μεταξὺ τοῦ 56 καὶ 100 Π. Χ. ἔτους· ὁ δὲ Ἀμαρασάνδρας ἐστὶ σύγχρονος τοῦ Ἰνδοῦ δραματοποιοῦ Καλιδάσα, καὶ τῶν Ῥωμαίων Ποιητῶν Λουκρετίου, καὶ Τερεν-

---

Βιλσὼν ἐξηγοῦσι, κατὰ τὴν μαρτυρίαν τοῦ Πρένου, εἰς τὰ σχόλια αὐτῶν, τὰ ὀνόματα τῶν πλειοτέρων τούτων φυτῶν. (Adelung, Bibl. Sascr. σελ. 47, 52, 54, 55.—Benthley Asiat. Res. VII. 6. Cosha, λέγει, or Dictionary of the Sanscrit by Amarasinha. Colebrooke. Seramp. 1808.)

1. Τὸ Σίγχα εἶναι ἐπίθετον τοῦ Ἀμάρα, καὶ φαίνεται ὅτι φανερόνει Ἀμάραν τὸν ἔξοχον, τὸν κορυφαῖον, τὸν δυνατόν. Οἱ Ἰνδοὶ ἑνόνουσι τὰ ἐπίθετα μετὰ τῶν οὐσιαστικῶν, σχηματίζοντες νέα σύνθετα οὐσιαστικά· παρ. χάριν Ἀμάρα Κόσχα εἰς τὸ Ἀμαρακόσχα (Ἀμαραλεξικὸν) καὶ Ἀμάρας-Σίγχας (ὁ ἔξοχος), εἰς τὸ **Ἀμαρασίγχας, ἐξοῦ ὁ Ἀμαρασάνδρας τοῦ Γαλανοῦ.**

τίου, ἀκμάσας μετὰ τὸν θάνατον τοῦ Καίσαρος, καὶ εἰς τὴν ἀκμὴν τοῦ Αὐγούστου, καὶ αὐτοῦ τοῦ Βιργιλίου. Ἐπομένως ἡ πρόοδος καὶ ἡ φιλοκαλία τοῦ αἰῶνος τοῦ Αὐγούστου, καὶ τοῦ Βικραμαδιτία, τῆς Ῥώμης, καὶ τῆς ἀπωτάτης Ἰνδίας, εἰσὶ σύγχρονοι καὶ ἐφάμιλλοι.

Ἂν ἤδη στρέψῃ τις τὸ βλέμμα ἐπὶ τῆς ἐποχῆς τῶν Βέδων, τῶν Βεδάγγων, τῶν ἐπικῶν ποιημάτων, τῶν ἐπεισοδίων αὐτῶν, τῶν Πουρανῶν, καὶ μέχρι τῆς Σακοντάλας καὶ Βαλαβαράτας, παρατηρεῖ μετ' ἐκπλήξεως μοναδικόν τι φαινόμενον εἰς τὴν καθολικὴν ἱστορίαν τοῦ ἀνθρωπίνου γένους, ἤτοι ἓν τῶν ἀρχαιοτέρων ἐθνῶν τοῦ κόσμου καταγινόμενον ἀνενδότως καὶ μετὰ μεγίστης ἐπιτυχίας εἴκοσι πέντε, ὡς ἔγγιστα, ἑκατονταετηρίδας εἰς τὴν καλλιέργειαν τῶν Γραμμάτων, τῆς φιλοκαλίας, καὶ τῶν ὑψηλοτέρων ἀντικειμένων, ἅτινα ἐνησχόλησαν ἀπ' ἀρχῆς τὴν ἀνθρώπινον περιέργειαν. Ἐκ τούτου συμπαιραίνων τὴν ἐπέκεινα τοῦ τόπου, καὶ χρόνου ἐνέργειαν τῆς φύσεως, τῆς καλλονῆς, καὶ τῆς αἰσθητικῆς ἐπὶ τῆς ἀνθρωπίνου διανοίας, βεβαιοῦται ἔτι μᾶλλον, ὅτι ἡ φύσις καὶ ὁ ἄνθρωπος, ἡ προσβολὴ καὶ ἡ ἀντίληψις, ἡ δύναμις καὶ τὸ ἀποτέλεσμα παρουσιάζουσιν ἀείποτε τὰς αὐτὰς συνεπείας, καὶ ταυτίζονται, οὕτως εἰπεῖν, εἰς τὴν ἑνότητα τοῦ σκοποῦ καὶ τοῦ τέλους τῆς θείας προνοίας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΒΑΛΑΒΑΡΑΤΑ,

ΣΥΝΤΟΜΗ

ΤΗΣ

ΜΑΧΑΒΑΡΑΤΑΣ.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

Ἐν ᾧ ἱστορία ἐστὶ βασιλέων τεσσάρων ἐν τῇ ἀρχαιογονικῇ δυναστείᾳ.

1. ΕΣΤΩ μοι ἵλεως ὁ υἱὸς τῆς Σατεβατῆς [1], ὃς συνέγραψε τὴν θείαν Μαχαβαράταν, ἣ ὁδός ἐστι τῶν ἀγαθῶν ἀνδρῶν, οὖσα ἄνευ ἀκανθῶν [2] καὶ πηλοῦ καὶ βορβόρου [3], καὶ ἄγουσα εἰς ὄψιν τοῦ ὑψίστου Θείου.
2. Ἔστω πᾶς τις τῶν ἀνθρώπων προσηλωμένος τὸν νοῦν ἐκείνῳ τῷ λαμπρῷ Θείῳ [4], οὗ ὥςπερ δύο χεῖρές εἰσιν

---

1. Ἐν τῷ πρώτῳ στίχῳ ὁ ποιητὴς ἐξευμενίζει τὸν υἱὸν τῆς Σατεβατῆς, ὅς ἐστιν ὁ Βεάσας, διότι συντέμνει τὸ ποίημα αὐτοῦ, ὃ καὶ ἐπαινεῖ λίαν, ὡς ὂν αἴτιον τῆς πρὸς τὸν Θεὸν ἀφίξεως τῶν ἀγαθῶν ἀνδρῶν.
2. Τουτέστιν εὔκολος.
3. Τουτέστιν ἄσπιλος καὶ καθαρά.
4. Ἐν τῷ δευτέρῳ στίχῳ ὕμνον ποιεῖ εἰς Θεόν.

ὁ Ἥλιος καὶ ἡ Σελήνη, οἳ φῶς διδόασιν ἀεννάως τῷ κόσμῳ ταῖς ἑαυτῶν ἀκτίσιν [1].

3. Αὕτη ἡ Σελήνη [2], ἧς γεννήτωρ πέφυκεν ὁ Ὠκεανὸς, ἔχει σῶμα πλῆρες ἀγαθοῦ [3], καὶ ἀνάψυξιν ἀεὶ φέρει τοῖς ἐν τῷ κόσμῳ, τῷ ἀγλαῷ καὶ ἀναψυκτικῷ χυμῷ τῆς ἧς ἔχει ἀμβροσίας.

4. Ἆρα ὁ Ἥλιος, ὁ ὢν θερμὸς ὡς τὸ πῦρ, σχοίη ἄν ποτε σύγκρισιν ταύτῃ τῇ Σελήνῃ [4], ἡ ἐγχέουσα τῇ γῇ τὴν λαμπρὰν αὐτῆς ἀμβροσίαν, ἀναιρεῖ πάντα ζόφον;

5. Καὶ ὁ Ἔρως αὐτὸς, καίπερ φέρων ἄνθινα ὅπλα [5], φήμην ἔλαβεν ἀναμφίδοξον, ὅτι νικᾷ ἐν τοῖς τρισὶ κόσμοις δι' αὐτῆς τῆς Σελήνης [6], φίλα αὐτῷ φρονούσης καὶ συνεργούσης εἰς νίκην, καὶ φερομένης ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα, τοῦ νικήσαντος τὸν Ἔρωτα.

---

1. Ὁ μὲν Ἥλιος ἐν τῇ ἡμέρᾳ, ἡ δὲ Σελήνη ἐν τῇ νυκτί.

2. Ἐντεῦθεν ἄρχεται τῆς ὑποθέσεως, ὕμνον ποιῶν εἰς τὴν Σελήνην, ἐξ ἧς κατάγονται οἱ ἐν τῷ ποιήματι τούτῳ ᾀδόμενοι ἥρωες καὶ ἡμίθεοι.

3. Πλήρης παντὸς ἀγαθοῦ λέγεται παρ' Ἰνδοῖς ἡ Σελήνη, ἐπειδὴ ἀναψύχει καὶ ζωογονεῖ τὸ πᾶν διὰ τῶν δροσιστικῶν αὐτῆς ἀκτίνων· ὅθεν καὶ νομίζεται, ὅτι ἀμβροσίαν ἔχει ἐν ἑαυτῇ.

4. Ἐνταῦθα ἐπαινεῖ τὴν Σελήνην, ὡς κρείττονα τοῦ Ἡλίου· ἡ μὲν γὰρ λάμπει ἀκτῖσιν ὑγραῖς καὶ δροσιστικαῖς· ὁ δὲ θερμαῖς καὶ καυστικαῖς.

5. Ὁ ἔρως παρ' Ἰνδοῖς γράφεται φέρων βέλη οὐ σιδηρᾶ, ἀλλ' ἄνθινα.

6. Οἱ φιλόσοφοι τῶν Ἰνδῶν λέγουσιν, ὅτι ἡ Σελήνη διεγερτική ἐστι τοῦ ἔρωτος, διὰ τὸ ὑγρόν· ὅθεν παρ' αὐτοῖς καὶ ἔστι καὶ λέγεται ἐρωτική, καὶ ἐκ τούτου φιλική πως ἐστὶ τῷ Ἔρωτι, καὶ ἐπίκουρος αὐτῷ εἰς νίκην. Καὶ ὁ ποιητὴς δὴ οὗτος εἰς ἔπαινον τῆς Σελήνης λέγει, ὅτι διὰ τῆς φιλίας καὶ βοηθείας αὐτῆς καὶ ὁ Ἔρως, ὃς φέρει ἄνθινα βέλη, δηλαδὴ ἀδρανῆ, ὄνομα μέγα ἔλαβεν, ὅτι νικᾷ ἐν τοῖς τρισὶ κόσμοις, (τρεῖς γὰρ κόσμοι δοξάζονται παρ' Ἰνδοῖς γενικῶς, οὐράνιος, ἐπιχθόνιος καὶ ὑποχθόνιος) καὶ θεοὺς καὶ ἀνθρώπους καὶ δαίμονας.

6. Αὕτη ἡ Σελήνη φέρεται ἀεὶ ὑπὸ τοῦ Σίβα οὐχ ὅλη, ἀλλὰ μέρος ἐπὶ κεφαλῆς [1], δι' οἵαν δήτινα αἰτίαν, καί περ οὔσης ἀγλαᾶς ἐκ τοῦ ῥείθρου τῆς Γαγγᾶς, τῆς καταῤῥεούσης ἐκ τοῦ οὐρανοῦ [2].

7. Ταύτης δὲ τῆς Σελήνης [3] ἡ γυνὴ, ᾗ ὄνομα Ῥοχινὴ [4], φίλτρον ἔχει διακαές, καὶ μόνη αὐτὴ θεραπεύει τὸ τραῦμα αὐτῆς τῆς Σελήνης, τὸ ἐκ τοῦ βέλους τοῦ Ἔρωτος. Τῆς δὲ Ῥοχινῆς τὴν μορφὴν διανοουμένη ἀεὶ ἀτενῇ τῇ διανοίᾳ ἡ Σελήνη, ὁμοιόμορφος αὐτῇ ἐγένετο.

8. Τῇ μὲν οὖν Σελήνῃ ταύτῃ καὶ τῇ Ῥοχινῇ υἱὸς γίνεται ὅμοιος κατὰ τὴν μορφὴν ἀμφοτέροις τοῖς γενήτορσιν, ᾧ ὄνομα Βούδας [5], παρὰ τὸ εἶναι ἔννους. Ὁ δὲ μέγας

---

1. Οἱονεὶ ἔλεγε· Τοσοῦτον πάντιμόν ἐςιν ἡ Σελήνη, ὥςε καὶ τὸν Θεὸν Σίβαν θεῖναι αὐτὴν, οὐχ ὅλην, ἀλλὰ τὴν ἡμισείαν ἐπὶ τῆς κεφαλῆς ἑαυτοῦ, (ὁ γὰρ Σίβας γράφεται φέρων τὸ ἡμισέληνον ἐπὶ τοῦ βρέγματος αὐτοῦ) δι' οἵαν δήτινα αἰτίαν, καί τοι ἔχει φιλικῶς τῷ Ἔρωτι, ὃς ἐχθρὸς τοῦ Σίβα λογίζεται, τοῦ νικήσαντος καὶ καταβαλόντος αὐτὸν, ὡς ἐν τῷ ἀνωτέρῳ ςίχῳ εἴρηται. Μυθολογεῖται ὅτι, τοῦ Σίβα ὄντος ποτὲ ἐν θεωρίᾳ νοὸς, ὁ Ἔρως παρέστη αὐτῷ, πειράσαι θέλων· αἰσθόμενος δ' ὁ Σίβας γαργαλισμοῦ ἔρωτος ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀνοίξας τοὺς ὀφθαλμοὺς καὶ ἰδὼν παρισάμενον τὸν Ἔρωτα, τόξον ἔχοντα ἐντεταμένον, ἀπετέφρωσεν αὐτόν. Τῶν δὲ θεῶν μεσιτευσάντων, ἀνεζώωσεν αὐτὸν ὁ Σίβας, ἵνα μὴ τὸ πᾶν διαφθαρείῃ· ἐξ ἔρωτος γὰρ καὶ συνουσίας τὸ πᾶν συνίσταται καὶ διαμένει.

2. Μυθολογεῖται ὅτι ἡ Γαγγὰ, ἤτοι ὁ Γάγγης ποταμὸς, καταῤῥέει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα ἐν τῷ ὄρει Ἰμαῷ, ἐκ δὲ τῆς κορυφῆς τοῦ Σίβα ἐπὶ τὴν γῆν τῆς Ἰνδίας.

3. Ἐνταῦθα ἄρχεται τῆς κατὰ τὴν Σελήνην γενεαλογίας. Σημείωσαι δὲ, ὅτι παρ' Ἰνδοῖς ἡ Σελήνη ἀρσενικῷ γένει λέγεται.

4. Ῥοχινὴ, Νύμφη, θυγάτηρ τοῦ Πάξα, πάγκαλος· ἔστι δὲ καὶ ὄνομα ἀστέρος.

5. Ὁ Βούδας παρ' Ἰνδοῖς ἐστιν ὁ παρ' Ἕλλησιν Ἑρμῆς, ὃς ἦν ἐλλογιμώτατος καὶ ἀστρονομικώτατος. Ἐτυμολογεῖ τὴν λέξιν ὁ ποιητὴς, Βούδας γὰρ λέγεται ὁ νοήμων καὶ ἔμφρων.

ἐχθρὸς Ῥαχοῦς [1], καί περ λυμεὼν ὢν τῆς Σελήνης, οὐ λυμαίνεται ὅμως αὐτῆς, διότι σύνεστι τῷ υἱῷ αὐτῆς Βούδᾳ [2].

9. Ἡσθεὶς δ' ὁ Ἥλιος τῇ πολλῇ θεραπείᾳ τούτου τοῦ Βούδα, διηνεκῶς συναυλιζομένου αὐτῷ [3], μεταδίδωσι τοῦ ἑαυτοῦ φωτὸς τῇ Σελήνῃ, κατ' ἀνάλογον αὔξησιν [4], καί περ ἀπεχθῶς διακειμένη τῷ Λωτῷ καὶ τῷ *Κόκᾳ*, τοῖς φίλοις τοῦ Ἡλίου [5].

10. Ὁ δὴ Βούδας οὗτος, ὃς ἦν τρυφηλὸς, καὶ σοβαρὸν εἶχε βάδισμα, ὡς τὸ τοῦ χηνὸς καὶ τοῦ ἐλέφαντος, καὶ ὑπερέβαινε τῷ κάλλει τὸν λίαν ἐπαιρόμενον Ἔρωτα,

---

1 Ὁ Ῥαχοῦς μυθευόμενος ἔστι δαίμων, ὃς δοξάζεται κοινῶς, ὅτι προσεγγίζων τῇ Σελήνῃ, εἰς τὸ καταπιεῖν αὐτὴν, προξενεῖ τὴν φαινομένην ἔκλειψιν· διὰ τοῦτο μέχρι τῆς σήμερον οἱ Ἰνδοὶ ἐν τῇ ἐκλείψει ἐν πολλῇ εἰσιν ἀγωνίᾳ ψυχῆς καὶ μετανοίᾳ, δεόμενοι θερμῶς καὶ λουόμενοι εὐλαβῶς, καὶ πολλὰ τοῖς πένησι δίδοντες, εἰς τὸ ἐξιλεῶσαι τὸν δαίμονα, τὸν ἐχθρὸν καὶ λυμαντῆρα τῆς Σελήνης.

2. Λέγουσιν ὡς κατὰ τὴν ἕνην καὶ νέαν συνοδεύει ὁ Ἑρμῆς τῇ Σελήνῃ· ὁ γὰρ Βούδας, καθὸ ἀστρονόμος ἔμπειρος, ἀπέδειξεν ὅτι τὸ πάθος τῆς Σελήνης, ἡ ἔκλειψις, ἐκ φύσεως γίνεται καὶ οὐχὶ ἐκ τοῦ μυθευομένου δαίμονος, βουλομένου λυμήνασθαι τῇ Σελήνῃ.

3 Λέγουσιν ὡς ὁ ἀστὴρ Ἑρμῆς συνοδεύει ἀεὶ τῷ Ἡλίῳ.

4 Θεωρῶν δηλονότι ὁ Βούδας, καθὸ ἀστρονομικὸς, καὶ τὰ τοῦ Ἡλίου, ἀπέδειξεν ὅτι ἡ Σελήνη ἐρανίζεται τὸ φῶς ἐκ τοῦ Ἡλίου.

5 Ἐνταῦθα ἐννοείσθω ἡ νὺξ, καθ' ἣν ἡ Σελήνη λάμπει· ἐν γὰρ τῇ νυκτὶ ἀμφότερα ταῦτα συμπάσχουσιν, ὅ,τε λωτὸς, ὅς ἐστιν ἄνθος, ὅτε Κόκας, ὅς ἐστιν εἶδος ὄρνιθος ὅμοιός πως νήσσῃ, καὶ ἐμφιλοχωρεῖ τοῖς ὕδασιν. Ὁ μὲν γὰρ λωτὸς, ὅταν ὁ Ἥλιος ἀνατέλλων λάμπῃ, λάμπει καὶ αὐτὸς καὶ γάνυται ἀνοιγόμενος· ὅταν δὲ δύῃ, δύει καὶ αὐτὸς συγκλειόμενος. Τοῦ δὲ ὀρνέου τούτου Κόκα, τὸ ἄῤῥεν καὶ τὸ θῆλυ, ἐν μὲν τῇ ἡμέρᾳ συνδιαιτῶνται, καὶ τὸ μὲν μένει ἐπὶ τῆς μιᾶς ἄκρας τοῦ ποταμοῦ ἢ τῆς λίμνης, τὸ δὲ ἐπὶ θατέρας· καὶ ὅταν τὸ ἓν κλάζῃ ἐκ

11. Πορευθείς ποτε ἅμα τοῖς ἑτέροις εἰς τὴν κορυφὴν τοῦ ὄρους Ἰμαοῦ, ἔστρεφε πολλάκις νεανιευόμενος τὸν δίκην βομβυλίου ῥεμβώδη ὀφθαλμὸν αὐτοῦ εἰς ἄλση διάφορα, ἀνθοφοροῦντα καὶ θάλλοντα.

12. Ἐνταῦθα εἶδεν ἐξαίφνης μίαν γυναῖκα ἐλαφῶπιν [1], μόνην βαδίζουσαν ἀγλαῶς καὶ σοβαρῶς ἐν τοῖς ἄλσεσι, κατοικητήριον οὖσαν τοῦ Ἔρωτος καὶ πηγὴν ἀμβροσίας τοῖς ὀφθαλμοῖς τῶν θεωμένων.

13. Ἐκ δὲ τοιαύτης ἀγλαΐας θέας ἐπήρθη [2] καὶ μακάριον ἐνόμισε τὸν ὀφθαλμὸν ἑαυτοῦ αὐτὸς ὁ μεγαλοφυής· διὸ ἐθεώρει ἀσκαρδαμυκτὶ αὐτὴν, ἀφεὶς τὴν θεωρίαν τοῦ ἄλσους, ὡς ἄχρηστον.

14. Πίνων δ' ὥσπερ φύλλοις λωτοῦ [3] τοῖς ἑαυτοῦ ὄμμασι τὴν τοῦ σεληνιαίου προσώπου αὐτῆς ἀμβροσίαν, οὐκ

τοῦ ἑνὸς μέρους, κλάζει καὶ θάτερον ἐκ θατέρου. Τοσοῦτον δὲ φιλάλληλόν ἐστι τὸ ζεῦγος τοῦτο ὥστε, τοῦ ἑνὸς ἀποθανόντος, συναποθνήσκει καὶ τὸ ἕτερον ἐκ λύπης καὶ μελαγχολίας. Κόκας ἐστὶν ὁ χηναλώπηξ.

1. Οἱ Ἰνδοὶ ἐπὶ ἐπαίνου ὀφθαλμῶν φέρουσι παραδειγματικῶς τὴν ἔλαφον, ἥτις ἔχει ὄμματα μεγάλα, μέλανα καὶ μακροειδῆ (ἀμυγδαλοειδῆ)· ἐπαινεῖται γὰρ παρ' αὐτοῖς καὶ διὰ πολλοῦ τιμᾶται τὸ μακροειδὲς τοῦ ὄμματος.

2. Τουτέστιν, ἐπειδὴ ἐνόμιζε τον ὀφθαλμὸν ἑαυτοῦ ἀνάξιον τοῦ βλέπειν καὶ ἐν ἀκαρεῖ τοιαύτην χαρίεσσαν ὄψιν, διὰ τοῦτο τότε ἐς τὰ μάλιστα ἐπήρθη, βλέπων αὐτὴν διὰ πολλοῦ. Ὑπερβολὴ δ' ἐστὶν ἐπαίνου τῆς ὡραιότητος αὐτῆς.

3. Μεταφορᾷ ὁμοιωματικῇ χρῆται ὁ ποιητής· καθὼς γὰρ ὁ πίνων ὕδατος, χρῆται τῇ δρακὶ, οὕτω καὶ ὁ Βούδας, χρησάμενος τοῖς βλεφάροις αὐτοῦ ὡς δραξὶν ἔπιε, τουτέστιν ἠρύσατο εἰς τὰ ὄμματα αὐτοῦ τὴν ἀμβροσίαν ἐκείνης· ἡ δὲ μεταφορὰ πάνυ ἀστεία· κοῖλα γὰρ τὰ βλέφαρα καθὼς καὶ αἱ δράκες, δι' ὧν ἀρυόμενοι ὕδωρ οἱ ἄνθρωποι πίνουσι.

ἔτυχε κόρου· ἀλλὰ καὶ οὕτως, ἔσειεν ἐν ταὐτῷ τὴν κεφαλὴν αὐτοῦ [1].

15. Προσηλωμένον δ' ἔχων τὸν ὀφθαλμὸν, οὗτος ὁ υἱὸς τῆς Σελήνης, ταύτῃ τῇ ἐκ τύχης ἀγαθῆς προσπεσούσῃ θυμηδεῖ θέᾳ τῆς ἀγλαΐας τοῦ σώματος ἐκείνης, διελογίζετο οὕτως ἐν ἑαυτῷ, ἐκ θαύματος καὶ φίλτρου μειδιῶν·

16. « Ποῦ γῆς ἡ ὕπαρξις ταύτης [2]; ἀλλ' οὐδὲ τὸ κάλλος » τῶν ὑπὸ γῆν θηλέων ὄφεων τοιοῦτόν ἐστι, κατακε- » καυμένων τὴν ἀγλαΐαν ἐκ τοῦ οὗ ἔχουσι φαρμάκου· » ἀλλὰ καὶ ἡ μορφὴ τῶν θεαινῶν ἐθεάθη μοι· τέταρτος » δὲ κόσμος οὐκ ἔστιν οὐδαμῇ.

17. « Μῶν ἡ Μενὰ, ἡ γυνὴ τοῦ βασιλέως τῶν ὀρέων Ἰμαοῦ, » ἐγέννησε ταύτην ἐνταῦθα ἄλλην Γαουρὴν, γενησομένην » σύνευνον τοῦ Βραχμᾶ [3], ἢ τοῦ Βισνοῦ;

18. Χύδην τὴν χάριν ἐγχέας ταύτῃ τῇ καλλικόμῳ [4] ὁ Βραχμᾶς, ὅση οὐκ ἦν χωρητὴ ἐν τοῖς μέλεσιν ἀκριβῶς, ἔθετο ταύτην ἐν τῇ κεφαλῇ, ἥ ἐστιν ἡ λιπαρὰ καὶ ἀγλαὰ αὐτῆς κόμη [5].

---

1. Εὐφραίνετο δηλονότι, ὡς κορεσθείς· ἴδιον γὰρ τῶν Ἰνδῶν, ὅταν ἀκούωσιν ἢ βλέπωσί τι λίαν θυμῆρες καὶ θυμηδὲς, τὸ ὑποσείειν τὴν κεφαλὴν αὐτῶν, ὡς σημεῖον θαύματος καὶ κόρου.

2. Ἀπορεῖ ἐνταῦθα θαυμάζων ὁ Βούδας, ὅτι οὐτ' ἐν γῇ τοιοῦτον πότ' ἐγένετο κάλλος γυναικεῖον, οὔθ' ὑπὸ γῆν, ἔνθα οἱ μυθευόμενοι ὄφεις διάγουσιν, οὔτε μὴν ἐν οὐρανῷ, ἔνθα οἱ θεοί. Ἵνα δὲ μὴ εἴπῃ τις, ὅτι ἀλλαχοῦ που ἐγένετο, διὰ τοῦτο ἐπιφέρει, ὅτι τέταρτος κόσμος οὐκ ἔστιν, ἔνθα κάλλος τοιοῦτον γεννᾶται· ὑπερβολὴ δέ ἐστιν ἐπαίνου.

3. Ὁ Βραχμᾶς παρ' Ἰνδοῖς ἐςιν ὁ ποιητὴς καὶ δημιουργὸς τοῦ παντός.

4. Ἐν τοῖς ἑξῆς ἐπαινον ποιεῖ ἑκάστου τῶν μελῶν αὐτῆς, καὶ πρῶτον ἄρχεται ἀπὸ τῆς κόμης.

5. Οἱονεὶ ἔλεγεν· αὕτη ἡ κόμη οὐκ ἔστιν ἀληθὴς κόμη, ἀλλ' αὐτὴ ἡ χάρις. Ἡ μελανότης ἀπεικάζεται τῇ χάριτι· ἐπειδὴ καὶ ὁ χαρίης Κρισνᾶς ἦν μέλας.

19. Αὕτη ἡ ἐπὶ τοῦ βρέγματος *Σημάντα*, ἡ ἀνατεταμένη κατ' εὐθεῖαν μέσον τῆς ἐκτεταμένης κόμης, οὐκ ἔστι *Σημάντα*, ἀλλ' *Οὐρδβαρέκα* [1], ἣ αἰνίττεται τὴν ἀγλαΐαν τῆς μελαίνης κόμης, καὶ ὑπερτερεῖ παντὸς μέλανος πράγματος ἐν κόσμῳ.

20. Ἡ μὲν μία μοῖρα τῆς Σελήνης κεῖται ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα· θατέρα δὲ μοῖρα πεποίηκεν ὁ Βραχμᾶς ταύτης τὸ μέτωπον· διὰ τοῦτο δεκατέσσαρες μοῖραι μόνον θεωροῦνται ἐν ταῖς νυξὶν ἀπὸ τῆς δευτεραίας Σελήνης, ὅταν αὐξάνῃ.

21. Ἡ σειρὰ τῶν ὀφρύων [2] ταύτης ἐπὶ τῶν δύο ὀφθαλμῶν, τῶν ὄντων ὥσπερ δύο θυρῶν τοῦ οἴκου τῆς καρδίας αὐτῆς, ἀγλαὰ φαίνεται, καθὼς ἡ ἐκ φύλλων σειρὰ [3], ἡ ἐπὶ θυρῶν, ἐν εἰσελεύσει τινος εὐδαίμονος.

22. Ἐπειδὴ ὁ σοφὸς Βραχμᾶς ἔκρινεν ὡς ὁ λωτὸς, ὁ κόσμος τῶν ὠτίων, οὐδὲν συμβάλλει εἰς τὴν μέλλουσαν ἀγλαΐαν τοῦ προσώπου ταύτης, διὰ τοῦτο ἐποίησε τὰ δύο μα-

---

1 Αἱ Ἰνδικαὶ γυναῖκες εἰώθασι τείνειν τὰς τρίχας τῆς κεφαλῆς ἑκατέρωθεν τοῦ βρέγματος καὶ συνδέειν αὐτὰς ὄπισθεν· ἐκ δὲ τῆς τάσεως ταύτης τῶν τριχῶν ἀποτελεῖται ἐν τῷ μέσῳ τοῦ βρέγματος ἓν σημεῖον τοῦ δέρματος, ὃ κρίνεται παρ' αὐταῖς καλλωπισμὸς, ἀρχόμενον κατ' εὐθεῖαν ἀπὸ τοῦ μετώπου μέχρι τῆς κορυφῆς· καλεῖται δὲ Σημάντα, καὶ κρίνεται κάλλους μέρος. Οὐρδβαρέκα λέγεται μία γραμμὴ εὐθεῖα ἐπὶ τῆς παλάμης ἀπὸ τοῦ ἁρμοῦ τοῦ καρποῦ μέχρι τοῦ ἁρμοῦ τοῦ μέσου δακτύλου· ἐν ᾗ δὲ χειρὶ εὑρίσκεται τοιαύτη γραμμὴ, αἰνίττεται ὡς ὁ ἄνθρωπος πανευδαίμων ἔσεται.

2. Ἔπαινος τῶν ὀφρύων.

3. Ἤτοι τὰ στεφανώματα.— Οἱ Ἰνδοὶ εἰώθασι συνδέειν φύλλα ἐκ δένδρων καὶ τιθέναι αὐτὰ κατὰ σειρὰν ἐπὶ τῶν θυρῶν ἐν ἑορταῖς, ἢ ἐν γάμοις, ἢ ἐν εἰσελεύσει ἐνδόξου ἀνδρὸς, εἰς εὐπρέπειαν καὶ χαρᾶς σημεῖον· διὸ ὁ ποιητὴς ἀπεικάζει ἑκατέραν τὴν ἐπὶ τῶν ὀφθαλμῶν ταύτης ὀφρὺν τῇ ἐπὶ τῶν θυρῶν τιθεμένῃ ἐκ φύλλων σειρᾷ. Ἡ Ἰνδικὴ λέξις τοῦ κειμένου ἐννοεῖ τὸ φυτὸν, τὸ μὴ ἔχον κλάδους, ἀλλ' ἐκτεινόμενον βλαστηδὸν, ὥσπερ ἡ κολοκύνθη ὁ κισσὸς, κ. τ. λ.

κροειδῆ καὶ λωτοειδῆ ὄμματα [1], κατάλληλον κόσμον τῶν ὠτίων.

23. Ὑπὸ τοῦ Ἔρωτος καὶ τῆς ὡραιότητος κατεσκευάσθησαν, ὡς δύο βρόχοι, τὰ ὦτα [2] ταύτης, εἰς δεσμὸν τῶν ἐμῶν ὀφθαλμῶν, οἱ ἀπατηθέντες, ὡς ἄγριοι ἔλαφοι, ὑπὸ τῶν ταύτης ὀφθαλμῶν, οἵ εἰσιν ὡς ἀπατηλοὶ ἥμεροι ἔλαφοι, ἐδεσμεύθησαν.

24. Ὁ Βραχμᾶς αὐτὸς ἔπηξε τὴν ῥίνα, ὡς χάρακα καὶ διάφραγμα, ἐν τῷ μέσῳ τῶν ταύτης παρειῶν [3], αἳ νικῶσι τὴν Σελήνην, καὶ ἐπὶ νίκῃ ἁμιλλῶνται πως ἀλλήλαις.

25. Ἡ ἀγλαΐα τοῦ μειδιάματος ταύτης [4] φαίνεται ὡς ἐκρέουσα ἀγλαΐα τῆς Σελήνης, ἣν κατέπιεν [5] αὕτη ἡ σεληνοπρόσωπος, καὶ ὡς ὅρμος ἐκ μαργάρων, καὶ ὡς λαμπρὰ

---

1. Ἔπαινος τῶν ὀμμάτων. — Αἱ Ἰνδικαὶ γυναῖκες τιθέασιν ἐν τοῖς ὠσὶ λωτοὺς ὡς κοσμήματα· διὸ ὁ ποιητὴς ἐπιφέρει, ὅτι ὁ λωτὸς οὐδὲν συμβάλλει ἐνταῦθα· λωτοὶ γάρ εἰσι τὰ δύο ταύτης ὄμματα. Σημείωσαι δὲ, ὅτι οἱ Ἰνδοὶ ἀναφέρουσι τὸ ἄνθος λωτὸν εἰς τὸ καλὸν ὄμμα, τὸν εὐόφθαλμον λέγοντες λωτόφθαλμον· ἐπαινοῦνται δὲ καὶ τὰ μακροειδῆ ἢ ἀμυγδαλοειδῆ ὄμματα.

2. Ἔπαινος τῶν ὤτων. — Οἱονεὶ ἔλεγε· τὰ ὦτα ταύτης οὐκ εἰσὶν ἀληθῆ ὦτα, ἀλλὰ βρόχοι πεποιημένοι εἰς δεσμὸν τῶν ἐμῶν ὀφθαλμῶν, τουτέστιν οἱ βλέποντες ταῦτα τὰ ὦτα ὀφθαλμοί μου δέδενται τούτοις, ὡς βρόχοις, καὶ ἀκίνητοι μένουσιν. Ὁ μὲν Ἔρως καὶ ἡ ὡραιότης ὡς δύο θηρευταί εἰσι, τὰ δ' ὦτα, ὡς βρόχοι, οἱ δ' ὀφθαλμοὶ ὡς ἔλαφοι, οἳ ἀπατῶσι τοὺς ἀγρίους. Τὸ οὖς παρὰ τοῖς Ἰνδοῖς ἀπεικάζεται τῷ λωτῷ.

3. Ἔπαινος τῆς ῥινὸς καὶ τῶν παρειῶν ὁμοῦ. — Ἡ παρειὰ ἀπεικάζεται τῇ Σελήνῃ.

4. Ἔπαινος τοῦ μειδιάματος καὶ τῆς γλώσσης ὁμοῦ.

5. Ἐνίκησε δηλονότι καὶ τὴν Σελήνην τῇ λαμπρότητι καὶ ἀγλαΐᾳ. Τὸ λευκὸν ἀναφέρουσιν οἱ Ἰνδοὶ εἰς τὸν γέλωτα· ὅταν γὰρ γελᾷ, γάνυται τὸ πρόσωπον, καθὼς ὁ ἀπὸ τοῦ τραχήλου καθιέμενος καὶ διαῤῥέων ἐπὶ τοῦ στήθους στέφανος ἐξ ἀνθέων λευκῶν ἢ μαργάρων.

ἄκρα τῆς ἐξωμίδος τῆς Σαρασβατῆς [1], τῆς ἐπικαθημένης ἐπὶ τοῦ ἄκρου τῆς γλώττης, τῆς οὔσης ὡς σαλευομένης αἰώρας [2].

26. Οὗτος ὁ φαινόμενος μὲν βομβύλιος, ὢν δὲ ὡς ὁ ἐν Σελήνῃ σπίλος, καί τοι ἀπωθεῖται ἀπὸ τῆς πληθύος τῶν ἀκτινοβολιῶν ταύτης τῆς σεληνοπροσώπου, οὐκ ἀφίησιν ὅμως τὸ πρόσωπον, ἐφιπτάμενος τῇ πολλῇ εὐωδίᾳ τῆς ἀναπνοῆς [3].

27. Τὸ χεῖλος [4] ταύτης, τὸ ὂν ἁγλαὸν ἐρυθρότητι καὶ σύμμικτον φαιδρῷ μειδιάματι, φαίνεται ὥσπερ κοράλλιον, ἐκριφθὲν εἰς τὸ ἄκρον τοῦ στόματος ὑπὸ τῶν κυμάτων τῆς

---

1. Ἐπειδὴ ὅταν γελᾷ τὸ πρόσωπον, ὑποφαίνεται τὸ ἄκρον τῆς γλώττης, διὰ τοῦτο λέγει ἀστείως, ὅτι τὸ μειδίαμα ταύτης ἁγλαΐζεται τῷ ἄκρῳ τοῦ πέπλου τῆς Σαρασβατῆς· ἡ δὲ Σαρασβατὴ θεὰ ἐστὶν, ἔφορος τῆς γλώττης. Λευκὸν λέγεται τὸ μειδίαμα, λευκὴ δ' ἔστι καὶ ἡ Σελήνη, λευκοὶ καὶ οἱ μαργαρῖται, λευκὸς καὶ ὁ πέπλος τῆς Σαρασβατῆς.

2. Πάνυ ἀστείως καὶ καταλλήλως ὁ ποιητὴς ὁμοιοῖ τὴν γλῶσσαν, ἥτις ἐστὶ κρεμαμένη πως καὶ σαλευομένη, καὶ ἐφ' ἧς τῆς ἄκρας κάθηται ἡ Σαρασβατὴ θεὰ, ὡς ἔφορος, τῇ αἰώρᾳ, ἥτις ἐστὶν εἶδος παιδιᾶς ἐκ σχοινίου κρεμαμένου ἀπὸ δένδρου ἢ ξύλου, καὶ ἐφ' ἧς τῆς ἄκρας κάθηνται ἤτοι γυναῖκες ἢ παῖδες καὶ σαλεύονται παίζοντες.

3. Ἔπαινος τοῦ στόματος, ὅτι εὐῶδες πνέει, καὶ τοῦ ὅλου προσώπου ἐν ταὐτῷ.—Ἐπειδὴ ἐπαινῶν αὐτὴν λέγει σεληνοπρόσωπον, ἐν δὲ τῇ Σελήνῃ ἔνεισί τινα μέλανα στίγματα, διὰ τοῦτο πλάττων ἐπεισάγει τὸν βομβύλιον, ὡς ἱπτάμενον περὶ τὸ πρόσωπον αὐτῆς. Ὁ δὲ βομβύλιος ζωύφιόν ἐστι πτερωτὸν, μέλαν, καὶ ἐμβομβοῦν, ὃ ἐφιζάνον τοῖς εὐώδεσιν ἄνθεσιν, ἐκμυζᾷ τὸ ἐκείνων ἡδύ. Οἰονεὶ ἔλεγεν· οὗτος ὁ βομβύλιος, ὃς καὶ περ ἀπωθούμενος ἐκ τῆς πολλῆς ἀκτινοβολίας τῆς σεληνοπροσώπου ταύτης, οὐκ ἀπαλλάττεται, ἀλλ' ἐφίπταται τῇ πολλῇ εὐωδίᾳ τῆς ἀναπνοῆς ἐκ τοῦ στόματος αὐτῆς, οὐκ ἔστιν ἀληθὴς βομβύλιος, ἀλλὰ μέλας σπίλος, ὡς ὁ ἐν τῇ Σελήνῃ.

4. Ἔπαινος τοῦ χείλους.

γαλακτικῆς θαλάσσης τῆς ἡδονῆς τοῦ ἐν τῇ καρδίᾳ Ἔρωτος.

28. Τίς εὐδαίμων γεύσαιτο ἂν τῆς γλυκύτητος, ἧς ἔχει τὸ χεῖλος [1] τοῦτο, τὸ περιβρεχόμενον μειδιάμασιν, ὡς χυμοῖς ἡδέσι, τοῖς ἐκρέουσιν ἐκ τῆς ἄκρας τῆς γλώττης, τῆς οὔσης πηγῆς ἀμβροσίων λόγων;

29. Οὗτος ὁ λαιμὸς [2] ταύτης θυμηδίαν δίδωσιν, ὁ ἔχων τρεῖς φωνὰς, ὀξεῖαν, βαρεῖαν, καὶ μέσην, διὸ καὶ τρίγραμμός ἐστιν καὶ ὢν ὡς ἄλλος κόγχος τοῦ ἔρωτος, ἐμπνεόμενος ἐν ἐκστρατεύσει ἐπὶ νίκῃ κατὰ τῶν τριῶν κόσμων.

30. Αὕτη ἀγλαΐζεται τοῖς ἐπὶ τῷ στήθει μαστοῖς [3], οἳ συνέστησαν ἐκ τοῦ ἀποστάζοντος χαριεστάτου καὶ γλυκυτάτου χυμοῦ τῶν ὑπερπλήρων παρειῶν, καὶ συνεπάγησάν πως τῇ πολλῇ ψυχρότητι τοῦ χυμοῦ.

31. Οἱ βραχίονες ταύτης [4], οἱ ὄντες ὡς δύο καλλίῤῥοοι ποταμοὶ, ἀναπηγάζοντες ἐκ τῶν γεγανυμένων καὶ ἀγλαῶν παρειῶν, διδότωσαν χαρὰν, ὅταν ἑνωθῶσιν ἀλλήλοις, τῷ ἐλθόντι εἰς τὰς ἀγκάλας αὐτῆς.

---

1. Ἕτερος ἔπαινος τοῦ χείλους καὶ τῆς γλώττης ὁμοῦ.

2. Ἔπαινος τοῦ λαιμοῦ.— Τῷ λαιμῷ τινων ἐπισυμβαίνουσι τρεῖς γραμμαὶ, αἳ ἐπαινοῦνται λίαν παρ' Ἰνδοῖς καὶ μέρος τοῦ κατὰ τὸ σῶμα κάλλους κρίνονται. Ἐπειδὴ δὲ καὶ ὁ μέγας κόγχος τρεῖς ῥυτιδοειδεῖς γραμμὰς ἔχει κατὰ περιφέρειαν, καὶ λευκός ἐστι προσέτι, διὰ τοῦτο ὁ καλὸς λαιμὸς ἐπὶ ἐπαίνου συγκρίνεται τούτῳ. Οὗτος ὁ κόγχος ἱερὸς παρ' Ἰνδοῖς λογίζεται καὶ σημαντικὸς νίκης, ὃς πρότερον μὲν ἐνεπνέετο ἐν ἀρχῇ τοῦ πολέμου ἐπὶ νίκῃ, νῦν δ' ἐμπνέεται μόνον ἐν ταῖς πρὸς τὸν Σίβαν λατρείαις, καὶ ἐν ταῖς πρὸς τοὺς λοιποὺς θεούς.

3. Ἔπαινος τῶν μαστῶν καὶ τῶν παρειῶν ὁμοῦ.

4. Ἔπαινος τῶν βραχιόνων, τῶν ὠλενῶν.—Καθὼς δύο ποταμοὶ ἑνούμενοι χαρὰν διδόασι τῷ ἐμβαπτιζομένῳ, οὕτω καὶ οἱ βραχίονες αὐτῆς ἑνούμενοι εἰς περίπτυξιν.

32. Κατὰ τίνος εὐδαιμονεστάτου τῶν ἡδυπαθῶν, ὃς ἔτυχε τῆς κατὰ τὴν ἡδονὴν βασιλικῆς εὐδαιμονίας, κινήσειεν ἂν αὕτη τὰς χεῖρας [1], ὅταν δηχθῇ τὸ χεῖλος, ὡς ῥιπίδας λευκὰς, τὰς οὔσας λαμπρὰς λαμπροῖς ὄνυξιν;

33. Μῶν τῶν Τιτάνων βουλομένων ταύτην ἁρπάσαι ἐν τῇ πλαστουργίᾳ, ὁ πλαστουργὸς Βραχμᾶς ἐκράτησεν αὐτὴν σφοδρῶς ἐκ τῆς ὀσφύος [2] τῇ δρακὶ, καὶ διὰ τοῦτο ἡ μὲν ὀσφὺς, ἀρτίπλαστος οὖσα καὶ ἀπαγὴς, ἐγένετο λεπτὴ ἐκ τῆς πιέσεως τῆς πιεσθείσης ὕλης, τὸ μὲν εἰς τὰ ἄνω χωρῆσαν, ἐποίησεν ὀγκώδεις τοὺς μαστοὺς [3], τὸ δ' εἰς τὰ κάτω, τοὺς γλουτούς;

34. Ἆρα ὁ Ἔρως, κρατῶν τὰς ἐν τῇ κοιλίᾳ [4] ταύτης τρεῖς ῥυτιδοειδεῖς γραμμὰς, ὡς τρεῖς βακτηρίας [5], ἄσκησιν

---

1. Ἔπαινος τῶν χειρῶν. — Ἐν τῷ Ἰμαῷ τῷ ὄρει εἶδός ἐστι βοὸς, ὅπερ δι' ὅλου λευκὸν ἐστι καὶ οὐρὰν ἔχει λευκότριχα, πολύτριχα καὶ μακρότριχα. Ταύτην τὴν οὐρὰν διὰ πολλοῦ τιμῶσιν οἱ Ἰνδοί· ὅθεν οἱ ἐνδοξότεροι αὐτῶν, καὶ κατ' ἐξοχὴν οἱ ἡγεμόνες καὶ βασιλεῖς, εἰώθασι ῥιπίζεσθαι ἑκατέρωθεν τοιαύταις οὐραῖς, κεκοσμημέναις κατὰ τὴν λαβὴν χρυσῷ ἢ ἀργύρῳ, ὑπὸ δύο νέων ἱσταμένων, κρίνοντες τοῦτο τιμὴν καὶ δόξαν, καὶ ὡς ἓν τῶν βασιλικῶν παρασήμων. Ταύταις οὖν ταῖς βοείαις λευκαῖς οὐραῖς, ἃς κινοῦντες ῥιπίζουσι τὸν βασιλέα εἰς τιμὴν, παραβάλλει ἀσείως ὁ ποιητὴς τὰς χεῖρας ταύτης τῆς ὡραίας, λέγων, ὅτι εὐδαιμονέστατος ἂν εἴη, ὡς ἀπολαύσας τῆς βασιλικῆς εὐδαιμονίας, ἐκεῖνος, καθ' οὗ κινήσειεν ἂν αὕτη τὰς αὐτῆς χεῖρας, ὅταν δηχθῇ τὸ χεῖλος, εἰς τὸ ἀποσοβῆσαι αὐτόν.

2. Ὀσφὺς ἔπαινος. — Τουτέστι τοιαύτη λεπτὴ ἦν, ὥστε συμπεριλαμβάνοιτο ἂν καὶ τῇ δρακὶ τῆς χειρὸς, δηλονότι πυγμαία ἦν ἡ ὀσφὺς τὸ πάχος, χειροπληθής. Ἐπαινεῖται ἡ λεπτὴ ὀσφύς.

3. Ἐπαινοῦνται γὰρ οἱ μεγάλοι μαστοὶ καὶ γλουτοὶ παρ' Ἰνδοῖς.

4. Ἔπαινος τῆς κοιλίας. — Καθὼς ἐν τῷ λαιμῷ ἐπισυμβαίνουσί τισι τρεῖς ῥυτιδοειδεῖς γραμμαὶ, οὕτω καὶ ἐν τῇ κοιλίᾳ, αἳ ἀναφέρονται εἰς ἔπαινον, κάλλους μέρος κρινόμεναι παρ' Ἰνδοῖς.

5. Πολλὰ τὰ τάγματα τῶν ἀγάμων καὶ μοναστῶν ἐν Ἰνδίᾳ καὶ ἐκ

ποιεῖται [1] ἐν τῇ σειρᾷ τῶν κατὰ τὴν κοιλίαν τριχῶν [2], ὡς ἐν τῇ ὄχθῃ τῆς Ἰαμουνᾶς, τοῦ ποταμοῦ [3] εἰς τὸ νικῆσαι ἐκεῖνον, οὗ τῇ ὡραιότητι ἐνικήθη;

35. Ὁ ἔρως καυθεὶς τῷ τοῦ Σίβα θυμῷ, ὡς πυρὶ, ἐπήδησε δοκεῖ μοι, εἰς τὸν ὡς βυθὸν ταύτης ὀμφαλὸν [4], ἔνθα ἡ λεπτὴ καὶ εὐθεῖα σειρὰ τῶν τριχῶν, ὡς διαῤῥέουσα χάρις φαίνεται.

36. Ὁ τοξικὸς Ἔρως συνεχῶς γυμναζόμενος τὴν τοξικὴν ἐπὶ

τούτου πολλά εἰσι καὶ τὰ ὀνόματα αὐτῶν· ἓν δὲ καὶ τοῦτο, τὸ ἔχειν ἀεὶ ἐν τῇ χειρὶ μίαν ῥάβδον ἐκ καλάμου ἢ τρεῖς, καὶ μίαν ὑδρίαν ἐκ κολοκύνθης καὶ μηδὲν παρὰ ταῦτα φρονεῖν· ὁ δὲ ὢν ἐκ τούτου τοῦ τάγματος λέγεται Δανδὴς, ὅ ἐστι ῥαβδοῦχος.

1. Ἄσκησιν δηλονότι ποιεῖται εἰς τὸ γενέσθαι ὡραιότερος καὶ νικήσαι ἐκεῖνον, οὗ τῇ ὡραιότητι ἐνικήθη· οἱ γὰρ Ἰνδοὶ δοξάζουσιν, ὅτι διὰ τῆς ἀσκήσεως καὶ σκληραγωγίας ἀπολαμβάνει τὸν πρὸς ὃν ὅρον ὁ ἄνθρωπος, τὸν οὐρανὸν δηλονότι, ἢ ἀθανασίαν, ἢ πλοῦτον, ἢ κάλλος, ἢ δόξαν, μετασωματούμενος, καὶ ἐν ἑνὶ λόγῳ ὅ,τι ἔχει ἐν τῷ νοῒ αὐτοῦ ὁ ἄνθρωπος, καὶ φαντάζεται καὶ ὑπεραγαπᾷ, ἐκεῖνο καὶ γίνεται μετὰ θάνατον.

2. Σειρὰ τριχῶν ἐκφυομένων κατ' εὐθεῖαν ἐν τῷ μέσῳ τῆς κοιλίας. Μέλαιναι δὲ αἱ τρίχες ὡς καὶ ἡ Ἰαμουνά.

3. Εἰσί τινες τῶν ποταμῶν ἐν Ἰνδίᾳ, οἳ ἱεροὶ καὶ ἅγιοι καὶ νομίζονται καὶ λέγονται, καὶ διὰ τοῦτο παρὰ τὰς ὄχθας αὐτῶν πολλοὶ τῶν ἐνθουσιαστικῶν καὶ δεισιδαιμόνων διάγουσιν ἀσκούμενοι. Τούτων δὲ τῶν ἱερῶν ποταμῶν εἷς ἐστι καὶ ἡ Ἰαμουνὰ, ὃς περίφημός ἐστι, διότι παρὰ τὴν ὄχθην αὐτοῦ διέτριβε καὶ ᾤθυρεν ὁ περίφημος Κρισνᾶς. — Σημείωσαι, ὅτι πάντα τὰ ὀνόματα τῶν ποταμῶν θηλυκῷ γένει λέγονται παρ' Ἰνδοῖς.

4. Ἔπαινος ὀμφαλοῦ. — Ὁ Σίβας θυμὸν ἔσχε καὶ ὀργὴν κατὰ τοῦ Ἔρωτος, ἐπειδὴ ἠθέλησε πειράσαι αὐτὸν, ὡς εἴρηται (Σελ. 3, ἐν τοῖς σχολίοις). — Ἐπαινεῖται ὁ στρογγύλος καὶ βαθὺς ὀμφαλός.

τῆς παχείας ταύτης ἥβης [1], ὡς ἐπ' ἀκτῆς διαυγοῦς θαλάσσης, τίνος διάνοιαν, ἢ ἀφανής ἐστι καὶ ἀσταθὴς, οὐ διαπείρει [2];

37. Παρασκευασάμενος ὁ Βραχμᾶς πολλὴν καὶ καλὴν ὕλην, εἰς τὸ πλάσαι τοῦτο τὸ λεπτὸν καὶ πάγκαλον σῶμα, ἔθετο ὅλην τὴν λοιπὴν ὕλην ἐν τοῖς παχέσι ταύτης γλουτοῖς [3].

38. Οἱ ταύτης μηροὶ [4], οἳ ὑπερβαίνουσι τὴν προβοσκίδα τοῦ ἐλέφαντος, παχύτεροι ἂν ἐγένοντο καὶ αὐτῆς ἀναμφιβόλως ἐκ χαρᾶς, εἰ μὴ ἦσαν συγκρινόμενοι τοῖς ἀπαραμίλλοις μετακαρπίοις αὐτῆς.

39. Αἱ λαμπραὶ ταύτης κνῆμαι [5] δύο κινήτοις τοῦ Ἔρωτος καὶ τῆς ὡραιότητος τροπαίοις ἐοίκασιν, ἄντικρυ ἔχουσαι τοὺς τῶν δακτύλων ὄνυχας, ὡς ἐπιγραφὴν τοῦ καλλιστείου.

40. Τὸ ζεῦγος ταύτης τῶν ποδῶν [6], ὅπερ ἀπέῤῥιπται ἐπὶ

---

1. Ἔπαινος τῶν περὶ τὴν ἥβην, τῶν βουβώνων κ. τ. λ.

2. Ὁ ἔμπειρος καὶ τὰ λεπτὰ καὶ ἀσταθῆ εὐστόχως διαπείρει.

3. Ἔπαινος τῶν γλουτῶν. — Οἱ παχεῖς γλουτοὶ ἐπαινοῦνται παρὰ τοῖς Ἰνδοῖς.

4. Ἔπαινος τῶν μηρῶν καὶ τῶν μετακαρπίων ὁμοῦ. — Ἡ προβοσκὶς τοῦ ἐλέφαντος ἐπὶ μὲν τὰ ἄνω παχυτέρα ἐστὶν, ἐπὶ δὲ τὰ κάτω λεπτοτέρα, κατ' ἀναλογίαν· καὶ ἁπαλὴ δ' ἔστι καὶ λιπαρὰ ὡς πρὸς τὸ λοιπὸν σῶμα· διὰ τοῦτο οἱ καλοὶ μηροὶ παραβάλλονται ἐκείνῃ τῇ προβοσκίδι παρ' Ἰνδοῖς. Συγκρίνεται δ' ὁ μηρὸς καὶ τῷ μετακαρπίῳ, ὅ ἐστι τὸ κάτω μέρος τῆς παλάμης, ἀπὸ τοῦ ἁρμοῦ τοῦ καρποῦ μέχρι τοῦ ἁρμοῦ τοῦ μικροῦ δακτύλου.

5. Ἔπαινος τῶν κνημῶν. — Λίαν ἀραρότως ὁμοιοῖ ὁ Ποιητὴς τὰς κνήμας τοῖς ἐπὶ νίκῃ στύλοις καὶ κίοσι· τὰ γὰρ γόνατα τὰ ἐπὶ τῶν κνημῶν, ὡς κιονόκρανά εἰσιν, οἱ δὲ κάτω πόδες ὡς βάσις.

6. Ἔπαινος τῶν ποδῶν. — Οἱ Ἰνδοὶ, ἐπειδὴ δοξάζουσι τὴν μετεμψύ-

τὰ κάτω ὑπὸ τῶν λοιπῶν μελῶν, ἔχον τὴν σειρὰν τῶν ὀνύχων, ὡς *Μηλὰν* (κομβολόγιον), ὑποτονθορίζει προσευχόμενον [1], διὰ τῶν βόμβων τοῦ ῥεμβομένου βομβυλίου, οἰομένου ἅτι λωτοί εἰσιν.

41. Ἐγὼ νομίζω τοὺς κατὰ σειρὰν ὄνυχας [2] ὡς λίθους πολυτίμους, δι' ὧν ἐτιμήθησαν οἱ πόδες ταύτης ὑπὸ τῶν συνεύνων τῶν ἐφόρων θεῶν τῶν δέκα διαστάσεων [3] τοῦ τόπου, αἳ αὐτομολήσασαι εἰς ἔντευξιν, ἐνικήθησαν ὑπὸ τοῦ κάλλους τοῦ σώματος αὐτῆς.

42. Ὁ μὲν χὴν, νικηθεὶς τῷ σοβαρῷ ταύτης βαδίσματι [4], ἐρυθρὸς γίνεται τὸ πρόσωπον ἐκ θυμοῦ, ὁ δ' ἐλέφας, μέλας ἐκ μελαγχολίας· διὰ τοῦτο καὶ διαῤῥηγνύουσι τοὺς λωτοὺς, νομίζοντες ὡς οἱ πόδες εἰσὶ ταύτης.

43. Ὁ δ' ὀφθαλμὸς ἐκείνης, καί τοι ἦν ὀξυῤῥεπὴς εἰς τὴν θεωρίαν τοῦ ἄλσους, ἐπήδησεν, ὡς νεβρὸς, εἰς τὸ σελη-

---

χωσιν, καὶ ὅτι κατὰ τὸν πόνον καὶ κατὰ τὸ ποθούμενον ἀπολαμβάνουσι μετὰ ταῦτα, διὰ τοῦτο πολλοὶ τῶν ἀπεριμμένων καὶ καταπεφρονημένων δι' ἀγένειαν ἢ διὰ πενίαν, ἀσκοῦνται καὶ πονοῦσι προσευχόμενοι, ἵνα γένωνται κρείττονες ἐν τῇ μετὰ ταῦτα ἀναγεννήσει. Ὁ καλὸς ποῦς ἀπεικάζεται τῷ λωτῷ.

1. Οἱ Ἰνδοὶ ἔχουσι καὶ μυστικὰς εὐχὰς, ἃς ὑποκινοῦντες τὰ χείλη, διεξέρχονται ἐν τῷ προσεύχεσθαι· ἐπειδὴ οὖν ὁ μυστικῶς προσευχόμενος ὑποβομβεῖ πως καὶ ὑποφωνεῖ ἀνάρθρως, διὰ τοῦτο ἀστείως ἀπέδωκεν ὁ ποιητὴς τοῖς ποσὶν, ὡς ὑποτονθόρισμα, τὸν τοῦ Βομβυλίου βόμβον, ὅς ἐστι φωνὴ ἄναρθρος, ἐπιφοιτῶντος τοῖς ὄνυξιν, ὡς λωτοῖς.

2. Ἔπαινος τῶν ὀνύχων.

3. Δέκα διαστάσεις τοῦ τόπου ἀπαριθμοῦσιν οἱ Ἰνδοὶ, προστιθέντες καὶ τὰς τέσσαρας γωνίας τῶν τεσσάρων μερῶν· μιᾷ δὲ ἑκάστῃ τούτων τῶν διαστάσεων ἀποδιδόασι καὶ ἕνα ἕκαστον θεὸν, ὡς ἔφορον καὶ προστάτην.

4. Ἔπαινος τοῦ βαδίσματος. — Τὸ σοβαρὸν βάδισμα ἀπεικάζεται τῷ τοῦ χηνὸς καὶ τῷ τοῦ ἐλέφαντος.

νιαῖον πρόσωπον τοῦ ἐρωτολήπτου Βούδα, τοιαῦτα ἀναλογιζομένου ἐν καρδίᾳ, καὶ ἔστη ἀκίνητος.

44. Ἀμφότεροι δ' οὗτοι, ἐμβιβάσαντες ἀλλήλους διὰ τῆς καρδίας εἰς τὴν καρδίαν, πιόντες τε τὰ ἀλλήλων ὄμματα [1] διὰ τῶν ὀμμάτων, καὶ ἐμβυθισθέντες ἐν μεγάλοις ῥεύμασι μεγάλης χαρᾶς, ἴσταντο ἐνεοὶ διὰ πολλοῦ.

45. Ὅτε τοίνυν κατὰ πρῶτον ἐκ μόνης τῆς θεωρίας ἀγάπη τούτοις ἀμοιβαία ἐγένετο, τότε ἐκείνη ἡ ἑλαφόφθαλμος, στρέψασα τὸ πρόσωπον ἐξ ἀναφυείσης αἰδοῦς, εἵλκυσε τὴν ὅρασιν αὐτῆς ἀπ' αὐτοῦ.

46. Ὁ μὲν οὖν Βούδας δεθεὶς, ὡσπερεὶ σχοινίῳ, τῇ ὁράσει, καὶ ἑλκυσθεὶς ὑπ' ἐκείνης τῆς εὐοφθάλμου, ἡ ὑπερήσθη μὲν ἐκ φίλτρου, ἔστρεψε δὲ τὸ πρόπωπον ἐξ αἰδοῦς, ἦλθε πρὸς αὐτὴν ἐγγύτερον.

47. Καὶ, « Ὦ βελτίστη, ἔφη· σὺ τίς εἶ, ἡ οὖσα σημαία νικητικὴ κατὰ τῶν τριῶν κόσμων τοῦ μεγαλοσθενοῦς Ἔρωτος; Πόθεν, ὦ ὀξύῤῥοπε τὸν ὀφθαλμὸν, ἐνθάδε ἐλήλυθας; ἐλήλυθας δέ μοι δοκεῖ, ἀγαθῇ τύχῃ τῶν ἐμῶν ὀφθαλμῶν. »

48. Ἡ δ' ἔλεξε λόγον ἡδὺν πρὸς αὐτὸν, οὗ οἱ λόγοι ἦσαν ἔρωτος ἐκφαντικοὶ, καὶ ἐποίησε τὴν ἀκοὴν αὐτοῦ καταγελᾶν τῆς γευστικῆς αἰσθήσεως, ἣ ἀεὶ ἐγεύετο ἀμβροσίας [2].

49. « Ἐγὼ, ἔφη, ἣ ὀνομάζομαι Ἰδὰ, ἐγεννήθην ἅμα τοῖς » πρεσβυτέροις μου ἀδελφοῖς [3] ἐκ τοῦ χωνευτηρίου τῆς

---

1. Βλέποντες ἀλλήλους ἀσκαρδαμυκτί.

2. Τοσαύτην δηλ. ἡδονὴν ἔλαβεν ἐξ ἀκοῆς τοιούτου ἡδυτάτου λόγου, ὅσην οὐδέποτε ἔλαβεν ἐκ γεύσεως ἀμβροσίας· οἱ γὰρ θεοὶ ἀμβροσίαν ἀεὶ πίνουσι.

3. Δέκα ἦσαν τὸν ἀριθμὸν, ὧν πρῶτος ὁ Ἰξβακοῦς.

» μεγάλης θυσίας τοῦ Μανοῦ [1]· ἐλθοῦσά δ' εἰς τό δε τὸ » ἄλσος καὶ ἰδοῦσά σε, ἐπικερδῆ νομίζω τὴν ἐμαυτῆς » γέννησιν [2].»

50. Ἀκούσας δ' οὕτως ὁ υἱὸς τῆς Σελήνης, ἔλεξε λόγον, ὃς εἶχε λέξεις κεκαθαρμένας ἐκ τοῦ μειδιάματος, ὡς ἐκ λουτροῦ, καὶ ἦν ὥσπερ ἡδὺς ἐρευγμὸς ἐκ τοῦ κατὰ κόρον ποτοῦ τῆς πολλῆς ἀμβροσίας τοῦ ἀγλαοῦ ἐκείνης προσώπου.

51. « Ἡ φλὸξ τοῦ τῆς θυσίας πυρὸς, λαβοῦσα τὴν ἀμβρο- » σίαν σπονδὴν, ἀντέλαβε φύσιν ψυχρὰν καὶ παγίαν [3]. » διὰ τοῦτο σὺ μὲν ἔχεις τὴν τοῦ πυρὸς λαμπρότητα· » ἡ δ' ἀγλαάσου μέλαινα κόμη, ὡς καπνός ἐστιν ἀκί- » νητος [4].

52. « Σὺ μὲν θυγάτηρ πέφυκας τοῦ πυρὸς, τοῦ λίαν θερμοῦ· » ἐγὼ δ' υἱὸς τῆς Σελήνης, τῆς φύσιν ἐχούσης ψυχράν· » ἀντιδιδότωσαν οὖν αἱ ἀμοιβαῖαι περιπτύξεις, ὡς δό- » σεις φαρμάκων, μετριότητα τῆς φύσεως ἡμῶν ὅ,τι τά- » χιστα. »

53. Οὕτως οὖν οὗτοι ὁμόψυχοι γενόμενοι φίλτρῳ ἐμβριθεῖ ἐκ τῶν πρὸς ἀλλήλους ἡδέων λόγων, ἐτέρποντο διὰ πολλοῦ, συνδιάγοντες καὶ συνόντες τῇ ἐξ Ἔρωτος ἡδυπαθείᾳ.

---

1. Οὗτος ὁ Μανοῦς υἱός ἐστι τοῦ Ἠλίου, ὃς ἦν ἀγαθὸς καὶ μέγας Βασιλεὺς, οὗ υἱός ἐστιν ὁ Ἰξβακοῦς, ἐξ οὗ κατάγεται ὁ περίφημος Ῥάμας.

2. Δηλαδὴ οὐκ ἐπὶ ματαίῳ ἐγεννήθην.

3. Δηλαδὴ βούτυρον καὶ γάλα.

4. Οἱονεὶ ἔλεγε· τοῦτό σου τὸ λαμπρὸν σῶμα, ἐκείνη ἐστὶν ἡ φλὸξ τοῦ τῆς θυσίας πυρὸς, ἣ ἐψύγη καὶ ἐπάγη ἐκ τοῦ ἐγχυθέντος ὑγροῦ βουτύρου καὶ γάλακτος, ἡ δὲ κόμη σου ἡ μέλαινα, ὁ καπνός ἐστι.

54. Τούτοις δ' ἐγένετο υἱὸς, Πουρουραβᾶς [1] τοὔνομα, πρῶτος βασιλεὺς ἐκ τοῦ γένους τῆς Σελήνης, πανευκλεὴς ὢν καὶ πανέκλαμπρος, καὶ ὑπὸ σοφῶν καὶ ἁγίων ἀνδρῶν τιμώμενος καὶ ὑμνούμενος.

55. Σύνευνος δ' ἐγένετο τούτῳ τῷ βασιλεῖ Πουρουραβᾷ, Ἀψαράτις [2], Οὐρβασσὴ τοὔνομα, πάγκαλος καὶ πανέραστος· κλίσιν δ' εἶχε πρὸς αὐτὸν μόνον, διὰ τὴν ἀγλαΐαν τῶν βραχιόνων αὐτοῦ, καὶ διὰ τοῦτο ἀνέραστος ἦν καὶ αὐτοῦ τοῦ Κρισνᾶ, καὶ τοῦ Ῥάμα, καὶ τοῦ Κάμα [3].

56. Οὗτος φροντίδα εἶχε τῶν τριῶν κόσμων, τρέφων τοὺς μὲν ὄφεις [4] τοῖς ἐκ τῶν στομάτων ἀνέμοις τῶν ἐχθρῶν, τοῖς κατιοῦσιν εἰς τὰ καταχθόνια διὰ τῶν ὀπῶν τῶν ἐν τοῖς ὄρεσι σπηλαίων, εἰς ἃ κατέφευγον· τοὺς δὲ θεοὺς, ταῖς θυσίαις· τοὺς δ' ἀνθρώπους, τῇ δικαίᾳ καὶ ὀρθῇ διοικήσει.

57. Οἱ Γανδάρβαι [5], ἀμφιβάλλοντες τίς τῶν τριῶν θεῶν [6],

---

1. Ὁ ἐστι Πολύφωνος, Πολύφημος.

2. Ἀψαρὰ λέγεται ἡ Νηρηΐς, ἐτυμολογεῖται δὲ παρὰ τὸ ἄπα, ὕδωρ, καὶ ἄρα, ἀναδύεσθαι, ἀνέρχεσθαι.

3. Ἐκ τούτου δεικνύει, ὅτι ὁ Πουρουραβᾶς, εὐειδέστερος ἦν τοῦ Κάμα, ὃς ἐστιν ὁ Ἔρως, ἐρωτικώτερος ἦν τοῦ Κρισνᾶ καὶ ἐνδοξότερος καὶ πολεμικώτερος τοῦ Ῥάμα.

4. Ὑπερβολῇ ἐπαίνου ἐνταῦθα χρῆται ὁ ποιητὴς σοφιστικῶς· τοὺς μὲν ὑπὸ γῆν, φησιν, ὄφεις ἔτρεφε τοῖς ἀνέμοις, τουτέστι τοῖς ἀναστεναγμοῖς, (ὁ γὰρ ἀναστεναγμὸς ἀήρ ἐστιν, ἔνδοθεν βαθέως ἐξερχόμενος· οἱ δὲ ὄφεις λέγονται ὅτι ἀνεμόσαρκοί εἰσιν, ἀέρα δηλονότι ἐσθίοντες ζῶσι) τοῖς ἐκ τῶν στομάτων τῶν ἐχθρῶν, τοῖς κατιοῦσι διὰ τῶν ἐν σπηλαίοις ὀπῶν, εἰς ἃ κατέφυγον ἐν τῷ διώκεσθαι εἰς τὸν ὑποχθόνιον κόσμον, ἔνθα οἱ μυθευόμενοι ὄφεις διάγουσι· τοὺς δὲ θεοὺς ἔτρεφε ταῖς θυσίαις· τὸ γὰρ θυόμενον ἐσθίουσιν οἱ θεοὶ διὰ τοῦ πυρὸς, καὶ διὰ στόματος.

5. Γανδάρβαι λέγονται οἱ μουσουργοὶ τῶν θεῶν.

6. Τρεῖς θεοὺς ἐννοεῖ ἐνταῦθα, τὸν Βισνοῦν, τὸν Βραχμᾶν καὶ τὸν Σίβαν,

οἱ ὅμοιοί εἰσιν ἀλλήλοις, πρώτιστα εἴη ἄξιος ᾠδῆς, χρώμενοι καὶ γλώττῃ καὶ κιθάρᾳ, ἥδον τούτῳ ἐν τῷ ϐήματι τοῦ Σίϐα, τοῦ Βισνοῦ καὶ τοῦ Βραχμᾶ [1], ἄσμα ἀναφερόμενον καὶ εἰς τοὺς τρεῖς αὐτοὺς θεούς.

58. Οἱ μὲν ἔφοροι τῶν ὀκτὼ μερῶν [2] θεοὶ ἐκυϐέρνων ὀρθῶς τὰ ἴδια μέρη, ἐνδυσάμενοι τοῦτον· ὁ δὲ Σέσσας, ὢν ὑπὸ τὴν σκιὰν τοῦ ϐραχίονος τούτου· ὁ δ' Ἥλιος, ἐπερειδόμενος τῇ φιλίᾳ τῆς θερμότητος τούτου [3].

59. Ὀρθῶς λέγουσιν οἱ σοφοὶ δεινοτέρους τῶν ἐξωτερικῶν

οἱ πρῶτοί εἰσι καὶ ἡγεμόνες τῶν θεῶν. Σημείωσαι, ὡς οἱ φιλόσοφοι τῶν Ἰνδῶν τρισυπόστατον καὶ τριπρόσωπον τὴν θεότητα δοξάζουσι. Τούτοις δὲ τοῖς τρισὶ προσώποις τῆς θεότητος, οἷς καὶ ὀνόματα παχυμερῶς προσάπτουσιν ἴδια, ἀποδιδόασι φιλοσοφικῶς κατὰ μέρος τρεῖς δυνάμεις καὶ ἰδιότητας· τῷ μὲν Βραχμᾷ, τὸ ποιητικὸν καὶ τὸ γεννητικόν· τῷ δὲ Βισνοῦ, τὸ προνοητικὸν καὶ θρεπτικόν· τῷ δὲ Σίϐα, τὸ ἀπολεστικὸν καὶ ἀφανιστικόν, ὅ, ἐστι γέννησις, αὔξησις, καὶ μείωσις, δόγμα φιλοσοφικὸν καὶ ἀναντίῤῥητον.

1. Ἀδόντων γὰρ τῶν μουσουργῶν θεῶν τὴν πρὸς τὸν λαὸν πρόνοιαν τούτου, ἀνεφέρετο τοῦτο εἰς τὸν Βισνοῦν· ἀδόντων δὲ τὴν καλὴν διοίκησιν τούτου, δι' ἣν ἡ γῆ γεωργουμένη ἐγέννησε πάντας τοὺς καρποὺς, ἀνεφέρετο τοῦτο εἰς τὸν Βραχμᾶν· ἀδόντων δὲ τὴν κατὰ τῶν ἐχθρῶν φθορὰν τούτου, ἀνεφέρετο τοῦτο εἰς τὸν Σίϐαν. Δηλονότι καὶ ἐν οὐρανῷ ὑμνεῖται ὑπὸ τῶν θεῶν.

2. Μυθολογοῦσιν ὡς οἱ ἔφοροι θεοὶ τῶν ὀκτὼ μερῶν τῆς γῆς ἔνεισι τῷ σώματι τοῦ ϐασιλέως· εἰκὼν δὲ ὁ ϐασιλεύς ἐστιν ἔμψυχος Θεοῦ.

Οἱ Ἰνδοὶ ὀκταμερῆ τὸν κόσμον λέγουσι, προστιθέντες καὶ τὰς τέσσαρας γωνίας τῶν τεσσάρων μερῶν· τούτων δὲ τῶν ὀκτὼ μερῶν ἑνὶ ἑκάστῳ ἕνα ἕκαστον θεὸν ἀποδιδόασιν, ὡς ἔφορον καὶ ἐπιστάτην· προστιθέντες δὲ καὶ τὸ ϐάθος, λέγουσι τὸν κόσμον δεκαμερῆ· καὶ τοῦ μὲν ϐάθους δηλ. τῶν ὑπὸ γῆν, κύριός ἐστιν ὁ ὄφις Σέσσας, ὁ ϐαστάζων τὴν γῆν· τοῦ δὲ ὕψους, δηλ. τῶν μετεώρων, κύριός ἐστιν ὁ Ἥλιος.

3. Αὐτὸς δηλονότι ἐκυϐέρνα τὸ πᾶν.

τοὺς ἐσωτερικοὺς ἐχθροὺς [1], διότι ἔχουσιν, ὡς ὅπλα δεινὰ, τὰ ὑπὸ τὴν αἴσθησιν· ἀλλὰ καὶ οὗτοι αὐτοὶ ἐνικῶντο ὑπὸ τούτου ἀεί.

60. Ὁ τοῦ καταχθονίου κόσμου βασιλεὺς Βαλὴς [2], ἀκούσας παρὰ τῶν ὑμνολόγων τῆς διδομένης αὐτῷ μεγάλης συγκρίσεως πρὸς τοῦτον τὸν θαυμαστὸν ἐπὶ τῇ μεγαλοδωρίᾳ, ἠσχύνθη καὶ περισείσας τὴν κεφαλὴν ἠρνήσατο [3].

61. Ὁ εὔσπλαγχνος Θεὸς φύσιν ξύλου, καὶ λίθου, καὶ κτήνους ἐποίησε τοῖς πανδώροις τούτοις· τῷ οὐρανίῳ δένδρῳ, καὶ τῷ ἀδάμαντι, καὶ τῷ βοΐ, ἵνα μὴ ἀποθάνοιεν ἐξ αἰσχύνης, ἀκούοντες τῆς μεγαλοδωρίας τούτου, διὰ τῶν ἀσμάτων, τῶν ἀδομένων μεγαλοφώνως ὑπὸ τῶν θεῶν.

62. Τούτου, ὃς ἦν καὶ ἡδυπαθὴς καὶ θυμοειδὴς, ἀτέκμαρτα ἦσαν τὰ τῆς ψυχῆς κινήματα· οὔτε γὰρ ἐν γυναικὸς ὁμιλίᾳ δεῖγμα εἶχε πάθους ἔρωτος κατὰ τὸν ὀφθαλ-

---

1. Ἐσωτερικοὶ ἐχθροί εἰσι τὰ πάθη, ὁ θυμὸς, ἡ ἐπιθυμία, ἡ πλεονεξία κ.τ.λ.

(2) Ὁ Βαλὴς ἦν βασιλεὺς μέγας, μέγα φρονῶν ἐπὶ τῇ μεγαλοδωρίᾳ αὐτοῦ· ὁ δὲ θεὸς Εισνοῦς, λαβὼν μορφὴν νάνου Βραχμᾶνος, παρέστη τῷ βασιλεῖ. Ἰδὼν δ' ὁ Βαλὴς τὸν Βραχμᾶνα νάνον καὶ γαλεάγκωνα, χαρεὶς ἔφη· «Αἴτησόν με ὃ θέλεις.» — «Δός μοι, ἔφη, τόπον » τριποδιαῖον.» Γελάσας δ' ἐπὶ τῷ μικροπρεπεῖ αὐτοῦ αἰτήματι, ἔφη· « Αἴτησόν με γῆν πολλὴν, δυνατὸς γάρ εἰμι δοῦναί σοι.» Ὁ δὲ Βραχμὰν ἔφη· « Τοσοῦτον μόνον αἰτῶ. » — « Ἔστω σοι, εἶπεν, ὡς ἤτησας.» Τότε ὁ νάνος Βραχμὰν ἐκάλυψε τὸν οὐρανὸν ὅλον τῷ ἑνὶ ποδὶ, καὶ τὴν γῆν ὅλην τῷ ἑτέρῳ, λέγων· «Δός μοι τόπον καὶ τοῦ τρίτου ποδός.» Ὁ δὲ Βαλὴς, θαυμάσας καὶ γνοὺς, ὅτι θεός ἐστιν οὗτος, ἔφη· «Οὐκ' ἔχω » ἄλλο δοῦναί σοι, ἀλλ' ἢ τὴν κεφαλήν μου.» Ὁ δὲ νάνος Βραχμὰν κατεταρτάρωσεν αὐτὸν, διὰ τὸ μέγα φρονεῖν ἐπὶ τῇ μεγαλοδωρίᾳ. Καὶ ἐπειδὴ ἦν φιλόδωρος, ἐποίησεν αὐτὸν βασιλέα τοῦ καταχθονίου κόσμου.

(3) Ἴδιον τῶν ἀρνουμένων τὸ περισείειν τὴν κεφαλὴν, ὡς σημεῖον ἀνανεύσεως, δηλονότι οὐκ εἰμι ὅμοιος ἐκείνῳ,

μὸν [1], κατὰ τὸ χεῖλος, ἢ κατὰ τὸ μέτωπον, οὐτ' ἐν πολέμῳ σημεῖον πάθους φόβου, ἢ θυμοῦ.

63. Καί τοι δ' ἦν λίαν ἐγκρατὴς, συνεγίνετο ὅμως τῇ οἰκείᾳ γυναικὶ, ἐπὶ κτήσει υἱοῦ, ὃν ἕξει ἀνάδοχον τοῦ φορτίου τῆς γῆς· καὶ ὁ καθάριος γὰρ ἄνθρωπος ἐμβαίνει τῇ ἰλύϊ, ἐπὶ τῷ ἐξαγαγεῖν λωτὸν εἰς προσφορὰν τῷ Σίβᾳ [2].

64. Μετὰ δὲ τοῦτον βασιλεὺς ἐγένετο ὁ Ἀϊοῦς, ὃς γυναῖκα εἶχε Σβαρβαναβὴν τοὔνομα, καὶ ἦν τοῖς ἐχθροῖς τοιοῦτος, οἷος ὁ ἄνεμος τοῖς νέφεσιν. Ὁ δὲ νοῦς αὐτοῦ ἦν τετελεσμένος τοῖς μυστηρίοις καὶ δόγμασι πασῶν τῶν ἱερῶν Γραφῶν καὶ ἐπιστημῶν.

65. Νέος δ' ὢν, ἠγκαλίζετο σφοδρῶς, ὡς νεόνυμφον γυναῖκα, τὴν βασιλείαν. Καί τοι δ' ἐφαίνετο ὡς βαθὺν ὕπνον ὑπνοῖ, ἦν δ' ὅμως ἄϋπνος καὶ γρήγορος.

66. Οὗτος, οὗ τὸ ἀγλαὸν καὶ χάριεν ὄμμα ὀξυῤῥεπὲς ἦν εἰς ὅρασιν προσώπου σεληνοπροσώπου γυναικὸς, οὐκ ἦν ἀλωτὸς πάθεσιν· ἀπήλλαττε γὰρ τὸν Ἔρωτα διὰ τῆς ἀναμνήσεως τοῦ ὀνόματος τοῦ Σίβα.

67. Τὸ ξίφος τούτου, ὃς ἔκαιε τοὺς ἐχθροὺς κατὰ κράτος τῇ αὐτοῦ ὀξύτητι, ὡς σημεῖον μόνον ἦν· ὁ γὰρ καπνὸς τοῦ φλογεροῦ καὶ καυστικοῦ πυρὸς οὐ συμβάλλεται εἰς καῦσιν τοῦ καυστέου.

68. Τούτου δ' ὁ υἱὸς, Ναχούσσας τοὔνομα, βασιλεὺς ἔνδοξος ἐγένετο τῆς γῆς, καὶ ἀνὴρ τῆς Πριαβασῆς, οὗ τῶν ποδῶν οἱ ὄνυχες ἐγίνοντο ὡς στεφάνωμα βασιλικὸν τοῖς προσκυνοῦσιν ἐχθροῖς.

---

1. Καὶ ἐξ ἔρωτος ὁ μὲν ὀφθαλμὸς ἐρυθρὸς γίνεται, τὸ δὲ χεῖλος τρέμει, τὸ δὲ μέτωπον ἀλλοιοῦται, καὶ ἐκ φόβου ἢ ἐκ θυμοῦ· δηλονότι οὔτε προσπαθὴς ἦν, οὔτε δειλός.

2. Ὁ γὰρ λωτὸς, τὸ ἄνθος, φύεται ἐν ὑδατώδεσι τόποις.

69. Ἐγὼ νομίζω, ὡς ἐκ τῶν πολλῶν δακρύων τῆς χαρᾶς τῶν θεαινῶν, αἳ ἦδον ἐν οὐρανῷ τὴν μεγαλοδωρίαν τούτου συνεχῶς καὶ διακαῶς, ἔννοια τῆς πανδωρίας καὶ τοῖς πανδώροις ἐκείνοις ἐγένετο, τῇ δαμάλει, τῷ ἀδάμαντι, καὶ τῷ δένδρῳ [1].

70. Οἱ ἔφοροι θεοὶ τῶν μερῶν τοῦ κόσμου, ἰδόντες τὰ παλαιὰ ἑαυτῶν ἀγαθὰ ἔργα [2], δαπανηθέντα ἀναλόγως τῇ πολλῇ τροφῇ, εἰσέδυσαν εἰς τοῦτον κατ' ἀπόρροιαν, ἐπὶ τῷ τυχεῖν μοίρας ἀπείρων ἀγαθῶν ἔργων.

71. Κρατῶν αὐτὸς τὴν γῆν τῇ χειρὶ [3], γνώμην ἔσχεν, ὡς μεγαλόδωρος, δοῦναι τοὺς ἐλέφαντας τῶν ὀκτὼ μερῶν τοῦ κόσμου τοῖς αἰτοῦσι· χαριζόμενος ὅμως τοῖς θεοῖς, οὐκ ἀφείλετο αὐτοὺς, ὡς ὄντας ὀχήματα δόξης ἑνὶ ἑκάστῳ ἐκείνων.

72. Μετὰ δὲ ταῦτα ἀνεδέξατο τὸ βάρος τῆς γῆς ὁ υἱὸς αὐτοῦ Ἰπαϊάτης, ὁ λίαν καλλίνικος, οὗ τοῦ κλέους ᾄδομένου ἐν τοῖς τοῦ κόσμου ὀκτὼ μέρεσιν, ὀκτὼ ὦτα ἔθετο ὁ Βραχμᾶς εἰς τὸ ἀκούειν [4].

73. Ἐν δὲ τῇ ἑαυτοῦ χειρὶ, καί τοι ἦν ἁπαλὴ, ὡς ὁ καυλὸς τοῦ λωτοῦ, εὐχερῶς ἔφερε τὴν γῆν, ἐλαφρὰν γεγενημένην ὡς κάρφος· ἐπειδὴ ἦν ἐν ἀπείρῳ πελάγει δικαιοσύνης [5].

---

1. Ἐμιμήσαντο δηλ. αὐτόν.

2. Καθὼς τὰ ἐφόδια ἀναλίσκονται ἐν χρήσει μετὰ καιρὸν, οὕτω καὶ τὰ ἀγαθὰ, μετὰ καιρὸν ὡρισμένον, ὧν τὸν καρπὸν ἀπολαμβάνει ὁ ἄνθρωπος ἐν τροφῇ ἢ ἐν τούτῳ τῷ βίῳ ἢ ἐν τῷ μέλλοντι.

3. ἐπειδὴ αὐτὸς ἐκράτει τῆς γῆς, διὰ τοῦτο οὐκ ἦν χρεία τῶν γεούχων ἐλεφάντων.

Οἱ ἔφοροι τῶν ὀκτὼ μερῶν τοῦ κόσμου θεοὶ ἔχουσιν εἷς ἕκαστος ἕνα ἐλέφαντα, ὡς ὄχημα· οὗτοι δὲ οἱ ἐλέφαντες βαστάζουσι τὴν γῆν, ὡς μυθολογοῦσι.

4. Τετραπρόσωπος γάρ ἐστιν ὁ Βραχμᾶς.

5. Καὶ τὸ βαρύτατον εὐχερῶς ἀναφέρεται, ὂν ἐν ὕδατι.

74. Τὸ μὲν ὄμμα τῶν θεῶν ἄμοιρον ροπῆς καὶ ἀκάμμυστον ἐγένετο ἐπὶ τῇ συννοίᾳ καὶ φροντίδι τοῦ ὁμοιωθῆναι τούτῳ. Οἱ δὲ ὄφεις, ἥττονες ὄντες τῆς δυνάμεως τούτου, ἔπιον φάρμακον, εἰς τὸ θανεῖν· οὐκ ἔθανον ὅμως, ἐπειδὴ ἦσαν νενοτισμένοι τῷ ἀέρι τῆς ἀμβροσίας.

75. Αἱ γυναῖκες τοῦ Βαλῆ ἤκουον, διὰ τῶν ὀπῶν τῶν ἐν τῷ ὄρει Μερόῃ [1] σπηλαίων, τοῦ ἐπὶ τῇ μεγαλοδωρίᾳ μεγάλου κλέους τούτου, ᾀδομένου ὑπὸ τῶν θεῶν, τῶν ἐφόρων τῆς πανδώρου βοὸς, τοῦ πανδώρου ἀδάμαντος, καὶ τοῦ πανδώρου δένδρου.

76. Οὗτος ὁ Βασιλεὺς, πορευθεὶς ποτε εἰς ἄλσος ἐπὶ θήρᾳ, δίψῃ συσχεθεὶς, προσῆλθέ τινι φρέατι, καὶ ἰδὼν ἐν τοῖς ὕδασι θήλειαν ὡραίαν, ἤρετο «Τίς εἶ;»

77. Ἡ δ' ἀπεκρίνατο τῷ βασιλεῖ· «Ἐγὼ Δεβαϊανὴ ὀνομάζομαι, θυγάτηρ οὖσα τοῦ διδασκάλου καὶ ἱερέως τῶν Τιτάνων Σούκρα· προσεκλήθην δ' ἐνταῦθα εἰς παιδιὰν ὑπὸ τῆς Σαρμαστῆς, θυγατρὸς τοῦ βασιλέως τῶν Τιτάνων Βρισσαπάρβα.

78. Ἐπειδὴ δὲ τὰ ἡμέτερα περιβόλαια ἀνετράπησαν, καὶ παρηλλάχθησαν [2] ὑπὸ φυσήσαντος ἐξαίφνης σφοδροῦ ἀνέμου, ἡ θυγάτηρ τοῦ βασιλέως τῶν Τιτάνων, ἡ οὖσα λίαν διάστροφος, ὠργίσθη καὶ, λογομαχίας ἐν ἀλλήλαις γινομένης διὰ τοῦτο, ἔφη·

79. «Ὦ σὺ, ἡ οὖσα θυγάτηρ τοῦ ἐρχομένου πρὸς τὸν πατέρα

---

1. Μυθολογοῦσιν, ὡς ὁ οὐρανὸς, ἐν ᾧ οἰκοῦσιν οἱ θεοὶ, ἐπὶ τῆς Μερόης τοῦ ὄρους ἐρείδεται.

2. Λουόμεναι ἔθεντο τὰ περιβόλαια ἐπὶ τῆς ὄχθης ποταμοῦ, ἅπερ ἀνετράπησαν ὑπὸ σφοδροῦ ἀνέμου καὶ συνεφύρθησαν, ὃς ἀνήγειρε κόνιν καὶ σκότος ἐποίησεν· ἡ δὲ Δεβαϊανὴ ἐν τούτῳ, ἀντὶ τοῦ οἰκείου, ἔθετο ἐξ ἀγνοίας τὸ τῆς Βασιλίδος.

» τὸν ἐμὸν εἰς αἴτησιν, ἀτιμάζεις ἐμὲ, ὦ μωρά;» Οὕτως » εἰποῦσα κατ' ὄψιν πολλῶν συμπαιζουσῶν παρθένων, » ἔῤῥιψέ με θυμῷ εἰς τὸ φρέαρ».

80. Τοιούτων λόγων ἀκουσθέντων, διαταραχθεὶς λίαν τὴν καρδίαν ὁ βασιλεὺς Ἰαϊάτης, εἵλκυσεν αὐτὴν τὴν κεχαριτωμένην κόρην ἀπὸ τοῦ φρέατος, ὡς ἀπὸ καταχθονίου κόσμου.

81. Ἡ δὲ, πορευθεῖσα οἴκαδε, διηγήσατο τεθλιμμένη τὰ περὶ αὐτὴν τῷ πατρὶ Σούκρᾳ. Ὁ δ' ἔφη· «Ὁ Ἴνδρας ἔλαβε » φύσιν ἀνέμου διὰ τοῦτο, ἵνα ποιήσειεν ἔχθραν ἐμοὶ » πρὸς τοὺς Τιτᾶνας.

82. «Ὅθεν μὴ πληρώσῃς, ὦ κόρη, τὴν ἐπιθυμίαν ἐχθρῶν, » ἀλλ' ἄφες τὸ κακὸν τοῦ θυμοῦ· ὁ γὰρ θυμὸς τῶν φι- » λεταίρων παιδίων, ἀκαριαῖός ἐστιν ἐν φίλτρῳ, καθὼς » ἡ γραμμὴ ἐν ὕδατι.»

83. Τοιούτων λόγων ἀκούσασα παρὰ τοῦ πατρὸς ἡ λίαν ὀξύθυμος αὕτη κόρη, εἶπε, πεπληρωμένη τὰ ὄμματα δακρύων· «Ἐγὼ ἠτιμάσθην ὑπ' ἐκείνης, εἰποῦσης· «Σὺ εἶ » θυγάτηρ ἐπαίτου», διὸ οὐ ζῆν φέρω.»

84. Ἰδὼν δ' ὁ Σούκρας τὴν κόρην ἑαυτοῦ θανάτου ἐπιθυμοῦσαν, εἶπεν ἀσχάλλων τῷ βασιλεῖ τῶν Τιτάνων· «Ἡ κόρη σου ἠτίμασε τὴν κόρην μου ἐν ἀθύρμασι. Ἰδοὺ » τί ἀγαθὸν ἀπολαμβάνω παρ' ὑμῶν.

85. Οὕτως ἔφη ὁ Σούκρας, θυμῷ κατεχόμενος καὶ βουλόμενος ἀναχωρῆσαι. Προσκυνηθεὶς δ' ὑπὸ τοῦ Βασιλέως τῶν Τιτάνων καὶ ἐξιλεωθεὶς, εἶπεν· «Ἐγὼ οὐκ εἰμι τε- » θυμωμένος, ἀλλ' ἡ θυγάτηρ μου θυμῷ σύνεστι.»

86. Ἡ μὲν οὖν θυγάτηρ τοῦ Σούκρα ἐξευμενίσθη ὑπὸ τοῦ βασιλέως των Τιτάνων, ὃς παρέδωκεν αὐτῇ τὴν ἑαυτοῦ πλημμελήσασαν κόρην, ὡς δούλην. Πρὸς ἣν ἔφη, γελῶσα· « Σὺ νῦν δούλη εἶ ἐμοῦ, τῆς θυγατρὸς τοῦ ἐπαίτου.»

87. Τῇ δ' ἐπιούσῃ ἡ Δεβαϊανὴ αὐτὴ, τὸ βασίλειον τοῦ ἔρωτος, πορευθεῖσα εἰς τὸ ἄλσος ἐκεῖνο, εἶπεν ἐρωτομανῶς τῷ Ἰαϊάτῃ, παρόντι ἐκεῖ· «Ἐγώ εἰμι ὑπὸ τὴν σὴν ἐξου-» σίαν.»

88. Ὁ δὲ ἔφη· «Ἐγὼ, ὦ εὐόρθαλμε, ὢν ἐκ γένους Ξατρῆ, » πῶς ἂν γήμαιμι σὲ τὴν θυγατέρα μεγάλου Βραχμᾶ-» νος;» Τοιούτων λόγων ἀκούσασα, ἐξέφηνε τεθλιμμένη ταύτην τὴν ἑαυτῆς βουλὴν πρὸς τὸν πατέρα, ὅτι αὐτὸν γήμασθαι βούλεται.

89. Θεωρῶν δ' ὁ Σούκρας τὴν αἰτίαν τῆς πρὸς τὸν βασιλέα ἐπιθυμίας τῆς θυγατρὸς, ἐσκέπτετο ἐν τῇ καρδίᾳ ταῦτα, τῇ οὔσῃ ὁδῷ τῆς θεωρίας. «Ἅπας ὁ σύλλογος τῶν Τι-» τάνων ἀνῃρέθη πρότερον ἐν πολέμῳ ὑπὸ τῶν στρατῶν » τῶν θεῶν.

90. « Οὗτοι δὲ οἱ ἀναιρεθέντες Τιτᾶνες, ἀνεζωοποιήθησαν » ὑπ' ἐμοῦ διὰ τῆς ζωοποιοῦ μου ἐπιστήμης, ἣν μαθησό-» μενος ἀφίκετο πρός με υἱός τις τοῦ Βριχασπατῆ, Κάσας » τοὔνομα.

91. « Οὗτος, ὃς ἐστάλθη ὑπὸ τοῦ τῶν θεῶν ἀρχηγοῦ Ἴνδρα, » ἐπιθυμῶν μαθεῖν τὴν ζωοποιὸν τέχνην, ἐποιησέμοι δια-» κονίαν χιλιετῆ, ὃν οἱ Τιτᾶνες ἀνεῖλον, φυλάττοντά μου » τὰς βοῦς.

92. « Περὶ δὲ τὴν ἑσπέραν ἐλθουσῶν ἁπασῶν τῶν βοῶν εἰς » τὴν αὐλὴν τοῦ οἴκου, ἄνευ τοῦ Κάσα, ἡ θυγάτηρ μου » αὕτη, ἡ ἀγαπῶσα αὐτὸν, διὰ τὴν τῶν βοῶν φροντίδα, » εἶπέ μοι θλιβερῶς τοῦτο·

93. « Ὦ πάτερ, ὁ μὲν ἥλιος ἔδυσεν· ὁ δὲ Κάσας οὐκ ἐφάνη « μέχρι τοῦδε, εἰς χαρὰν τῶν ἐμῶν ὀφθαλμῶν. Νομίζω « ὅτι ἐφονεύθη ὑπὸ τῶν τολμηρῶν Τιτάνων· χωρὶς δὲ « τούτου οὐ ζήσω σήμερον ἐγώ.»

94. « Βλέπων δ' ἔγωγε τὴν κόρην λίαν θρηνοῦσαν, ἀνεζώωσα

» τὸν Κάσαν ἐν ἀκαρεῖ, ἀναμνήσει τῆς ζωοποιοῦ τέχνης·
» κἄπειτα ἀπέστειλεν αὐτὸν ἡ κόρη μου εἰς τὸν κῆπον,
» κομίσοντα ἄνθη.

95. « Φονεύσαντες δ' αὐτὸν πάλιν οἱ Τιτᾶνες κατ' ἰδίαν ἐκεῖ,
» καταλεάναντες αὐτὸν κατακαυθέντα, καὶ οἴνῳ καταμί-
» ξαντες, ἐπότισάν με. Καταβάντα δ' εἰς τὴν κοιλίαν,
» ἀνεζώωσα πάλιν αὐτὸν ἐγὼ, παρακληθεὶς ὑπὸ τῆς
» θυγατρός.

96. « Τὴν δ' ἐμὴν γαστέρα διαῤῥήξας ἐξῆλθεν, ὃς καὶ ἀνεζώω-
» σέ με, μαθὼν τὴν ὑπ' ἐμοῦ διδαχθεῖσαν ζωοποιὸν ἐπι-
» στήμην. Κἄτα ἔφην πρὸς αὐτόν· « Οἱ πίνοντες οἶνον
« Βραχμᾶνες τεύξνται τοῦ Ἅδου. »

97. « Μαθὼν δὲ τὴν ζωοποιὸν ἐπιστήμην καὶ βουλόμενος
» ἀπελθεῖν, ᾔτησε παρ' ἐμοῦ ἄδειαν. Τῆς δὲ Δεβαϊανῆς
» ἐκλιπαρούσης αὐτὸν εἰς γάμον, οὐκ ἠθέλησεν, εἰπών·
« Σὺ εἶ ἀδελφὴ ἐμὴ, ἐπειδὴ ἐν τῇ κοιλίᾳ τοῦ σοῦ πατρὸς
« ᾠκησα. »

98. « Ἡ μὲν οὖν Δεβαϊανὴ κατηράσατο αὐτοῦ, εἰποῦσα· « Εἴη
« ἀνωφελὴς ἡ μάθησις σοῦ, τοῦ ἀποδοκιμάσαντος τὴν
« ἐμὴν θέλησιν. » Ὁ δὲ Κάσας ἀντέφη αὐτῇ, ἐπαρασά-
μενος· « Αὕτη ἡ ἀρὰ οὐκ ἂν γένοιτο ἐμοὶ, ὡς ὄντι ἀθώῳ·
« ἔστω δέ σοι ἀνὴρ ἐκ γένους ἐλάττονος. »

99. « Ἐξ ἐκείνης ἄρα τῆς ἀρᾶς ἠράσθη αὕτη ἀνδρὸς Ξατρῆ ».
Ταῦτα σκεψάμενος ὁ Σούκρας ἐν ἑαυτῷ, εἰπὼν τῇ θυγα-
τρὶ, «Οὐκ ἔστι σὸν ἔγκλημα τοῦτο,» ἐξέδωκεν αὐτὴν τῷ
Ἰαϊάτῃ σὺν τῇ γενομένῃ δούλῃ Σαρμαστῇ.

100. Ἡ μὲν οὖν θυγάτηρ τοῦ Σούκρα ἔτεκεν υἱοὺς δύω τῷ
Ἰαϊάτῃ ἐκ διαλείμματος, τὸν Ἰαδοῦν καὶ τὸν Τουρβα-
σοῦν· ἡ δὲ θυγάτηρ τοῦ Βρισσαπάρβα, ἡ λεληθότως
ἐρωμένη, ἔτεκε τρεῖς, τὸν Δρουχέαν, τὸν Ἀνγοῦν καὶ τὸν
Πουροῦν.

101. Γνοῦσα δ' ἡ Δεβαϊανὴ τὸ ῥαδιούργημα τῆς Σαρμαστῆς, ἀγανακτήσασα, ἀπέδρα εἰς τὸν οἶκον τοῦ πατρός. Παραγενομένῳ δὲ τῷ βασιλεῖ εἰς ἐξιλέωσιν, εἶπεν ὀργιζόμενος ὁ Σούκρας·

102. «Κωλυθεὶς ὑπ' ἐμοῦ, δόντος σοι ταύτην τὴν κόρην, τοῦ » συνεῖναι τῇ Σαρμαστῇ, σὺ ὅμως, ἀνόητε, ἐκ τοῦ οἴστρου » τῆς νεότητος, τοῦτο τὸ τόλμημα ἔπραξας· ἔσο οἴκημα » τοῦ γήρατος διὰ τοῦτο.»

103. Ἐξευμενισθεὶς δ' ὁ Σούκρας ὑπὸ τοῦ βασιλέως, ἔφη· « Θεὶς τὸ γῆρας ἔν τινι υἱῷ, καὶ γενόμενος νέος καὶ » ὡραῖος, καὶ τρυφὰς τρυφήσας, καὶ κορεσθεὶς, λάβε πά- » λιν τὸ γῆρας εἰς μετάνοιαν καὶ ἐγκράτειαν.»

104. Τῶν μὲν δὴ τεσσάρων υἱῶν φοβουμένων τὸ γῆρας, καὶ ἀποποιουμένων, τοῦ δὲ Πουροῦ δόντος τὴν ἑαυτοῦ νεότητα, ὡραιότατος καὶ χαριέστατος ἐγένετο τοῖς ὀφθαλμοῖς τῶν τῆς πόλεως γυναικῶν ὁ βασιλεύς.

105. Ἐκ δὲ τῆς ἀρᾶς τοῦ βασιλέως βδελυρία καὶ ἐξαγιστία ἐγένετο πρὸς τοὺς προρρηθέντας τέσσαρας υἱοὺς, ἐξ ὧν ἐγένοντο ἐπὶ γῆς οἱ Παράδαι, καὶ Μλέσαι, καὶ Σάκαι, καὶ Ἰαβάναι, γένη βάρβαρα.

106. Χιλιετίαν δὲ μετέπειτα ἐντρυφήσας τοῖς τοῦ κόσμου ὁ βασιλεὺς Ἰαϊάτης, ἐγκρατὴς γενέσθαι θελήσας καὶ ἀπαθὴς, λαβὼν πάλιν τὸ γῆρας, ἔδωκε τὴν νεότητα τῷ Πουροῦ καὶ τὴν βασιλείαν ὁμοῦ.

107. Τυχὼν δὲ τοῦ οὐρανοῦ διὰ τῆς ἀσκήσεως καὶ ἀπαθείας, καταπέπτωκεν, ἀρὰν λαβὼν παρὰ τοῦ Ἴνδρα, ἐπειδὴ ἐπήνει ἑαυτόν. Χάριν δ' αἰτήσας παρὰ τοῦ Ἴνδρα συνεῖναι ἀγαθοῖς ἀνδράσι, κατενεχθεὶς εἰς τὴν θυσίαν, τὴν ὑπὸ τῶν θυγατριδῶν [1] αὐτοῦ τελουμένην, καὶ διηγησάμενος

1. Θυγατριδοῦς ἦν ὁ περίφημος Σιβὴς, καὶ ἄλλοι.

τὰ καθ' ἑαυτὸν, οὐκ ἔλαβε τὸν παρ' ἐκείνων διδόμενον καρπὸν τῶν ἀγαθῶν ἔργων· ἐκ δ' ἐκείνης τῆς μεγαλοφροσύνης ἐγένετο πάλιν οὐράνιος.

Τέλος τοῦ πρώτου Κεφαλαίου τοῦ πρώτου Βιβλίου τοῦ μεγάλου Ποιήματος, ὃ ὠνομάσθη Βαλαβαράτα καὶ ἐποιήθη ὑπὸ τοῦ, ὡς κορυφαίου πολυτίμου λίθου, Ποιητοῦ ΑΜΑΡΑΣΑΝΔΡΑ, μαθητοῦ τοῦ σοφοῦ Ζηναδάττα.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

Ἐν ᾧ ἱστορία ἐστὶ ὀκτωκαίδεκα βασιλέων ἐν τῇ ἀρχαιογονικῇ δυναστείᾳ.

1. Διατηροίη τοὺς Κόσμους ἐπὶ μήκιστον ὁ Βεάσας, οὗ τῷ, ὡς ὠκεανῷ, ἀμβροσίῳ νοὶ ἐφιλοχώρει ἡ θεὰ τοῦ λόγου [1], παίζουσα, ὡς ἐν ὑδροπαιδιᾷ, καὶ διὰ τοῦτο ἐξέπεσον ἐκ τοῦ στόματος αὐτοῦ, ὡς σταγόνες ἀμβροσίας, αἱ ἀρχαιογονικαὶ βίβλοι.
2. Ὁ δὲ Βασιλεὺς Πουροῦς, ἅμα τῇ γυναικὶ αὐτοῦ Καουσαλεᾷ, ἐτρύφα τῶν τῆς γῆς· οὗ οἱ ἐχθροὶ, ἐρχόμενοι ἐναντίον τῆς ἀκωκῆς τῆς ῥομφαίας, ἐγίνοντο θεοί [2].
3. Οὗτος καθιλαρύνετο, βλέπων τὰς χεῖρας τῶν ἐχθρῶν ἀποστρεφομένας, καὶ ἀμιλλωμένας εἰσδύναι εἰς τὴν κοι-

(1) Ἡ θεὰ τῆς γλώττης, κατὰ λέξιν, ἤτοι ἡ Σαρασβατή.
(2) Ὁ γὰρ θανὼν γενναίως ἐν πολέμῳ, θεὸς γίνεται.

λίαν διὰ τοῦ στόματος [1], ὡς δι' ὁδοῦ, ὅπερ συμπεραίνεται ἐκ τῶν δακτύλων, τῶν τιθεμένων ἐν τοῖς ὀδοῦσι.

4. Ὁ Βραχμᾶς, προσενεγκὼν τῷ Σίβᾳ ἀπαρχὴν [2] ἐκ τῆς πλαστικῆς ὕλης τῆς θερμουργίας τούτου, ἵν' αἴσιον τέλος λάβοι, προσκολλήσας αὐτὴν τὴν, ὡς ἀπαρχὴν, μοῖραν τῆς ὕλης, τῷ μετώπῳ τοῦ Σίβα, ἐποίησε *Τιλακὰρ*, ἣν οἱ ἄνθρωποι ὀνομάζουσιν ὀφθαλμὸν πύρινον.

5. Ὁ γενναῖον ἑαυτὸν νομίζων Ἔρως, ὃς ἔλαβεν ἀνθ' ὅπλων τὰ θέλγητρα τῶν γυναικῶν, ἔτρεμεν ἐκ πολλοῦ φόβου τούτου, ὃν οὐκ ἠδύνατο νικῆσαι καὶ ἐν ὁμιλίᾳ τῆς νομίμου γυναικός [3].

6. Εἶτα δ' ἐγένετο βασιλεὺς, ὀνόματι Ζαναμεζαΐας, σύζυγος τῆς Ἀναντᾶς, οὗ τὸ ἐντεινόμενον τόξον ἐν πολέμῳ εἶχε σχῆμα, ὡς κύκλον πέριξ τῆς Σελήνης, σημεῖον τῆς βροχηδὸν ἐσομένης ὑπερφυοῦς βολῆς τῶν βελῶν.

7. Τούτου ἡ προσταγὴ ἀνέτως διῆκεν εἰς πᾶσαν τὴν γῆν, ἣ ἦν ἄμοιρος ἀκανθῶν [4], κατακεκαυμένων τῇ θερμότητι αὐτοῦ, καὶ ἀναψυχομένη, ὡς ὕδατι, τῷ κλέει αὐτοῦ, καὶ ὁμαλὴ καὶ εὐθεῖα κατὰ τὰ τραχέα καὶ δυσδιάβατα ὄρη, καταπατηθέντα ὑπὸ τῶν στρατῶν καὶ ἐλεφάντων αὐτοῦ.

8. Ὁ Σίβας ἰδὼν τὴν ἀναιρετικὴν δύναμιν τῆς φαρμακείας τούτου, δραστικωτέραν τῆς ἄκρας τῆς γλώσσης τοῦ θα-

---

1. Ὁ φοβούμενος τίθησι τοὺς δακτύλους ἐν τοῖς ὀδοῦσι· καὶ ἐν πολέμῳ δὲ ὁ θεὶς τοὺς δακτύλους ἐν τοῖς ὀδοῦσιν οὐκ ἀναιρεῖται, ἀλλ' ἐλεεῖται καὶ ἀφίεται.

2. Ἀπαρχὴν ἔδωκε καὶ λατρείαν ἐποίησεν, ἵν' αἴσιον τέλος λάβοι τὸ ἔργον αὐτοῦ.

3. Οὐκ ἦν δηλονότι λάγνος, οὐδὲ προσηλωμένος, οὐ μόνον πόρναις, ἀλλ' οὐδὲ τῇ ἑαυτοῦ νομίμῳ γυναικί.

4. Ἄμοιρος δηλονότι κλεπτῶν καὶ κακῶν ἀνθρώπων.

νάτου, ἐσάλευσε λίαν τὴν κεφαλὴν αὐτοῦ, ἣν οὐκ ἐσάλευσεν [1] οὐδ' ἐν τῇ καταπόσει τοῦ φαρμάκου.

9. Οὗτος ἡδύνετο, ὥσπερεὶ ἡδονικὸς, παίζων [2] ἐν γυναιξὶν ἑαλωκυίαις αὐτοῦ, καί περ μὴ ἑαλωκὼς αὐτῶν. Ἣν δὲ κακίαν [3] τῶν γυναικῶν λέγουσιν οἱ σοφοὶ, αὕτη ἦν ὁδηγὸς αὐτῷ εἰς ἀρετήν [4].

10. Οὗτος ἐποίησε τρεῖς ἱπποθυσίας καὶ ἐκ καρδίας καθ' ἑκάστην ἐσέβετο τὸν τριόφθαλμον Σίβαν, ὀνομαστός τε ἦν κατὰ τὴν διοίκησιν ἐν τοῖς τρισὶ κόσμοις· καὶ ἡ μὲν εὔκλεια αὐτοῦ ἁμιλλᾶτο τῇ Γαγγᾷ [5], ἡ δ' ὀξύτης τῷ Ἡλίῳ.

11. Μετὰ τοῦτον βασιλεὺς ἐγένετο ὁ Πρασήνας, ὁ τῆς Ἀσμακῆς ἀνὴρ, ὃς ὑπέρτατος ὢν καὶ αὐτοῦ τοῦ Ἔρωτος, καὶ τὸν τριόφθαλμον Σίβαν ἐνίκησεν ἐκ διαμέτρου κατὰ τὴν πολλὴν εὔκλειαν [6], τὴν οὖσαν λευκὴν δίκην Σελήνης.

12. Ὃς γέλως ἐγίνετο ὑπὸ πάντων τῶν θεῶν, βλεπόντων ἐν πολέμῳ τοὺς λίαν ὑπερηφάνους καὶ γενναίους ἐχθροὺς αὐτοῦ τρέμοντας καὶ φεύγοντας, οὗτος ἐγίνετο θαυμασία εὔκλεια [7].

13. Τούτου ἐν τῇ γῇ τὸ μὲν πῦρ τῆς ἀδικίας ἐσβέσθη τοῖς πολλοῖς δάκρυσι τοῖς ἐκ τῶν ὀφθαλμῶν τῶν γυναικῶν τῶν κλεπτῶν [8], ἡ δὲ σποδὸς τοῦ σβεσθέντος πυρὸς ἡφα-

---

1. Ἐπὶ θαύματος ἢ φόβου σαλεύουσι τὴν κεφαλὴν οἱ ἄνθρωποι.

2. Παίζων καὶ οὐχὶ σπουδάζων δηλαδή.

3. Ἡ κακία τῶν γυναικῶν ἐστι τὰ ἐρωτικὰ θέλγητρα.

4. Ἐγίνωσκε δηλονότι πόσον κακὰ ἦν τὰ θέλγητρα τὰ γυναικεῖα, καὶ διὰ τοῦτο ἀπεῖχεν αὐτῶν, ἦν ἐγκρατής.

5. Λευκὸν τὸ ὕδωρ τῆς Γαγγᾶς, λευκὴ καὶ ἡ εὔκλεια.

6. Λευκὸς ὁ Σίβας, λευκὴ καὶ ἡ εὔκλεια. Διὰ τῆς πολλῆς λευκότητος τῆς εὐκλείας αὐτοῦ οὐδ' ὁ λευκὸς Σίβας ἐφαίνετο.

7. Λευκὸς ὁ γέλως, λευκὴ καὶ ἡ εὔκλεια.

8. Καὶ οἱ κλέπται δηλ. ἐκολάζοντο, καὶ αἱ μοιχαλίδες.

νίσθη, διασκεδασθεῖσα ὑπὸ τῶν ἀναστεναγμῶν τῶν μοιχαλίδων, ὡς ὑπ' ἀνέμου.

14. Ἐπὶ τούτου τοῦ μεγαλοδώρου οὕτως ἔλεγον οἱ ἄνθρωποι· « Ἆρα ὁ βασιλεὺς ματαίως ἐπόνησε, καθελὼν τὸν Βα» λήν; ἢ ὁ οὐρανὸς τέσσαρα ἔχει πάνδωρα δένδρα [1]; ἢ » ἡ γῆ ἄλλον τοιοῦτον πάνδωρον ἀδάμαντα ἐγέννησε;

15. Μετὰ δὲ τοῦτον ἐβασίλευσεν ὁ Σαμπατὴς, Σελήνη ὢν τῆς γῆς, καὶ ἀνὴρ τῆς Βαραγγῆς, οὗ ἐκ τῆς ῥομφαίας, ὡς ἐκ μάστιγος, προτρεπόμεναι καὶ ἡ εὐκλεια καὶ ἡ πληθὺς τῶν πολεμίων, ἐπορεύοντο εἰς τὸν οὐρανὸν, θέουσαι καὶ ἁμιλλώμεναι λίαν, ποτέρα τάχιον πορευθείη [2].

16. Ἐγὼ νομίζω, ὡς ἐν τῇ ὑπερβολικῇ λευκότητι τῆς εὐκλείας τούτου [3] οὐ διεκρίνοντο τὰ τοῦ Σίβα λευκὰ πράγματα, ἡ Σελήνη, ἡ Γαγγὰ, ὁ Ὄφις, καὶ ὁ Ταῦρος· δι' ἣν αἰτίαν ὁ Σίβας ἐθαύμαζε καὶ ἀνεπήδα, διανοούμενος, ὡς καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος οὐκ ἀπώλεσε ταῦτα.

17. Οἱ μυθευόμενοι ὑπὸ γῆν ὄφεις, αἱ ῥομφαῖαί εἰσι τῶν ἐχθρῶν τούτου, αἳ κατήσθιον τὴν πνοὴν τῶν ἀντικειμένων· μὴ δυνάμεναι γὰρ ἐνεργῆσαι κατὰ τούτου [4], ἔπεσον ἐπὶ γῆν ἐξ αἰσχύνης.

18. Καὶ αὐτὸς ὁ Ναλακουβάρας, αἰσθόμενος ὡς ἡ Ῥαμβὰ ἦρα τούτου τοῦ βασιλέως, καὶ ἐθλίβετο τῇ ἀπουσίᾳ, ἀφεὶς

---

1. Ὁ μεγαλόδωρος δηλ. Βαλὴς πάλιν ἦλθεν; ἢ ἐν πάνδωρον δένδρον τοῦ οὐρανοῦ; πέντε γὰρ εἰσίν.

2. Καὶ ἡ φήμη δηλονότι, καὶ οἱ ἀναιρεθέντες ἐχθροὶ ἁμιλλῶντο πρὸς ἀλλήλους, τίς αὐτῶν προλάβοι τὴν ἄνοδον.

3. Ἡ εὐκλεια τούτου λευκοτέρα ἦν τῶν λευκῶν πραγμάτων τοῦ Σίβα· τὸ δὲ λευκὸν οὐ διακρίνεται ἐν μέσῳ τοῦ λευκοτέρου.

4. Ἀμβλεῖς δηλαδὴ ἐγένοντο κατὰ τούτου.

τὴν ἔριν, ὡς νουνεχὴς, ἔλαβε τὴν μορφὴν τούτου, καὶ ἐτρύφα ἐκείνης [1].

19. Μετὰ τοῦτον βασιλεὺς ἐγένετο τῆς γῆς ὁ Ἀχαμιάτης, ὁ τῆς Βανουματῆς ἀνὴρ, οὗ τῇ ῥομφαίᾳ ἐμβῆναι, τουτέστι προσελθεῖν βουλόμενος ὁ ἐχθρὸς, ἐνεβίβαζε πρότερον ἄλλον ἑαυτὸν, ὅπερ συμπεραίνεται ἐκ τῆς σκιᾶς αὐτοῦ ἐν τῇ ῥομφαίᾳ [2].

20. Οἱ γενναῖοι ἐχθροὶ, ποιήσαντες ἔχθραν μετὰ τούτου μεγάλη ἀνοίᾳ, ὡς βόες ἦσαν· διὰ τοῦτο κύψαντες καὶ τῆς γῆς ἁψάμενοι ταῖς χερσὶν, ἔθεντο ἐν τοῖς στόμασιν αὐτῶν χόρτον [3], καὶ ἐγένοντο ἀληθῶς βόες τετράποδες.

21. Πῶς ἂν τὸ ξίφος τούτου [4], ὃ ἔτεμε πολλοὺς λαιμοὺς γενναίων ἀνδρῶν, συγκριθείη τῷ φαρμάκῳ ἐκείνῳ, ὃ καταπιὼν ὁ Σίβας μόνος μέχρι τοῦ λαιμοῦ, εὔλαιμος ἐπωνομάσθη;

22. Τούτου ἐν τῇ γῇ οἱ οἶκοι, ἔχοντες ἀνοικτὰς τὰς θύρας, ὡς ἀκάμμυστα ὄμματα, ἠγρύπνουν ἡμέρας τε καὶ νυκτὸς, μήπως τὸ κάλλος αὐτῶν συληθείη ὑπὸ τῶν θείων ὀχημάτων [5], τῶν φερομένων ἐπὶ τοῦ αἰθέρος.

---

1. Εὐμορφότερος δηλονότι ἦν καὶ αὐτοῦ τοῦ Ναλακουβάρα, ὃς λέγεται πάγκαλος· ἔστι δὲ υἱὸς τοῦ Κουβέρα, θεοῦ τοῦ πλούτου· ἡ δὲ Ῥαμβά ἐστι θεία νύμφη, λίαν θελξίνους.

2. Ἐφοβεῖτο ἐλθεῖν πλησίον τῆς ῥομφαίας τούτου, καὶ διὰ τοῦτο εἰσεβίβαζεν ἑαυτὸν πρότερον εἰς τὴν ῥομφαίαν, ὡς κατάσκοπον, ἵν' ἴδοι ὁποία ἐστίν· ἐννοεῖται δὲ ἡ σκιὰ αὐτοῦ, ἡ ἐν τῇ ῥομφαίᾳ, ἱσταμένου ἔμπροσθεν.

3. Ἐν πολέμῳ ὅστις τίθησι χόρτον ἐν στόματι, οὐκ ἀναιρεῖται, σημαίνων διὰ τούτου ὡς βοῦς ἔστιν· ὁ δὲ βοῦς, κατὰ τὸν νόμον τῶν Ἰνδῶν, οὐκ ἔστιν ἄξιος ἀναιρέσεως.

4. Τὸ ξίφος δηλ. τούτου ἀναιρετικώτερον ἦν τοῦ φαρμάκου.

5. Οὔτε φόβος δηλ. ἦν κλεπτῶν, καὶ οἱ οἶκοι λαμπρότεροι ἦσαν τῶν θείων ὀχημάτων.

23. Μετὰ δὲ ὁ βασιλεὺς Σαρβαβαούμας, ἀνὴρ ὢν τῆς Σουναν-δῆς, ἐκυβέρνα τὴν γῆν, ὃς εἵλκυε τὴν βασιλείαν τῶν κατ' ὄψιν ἐχθρῶν ἐν πολέμῳ, καθὼς τὴν χορδὴν τοῦ τόξου.

24. Ὑπὸ τούτου ἡ γῆ ἐβαστάζετο ἐν χειρὶ εὐχερῶς, καί τοι ἦν πεφορτισμένη τῷ βάρει τῆς στρατιᾶς αὐτοῦ, καὶ συμπεφυρμένη τοῖς ῥέουσιν αἵμασι τῶν ἐχθρῶν, καὶ καταβεβρεγμένη τοῖς δάκρυσι τῶν γυναικῶν ἐκείνων.

25. Αἱ θήλειαι τῶν αἰθερίων θεῶν, οἳ ὀνομάζονται Βιδεαδάραι [1], πολλοὺς τρόπους ποιήσασαι εἰς τὸ ἡδύναι τὰς ἑαυτῶν φίλας, αἳ ἔπασχον τῷ πρὸς τοῦτον τὸν βασιλέα ἔρωτι, οὐκ ἠδυνήθησαν λαβεῖν τὴν τούτου μορφὴν, ὃς ἦν ἀσύλητος παντὶ τεχνάσματι διὰ τὴν ἣν εἶχεν ἀρετήν.

26. Πόνος ἐγίνετο τῷ βαστάζοντι τὸ σκιάδιον, ὃς περιέφερεν αὐτὸ πολλάκις τῇ δὲ κἀκεῖσε, κατὰ τὰς ἡλιακὰς ἀκτῖνας, ἐπειδὴ οὐκ ἔβλεπε σκιὰν [2], ἀφανιζομένην ἐκ τῆς αὐγαζούσης λάμψεως τοῦ σώματος τούτου.

27. Μετὰ τοῦτον ἐγένετο βασιλεὺς ὁ Ζαϊατσένας (Νικόστρατος), ὁ ἀνὴρ τῆς Σουσσουβᾶς, καὶ νικητὴς τῶν ἐχθρῶν, οὗ ἡ κατὰ πᾶσαν τὴν γῆν διαθέουσα προσταγὴ οὐ παρεβαίνετο οὐδὲ τοῖς κραταιοῖς βασιλεῦσιν.

28. Οἱ ἐχθροὶ διδαχθέντες ἐν πολέμῳ τῇ μὲν ὀφρύϊ [3] τούτου

---

1. Οἱ Βιδεαδάραι, θεοὶ αἰθέριοι, εὐειδεῖς καὶ παντόμιμοι, ὧν αἱ μὲν θήλειαι ἁρπάζουσιν ἐπὶ φιλότητι ὡραίους ἄνδρας, οἱ δ' ἄῤῥενες ὡραίας γυναῖκας· οὐκ ἠδυνήθησαν ὅμως οὐδὲ ἁρπάσαι ἢ ἀπατῆσαι τοῦτον, οὐδὲ μεταμορφωθῆναι κατὰ τὴν μορφὴν αὐτοῦ· ἀμίμητος δηλ. ἦν κατὰ τὴν μορφὴν καὶ ἀσύλητος διὰ τὴν ἣν εἶχεν ἀρετήν.

2. Οὐκ ἔβλεπε σκιὰν, ἐπειδὴ ἠφανίζετο ἐκ τῆς λάμψεως τοῦ προσώπου τούτου, καὶ διὰ τοῦτο ἠπόρει καὶ οὐκ ᾔδει ποῦ θῇ τὸ σκιάδιον.

3. Ἐκ μὲν τῆς τροπῆς τῶν ὀφρύων αὐτοῦ οἱ ἐχθροὶ ἔτρεπον τὰ νῶτα εἰς φυγήν· ἐκ δὲ τῆς κινήσεως τοῦ ξίφους αὐτοῦ ἔτρεμον· ἐκ δὲ τῆς κάμψεως τοῦ τόξου, ἔκαμπτον τοὺς αὐχένας καὶ προσεκύνουν.

τὰς τροπὰς, τῷ δὲ ξίφει τοὺς τρόμους, τῷ δὲ τόξῳ τὰς κάμψεις τοῦ σώματος, ἔθεντο αὐτοδιδάκτως χόρτον ἐν στόματι [1].

29. Τί οὖν; αἱ ἔφοροι θεαὶ τῶν γυμναστηρίων, τῶν λειμώνων καὶ τῶν ὑδάτων, ἔρωτι ἐρεθιζόμεναι, οὐκ ἐπεθύμουν τῶν παιδιῶν τούτου τοῦ εὐειδοῦς, αἳ ἐγίνοντο ἐν γυμνασίοις, ἐν ἀνθολογίαις καὶ ὑδροπαιδιαῖς (ἐν λουτροῖς);

30. Ὁ παντοειδὴς Βισνοῦς, ὡς δοκεῖ, ποιήσας τὸ ἑαυτοῦ σῶμα ὁμοειδὲς τῷ τούτου σώματι [2] συνεγένετο τῇ Λαξμῇ· διὰ τοῦτο ὁ υἱὸς αὐτοῦ τοῦ Βισνοῦ, ὁ Ἔρως, ὅμοιος τούτῳ τῷ βασιλεῖ κατὰ τὸ θαυμάσιον εἶδος ἐγένετο [3] καὶ νικητὴς τῶν τριῶν κόσμων.

31. Ἔπειτα δ' ἐγένετο δυνατὸς βασιλεὺς, Ῥοσήνας τοὔνομα, ἀνὴρ δύω γυναικῶν, τῆς Μαριαδᾶς [4] καὶ τῆς Οὐρβῆς, οὗ τὸ ξίφος τρέμον ἔπιπτεν ἐπὶ τῶν δύω ἄκρων [5] τοῦ μετώπου τοῦ ἐλέφαντος τοῦ ἐχθροῦ, διὰ τὸ ὑπονοεῖν, ὅτι μαστοί εἰσι γυναικός.

32 Οὗτος ἐν πολέμῳ ἠγλαΐζετο, ὡς οἶκος λαμπρᾶς νίκης [6], οὗ ἡ μὲν ἐξωμὶς ἀνεπετάννυτο ὑπὸ τοῦ ἀέρος, ὡς σημαία,

---

1. Ἐν πολέμῳ, ὡς προείρηται, ὃς ἂν ῥίψῃ τὰ ὅπλα καὶ θῇ χόρτον ἐν τῷ στόματι, οὐκ ἀναιρεῖται.

2. Ἀφῆκε πᾶσαν ἄλλην μορφὴν καὶ ἔλαβε τὴν τούτου μορφήν.

3. Πάγκαλος ἦν δηλαδὴ καὶ παγκόσμιος νικητὴς, ὡς ὁ Ἔρως.

4. Μαριαδὰ λέγεται ὁ ὄρος, τὸ ὄριον, καὶ ἡ αἰδώς. Οὐρβὴ δὲ λέγεται ἡ γῆ.

5. Ἐπὶ τῆς κορυφῆς τοῦ ἐλέφαντος, ἑκατέρωθεν τοῦ μετώπου, δύω ἐξοχαὶ ὀστώδεις πρόκεινται, ὡς μαστοί.

6. Ὁ μὲν βασιλεὺς ἐν πολέμῳ ἦν, ὡς οἶκος βασιλικὸς, ἐν ᾧ ἵσταται ἡ νικητικὴ σημαία· ὁ δὲ βραχίων αὐτοῦ, ὡς ὁ κοντὸς τῆς σημαίας· ἡ δὲ ἐξωμὶς αὐτοῦ, ὡς τὸ ἱστίον τῆς σημαίας· ὁ δὲ στέφανος αὐτοῦ, ὡς ὁ ἐπὶ τῆς κορυφῆς τῆς σημαίας λόφος.

ὁ δὲ μακρὸς βραχίων ἦν, ὡς κοντὸς, ὁ δὲ λιθοκόλλητος στέφανος, ὡς λόφος.

33. Πλάττων τὸ τούτου θερμουργὸν ὁ Σίβας, θερμανθεὶς, ἐξέμαξε τῇ χειρὶ τὸ μέτωπον, ἱδρῶτι περιῤῥεόμενον· προσκολλήσει δὲ μορίου τῆς πλαστικῆς ὕλης, ἐγένετο τὸ ἐν μετώπῳ πύρινον αὐτοῦ ὄμμα.

34. Οἱ ἄνθρωποι ἀποτελέσειαν ἂν κατὰ τὴν ἑαυτῶν ἔφεσιν διὰ μὲν τῆς διεσπαρμένης δυσκλείας τῶν ἐχθρῶν τούτου μέγα σκότος [1], διὰ δὲ τῆς τούτου θερμουργίας ἡλιακὸν φῶς, διὰ δὲ τῆς τούτου εὐκλείας σεληνιαίαν λάμψιν.

35. Μετὰ τοῦτον βασιλεὺς ἐγένετο Βαούμας, ὁ ἀνὴρ τῆς Σουϊαγνᾶς, ὀξὺς ὢν ὡς ὁ Ἥλιος· οὗ οἱ ἐχθροὶ κατακαιόμενοι ἐν δεινοῖς, κατέβρεχον τὸ ἑαυτῶν σῶμα δάκρυσι πολλοῖς [2].

36. Ἡ εὔκλεια τούτου ἠγλαΐζετο ὡς ἡ Σιδὰ [3], ἀφικνουμένη ἀκωλύτως καὶ εἰς τοὺς τρεῖς κόσμους· πιοῦσα δὲ διὰ τῆς ἑαυτῆς ἀγλαΐας τὴν ἀγλαΐαν τῆς ἀμβροσίας [4], διαμένει εἰς αἰῶνας αἰώνων.

37. Αἱ γυναῖκες τῶν ἐφόρων τῶν τῆς γῆς μερῶν θεῶν ἠγκαλίζοντο σφοδρῶς καὶ ἡδέως καὶ λίαν περιχαρῶς αὐτοὺς, ἀγλαϊζομένους πάντα τὰ μέλη, διὰ τῆς εἰς τοῦτον εἰσδύσεως [5].

---

1. Οἱ Ἰνδοὶ ἀναφέρουσι τὸ μὲν σκότος, ὡς μέλαν, εἰς τὴν δυσφημίαν· τὸ δὲ ἡλιακὸν φῶς, ὡς θερμαντικὸν, εἰς τὴν ὀξύτητα, εἰς τὴν θερμουργίαν· τὸ δὲ σεληνιακὸν φῶς, ὡς λευκὸν καὶ δροσερὸν, εἰς τὴν εὐφημίαν.

2. Πολλὰ δηλ. πάσχοντες δεινὰ ὑπ' αὐτοῦ ἔκλαιον.

3. Ὡς ἡ Σιδὰ, ἡ θαυματουργὸς γυνή.

4. Ὑπερβᾶσα δηλ. τὴν λευκότητα τῆς ἀμβροσίας, διαμένει εἰς αἰῶνας αἰώνων, καθὼς ἡ Σιδὰ ἀφικνεῖται καὶ εἰς τοὺς τρεῖς κόσμους, καὶ πιοῦσα τὴν ἀμβροσίαν διαμένει εἰς αἰῶνας αἰώνων.

5 Οἱ ἔφοροι τοῦ Κόσμου θεοὶ εἰσδύουσι τὸ σῶμα τοῦ βασιλέως, ὡς φρονοῦσι.

38. Οὗτος ὁ πολύνους, ὃς ἐγίνωσκεν ὡς ψευδῆ εἰσι πάντα τὰ ἐν τούτῳ τῷ, ὡς δράματι, κόσμῳ φαινόμενα [1], παντὸς πάθους ἀμέτοχος ἦν [2]· ἐδείκνυε δὲ χαρὰν καὶ ὀργὴν καὶ τὰ λοιπὰ πάθη προσηκόντως τῷ καιρῷ.

39. Μετὰ δ' ἐγένετο βασιλεὺς Ἀϊουταϊάζης [3] τοὔνομα, ἀνὴρ ὢν τῆς Ταπᾶς· ὃν ἰδὼν ὁ Ἔρως καὶ φοβηθείς, μήπως ἰδοῦσα τοῦτον κἀκεῖνον ἡ Ῥατὴ, ἄθυμος γένοιτο, ἀμελὴς ἐγένετο [4].

40. Ἐχλευάζοντο ὑπὸ τῶν θεαινῶν αἱ γυναῖκες τούτου τοῦ βασιλέως, ἐπειδὴ ὁ ὕπνος αὐτῶν ἐμπόδιον ἦν τῆς θεωρίας αὐτοῦ· ἀντεχλευάζοντο δὲ καὶ αἱ θεαὶ ὑπὸ τῶν γυναικῶν καυχωμένων, ὅτι καὶ ἐν ὕπνῳ ἔχουσιν αὐτὸν ἐν ἀγκάλαις [5].

41. Οὐκ ἔστι παράδοξον, ὡς τὸ κλέος τούτου ἔθαλλεν ὡς φυτὸν, ἀρδόμενον τοῖς ἐκ τῶν ὀφθαλμῶν δάκρυσι τῶν γυναικῶν τῶν ἐχθρῶν, ὡς ὕδασιν ἐκ νεφῶν· τοῦτο δὲ τὸ παράδοξον, ὅτι τὸ ὡς πῦρ θερμουργὸν τούτου ἐξήπτετο τοῖς ὕδασιν ἐκείνων τῶν δακρύων.

42. Οἱ θεοὶ ἐν τῇ μελλούσῃ γεννήσει [6] τὸν μισθὸν διδόασι τοῖς σεβομένοις αὐτούς· τοῦτο δὲ τὸ μέγα ἑαυτῶν στίγμα

---

1. Δράμα ἐστὶν οὗτος ὁ Κόσμος· δραματουργὸς δὲ ὁ Θεός.

2. Οὐκ ἦν δηλ. προσηλωμένος τοῖς τοῦ κόσμου πάθεσι.

3. Ἀϊουταϊάζης ἑρμηνεύεται, ὁ ἐκτελεστὴς δεκακισχιλίων θυσιῶν, Μυριοθύτης.

4. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· ὁ γὰρ Ἔρως λέγεται καὶ Ἀνάγκας, τουτέστιν ἀμελὴς ἢ λυσιμελής.

5. Οἱονεὶ ἔλεγον· ἡμεῖς μᾶλλον μακάριαι ἐσμὲν ἢ ὑμεῖς· ὑμεῖς μὲν γὰρ ἀεὶ τοῦτον βλέπετε, ὡς ἄυπνον· ἡμεῖς δὲ οὐ μόνον τοῦτον βλέπομεν, ἀλλὰ καὶ ἐν ἀγκάλαις ἔχομεν, οὐ μόνον γρηγοροῦσαι, ἀλλὰ δὴ καὶ ὑπνοῦσαι.

6. Οἱ γὰρ Ἰνδοὶ δοξάζουσι τὴν μετεμψύχωσιν.

ἐξαλεῖψαι θελήσαντες, ἔλαβον τὴν μορφὴν τούτου, ὃς εὐθέως ἀντέμειβε τοὺς αὐτὸν θεραπεύοντας.

43. Μετὰ τοῦτον ἀνεδέξατο τὴν φροντίδα τῆς γῆς ὁ Ἀκροδανᾶς (Ἀόργητος), ἀνὴρ ὢν τῆς Καρενουκᾶς, οὗ τὴν μεγαλοδωρίαν ἀδουσῶν τῶν ὑπὸ γῆν θηλέων ὄφεων ἀκούσας ὁ Βαλὴς, ἀφῆκε τὴν ἔπαρσιν.

44. Τούτου ἡ εὐφημία καὶ θερμουργία ἐπαιζέτην καθ' ἑκάστην ἐπὶ τῆς αὐλῆς τοῦ οὐρανοῦ μετὰ λαμπρῶν σφαιρῶν, ἀναδυομένων ἐκ τοῦ βάθους τῆς γῆς, καὶ καταδυομένων, αἵ εἰσιν ὁ Ἥλιος καὶ ἡ Σελήνη [1].

45. Ὑπὸ τούτου οὐχ ἡρπάζετο οὐδὲ ὁ πλοῦτος, ὃς κατηναλίσκετο εἰς ἀγαθὰ ἔργα, τῶν ἀγαθουργῶν καὶ θεοσεβῶν ἐχθρῶν, ἡττηθέντων ἐν πολέμῳ καὶ ὑποταγέντων.

46. Οὗτος ἐν μὲν ἡμέρᾳ μεγάλῳ πόνῳ συνῆν ἐκ τοῦ οὗ ἔφερε μεγάλου φορτίου τῆς γῆς· ἐν δὲ νυκτὶ χαίρων ἔβλεπε κατ' ὄναρ καὶ ὕπαρ τὸν Θεὸν, ὄντα ἐν ἀνεικέστῳ χώρᾳ τοῦ οὐρανοῦ.

47. Μετὰ δὲ τοῦτον βασιλεὺς τῆς γῆς ἐγένετο ὁ Δεβατίτης [2], συζευχθεὶς γυναικὶ καλουμένῃ Βασᾷ· πρὸς ὃν ἔριν θέμενοι ἐν πολέμῳ οἱ ἐχθροὶ, ἐγένοντο καὶ αὐτοὶ Δεβατίται.

48. Ἐν τῇ διασπαρθείσῃ εὐφημίᾳ τούτου, εἰπούσης τῆς θεᾶς Παρβατῆς τῷ Σίβᾳ· « Ἆρα τὸ μέλαν τοῦ λαιμοῦ σου ἐξήλειπται σήμερον; » εἶδεν ἑαυτὸν ὁ Σίβας σὺν χαρᾷ εἰς

---

1. Ἡ θερμότης ἀναφέρεται εἰς τὸν Ἥλιον, ἡ δὲ εὔκλεια εἰς τὴν Σελήνην.

2. Παίζει πρὸς τὴν λέξιν ὁ Ποιητής· Δεβατίτης γὰρ λέγεται κατ' ἐτυμολογίαν Θεόξενος, τουτέστιν ὁ ξενιζόμενος παρὰ τῷ Θεῷ· διὰ τοῦτο ἐπάγει ὅτι ἐγένοντο καὶ αὐτοὶ Δεβατίται, τουτέστιν, ἀποθανόντες ἐν πολέμῳ ἐξενίσθησαν παρὰ τῷ Θεῷ, ἐγένοντο οὐράνιοι· οἱ γὰρ θανόντες ἡρωϊκῶς ἐν πολέμῳ, εἰς τὸν οὐρανὸν, λέγουσι, πορεύονται.

τὴν πολύτιμον λίθον, τὴν ἐπὶ τῆς κορυφῆς τοῦ περὶ τὸν τράχηλον ὄφεως.

49. Τούτου ὁ θυμὸς ἐν δεινῷ πολέμῳ ἀπεπαύετο, λέγοντος τοῦ ἐχθροῦ· « Τί ἀναιρεῖς ἐμὲ, ὃς κατὰ τὸ ἔθος τῆς πρὸς » τοὺς ἐφόρους τῆς γῆς θεοὺς λατρείας, σοὶ αὐτῷ ἐλάτρευ- » σα ἐν τῷ καιρῷ τῆς ἐμαυτοῦ ἐξόδου [1];»

50. Ὁ παντογνώστης Σίβας, ὁ πενταφυῆ μορφὴν ἔχων [2] χοὸς, ὕδατος, πυρὸς, αἰθέρος καὶ ἀέρος, ἀριθμήσας τὰ ἄτομα τοῦ χοὸς, τοῦ ὕδατος, τοῦ πυρὸς καὶ τοὺς ἀστέρας, εἶ- πεν, ὅτι τὰ προτερήματα τούτου ἀναρίθμητά εἰσιν

51. Ἐπὶ τοῦ θρόνου δὲ τούτου τοῦ βασιλέως Δεβατίτου ἐκά- θισεν, ὡς λέων ἐπ' ὄρους, ὁ Σρηρούσας, ὁ σύζυγος τῆς Δε- βᾶς, ὃς διακόψας τὴν πληθὺν τῶν ἐχθρῶν, ὡς ἐλεφάντων ἀγέλην, διέσπειρεν ἐπαίνους λευκοὺς ὡς μαργαρίτας.

52. Τούτου τῶν ποδῶν οἱ δέκα ὄνυχες, πλυθέντες τοῖς τῶν ἐχθρῶν δάκρυσι, καὶ στιλβωθέντες ταῖς προστρι- βαῖς [3] τῶν ἐπὶ τῆς κορυφῆς αὐτῶν λίθων, ἐγένοντο ἕκα- στος κάτοπτρον τῶν δέκα μερῶν τοῦ κόσμου.

53. Ἐπειδὴ αἱ γυναῖκες ἔβλεπον τοῦτον ἀσκαρδαμυκτὶ, διὰ τοῦτο εἰκάζετο, ὡς αἱ θεαὶ εἰσέδυσαν αὐτὰς, ὥστε θεάσθαι τοῦτον [4]· ἀλλὰ καὶ αἱ θήλειαι τῶν ὑπὸ γῆν ὄφεων ἔβλεπον τοῦτον διὰ τῆς ἀκοῆς τῆς τούτου εὐμορφίας [5].

---

1. Λατρεύσας τοῖς ἐφόροις τοῦ κόσμου θεοῖς, σοὶ αὐτῷ ἐλάτρευσα. καὶ γὰρ ἐκεῖνοι ἐν σοί εἰσι.

2. Αὐτὸς δηλ. ἐστι τὰ πάντα.

3. Οἱ ἥττονες Ἰνδοὶ προσκυνοῦντες τοὺς κρείττονας προστρίβουσι τὸ μέτωπον τοῖς δακτύλοις τῶν ποδῶν· οὗτοι δ' ὄντες βασιλεῖς, καὶ λιθο- κολλήτους ἔχοντες στεφάνους, προσκυνοῦντες ἀποστίλβουσι τοὺς ὄνυχας τούτου, διὰ τῆς προστρίψεως τῶν ἐν τοῖς στεφάνοις λίθων.

4. Οἱ γὰρ θεοὶ ἀκοιμήτους ἔχουσι τοὺς ὀφθαλμούς.

5. Λέγουσιν ὡς οἱ ὄφεις οὐκ ἔχουσιν ὦτα· ἀκούουσι δὲ διὰ τῶν ὀφθαλμῶν.

54. Τούτου τὸ θερμουργὸν νεοφανὴς Ἥλιος ἦν, ἀνατολὴν μὲν ἔχων πανταχοῦ, δύσιν δὲ οὐδαμοῦ. Ὅστις δὲ τῶν βασιλέων τὸ βασιλικὸν ἀπέρριπτε σκιάδιον [1], εἰς τοῦτον, οὐ διῆκεν ἡ θερμότης.

55. Μετὰ δὲ τοῦτον ὁ βασιλεὺς Ἀξαράζας, ὁ ἀνὴρ τῆς Σβαλᾶς [2] ἐξῆψε τὴν ἑαυτοῦ ἀνδρείαν ἐν τῷ ἐχθρῷ, ὡς φλόγα ἐν δρυμῷ, οὗ ἐν τῇ λευκῇ εὐκλείᾳ οὖσα ἡ Σελήνη, ἐτύγχανεν ἀνέσεως, ὡς οἰκοῦσα ἐν τῇ γαλακτικῇ θαλάσσῃ [3].

56. Ὁ εἰρημένος ἐχθρὸς τούτου [4] καὶ λέοντας ἀνεῖλεν ἐν δρυμῷ εὐμαρῶς, οὐ δι' ὅπλου, ἀλλὰ διὰ μόνης τῆς χειρὸς αὐτοῦ, οἳ ἐπέδραμον, ἰδόντες τοὺς μαστοὺς γυναικὸς, πλησίον τούτου ἱσταμένης, καὶ νομίσαντες τὰς ἐπὶ τῆς κεφαλῆς τοῦ ἐλέφαντος μαστώδεις ἐξοχάς.

57. Ὅ,τε Σίβας καὶ ὁ Βισνοῦς, ἰδόντες τὸ κάλλος τούτου, ὁ μὲν μελαγχολῶν ἦν ὅλως ἐν ἑαυτῷ, ὅτι γυναικείαν ὅλην φύσιν οὐκ ἔλαβεν [5]· ὁ δὲ Βισνοῦς ἐγνω-

---

1. Τὸ γὰρ σκιάδιον, ὃ κρατοῦσιν ἐπὶ κεφαλῆς εἰς ἀποσκίασιν τοῦ ἡλίου, βασιλικόν ἐστι παράσημον ἐν Ἰνδίᾳ· δηλονότι, ὅστις τῶν βασιλέων προσκυνῶν ὑπετάγετο τούτῳ τῷ Σρηρούσᾳ, ἐκείνῳ φίλος ἦν.

2. Σβαλὰ λέγεται ἡ φλόξ· ὅθεν ὁ ποιητὴς παίζει πρὸς τὴν λέξιν.

3. Ἑπτὰ θάλασσαι μυθεύονται παρ' Ἰνδοῖς· ὧν μία ἐστὶ καὶ ἡ ἐκ γάλακτος, ἐξ ἧς ἐγεννήθη ἡ Σελήνη.

4. Ἐνταῦθα λέγει ὁποῖός τις ἦν ὁ τούτου ἐχθρὸς, περὶ οὗ εἴρηκεν ἀνωτέρω, ὅτι κατηθάλωσεν αὐτὸν ἡ τούτου ἀνδρεία, καθὼς ἡ φλὸξ τὴν ὕλην· δηλονότι τοσοῦτον γενναῖος καὶ φοβερὸς ἦν ὁ τούτου ἐχθρὸς, ὥστε οὐχὶ δι' ὅπλου, ἀλλὰ διὰ μόνης τῆς χειρὸς αὐτοῦ ἐνίκησε λέοντας, οἳ οὐκ ἐφοβοῦντο οὐδὲ τοὺς ἐλέφαντας. Ὅρα δὲ πῶς κἀνταῦθα ὁ ποιητὴς παίζει· ἐπειδὴ γὰρ εἴρηκεν ἀνωτέρω, παραβάλλων τὸν ἐχθρὸν τούτου δάσει κατακεκαυμένῳ ὑπὸ πυρὸς, διὰ τοῦτο ἐπήγαγεν ἐνταῦθα, καὶ λέοντας καὶ ἐλέφαντας, οἳ διαιτῶνται ἐν δάσεσι.

5. Ἡ εἰκὼν τοῦ Σίβα ἐνίοτε γράφεται διφυὴς, κατὰ μὲν τὸ δεξιὸν μέρος ἀρσενικὴ, κατὰ δὲ τὸ ἀριστερὸν θηλυκή· διὰ δὲ τούτου ὑπαινίττονται, ὡς ἐξ ἄρρενος καὶ θήλεος τὸ πᾶν συνίσταται.

σιμάχει, ὅτι λαβών ποτε γυναικείαν φύσιν, ἀφῆκεν αὐτήν [1].

58. Ἐν τῇ γῇ τούτου ὁ θάνατος ἐν ὥρᾳ ἔκλειεν, ὡς ὕπνος, τὰ ὄμματα τῶν ἀνθρώπων [2], ἀγαθοῖς ἔργοις διαπρεπόντων, μηδὲν πάθος μήτε βλεπόντων, μήτ' ἀκουόντων, καὶ χρηστολογίαις καὶ εὐπροσηγορίαις χαιράντων.

59. Μετὰ τοῦτον βασιλεὺς ἐγένετο ὁ Ματινάρας, ὁ ἀνὴρ τῆς Σαρασβατῆς, οὗ ἐν τοῖς τῶν ποδῶν ὄνυξιν, ὡς ἐν χαρίεσι λιμνιδίοις, ἀντέλαμπεν ἡ δεκαμερὴς βασιλεία, διὰ τῆς τῶν βασιλέων προσκυνήσεως [3].

60. Καταφρονήσας οὗτος ἐν πολέμῳ τοῦ μὲν ξίφους, ἐπειδὴ ἔτρεμε, τοῦ δὲ τόξου, ἐπειδὴ τὰ νῶτα πρὸς τοὺς ἐχθροὺς ἐδείκνυεν, ἐνίκησε τοὺς ἐχθροὺς βασιλεῖς τῇ ὀφρύϊ αὐτοῦ.

61. Τίς ἐρωτικὴ οὐ περιεπτύσσετο πολλάκις τοῦτον, τὸν ἐκ τῶν προτερημάτων ἑαυτοῦ ὄντα ἐν καρδίᾳ παντὸς ἐρωτικοῦ; Τίς οὐκ ἐφίλει πλεονάκις κατ' ἰδίαν τὸ στόμα τοῦ ἀνδρὸς αὐτῆς, τὸ ὂν πλῆρες ᾀσμάτων τῶν πλεονεκτημάτων τούτου [4];

62. Καὶ αὐτὸς ὁ Βραχμᾶς [5], ὁ παντογνώστης, οὐκ ἐγίνωσκε

---

1. Ὁ Βισνοῦς ἔλαβε γυναικείαν φύσιν, εἰς ἀπάτην τῶν δαιμόνων, ὅτε ἐξῆλθεν ὡς ἀμβροσία ἐκ τῆς θαλάσσης.

2. Οὐκ ἀπέθνησκον δηλ. παρ' ὥραν οἱ ἄνθρωποι νέοι ὄντες, ἀλλὰ γηράσκοντες.

3. Δηλονότι πάντων τῶν μερῶν τῆς γῆς οἱ βασιλεῖς προσεκύνουν τοὺς πόδας αὐτοῦ.

4. Δηλονότι περιπτυσσόμεναι τοὺς ἑαυτῶν ἄνδρας, ὧν ἐν τῇ διανοίᾳ ἦν οὗτος, ἕνεκα τῶν ἑαυτοῦ προτερημάτων, τοῦτον περιεπτύσσοντο.

5. Καὶ αὐτὸς ὁ Βραχμᾶς, ὅστις πεποίηκε τὰ προτερήματα τούτου καὶ εἴρηκεν αὐτὰ πολλάκις, οὐκ εἶχεν αὐτὰ ἐν μνήμῃ, διὰ τὸν ἀριθμὸν τὸν πολύν.

τὸν ἀριθμὸν τῶν ὑπ' αὐτοῦ πεποιημένων τε καὶ λελεγμένων προτερημάτων τούτου, καὶ ἱκανῶν ὄντων εὔκοσμον τὸν κόσμον καταστῆσαι.

63. Μετὰ τοῦτον ἐκόσμησε τὴν γῆν ὁ βασιλεὺς Σισσοῦς, ὁ ἀνὴρ τῆς Ἰαμουνᾶς, οὗ εἰς τὴν λαμπρότητα, τὴν οὖσαν ὡς λαμπρὸς λύχνος τῶν τριῶν κόσμων, ἐμπίπτων ὁ Ἥλιος, ἐφαίνετο ὡς πυραλλίς [1].

64. Τούτου ἡ ῥομφαία, ποιήσασα λατρείαν τῇ γῇ τοῦ πολέμου, ὡς δι' ἀνθέων [2] τῶν μαργάρων, πεσόντων ἐκ τοῦ μετώπου τοῦ ἐλέφαντος [3], πληγέντος, κατέπιε τῶν ἐχθρῶν τὸ πῦρ, ὡς τερατουργὸς [4], τὸ καταναλίσκον τοὺς ἐχθρούς.

65. Ἐπὶ τούτου τοῦ λαμπρῶς νικήσαντος τὴν ἄγνοιαν, τὴν νικῶσαν τὸν κόσμον, ἔπιπτον πανταχόθεν τὰ βέλη τοῦ Ἔρωτος καὶ ἐν καιρῷ τῆς μετὰ γυναικῶν παιδιᾶς, ὡς ἀνθοβολίαι [5].

66. Οὗτος ὁ μέγας αἰθὴρ λέγεται ὑπὸ τῶν σοφῶν, τοῦ μὲν Βισνοῦ ποῦς, τοῦ δὲ Σίβα, θριξ τῆς κεφαλῆς· ἀλλὰ καὶ οὗτοι οἱ μεγάλοι θεοὶ ἐφαίνοντο, ὁ μὲν Βισνοῦς, ὡς βομβύλιος, ὁ δὲ Σίβας, ὡς χὴν [6], ἐπὶ τοῦ λωτοῦ τῆς

---

1. Λαμπρότερος δηλ. καὶ θερμότερος ἦν καὶ αὐτοῦ τοῦ Ἡλίου. Ἀστείως ἔχει τὸ πρωτότυπον· Πατάγγα γὰρ λέγεται καὶ ὁ Ἥλιος καὶ ἡ πυραλλὶς τῷ αὐτῷ ὀνόματι.

2. Οἱ γὰρ Ἰνδοὶ λατρεύοντες τοῖς θεοῖς, προσφέρουσιν ἄνθη.

3. Μυθολογοῦσιν ὡς ἐν μὲν τῇ κεφαλῇ τοῦ ἐλέφαντος μαργαρῖταί εἰσιν, ἐν δὲ τῇ κεφαλῇ τοῦ ὄφεως, πολύτιμοι λίθοι.

4. Εἰσί τινες τῶν τερατοποιῶν ἐν Ἰνδίᾳ, οἳ πυρσὸν μέγαν τῇ χειρὶ φέροντες, περιφέρονται γυμνοί, ὡς δαιμονόληπτοι, καὶ ἐντιθέασι τὴν φλόγα τῷ σώματι καὶ τῷ στόματι, μηδαμῶς φλεγόμενοι.

5. Οὐκ ἦν δηλ. γυναικομανὴς, ἀλλὰ σώφρων καὶ ἐγκρατής.

6. Μέλας ὁ Βισνοῦς, μέλας καὶ ὁ Βομβύλιος, ὃς περιΐπταται ἐπὶ τοῦ

εὐκλείας τῆς μεθ' ὕδατος γινομένης πολυδωρίας τούτου [1].

67. Μετὰ δ' ἐγένετο βασιλεὺς τῆς γῆς ὁ πανέκλαμπρος Ἀλήνας, ὁ ἀνὴρ τῆς Ῥαθανταρῆς, οὗ ὁ θυμὸς [2] καὶ τὸ ξίφος ἐν πολέμῳ ἀνῆγον εἰς οὐρανὸν τοὺς ἀντικειμένους, καθὼς τὸ πῦρ καὶ ὁ καπνὸς τῆς θυσίας τοὺς θύοντας [3].

68. Τούτου τὸ τόξον τίνι ἂν συγκριθείη; οὐ γὰρ πώποτε τοιοῦτον ἀνεφάνη τόξον. Τὸ μέν γε τόξον τοῦ Σίβα κατερράγη ὑπὸ τοῦ Ῥάμα, καὶ παιδίου ὄντος· ποῦ δὲ χορδὴ καλὴ τῷ τόξῳ τοῦ Ἴνδρα [4]; τὸ δὲ τόξον τοῦ Βισνοῦ, ἡ *Σάργκα*, λέγεται μέν, ὡς ὑπερφυές ἐστιν, οὐδεὶς δ' ὅμως αὐτὸ εἶδεν.

69. Οἱ ἄνδρες, ἀγαπῶντες τὰς ἑαυτῶν γυναῖκας, ὑπελαμβάνοντο ὑπ' αὐτῶν, ὅτι εἰσὶν αὐτὸς ὁ Ἀλήνας· ἆρα οἱ ἄῤῥενες καὶ αἱ θήλειαι ἐν τοῖς τρισὶ κόσμοις οὐχ ἥδοντο ἀλλήλοις ὁμοίως, ὁμοίως ἀλλήλους ἀγαπῶντες;

70. Καί τοι δ' οὗτος κατεβρέχετο τῷ χυμῷ τῶν ἀγαθῶν ἔργων, θερμαινόμενος ὅμως τῷ βάρει τῶν ἑπτὰ νησωδῶν γαιῶν [5], ἔπινεν ὅλῃ ψυχῇ τὸν θυμὸν τῆς ἀμβροσίας τῶν

ἄνθους λωτοῦ. Λευκὸς ὁ Σίβας, λευκὸς καὶ ὁ χὴν, ὃς ἐμφιλοχωρεῖ τῷ ὕδατι, ἐν ᾧ φύεται ὁ λωτός.

1. Ὡς μικροὶ ἐφαίνοντο οἱ μεγάλοι οὗτοι θεοὶ ἐν τῇ εὐκλείᾳ τούτου, δηλ. ἡ εὔκλεια τούτου ἄπειρος ἦν καὶ ἀπεριόριστος. Ὑπερβολὴ τοῦτο. Σημείωσαι ὡς οἱ Ἰνδοὶ διδόασι τὰ δωρήματα τοῖς Βραχμᾶσι μεθ' ὕδατος ἐν παλάμῃ.

2. Ὁ θυμός ἐστιν ὡς τὸ πῦρ, τὸ δὲ ξίφος ὡς ὁ καπνός.

3. Τὸ πρωτότυπον ἔχει πολλὴν χάριν, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· Ἀσαβὰ γὰρ λέγεται καὶ ἡ μάχη καὶ ἡ θυσία.

4. Τὸ τόξον τοῦ Ἴνδρα, ὅς ἐστιν ὁ ὄμβριος Θεὸς, ἡ Ἶρις ἐστὶν, ἡ ἐν αἰθέρι φαινομένη μετὰ τὴν βροχήν.

5 Καθὼς ἑπτὰ θαλάσσας μυθολογοῦσιν οἱ Ἰνδοὶ, οὕτω καὶ ἑπτὰ γαίας, περιῤῥεομένας κατὰ μέρος ὑπὸ τῶν θαλασσῶν.

γυναικείων χειλέων, εἰς ἄνεσιν τοῦ πόνου, μηδαμῶς προσηλωμένος αὐταῖς.

71. Μετὰ τοῦτον βασιλεὺς ἐγένετο ὁ Δουσσέντας, ὁ ὀλέτωρ τῶν στρατιῶν τῶν πολεμίων βασιλέων, ὃς ἠγλαΐζετο μετὰ τεσσάρων νεωτέρων ἀδελφῶν ἐν τῇ βασιλείᾳ, καθὼς ὁ τετράχειρ Βισνοῦς [1] ἐν τῇ ἀγκάλῃ τῆς Λαξμῆς.

72. Τούτῳ ὕμνον οἱ σοφοὶ Βραχμᾶνες ἐποίουν, χρίοντες τὸ μέτωπον αὐτοῦ κρόκῳ, διὰ τοῦ ἄκρου τοῦ μικροῦ δακτύλου, καὶ τιθέντες ἀμφοτέρας τὰς χεῖρας ἐπὶ τῆς κορυφῆς αὐτοῦ.

73. Ἐν μέσῳ θαυμασίων ὀϊστῶν, ἀφιεμένων, ἡ τοῦ Ἰάμα ὀφρύς, ὡς δραματουργὸς γυνὴ [2], ἤρχετο εἰς τὸ τόξον τούτου, ὃ ἦν ἐν τῷ σταδίῳ τοῦ πολέμου, καὶ ἐδραματούργει, ἀναστρέφον τάγματα τῶν πολεμίων.

74. Τὰ ὦτα τῶν ὑπὸ γῆν ὄφεων ἠνώθησαν τοῖς ὄμμασιν ἐθελουσίως [3], ἵν' ἴδοιεν εἰς θυμηδίαν κατὰ κόρον τὸ ἀνέκφραστον κάλλος τούτου, ὅτε ἐξεστράτευσεν εἰς τὸν ὑποχθόνιον κόσμον.

75. Κατὰ τὸ ὃ εἶχεν ἰδίωμα τοῦ ποιῆσαι τοὺς τρεῖς κόσμους λευκοὺς, ἡ εὐκλεια τούτου εἰσέδῃ καὶ εἰς τὴν κοιλίαν τοῦ Βισνοῦ. Πῶς γὰρ ἂν ἄλλως ἔλαμπεν ὁ ἐν τῷ ὀμφαλῷ τοῦ Βισνοῦ λευκὸς λωτὸς, ὅς ἐστιν ὁ ποῦς τῆς εὐκλείας ταύτης [4];

---

1. Ὁ Βισνοῦς τετράχειρ γράφεται, διὰ τὸ πολυδύναμον καὶ παντοδύναμον. Παράκοιτις τούτῳ ἐστὶν ἡ Λαξμὴ, καθὼς τῷ Διὶ ἡ Ἥρα.

2. Οἱ δραματουργοὶ ἔχουσι καὶ γυναῖκας συνερίθους.

3. Ἐπειδὴ οἱ ὄφεις λέγονται, ὅτι διὰ τῶν ὀφθαλμῶν ἀκούουσι, διὰ τοῦτο ὁ ποιητὴς ἀστείως ὑποτίθησιν, ὅτι τὰ ὦτα τῶν ὀφεων, μὴ δυνάμενα ἀκούειν τοῦ κάλλους τούτου, ὅπερ ἦν ἄῤῥητον καὶ ἀνέκφραστον, ἠνώθησαν τοῖς ὄμμασιν, εἰς τὸ ἰδεῖν τὸ κάλλος αὐτοῦ.

4. Δηλονότι ὁ ἐν τῷ ὀμφαλῷ τοῦ Βισνοῦ λωτὸς οὐκ ἔστιν ἀληθὴς

76. Τούτου τῆς φήμης ἐπὶ τῇ πολυδωρίᾳ ἀδομένης ἐν οὐρανῷ, τὸ μὲν πάνδωρον δένδρον ἐποίει τὸ ἔργον τῆς ἀποσμήξεως τοῦ ἱδρῶτος διὰ τῶν κλάδων, ὡς δὶ ἄκρων ἱματίου [1]. ἡ δὲ πάνδωρος βοῦς ἐῤῥίπιζε τῇ οὐρᾷ [2]· τὸ δ' ἔργον τῆς διὰ φωτὸς λατρείας ἐποίει ὁ οὐράνιος ἀδάμας, ὁ ὢν ἐπὶ τῶν κορυφῶν τῶν θεῶν, ἃς ἐσάλευον ἐκ χαρᾶς [3].

77. Οὗτος κυκώσας καὶ ἀναταράξας, ὡς θάλασσαν, τὴν βαθεῖαν στρατιὰν τῶν πολεμίων βασιλέων πάντων, καὶ

λωτὸς, ἀλλ' ὁ ποῦς τῆς φήμης, ἥτις εἰσέδυ καὶ εἰς αὐτὸν, ὡς ἀπανταχοῦ παρόντα, διὰ τοῦ ὀμφαλοῦ, καὶ ἔμεινεν ὁ ποῦς αὐτῆς ἔξω. — Μυθολογοῦσιν, ὅτι ὁ Βισνοῦς ἦν ἐν τοῖς ὕδασιν, ἐπαναπαυόμενος ἐπὶ ὤμου ὄφεως χιλιάδας χιλιάδων ἐτῶν. Τελευταῖον δὲ ἀνεβλάστησεν εἰς λωτὸς ἐκ τοῦ ὀμφαλοῦ αὐτοῦ· ἐπὶ δὲ τοῦ ἄκρου τοῦ λωτοῦ ἐγεννήθη αὐτοφυῶς ὁ Βραχμᾶς, ὃς ἐποίησε τὸ πᾶν τοῦτο· ὅθεν ὁ Βραχμᾶς λέγεται καὶ αὐτοφυὴς καὶ λωτοφυής.

1. Ἔστι καὶ τοῦτο μία θεραπεία πρὸς τοὺς κρείττονας, τὸ ἀποσμήχειν τὸν ἱδρῶτα· διὰ τοῦτο ἐπὶ τῆς εἰκόνος τοῦ Θεοῦ ἐν λατρείᾳ ἵσταται καὶ εἷς, ἔχων καψιδρώτια τῇ χειρὶ καὶ περιφέρων αὐτὰ φαίνεται ὥσπερ εἰ ἀποσμήχει τὸν ἱδρῶτα.

2. Ἐπειδὴ ἐν Ἰνδίᾳ ἐθίζουσι ῥιπίζειν εἰς τιμὴν τοὺς μείζονας καὶ ἡγεμόνας λευκῇ οὐρᾷ βοὸς, ὡς εἴρηται πρότερον, διὰ τοῦτο ὑποθετικῶς ὁ ποιητὴς λέγει ἐνταῦθα, ὅτι ἡ πάνδωρος βοῦς, ἀκούσασα τῆς φήμης τούτου, ἐῤῥίπιζε τῇ ἑαυτῆς οὐρᾷ, ἐποίει δηλονότι ἔργον δουλικὸν, μὴ οὖσης ἐν χρείᾳ τῆς πανδωρίας αὐτῆς.

3. Οἱ Ἰνδοὶ λατρεύουσι τοῖς θεοῖς, ἐγχέοντες ὕδωρ, προσφέροντες ἄνθη, ἢ φύλλα, ἢ καρποὺς, θυμιῶντες, χρίοντες χρώμασιν εὐανθέσιν, ἢ καὶ μύροις ἀλείφοντες. Ἔστι δὲ καὶ αὕτη μία λατρεία, ἡ διὰ φωτός· ἅπτοντες γὰρ λύχνον, βούτυρον ἔχοντα ἀντὶ ἐλαίου, περιάγουσι τοῦτον, ὡς τὸ θυμιατήριον, πρὸ τῶν θεῶν. Ὅθεν καὶ ὁ ποιητὴς οὗτος ῥαψῳδεῖ, ὅτι ὁ πάνδωρος ἀδάμας, ὡς φωσφόρος καὶ πολύφωτος, ἐγίνετο ἡ διὰ φωτὸς λατρεία, ἐποίει ἔργον δουλικὸν δηλαδὴ, μὴ οὖσης ἐν χρείᾳ τῆς πανδωρίας αὐτοῦ.

παγκόσμιον αὐτοκρατορίαν κτησάμενος, πολλὰς θυσίας ἐτέλεσεν. Ὅθεν ἔγωγε οἶομαι, ὅτι τὸ ἐπὶ τοῦ σώματος τοῦ ἐφόρου τῆς θυσίας Βισνοῦ μέλαν προσεγένετο ἐκ τῶν ἀνισταμένων κυματοειδῶν καπνῶν τῶν θυσιῶν τούτου, ὃ μέχρι τῆς σήμερον ἐξαλεῖψαι ὁ Βισνοῦς οὐ δύναται [1].

78. Ἐκ τοῦ βάρους τῆς δυνάμεως τούτου, τῆς σφαίρας τῆς γῆς σειομένης, ἡ μὲν θάλασσα ἐκυματίζετο ὑψοῦ λίαν, καὶ κατεπόντιζε τὰ πλοῖα· τὰ δὲ ὑψηρεφῆ ὄρη διεκλονοῦντό τε καὶ ἀνετρέποντο· τὰ δὲ συνηρεφῆ ἄλση κατεκαίοντο ἐκ τῶν προστριβομένων κλάδων τῶν δένδρων· οἱ δ' ἐχθροὶ διὰ τοῦτο εἰς τοῦτον κατέφευγον παραυτίκα [2].

79. Ἐπειδὴ ἡ Σελήνη, ἡ γαλακτώδης θάλασσα, ὁ Καϊλάσας [3], ὁ βασιλεὺς τῶν ὄφεων Σέσσας [4], ἡ οὐρανία Γαγγὰ, τὸ οὐράνιον δένδρον, ἡ Μανδάρα, οἱ ἐκ μαργάρων ὅρμοι, τὰ ἄστρα, καίπερ ὄντα ὑπέρλαμπρα καὶ λευκὰ, οὐκ ἐφαίνοντο ἐν τῇ εὐφημίᾳ τούτου τοῦ ἡρωϊκοῦ, τῇ ἐν τοῖς τρισὶ κόσμοις περικεχυμένῃ· διὰ τοῦτο ἀναμφιβόλως ταῦτα πάντα ἐγένοντο ὡς ἄτομα ποιητικὰ καὶ συστατικὰ [5] τῆς εὐφημίας τούτου.

80. Οὗτος ὁ ἐκτεταμένος οὐρανὸς, ὡς ἄρουρά ἐστιν, ἔνθα ὁ μὲν Γαλαξίας ἐστὶν ὡς ὀχετὸς, ἡ δὲ Σελήνη, ὡς πηγὴ

---

1. Ὁ Βισνοῦς μέλας γράφεται, ἐπειδὴ ὁ Κρισνᾶς μέλας ἦν, ὃς ἦν αὐτὸς ὁ ἐνανθρωπήσας Βισνοῦς.

2. Κατέφευγεν εἰς τοῦτον, ἐπειδὴ οὐκ ἦν ἄλλη καταφυγή.

3. Καϊλάσας, ὄρος ἐξ ἀργύρου, ἐνδιαίτημα τοῦ Σίβα.

4. Λευκὸς καὶ ὁ βασιλεὺς τῶν ὄφεων, λευκὸν καὶ τὸ ὕδωρ τῆς οὐρανίας Γαγγᾶς, λευκὸν καὶ τὸ μυθευόμενον οὐράνιον πάνδωρον δένδρον, ὅ ἐστι τὸ παρὰ τοῖς Ἕλλησιν Ἀμαλθείας κέρας.

5. Ἔστι καὶ τοῦτο δόγμα ἐν Ἰνδίᾳ φιλοσόφων, ὡς τὸ πᾶν ἐξ ἀτόμων συνίσταται.

ἀμβροσίας, τὸ δὲ σεληνιαῖον σέλας, ὡς ὕδωρ, οἱ δὲ λαμπροὶ ἀστέρες, ὡς σπόροι, ἔνθεν ἀναδοθήσονται, ὡς πολυειδῆ φυτὰ αἱ πολυειδεῖς εὐφημίαι τῶν πολυειδῶν προτερημάτων τούτου.

81. Καί περ ἐμβεβυθισμένοι τὴν καρδίαν οἱ ἐχθροὶ τῷ χυμῷ τῆς ἀπλέτου ἡδονῆς, διὰ τοῦ καθορᾶν κατ' ἰδίαν τὴν καλὴν πλοκαμίδα τῆς γυναικὸς [1], ἄμοιροι ὅμως ἔρωτος ἐξαίφνης ἐγίνοντο, κλείοντες τοὺς ὀφθαλμοὺς καὶ σκυθρωπάζοντες καὶ δειλιῶντες ἐκ τῆς ἀναμνήσεως τῆς ἐν πολέμῳ φρικώδους τούτου ῥομφαίας.

82. Τοῦ κλέους [2] τούτου περιοδεύοντος τοὺς τρεῖς κόσμους διεγίνωσκον, οἱ μὲν ὄφεις τὸν βασιλέα τῶν ὄφεων [3] τῷ συριγμῷ· ὁ δ' εὐσεβὴς τὴν Γαγγὰν τῷ ῥοίζῳ· ὁ δ' Ἴνδρας τὸν οἰκεῖον Ἐλέφαντα, τῇ ὠρυγῇ· οἱ δ' ἀστέρες ἀποροῦντες, πῶς ὑπ' αὐτῶν διαγινώσκοιτο ἡ κυρία Σελήνη [4], ἔθεντο ἐπ' αὐτῆς γνώρισμα διὰ τοῦ στίμμιος [5].

83. Ἡ ἀφειδῶς διδομένη παρὰ τούτου Λαξμὴ, καίπερ εὐμετάστατος, ἀμετάστατος ἔμενεν ἐν τοῖς οἴκοις τῶν αἰτούντων, καὶ ἔπαιζεν, ἡδομένη ἐν λίμναις μετὰ λωτῶν,

---

1. Βλέποντες τὴν γυναικεῖαν πλοκαμίδα, ἡδύνοντο· λαμβάνοντες δ' εἰς μνήμην ἐν ταυτῷ τὴν τούτου ῥομφαίαν, ἐλυποῦντο καὶ ἀνέραστοι ἐγίνοντο. Τὴν πλοκαμίδα τῇ ῥομφαίᾳ εἰκάζει ὁ ποιητής.

2. Τοῦ κλέους ὄντος ὑπὲρ τὸ μέτρον λευκοῦ, οὐ διεκρίνοντο ταῦτα ἧττονα ὄντα τῇ λευκότητι.

3. Λευκὸς γὰρ ὢν Σέσσας ὁ ὄφις, λευκὸν καὶ τὸ ὕδωρ τῆς Γαγγᾶς, λευκὸς καὶ ὁ ἐλέφας, τὸ ὄχημα τοῦ θεοῦ Ἴνδρα.

4. Ἡ γὰρ Σελήνη κυρία λέγεται καὶ ἡγεμὼν τῶν ἀστέρων, ὡς λάμπουσα ἐν νυκτί.

5. Διὰ τούτου ἐμφαίνει τὰ ἄπερ ἔχει μελανίσματα ἡ Σελήνη. Ἡ δὲ Στίμμι μέλαινα βαφή ἐστι, δι' ἧς βάφουσι τὰ ὄμματα αἱ γυναῖκες.

ἐν ὑψιτένουσιν ἐλέφασιν, ἐν σεληνοπροσώποις γυναιξὶ καὶ ἐν τοῖς ξίφεσι τῶν θυροφυλάκων [1].

84. Ἡσθεὶς τοῖς ἀδομένοις προτερήμασι τούτου τοῦ ἀνδρειοτάτου βασιλέως, ὁ ὄφις Σέσσας [2] μέχρι τῆς σήμερον διὰ τῶν ὑποσειομένων ἀδαμαντοφόρων κεφαλῶν ἑαυτοῦ, ὡς διὰ φώτων, λατρεύων τιμᾷ τὸ θερμουργὸν τούτου, ὅ ἐστι τὸ τοῦ Σίβα πύρινον ὄμμα, καθήμενον ὡς βασιλεὺς ἐπὶ τοῦ μετώπου, ὡς ἐπὶ θρόνου, καὶ ἔχον τὴν Σελήνην, ὡς σκιάδιον βασιλικόν· ὁ δὲ ῥοῖζος τῆς Γαγγᾶς, ὡς ἦχός ἐστι κόγχου.

Τέλος τοῦ δευτέρου Κεφαλαίου, τοῦ πρώτου Βιβλίου τοῦ μεγάλου Ποιήματος, ὃ ὠνομάσθη Βαλαβαράτα, καὶ ἐποιήθη ὑπὸ τοῦ, ὡς κορυφαίου πολυτίμου λίθου, ποιητοῦ ΑΜΑΡΑΣΑΝΔΡΑ, μαθητοῦ τοῦ σοφοῦ Ζηναδάττα.

---

1. Δηλονότι πλοῦτον ἀνεξάντλητον καὶ πολὺν ἔδωκε τοῖς αἰτοῦσι, δι' οὗ ἐκτήσαντο καὶ λίμνας θυμηδεῖς, καὶ γυναῖκας εὐειδεῖς, καὶ μεγάλους ἐλέφαντας, καὶ ὑπηρέτας ξιφηφόρους.

2. Μυθολογεῖται, ὡς ὁ Σέσσας, ὁ βαστάζων τὴν γῆν ἐπὶ τοῦ νώτου, ἀδάμαντας ἔχει ἐπὶ τῶν χιλίων κεφαλῶν ἑαυτοῦ. Εἶδος λατρείας ἐστὶ καὶ τὸ φῶς παρὰ τοῖς Ἰνδοῖς· ποιοῦσι δ' οὕτως· ἐν ἐπταφώτῳ λυχνίᾳ βούτυρον τιθέασιν ἀντ' ἐλαίου, καὶ περιφέρουσιν αὐτὴν ὡς θυμιατήριον. Εἶδος δὲ λατρείας ἐστὶ καὶ ἡ ἔμπνευσις κόγχου, ὅς ἐστι νίκης σύμβολον.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ,

Ἐν ᾧ ἱστορία ἐστὶ ὀκτωκαίδεκα βασιλέων ἐν τῇ ἀρχαιογονικῇ δυναστείᾳ.

1. Σέβεσθε τὸν Βεάσαν, ὅς ἐστι τὸ ξίφος τῆς ἀρετῆς, ἡ ἀκωκὴ τῆς ἐγκρατείας, καὶ ὁ μυστοπόλος τῆς θεᾶς Σαραβατῆς, εἰ ἡ καρδία ὑμῶν ταράττεται νυκτὸς καὶ ἡμέρας ἐκ φόβου τῶν ἐντὸς περιπολούντων ἐχθρῶν, καὶ προθυμουμένων ὑπερισχύσαι.
2. Τῶν δὲ πολεμίων βασιλέων μὴ ἀντωπούντων ἐν πολέμῳ διὰ φόβον, ὁ βασιλεὺς οὗτος Δουσσέντας, ἐφιέμενος μεγαλουργίας, ἀναλαβὼν τὸ τόξον, ἐπορεύθη ποτε εἰς τὴν ὕλην ἐπὶ θήρᾳ λεόντων.
3. Ὁ μὲν οὖν βασιλεὺς οὗτος, ὁ ἔχων σῶμα ἐραστὸν τῶν ἐλαφοφθάλμων γυναικῶν, φέρων τόξον ἀνὰ χεῖρας, ἰταμὸς ἦν εἰς ἀναίρεσιν ἐχθρῶν τῶν ἐλάφων [1], καὶ διὰ τοῦτο τηνικαῦτα ἐρυθρὸς ἐγένετο θυμῷ, ὡς εἰκός.
4. Ἀναιρῶν δὲ λέοντας, διεζεύχθη τῶν ἑαυτοῦ στρατευμάτων, καὶ ἀφικόμενος εἴς τι ἄλσος, δι' οὗ ἔρρει ποταμὸς, Μαλινὴ τοὔνομα [2], εἶδε παρθένον πάγκαλον παρὰ τῇ μονῇ τοῦ μεγάλου ὁσίου Κάμβα.
5. Θαυμάζων δὲ καὶ ἐνατενίζων εἰς τὴν θέαν αὐτῆς, διελογίζετο ἐπὶ πολὺ ταῦτα· «Αὕτη ἡ ἔχουσα μαστοὺς μὲν » στρογγύλους, ὡς δύω δεσμοὺς ἀνθέων, καὶ ὡς ζεῦγος

---

1. Τῶν ἐλάφων ἐχθροί εἰσιν οἱ λέοντες. — Οἱ καλοὶ ὀφθαλμοὶ παραβάλλονται τοῖς τῶν ἐλάφων, διὰ τοῦτο ἰταμὸς ἦν εἰς ἀναίρεσιν λεόντων, ἐχθρῶν τῶν ἐλάφων.

2. Τὰ ὀνόματα τῶν ποταμῶν παρ' Ἰνδοῖς θηλυκά εἰσι τῷ γένει· διὸ δὴ καὶ ὁ Γάγγης, Γαγγὰ λέγεται θηλυκῶς, ὡς προείρηται.

» χηναλωπέκων [1], ὄμματα δ' ὅμοια τοῖς τοῦ νεβροῦ καὶ » τῷ κυανῷ λωτῷ [2].

6. «Χεῖρας δὲ καὶ πόδας ὡς τὸν λωτὸν καὶ τὸ ἀρτιθαλ- » λὲς φύλλον, καὶ βαδίζουσα ἐφάμιλλα τῷ ἐλέφαντι καὶ » τῷ χνῖ, αὕτη ἡ κατὰ ταύτην τὴν ὕλην διατρίβουσα » πρὸς τῷ χείλει τοῦ ποταμοῦ, ἆρα θεά ἐστι τῆς ὕλης; » ἢ θεὰ τοῦ ὕδατος;»

7. Ἡ δὲ, ἐπάρασα τοὺς ὀφθαλμοὺς, καὶ ἰδοῦσα ἐξαίφνης τὸν βασιλέα, κάλλος ἔχοντα ἀνείκαστον, θαύματι μετὰ πολλοῦ φίλτρου συνεσχέθη κατὰ τὴν καρδίαν, ἐν ᾗ οἰκεῖ ὁ Ἔρως.

8. Καθίσας δ' ὁ βασιλεὺς, ἔφη αὐτῇ, ἣ ἐποίησε τὰ προσήκοντα τῷ ξένῳ [3]· «Ποῦ δὲ νῦν, ὦ ἐλαφόφθαλμε, ὁ ὅσιος » Κάμβας; ἡ γὰρ καρδία ἡ ἐμὴ ἐπιθυμεῖ τοῦ προσκυνῆ- » αὐτόν».

9. Ἡ δ' εἰς τὸ πλάγιον ὑποστρέψασα τὴν ὅρασιν, αἰδουμέ- νη τὸ χάριεν αὐτοῦ τῆς θέας, ἀπεκρίνατο· «Ὁ πατήρ μου » ἐπορεύθη εἰς τὸ ἄλσος, συλλέξων καρπούς· ἐλεύσεται δὲ » ὅσον οὔπω».

10. Φαμένου δὲ τοῦ βασιλέως, ὡς ἔδει, «Πῶς δ' ἆρα σὸς » πατὴρ, ὃς κατεπάτησε τὸν Ἔρωτα παιδιόθεν;» ἐξηρεύξατο

---

1. Ἀεὶ τὸ ζεῦγος τοῦτο σύνεστι καὶ οὐδαμῶς χωρίζεται, καὶ διὰ τοῦτο εἰκάζεται τῷ ζεύγει τῶν μαστῶν.

2. Ὁ κυάνεος λωτὸς ἀναφέρεται εἰς τὸ καλὸν ὄμμα· διάφορος γὰρ ὁ Λωτὸς τοῖς εἴδεσιν· ἄλλος μὲν κυάνεος, ἄλλος δὲ λευκὸς, ἄλλος δ' ὑπέρυθρος. Ὁ ὑπέρυθρος λωτὸς καὶ τὸ ἀρτιθαλλὲς φύλλον, ὅ ἐστιν ὑπέρυθρον καὶ ἁπαλὸν, εἰκάζεται τῇ καλῇ χειρὶ, ἥτις ὑπέρυθρός ἐστι κατὰ τὴν παλάμην καὶ κατὰ τὰ ἄκρα τῶν δακτύλων, καὶ τῷ καλῷ καὶ ἁπαλῷ ποδί.

3. Τὸ ποδόνιπρον καὶ ἡ καθέδρα ἐστὶ τὰ προσήκοντα τῷ ἐλθόντι ξένῳ.

το αὕτη λόγον ἐκ τοῦ ἔρκους τῶν λευκῶν ὀδόντων, ὃς ἦν ἡδύτερος τῆς ἀμβροσίας.

11. «Πάλαι ὁ Ἴνδρας, ἐμπόδισμα ποιῆσαι βουλόμενος τῇ » ἀσκήσει τοῦ βασιλέως Βισμαμίτρα, υἱοῦ τοῦ Κουσσικᾶ, » ἐξαπέστειλε πρὸς τοῦτον τὴν Μενακὰν, ἥ ἐστι τὸ μέγα » ὅπλον τοῦ ἀνδρείου Ἔρωτος, καὶ ἡ κορυφὴ πασῶν τῶν » Ἀψαρῶν [1].

12. «Ἠγάλλετο δ' αὕτη ἐν ἐκείνῳ τῷ ἄλσει, ἔνθα ἐμόναζεν » ἐκεῖνος ὁ ἀσκητὴς βασιλεὺς, ὥσπερ μία κινητὴ ἀναδεν- » δράς· τὰ δὲ νικητικὰ μειδιάματα αὐτῆς ἦσαν ὡς ἄν- » θη, ἐξ ὧν γίνονται τὰ ἄνθινα βέλη τοῦ Ἔρωτος.

13. «Εἶχε σῶμα λεπτὸν, βάδισμα ἁβρὸν καὶ πρόσωπον λαμ- » πρὸν καὶ εὐωδίαν πνέον, εἰς ὃ ἐπεφοίτων οἱ βομβύλιοι » θυμῷ δῆθεν, οἰόμενοι ὡς ἡ Σελήνη ἐστὶν, ἡ κλείει τοὺς » λωτοὺς, τοὺς ὄντας ἀγγεῖα γλυκέος ποτοῦ.

14. «Ταύτην τὴν γυμνωθεῖσαν σφοδρότητι ἀνέμου, πεμφθέν- » τος ὑπὸ τοῦ Ἴνδρα, καὶ φανεῖσαν ὡς ἄλλην Σελήνην, » ἐξαχθεῖσαν ἐκ νέφους, καὶ συσταλεῖσαν ἐξ αἰδοῦς, ἰδὼν » ὁ ὅσιος βασιλεὺς ἐταράχθη τὴν καρδίαν.

15. «Ἡ δὲ, κατακληθεῖσα τῇ ἀμβροσιολογίᾳ τοῦ ὁσίου βα- » σιλέως, ἔρωτι κατόχου, καὶ προσλιπαρηθεῖσα, συνῆν » αὐτῷ ἐπέκεινα ἑκατὸν ἐτῶν· ἐν δὲ τῷ τέλει μιᾶς τῶν » ἡμερῶν ἔδυσεν ὁ ἥλιος [2].

16. «Τότε ἐπιβαλλομένου τοῦ Βισμαμίτρα ἐκτελέσαι τὴν » εἰωθυῖαν πάλαι ἑσπερινὴν εὐχὴν, γελάσασα ἐκείνη ἔφη· « Ὦ φιλότης, τί τοῦτό σοι σήμερον τὸ ἀσύνηθες;» Τοῦ

---

1. Ἀψαρὰ λέγεται ἡ Νηρηΐς.

2. Τὸ πρωτότυπον φέρει αὐτολεξεί· «ὁ ἥλιος ἐφάνη ὑπέρυθρος ἐν τῷ τέλει τῆς ἡμέρας», περιφραστικῶς, ἀντὶ τοῦ ἔδυσεν.

» δὲ ὀργισθέντος ἐπ᾽ ἀναμνήσει, ὅτι διὰ πολλοῦ τὰ πρα-
» κτέα παρέλιπε, καταπτοηθεῖσα ἐκείνη ἔφυγεν ὡς ἀ-
» στραπή.

17. «Πεσοῦσα δ᾽ ἐγὼ ἐκ τῆς μήτρας ἐκείνης, ἐνθάδε εἰς τὸ
» χεῖλος τοῦ ποταμοῦ Μαλινῆς, καὶ παροραθεῖσα διὰ
» φόβον, κατετρυχόμην ὑπὸ πτηνῶν· ἀνελήφθην δ᾽ ἔπειτα
» ὑπὸ τοῦ ὁσίου Κάμβα, καὶ ὠνομάσθην ὑπ᾽ αὐτοῦ Σα-
» κουνταλά [1].

18. «Ταῦτα δ᾽ ἐγὼ οἶδα ἐκ στόματος τοῦ Κάμβα.» Ἀκούσας
δ᾽ ὁ βασιλεὺς τοῦ λόγου αὐτῆς, περιχαρὴς γενόμενος,
ἔφη· «Ὦ βασιλικὴ κόρη, σὺ ἁρμόζουσα εἶ ἐμοί· ἐγὼ
» γάρ εἰμι ὑπὸ τὴν σὴν ἐξουσίαν· ἔσο οὖν ἐμὴ κυρία,
» χαίρουσα.

19. «Ὁ δ᾽ ἐκ σοῦ γενησόμενος υἱός, βασιλεὺς τῆς γῆς ἀτρε-
» κῶς γενήσεται.» Οὕτως ἥσας τὴν Σακουνταλὰν ὁ βα-
σιλεὺς, ἔγημεν ἐκείνην ἐκείνῃ τῇ ὥρᾳ τὸν ἐρωτικὸν γάμον,
χαίρων χαίρουσαν.

20. Ἐκβεβακχευμένος οὖν τῷ ἔρωτι ὁ βασιλεὺς, κατεφίλει αὐ-
τὴν, μικρόν τι ἀναπεπταμένους ἔχουσαν τοὺς ὀφθαλμοὺς
ἐξ ἡδονῆς [2], καθὼς ὁ νέος βομβύλιος καταφιλεῖ τὸν
ὑποκεχηνότα κάλυκα τοῦ λωτοῦ, γευόμενος τοῦ γλυκέος.

21. Καὶ περιεπτύσσετο αὐτὴν, ἢ ἦν ἡδονῆς κατάπλεως, καὶ
εἶχε τὴν ἐπὶ τοῦ μετώπου μέλαιναν κόμην διακεχυμένην,
καὶ ὑπέτρεμε κατὰ τὸ σῶμα, καθὼς ὁ ἐξ ὄρους Μα-
λαΐα [3] πνέων εὐώδης καὶ ψυχρὸς ἀὴρ περιπτύσσεται τὴν

---

1. Σακούντα λέγεται τὸ πτηνὸν, τὸ ὄρνεον.

2. Οἱ γὰρ ἡδυνόμενοι ὑποκλείουσι τοὺς ὀφθαλμοὺς, ὡς καὶ οἱ μεθύοντες.

3. Ἡ Μαλαΐα τὸ ὄρος, κατὰ τὸ νότιον μέρος κεῖται τῆς Ἰνδίας, καὶ ὀνομαστόν ἐστιν, ὡς ἔχον τὸ Σάνδανον, ὅ ἐστι δένδρον εὐῶδες, ὡς κυπάρισσος.

ἐν ἄλσει Μαδαβὴν [1], ἢ κινεῖται ἠρέμα, καὶ ἐφ' ἣν περιίπτανται βομβύλιοι [2].

22. Πάντως γε ὁ Ἔρως ἐχόρευεν, ὡς ὁ ταὼς, ἐπὶ τοῦ πεδίου τῶν παχέων γλουτῶν αὐτῆς· ὅθεν τὰ ἴχνη τῶν νυκτικῶν ὀνύχων [3], τὰ γεγενημένα ὑπὸ τούτου τοῦ ἐραστοῦ, ἦσαν ἴχνη λαμπρὰ τῶν ποδῶν τοῦ ταὼ ἐκείνου.

23. Εἶτα δ' εἰπὼν ὁ βασιλεὺς ἐκείνῃ, « Ἐγὼ πέμψω τα-» χέως ὄχημα εἰς κομιδήν σου, » ἐπορεύθη εἰς τὴν πόλιν· ἀλλ' ἡ καρδία αὐτοῦ ἀλωτὴ ἦν ἐκείνῃ, κυρία γὰρ ἦν αὐτοῦ.

24. Ἐλθὼν δ' ὁ ὅσιος Κάμβας, καὶ ἰδὼν αὐτὴν σημεῖα ἔχουσαν ἔρωτος [4], καὶ φαιδρυνομένην τῷ τοῦ βασιλέως φίλτρῳ, ἔγνω [5] τῷ νοὶ σύζευξιν εὐάρμοστον, καὶ ἐχάρη τὴν καρδίαν, ὢν ὠκεανὸς τῆς εὐσπλαγχνίας.

25. Παρακληθεὶς δ' ὑπὸ ταύτης οὗτος ὁ ἔχων καρδίαν λευκὴν [6], ὡς Σελήνην, εὐλογίαν δοῦναι τῷ βασιλεῖ, ἔφη, εὐξάμενος· « Εἴη ἀμετάπτωτος ἡ βασιλεία ἐν τῇ γενεᾷ » ἐκείνου μετὰ νομίμων, καλῶν καὶ ἀγαθῶν ἔργων.»

26. Γεγενημένης δὲ ταύτης τῆς εὐχῆς, ἡ Σακουνταλὰ ἐγέννησεν ἐν καιρῷ υἱόν, ὡς ἡ Ἀνατολὴ τὴν Σελήνην, λαμ-

---

1. Μαδαβὴ, εἶδος ἀναδενράδος, ἔστι δὲ ἀνθοφόρος.

2. Αἱ διακεχυμέναι τρίχες, οἱ βομβύλιοί εἰσιν, ὅτε περιίπτανται ἐπὶ ἀνθοφόρου δένδρου· τὸ δ' ὑποτρέμον σῶμα, ἡ ἀναδενρὰς, ἡ ὑποσείεται ὑπὸ πνέοντος ἠρέμα ἀέρος.

3. Εἰς ἐρεθισμὸν τοῦ ἔρωτος, νύττουσι διὰ τῶν ὀνύχων τοὺς γλουτοὺς καὶ τὸ στῆθος τῆς γυναικός.

4. Σημεῖα ἀνδρικῆς ὁμιλίας.

5. Ἔγνω, ὡς κρυφιογνώστης, ὡς ἡ βασιλικὴ κόρη συνεγένετο βασιλεῖ, καὶ χαρεὶς ὡς ἁρμοδία ἦν ἡ σύζευξις, οὐδὲν εἶπεν αὐτῇ εἰς ὄνειδος, ὡς εὐσπλαχνος.

6. Τουτέστι καρδίαν καθαράν.

πρότερον ὄντα καὶ τοῦ ἐν τῷ οἴκῳ τῆς γεννήσεως λύχνου [1].

27. Οὗτος ὁ παῖς, ὁ ὢν τὸ ἀγλάϊσμα τῆς κατὰ τὸ ἄλσος τοῦ Κάμβα γῆς, ἐπειδὴ ἐπεχείρει καταδαμάζειν σκύμνους λεόντων, ἔδωκεν, ὡς διδασκάλια, χαρὰν καὶ ἄνεσιν τοῖς ἐλέφασι, τοῖς διδάξασιν αὐτὸν σοβαρὸν βάδισμα [2].

28. Τελευταῖον δὲ πεμφθεῖσα ἡ Σακουνταλὰ παρὰ τοῦ ὁσίου Κάμβα μεθ' ἑνὸς μαθητοῦ, ἀφίκετο σὺν τῷ οἰκείῳ υἱῷ εἰς τὴν πόλιν τὴν βασιλικὴν, βασιλικῷ καὶ χαρίεντι ἤθει διαπρέποντι.

29. Προσελθοῦσα δὲ τῷ βασιλεῖ ἔφη· « Οὗτος ὁ ἐξ ἐμοῦ » γεννηθεὶς, υἱός ἐστι σὸς, ἀγλάϊσμα ὢν τοῦ γένους, ὡς » τὸ Σάνδανον τοῦ ἄλσους· φύλαξον οὖν σήμερον τὸν » ἐπηγγελμένον σοι λόγον ἐκεῖνον, ὦ βασιλεῦ, οὗ μάρτυς » ἐστὶ τὸ χεῖλος τοῦ ποταμοῦ τῆς ἐρασμίας Μαλινῆς. »

30. Ὁ μὲν οὖν βασιλεὺς, καίπερ ἐνθυμούμενος, ἔφη· « Οὐδέ γε » σὺ ἔρχῃ εἰς τὴν ἐμὴν μνήμην· πόθεν δ' ἄρα υἱός; » Ἡ δὲ Σακουνταλὰ, τρέμουσα θυμῷ, ἐξεγερθέντι ἐκ τοιούτου λόγου, ἔλεξε λόγον χαλεπόν.

31. « Τὸ πρόσωπον τούτου, τὸ ὂν ὅμοιον τῷ σῷ βασιλικῷ » κατὰ τὸ εἶδος καὶ κατὰ τὴν ἀγλαΐαν, λέγει πρὸς τὰ » ὄμματα τῶν ἐπὶ τῆς συνόδου, ὅτι σός ἐστιν υἱός· σὺ δὲ, » μὴ λέγων τὴν ἀλήθειαν, γέλωτα ὀφλήσεις.

32. « Ἀλλ' ἐὰν καὶ οὗτος ὁ ἡλιοειδὴς παῖς καταφρονῆται » ὑπὸ σοῦ ἐξ αἰτίας ἐμοῦ, ἣν πρὸ πολλοῦ ἐμίσησας, ἐγὼ » ἀπέρχομαι· ἔχε γοῦν τοῦτον παρὰ σεαυτῷ. » Ταῦτα λέγουσα, ἔκλαιε, στυγνὸν ἔχουσα πρόσωπον.

---

1. Μέχρι δέκα ἡμερῶν λύχνος καίει νυκτὸς καὶ ἡμέρας ἐν τῷ οἴκῳ τῆς γεννήσεως.

2. Δηλονότι καὶ ἀνδρείαν εἶχε καὶ βάδισμα σοβαρόν.

33. Φωνὴ δ' ἠκούσθη ἐξ οὐρανοῦ λέγουσα. « Διατὶ αὕτη σή-
» μερον ἡ σώφρων γυνὴ καὶ μήτηρ τοῦ υἱοῦ τοῦ βασιλέως
» θλίβεται σκωπτομένη; » Ἐκ ταύτης τῆς φωνῆς θαυμά-
σας ὁ βασιλεὺς, ἐτίμησε καλῶς τὴν γυναῖκα, τὸ σεληνιαῖον
φῶς τῶν ὀμμάτων [1].

34. Ὠνόμασε δ' αὐτὸν τὸν υἱὸν Βαράταν [2], ἐπειδὴ εἶχεν
ἐν παλάμῃ σημεῖα βασιλικῆς κηδεμονίας· ὃν καὶ χρίσας
βασιλέα ἐν καιρῷ προσήκοντι, ὥδευσε τὴν εἰς ἔρημον [3]
ὁδὸν, μετὰ τῆς ἑαυτοῦ γυναικὸς, ἀρνησάμενος τὸν κό-
σμον.

35. Οὗτος μὲν οὖν ὁ Βαράτας, ὁ φαιδρύνων τὸ γένος τοῦ
Ἀλήνα [4], ὡς ὁ Ἥλιος τὸν λωτὸν, καὶ ὄλεθρος ὢν τῷ ἐχ-
θρῷ, ὡς τὸ πῦρ τῷ ξηρῷ χόρτῳ, καὶ ὅμοιος τῷ Βισνοῦ
κατὰ τὰ κατορθώματα, βασιλεύσας κόσμος ἐγένετο τῆς
Βαρατακάνδας [5].

36. Ἔχαιρε δ' ἐκ καρδίας οὗτος ὁ βασιλεὺς τῇ καλῇ καὶ
ὀρθῇ διοικήσει, καὶ τῇ θυμηδεῖ ἑαυτοῦ γυναικὶ Σουνανδᾷ,
ἣ εἶχε σῶμα ἄβρὸν καὶ ἁγλαὸν, καὶ λίαν ἐφοβεῖτο ἀλλό-
τριον ἄνδρα.

37. Οὗτος, ὀλέσας τοὺς ἐχθροὺς ἐν πολέμοις, βασιλεὺς ἐγέ-
νετο ἁπάσης τῆς γῆς, καὶ ἐκάλλυνεν αὐτὴν δίκην βασι-

---

1. Ἥδονται δηλ. οἱ βλέποντες ταύτην, ὡς τὴν Σελήνην.

2. Βαράτας ἑφερμηνεύεται Κηδεμών.

3. Ἐγένετο ἐρημίτης καὶ μοναστής.

4. Οὗτος ἦν πατὴρ τοῦ Δουσσέντα καὶ πάππος τοῦ Βαράτα τούτου, περὶ οὗ προείρηκεν ὁ ποιητὴς ἐν τῷ δευτέρῳ κεφαλαίῳ.

5. Βαρατακάνδα λέγεται ἡ Ἰνδία· ἐτυμολογεῖται δὲ ἐκ τοῦ Βαράτα, τούτου τοῦ μεγάλου βασιλέως, καὶ ἐκ τοῦ Κάνδα, ὅ ἐστι Τμῆμα· οἱ γὰρ Ἰνδοὶ ἅπασαν τὴν γῆν εἰς ἐννέα τμήματα διαιροῦσιν, ὧν ἓν τμῆμά ἐστι καὶ ἡ Ἰνδία.

λίσσης, ὡς στεφάνῳ [1], τῷ ποδὶ ἑαυτοῦ, οὗ οἱ ὄνυχες ἦσαν ὡς ἀδάμαντες.

38. Ὁ λαμπρὸς τροχὸς [2] (δίσκος) τοῦ Βαράτα, αὐτὸς ἦν ὁ Ἥλιος, ὃν ἐποίησεν οὗτος ὑπουργὸν τῆς ἑαυτοῦ προσταγῆς, ὡς ὑπερβαίνοντα τῇ λάμψει τὴν Σελήνην, τὴν πρόγονον τῆς γενεᾶς αὐτοῦ· διὰ τοῦτο ὁ Ἥλιος ἐκ λύπης διῃρέθη (διερράγη) εἰς πολλὰς λεπτοειδεῖς μορφὰς, αἵ εἰσιν αἱ ἀκτῖνες.

39. Οὗτος ὁ τροχοφόρος βασιλεὺς, μέλας γενόμενος ἐκ τῶν πολλῶν θελκτικῶν ὁράσεων τῶν μελανοφθάλμων γυναικῶν [3], ἐθεραπεύετο ὑπὸ τῆς Λαξμῆς, ἡ ἀπάτη τοῦ νοὸς ἐγκατέλιπε τὸν Βισνοῦν, λευκὸν γενόμενον ἐκ τῆς λευκῆς τούτου εὐφημίας.

40. Τούτῳ τῷ πολεμικῷ δίσκῳ οἱ ἐν πολέμῳ πίπτοντες ἐχθροὶ, πορευόμενοι ταχέως εἰς τὸν οὐρανὸν, διέτεμνον θυμοειδῶς πως τὸν δίσκον τοῦ ἐν οὐρανῷ Ἡλίου [4], νομίζοντες αὐτὸν εἶναι τὸ φοβερὸν τούτου ὅπλον, τὸ τοὺς λαιμοὺς αὐτῶν τεμόν.

---

1. Καὶ ἡ γυνὴ τοῦ βασιλέως φέρει στέφανον.

2. Ὅπλον ἐστὶν ἐν Ἰνδίᾳ, ὃ ἰνδιστὶ λέγεται Σάκρα, τουτέστι τροχός· ἔστι δὲ ὡς δίσκος κυκλικὸς, ὀξὺς ὢν κατὰ τὴν ἴτυν καὶ ἔχων ὀπὴν ἐν μέσῳ, δι' ἧς περιφερόμενος ἐν τῷ λιχανῷ δακτύλῳ, ῥίπτεται καὶ διατέμνει τὸν ἀντικείμενον.

3. Δηλονότι βλεπόμενος ἤδέως ὑπὸ μελάνων ὀμμάτων γυναικῶν, ἐγένετο μέλας τὴν ὄψιν, ᾧ καὶ συνῴκει ἡ Λαξμὴ, νομίζουσα αὐτὸν εἶναι τὸν Βισνοῦν. Καὶ τροχὸν εἶχεν ἐν χειρὶ καὶ μέλας ἦν, καθὼς καὶ ὁ Βισνοῦς, οὗ τὸ ἐξαίρετον ὅπλον ἐστὶν ὁ τροχίσκος.

4. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητὴς· κυκλικόν ἐστι τὸ πολεμικὸν ὅπλον, κυκλικὸς καὶ ὁ Ἥλιος, ὃς θύρα ἐστὶ τοῦ οὐρανοῦ τοῖς ἡρωϊκῶς ἐν πολέμῳ θνήσκουσιν· οἱ γὰρ ἡρωϊκῶς θνήσκοντες, εἰσέρχονται εἰς τὸν οὐρανὸν διὰ τοῦ Ἡλίου, ὡς μυθολογοῦσιν οἱ Ἰνδοί.

41. Οὐ μόνον αὐτὸς τροχοφόρος ἦν, ἀλλὰ καὶ ἡ φήμη αὐτοῦ [1], φέρουσα τὸν τροχὸν τῆς γῆς, τὸν ὄντα ἐπὶ τῆς κεφαλῆς τοῦ βασιλέως τῶν ὄφεων, καὶ ὀμφαλὸν μὲν ἔχοντα τὸ ὄρος τῶν θεῶν [2], ἴτυν δὲ τὴν θάλασσαν, κνήμας δὲ τὰς ῥοὰς τῶν ποταμῶν, οἱ εἰσβάλλουσιν εἰς τὴν θάλασσαν.

42. Πάντως γε ὁ Ἔρως, ὃς ἦν οὗτος ὁ Βαράτας, μὴ ἀγαπῶν τὸ ἐπίθετον τοῦτο, *Ἀνάγκας* [3], σαρκωθεὶς ἐπὶ γῆς τοιαῦτα μεγαλουργήματα ἐτέλεσεν, ὥστε καὶ τὸν Σίβαν πτοηθῆναι κατὰ τὴν καρδίαν, καὶ ἀπορῆσαι [4].

43. Βλέποντες οἱ ἐχθροὶ τὴν ὀφρὺν τῶν εὐοφρύων γυναικῶν αὐτῶν, θυμῷ κυρτουμένην, τὸ κυρτὸν τούτου τόξον νομίζοντες, ἔδακνον τοὺς δακτύλους αὐτῶν φόβῳ [5], καὶ ἐδείκνυον αὐταῖς ὑποταγήν.

44. Τοῦ Σίβα, ὃς μόνος πάντων πάντα γινώσκει, ἐπιβαλλομένου ἀριθμῆσαι τὰ ἄπειρα τούτου προτερήματα, εἰς θυμηδίαν τῆς Παρβατῆς, εἰσέβη εἰς τὸν λαιμὸν αὐτοῦ ὁ αἰθὴρ [6], ὅπερ συμπεραίνεται ἐκ τοῦ οὗ ἔχει κυανοῦ χρώματος.

45. Διαλογιζομένου δὲ τοῦ Βαράτα, πότερον γλυκιόν ἐστι,

---

1. Ἡ ἐπιδεξιότης αὐτοῦ εἰς τὸν τροχὸν διεσπάρθη εἰς τὸν τροχὸν τῆς γῆς, διὰ τῆς φήμης.

2. Τὸ ὄρος τῶν Θεῶν ἐστιν ἡ Μερόη, ἢ κεῖται ἐν τῷ ὀμφαλῷ, τουτέστιν ἐν τῷ μέσῳ τῆς γῆς, καὶ ἐνδιαίτημά ἐστι τῶν θεῶν.

3. Ὅ ἐστιν ἀμελὴς, λυσιμελὴς, μὴ ἔχων μέλη ἢ σῶμα· ἔστι δ' ἐπιθετικὸν ὄνομα τοῦ Ἔρωτος, ὡς καὶ πρότερον εἴρηται.

4. Δηλονότι καὶ εὐειδὴς ἦν καὶ ἡρωϊκός.

5. Ὁ ἄνθρωπος φοβούμενος δάκνει τοὺς δακτύλους αὐτοῦ.

6. Τοῦ μὲν αἰθέρος ἰδίωμα ἡ φωνὴ, τοῦ δ' ἀέρος ἡ ἕλξις, τοῦ δὲ πυρὸς τὸ σχῆμα, τοῦ δ' ὕδατος ἡ γεῦσις, τῆς δὲ γῆς ἡ ὀσμή.

τὸ ποτὸν τῆς ἀμβροσίας, ἢ τὸ χεῖλος τῶν θεαινῶν [1], ὁ πολλὰς θυσίας τελέσας βασιλεὺς Βουμανοῦς, ἔθετο ἐπὶ τῆς χειρὸς αὐτοῦ τὴν γῆν [2], ἢ ἦν ὡς βομβύλιος ἐπὶ λωτοῦ.

46. Οὗτος ὁ βασιλεὺς ἐκέκτητο λίαν γηθοσύνως καὶ γυναῖκα, ὡς φιλήδονος, Ζαΐαν τοὔνομα, ἢ ἠγλαΐζετο τῇ πολλῇ ἐρωτικῇ χάριτι καὶ τῇ εὐμελείᾳ τοῦ σώματος, καὶ ῥομφαίαν, ὡς φιλοπόλεμος, ἢ ἐθαυμάζετο ἐπὶ τῇ νικητικῇ ἐνεργείᾳ καὶ ὀξυτομίᾳ [3].

47. Ἡ ῥομφαία τούτου, ἀρχομένη καταφαγεῖν τὴν ὀξυτάτην θερμότητα τῶν ἐχθρῶν, ἔῤῥιπτε τὴν πρώτην ἔνθεσιν εἰς τὴν αὐλὴν τοῦ μεγάλου οὐρανοῦ· διὰ δὲ ταύτης τῆς ῥιπτομένης πρώτης ἐνθέσεως, ἥ ἐστιν ὁ φαινόμενος θερμὸς ἥλιος, μέχρι τοῦ νῦν παίζει ὁ χρόνος, ὡς κολοιός [4].

---

1. Ἀποθανὼν δηλ. ἔπινεν ἀμβροσίαν καὶ ἐφίλει τὰ χείλη τῶν Νυμφῶν.

2. Ἐλαφρὸν δηλ. ἦν αὐτῷ τὸ φορτίον τῆς βασιλείας, ὡς φροντίζοντι καλῶς τῆς διοικήσεως.

3. Τὸ πρωτότυπον χαριέστατόν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

4. Οἱ Ἰνδοὶ εἰώθασιν, ὅτε ἄρχονται ἐσθίειν, ῥίπτειν τὴν πρώτην ἔνθεσιν τοῦ βρώματος, ἣν λαμβάνουσιν ἀνὰ χεῖρα, ἵνα καταφάγῃ αὐτὴν ὁ κολοιός. Ὅθεν καὶ ὁ ποιητὴς παραδειγματικῶς καὶ πάνυ ἀστείως λέγει, ὅτι ἡ ῥομφαία τούτου, ὅτε ἤρχετο κατεσθίειν τὸ θερμουργὸν τῶν ἐχθρῶν, ἔῤῥιπτε μοῖραν κατὰ πρῶτον ἐκ τοῦ θερμουργοῦ αὐτῶν εἰς τὸν αἰθέρα, ἐξ ἧς συνέχη οὗτος ὁ Ἥλιος, δι' οὗ Ἥλιου παίζει ὁ χρόνος μέχρι τοῦ νῦν, ἄνω καὶ κάτω φέρων αὐτὸν, δηλονότι ποτὲ μὲν εἰς τὴν ἀνατολὴν, ποτὲ δ' εἰς τὴν δύσιν, καθὼς καὶ ὁ κολοιὸς, λαμβάνων τὴν ῥηθεῖσαν ἔνθεσιν τοῦ βρώματος, παίζει δι' αὐτῆς, ἄνω καὶ κάτω φέρων αὐτὴν, ποτὲ μὲν δηλονότι κρατῶν αὐτὴν ἐν τοῖς ὄνυξι, ποτὲ δὲ ἐν τῷ ῥάμφει. Οἱονεὶ ἔλεγεν· ὁ φαινόμενος οὗτος καὶ λεγόμενος Ἥλιος μοῖρά ἐστι τοῦ θερμουργοῦ τῶν ἐχθρῶν, ἣν ἔῤῥιπτεν εἰς τὸν αἰθέρα τοῦ οὐρανοῦ, ὡς ἀπαρχὴν,

48. Ἐν τῇ ἐπικρατείᾳ τούτου, κατά τινα γῆν ἔρημον ἀνθρώπων, ἔπεσεν ἐξ ἀγνοίας ὅρμος τις ἐκ σαπφείρων, ὃν εὑρὼν ὀφιοῦχός τις, ἀνέλαβεν αὐτὸν, νομίσας ὄφιν· γνοὺς δ' ἔπειτα, ὅτι ὅρμος ἐστὶν, ἀφῆκεν αὐτὸν εὐθέως [1].

49. Φθονῶν ὁ Βισνοῦς τοῖς ὕμνοις τῶν ἀρετῶν τούτου τοῦ ἐνδόξου, ἔβυσε τὰ ὦτα ἀμφοτέραις ταῖς χερσίν· ἀκούων δὲ πάλιν φωνῆς ὑμνούσης τοῦτον, ἐκ τοῦ κόσμου τοῦ ἐντὸς τῆς κοιλίας ἑαυτοῦ, ἐγένετο ἀτεχνῶς μέλας [2].

50 Πηλώδους ὑπὲρ τὸ μέτρον γεγονότος τοῦ ὕδατος τῆς Γαγγᾶς ἐκ τῆς ἀνισταμένης πολλῆς τῶν πολλῶν τούτου στρατῶν κόνιος, ἀναρίθμητοι λωτοὶ ἀνεφάνησαν ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα, εἰς ἀδιάλειπτον λατρείαν καὶ τιμὴν αὐτοῦ [3].

51. Οὗτος ἀκούσας παρὰ τῶν φιλοσόφων καὶ θεολόγων, ὡς ὁ κόσμος οὗτος ἐνύπνιόν ἐστι, ποιῶν καὶ ἐν ἐνυπνίοις χάριτάς τε καὶ εὐεργεσίας πολλὰς, οὐδεμίαν διαφορὰν εἶχε τῆς ἐγρηγόρσεως καὶ τῆς ὑπνώσεως.

ἡ ῥομφαία τούτου, σφάττουσα αὐτούς. Διὰ ταύτης δὲ τῆς ὑπερβολῆς ἀποδεῖξαι βούλεται ὁ ποιητὴς, ὅτι οἱ ἐχθροὶ, οὓς ἐνίκα οὗτος ὁ βασιλεὺς, οὐκ ἦσαν ἁπλῶς ἐχθροὶ, ἀλλὰ λιαν θερμουργοὶ καὶ δραστήριοι.

1. Ἐκ τούτου ἀποδεῖξαι βούλεται ὁ ποιητὴς, ὅτι ἐν τῇ ἐπικρατείᾳ τούτου τοῦ Βασιλέως κλέπται οὐκ ἦσαν παντελῶς, οὐχὶ μόνον κατὰ τὰς πόλεις, ἀλλὰ καὶ κατὰ τὰς ἐρήμους, ἕνεκα τῆς καλῆς διοικήσεως καὶ φροντίδος αὐτοῦ. Σημείωσαι, ὅτι ἐν Ἰνδίᾳ ἐστὶ καὶ γένος ὀφιούχων, διαιτώμενον ἐν ἄλσεσιν· οὗτοι κρατοῦντες ὄφεις, διδάσκουσιν αὐτοὺς χορεύειν· ἐρχόμενοι δ' εἰς τὰς κώμας, χορεύειν ποιοῦσιν αὐτοὺς, ἐμφυσῶντες αὐλῷ τινι, συνηρμοσμένῳ περὶ τὸ μέσον κολοκύνθῃ· ἡ δὲ φωνὴ αὐτοῦ ὁμοία ἐστὶ τῇ τοῦ ἀσκαύλου. Οὗτοι δ' οἱ ὀφιοῦχοι ἐσθίουσι καὶ ὄφεις, καὶ πᾶν ἄλλο εἶδος ζώου.

2. Μέλας ἐγένετο ἐκ μελαγχολίας.

3. Ἐν ὕδατι ὑφ' ᾧ πηλός ἐστι γεννᾶται ὁ λωτός. — Ὁ Γάγγης, ὡς μυθολογοῦσιν, ἐπὶ τῆς κορυφῆς ἐστι τοῦ Σίβα.

52. Γράψαντος δὲ τούτου τὴν εἰωθεῖαν γραφὴν ἐπὶ τῶν μαστῶν τῶν θεαινῶν [1], ἡ ἐξηλείφθη ἐξ αἰτίας τῶν ὑπερισχυσάντων δαιμόνων, ἐβασίλευσεν ὁ Σαχάτρας, ὃς ταῖς πολλαῖς εὐφημίαις ἀπετέλεσε τοὺς ἐλέφαντας τῶν ἐφόρων τοῦ κόσμου θεῶν λευκοὺς, ὡς τὸν τοῦ Ἴνδρα.

53. Οὗτος ὁ βασιλεὺς, ὁ παυσίλυπος τῶν ἀνθρώπων, ἠγλαΐζετο σὺν τῇ ἑαυτοῦ γυναικὶ Σουβαρνᾷ [2], ἐχούσῃ χρῶμα χρυσαυγέστατον καὶ πρόσωπον ἀνθηρότατον, ὡς τὸν λωτὸν, καθὼς ὁ ἥλιος ἀγλαΐζεται σὺν τῇ ἑαυτοῦ λαμπηδόνι.

54. Τούτου ὁ ἐχθρὸς ἐν πολέμῳ ἐγίνετο Κρισνᾶς, τουτέστι μέλας καὶ ἄτιμος· καὶ ἀφεὶς τὸν ὄλβον καὶ τοὺς περὶ ἑαυτὸν, καὶ τὸ ἅρμα, καὶ τὸν ἵππον, κατέφευγε μόνος καὶ πεζὸς εἰς τὸν ὠκεανόν [3].

55. Οὗτος ἐποίησεν ἐπὶ γῆς εὐετηρίαν ἀένναον διὰ νεφῶν [4], συνισταμένων ἔκ τε τοῦ πυρὸς καὶ τοῦ καπνοῦ τῶν θυσιῶν, καὶ ἐκ τῶν πολλῶν ὑδάτων καὶ ἀέρων τῶν ἐκ τῶν στομάτων καὶ ὀφθαλμῶν τῶν γυναικῶν τῶν ἐχθρῶν.

---

1. Τουτέστιν ἀποθανόντος. — Κατατρυχομένων τῶν θεῶν ὑπὸ τῶν δαιμόνων, αἱ θέαιναι οὐκ ἐκοσμοῦντο ἐκ λύπης· γενομένου δὲ θεοῦ τούτου τοῦ ἡρωϊκωτάτου, οἱ θεοὶ ἔλαβον θάρρος, καὶ διὰ τοῦτο αἱ θέαιναι πάλιν ἐκοσμοῦντο. Σημείωσαι, ὅτι αἱ γυναῖκες τῆς Ἰνδίας βάφουσιν εἰς κόσμον τὸ μέτωπον καὶ τὸ στῆθος· νῦν δ' ἐθίζουσι τὴν ἐν τῷ μετώπῳ βαφὴν μόνον.

2. Σουβαρνὰ, κατ' ἐτυμολογία,ν λέγεται Χρυσῆ, ἡ φερωνύμως εἶχε καὶ χρῶμα χρυσαυγές.

3. Οὐκ εἶχεν ἄλλο καταφύγιον ἐν γῇ, καὶ διὰ τοῦτο κατέφευγεν εἰς τὸν ὠκεανόν.

4. Τὸ γὰρ νέφος συνίσταται, λέγουσιν, ἐκ πυρὸς, ἐξ ὕδατος, ἐκ καπνοῦ, τουτέστιν ἀναθυμιάσεως τῆς γῆς, καὶ ἐξ ἀέρος· ἀέρα δὲ ἐνταῦθα ἐννοεῖ τὸν ἀναστεναγμὸν, ὕδωρ δὲ τὰ δάκρυα.

56. Εὐφραίνων δὲ πολλαῖς θυσίαις τοὺς θυσιοφάγους θεοὺς, καὶ ἀπατῶν τὸν δαίμονα Ῥαχοῦν ταῖς οἰκείαις εὐφημίαις, ἐποίησεν ἀκριβῆ διατήρησιν τῆς προγόνου ἑαυτοῦ Σελήνης, τῆς κυρίας τῆς νυκτός [1].

57. Πάντως γε ὁ ποιητὴς Βραχμᾶς θαυμαστὸν κατὰ τὴν ποίησιν πεποίηκε τοῦτον ἐκ τοῦ θείου πυρὸς, τοῦ διαχυθέντος ἀπὸ τοῦ ὀμφαλοῦ τοῦ Βισνοῦ, ὡς διὰ χοάνου τοῦ λωτίου καυλοῦ, τοῦ πολλοὺς καὶ λεπτοὺς πόρους ἔχοντος.

58. Ὅσας μαθήσεις οὗτος ἔμαθε, ταύτας καὶ ἐν τῷ ἀριθμεῖν πόνον ἔλαβεν ὁ Βριχασπατής· διὰ τοῦτο, διαῤῥήξας τὸν ἐκ μαργαριτῶν ὅρμον, δι' οὗ ἠρίθμει, διεσκόρπισεν εἰς τὸν αἰθέρα τοὺς μαργαρίτας, οἵ εἰσιν ἐν οὐρανῷ λαμπροὶ ἀστέρες.

59. Προσάψαντος τούτου τὴν χεῖρα τοῖς ὁμοφυέσιν ἀρτιθαλέσι φύλλοις τοῦ οὐρανίου δένδρου [2], ἐβάσταξε τὴν γῆν ὁ βασιλεὺς Χαστὴς, ὁ ἔννατος μεταξὺ τῶν ὀκτὼ ἐλεφάντων, τῶν βασταζόντων τὴν γῆν [3].

60. Ἠγλαΐζετο δ' οὗτος ὁ βασιλεὺς καθ' ἑκάστην καὶ γυναικὶ νομίμῳ, Ἰασσοδαρᾷ τοὔνομα, ἣ ἦν περιφανῶς κεκοσμημένη, καὶ ἐρασμιωτέρα πάντων τῶν ἐρασμίων, καὶ ἐπικρατεία γῆς, ἣ ἦν ἠγλαϊσμένη περικαλλέσι κήποις καὶ ὑπερτέρα πασῶν τῶν ἄλλων γεῶν [4].

---

1. Ἐπειδὴ οἱ θεοὶ ἐκορέννυντο ἐν ταῖς θυσίαις τούτου, διὰ τοῦτο οὐκ ἐγεύοντο τῆς ἀμβροσίας τῆς Σελήνης. Ἀλλὰ καὶ ὁ Ῥαχοῦς οὐ διεγίνωσκε τίς ἦν ἡ Σελήνη, εἰς τὸ καταφαγεῖν αὐτήν· ἐπειδὴ πάντα λευκὰ ἐγένοντο ἐκ τῆς εὐφημίας τούτου.

2. Δηλ. ἀποθανόντος. — Ὁμοίοις κατὰ τὴν ἀπαλότητα καὶ κατὰ τὴν δωρεάν.

3. Χαστὴς λέγεται ὁ ἐλέφας.

4. Τὸ πρωτότυπον πάνυ χαρίεν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

61. Ὑπὸ τούτου ἐπὶ γῆς ἐκτίσθη καλὴ καὶ μεγάλη πόλις, Χαστιναπούρα τοὔνομα, ἐπέχουσα τὸ αἰσχρουργὸν καὶ ἀκόλαστον τῶν μοιχαλίδων ἐκ τῶν ἀκτινοβολιῶν τῶν πολυτίμων λίθων [1], οἷς ἐπέστρωτο καὶ ἔκτιστο, καὶ μηδαμῶς δεομένη τῆς ἐνεργείας τοῦ Ἡλίου τε καὶ τῆς Σελήνης.

62. Οὗτος ἔθυεν, ὡς ζῶα [2], πολλοὺς ἐχθρούς, ἐν τῷ ὡς πυρὶ θερμουργῷ αὐτοῦ, τῷ ἀνακαιομένῳ ὑπὸ πολλῶν ὅπλων, ὡς ὑπὸ καυστικῶν ξύλων τοῦ δένδρου Παλάσσα (Σαμὶτ) [3], καὶ ἐποίει, ὡς λίμνην, τὸν σφαιροειδῆ οὐρανόν, ὡς ὕδασι, τοῖς ἐγκωμίοις.

63. Ὑπό τίνος μέχρι τοῦ νῦν οὐ τιμᾶται ἄνθεσι τὸ ξῖφος [4] τούτου, τὸ φερόμενον ἐπὶ τῶν κορυφῶν ἐν σχήματι πλοκάμου [5], διάβροχον ὂν ἀεὶ τῇ ἀμβροσίᾳ τῇ ἀναπηγαζούσῃ ἐκ νέων ὕμνων, καὶ ἀποτρέπον τὸν τάραχον τῶν κακοποιῶν;

64. Ὁ ἀρχαῖος Θεὸς, ὁ φύσιν ἔχων τὴν ἄνεσιν, βλέπων τὸν κόσμον θλιβόμενον ἀεὶ τῇ πολλῇ θερμουργίᾳ τούτου, οὐκ ἐξήρχετο ἐκ τοῦ ἐνδομύχου τοῦ οἰκείου δίσκου, ὅς ἐστιν ὁ Ἥλιος [6].

---

1. Λαμπούσης δηλ. τῆς πόλεως, αἱ μοιχαλίδες οὐκ ἠδύναντο ἐξελθεῖν διὰ νυκτὸς καὶ διαλαθεῖν τοὺς ἀνθρώπους.

2. Νόμος ἐστι τοῖς βασιλεῦσι θυσίας τελεῖν, καὶ λίμνας ποιεῖν, καὶ φρέατα, κ. τ. λ.

3. Εἶδος δένδρου, οὗ τῷ ξύλῳ χρῶνται ἐν τῷ πυρὶ τῆς θυσίας.

4. Μελανοειδής πως γάρ ἐστιν ὁ σίδηρος, ἐξ οὗ πεποίηται τὸ ξίφος, καθὼς καὶ ὁ πλόκαμος· μακροειδὲς δὲ προσέτι τὸ ξίφος, καθὼς καὶ ὁ πλόκαμος.

5. Ἐπὶ τοῦ πλοκάμου τιθέασι καὶ ἄνθη εἰς κόσμον.

6. Ἐν τῇ Βέδα λέγεται, ὡς ὁ Θεὸς ἐν τῷ Ἡλίῳ οἰκεῖ· καὶ ἐπειδὴ ἀεὶ οἰκουρεῖ, διὰ τοῦτο ἀόρατός ἐστι καὶ ἀφανής.

65. Ἐν τῇ γῇ τούτου τὰ ἐν τοῖς δάσεσι δένδρα φύσιν εἶχον τοῦ οὐρανίου πανδώρου δένδρου, κοσμούμενα ὑπὸ τῶν ἀνθρώπων παντοίοις κοσμήμασι καὶ φορέμασι καὶ βρωσίμοις, εἰς χρῆσιν τῶν ἐκ ξένης γῆς ἐρχομένων ἀπόρων καὶ ἐνδεῶν.

66. Ἀμβλύναντος (ἀποκλείσαντος) [1] δὲ τούτου ἐν οὐρανῷ τῷ ἑαυτῷ λαμπρῷ φωτί, τῷ ὑπερβαίνοντι τὸ τοῦ Ἡλίου, τὰ χίλια ὄμματα τοῦ Ἴνδρα, βασιλεὺς τῆς γῆς ἐγένετο ὁ Βικουνσάνας [2], ὃς ἀνέτρεψε στρατοὺς πολεμίων βασιλέων.

67. Οὗτος ὁ βασιλεὺς ἠγλαΐζετο, ὡς ἡ λίμνη, θήλει χηνὶ λευκοπτερύγῳ [3], γυναικὶ πάνυ καλῇ, Σουδεβᾷ καλουμένῃ, ἁβρῶς καὶ σοβαρῶς περιπατούσῃ, ἡμεροέσσῃ οὔσῃ καὶ ἐξ εὐγενῶν γονέων καταγομένῃ.

68. Ἡ ῥομφαία τούτου μέχρι τοῦ οὐρανοῦ ἐξηκόντιζε λαμπρῶς μαργαρίτας ὁμοῦ καὶ σπινθῆρας, τοὺς ἐκ τῆς πληγείσης κορυφῆς τοῦ ἐλέφαντος, ὥσπερ πολλὰ τμήματα τῆς συντριβείσης μεγάλης ὀξύτητος καὶ εὐφημίας τῶν ἐχθρῶν.

69. Ὁ αἰθεροστάσιος Δουνδουμάρας [4], ὁ υἱὸς τοῦ Τρισσανκοῦ

---

1. Δηλονότι ἀποθανόντος. — Οὐκ ἠδύναντο δηλ. ἀντωπῆσαι ὁ Ἴνδρας.

2. ἐτυμολογεῖ τὴν λέξιν ὁ ποιητής. Βικουνσάνας γὰρ λέγεται ὁ ἀνατρέπων καὶ ἀφανίζων καὶ ἀπολλύων.

3. Τὸ πρωτότυπον ἔχει μεγάλην χάριν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

4. Ὁ Δουνδουμάρας, ὁ ἐκ τῆς τοῦ Ἡλίου γενεαλογίας καταγόμενος, βασιλεὺς ἦν μέγας· ὃς, λαβὼν ἁρὰν παρὰ τοῦ ὁσίου Βασσίστα, ἐξέπεσε τῆς θείας χάριτος. Ποιήσας δὲ θυσίας πολλὰς, διὰ παραινέσεως καὶ ὁδηγίας τοῦ ὁσίου Βισμαμίτρα, ἀνήχθη εἰς τὸν οὐρανόν. Γνοὺς δὲ τοῦτο ὁ Βασίστας, εἶπε θυμῷ· «Κατάπεσον ἐκ τοῦ οὐρανοῦ.» Ἐν δὲ τῷ καταπίπτειν, μεταξὺ ὄντος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἔφη ὁ Βισμαμίτρας· «Στῆθι αὐτοῦ, ἄλλος γὰρ οὐρανὸς ἔσεταί σοι.» Οὕτως οὖν ἵσταται μέχρι τῆς σήμερον ἐν αἰθέρι ὁ Δουνδουμάρας, ἐπειδὴ οἱ θεοὶ ἐκώλυσαν τὸν Βισβαμίτραν τοῦ ποιῆσαι οὐρανόν.

μέγα θαῦμα ἔλαβεν [1] ἐκ τῆς ἐξανισταμένης κόνιος τοῦ στρατοῦ τούτου, λέγων· « Αὕτη ὅλη ἡ γῆ ἔρχεται εἰς « τὸν οὐρανὸν ἐκ τῶν ἀρετῶν τούτου· πῶς οὖν ἀνώτερος « ἐμοῦ οὐκ ἔστιν οὗτος ταῖς ἀρεταῖς ; »

70. Τούτου τὸ ἀπανταχοῦ μέγα πυροειδὲς, ἐξαφθὲν λίαν καὶ ἐν τῇ κοιλίᾳ τοῦ Σίβα, ἐν ᾗ ἐστι τὸ πᾶν, ἐξῆλθε διὰ τοῦ ἄκρου τῆς φλογὸς, διατεμὸν τὸ μέτωπον τοῦ Σίβα, ὅ ἐςι τὸ φαινόμενον ἐκείνου πύρινον ὄμμα.

71. Ὅ,τι σῶμα ἄπειρον τοῦ Σίβα λέγουσιν, οὗ μία θριξ πολλοὶ τοιοῦτοί εἰσιν αἰθέρες ἐκτεταμένοι, ἐν τούτῳ ἐστὶν ὁ ἔπαινος τούτου, ὅς ἐστι τὸ λευκὸν ὄρος [2], ὁ Ταῦρος, ὁ ὄφις Σέσσας, ἡ Σελήνη, καὶ τὸ ὕδωρ τῆς Γαγγᾶς.

72. Ὑπὸ τούτου τοῦ εὐσπλάγχνου ἐλυτροῦντο οἱ κακοῦργοι καὶ τῶν ἐν τῷ μέλλοντι βίῳ δεινῶν καὶ κολάσεων, ποιοῦντος παιδείαν πρέπουσαν, καὶ ἀπροσωπολήπτου ὄντος.

73. Ἀφελόντος δὲ τούτου τοῦ καρδιοθέλκτου βασιλέως τὴν λύπην τῶν θεαινῶν [3], διότι ἀκαμμύστους εἶχον τοὺς ὀφθαλμοὺς, ἀνεδέξατο τὸ βάρος τῆς γῆς ἐν τῇ χειρὶ ὁ Ἀξαμήδας, ὁ ὢν ἄλλος Ἥλιος τῆς γῆς.

74. Ὅ,τι μέγα θερμουργὸν, ἐντὸς ὂν τῶν ἐχθρῶν τούτου, ἀπεπλύθη τοῖς ἐξ αἵματος ποταμοῖς, τοῦτο ἐκβαλὸν εἰς τὴν θάλασσαν, καίει μέχρι τῆς σήμερον, ὅ ἐστι τὸ τῆς θαλάσσης πῦρ.

75. Τῆς θαλάσσης γεγονυίας χέρσου ἐκ τῆς πολλῆς κόνιος,

---

1. Ἐθαύμασεν, ὅτι ἡ γῆ ἔρχεται ἐκ τῶν ἀρετῶν τούτου εἰς τὸν αἰθέρα, ἵνα αὐτὸς ἐπ' αὐτῆς εἴη ἱστάμενος, ὃς ἀπηωρεῖτο.

2. Ὁ ἀργυροῦς Καϊλάσας, τὸ ὄρος, ἐν ᾧ οἰκεῖ ὁ Σίβας. Καὶ τοῦτο καὶ τὰ λοιπὰ λευκά ἐστιν, ὡς καὶ ἡ εὐφημία.

3. Δηλαδὴ ἀποθανόντος καὶ ἀπελθόντος εἰς τὸν οὐρανὸν, ἐγένετο βασιλεὺς ὁ Ἀξαμήδας. Ἐχάρησαν ὅτι ἀκαμμύστους ἔχουσι τοὺς ὀφθαλμοὺς αἱ θεαὶ, εἰς τὸ ὁρᾶν αὐτὸν τὸν εὐειδέστατον ἀσκαρδαμυκτί.

τῆς ἀνισταμένης ἐκ τῶν ὁπλῶν τοῦ ἱππικοῦ στρατοῦ τούτου, ὁ ἐφ' ὕδατος ἀναπαυόμενος Βισνοῦς ἐπανεπαύετο ἐπὶ τῆς θαλάσσης, τῆς ἐκ τῶν δακρυῤῥοϊῶν τῶν γυναικῶν τῶν ἐχθρῶν συστάσης, καὶ μέλας, ὡς ἔοικεν, ἐγένετο ἐκ τῆς ἀποσμηχθείσης στίμμεως.

76. Τὸ πῦρ, βουλόμενον νικῆσαι τὸ θερμουργὸν τούτου τοῦ βασιλέως, ἐλάτρευε καὶ τῷ Σίβᾳ μοίρᾳ τινὶ τοῦ ἑαυτοῦ σώματος, ἥ ἐστι τὸ φαινόμενον ἐπὶ τοῦ μετώπου ἐκείνου ὄμμα· μὴ δυνάμενον δὲ νικῆσαι [1], δεικνύει μέχρι τοῦ νῦν ἐν παντὶ τόπῳ δυσφημίαν διὰ τοῦ πολλοῦ καπνοῦ.

77. Λογιζομένη ἡ Σελήνη τοῦτον τὸν βασιλέα μᾶλλον ἀδιάκριτον πάντων τῶν καταγομένων ἐξ αὐτῆς, καὶ ἐν ἑαυτῇ λέγουσα· «Ὁποία πολυδωρία τούτου [2], ὅτε ὁ Σίβας, ἐφ' οὗ » ἐγώ εἰμι, ἔχει δέρμα ζώου, ὡς κάλυμμα, καὶ κρανίων » ἀνθρώπου, ὡς κόσμημα;» Οὕτω λογιζομένη, ἔσχε μελαγχολίαν, ἥ ἐστιν ἡ μελανότης, ἣν ἔχει ἐν ἑαυτῇ.

78. Οὗτος ἔγραψεν ἑαυτῷ ἐπιγραφὴν, ἧς γράμματά ἐστι τὰ ἄστρα, διὰ λευκοῦ χρώμματος, ὅ ἐστιν ἡ εὐφημία αὐτοῦ ἐν τῷ οὐρανῷ, ὡς ἐν πίνακι, τῷ μελανθέντι ἐκ τῆς, ὡς μέλανος, δυσφημίας τῶν πολεμίων βασιλέων.

79. Ἐγένοντο δὲ τούτῳ τῷ βασιλεῖ τῆς γῆς υἱοὶ ἑκατὸν ἐκ γυναικῶν τριῶν· τούτων δ' εἷς, Σαμβαράνας τοὔνομα, ἐγένετο βασιλεὺς, πλήρης ὢν χαρίτων, καὶ φιλογενής.

80. Ὑπὸ τούτου τοῦ Σαμβαράνα βασιλέως, τοῦ πολλὰς εὐποιΐας ποιοῦντος ἀεὶ ἅπασι τοῖς ἀνθρώποις, εὐφημία πολ-

---

1. Οὐκ ἠδυνήθη δηλονότι νικῆσαι, καὶ διὰ τοῦτο δυσφημίαν ἐκτήσατο, ἣν σημαίνει ὁ καπνός.

2. Ἐκ τούτου ἀποδεῖξαι βούλεται ὁ ποιητὴς, ὅτι οὗτος ὁ βασιλεὺς πολύδωρος ἦν· μόνος γὰρ ὁ Σίβας ἔμεινεν ἀδώρητος, ὃς ἔζη ἀκτήμων καὶ ἀπέριττος.

λὴ ἐσωρεύθη, δι' ἧς τὸ ἐν τῇ προγόνῳ αὐτοῦ Σελήνῃ μέγα στίγμα ἐξήλειπται.

81. Τούτῳ τῷ λίαν εὐτόλμῳ ὄντι, καὶ ἀνέκφραστα ἐπὶ γῆς ἐκτελέσαντι κατορθώματα, ὕμνος ἔστω τὸ σιωπηλὸν στόμα τῶν σοφῶν [1], τῶν ἀπείρους ἐπισταμένων ἐπιστήμας.

82. Καί ποτε οὗτος ὁ φιλοπόλεμος, οὗ οἱ ἐχθροὶ ἐγένοντο φυγοπόλεμοι, ἐπορεύθη εἰς ἄγραν· ἐκπνεύσαντος δὲ τοῦ ἵππου αὐτοῦ ἐκ πολλοῦ πόνου, ἀνέβη εἴς τι ὄρος πεζὸς, ὡς λέων.

83. Ἐνταῦθα εἶδε μίαν παρθένον, ὥσπερ ἐξαίρετον κειμήλιον τῶν τριῶν κόσμων, πρόσωπον ἔχουσαν λαμπρὸν, ὡς Σελήνην, καὶ λευκὴν σειρὰν ὀδόντων, ὡς τὴν γαλακτώδη θάλασσαν, καὶ χείλη γλυκέα, ὡς τὴν ἀμβροσίαν.

84. Αὕτη ἡ ἔχουσα πρόσωπον ἀνθηρότερον τοῦ λωτοῦ καὶ σῶμα ὑπερβαῖνον τὴν ἀγλαΐαν τῶν νεοκατασκευάστων χρυσῶν ἐνωτίων, ἐνεπάγη ὡς βέλος ἄνθινον εἰς τὴν καρδίαν τούτου ὑπὸ τοῦ Ἔρωτος, φθονοῦντος ἐπὶ τῷ κάλλει.

85. Διαταραχθεὶς μὲν οὖν τὴν καρδίαν ὁ βασιλεὺς ὑπὸ τοῦ ἔρωτος, προσελθὼν εἶπεν αὐτῇ ἡδέως· « Ὦ ἀγλαὰ, τίνος » εἶ θυγάτηρ; ἢ διατί ἐνταῦθα διατρίβεις; θὲς ἐν τῇ » καρδίᾳ σαυτῆς σὺ ἡ ἐρωτικὴ τὸν ἐρωτόληπτον ἐμέ ».

86. Ἡ δ' ἐλαφόφθαλμος αὕτη κόρη, αἰσχυνθεῖσα ἐκ τοιούτων ἡδέων λόγων τοῦ βασιλέως, ἔστη ἐν ὀλίγῳ ἄφωνος, κλίνασα κάτω τὸ πρόσωπον, καὶ ἐξαίφνης ἐν τῷ αἰθέρι ἄφαντος ἐγένετο, ὡς ἀστραπή.

87. Εἰπὼν δ' ὁ βασιλεὺς, « Ποῖ ἐπορεύθης, ὦ ἀγλαά »; ἐνητένιζεν εἰς τὰς δέκα διαστάσεις τοῦ τόπου ὄμμασιν ἐκστατικοῖς καὶ γοργοῖς· μὴ βλέπων δ' αὐτὴν, λύπῃ κατεσχέθη, καὶ εἰπὼν « Ἰοὺ, ἰού! » ἔπεσε κατὰ γῆς λειποθυμῶν.

---

1. Τουτέστιν ἡ σιωπὴ τῶν σοφῶν ἔστω ἔπαινος τούτου.

88. Ἡ δὲ παρθένος ἐκείνη, ἡ οὖσα πηγὴ τῆς ἀνδρείας τοῦ Ἔρωτος [1], ἰδοῦσα τὸν βασιλέα οὕτω διακείμενον, κατελθοῦσα ἐκ τοῦ αἰθέρος, ἐζητεύζατο λόγον ἀμβρύσιον, ἀναζωοποιήσαντα τὸν βασιλέα.

89. « Ἐγὼ μὲν θυγάτηρ εἰμὶ τοῦ Ἡλίου, Ταπατὴ τοὔνομα· » σὺ δὲ κατάγῃ ἐκ τῆς Σελήνης, ὑπερύμνητος ἐν γῇ· » ἁρμόδιος ἄρα ἦν ἐκ τούτου ὁ γάμος ἡμῶν. Ἀλλ' ἡ πρὸς » τὸν πατέρα μου ὑποταγὴ ἐμπόδιον ποιεῖ.»

90. Ἡ μὲν οὖν Ταπατὴ, τοιαῦτα εἰποῦσα, ἀνῆλθεν εἰς τὸν οὐρανόν· ὁ δὲ βασιλεὺς, λειποθυμήσας πάλιν ὑπὲρ τὸ μέτρον μετὰ τὴν πρώτην λειποθυμίαν καὶ τὴν χαρὰν τῆς θεωρίας, ἐγένετο τοιοῦτος, οἷον τὸ δένδρον, κατακαιόμενον ὑπὸ τοῦ κεραυνοῦ μετὰ τὴν καῦσιν τοῦ Ἡλίου καὶ τὴν ἀναψυχὴν τῆς βροχῆς.

91. Ἐνταῦθα ἐλθὼν ὁ Ὕπατος μετὰ τοῦ στρατεύματος, ἀνέστησε τὸν βασιλέα δροσιστικοῖς καὶ ἀναψυκτικοῖς. Θελγεὶς δὲ τῇ Ταπατῇ ὁ βασιλεὺς, ἤρξατο ποιεῖν λατρείαν τῷ Ἡλίῳ [2], πεισθεὶς τῷ τοῦ Ὑπάτου λόγῳ, ὃν περὶ πολλοῦ ἐποιεῖτο.

92. Λαβὼν δ' ἐν νοὶ τὸν πνευματικὸν πατέρα Βασίσταν, ἄσιτος ὢν ἐν δώδεκα ἡμέραις, ἐλάτρευε τῷ Ἡλίῳ, ἐπὶ ἐπιτεύξει τῆς Ταπατῆς, ὑψοῦ ἔχων τὰς χεῖρας τεταμένας, ὡς αἰσίαν σειρὰν ἐκ φύλλων ἐπὶ θύρας [2].

---

1. Ἐξ ἧς γεννᾶται ὁ Ἔρως.

2. Τρεῖς εἰσιν οἱ τρόποι τῆς πρὸς τὸν Ἥλιον λατρείας· ἐν μὲν τῇ ἀνατολῇ, ἐκτείνουσι τὰς χεῖρας, συζευγνύντες τὰς παλάμας, ἱστάμενοι καὶ ἀφορῶντες πρὸς τὸν Ἥλιον· ἐν δὲ τῇ μεσημβρίᾳ, ἀνατείνουσι τὰς χεῖρας, τρέποντες τὰς παλάμας πρὸς τὸν Ἥλιον· ἐν δὲ τῇ δύσει, ἐκτείνουσι τὰς χεῖρας, ἄνω ἔχοντες τὰς παλάμας.

3. Καθὼς ἡ σειρὰ ἐκ φύλλων ἐκτείνεται ἐπὶ θύρας, ἐπὶ ἐπιτεύξει ἐνδόξου τινος, οὕτω καὶ οὗτος ἐξέτεινε τὰς χεῖρας ἐπὶ ἐπιτεύξει τῆς Ταπατῆς.

93. Γνοὺς δ' ὁ πνευματέμφορος Βασίστας τοῦτο, προσελθὼν τῷ Ἡλίῳ, ἠτήσατο τὴν θυγατέρα αὐτοῦ· ὁ δὲ, εἰπὼν, «Καὶ ἡ ἐμὴ βουλὴ τοιαύτη ἦν,» ἐξέδωκε τὴν ἑαυτοῦ θυγατέρα τῷ βασιλεῖ Σαμβαράνᾳ.

94. Διὰ μὲν οὖν τῆς εὐχολογίας τοῦ πνευματικοῦ πατρὸς Βασίστα γάμος ἐγένετο ἀμφοτέροις, τῷτε βασιλεῖ καὶ τῇ θυγατρὶ τοῦ Ἡλίου, οἳ πεσόντες εἰς τὸν δεινὸν τάραχον τοῦ Ἔρωτος, σφόδρα ἥσθησαν, τυχόντες τοῦ ἐφετοῦ.

95. Ἥδετο δὲ μετ' αὐτῆς ἐν τῇ ἀγλαᾷ χώρᾳ τοῦ Ἴνδρα [1] δώδεκα ἔτη· ἐλθὼν δ' εἰς τὴν ἑαυτοῦ πόλιν μετὰ ταῦτα, ἣ κατετρύχετο ἀνομβρίᾳ, ἐποίησεν εὐθέως εὐετηρίαν λαμπράν.

96. Αὕτη ἡ ἐρασμία Ταπατὴ ἡμιλλᾶτο τῇ γῇ, ἣ ἦν ὡς δευτέρα γυνὴ τοῦ βασιλέως [2]· μεγαλόφρων γὰρ ἦν, ὡς ἡ γῆ μεγαλοβαρὴς, καὶ ὄρμους εἶχεν ἐκ μαργάρων καθειμένους, ὡς ἡ γῆ τοὺς καταῤῥέοντας πίδακας ἐξ ὀρέων, καὶ μαστοὺς, ἐν οἷς ἔπαιζεν ὁ Ἔρως, ὡς ἡ γῆ τὰ ὄρη, ἐν οἷς παίζει ὁ ἐλέφας.

97. Ὁ ἐχθρὸς βασιλεὺς, ὁ νικηθεὶς καὶ φυγὼν εἰς ὄρος, πάλιν ἐτύγχανε τῆς ἑαυτοῦ δόξης παρὰ τούτου τοῦ εὐσπλάγχνου, ἱκετεύων καὶ λέγων ἐκ στόματος τῶν πρέσβεων· «Ἔσο προστάτης ἐμοῦ τοῦ ἀπροστατεύτου· σὺ γὰρ εἶ ὁ » ἄξιος προστάτης.»

98. Τούτου ἡ φήμη, λογιζομένη τὸ ἄπειρον τῶν κόσμων, τούς τε τρεῖς κόσμους τούτους τοῦ Ἴνδρα, καὶ τοὺς λοιποὺς ἐπουρανίους, τὸν τοῦ Βραχμᾶ, τὸν τοῦ Σίβα, καὶ τὸν τοῦ Βισνοῦ, ἐχάρη, ὅτι ὕλην ἔχει πολλὴν, ὥστε λευκᾶναι μόνη τὸ πᾶν τῷ ᾧ ἔχει ἔθει.

---

1. Ἐν τῷ οὐρανῷ ἐτελέσθη ὁ γάμος.
2. Παίζει πρὸς τὰς λέξεις ὁ Ποιητής.

99. Τοῦ Ἴνδρα, ὃς πρότερον ἤκουε τῶν ἀρετῶν τούτου τοῦ βασιλέως, ἰδόντος αὐτὸν τοῖς οἰκείοις ὄμμασιν [1], ἐγένετο βασιλεὺς ὁ Κουροῦς, ὃς ἐκυβέρνα διὰ προσταγῆς τὴν ὑποκειμένην γῆν, ὡς γυναῖκα φιλτάτην.

100. Γυνὴ δ' ἦν τούτῳ, Ἀμριτὰ τοὔνομα, ἣ ἥδυνεν αὐτὸν ταῖς ἐρωτικαῖς παιδιαῖς [2], ὡς ἡ στρατιὰ ταῖς πολεμικαῖς, ἔχουσα μαστοὺς ὡς δύω μαστώδεις ἐξοχὰς ἐπὶ τοῦ μετώπου τοῦ ἐλέφαντος, καὶ κόμην ὡς περισειομένην μάχαιραν, καὶ ὀφθαλμοὺς, ὡς ἵππους γοργούς [3].

101. Ὁ Ἥλιος, ὡς πυγολαμπὶς, ἔλαμπεν ἐν ὅλῳ τῷ αἰθέρι, περικεκαλυμμένῳ ὑπὸ τῆς, ὡς μελαίνης νεφέλης, ἐκτεταμένης πολλῆς δυσφημίας τῶν πολεμίων βασιλέων.

102. Μωρός ἐστιν, ὃς ποιεῖ ψευδῶς ὁμοίωσιν τῆς λαμπρότητος τούτου τῇ τοῦ Ἡλίου· λάμποντος μὲν γὰρ τούτου [4], ἡ ὡς βαθὺ σκότος δυσφημία τῶν πολεμίων βασιλέων ὑπερηύξανε· λάμποντος δὲ τοῦ Ἡλίου, τὸ σκότος διασκεδάννυται.

103. Τὸ ξίφος τούτου ἦν βρέχον φήμην μεγάλην, ὡς τὸ νέφος ῥαγδαίαν βροχὴν, καὶ λάμπον ὑπερφυῶς τῇ ὀξύτητι, ὡς ἡ ἀστραπὴ, καὶ ἀφανίζον τοὺς βασιλεῖς ταῖς διατομαῖς τῶν ἐν τοῖς στρατοῖς ἀγλαοπροσώπων, καθὼς ἡ ῥαγ-

---

1. Δηλ. ἀποθανόντος.

2. Παιδιαί εἰσι τοῦ ἔρωτος τὸ νύττειν διὰ τῶν ὀνύχων, τὸ δάκνειν διὰ τῶν ὀδόντων, κ. τ. λ.

3. Ἐπειδὴ ὡμοίωσε τὴν γυναῖκα στρατῷ, διὰ τοῦτο ἐπήγαγε καὶ ἐλέφαντα, καὶ μάχαιραν, καὶ ἵππον, ἅ εἰσιν ἴδια τοῖς στρατοῖς καὶ τοῦ πολέμου.

4. Παρόντος γὰρ τοῦ Ἡλίου, τὸ σκότος διασκεδάννυται· τούτου δὲ τοῦ βασιλέως παρόντος, ἡ ὡς σκότος δυσφημία τῶν πολεμίων βασιλέων διέμενε· διὰ τοῦτο οὖν ἀνοίκειός ἐστιν ἡ ὁμοίωσις τούτου τοῦ βασιλέως ἐκείνῳ τῷ Ἡλίῳ.

δαία βροχὴ ἀφανίζει τοὺς χῆνας ταῖς διαῤῥήξεσι τῶν ἐν ὕδασι λωτῶν.

104. Αἰσχύνην δὲ τούτου δόντος ἐν οὐρανῷ ἐξάπινα τῷ Ἴνδρᾳ τῇ λαμπρότητι τοῦ ἑαυτοῦ προσώπου [1], ἀνεδέξατο τὴν γῆν ὁ βασιλεὺς Ἀρουνβὰν τοὔνομα, ὁ κατορθώματα ἐκτελέσας ἄπειρα, ὡς πελάγη.

105. Ἡ κτίσις πᾶσα, ὡς γυνὴ, ἐνατενίσασα εἰς τὴν δυσθέατον τούτου λαμπρότητα διὰ τοῦ Ἡλίου, ὡς δι' ὀφθαλμοῦ, ἔχυσεν ὕδωρ, μεμιγμένον μελαίνῃ στίμμει, ὅ ἐστιν ἡ Ἰαμουνὰ, ὁ ποταμός [2].

106. Τούτου ἐν τῇ γῇ καὶ τὰ κατὰ τὴν ὁδὸν πίπτοντα πολύτιμα πετράδια οὐκ ἐλαμβάνετο ὑπὸ τῶν ἀνθρώπων [3], ὑπερηφάνων ὄντων, ἵνα μὴ φανεῖεν ταπεινοί· ἐκ δὲ τῆς πολλῆς λάμψεως τῶν πιπτόντων πολυτίμων λίθων, ἔξοδος οὐκ ἐγίνετο τῶν μοιχαλίδων ἐν ταῖς νυξίν.

107. Ὁ ὄφις ἐρίζων τῷ ξίφει τούτου κατὰ τὰ προτερήματα ταῦτα, κατὰ τὴν ταχύτητα, κατὰ τὴν μελανότητα, καὶ κατὰ τὴν ἀθρωποκτονίαν, ἠττηθεὶς, ἔκρυψέ πως τοὺς πόδας αὐτοῦ, φοβηθεὶς μὴ δεθείη ἀλύσει.

108. Ἡ εὐφημία τούτου, ὥσπερ ἐν ἐκστρατείᾳ, πρῶτον μὲν ἐποίησεν ὑπὸ τὴν ἐξουσίαν ἑαυτῆς τοὺς τρεῖς κόσμους, εἶτα δ' ὤκησεν ἐν τῷ ἐκτεταμένῳ αἰθέρι, καὶ ἐκράτησεν ὁμοῦ καὶ τῆς δυσκρατήτου καρδίας τῶν θεωρητικῶν καὶ ἀπαθῶν [4].

---

1. Ἀποθανόντος δηλ.

2. Ἡ Ἰαμουνὰ θυγάτηρ λέγεται τοῦ Ἡλίου, καὶ μελανοειδὲς ἔχει ὕδωρ.

3. Οὐκ ἔκυπτέ τις ἀναλαβεῖν τὸ πεσὸν πολύτιμον πετράδιον ἐκ τῆς χειρὸς, ἵνα μὴ φανείη ταπεινός.

4. Δηλ. καὶ οἱ θεωρητικοὶ καὶ ἀπαθεῖς, οἳ οὐδενὸς τῶν τοῦ κόσμου φροντίζουσιν, ἐπήνουν τὸν βασιλέα καὶ ἐτίμων αὐτόν.

109. Ἀφελόντος δὲ τούτου ἐν οὐρανῷ τῷ περικαλλεῖ αὐτοῦ σώματι τὴν λύπην τοῦ Ἔρωτος, τοῦ μὴ ἔχοντος σῶμα, καὶ διὰ τοῦτο αἰσχυνομένου [1], βασιλεὺς ἐγένετο ὁ Παριζίτ, ὃς ἦν ἀναιρέτης τοῦ ἐχθροῦ ἐκ τοῦ προχείρου, ὡς ὁ λέων τοῦ ἐλέφαντος.

110. Καθὼς οὗτος ἥψατο χειρὸς γυναικὸς ἐν γάμῳ, ὑπὸ μαρτυρίαν τοῦ λαμπροῦ πυρὸς, ἡ ἦν εὐόφθαλμος καὶ φιλόφρων, καὶ ἐκαλεῖτο Σουϊασσά, οὕτως ὑπὸ χεῖρα ἐποίησε καὶ πληθὺν πολεμίων βασιλέων, εὐφήμων καὶ θυμοειδῶν, ὑπὸ μαρτυρίαν τῆς λαμπρᾶς αὐτοῦ ῥομφαίας καὶ τοῦ μεγάλου κράτους.

111. Τούτου τὸ ξίφος ἐν πολέμῳ ἐχόρευεν, αἷμα πίνον, ὡς οἶνον, ἐκ τοῦ τραύματος τῆς κορυφῆς τοῦ ἐλέφαντος, καὶ ἔχον ὥσπερ ὀδόντας τοὺς προσκολληθέντας μαργαρίτας, τοὺς ἐκ τῶν πληγέντων τὴν κάραν ἐλεφάντων, καὶ ὡς γέλωτα πλατὺν, τὸν λαμπρὸν ἔπαινον [2].

112. Ῥίπτων δὲ τὸ θυμοειδὲς αὐτοῦ εἰς τὸν στρατὸν τῶν πολεμίων, ὡς ζώπυρον εἰς χόρτον ξηρὸν, οὕτως ἐξῆψε τὸ ὡς πῦρ θερμουργὸν αὐτοῦ ἐν γῇ, ὥστε τὸ πῦρ φαίνεσθαι, ὥσπερ σπινθῆρα.

113. Τί εἴπω; καὶ ἡ ἐν Σελήνῃ ἔλαφος ἐφοβήθη καὶ ἔφυγε, καὶ ὁ τοῦ ἐλέφαντος τοῦ Ἴνδρα ῥέων ἐκ μανίας χυμὸς, ἀφανὴς ἐγένετο ἐκ τοῦ φοβεροῦ ὀνόματος τούτου τοῦ βασιλέως, ὃ περιεφέρετο ὥσπερεὶ σκύμνος λέοντος εἰς δρυμὸν, εἰς τὸν μέγαν αἰθέρα.

114. Τούτου τοῦ βασιλέως ἡ παιδεία πρὸς τὸν πταίσαντα ἐγίνετο πάνυ ἁρμοδία· πρῶτον μὲν φοβερὰ τῷ λόγῳ, εἶτα

---

1. Ἰδὼν τοῦτον ὁ Ἔρως τὸν ἀγλαόμορφον, ἀφῆκε τὴν ἣν εἶχε λύπην, ὅτι οὐκ ἔχει σῶμα· ἅπαντες γὰρ οἱ βλέποντες, νομίζουσιν ὡς αὐτός ἐστιν ὁ Ἔρως, σῶμα λαβών. — Τουτέστιν ἀποθανόντος.

2. Ἡ ὁμοίωσις πάνυ οἰκεία· ὁ γὰρ πίνων καὶ χορεύει, καὶ γελᾷ, καὶ τοὺς ὀδόντας προφαίνει ἐν τῷ γελᾶν.

δ' ἱλαρὰ τῷ ἔργῳ, καὶ ὠφέλιμος εἰς τὸ μέλλον, καθὼς ὁ ὑποκριτικὸς θυμὸς τοῦ πατρὸς πρὸς τὸν υἱόν.

115. Ἵν' ἐθίσωσί πως ἑαυτοὺς εἰς τὸ ἀνασχέσθαι τῆς δυσανασχετήτου γενησομένης θερμουργίας τούτου τοῦ βασιλέως, ὁ μὲν Βισνοῦς εἰσέδυ ἐξ ἀρχῆς εἰς τὸν Ἥλιον [1], ὁ δὲ Σίβας ἔθετο πῦρ ἐν τῷ ἑαυτοῦ ὀφθαλμῷ.

116. Τούτου δ' ἐν οὐρανῷ θέντος τὰς χεῖρας ἐν τοῖς, ὡς στάμνοις, πλήρεσι θέλκτρου μαστοῖς τῶν θεαινῶν [2], ἐγένετο βασιλεὺς τῆς γῆς ὁ Βήμας, ὁ φοβερὸς τοῖς ἔργοις καὶ ὀλέτωρ τῆς δόξης τῶν ἐχθρῶν.

117. Οὗτος ὁ λαμπρὸς καὶ εὐκλεὴς ἠγλαΐζετο γυναικὶ Σουκουμαρικᾷ τοὔνομα, ἀγαθῇ οὔσῃ, καὶ λαμπρυνομένη κοσμήμασι χρυσοῖς καὶ μαργαρίταις, καθὼς ἡ λαμπρὰ Σελήνη ἀγλαΐζεται νυκτὶ, μὴ ἐχούσῃ σκότος, καὶ κοσμουμένῃ πολλοῖς ἄστρασιν.

118. Οὗτος διὰ τῆς ἑαυτοῦ ὀξυθυμίας καὶ ἀνδρείας καὶ ῥομφαίας, ὡς διὰ χειρομύλης [3], συνέτριβεν ἐν πολέμῳ τὴν φήμην τῶν ἐχθρῶν εἰς λεπτὰ, ἅ εἰσιν οἱ μαργαρίται, οἱ διασπειρόμενοι ἐκ τοῦ κρανίου τοῦ ἐλέφαντος πληγέντος.

119. Ὁ Βραχμᾶς, ὁ γράφων ἐπὶ τοῦ μετώπου τῶν ἀνθρώπων, ὡς ἐπὶ πίνακος, τὸ ἐκ τῶν καλῶν ἔργων τῆς πάλαι γεννήσεως γενησόμενον, προσεπέγραφε καὶ τοῦτο, «ὅτι διὰ τῆς » πρὸς τὸν πόδα τούτου τοῦ βασιλέως θεραπείας ἡ ἐπίτευ» ξις τῆς βασιλείας γενήσεται [4]·» ἄλλως γὰρ ἐφοβεῖτο [5].

---

1. Ὁ Βισνοῦς ἐν τῷ Ἡλίῳ ἐστιν, ὡς εἴρηται πρότερον.

2. Ἀποθανόντος δηλ.

3. Ὁ μὲν ἄνω μυλίτης λίθος, ἡ ὀξυθυμία ἐστιν· ὁ δὲ κάτω λίθος, ἡ ἀνδρεία, ἡ δὲ λαβὴ τῆς χειρομύλης, ἡ ῥομφαία τούτου.

4. Δηλονότι, ὅστις εὐπειθὴς ἦν τούτῳ τῷ βασιλεῖ, ἐκεῖνος ἐβασίλευεν.

5. Εἰμὴ ἔγραφε δηλ. οὕτως ἐφοβεῖτο· ἠθέτει γὰρ καὶ τὸ ὑπὸ τοῦ Βραχμᾶ προωρισμένον.

120. Ἡ μάχαιρα τούτου, ὡς ὅφις ἐφαίνετο ἐν πολέμῳ· ἔσθυε γὰρ πρότερον τὴν λαμπρότητα τῶν ἐχθρῶν, ὡς λύχνον, ὅτε ἔμελλε πιεῖν, ὡς γάλα, τὸ κλέος αὐτῶν, καὶ ὡς ἀέρα τὴν πνοὴν αὐτῶν.

121. Ἐμβεβυθισμένος τῷ ὕπνῳ ὁ ἐχθρὸς, βλέπων τοῦτον τοξοφόρον ἐν ὀνείροις, ἀνίστατο εὐθέως· βλέπων δ' ἐν ταυτῷ τὸν Ἔρωτα γεγραμμένον ἐπὶ τοῦ τοίχου τοῦ οἴκου, τί οὐκ ἐποίει ἐκ φόβου [1];

122. Ἥνπερ Λαξμὴν[2], εὐμετάστατον οὖσαν, ἀπέβαλεν οὗτος ὀρθῶς, αὕτη ἐγέννησεν ἐν ἀλλοτρίῳ οἴκῳ υἱὸν, ὃς ἐστιν ὁ ἔπαινος· τούτου δὲ τοῦ υἱοῦ τοῦ λόγου, καί περ ὀρθοῦ ὄντος, οὐκ ἤκουεν οὗτος [3]. Ἴδιον τοῦτο τφόντι μεγαλοφρόνων ἀνδρῶν.

123. Διατεμόντος δὲ τούτου τὸν Ἥλιον, τὸν ἐρίζοντα ὑπὲρ λαμπρότητος, καὶ πορευθέντος εἰς τὴν ὑψίστην χώραν [4], ἔλαβε τὴν γῆν, ὡς γυναῖκα σώφρονα, ὁ βασιλεὺς Πρατίπας, ὁ ὢν ὄλεθρος, ὡς τὸ πῦρ τοῖς δένδρεσι, τοῖς πολεμίοις βασιλεῦσιν.

124. Οὗτος ὁ βασιλεὺς, ὁ ὑπὸ βασιλέων πολλῶν προσκυνούμενος, χαίρων ἠγλαΐζετο γυναικὶ ἀγλαᾷ καὶ χαριέσσῃ, Σουμουδᾷ τοὔνομα, καθὼς ἀγλαΐζεται ἡ σημαία τοῦ Ἴνδρα ἀγλαᾷ καὶ λαμπρᾷ (λευκῇ) ὀθόνῃ.

125. Τούτου τὸ ξίφος ἔπινεν, ὡς ὕδωρ, τὸ πολὺ κλέος τῶν

---

1. Ἰδὼν τὸν Ἔρωτα, ὃς ἦν ἐν εἰκόνι γεγραμμένος μετὰ τοῦ τόξου αὐτοῦ, ἐνόμιζεν ὅτι ὁ βασιλεὺς οὗτός ἐστιν, ὃν εἶδεν ἐν ὀνείρῳ τοξοφόρον, καὶ διὰ τοῦτο ἐπορεύετο τῇ δε κἀκεῖσε εἰς τὸ κρύπτεσθαι φοβούμενος.

2. Λαξμὴ ἐνταῦθα ἐννοεῖται ὁ ὄλβος καὶ ὁ πλοῦτος, ὃν ἀπέῤῥιπτεν ἐπὶ δωρεᾷ καὶ χάριτι.

3. Τουτέστιν, οὐκ ἤθελεν ἐπαίνων ἀκούειν ἐπὶ ταῖς διδομέναις δωρεαῖς.

4. Ἀποθανόντος δηλ.

πολεμίων διὰ τῆς ἐκτάσεως, ὡς διὰ κοίλης χειρός [1]· οἱ δὲ πίπτοντες μαργαρίται ἐκ τοῦ μετώπου τοῦ ἐλέφαντος, πληγέντος ἐν πολέμῳ, ἦσαν ὡς λαμπραὶ πολλαὶ σταγόνες [2].

126. Καὶ τὰ στρατεύματα τοῦ Ἴνδρα πολυάριθμα ἐγένοντο, θυμοειδῆ, καὶ ἱκανὰ εἰς ἀναίρεσιν τῶν Τιτάνων, ἐκ τῶν πολλῶν ἐχθρῶν, οἳ ἐγένοντο θεοὶ, ἀναιρεθέντες ἐν πολέμῳ διὰ τῶν πολλῶν βελῶν τῶν ἐκ τοῦ κυρτουμένου τόξου ὑπὸ τῆς χειρὸς τούτου, ἢ ἦν ὡς στύλος, ὁ ἐμπηγνύμενος τῇ γῇ ἐν ἀρχῇ τοῦ πολέμου [3].

127. Τοῦ βασιλέως τούτου λίαν θυμουμένου, ὁ μὲν βασιλεὺς τῆς Λάτας ἐκολάκευεν· ὁ δὲ βασιλεὺς τῆς Μαγάδας ἐγίνετο ἔξω φρενῶν· ὁ δὲ βασιλεὺς τῆς Ἄγγας ἐγκατέλειπε τὴν βασιλείαν· ὁ δὲ βασιλεὺς τῆς Μιτιλᾶς ἐγίνετο λειπόσαρκος· ὁ δὲ βασιλεὺς τῆς Βάγγας ἐγίνετο φυγοπόλεμος· ὁ δὲ βασιλεὺς τῆς Κασμίρας ἐπελανθάνετο τῶν παιδικῶν.

128. Ἐγὼ νομίζω, ὅτι ὑπὸ μὲν πασῶν τῶν θεαινῶν ὕμνος τῆς πολυθωρίας τούτου, λευκότερος καὶ αὐτῆς τῆς Σελήνης, ᾄδετο ἀεὶ ἡδέως ἐν τῷ παραδείσῳ τοῦ Ἴνδρα· τὸ δὲ οὐράνιον δένδρον ἔσειε μετὰ χαρᾶς τὴν κορυφὴν αὐτοῦ [4] διὰ τοῦ ἀέρος, καὶ μετὰ θαύματος ἔλεγε διὰ τῶν βόμβων τῶν βομβυλίων· «Εὖγε! εὖγε!»

---

1. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· ἡ γὰρ ἐν τῷ ἰνδικῷ πρωτοτύπῳ λέξις σημαίνει τὴν ἔκτασιν καὶ τὴν κοίλην χεῖρα.

2. Πίνοντος τοῦ ἀνθρώπου ὕδωρ κοίλῃ χειρὶ, πίπτουσι σταγόνες διὰ τῶν δακτύλων.

3. Ἐν ἀρχῇ τοῦ πολέμου στύλον ἵστησιν ὁ ἐχθρὸς, ἐκ δὲ τούτου σημαίνει, ὅτι πόλεμον ζητεῖ. — Σημείωσαι ὅτι ἕκαστος τῶν τεσσάρων ποδῶν τοῦ στίχου τούτου συνίσταται ἐξ ἑπτακαίδεκα συλλαβῶν.

4. Ὁ ἡδόμενος ἐπ' ἄσματι σείει τὴν κεφαλὴν, καὶ εὐφημεῖ τὸν ᾄδοντα.

129. Ἡ μεγάλη ἔνδεια τῶν πτωχῶν, φεύγουσα διὰ τῆς πολυδωρίας τούτου τοῦ ἀγαθουργοῦ, κατέφευγεν εἰς τοὺς πολεμίους βασιλεῖς· ἀλλὰ καὶ ἀπ' ἐκείνων τῶν βασιλέων ἔφευγε βίᾳ, διὰ τῆς εὐμενείας καὶ ἐπιεικείας τούτου· ἡ δ' ἔνδεια, μὴ ἔχουσα τόπον, αὐτὴ καθ' ἑαυτὴν ἠφανίζετο.

130. Πόσοι κόσμοι οὐκ ἐγένοντο εὔθυμοι, ἀκούσαντες τῆς ἐκ τῶν ἑκατὸν θυσιῶν πολλῆς φήμης τούτου [1], τῆς ἀδομένης ἡδέως ὑπὸ τῶν θηλειῶν; Ὁ Ἴνδρας ὅμως, φοβούμενος τὴν πτῶσιν τῆς δόξης αὐτοῦ [2], ταπεινὰ ἐφρόνει· ὁ δὲ Βαλὴς ἐλυπεῖτο, διανοούμενος ἀπότευξιν τοῦ θρόνου τοῦ Ἴνδρα [3].

131. Ἀναρίθμους τελέσας θυσίας εἰς τρυφὴν τῶν θεῶν, καὶ ποταμοὺς ποιήσας τοῖς, ὡς ὕδασι, δάκρυσι τῶν γυναικῶν τῶν ἐχθρῶν, εἰς ἐνοίκησιν τῶν ἐνύδρων, καὶ ὁδὸν ἀέρος τοῖς ἐκ τῶν ποδῶν τῶν ἵππων λάκκοις, εἰς τροφὴν τῶν ὑπὸ γῆν ὄφεων, ποῦ οὗτος ὁ μέγας ἥρως καὶ ἄξιος, εὐθηνίας χαρὰν οὐκ ἐποίησεν;

Τέλος τοῦ Τρίτου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου τοῦ μεγάλου Ποιήματος
Βαλαβαράτας τοὔνομα,
τοῦ διαλαμβάνοντος περὶ ἡμιθέων
καὶ ἡρώων.

---

1. Ὁ γὰρ ἑκατὸν ἱπποθυσίας ποιήσας, Ἴνδρας ἔσεται.

2. Ὁ γὰρ Βαλὴς Ἴνδρας ἔσεται.

3. Οὗτος ὁ στίχος συνίσταται τέσσαρσι πρὸς ταῖς ὀγδοήκοντα συλλαβαῖς.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ,

Ἐν ᾧ ἐστιν ἡ γένησις τῶν υἱῶν τοῦ Παρδοῦ καὶ τοῦ Δρυταράστρα.

1. Ὑμνήσωμεν τὸν υἱὸν τοῦ Παρασσάρα, τὸν ὄντα μὲν ὠκεανὸν, ἔχοντα δ' ἀνθρώπου μορφὴν, ἐξ οὗ ἐξηρεύχθησαν οἱ λόγοι τῆς Μαχαβαράτας, ὡς μαργαρίται βεβρεγμένοι ἀμβροσίᾳ.
2. Πάλαι ποτε βασιλεύς τις ἄριστος ἐν τῇ γενεᾷ τοῦ βασιλέως Ἰξβακοῦ, Μαχαμίσσας ὀνόματι, εὐποιΐας ποιήσας πολλὰς καὶ ἀπαθὴς γενόμενος, ἔτυχε τοῦ οὐρανοῦ.
3. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ἐπορεύθη μετὰ τῶν θεῶν εἰς τὸ βῆμα τοῦ Βραχμᾶ, ἔνθα ἰδὼν ἐπιθυμίᾳ τὴν Γαγγᾶν ἐλ-
4. θοῦσαν, ἧς ὁ πέπλος ὑπ' ἀνέμου ἀναπεπταμένος ἐγένετο, καί τοι οἱ θεοὶ κάτω ἔκλιναν τὴν ὄψιν, ἔπεσεν ἐξ οὐρανοῦ τῇ ἀρᾷ τοῦ Βραχμᾶ.
5. Πίπτων δ' ἐκ τοῦ οὐρανοῦ, εὐχόμενος ἐν ἑαυτῷ τοῦτο· « Εἴθε υἱὸς γενοίμην τοῦ βασιλέως Πρατίπα », συνελήφθη, ἐν τῇ γαστρὶ τῆς Σουνανδᾶς [1].
6. Ἐγένετο οὖν οὗτος υἱὸς τοῦ βασιλέως τῆς γῆς Πρατίπα, καὶ ὠνομάσθη Σαντανοῦς, κραταιότατος ὢν καὶ λαμπρότατος ἐν τῇ γενεαλογίᾳ τῆς Σελήνης.
7. Γηράσαντος δὲ τοῦ Πρατίπα, καὶ ἀναχωρήσαντος εἰς ἔρημον ἐπ' ἀσκήσει, βασιλεὺς γενόμενος ὁ Σαντανοῦς, εἰς ὄλεθρον ἦγαγε πάντας τοὺς ἐχθρούς.
8. Οἱ γὰρ ἐχθροὶ οὐδαμῶς ἀσινεῖς ἀπηλλάττοντο ἔμπροσθεν τῶν βελῶν τούτου, καθὼς οὐδὲ οἱ χρεῶσται ἔμπροσθεν τῶν δανειστῶν.
9. Τῇ δ' ἀφῇ τῆς θαυμαστῆς τῇ δυνάμει χειρὸς τούτου οἱ

---

1. Ἡ Σουνανδὰ, ὅ ἐστιν Εὐφροσύνη, ταὐτόσημόν ἐστι τῷ Σουμουδᾷ.

γέροντες εὐθέως νεότητος ἐτύγχανον, καθὼς τὸ φυλλοβολοῦν δένδρον ἀναθάλλει τῇ ἐλεύσει τοῦ ἔαρος.

10. Πάλαι οἱ ὀκτὼ θεοὶ Βασαβαὶ [1] ἐπορεύθησαν πρὸς διατριβὴν εἰς τὸ ἄλσος τοῦ Βασίστα, περὶ τὴν γῆν τοῦ ὄρους Μεροῦ [2], μετὰ τῶν ἑαυτῶν ἀγλαῶν γυναικῶν.

11. Ἐνταῦθα ἰδοῦσα τὴν δάμαλιν τοῦ Βασίστα ἡ γυνὴ τοῦ ὀγδόου θεοῦ Βασοῦ, ἔφη αὐτῷ· «Ὦ ἄνερ, εἰπέ μοι τὴν οὖ-» σαν ἀρετὴν (ὑπεροχὴν) ταύτης.»

12. Ὁ δ' ὄγδοος Βασοῦς, ᾧ ὄνομα ἦν Δεάους, ἀπεκρίνατο ἠδεῖ λόγῳ· «Αὕτη ἡ βοῦς τοῦ Βασίστα ὀνομάζεται Νανδινὴ, διότι εὐφραίνει τὸν κόσμον [3].

13. «Ὁ γὰρ ἄνθρωπος, ᾧ τιμήεσσα, ὁ πίνων ταύτης τὸ» ἀξιάγαστον γάλα, ζῇ ἀγήρως περίπου δεκακισχίλια ἔτη».

14. Ἡ δὲ ἀκούσασα ἔκλεψε ταύτην τὴν βοῦν, διὰ τῶν χειρῶν τοῦ ἀνδρὸς αὐτῆς, εἰς τὸ ποτίσαι γάλα τὴν θυγατέρα τοῦ βασιλέως Οὐσσινάρα, ᾗ ὄνομα Ἀξιναβατὴ, καὶ τὰς φίλας αὐτῆς.

15. Μὴ βλέπων δ' ὁ ὅσιος τὴν βοῦν ἐν τῷ ἄλσει, γνοὺς διὰ τῆς θεωρίας τὴν αἰτίαν, κατηράσατο τῆς Βασαβῆς, λέγων· «Οἰκησάτωσαν οὗτοι ἐν γαστρὶ γυναικός».

16. Φοβηθέντες δ' οὗτοι τὴν ἐν γῇ οἴκησιν, κλίναντες τὴν κεφαλὴν λίαν εὐλαβῶς, προσεκύνησαν ταπεινῶς καὶ οἰκτρῶς τὸν ἀρασάμενον ὅσιον.

17. Ὁ δὲ Βασίστας, ὁ κορυφαῖος τῶν θεωρητικῶν, λόγον ἔλεξεν ἱλαρῶς τοιοῦτον·

18 «Ἔχετ' ἀτρέμας, ὦ υἱοί· παρακαλέσατε δὲ τὴν Γαγγὰν,

---

1. Βασαβαὶ, εἶδος θεῶν· εἰσὶ δὲ ὀκτὼ τὸν ἀριθμὸν. Βασοῦς λέγεται ἑνικῶς.

2. Μεροῦ ἢ Μερόη, ὄρος μυθευόμενον παρ' Ἰνδοῖς περὶ τὸ βόρειον μέρος, ἐνδιαίτημα τῶν θεῶν, ὡς ὁ Ὄλυμπος παρ' Ἕλλησι.

3. Ἐτυμολογεῖ τὴν λέξιν ὁ ποιητής· Νανδινὴ γὰρ λέγεται εὐφραντική.

» ἵνα αὕτη, λαβοῦσα μορφὴν γυναικὸς καὶ συμμιγεῖσα τῷ
» βασιλεῖ Σαντανοῦ, ῥίψῃ ὑμᾶς ἐν τοῖς ἑαυτῆς ῥείθροις.

19. « Ὁ δὲ Δεάους, ὃς ἔκλεψε τὴν ἐμὴν βοῦν, ὁ λίαν πλεο-
» νέκτης καὶ ἀντίθεος, καί περ Θεὸς, διατριβὰς ποιείτω
» ἐπὶ γῆς ἐπὶ πολύ. »

20. Ἡ μὲν οὖν Γαγγὰ, παρακληθεῖσα ὑπὸ τούτων, ἐνεφάνι-
σεν ἑαυτὴν, ἐν σχήματι γυναικὸς εὐειδοῦς, ἐκείνῳ τῷ Σαν-
τανοῦ, διατρίβοντι ἐν τῇ ὄχθῃ αὐτῆς.

21. Οὗτος δ' ὁ ἄριστος ἐν βασιλεῦσι καὶ ἐν μαχηταῖς, τρω-
θεὶς τοῖς βέλεσι τοῦ Ἔρωτος, ἠράσθη αὐτῆς, καθὼς ὁ
Βισνοῦς τῆς Λαξμῆς.

22. Καὶ συνήνεσεν αὐτῇ, τοιαύτην συνθήκην προτεινάσῃ· « Ὡς
» εἰ κωλυθείη ὑπ' ἐκείνου, ἐργασαμένη τι εὐπρεπὲς, ἢ
» ἀπρεπὲς, ἀναχωρήσει ».

23. Τῶν μὲν οὖν Βασαβῶν συλληφθέντων κατὰ μέρος ἐπὶ
τῆς ἀρᾶς, καὶ γεννηθέντων υἱῶν, ἡ γυναικόμορφος Γαγ-
γὰ, ῥίψασα τοὺς ἑπτὰ, ἕνα ἕκαστον εἰς τὴν Γαγγὰν, ἐλύ-
τρωσεν αὐτοὺς τῆς ἀρᾶς [1].

24. Βουλομένη δὲ ῥίψαι καὶ τὸν ὄγδοον υἱὸν γεννηθέντα,
κωλυθεῖσα ὑπὸ τοῦ βασιλέως αὐστηρῶς, εἰσέδυ εἰς τὸ
ὕδωρ ἅμα τῷ υἱῷ.

25. Στερηθεὶς δὲ ταύτης ὁ βασιλεὺς, στυγνὸς ἐγένετο ἐκ
λύπης, καθὼς ἡ Σελήνη, στερηθεῖσα τῆς νυκτὸς, στυγνὴ
γίνεται ἐκ τῆς λάμψεως τοῦ Ἡλίου, καὶ ἐπιπλήττων
ἔλεγε·

26. « Διατί αὕτη ἡ Γαγγὰ, ἥ ἐστι καὶ θηλεοκτόνος, καὶ ἐμ-
» βρυοκτόνος, οὐ ξηραίνεται; Ὁ Ἥλιος ἄρα οὐκ ἔστιν αὐ-

---

1. Θανόντες ἐν τοῖς ὕδασιν, ἔλαβον πάλιν τὴν προτέραν ἑαυτῶν θείαν φύσιν.

» τόπτης τῶν ἔργων πάντων, διότι οὐ ξηραίνει αὐτήν [1].

27. « Ἐχέτω αὐτὴν ἐπὶ κεφαλῆς ὁ Σίβας, ὁ ἔχων στολὴν
» σποδὸν καὶ κρανία [2]· ὄνειδός ἐστί σοι, ὦ ὑπεράνθρωπε
» Βισνοῦ, ὃς θήγεις αὐτῆς καὶ τῷ ποδί [3].

28. « Τὸ παράπτωμα τῶν ἀνθρώπων ἀπαλλάττεται τῇ προσ-
» ψαύσει τοῦ ὕδατος ταύτης· ταύτης δὲ τὸ παράπτωμα
» κατὰ πάντων ἔχει τὰ νικητήρια ἐκ τοῦ οὗ ἐπράχθη ξέ-
» νου τρόπου [4].

29. « Οὐδὲ γὰρ ἐν τῷ Ἅδῃ τόπος οὐκ ἔστι τῷ τοιοῦτον ἁμ-
» πλάκημα πράξαντι· παράδοξον ἄρα, ὅτι ὁ θάνατος πρὸς
» τὸ Θεῖον ἄγει τὸν ἀποθανόντα ἐν τῇ ὄχθῃ αὐτῆς [5]. »

30. Οὕτως ὀνειδίζων αὐτὴν τὴν Γαγγὰν ὁ βασιλεὺς, ὁ ὢν
ἐν τοιούτῳ δεινῷ, ἐνουθετήθη ὑπὸ τῶν ἀγαθῶν καὶ ἐχε-
φρόνων βουλευτῶν [6].

31. « Ἆρα αὕτη, ἔφασαν, οὐκ ἔστι καὶ ἄλλων πολλῶν ἁμαρ-
» τημάτων ποιήτρια; καὶ ἡ Ἰαμουνὰ γὰρ καὶ ἡ θάλασσα
» μέλαιναι ἐγένοντο ἐκ τῆς συμμίξεως αὐτῆς [7].

32. « Ὀνειδίζων ὅμως οὕτω τὴν προσκυνητὴν Γαγγὰν, μὴ

---

1. Ὁ Ἥλιος, ἡ Σελήνη, ἡ σκιὰ τοῦ ἀνθρώπου, ἡ νὺξ καὶ ἡ ἡμέρα, μάρτυρές εἰσι, λέγουσι, πασῶν τῶν πράξεων.

2. Ὁ Σίβας γράφεται σποδῷ ἠλειμμένος καὶ ὅρμον κρανίων περὶ τὸν λαιμὸν ἔχων.

3. Ἡ Γαγγὰ, ὡς μυθολογοῦσιν, ἐκ τοῦ ποδὸς τοῦ Βισνοῦ ἀναπηγάζει.

4. Τουτέστι τὸ ἁμάρτημα ταύτης μεῖζόν ἐστι πάντων.

5. Πολλοὶ ἐν τῇ ὄχθῃ τοῦ Γάγγου ἄσκησιν ποιοῦσι καὶ ἐφίενται θανεῖν, ἵνα τύχωσι τοῦ ὑψίστου Θείου.

6. Οἱ βουλευταὶ κατ' ἀρχὰς συναινοῦσί πως τῷ βασιλεῖ, πρὸς χάριν, λέγοντες ἀποδεικτικῶς, ὅτι ἡ Γαγγὰ κακοῦργός ἐστι.

7. Τὸ γὰρ ὕδωρ τῆς Ἰαμουνᾶς, ᾧ συμμίγνυνται ἡ Γαγγὰ, περὶ τὴν πόλιν Πράγαν, τὴν νῦν λεγομένην Ἀλαχαβάδαν περσιστὶ, καὶ τὸ τῆς θαλάσσης, εἰς ἣν ἐκβάλλει ἡ Γαγγὰ, μελανοειδὲς φαίνεται καὶ κυάνεον.

» πίπτε ἐν ἁμαρτίαις· αὕτη γὰρ ἀνεχώρησε, διότι ἐμπο-
» δὼν ἐγένου τῷ βουλήματι αὐτῆς· μέμνησο τοῦ πρώην
» ἐκείνου λόγου [1].»

33. Τοιούτοις πολλοῖς λόγοις συμβουλευθεὶς ὑπὸ τῶν συμβούλων καὶ ἐξευμενισθεὶς, ἔφη, τιμήσας τὴν Γαγγὰν, « Σύγγνωθί μου· » καὶ τὰ ἐπανῆλθεν οἴκαδε παραυτίκα.

34. Μετὰ δέ τινα χρόνον, μόνος ὢν ὁ βασιλεὺς αὐτὸς, εἶδεν ἕνα παῖδα ἀξιοθέατον τὴν μορφὴν,

35. Ἅβρὸν ὄντα τὸ σῶμα, γαύρως τε καὶ ἡρωϊκῶς περιπατοῦντα, νομίζοντα ἀπό γε τοῦ βλέμματος, ὡς κάρφος, τὴν δύναμιν τῶν τριῶν κόσμων,

36. Κρείττονα ὄντα τοῦ οὐρανοῦ τῇ ἀγλαΐᾳ, ἐπειδὴ εἶχεν ἐνώτια λαμπρότερα τοῦ ἡλίου καὶ τῆς Σελήνης, καὶ μαργαρίτας λαμπροτέρους τῶν ἀστέρων [2],

37. Ἀντιλάμπον ἔχοντα τὸ πρόσωπον ἐν τοῖς ὄνυξι τῆς χειρὸς, τῆς ἑλκούσης τὴν χορδὴν τοῦ τόξου μέχρι τοῦ ὠτὸς, καὶ φαινόμενος ὡς τὸν ἐξαπρόσωπον Σκάνδαν, παρὰ τῇ μητρὶ Γαγγᾷ [3],

38. Ἀκατάληπτον ὄντα κατὰ τὴν προσαρμογὴν καὶ ἕλκυσιν καὶ ἄφεσιν τῶν βελῶν ἐκ τῆς ταχύτητος, καὶ γυμναζόμενον

39. θυμοειδῶς βέλεσιν ἐξέρπουσιν ἐξ ὠτὸς, ὡς ὄφεσιν ἐκ συνη-

---

1. Ὅτε εἶπε, συμφωνήσαντος καὶ τοῦ βασιλέως, « ὅτι ἀναχωρήσει, » εἰ κωλυθήσεται πράξασά τι εὐπρεπὲς, ἢ ἀπρεπές ».

2. Τουτέστι τὰ ἐνώτια, ἃ εἶχεν, ἦσαν στρογγύλα καὶ λαμπρὰ, ὡς ὁ Ἥλιος καὶ ἡ Σελήνη· οἱ δὲ τοῦ ὅρμου μαργαρῖται, ὡς ἀστέρες λευκοί.

3. Ἔχων ἓν πρόσωπον καὶ πέντε ἔτι ἀντιλάμποντα ἐν τοῖς πέντε δακτύλοις τῆς δεξιᾶς χειρὸς, τῆς ἑλκούσης τὴν χορδὴν μέχρι τοῦ ὠτὸς, ἐφαίνετο ἐξαπρόσωπος, ὡς ὁ Σκάνδας, ὃς ἦν καὶ αὐτὸς υἱὸς τῆς Γαγγᾶς· ἕλκων γὰρ τὴν χορδὴν τοῦ τόξου ὁ τοξότης, προσεγγίζει τὴν χεῖρα τῷ ὠτὶ, ὅ ἐστιν ὁ ὅρος τῆς ἑλκύσεως.

ρέφοῦς τόπου [1], καὶ διήκουσι μεχρι τοῦ καταχθονίου κόσμου. Ἐκ δὲ τούτου ἐφαίνετο, ὡς ὁ Ἔρως μόνος γυμνάζεται, ἐπὶ νίκῃ κατὰ τοῦ Σίβα.

40. Διελογίζετο δὴ ταῦτα ἐν ἑαυτῷ αὐτὸς ὁ πεδήσας πολλοὺς ἐχθρούς· « Ἐκτὸς τοιούτων υἱῶν ἡ βασιλεία τῶν » γερόντων καὶ ἡ γῆ δυσβάστακτόν ἐστι φορτίον ».

41. Ἰδὼν δὲ καὶ ὁ παῖς τοῦτον τὸν βασιλέα, κατ' ὄψιν ἐλθόντα, εἰσέδυ εὐθέως εἰς τὸ ὕδωρ τῆς Γαγγᾶς, ὡς ὑδάτιος ἄνθρωπος.

42. Ἀπορῶν δ' ὁ βασιλεὺς ἐνταῦθα, τί ἄρα εἴη τοῦτο, ἔπιε διὰ τῶν ὀφθαλμῶν, ὡς διὰ βομβυλίων, τὸ λωτοειδὲς πρόσωπον γυναικὸς, ἀναφανὲν ἐν τῇ Γαγγᾷ [2].

43. Ἀνέδυσε δ' αὕτη ἡ γυνὴ ἐκ τοῦ ῥείθρου τῆς Γαγγᾶς μετὰ τοῦ παιδὸς ἐκείνου, καθὼς ἡ αὐγὴ τῆς ἡμέρας ἐκ τοῦ ὠκεανοῦ μετὰ τοῦ παιδὸς Ἡλίου.

44. Ἰδὼν δὲ ὁ βασιλεὺς αὐτὸν τὸν παῖδα, ἐχάρη μᾶλλον τοῦ πρότερον μὲν ὄντος δυστυχοῦς, εἶτα δ' εὑρόντος τὸν οὐράνιον ἀδάμαντα, καὶ τοῦ ἀποθανόντος, εἶτα δ' ἀναζωωθέντος, καὶ τοῦ πρώην μὲν ἄπαιδος, εἶτα δὲ τυχόντος παιδός.

45. Ἰδοῦσα δὲ καὶ αὕτη τὸν βασιλέα, ἡ περιῤῥεομένη ὕδασι, καί τοι ἀνέραστος αὐτοῦ, ἔδειξε σημεῖα ἔρωτος, ἅ εἰσι τὰ δάκρυα, ὁ ἱδρὼς, ὁ τρόμος καὶ ἡ φρίκη [3].

46. Κἄπειτα ἔφη ἡ ἐλαφόφθαλμος πρὸς τὸν χαρέντα αὐτῆς

---

1. Ἐπειδὴ ἡ χεὶρ, ἡ ἕλκουσα τὴν χορδὴν τοῦ τόξου, μέχρι τοῦ ὠτὸς ἐκτείνεται, διὰ τοῦτο εἶπε, γυμναζόμενον βέλεσιν ἐξέρπουσιν ἐξ ὠτὸς, ὡς ὄφεσιν ἐκ θάμνων.

2. Εἶδε δηλ. ἡδέως μίαν γυναῖκα.

3. Πάθη τοῦ Ἔρωτος, τὸ δάκρυον, ὁ ἱδρὼς, ὁ τρόμος, ἡ φρίκη, ἡ χαρὰ καὶ ἡ λύπη.

ἄνδρα· « Οὗτος ὁ υἱὸς παρημείψατο τὴν παιδικὴν ἡλι-
» κίαν τῇ μητρικῇ ἐπιμελείᾳ ἐμοῦ.

47. « Οὗτος ὁ υἱός σου ἐδιδάχθη παρὰ μὲν τοῦ Βριχασπατῆ
» καὶ Σούκρα τὰς ἐπιστήμας, παρὰ δὲ τοῦ Παρασσουράμα
» τὰ πολεμικὰ, παρὰ δὲ τοῦ Βασίστα τὰς Βέδας πάσας.

48. « Οὗτος ὀνομάζεται Δεβαβράτας [1], διότι ἔτυχε παρὰ τῶν
» θεῶν τῆς νενομισμένης ἁγιστείας, καὶ Γαγγέγης προ-
» σέτι, διότι ἐγεννήθη ἐξ ἐμοῦ τῆς Γαγγᾶς.

49. « Εἰλήφθωσοι μὲν οὖν οὗτος ὁ ὄγδοος παῖς, εἰδήμων ὢν
» τῶν ἐπιστημῶν, τῶν Βεδῶν, τῆς τοξικῆς, καὶ τῆς βα-
» σιλικῆς διοικήσεως». Ταῦτα εἰποῦσα, ἄφαντος ἐγένετο.

50. Ἀπελθούσης δ' ἐκείνης τῆς γυναικὸς, καὶ ἀφείσης τὸν
υἱὸν αὐτῆς, ὁ βασιλεὺς γέγονε καὶ περιχαρὴς καὶ περί-
λυπος, καθὼς ὁ ἄνθρωπος, ἀφέντος τοῦ Ἡλίου τὴν δευ-
τεραίαν Σελήνην [2] καὶ ἔπειτα δύσαντος.

51. Ἠγλαΐζετο δὲ τότε ὁ βασιλεὺς οὗτος τούτῳ τῷ υἱῷ,
τῷ λίαν εὐτόλμῳ ὄντι καὶ ἀναιρέτῃ τῶν ἐχθρῶν, καθά-
περ ὁ Ἥλιος τῇ ἡμέρᾳ.

52. Θεὶς δ' ἔπειτα ὁ ἄριστος οὗτος βασιλεὺς τὸ βάρος τῆς

---

1. Ἐτυμολογεῖ ἀμφότερα τὰ ὀνόματα ὁ ποιητής. Αὐτὸς ὁ Δεβαβράτας ἐπωνομάσθη ὕστερον Βήσμας, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται.

2. Ἐπειδὴ οἱ Ἰνδοὶ μυθολογοῦσιν, ὅτι ὁ Ἥλιος, (καθὼς ἅπαντες οἱ θεοὶ) τρώγει κατ' ὀλίγον τὴν Σελήνην διὰ τὴν ἣν ἔχει ἀμβροσίαν, ὅτε δηλονότι μειοῦται, καὶ πάλιν ἐμεῖ αὐτὴν καὶ ἀφίησιν, ὅτε δηλονότι αὔξει καὶ πληροῦται, διὰ τοῦτο ὁ ποιητὴς λέγει παραδειγματικῶς ὅτι, καθὼς ὁ ἄνθρωπος καὶ χαίρει καὶ λυπεῖται διότι ἀφίησιν ὁ Ἥλιος τὴν δευτεραίαν Σελήνην καὶ ἔπειτα δύει (τὴν γὰρ δευτέραν ἡμέραν τῆς συλλήψεως αὐτῆς ἡ Σελήνη φαίνεται, ἣν βλέποντες οἱ ἄνθρωποι χαίρουσι, λυποῦνται δὲ, διότι εὐθὺς ἀφανὴς γίνεται ὁ Ἥλιος), οὕτω καὶ ὁ βασιλεὺς οὗτος καὶ ἐχάρη καὶ ἐλυπήθη· ἐχάρη μὲν διότι ἔτυχε τοῦ υἱοῦ· ἐλυπήθη δὲ, διότι ἀπέτυχε τῆς γυναικὸς, ἀφανοῦς γενομένης.

γῆς ἐπὶ τῆς χειρὸς τούτου τοῦ υἱοῦ, ἀνεπαύετο ἡδέως, ὡς ὁ Βισνοῦς, θεὶς τὸ πᾶν τοῦτο ἐπὶ τοῦ ὄφεως Σέσσα.

53. Πάλαι ποτε ὁ ἐγκρατὴς βασιλεὺς τῆς Σέδης, Βασοῦς ὀνόματι, ἐπορεύθη εἰς ἄγραν· ἐνθυμηθεὶς δὲ τὴν γυναῖκα αὐτοῦ, Γερικὰν, οὖσαν ἐν καταμηνίοις, ἔῤῥευσε τὸν γόνον [1].

54. Τῇ δὲ προσταγῇ τοῦ βασιλέως, λαβὼν τὸν γόνον ἐκεῖνον, τεθέντα ἐν φυλλίνῳ δεσμῷ [2], ὄρνις ἱέραξ ἀπέπτη, εἰς τὸ ἐγχειρίσαι αὐτὸν τῇ Γερικᾷ [3].

55. Οὗτος μέντοι γε ὁ φύλλινος δεσμὸς μετὰ τοῦ γόνου ἔπεσεν εἰς τὸ ὕδωρ τῆς Ἰαμουνᾶς ἐκ τοῦ στόματος τοῦ ἱέρακος πολεμοῦντος ἑτέρῳ, νομίζοντι κρέας.

56. Ἁψαρὰ δέ τις, Ἀδικὰ τοὔνομα, ἡ μετεμορφώθη εἰς θήλυν ἰχθὺν ἐκ τῆς ἀρᾶς τοῦ Βραχμᾶ, προσελθοῦσα, κατέπιεν ἐκεῖνον τὸν γόνον, χυθέντα ἐκ τοῦ φυλλίνου δεσμοῦ.

57. Κἄπειτα ἀγρευθεὶς ἐν δυκτύῳ ἁλιεῦσιν ὁ θήλυς ἰχθὺς αὐτὸς, διετμήθη ὑπ' αὐτῶν, ἐν ᾧ εὑρέθη δύω ἔμβρυα, ἄῤῥεν καὶ θήλυ, συλληφθέντα ἐξ ἐκείνου τοῦ γόνου.

58. Λυτρωθεὶς μὲν δὴ οὗτος ὁ θήλυς ἰχθὺς τῆς ἀρᾶς, λαβὼν φύσιν θεᾶς, ἀνῆλθεν εἰς τὸν οὐρανόν [4]· τὰ δὲ δίδυμα ἐκεῖνα βρέφη ἐκομίσθησαν ὑπὸ τῶν ἁλιέων τῷ βασιλεῖ Βασοῦ.

59. Καὶ τὸν μὲν ἄῤῥενα ἔλαβεν ὁ βασιλεὺς, ὃς καὶ ἐκλήθη

---

1. Μετὰ τὰ καταμήνια νόμος ἐστὶ τῷ ἀνδρὶ συμμιγῆναι τῇ ἑαυτοῦ γυναικὶ εἰς τεκνογονίαν· εἰδὲ μὴ, ἀνομία ἐστί.

2. Μέχρι τοῦ νῦν συῤῥάπτοντες φύλλα, κατασκευάζουσι τρυβλία καὶ ἀγγεῖα, ἐν οἷς τιθέασι καὶ βρώματα καὶ ἄλλα εἴδη· τοσοῦτον δ' εὖ συῤῥαμμένα εἰσὶ καὶ συνηρμοσμένα, ὥστε μηδὲ τὸ ἐντεθὲν ὑγρὸν διαχεῖσθαι.

3. Ἔστειλε τὸν γόνον, εἰς τὸ φαγεῖν αὐτόν.

4. Μετεμορφώθη εἰς θεὰν, ὡς ἦν καὶ πρότερον, ἀφ' οὗ ἐπληρώθη ἡ παιδεία τῆς ἀρᾶς.

Ματσὴς [1], καὶ ᾤκισε τὴν χώραν Ματσέαν [2]· τὴν δὲ θήλειαν, ὡς ἰχθύοσμον, ἔδωκε τῷ πρώτῳ τῶν ἁλιέων, ὡς μοῖραν αὐτοῦ.

60. Αὕτη δ' ἡ παῖς, ἡ ὀνομαζομένη καὶ Γανδακαλῆ, καὶ Σατεβατὴ, ἀφίκετο μετὰ καιρὸν εἰς ἀκμὴν ἡλικίας, γεννώσης τὸν Ἔρωτα.

61. Περιερχόμενος δ' ὁ ὅσιος Παρασάρας εἰς προσκύνησιν ἁγίων τόπων, ἦλθεν ἐν μιᾷ τῶν ἡμερῶν ἐπὶ τὴν ὄχθην τῆς Ἰαμουνᾶς [3]· μετὰ συνοδίας πολλῶν ὁσίων.

62. Κεκμηκότος δὲ τοῦ πατρὸς, μόνη αὐτὴ ἡ Σατεβατὴ, διαπορθμεύσασα τοὺς λοιποὺς ὁσίους, ἐπεβάλετο ἔπειτα

63. διαπορθμεῦσαι καὶ τὸν Παρασάραν μόνον, μόνη ἐλαύνουσα τὸ πορθμεῖον. Ταύτην ἐνταῦθα ἰδὼν ὁ ὅσιος, ἐτρώθη τῷ ἔρωτι διὰ τὸ μέλλον ἔσεσθαι [4].

64. Αὕτη γὰρ ἐφάνη τῷ ὁσίῳ ὥς περ μία μαγευτικὴ ἀνα-δενδρὰς, μαστοὺς ἔχουσα ὡς δεσμοὺς ἀνθέων, χεῖρας καὶ πόδας, ὡς τὰ ἀρτιθαλῆ φύλλα [5], καὶ πλοκαμίδα ὡς πληθὺν βομβυλίων [6].

65. Παρακληθεῖσα δ' εἰς μίξιν, ἔφη· «Ὦ Κύριε, ὅ,τε πα-

---

1. Τουτέστιν ἰχθύς· ματσὴ γὰρ λέγεται τῇ Ἰνδικῇ γλώττῃ ὁ ἰχθύς.

2. Τουτέστιν ἰχθυώδη· ἴσως ἔστιν ἡ παράλιος Ἰνδικὴ χώρα τῶν ἰχθυοφάγων, περὶ ὧν ἱστορεῖ ὁ Ἀρριανός.

3. Οὗτος ὁ ποταμὸς συμμίγνυται τῷ Γάγγῃ περὶ τὴν πόλιν Προϊάγαν, τὴν νῦν Ἀλαχαβάδαν. Αὕτη ἡ Ἰαμουνὰ λέγεται νῦν κοινῶς Ζαμουνά.

4. Ἐπειδὴ ἔμελλε γεννήσεσθαι ὁ μέγας Βεάσας.

5. Τὰ ἄκρα τῶν δακτύλων τῶν χειρῶν καὶ τῶν ποδῶν ὑπέρυθρά εἰσι καθὼς καὶ τὰ ἀρτιθαλῆ φύλλα.

6. Οἱ βομβύλιοι μέλανές εἰσι, καθὼς καὶ ἡ κόμη, καὶ τοῖς ἄνθεσι τοῦ δένδρου ἐπιφοιτῶσι.

» τήρμου καὶ οἱ ὅσιοι ἄνδρες καὶ ἄλλοι, ἱστάμενοι παρὰ » τῇ ὄχθῃ, βλέπουσι τὴν φανερὰν μίξιν ἡμῶν.»

66. Τότε ὁ ὅσιος, ὁμίχλην ποιήσας ἐν τῷ ὁρίζοντι, αὐτὴν δὲ τὴν ἰχθύοσμον καταστήσας ὀσμῆς πνέουσαν ἄνθους λωτοῦ, διηκούσης μέχρι ὀκτὼ μιλίων, συνεμίγη αὐτῇ ἐν τῷ πορθμείῳ.

67. Τέτοκε δ' αὖτη αὐτίκα υἱὸν, ἴδρυν πασῶν τῶν Βεδῶν καὶ ἐπιστημῶν, ὃς καὶ Δβαϊπαϊάνας [1] ἐκλήθη, διότι ἐγεννήθη ἐν νησυδρίῳ τῆς Ἰαμουνᾶς [2].

68. Παραγγείλας δὲ τῇ μητρὶ τοῦτο αὐτὸς ὁ σοφὸς, «Μέ» μνήσό μου ἐν δεινοῖς,» ἀπῆλθε παραχρῆμα εἰς ἔρημον ἐπ' ἀσκήσει, καί περ ὢν παῖς.

69. Ἡ δὲ, χάριτι τοῦ ὁσίου Παρασσάρα, καὶ μετὰ τόκον πάλιν παρθένος ἦν· ἡ γὰρ δύναμις τοῦ ἁγίου καὶ θείου ἀνδρὸς ἀκατανόητός ἐστιν, ὡς ἡ ἐπῳδή.

70. Ταύτην τὴν παρθένον, καί περ οὖσαν μητέρα, ἰδὼν ὁ βασιλεὺς Σαντανοῦς ἐν μιᾷ τῶν ἡμερῶν ἐν τῷ καταλύματι τῶν ἁλιέων, ἠτήσατο αὐτὴν παρὰ τοῦ πρώτου τῶν ἁλιέων.

71. Ὁ δ' ἀπεκρίνατο τῷ βασιλεῖ· «Ἐγὼ δώσω σοι ταύτην, εἰ ὁ » ἐξ αὐτῆς γεννηθησόμενος υἱὸς, κληρονόμος τῆς βασιλείας » γενήσεται. »

72. Ἀναπολήσας δ' ὁ βασιλεὺς τὸν υἱὸν αὐτοῦ Δεβαβράταν [3], τὸν ἄξιον ὄντα βασιλείας, κατεφρόνησε τοῦ λόγου ἐκείνου, καὶ ἀναστρέψας ἦλθεν εἰς τὴν ἑαυτοῦ πόλιν.

73. Τιτρωσκόμενος μέντοι τοῖς βέλεσι τοῦ ὑπερήνορος Ἔρωτος, ἀνακυκλῶν ἐν τῷ νοῒ αὐτοῦ τὴν Σατεβατὴν, οὐκ ἠδύνατο ὅλως οὐδ' ὑπνῶσαι.

---

1. Νησυδριογενής. Οὗτός ἐστιν ὁ σοφὸς Βεάσας.
2. ἐτυμολογεῖ τὴν λέξιν ὁ ποιητής.
3. Λέγεται ὁ βοῦς, ὁ πρῶτος ἕλκων τὸν ῥυμόν.

74. Μαθὼν δὲ τοῦτο ὁ υἱὸς τῆς Γαγγᾶς, ὁ Δεβαβράτας, παρὰ τοῦ βουλευτοῦ, καλοκἀγαθος ὢν, ἐξήτησεν αὐτὸς τὴν παρθένον ἐκείνην, χάριν τοῦ ἑαυτοῦ πατρός.

75. Ὁ δὲ πατὴρ αὐτῆς, ὁ πρῶτος τῶν ἁλιέων, τῶν οἰκούντων παρὰ τὸ χεῖλος τῆς Ἰαμουνᾶς, ἔφη αὐτῷ· «Πῶς ἔσεται » ὁ θυγατριδοῦς μου βασιλεὺς, βασιλέως σοῦ ὄντος;»

76. Εἰρηκότος δὲ τοῦ Δεβαβράτα· «Ἐγὼ οὐ περὶ πολλοῦ » ποιοῦμαι τὴν βασιλικὴν δόξαν· αὕτη δ' ἡ ἐπαγγελία » μου ἀληθής ἐστιν,» ὁ τῶν ἁλιέων πρῶτος ἔφη πάλιν·

77. « Σὺ μὲν ἴσως, ἕνεκα τῆς πρὸς τὸν πατέρα εὐλαβείας, οὐ » γενήσῃ ἐραστὴς τῆς βασιλικῆς δόξης· οἱ δὲ σοὶ υἱοὶ » θυμωθέντες, ὡς ἐλέφαντες, ὑπὸ τίνος κωλυθήσονται;

78. Ὁ δὲ γενναῖος υἱὸς τοῦ Σαντανοῦ εἶπε ταῦτα τῷ πρώτῳ τῶν ἁλιέων· « Ἐγὼ μέχρι ζωῆς ὑπισχοῦμαι φυλάξειν » παρθενίαν.»

79. Τούτων οὕτω ῥηθέντων, οἱ θεοὶ βρέχοντες ἄνθη ἐξ οὐρανοῦ, ἐφώνησαν λέγοντες· « Ὢ τῆς φρικτῆς καὶ θαυμαστῆς » γνώμης τούτου!» Ὅθεν καὶ ἐπωνόμασαν αὐτὸν Βήσμαν[1].

80. Ὁμὲν οὖν ἀγαθὸς Βήσμας ἐνεχείρισε, χαίρων, τὴν κόρην τοῦ πρώτου τῶν ἁλιέων τῷ βασιλεῖ πατρί· ὁ δὲ ηὔξατο, εἰπών· « Ὁ θάνατος ἐλθέτω πρὸς σὲ, ὅταν σὺ αὐτὸς αὐτὸν » καλέσῃς.»

81. Ἠγλαΐζετο δ' ὁ βασιλεὺς ταύτῃ τῇ συζευχθείσῃ γυναικὶ, τῇ κεχαριτωμένῃ καὶ προσφιλεῖ, καθὼς ἡ λίμνη ἀγλαΐζεται τῷ ἄνθει λωτῷ.

82. Συνὼν δ' αὐτῇ αὐτὸς ὁ βασιλεὺς, ἐγέννησεν ἐχομένως

---

1. Τουτέστι φρικτὸν καὶ θαυμαστόν· τοῦτο δὲ τὸ ὄνομα ἔσχε μέχρι τέλους ὁ Βήσμας, αὐτὸς ὁ Δεβαβράτας, καὶ διὰ τούτου τοῦ ὀνόματος ἀγλαϊσθήσεται καὶ ὑμνησθήσεται ἐν τοῖς ἑξῆς αὐτὸς ὁ ἡμίθεος καὶ ἥρως, καὶ παρθένος.

δύω υἱοὺς λαμπροὺς, καθὼς ὁ ἀγαθὸς ἀνὴρ, συνὼν ἀσκήσει, γεννᾷ δύω λαμπρὰ τέκνα, τὴν ἀρετὴν καὶ τὴν φήμην.

83. Καὶ ὁ μὲν πρῶτος ὠνομάσθη Σιτραγκάδας, ὁ δὲ ἕτερος Βισιτραβίργης. Διὰ τούτων οὖν τῶν δύο υἱῶν καὶ διὰ τοῦ υἱοῦ τῆς Γαγγᾶς, ὁ βασιλεὺς Τραγητανοῦς ἐγένετο [1].

84. Λυσιτελὲς δὲ ποιήσαντος τοῦ Σαντανοῦ διᾶ τῆς αὐτοῦ εὐμορφίας τὸ ἀκοίμητον τῶν ὀφθαλμῶν τῶν θεαινῶν [2], ἐχρίσθη βασιλεὺς ὁ Σιτραγκάδας ὑπὸ τοῦ Βήσμα, φοβερὸς ὢν τοῖς ἐχθροῖς.

85. Ὑπὸ τούτου οἱ ἄπειροι ἐχθροὶ κατεκάησαν τῇ ὀξείᾳ θερμουργίᾳ, καθὼς τὰ ἄπειρα πάθη ὑπὸ τοῦ ἀσκητοῦ τῇ διακαεῖ σκληραγωγίᾳ.

86. Καταφρονῶν δὲ τῆς συμβουλῆς τοῦ Βήσμα ὁ Σιτραγκάδας ἐκ τῆς μεγάλης ἑαυτοῦ ὑπερηφανίας, πόλεμον μέγαν ἤγειρε κατά τινος Γανδάρβα, ὀνομαζομένου Σιτραγκάδα,

87. μηνιῶν ὅτι ἔχει τὸ αὐτὸ ὄνομα· ἐφονεύθη δὲ αὐτὸς ὁ γενναῖος ὑπὸ τοῦ Γανδάρβα δόλῳ, περὶ τὴν ὄχθην τῆς Χειρανμαγῆς [3], μετὰ τριετῆ πόλεμον.

88. Ὅθεν ὁ υἱὸς τῆς Γαγγᾶς, Βήσμας, βασιλέα ἐποίησε τὸν Βισιτραβίργην, ὃς ἦν κόσμος τῇ σφαίρᾳ τῆς γῆς, καὶ ὄλεθρος τοῖς ἐχθροῖς, ὡς ὁ ἐλέφας [4] τοῖς δένδροις.

89. Τούτου τοῦ βασιλέως ἡ προσταγὴ ὁμοῦ καὶ ἡ φήμη, ἐρί-

---

1. Τραγητανοῦς λέγεται ὁ ἥλιος· ἑρμηνεύεται δὲ Τρίσωμος ἢ Τρίμορφος· διότι ἐν ταῖς τρισὶ Βέδαις ὑμνεῖται καὶ ὁμολογεῖται, ὡς ὀφθαλμοφανὴς Θεὸς, ὕπατος καὶ κολοφών.

2. Ἀποθανόντος δηλ. ἔβλεπον αὐτὸν αἱ θεαὶ ἀσκαρδαμυκτί.

3. Ὄνομα ποταμοῦ.

4. Καθὼς ὁ ἐλέφας διαρρηγνύει τὰ δένδρα τῇ προβοσκίδι καὶ ταῖς ποσίν, οὕτω καὶ οὗτος τοὺς ἐχθροὺς τοῖς ὅπλοις.

ζουσαι ἀλλήλαις, ἀνέβησαν ἐπὶ τὴν κορυφὴν ἁπάντων τῶν βασιλέων καὶ τῶν ὀρέων [1].

90. Χάριν τούτου τοῦ Βισιτραβίργη ὁ Βήσμας ἥρπαξεν ἐκ τῆς ἐπὶ αἱρετῷ γάμῳ συνόδου τοῦ βασιλέως τῆς Κασσῆς τρεῖς κόρας, τὴν Ἀμβὰν, τὴν Ἀμβαλὰν, καὶ τὴν Ἀμβικάν.

91. Ὁρμησάμενοι δ' οἱ ἐπὶ τῆς συνόδου βασιλεῖς περιεκύκλωσαν τὸν Βήσμαν, εἰς τὸ ἀνελεῖν αὐτὸν, ἐντείνοντες τὰ τόξα, καὶ μέγα ἀλαλάζοντες.

92. Ὁ δὲ Βήσμας, κατατροπώσας τοὺς λοιποὺς βασιλεῖς, ὡς ὁ Ἥλιος τοὺς ἀστέρας, κατέβαλε καὶ τὸν βασιλέα Σάλβαν, ὡς ὁ Ἥλιος τὴν Σελήνην [2].

93. Οὕτω μὲν οὖν ὁ μαχητὴς καὶ λαμπρὸς, ὡς ὁ Ἥλιος, Βήσμας, κατατροπώσας τοὺς ἐπιθυμοῦντας λαβεῖν γυναῖκα βασιλεῖς, ἐπανέζευξεν εἰς τὴν οἰκείαν χώραν.

94. Λέγουσα δ' ἡ Ἀμβὰ, «Νύττειμε, ὡς ἦλος ἐν τῇ καρδίᾳ, » ὁ κύριος τῆς καρδίας μου Σάλβας,» ἀπεστάλθη πρὸς ἐκεῖνον παρὰ τοῦ Βήσμα.

95. Διὸ μόνας δύω ὡραίας παρθένους ὁ γενναῖος Βήσμας συνέζευξε τῷ Βισιτραβίργῃ, ὥσπερ Πριτὰν καὶ Ῥατὴν τῷ Καμαδέβα [3].

96. Προσελθούσῃ δὲ τῇ Ἀμβᾷ, ἔφη ὁ Σάλβας· « Ἐγὼ ἐπειδὴ » ἐζημιώθην σὲ, ὡς ἐν κυβείᾳ, ἐν πολέμῳ νικηθείς, διὰ

---

1. Δηλονότι ἅπαντες οἱ βασιλεῖς ὑπεῖκον τῇ προσταγῇ αὐτοῦ καὶ ἐπήνουν αὐτόν. — Παίζει δὲ πρὸς τὴν λέξιν ὁ ποιητής.

2. Πρὸ τῆς ἀνατολῆς τοῦ Ἡλίου οἱ ἀστέρες ἀφανίζονται, ἐν δὲ τῇ ἀνατολῇ ἀφανίζεται καὶ ἡ Σελήνη.

3. Καμαδέβας, ὁ θεὸς Ἔρως. Ἐτυμολογεῖδαι παρὰ τῷ Κάμα, Ἔρως καὶ Δέβα, Θεός. Τούτῳ τῷ Καμαδέβᾳ δύο γυναῖκας ἀποδιδόασι, τὴν Πριτὰν καὶ τὴν Ῥατήν. Πριτά ἐστι, κατὰ σημασίαν, ἀγάπη· Ῥατὴ δὲ, ἐπιθυμία.

» τοῦτο οὐ δέχομαί σε· πορεύθητι πρὸς τὸν νικήσαντα
» Βήσμαν.»

97. Ἀποβληθεῖσα μὲν οὖν καὶ ὑπὸ τοῦ Σάλβα, ταλανίζουσα ἑαυτὴν, ἐπορεύθη πάλιν πρὸς τὸν Βήσμαν, ἐφιεμένη γενέσθαι γυνὴ τῷ Βισιτραβίργῃ, ὡς αἱ ἀδελφαὶ αὐτῆς,

98. Ἀλλ' ἀπεδιώχθη ὑπ' αὐτοῦ λέγοντος· « Ὡς ἡ ἐρῶσα ἄλ-
» λου, οὐκ ἔστιν ἀξία οὐδὲ λόγου [1]· ἡ γὰρ γυνὴ, καὶ λίαν
» ἐρῶσα, ἀξία ἀμφιβάλλεσθαι παρὰ τοῖς φρονίμοις. »

99. Τότε ἡ Ἀμβὰ οὔτε πρόσω οὔτε ὀπίσω ἠδύνατο πορευθῆναι, ἀπορροῦσα καὶ τὴν καρδίαν καιομένη· καὶ ἦν οὕτως, ὡς ἡ ὀπώρα ἡ Βαδαρὰ ἐν τῷ ῥάμφει τοῦ στρουθοῦ [2].

100. Τύχῃ κακῇ ἀμφοτέρωθεν ἐκπεπτωκυῖα, μετὰ πόνου ἐπορεύθη εἰς τὴν ἔρημον, καὶ ἀναγγείλασα πάντα τὰ καθ' ἑαυτὴν πρὸς τοὺς ἐκεῖ μοναστὰς, ἐζήτει μοναστικὸν σχῆμα ἀναδέξασθαι.

101. Ἐνταῦθα ἐτύγχανεν ὢν ὁ ὅσιος βασιλεὺς Χοτραβαχάνας, ὁ προμήτωρ αὐτῆς, ὃς ἀκούσας τῶν κατ' αὐτὴν, οἶκτον λαβὼν ἔφη·

102. « Κατάφυγε, ὦ θύγατερ, πρὸς τὸν Παρασσουράμαν, τὸν
» ἐν τῷ ὄρει Μαχένδρα [3]· ἐκείνου γὰρ τῷ λόγῳ δέξεταί
» σε ὁ Βήσμας, μαθητὴς ὢν αὐτοῦ. »

103. Μεταξὺ δὲ λέγοντος τούτου ταῦτα, ἐλήλυθε κατὰ συγκυρίαν ὁ μαθητὴς τοῦ Παρασσουράμα, Ἀκριταβράνας τοὔνομα, ὃς μαθὼν τὰ περὶ τὴν κόρην, ἔφη·

104. « Ἀλλ' ὁ Παρασσουράμας αὐτὸς αὔριον πρωῒ ἀφίζεται εἰς
» τουτὶ τὸ ἀσκητικὸν ἄλσος. » Μαθοῦσα δ' αὖτη τὴν τοῦ Παρασσουράμα ἄφιξιν, ἔμεινεν ἔνθα ἦν, ἀναμένουσα αὐτόν.

---

1. Οὐκ ἔστιν ἀξία οὐδὲ συλλαλεῖν.
2. Ὃς οὔτε ἀποῤῥίπτει, οὔτε καταπιεῖν δύναται.
3. Τοῦτο τὸ ὄρος κεῖται κατὰ τὸ νότιον μέρος τῆς Ἰνδίας.

105. Τοῦ δὲ Παρασσουράμα, ὃς ὑπὸ τῶν ὁσίων ἐτιμᾶτο, καὶ φιλοικτίρμων ἦν, ἐλθόντος περὶ τὴν ἕω, προσελθοῦσα αὐτῷ ἡ βασιλικὴ αὕτη κόρη, διηγήσατο τὰ καθ' αὑτήν.

106. Ὁ δὲ, ἀκούσας τῶν περὶ αὐτὴν, εἶπε τάδε· « Ὦ ἀγαθή, » ὁ ἐμὸς μαθητὴς Βήσμας δέξεταί σε, ὑπείκων τῷ ἐμῷ » λόγῳ.

107. « Ἐγὼ γὰρ αὐτὸς ἴεμαι εἰς τὴν τοῦ Κουροῦ γῆν, πρὸς » πλήρωσιν τῆς σῆς ἐφέσεως. » Οὕτως εἰπὼν, συμπαραλαβὼν αὐτὴν, ἀπῆει εἰς τὴν γῆν τοῦ Κουροῦ.

108. Ὁ μὲν δὴ Παρασσουράμας, ἐλθὼν εἰς τὴν γῆν τοῦ Κουροῦ, καὶ προσκυνηθεὶς ὑπὸ τοῦ Βήσμα, ἀνήγγειλεν αὐτῷ διὰ πολλῶν λόγων περὶ τοῦ γάμου τῆς Ἀμβᾶς· ἀλλ' οὐκ εἰσηκούσθη.

109. Ἀγανακτήσας δ' ὁ Παρασσουράμας, ἀνέβη ἐπὶ τὸ ἅρμα, θάνατον μελετῶν· ἀλλὰ καὶ ὁ Βήσμας καθωπλίσθη εἰς θάνατον αὐτοῦ, ὄντος διδασκάλου, διότι ἐφάνη θανάσιμος ἐχθρός [1].

110. Καίτοι δ' ἤκουσε παρὰ τῆς Γαγγᾶς· « Μὴ ποίει, ὦ τέ- » κνον, πόλεμον κατὰ τοῦ Παρασσουράμα, τοῦ ὀλέτορος » τῶν Ξατρῶν, » οὐκ ἐφοβήθη ὅμως, οὐδ' ἠξίωσε φυγεῖν τὸν πόλεμον.

111. Ἅρμφω τοίνυν τούτω, τὸν μὲν κόσμον φόβῳ ταράττοντε, τὸν δὲ Ναράδαν εὐφραίνοντε, τὸν δ' οὐρανὸν βέλεσιν ἀγλαΐζοντε, ἐμαχέσθην θυμῷ.

112. Τρωθεὶς δ' ὁ Βήσμας τοῖς βέλεσι τοῦ Παρασσουράμα, ἐλειποθύμησεν· ἀναπνεύσας μέντοι καὶ ἀναλαβὼν, τῇ βοηθείᾳ τῆς μητρὸς Γαγγᾶς καὶ τῶν ἑπτὰ ἀδελφῶν αὐτοῦ, τῶν Βασαβῶν, πάλιν ἐμάχετο.

113. Οὕτω θυμῷ μεγάλῳ τούτω ἐμαχέσθην τρισὶ πρὸς ταῖς

---

1. Ὁ ἐχθρὸς ὅστις ἔρχεται ξιφήρης, αὐτολεξεί.

εἴκοσιν ἡμέραις· παρασκευασμένω δὲ τὴν Βραχμάστραν, ἐκωλυθήτην ὑπὸ τῶν εὐφρόνων θεῶν.

114. Ἀπελπισθεῖσα δ' ἡ Ἀμβὰ, τοῦ Παρασσουράμα μηδὲν κατορθώσαντος, ἀπῆλθεν εἰς τὴν ἔρημον, ἀσκησομένη ἄσκησιν, ἐπὶ σκοπῷ τοῦ θανατῶσαι τὸν Βήσμαν.

115. Ἐλθοῦσα μὲν αὕτη ἡ λωτόφθαλμος εἰς τὴν ὄχθην τῆς Καλινδῆς [1], ἠσκεῖτο θυμῷ ἄσκησιν σκληρὰν ἔτη δώδεκα.

116. Παραστάντος δὲ τοῦ Σίβα καὶ εἰπόντος, « Αὕτη ἡ ἔφε- » σίς σου ἐν τῇ δευτέρᾳ γεννήσει πληρωθήσεται [2] », κἄ- πειτα ἀφανοῦς γενομένου, εἰσέδυ αὕτη εἰς τὸ πῦρ.

117. Πληρώσαντος δὲ τοῦ Σίβα τὴν εὐχὴν τῷ Δρουπάδᾳ, ἐν ἀσκήσει ζῶντι ἐπὶ κτήσει υἱοῦ, εἰπόντος· « Ἡ Θή- » λειά σου παῖς ἔστω ἄῤῥην παῖς », αὕτη ἡ Ἀμβὰ ἐγένετο αὐτῷ θυγάτηρ [3].

118. Καλουμένη δ' αὕτη υἱὸς παρὰ τοῦ πατρὸς, καὶ ἀνδρικὴν στολὴν ἔχουσα, συνεζεύχθη μετὰ ταῦτα τῇ θυγατρὶ τοῦ Χιρανεβαρμᾶνος, βασιλέως τῆς Δασσάρνας χώρας.

119. Γνόντος δὲ μετὰ καιρὸν τοῦ βασιλέως τῆς Δασσάρνας ταύτην τὴν ἀπάτην, διαφερομένου καὶ διαμαχομένου [4], καὶ τῶν γεννητόρων λυπουμένων, ἀνεχώρησεν αὕτη εἰς ἔρη- μον, θανάτου ἐφιεμένη.

120. Ταύτῃ ταλαιπωρουμένῃ, ὥστε θανεῖν, ἔδωκεν εὐσπλαγ- χνίαν τὴν ἑαυτοῦ ἀρσενικὴν φύσιν, ἕως οὗ καταπαύσῃ ἡ

---

1. Καλινδὴ λέγεται ἡ Ἰαμουνά.

2. Ἡ ἔφεσις αὐτῆς ἦν τὸ θανατῶσαι τὸν Βήσμαν, τὸν ἐχθρόν· διὰ τοῦτο ἐποίει καὶ ἄσκησιν, ὡς ἔφη ἀνωτέρω.

3. Κατακαεῖσα ἡ Ἀμβὰ, ἐγεννήθη πάλιν θυγάτηρ τοῦ βασιλέως Δρου- πάδα.

4. Πόλεμον ἤγειρε κατὰ τοῦ Δρουπάδα ὁ Χιρανεβαρμὰν, διὰ τὴν ἀπάτην καὶ φενάκην.

διαφορὰ καὶ ἡ μάχη, εἷς Ἰάξας, Στούνας τοὔνομα, οἰκῶν ἐν ἐκείνῃ τῇ ἐρήμῳ.

121. Ἡ δὲ πορευθεῖσα, ἐγνώρισε τοῦτο τοῖς γεννήτορσιν αὐτῆς· ὅθεν ἀφεὶς τὸ διαμάχεσθαι ὁ Χιρανεβαρμὰν [1], ἀπῆλθεν οἴκαδε.

122. Ἀναδεξάμενος μὲν οὖν αὐτὸς ὁ Στούνας τὴν θηλυκὴν φύσιν ἐκείνης, εἰσέδυ εἰς τὸ ἐνδότερον τοῦ οἴκου καὶ, ἐλθόντος τοῦ Κουβέρα [2], οὐκ ἐξῆλθεν εἰς ὑπάντησιν ἐξ αἰσχύνης.

123. Ἐπιγνοὺς δ' ὁ Κουβέρας τὴν φύσιν αὐτοῦ, ὀργισθεὶς λίαν, κατηράσατο αὐτοῦ, εἰπών· « Σὺ μὲν ἔσο γυνὴ, ἐκεί-» νη δ' ἀνὴρ μέχρι ζωῆς. »

124. Ὁ δὲ Ἰάξας ἐπαναλαβεῖν οὐκ ἠδύνατο τὴν ἀρσενικὴν φύσιν, ἀποδιδομένην παρ' ἐκείνης· ὅθεν καὶ ἔμεινεν ἐκείνη ἄῤῥην, Σικανδὴς τοὔνομα [3], ἐπὶ τῷ ἀνελεῖν τὸν Βήσμαν.

125. Φοβεροῦ δ' ὄντος τοῦ Βήσμα εἰς ἀναίρεσιν τῶν ἐχθρῶν, καὶ κατακαίοντος αὐτοὺς δίκην θερμοῦ Ἡλίου, ὁ βασιλεὺς Βισιτραβέργης ἐτρύφα ἡδέως σὺν ἐκείναις ταῖς γυναιξί [4].

126. Θηλυμανὴς δ' ὢν ὁ βασιλεὺς οὗτος, φθίσει περιπεσὼν, ἀνῆλθεν εἰς τὸν οὐρανὸν [5], ὀψόμενος τὰς περὶ τὴν Ῥαμβὰν [6] ἀγλαὰς νύμφας.

127. Ὁ δὲ υἱὸς τῆς Γαγγᾶς Βήσμας, συμβουλευθεὶς ὑπό τε

---

1. Χρυσοθώραξ.
2. Οἱ Ἰάξαι ἀκόλουθοί εἰσι τοῦ Κουβέρα, ὅς ἐστι θεὸς τοῦ πλούτου.
3. Ὑπὸ τούτου τοῦ Σικανδῆ ἀνῃρέθη ὁ Βήσμας ἐν πολέμῳ.
4. Σὺν τῇ Ἀμβαλᾷ καὶ Ἀμβικᾷ.
5. Ἀπέθανε δηλ.
6. Ἡ Ῥαμβά ἐστιν ἡ κορωνὶς καὶ ἡ κολοφὼν τῶν Ἀψαρῶν, τῶν Νηρηίδων.

τῶν βουλευτῶν καὶ τῆς Σατεβατῆς, οὐκ ἤθελεν οὔτε βασιλείαν, οὔτε γυναῖκα, φοβούμενος τὴν ἀναίρεσιν τῆς ὑποσχέσεως αὐτοῦ.

128. Προὔτεινε δὲ τῇ Σατεβατῇ τοῦτο τὸ ῥητὸν τῆς Βέδας· « Τὸ γένος διαφυλάττεται ἐκ τοῦ γόνου τῶν συγγενῶν, ἢ » τῶν Βραχμάνων. »

129. Κρίνασα τοίνυν αὐτὴ τὸν υἱὸν αὐτῆς Βραχμᾶνα, τὸν Βεάσαν, ἄξιον τοῦ ἔργου τούτου, ὅτε ἐνεθυμήθη αὐτὸν [1], τότε εὐθὺς αὐτὸς παρέστη.

130. Ταῖς δὲ ταπεινοῖς ῥήμασι τῆς μητρὸς καὶ ταῖς προτροπαῖς τοῦ Βήσμα, ἀνεδέξατο τοῦτο τὸ ἔργον αὐτὸς ὁ φύσει προσηνὴς καὶ καλοκάγαθος.

131. Καὶ συνεμίγη τῇ βασιλίσσῃ Ἀμβικᾷ, συζύγῳ τοῦ βασιλέως Βισιτραβίργῃ, ἡ φοβηθεῖσα ὑπέκλεισε τοὺς ὀφθαλμοὺς αὐτῆς ἐν τῇ συνουσίᾳ, διότι ἦν κακῶς ἐσταλμένος ὁ Βεάσας [2].

132. Εἰπὼν δ' ὁ Βεάσας « ὡς ὁ υἱὸς αὐτῆς ἀόμματος ἔσται », πάλιν ὑπείκων τῷ λόγῳ τῆς μητρὸς συνεμίγη τῇ δευτέρᾳ γυναικί, τῇ Ἀμβαλᾷ, ἡ φοβηθεῖσα ὠχρὰ ἐγένετο ἐν συνουσίᾳ.

133. Καὶ εἶπε πρὸς τὴν ἑαυτοῦ μητέρα ὁ ὅσιος Βεάσας· « Ὁ » υἱὸς ταύτης ὠχρὸς ἔσται. » Ἡ μὲν οὖν Ἀμβικὰ μετὰ ταῦτα ἔτεκεν υἱὸν ἀόμματον, ὃς καὶ ὠνομάσθη Δρυταράστρας.

134. Ἡ δὲ Ἀμβαλὰ ἔτεκεν υἱὸν ὠχρὸν τὸ σῶμα, ὃς καὶ ὠνομάσθη Πανδοῦς [3]. Παρεκλήθη δ' ὁ Βεάσας πάλιν ὑπὸ τῆς μητρὸς εἰς τὸ συνεῖναι τῇ Ἀμβικᾷ.

---

1. Καὶ γὰρ οὕτω παρήγγειλεν αὐτῇ ὁ Βεάσας, ὅτε ἀνεχώρησεν εἰς ἔρημον, ὡς προείρηται, « Μέμνησό μου ἐν δεινοῖς. »

2. Ἐφοβήθη τὸ ἀσκητικὸν καὶ πενιχρὸν σχῆμα τοῦ Βεάσα.

3. Ὅ ἐστιν Ὠχρός.

135. Φοβηθεῖσα δ' ἡ Ἀμβικὰ, ἔθετο ἐπὶ κλίνης τὴν ἑαυτῆς δούλην, ᾗ χαιρούσῃ, συνεγένετο ὁ Βεάσας· ἐγέννησε δ' ἡ δούλη υἱὸν, ὃς ὠνομάσθη Βιδούρας[1], διότι εἰδήμων ἦν τῶν τοῦ νόμου.

136. Εἰπὼν δ' ὁ Βεάσας, « ὡς ὁ υἱὸς αὐτῆς Βιδούρας κληθή-» σεται, εἰδήμων ὢν τῶν τοῦ νόμου, ὅς ἐστιν αὐτὸς ὁ » Δάρμας[2], τυχὼν γεννήσεως ἐκ δούλης, ἐκ τῆς ἀρᾶς τοῦ » Ἀνιμανδαβέα », ἀνεχώρησεν.

137. Ὁ μὲν οὖν Δρυταράστρας λίαν ἔμφρων ἦν, καὶ δύναμιν εἶχε σωματικὴν δεκακισχιλίων ἐλεφάντων· ὁ δὲ Βιδούρας ἀναιρέτης πάσης ἀπορίας πασῶν τῶν ἐπιστημῶν.

138. Βασιλεὺς δ' ἐγένετο ὁ Πανδοῦς, ὃς ἦν λίαν ὀξύθυμος, καὶ ἐξήρανε τὴν φήμην τῶν ἐχθρῶν, καθὼς ὁ Ἀγαστέας τὴν θάλασσαν.

139. Τούτου τοῦ Πανδοῦ ἡ δίκην Σελήνης λαμπρὰ φήμη τίνος γλώττῃ ὑμνηθείη ἂν, δι' ἧς καὶ ἡ νὺξ τοῦ Βραχμᾶ[3] πάντως λαμπρὰ γένοιτ' ἄν;

140. Καὶ τῷ μὲν Δρυταράστρᾳ συνεζεύχθη ἡ θυγάτηρ τοῦ Σουβαλᾶ, Γανδαρὴ τοὔνομα, ἀρίστη οὖσα, καὶ ἀρίστους καὶ γενναίους τεκοῦσα ἑκατὸν υἱοὺς ἐκ τῆς πρὸς τὸν Σίβαν θεραπείας.

141. Ὁ δὲ πρὸς πατρὸς πάππος τοῦ Κρισνᾶ, Σούρας, ἔδωκε τὴν Πριττὰν, τὴν πρώτην ἑαυτοῦ θυγατέρα, ὡς θετὴν τῷ Κουντιβόζᾳ, υἱῷ τῆς ἀδελφῆς τοῦ πατρός.

---

1. Ἐτυμολογεῖ τὴν λέξιν ὁ ποιητής, Βιδούρας γὰρ λέγεται ὁ Εἰδήμων.

2. Δάρμας λέγεται ὁ Νόμος καὶ ὁ Θεὸς τοῦ ᾅδου, καὶ κριτὴς τῶν ἐν ᾅδου.

3. Τουτέστι καὶ μετὰ τὴν συντελείαν τοῦ αἰῶνος ἔσεται, ἢ γίνεται ὅτε ὁ Βραχμᾶς κοιμᾶται.

142. Ταύτῃ τῇ Πριτᾷ ἐδόθη ἡδέως παρὰ τοῦ ὁσίου Δουρβάσα [1], ἡσθέντος ἐπὶ τῇ πρὸς αὐτὸν θεραπείᾳ, μία ἐπῳδή, δότειρα υἱοῦ, διὰ τῆς ἐπικλήσεως καὶ συνουσίας Θεοῦ τινος.

143. Ἡ τοίνυν παρθένος, εἰς πίστιν τῆς ἐπῳδῆς, καλέσασα τὸν Ἥλιον, ἐγέννησεν ἐξ ἐκείνου υἱὸν, καὶ ἦν πάλιν παρθένος τῇ ἐκείνου χάριτι.

144. Τοῦτον τὸν υἱὸν [2], ὃς ἐγεννήθη σὺν ἐνωτίοις θείοις, καὶ θώρακος, ὃς ἦν ἀδιάῤῥηκτος, ὡς ἀδάμας, τεθέντα ἐν λάρνακι, ἀφῆκεν εἰς τὸ ὕδωρ τῆς Ἀσβαναδῆς, ἐξ αἰσχύνης τῶν οἰκείων.

145. Λύπην δ' ἔχουσα διὰ τοῦτο [3] τὸ κρύφιον ἔργον, συνεζεύχθη αὖτη ἡ παρθένος, ἐν τῇ ἐπὶ αἱρετῷ γάμῳ συνόδῳ, τῷ βασιλεῖ Πανδοῦ.

146. Ἔγημε δὲ καὶ ἑτέραν ὁ βασιλεὺς Πανδοῦς, Μαδρὴν τοὔνομα, καθὼς ὁ βασιλεὺς τῶν ὀρέων Ἰμαὸς τὴν Μενακὰν, ἐξάκουστον οὖσαν ἐν ἀνεικάστῳ ἀγλαΐᾳ.

147. Ἐλαμπρύνετο δ' ὁ βασιλεὺς ταύταις, καθὼς ἡ δίστομος ῥομφαία ταῖς δύο ἀκωκαῖς, καὶ ἦν χαίρων, ὥσπερ ἐν ἀδιαλείπτῳ χορῷ Λαξμῆς [4] χορευούσης.

148. Ὁ δὲ Βιδούρας, γήμας τὴν θυγατέρα τοῦ βασιλέως Δεβάλα, τὴν ὀνομαστὴν Παρασαβὴν, ἧς καὶ ἦρα σφόδρα, ἐγέννησεν υἱοὺς πολλούς.

---

1. Ὁ Δουρβάσας ἦν ἐρημίτης, ὃς ἐλθὼν κατέλυσεν ἐν τῷ οἴκῳ τοῦ Κουντιβόζα ἐν ὥρᾳ τῶν ὄμβρων· ἐπειδὴ δὲ ἡ κόρη αὕτη, ἡ Πριτὰ, θεραπείαν ἐποίησε τῷ Δουρβάσᾳ, διδοῦσα αὐτῷ τὰ πρὸς τροφὴν, διὰ τοῦτο ὁ Δουρβάσας ἔδωκεν ἀμοιβαίως αὐτῇ ταύτην τὴν ἐπῳδήν.

2. Οὗτός ἐστιν ὁ Καρνᾶς, ὁ ἀήττητος ἥρως.

3. Λύπην εἶχε, διοτι ἔῤῥιψε τὸ βρέφος εἰς τὸν ποταμὸν κρυφίως.

4. Ἐν ἀδιαλείπτῳ δηλ. δόξῃ.

149. Καί ποτε ὁ βασιλεὺς Πανδοῦς, ὁ ὢν διάπυρος, ὡς τὸ ἐν ὕλῃ πῦρ, συνεκάλεσε τοὺς στρατιώτας αὐτοῦ εἰς τὸ θηρεῦσαι.

150. Οἱ δὲ στρατιῶται, τοξοφόροι, καὶ μελανοφόροι, καὶ μέλασιν ἵπποις ὠκυθόοις, δίκην ἀέρος, ἐποχούμενοι, συνῆλθον περὶ τὸν βασιλέα.

151. Λίαν δὲ πρόθυμοι ὄντες εἰς θήραν, ἐπορεύοντο, μέλαν διαυγάζοντες, ὥσπερ ἐνειλημένοι τοῖς ἀμπλακήμασι τοῖς ἐκ τῆς μελετωμένης ζωοκτονίας [1].

152. Πᾶν δέτι εἶδος ζώου ἐν τῇ ὕλῃ, ἀκοῦσαν τοῦ πολλοῦ χρεμετισμοῦ τῶν ἵππων αὐτῶν τῶν ἡρώων, διεταράχθη.

153. Καὶ ἄλλα μὲν τῶν ζώων φεύγοντα ἦσαν καὶ φοβούμενα, ἄλλα δὲ θυμούμενα καὶ ἀμυνόμενα. Τοῖς δὲ λέουσιν, οὔτε φόβος ἐγένετο, οὔτε θυμός.

154. Ῥίψας τις τὸ δόρυ καὶ ἀποτυχών, τοῖς ὀδοῦσι διεμάχετο πρὸς σύαγρον ἐξ ἴσου, ὃς διέῤῥηξε τὴν κοιλίαν τοῦ ἵππου τῷ ὀδόντι.

155. Ἄλλος ὁρμήσας ῥιψοκινδύνως κατὰ πρόσωπον λέοντος, ἀφείλετο καὶ τὸ πνεῦμα αὐτοῦ καὶ τὸ κλέος, καὶ ἔλαβε κρότον μέγαν.

156. Ἄλλος δὲ ἰδὼν λέοντα ἐπερχόμενον μετὰ θυμοῦ, μηδαμῶς παραχωρήσας, ἀλλ' ἀντωπήσας, ἐκράτησε διὰ τῶν χειρῶν ἐκ τῶν χειλέων, καὶ διέσχισεν αὐτόν.

157. Εἷς δέ τις πάνυ ἀνδρεῖος καὶ τολμηρὸς, διαφυγὼν τὸ στόμα τοῦ λέοντος, ἀναβὰς εἰς τὰ νῶτα αὐτοῦ, ἐπηνεῖτο μεγάλως.

158. Ἕτερος δέ τις ἄγαν γενναῖος, συμπλεκόμενος λέοντι, ἠγκαλίσατο τὴν λεπτὴν ὀσφὺν αὐτοῦ, ὡσπερεὶ τῆς οἰκείας γυναικός.

---

1. Πᾶν κακὸν μέλαν· μέλαινα δὲ καὶ ἡ ζωοκτονία, ὡς κακόν.

159. Ἄλλος εὐστόχως ἐστοχάσατο λέοντος πυξ περὶ τὴν ὀσφύν· ὁ δ' εὐθέως ἐκτάδην ἔκειτο, ὥσπερ ἐκ λίθου πεποιημένος [1].

160. Ἄλλος δὲ ἔπληξε στιβαρᾷ χειρὶ λέοντα πόρρωθεν ἐφορμώμενον, ὃς καὶ πέπτωκε παραχρῆμα σκοτοδινήσας.

161. Ἐγὼ νομίζω ὡς, τῶν λεοντοκαρδίων τούτων λεοντοκτόνων γινομένων, ἡ ὀρειογενὴς Παρβατὴ ἀνεχώρησεν ἐπὶ τὸ ὄρος Καλαϊλάσαν, εἰς διατήρησιν τοῦ ἰδίου λέοντος.

162. Διαταραττομένων τὴν καρδίαν τῶν λεόντων ἐκ τῶν ὅπλων καὶ ἐκ τῆς ῥώμης τῶν ἡρώων τοῦ στρατοῦ, καὶ φευγόντων σὺν τοῖς λοιποῖς ζώοις, ἐφάνη τότε, ὡς ἡγεμόνες εἰσὶ τῶν ζώων.

163. Οὐκ ἔστι τοῦτο παράδοξον, ὅτι οἱ λέοντες κατεβλήθησαν ὑπὸ στρατιᾶς βαλλούσης βέλη ἀλλεπάλληλα [2].

164. Ἐν ἐκείνῳ τῷ καιρῷ τῆς φθορᾶς τῶν ἐλάφων, τῶν χοίρων, καὶ τῶν λεόντων, τεθὲν ζώπυρον αὐτῶν ὑπὸ τοῦ Βραχμᾶ, διεφυλάχθη ἐν τῇ Σελήνῃ, ἐν τῇ Πατάλᾳ, καὶ ἐν τῇ Παρβατῇ.

165. Ὥσπερ βροχὴ δ' ἀνθέων ἐγένετο ὑπεράνω τῶν ἡρώων ἐκ τῶν μαργαριτῶν, οἳ ἐξέῤῥεον ἐκ τῆς κοιλίας τῶν ἀναῤῥιπτομένων λεόντων τῇ πληγῇ τῆς μαχαίρας, καταβρωθέντων τέως σὺν τῇ κεφαλῇ τοῦ ἐλέφαντος [3].

166. Καὶ αὐτῷ δὲ τῷ Φόβῳ, οἶμαι, παραγενομένῳ ἐνταῦθα, φόβος ἐγένετο, λεόντων βρυχωμένων, καὶ στρατιωτῶν ἐπαλαλαζόντων καὶ ἀλλήλοις παρακελευόντων.

---

1. Ἄψυχος δηλονότι.

2. Τὸ πρωτότυπον πάνυ χαριέν ἐστιν, ἐπειδὴ ὁ ποιητὴς παίζει πρὸς τὴν λέξιν.

3. Μυθολογοῦσιν, ὡς ἐκλεκτοὶ μαργαρῖταί εἰσιν ἐν τῇ κεφαλῇ τοῦ ἐλέφαντος· ἐπὶ δὲ τῆς κορυφῆς τοῦ ὄφεως ἀδάμαντες.

167. Τότε καὶ ὁ ἐν τῇ Πατάλᾳ κόσμος τοξοφόρος πως ἐγένετο, κρατήσας σφοδρῶς τὸν Σέσσαν εἰς τὸ ἐρεῖσαι αὐτὸν, κυρτωθέντα ἐκ τῆς κυρτωθείσης γῆς τῷ βάρει τῶν ἡρώων.

168. Ὅλιον ἐγένετο ὑπὸ τῶν λεόντων, διασπειράντων τοὺς μαργαρίτας, τοὺς ἐν ταῖς κάραις τῶν ἐλεφάντων, τούτου τὸν καρπὸν, ὅς ἐστιν ὁ ἔπαινος, ἐδρέποντο ἀφθόνως οἱ στρατιῶται τοῖς ξίφεσιν, ὡς δρεπάνοις.

169. Ἔγωγ' οἶομαι, ὡς ἐν ἐκείνῳ τῷ μετὰ θηρίων πολέμῳ καὶ αὐτὸς ὁ ἐν Πατάλᾳ χοῖρος ἔτρεμεν ἐκ φόβου· πῶς γὰρ ἂν ἄλλως ἡ γῆ ἐσείετο;

170. Ἐπὶ δὲ τῶν κορυφῶν τῶν λεοντοκτόνων ἄνθη ἐξ οὐρανοῦ ἔπιπτον βροχηδὸν, ὥσπερ ἰδρῶτες ἀπὸ τῆς Σελήνης, θλιβομένης ἐν τῷ κρατεῖν τὴν ἔλαφον, φοβουμένην, καὶ φεύγειν θέλουσαν.

171. Νικήσαντες μὲν οὖν οἱ στρατιῶται, ἐξήεσαν βοῶντες καὶ χαίροντες καὶ χαίρειν ποιοῦντες τὸν βασιλέα τοῖς ἀλλήλων ἐπαίνοις.

172. Παυσάσης δ' ἐκείνης τῆς θήρας, οὐδὲν τῶν ζώων προσήει τῷ λέοντι καὶ τεθνεῶτι· ἡ μὲν γὰρ ἔλαφος ζῶσα καὶ ἔλαφός ἐστιν [1]· ὁ δὲ λέων, καὶ τεθνεὼς, λέων ἐστίν [2].

173. Εἰωθὼς δ' ὁ βασιλεὺς τοιαύτην θεωρίαν καὶ διατριβὴν ποιεῖν, οὐκ ἦν ἡμέρα καθ' ἣν οὐκ ἐποίει τὸ ἔργον τῆς θήρας.

174. Καίποτε ὁ ὅσιος Κιμμάδας, συνὼν τῇ γυναικὶ αὐτοῦ ἐν τῷ ἄλσει, αἰσχυνθεὶς ἐπὶ τῇ παρουσίᾳ τοῦ βασιλέως Πανδοῦ, μεταμορφωθεὶς εἰς ἔλαφον, διεπάρη ὑπ' αὐτοῦ βέλεσιν.

175. Ὁ δὲ βασιλεὺς ἐθλίβη λίαν διά τε τὴν ἁμαρτίαν αὐτὴν,

---

1. Τουτέστιν δειλή.
2. Τουτέστι φοβερός.

καὶ διὰ τὴν ἀρὰν, τὴν δοθεῖσαν παρὰ τοῦ ὁσίου τούτου οὕτως· «Ἔστω καὶ σοὶ θάνατος ἐκ τῆς μετὰ γυναικὸς » συνουσίας.»

176. Μετανοῶν δ' ὁ βασιλεὺς ἀφῆκε τὸ βάρος τῆς βασιλείας ἐν τῇ χειρὶ τοῦ Βήμα· καὶ συμπαραλαβὼν ἀμφοτέρας τὰς γυναῖκας ἐπορεύθη εἰς τὸ ἄλσος, κατὰ τὸ ὄρος Γανδαμάδανον, τὸ ἐν τῷ Ἰμαῷ.

177. Ἔνθα ἔμενε κατὰ τὸ ἑκατοντακόρυφον ἐκεῖνο ὄρος μετὰ μεγάλων ὁσίων, ποιῶν ἄσκησιν καὶ καταβρεχόμενος τὴν καρδίαν τῇ αὐταρκείᾳ, ὡς ἀμβροσίᾳ.

178. Ἡ δὲ καθαρὰ καὶ σώφρων Κουντὴ [1], προτρεπομένη ὑπὸ τοῦ Πανδοῦ, καλέσασα τὸν Δάρμαν διὰ τῆς ἐπῳδῆς τῆς δοθείσης παρὰ τοῦ Δουρβάσα, ἐγέννησεν υἱὸν ἐξ αὐτοῦ.

179. Τούτου δὲ γεννηθέντος, φωνὴ ἐξάπινα ἐγένετο ἐξ οὐρανοῦ λέγουσα· «Οὗτος βασιλεὺς ἔσεται, Ἰνδιστίρας τοὔνομα, » αὐτὸς ὢν ὁ Δάρμας.»

180. Μαθοῦσα δ' ἡ Γανδαρὴ τοιαύτην αὐτῆς γέννησιν, ἣν θρηνῳδοῦσα· πλήττουσα δὲ τὴν γαστέρα αὐτῆς ἐξέτρωσεν ἀτελές τι ὑμενῶδες [2].

181. Τῇ δὲ συμβουλῇ τοῦ Βεάσα ἡ βασίλισσα ἀνεζώωσε τὰ ἔμβρυα, ἐκβληθέντα ἐκ τοῦ ὑμένος ἓν καθ' ἕν, ἃ ἦσαν λεπτὰ, ἑκατὸν ἄῤῥενα καὶ ἓν θήλυ, θεῖσα αὐτὰ ἐν πίθοις βουτύρου.

182. Μετὰ δὲ ἐγεννήθη ἐκ τοῦ Μαρούτα [3], κληθέντος τῇ ἐπῳδῇ ὑπὸ τῆς Κουντῆς, ὁ Βήμας, φοβερὸς ὢν ἐκ φύσεως καὶ πελώριος, ὡς ὁ ἐλέφας.

---

1. Κουντή ἐστιν ἡ Πριτά· καὶ τοῦτο γὰρ τὸ ὄνομα ἔχει. Ὁ Πανδοῦς συνεχώρησεν αὐτῇ μιγῆναι συγγενεῖ τινι εἰς ἀνάστασιν γόνου· τοιοῦτος γὰρ ἦν νόμος πάλαι ἐν Ἰνδοῖς, καθὼς καὶ παρὰ τοῖς Λακεδαιμονίοις.

2. Φθονήσασα ἔπληξε τὴν γαστέρα ἑαυτῆς.

3. Μαρούτας, ὁ Θεὸς Ἀήρ.

183. Καὶ τούτου δὲ ἅμα τῇ γεννήσει φωνὴ ἐξ οὐρανοῦ ἠκούσθη, λέγουσα· « Οὗτος λίαν φιλάδελφος ἔσται, ῥωμαλέος » καὶ ἥρως. »

184. Οὗτος πεσών ποτε ἐκ τῆς ἀγκάλης τῆς μητρὸς, ἢ ἐφοβήθη ἐκ τίγριος, ἐποίησε τὴν πέτραν, ἐφ' ἧς ἔπεσεν, εἰς λεπτά· ἐκ δὲ τούτου ὠνομάσθη Βήμας [1].

185. Ἐν ᾗ δ' ἡμέρᾳ οὗτος ἐγεννήθη ὁ μέγας τὸ σῶμα καὶ ὀξὺς ὡς τὸ πῦρ, ἐν ἐκείνῃ ὁ πρῶτος υἱὸς τῆς Γανδαρῆς ἀρτιμελὴς ἐγένετο [2].

186. Μετὰ δὲ ἐγέννησεν ἡ Πριτὰ τὸν Ἀρζούναν ἐκ τοῦ Ἴνδρα, κληθέντος τῇ ἐπῳδῇ καὶ ἡσθέντος τῇ μεγάλῃ σκληραγωγίᾳ τοῦ Πανδοῦ.

187. Τὰ ἄστρα ἰδόντα τὸ πρόσωπον τούτου τοῦ παιδὸς, νομίζοντα, ὡς Σελήνη ἐστὶν, ἡ κυρία αὐτῶν, ἔπιπτον ἐξ οὐρανοῦ εἰς γῆν, ἃ ἦσαν τὰ πίπτοντα ἄνθη Βροχηδόν.

188. Ὁ δ' Ἴνδρας καὶ οἱ λοιποὶ οὐράνιοι θεοὶ, ὥσπερ νικηθέντες τῇ λαμπρότητι τούτου τοῦ παιδὸς, ἤρχοντο τότε πανταχόθεν μετὰ μεγάλης χαρᾶς.

189. Ἐν δὲ τῇ γεννήσει τούτου φωνὴ ἐξ οὐρανοῦ ἠκούσθη λέλέγουσα· « Οὗτος ὁ παῖς νικητὴς ἔσται, διοικητὴς (κυ« βερνήτης) ἰσχυρὸς, καὶ καθαιρέτης τῆς πληθύος τῶν « ἐχθρῶν, ὡς ὁ Ἥλιος τῆς ἰλύος. »

190. Εὐξάμενοι δ' αὐτῷ πᾶν ἀγαθὸν χαρμοσύνως οἱ λαμπροὶ θεοὶ, ἀμιλλώμενοι πρὸς ἀλλήλους, ἀνῆλθον εὐθέως καὶ ταχέως εἰς τὸν οὐρανὸν, καθὼς ἡ λάμπουσα καὶ παύουσα ἀστραπή.

191. Καλέσασα δὲ καὶ ἡ Μαδρὴ τοὺς διδύμους υἱοὺς τῆς Ἀσβινῆς διὰ τῆς ἐπῳδῆς, ἣν ἔλαβε παρὰ τῆς Πριτᾶς,

---

1. Ὅ ἐστι φοβερός.
2. Οὗτός ἐστιν ὁ Δουριοδάνας.

αἰτηθείσης, ἐγέννησε διδύμους υἱοὺς ὀνομαστούς, τὸν Νακούλαν καὶ τὸν Σαχαδέβαν.

192. Τότε φωνὴ οὐρανία ἠκούσθη, λέγουσα· « Οὗτοι οἱ δίδυ-» μοι ἔσονται πάντως ἐχθρολέτορες, ὑπερσθενεῖς καὶ ὑπέρ-» λαμπροι. »

193. Οὗτοι μὲν οὖν οἱ πέντε λαμπροὶ ἀδελφοὶ ἔπαιζον ἐν τῷ ὄρει Γανδαμαδάνῳ. καὶ ἐφαίνοντο ὡς πέντε μορφαὶ τῶν πέντε πυρῶν τῶν ἀσκητῶν εἰς ἄσκησιν.

194. Καίποτε ὁ βασιλεὺς Πανδοῦς, ἐκβακχευθεὶς τῷ ἔρωτι ἐν τῷ ἔαρι, συμμιγεὶς τῇ Μαδρῇ ἰδίᾳ, ἔτυχε πραγματικῶς τῆς ἀρᾶς τοῦ ὁσίου Κιμμάδα [1].

195. Εἰπούσης δὲ τῆς Πριτᾶς· « ἐγὼ μὲν συμπορεύομαι τῷ « ἀνδρὶ ἡμῶν, σὺ δὲ φρόντιζε τούτων τῶν πέντε υἱῶν μου », ἔφη πρὸς αὐτὴν ἡ Μαδρή·

196. « Οὗτος ὁ ἀνὴρ ἡμῶν ἀνῆλθεν εἰς τὸν οὐρανὸν, ἔχων τὴν » ὅρασιν αὐτοῦ εἰς τὸ ἐμὸν πρόσωπον, ὥσπερ μὴ κορεσθεὶς « τῆς ἐν συνουσίᾳ ἡδονῆς· ἄνευ οὖν τούτου ὁποία ἂν ἐμοὶ « ἄνεσις γένηται » ;

197. « Ἐγὼ μὲν δὴ ἀκολουθήσω τῷ κυρίῳ τῆς ἐμῆς πνοῆς, » μὴ φέρουσα τὴν διάζευξιν αὐτοῦ· τούτῳ δὲ τὸ υἱώ μου » ἀξίως ἐστὸν τῆς σῆς φροντίδος, ὡς υἱώ σου».

198. Τοιαῦτα εἰποῦσα, ἀποθανόντος τοῦ Πανδοῦ, ἡ Μαδρὴ εἰσέδυ εἰς τὸ πῦρ, καθὼς ἡ λάμψις, δύσαντος τοῦ ἡλίου [2].

199. Μετὰ δὲ δεκατρεῖς ἡμέρας οἱ ἐν τῷ Γανδαμαδάνῳ ὄρει ἀσκηταὶ, ἤγαγον ταύτην τὴν δυστυχῆ Πριτὰν μετὰ τῶν τέκνων αὐτῆς πρὸς τὸν Βήσμαν.

200. Ὃς μαθὼν τὸν θάνατον τοῦ Πανδοῦ, λίαν δηχθεὶς τὴν

---

1. Τουτέστιν, ἀπέθανε.

2. Ἐν τῇ Βέδᾳ μυθολογεῖται, ὡς δύσαντος τοῦ Ἡλίου ἡ λάμψις αὐτοῦ δύει εἰς τὸ πῦρ· διὰ τοῦτο τὸ πῦρ ἐν νυκτὶ πλέον λάμπει ἢ ἐν ἡμέρᾳ.

καρδίαν, οὐδὲν ἄλλο ἐποίει μετὰ πάντων, ἀλλ' ἢ κλαυθμὸν καὶ ὀδυρμόν.

201. Καὶ πρῶτον μετὰ τῶν λοιπῶν προσήνεγκε τῷ τελευτήσαντι χοὰς ὕδατος, ὅ ἐστι δάκρυα διὰ τῶν ὀμμάτων, ἐπειδὴ ἦν ἄξιος ὁράσεως· δεύτερον δὲ διὰ τῶν χειρῶν, ἐπειδὴ ἦν ἄξιος δεξιώσεως.

202. Ὅτε δ' ἐγένοντο τὰ νενομισμένα τοῖς νεκροῖς, ἡ Σατεβατὴ, παρηγορηθεῖσα ὑπὸ τοῦ Βεάσα, πένθει καὶ σκληραγωγίᾳ ἐχρῆτο μετὰ τῆς Πριτᾶς ἐπὶ τούτου τοῦ λυπηροῦ συμβάντος.

203. Ὁ δὲ υἱὸς τῆς Γαγγᾶς ἐφρόντιζεν ἀδιαφόρως καὶ τῶν ἑκατὸν υἱῶν τοῦ τυφλοῦ Δρυταράστρα, καὶ τῶν πέντε τοῦ ἀποθανόντος Πανδοῦ.

204. Πάλαι ἄσκησιν ποιοῦντος τοῦ μεγάλου ἀσκητοῦ Σαραδβᾶνος [1] καὶ ὁ γόνος ἔῤῥευσε καὶ τὸ βέλος ἔπεσεν ἀπὸ τῆς χειρὸς, ἐκ τῆς θέας τῆς Ἀψαρᾶς Ζαναπαδῆς.

205. Πορευθέντος δ' ἀλλαχόσε τοῦ ἀσκητοῦ, ὁ βασιλεὺς Σαντανοῦς εὗρηκεν ἐν τῇ μονῇ αὐτοῦ δύο βρέφη, ἄῤῥεν καὶ θήλυ, γεννηθέντα ἐκ τοῦ γόνου ἐκείνου, ὃς διῃρέθη εἰς δύω ἐκ τῆς πτώσεως τοῦ βέλους.

206. Ὠνομάσθησαν δὲ ταῦτα, τὸ μὲν ἄῤῥεν Κριπᾶς, τὸ δὲ θήλυ Κριπὴ, διότι ἀνετράφησαν ἐλέει [2]. Πορευόμενος δ' ὁ Κριπᾶς οὗτος ἑκάστοτε πρὸς τὸν Σαραδβᾶνα, ἐμάνθανε τὴν τοξικήν.

207. Τούτῳ τῷ Κριπᾷ, ἐμπείρῳ γεγονότι τῆς τοξικῆς, ἐνεχείρισεν ὁ Βήσμας τούτους τοὺς δυνασχέτους υἱοὺς τοῦ Δρυταράστρα, καὶ τοῦ Πανδοῦ εἰς γύμνασιν.

---

1. Σαραδβὰν, ἔμπειρος τῶν ὁϊστῶν, κατὰ σημασίαν.

2. Ἐτυμολογεῖ τὴν λέξιν ὁ ποιητής· Κριπὰ γὰρ λέγεται ἔλεος, οἶκτος· ἐξ ἧς λέξεως Κριπὰ, παράγεται τὸ ὄνομα Κριπᾶς καὶ Κριπή.

208. Ὁ δὲ Βήμας ἐν παιδιαῖς ποτὲ μὲν συνέκρουε τὰς κεφαλὰς τῶν υἱῶν τοῦ Δρυταράστρα, χαίρων· ποτὲ δὲ κατέρριπτεν αὐτοὺς, ἀναβαίνοντας τὰ δένδρα· ποτὲ δ' εἵλκυεν ἁπτόμενος τοῖν ποδοῖν.

209. Ὑπὸ δὲ τούτων ἄλλοτε μὲν οἶκος παιδιᾶς ἐποιήθη ἐν τῇ ὄχθῃ τῆς Γαγγᾶς, ὥστε φονεῦσαι τὸν Βήμαν δολίως ἐκ τῆς πρὸς αὐτὸν ἄκρας ἔχθρας.

210. Ἄλλοτε δ' ἐτέθη ὑπὸ τούτων ὀὸς ἐν τῷ βρώματι τοῦ Βήμα· ὁ δὲ κατέπεψεν αὐτὸν, ὡς ὁ Σίβας· ἄλλοτε κοιμώμενος, δεθεὶς λύγοις, ἐρρίφθη εἰς τὸν ποταμόν· ἀλλ' ἀνέστη ἐκ τοῦ ποταμοῦ, ὡς ἐκ κλίνης.

211. Καὶ ἄλλοτε πάλιν, κοιμώμενος ἔν τινι ὄχθῃ τῆς Γαγγᾶς, καλουμένῃ Πραμανακοτῇ, ἐδάκη ὑπ' ὄφεων, διὰ συνεργείας τοῦ ἡνιόχου τοῦ Δουριοδάνα.

212. Ἐξεγερθεὶς δ' ὁ φοβερὸς Βήμας, καὶ θυμωθεὶς, τοὺς μὲν ὄφεις κατεπίεσεν, ὡς ἐν παιδιᾷ, τὸν δ' ἡνίοχον ἀπέκτεινε.

213. Ὁ δὲ Σουϊοδάνας [1] ἄλγος εἶχε κατὰ τὴν καρδίαν, τετρωμένην πως βέλει, ἐπειδὴ οὐκ ἦν δυνατὸν ἀναιρεθῆναι τοῦτον τὸν Βήμαν, οὔτε δόλῳ, οὔτε δυνάμει.

214. Τοιαύτην ἔριν ἔχοντες πρὸς ἀλλήλους, ἐγυμνάζοντο φιλοτίμως παρὰ τῷ Κριπᾷ τὴν τοξικὴν, οἵτε πέντε γενναῖοι ἀδελφοὶ οὗτοι, καὶ οἱ ἑκατὸν ἐκεῖνοι.

215. Πάλαι ὁ ὅσιος Βαραδβάζας ἔθετο ἐν φυλλίνῳ ἀγγείῳ τὸν γόνον αὐτοῦ, ῥεύσαντα ἐκ τῆς θέας τῆς Ἀψαρᾶς Γριτασῆς [2]· ἐκ δὲ τούτου ἐγένετο παῖς, Δρόνας τοὔνομα [3].

---

1. Ὁ Δουριοδάνας λέγεται καὶ Σουϊοδάνας.
2. Γριτασῆς, Βουτυροφάγος, κατὰ σημασίαν.
3. Δρόνας λέγεται τὸ φύλλινον ἀγγεῖον.

216. Μαθητεύσας δ' οὗτος παρὰ τῷ πατρὶ Βαραδβάζᾳ, καὶ τὰς Βέδας ἔμαθε [1], καὶ πᾶσαν ἐπιστήμην· ἔμαθε δὲ παρ' αὐτοῦ καὶ τὸν πυροβόλον καταπέλτην.

217. Ἔγημε δὲ τὴν Κριπὴν, τὴν ἀδελφὴν τοῦ Κριπᾶ, ἐξ ἧς ἐγένετο υἱὸς, Ἀσβατάμας τοὔνομα [2], διότι ἐφώνησεν ὡς ὁ ἵππος τοῦ Ἴνδρα.

218. Φιλοχρήματος δ' ὢν ὁ Δρόνας, ᾤδευσε τὴν πρὸς Παρασουράμαν· ὃς ἀπορῶν χρημάτων, ἐδίδαξεν αὐτὸν τὴν τοξικὴν καὶ ἐμυσταγώγησε [3].

219. Μὴ τιμηθεὶς δὲ ὑπὸ τοῦ βασιλέως Δρουπάδα αὐτὸς ὁ ἐπιφανέστατος καὶ ἐπιδεξιώτατος Δρόνας, ἦλθεν εἰς Χαστιναπούραν, καὶ κατέλυσεν ἐν τῷ οἴκῳ τοῦ Κριπᾶ.

220. Κρυφίως δ' ἑκάστοτε τοὺς παῖδας ἐδίδασκε τὴν τοξικὴν αὐτὸς ὁ ἄριστος τῶν τιμίων καὶ πεπαιδευμένων, μὴ γινωσκόμενος ὑπὸ τοῦ Κριπᾶ.

221. Καί ποτε ἡ σφαῖρα τῶν παιδίων, παιζόντων, ἔπεσεν εἰς φρέαρ, ἣ ἐξηνέχθη ὑπὸ τοῦ Δρόνα μηχανῇ τινι.

222. Ἐπιγνοὺς δ' ὁ Βήσμας τὴν τέχνην καὶ ἐπιδεξιότητα τοῦ Δρόνα, ἐνεχείρισεν αὐτῷ τοὺς παῖδας, εἰς τὸ γυμνάσαι αὐτοὺς τὴν τοξικήν.

223. Ἐγυμνάζετο δὲ παρ' αὐτῷ τὸν τοξικὴν καὶ ὁ παρθένιος υἱὸς τῆς Κουντῆς, Καρνᾶς ὀνόματι [4], ὃς εὑρέθη ἐν τῷ ποταμῷ ὑπὸ τοῦ ἡνιόχου τοῦ Δρυταράστρα, καὶ ἀνετράφη ἠπίως ὑπὸ τῆς Ῥαδῆς.

224. Ἐγυμνάζετο προσέτι παρ' αὐτῷ καὶ ὁ ἐξ ἑταίρας υἱὸς

---

1. Τουτέστιν ἐδιδάχθη.

2. Ἐπειδὴ γεννηθεὶς ἐχρεμέτισε, διὰ τοῦτο καὶ φερωνύμως ὠνομάσθη Ἀσβατάμας, ὅ ἐστιν ἱππόφωνος.

3. Τουτέστιν ἐδίδαξε πάντα τὰ ἀπόκρυφα τῆς τοξικῆς.

4. Οὗτός ἐστιν ὃν ἔῤῥιψεν ἡ Κουντὴ εἰς τὸν ποταμὸν, συλλαβοῦσα ἐκ τοῦ Ἡλίου πρὶν τοῦ γήμασθαι, ὡς εἴρηται.

τοῦ Δρυταράστρα Ἰουϊουτσοῦς [1], καὶ ἄλλοι πολλοὶ πολλῶν ἄλλων τόπων βασιλέων υἱοί.

225. Ἐν ἅπασι τούτοις διέπρεπε μόνος ὁ Καρνᾶς, καθὼς ἡ Σελήνη ἐν ἄστρασι· τούτου δὲ μᾶλλον διέπρεπεν ὁ Ἀρζούνας, καθὼς ὁ Ἥλιος [2].

226. Ἐπειδὴ δ' ἐλογίζετο ὁ Ἀρζούνας, ὡς ἐκ συνηθείας καὶ ἐν βαθεῖ σκότει ἡ ἔνθεσις τοῦ βρώματος εἰς τὸ στόμα ἔρχεται, διὰ τοῦτο, γυμναζόμενος ἀδιαλείπτως, ἐτόξευεν εὐστόχως πρὸς τὴν φωνὴν καὶ ἐν νυκτί· ἐκ δὲ τούτου ἀγαπητὸς ἦν τοῖς διδασκάλοις.

227. Τὸν μὲν οὖν Ἀρζούναν καὶ τὸν υἱὸν αὐτοῦ Ἀσβατάμαν, ὁ Δρόνας ἐνόμιζεν ὡς δύο ὑποζύγια, δεξιὸν καὶ ἀριστερὸν, ἄξια τοῦ ἀναλαβεῖν τὸ βάρος τῆς τοξικῆς τέχνης αὐτοῦ.

228. Ὁ δὲ Βήμας ἄριστος ἦν τῇ ῥοπαλομαχίᾳ, ὁμοίως δὲ καὶ ὁ Δουριοδάνας· ὁ δὲ Νακούλας τῇ ξιφομαχίᾳ· τῇ δὲ ἱππικῇ ὁ Σαχαδέβας καὶ ὁ Ἰνδιστίρας.

229. Καί ποτε ἀφίκετο πρὸς τὸν Δρόναν ὁ τῶν Νισσαδῶν [3] ἡγεμὼν, Ἐκαλαβέας ὀνόματι, μαθεῖν βουλόμενος τὴν τοξικήν· ἀλλ' ἀπεδιώχθη, ἐξ ἐλαχίστου ὢν γένους.

230. Ἀναστρέψας δὲ ἐποίησε διδάσκαλον πήλινον [4] αὐτὸς ὁ νουνεχὴς, καὶ γυμναζόμενος τὴν τοξικὴν, ἐχρημάτισεν ἄριστος ἐν τοῖς τοξόταις.

231. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ὁ σύλλογος τῶν μαθητῶν τοῦ Δρόνα, πορευθέντες εἰς τὸ ἄλσος πρὸς γύμνασιν, εἶδον

---

1. Ἰουϊουτσοῦς, κατὰ σημασίαν Φιλοπόλεμος.

2. Τουτέστιν ὁ Καρνᾶς ὑπερεῖχε πάντων τῇ τοξικῇ, τούτου δὲ ὁ Ἀρζούνας.

3. Νισσάδαι, γένος ἐλάχιστον, διαιτώμενον ἐν δάσεσι.

4. Ἐπ' ὀνόματι τοῦ Δρόνα.

ἕνα κύνα, πεπαρμένον ἑπτὰ βέλεσιν ἐν τῷ ἑαυτοῦ στόματι, ὅτε ἠνέῳξεν αὐτὸ, ὑλακτῶν [1].

232. Διαλογιζόμενοι δ' οὗτοι, τίνος ἄρα εἴη ἡ τοσαύτη ταχύτης εἰς τὴν ὀϊστοβολίαν, ἀκολουθοῦντες τοῖς ἴχνεσι τοῦ κυνὸς, εἶδον τὸν Ἐκαλαβέαν ἐκεῖνον γυμναζόμενον βέλεσιν.

233. Ἐρωτηθεὶς δὲ « Σὺ τίς εἶ; » ἀπεκρίνατο· « Ἐγώ εἰμι ὁ ἡγε- » μὼν τῶν Νισσάδων· πατὴρ δ' ἐμὸς, ὁ Χηρανεδαμβὰ » (Χρυσότοξος)· διδάσκαλός μου δὲ τῆς τοξικῆς ὁ Δρόνας. »

234. Μαθὼν δ' ὁ Δρόνας τὰ κατ' αὐτὸν, ἔλαβεν αἰτήσας τὸν δεξιὸν αὐτοῦ ἀντίχειρα, ὡς διδακτρον, ἵνα μὴ εἴη ὑπέρτερος τοῦ Ἀρζούνα τῇ τοξικῇ [2].

235. Ὁ Ἀρζούνας ποτε, κατευθύνας τὸ ὅμμα καὶ τὴν χεῖρα αὐτοῦ πρὸς τὸν λαιμὸν τοῦ ὀρνέου Βάσα, καθημένου ἐπὶ δένδρου, καὶ στοχασάμενος τούτου, ἔσχε τὰ πρωτεῖα πάντων.

236, Ἄλλοτε πάλιν ὁ διδάσκαλος Δρόνας, λουόμενος ἐν τῷ ὕδατι τῆς Γαγγᾶς, ἤσθη ἐπὶ τῷ Ἀρζούνᾳ, ἀνελόντι βέλεσιν ἕνα φοβερὸν κροκόδειλον, ὁρμήσαντα εἰς τὸ λαβέσθαι τοῦ ποδὸς αὐτοῦ, καὶ εἰπὼν, « Οὐδεὶς ἄλλος ὅμοιος » ἐστί σοι τὴν τοξικὴν, » ἐδωρήσατο αὐτῷ ἓν βέλος,

---

1. Πρὶν κλείσῃ ὁ κύων τὸ στόμα, ὁ Ἐκαλαβέας ἐνέπηξεν αὐτῷ ἑπτὰ βέλη, τοσοῦτον ταχὺς ἦν ὁ ὀϊστοβόλος.

2. Ἀκούσας δηλ. ὁ Δρούνας, ὅτι αὐτός ἐστιν ὁ διδάσκαλος αὐτοῦ, ᾔτησε παρ' αὐτοῦ ὡς διδασκάλια τὸν δεξιὸν αὐτοῦ ἀντίχειρα· ὁ δὲ τεμὼν, ἔδωκεν αὐτὸν αὐτῷ. — Ὁ διδάσκαλός μου Ῥαμαδάτας ἐπαινεῖ τὸ πρόθυμον καὶ ὑπήκοον τοῦ ἡγεμόνος τῶν Νισσάδων· κατηγορεῖ δὲ τοῦ ἀπαισίου αἰτήματος τοῦ Δρόνα.

Βραχμασσίραν τοὔνομα, ἄξιον ῥιφθῆναι κατ' ἐχθροῦ ὑπερτέρου.

Τέλος τοῦ Τετάρτου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου τοῦ μεγάλου Ποιήματος,
Βαλαβαράτας τοὔνομα,
τοῦ διαλαμβάνοντος περὶ ἡμιθέων καὶ ἡρώων,
καὶ ποιηθέντος ὑπὸ τοῦ
ΑΜΑΡΑΣΑΝΔΡΑ.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ,

Διαλαμβάνον περὶ τοῦ αἱρετοῦ γάμου τῆς Δραουπαδῆς.

1. Ἄσμενος ἔστω μοι ὁ υἱὸς τοῦ Παρασσάρα [1], ὁ πρῶτος τῶν ὁσίων, ὃν θεῖσα καὶ ἡ Σελήνη ἐν τῇ καρδίᾳ αὐτῆς [2], ὃς ἐστιν ὁ φαινόμενος σπῖλος, ἀμβροσίας ἔσχεν ἀκτῖνας, ἐκ τῆς ἀμβροσίας τῆς ῥεούσης ἐκ τῶν λόγων τῶν ἀρχαιολογικῶν βιβλίων, τῶν σεβαστῶν τῷ κόσμῳ, ὧν αὐτός ἐστιν ὁ ποιητής [3].
2. Ὁ ἀγαθὸς Βήσμας ποτὲ, κατὰ τὸν λόγον τοῦ διδασκάλου, κατεσκευάσατο βάθρα πολλὰ ἔντινι πεδιάδι ἔξω τῆς πόλεως, δειχθεὶσῃ ὑπὸ τοῦ Βιδούρα, εἰς τὸ θεάσασθαι τὴν γύμνασιν τῶν παίδων πάντων.

---

1. Τουτέστιν ὁ Βεάσας.

2. Τουτέστι τὸ φαινόμενον ἐν τῇ Σελήνῃ μέλαν, αὐτός ἐστιν ὁ Βεάσας· πάνυ δὲ ἁρμοδίως καὶ ἀστείως λέγει ὁ ποιητής· μέλας γὰρ ἦν καὶ ὁ Βεάσας.

3. Ὀκτωκαίδεκα βεβλία ἀρχαιολογικὰ ἐποίησεν, ἃ λέγονται Πουράναι.

3. Πολλῶν δὲ βασιλέων, τοῦτε Βήσμα, καὶ ἄλλων, ὧν πρόεδρος ἦν ὁ Δρυταράστρας, καθισάντων ἐπὶ τῶν βάθρων, ὁ διδάσκαλος Δρόνας σὺν τῷ υἱῷ αὐτοῦ, εἰσδὺς τὸ γυμναστήριον λαμπροφόρος, ἐποίησε σπονδὴν, κατὰ τὸ ἔθος.

4. Εἶτα, μουσικῶν ὀργάνων συμφωνούντων, εἰσέδυσαν εἰς τὸ γυμναστήριον οἱ παῖδες, ἔμπειροι ὄντες χρήσασθαι παντὸς εἴδους ὅπλου, ἀγαλλόμενοι καὶ ὁρώμενοι ὑπὸ θεατῶν, ὧν οἱ μικρόσωμοι ἵσταντο ἀκροποδιτί.

5. Ἐνταῦθα οἱ ἐμβριθεῖς καὶ μεγαλοφυεῖς παῖδες, ὅ,τε Ἰνδιστίρας καὶ οἱ λοιποὶ, λαβόντες ἄδειαν παρὰ τοῦ ἀρίστου διδασκάλου, ἐδείκνυον, εἰς χαρὰν τῆς χορείας τῶν βασιλέων, τὰς εὐστροφίας τοῦ σώματος περὶ τὴν ἐν τοῖς ὅπλοις τέχνην.

6. Ὁ μὲν οὖν Βήμας καὶ ὁ Δουριοδάνας, οἱ μεγάλοι ἥρωες, κορύνας φέροντες, ἐδείκνυον, εὐθέως τὴν ἑαυτῶν δυσμένειαν, μαινόμενοι ὥσπερ δύο ἄγριοι ἐλέφαντες μεγαλοκάρηνοι, καὶ δειμαίνοντες τὴν σύνοδον.

7. Τῷ δὲ λόγῳ τοῦ διδασκάλου ἔστη ἐν μέσῳ αὐτῶν ὁ Ἀσβαττάμας, ὥσπερ ὄρος μέγιστον, εἰς τὸ ἐμποδὼν γενέσθαι, μήπως γένηται κίνδυνος τῷ συνεδρίῳ ἐκ τῆς συμβολῆς αὐτῶν τῶν δυσκαθέκτων μεγάλων ἐχθρῶν.

8. Ὁ δ' ἀπαράμιλλος τῇ ἀνδρείᾳ Ἀρζούνας, ὑπείκων τῇ τοῦ Δρόνᾳ προσταγῇ, ἔδειξεν, ἀγαλλόμενος καὶ μηδαμῶς ἐπαιρόμενος, τὴν διδαχθεῖσαν ὁπλητικὴν τέχνην, τῶν βασιλέων λίαν ἐκπληττομένων καὶ θαυμαζόντων.

9. Τηνικαῦτα, ὡς ἔοικεν, ὁ μὲν ὄγδοος ἵππος τοῦ Ἡλίου ἐφοβήθη ἐκ τῆς δεινῆς κλαγγῆς τῆς χορδῆς τοῦ τόξου τοῦ Ἀρζούνα καὶ ἔφυγε· τοῖς δὲ Πλάνησι, πλάνη ἅμα προσεγένετο ἐκ τῶν ἐν αἰθέρι ἀέρων, τῶν ἐκ τῶν συνεχῶν βελῶν.

10. Τότε ἐν τῷ αἰθέρι, εἰς ὃν διῆκον τὰ πτερωτὰ βέλη, τὰ

ἀφιέμενα ἐκ τῆς χορδῆς τοῦ τόξου τοῦ Ἀρζούνα, σφοδρός τις ἄνεμος ἐγένετο, ὃς τὰς μὲν κορυφὰς τῶν ὀρέων ἐκλόνει, τὸ δὲ φρόνημα τῶν ἐχθρῶν, ὡς δένδρον ἐξερρίζου.

11. Τὸ βέλος ἦν πρῶτον ὡς ὄρος μέγα, εἶτα λεπτὸν λίαν, ὡς ἄτομον· ἐφαίνετο ἐξαίφνης ὡς ἀστραπὴ, κἄτα οὐκ ἐφαίνετο· ἵπτατο εἰς τὸν αἰθέρα, ὡς ἀετὸς, καὶ εἰσέδυεν εἰς τὴν γῆν, ὡς τὸ ὕδωρ τῆς Σαρασβατῆς [1].

12. Τότε ὁ Ἀρζούνας, ὁ ὢν λαμπρὸς, ὡς ἡ Σελήνη, καὶ ἐν ὅπλοις περιφανὴς, θυμηδίαν παρέσχε πᾶσι, ποιῶν τὸ μὲν ὕδωρ εὐφημίαν ἑαυτοῦ· τὸ δὲ πῦρ ὀξύτητα ἑαυτοῦ, ἅπαν δ' ὄρος σταθερότητα ἑαυτοῦ [2].

13. Τούτου, τοῦ ἔχοντος βραχίονας ἀγλαοτέρους τοῦ βασιλέως τῶν Ὄφεων [3], περιβλέπτου γενομένου τῇ εὐφυεῖ δεξιότητι πρὸς πάντα τὰ ὅπλα, ὁ λαὸς τότε μεγάλην ἔφεσιν εἶχε τοῦ βλέπειν τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκθαμβος ἔμενε καὶ ἐκστατικὸς τοῖς παραδόξοις αὐτοῦ πλεονεκτήμασιν.

14. Ἔξω δὲ τοῦ ἀγῶνος κρότος χειρῶν ἐξαίφνης ἐγένετο [4], ἐπηχῶν τὸν αἰθέρα, ἠχωδέστερος τοῦ φοβεροῦ σκηπτοῦ καὶ τοῦ ταράχου τῶν κυμάτων τῆς θαλάσσης ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος [5].

---

1. Ὄνομα ποταμοῦ, οὗ τὸ ὕδωρ εἰσδύει εἰς τὴν γῆν, καὶ ἀφανίζεται.

2. Τὸ μὲν ὕδωρ βλέποντες οἱ ἄνθρωποι ἔλεγον, ὡς ἡ εὐφημία ἐστὶν αὐτοῦ, τὸ δὲ πῦρ, ὡς ἡ ὀξύτης αὐτοῦ, ἅπαν δ' ὄρος, ὡς ἡ σταθερότης αὐτοῦ ἐστι.

3. Βραχίονας δηλ. παχυτέρους καὶ μακροτέρους τοῦ ὄφεως· ἡ γὰρ χεὶρ ὁμοιοῦται τῷ ὄφει.

4. Ὁ γυμναστὴς καὶ ἀθλητὴς ἐν Ἰνδίᾳ, ὅταν ἔρχηται εἰς τὸ στάδιον, κρούει τῇ δεξιᾷ παλάμῃ τὸν τῆς ἀριστερᾶς χειρὸς μυῶνα· ἐκ δὲ τούτου τοῦ κρούσματος ἦχος μέγας ἀποτελεῖται.

5. Τότε ἡ θάλασσα φυσιωθεῖσα καὶ ὑπερκυματωθεῖσα κατακαλύψει τὴν γῆν, ὥς φασι.

15. Διαιρεθέντος δὲ τοῦ πλήθους εἰς δύω, καὶ ποιήσαντος ὁδὸν, εἰσέδυ τὸ γυμναστήριον ὁ Καρνᾶς, ὁ ἔχων ἐνώτια χρυσᾶ ἐκ φύσεως, καὶ ἐπιδερμίδα [1] σκληρὰν, ὡς θώρακα, γαυριῶν μεγάλως, ὥσπερ μεμηνὼς ἐλέφας.

16. Τούτου τὸ γαῦρον πρόσωπον ὁρώμενον ἦν ὑπὸ πάντων τῶν βασιλέων, λεγόντων· «*Τίς οὗτος ὁ μέγας ἥρως;*» Οὗτος οὖν ὁ ἀμιλλώμενος τῷ Ἀρζούνᾳ, προσκυνήσας πρῶτον τὸν Δρόναν [2] καὶ τὸν Κριπᾶν, ἐτέλεσε τὸν ἐν ἅπασι τοῖς ὅπλοις ἀγῶνα.

17. Ὁ δὲ Δουριοδάνας ἐδωρήσατο τὴν πόλιν Σαμπὰν αὐτῷ τῷ ἀντιπάλῳ τοῦ Ἀρζούνα [3] καὶ ἥρωϊ, ᾧ φιλοφρόνως διέκειτο. Ἐν τούτῳ τῷ μεταξὺ ἦλθεν ὁ ἡνίοχος τοῦ βασιλέως, ὃν ὁ Καρνᾶς προσεκύνησεν, ὡς πατέρα [4].

18. Τότε ὁ υἱὸς τοῦ Ἴνδρα, ὁ Ἀρζούνας, εἴρηκεν ἀγανακτῶν· «Τίνος ἕνεκεν, ὦ λάγνε, ἡ Σαμπὰ ἐδόθη παρὰ σοῦ τῷ » υἱῷ τοῦ ἡνιόχου;» καὶ ἥψατο σὺν τῷ Βήμᾳ τοῦ τόξου· ὁμοίως δὲ ἥψαντο τόξων ὅ,τε Καρνᾶς καὶ ὁ Δουριοδάνας ὀργιζόμενοι.

19. Ἵνα δὲ μὴ ποιήσειαν οὗτοι πόλεμον φθοροποιὸν τοῦ γένους ἐν τῷ ἀγῶνι, τῶν βασιλέων διαταραχθέντων καὶ φοβηθέντων, πυρωθεὶς ὁ Ἥλιος τοῖς ὡς πυρσὶ διαπύροις αὐτῶν ἥθεσι, κατέβη εἰς τὸν ὠκεανόν [5].

---

1. Ἐπιδερμίδα εἶχε σκληρὰν, ὡς θώρακα.

2. Τὸν πρώην διδάσκαλον αὐτοῦ.

3. Ἀντίπαλος ἦν τοῦ Ἀρζούνα, διότι ἦν ἀμφιδέξιος τοξότης, καθὼς καὶ ὁ Ἀρζούνας. «Κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,» κατὰ τὸν Ἡσίοδον.

4. Οὗτος γὰρ ἔσωσεν αὐτὸν, ὅτε ἐρρίφθη εἰς τὸν ποταμὸν ὑπὸ τῆς Πριτᾶς, ὡς πρότερον ἐρρέθη.

5. Ὡς εἰς κατάψυξιν· νὺξ δηλ. ἐγένετο.

20. Οἱ μὲν οὖν Καουραβαὶ [1] καὶ Πανδοΐδαι, οἱ γαῦροι καὶ ἐμβριθεῖς, δείξαντες τὴν ἑαυτῶν ἐπιδεξιότητα ἐν τῷ ἀγῶνι, ἀπῆλθον εἰς τὰ ἴδια· εἰς δὲ διασκέδασιν τοῦ σκότους τῆς νυκτὸς, πυρσὸς προηγεῖτο ἑκάστου αὐτῶν.

21. Γνόντες δ' οἱ νέοι Πανδοΐδαι τὴν εἰς τὰ διδασκάλια τοῦ διδασκάλου Δρόνα κλίσιν, νικήσαντες τὸν Δρουπάδαν παρέδωκαν αὐτῷ αὐτὸν ὑπεξούσιον· ὁ δὲ, γελάσας ἐπὶ τῇ ἀνδρείᾳ τῶν Πανδοϊδῶν, ἔλεξε πρὸς τὸν Δρουπάδαν·

22. «Πρώην, ὅτε παῖδες ὄντες ἐπαίζομεν, ἐπήγγελταί μοι » ὑπὸ σοῦ φιλικῶς τὸ ἥμισυ τῆς κτηθείσης βασιλείας· » τυχὼν δὲ βασιλείας, ὑπερηφάνως καὶ ὀργίλως ἀπεδίω- » ξας ἐμὲ, προσελθόντα σοι· ἀλλ' ἤδη ἡ ἀνταμοιβὴ ἐγέ- » νετό σοι.

23. «Σὺ εἶ φίλος ἐμὸς, καὶ υἱὸς φίλου τοὐμοῦ πατρός· δια- » φύλαξον οὖν, ὦ βασιλεῦ, τὸν ῥηθέντα σοι ἐκεῖνον λόγον.» Οὕτως εἰπὼν, χαρισάμενος τῷ Δρουπάδᾳ καὶ τὸ αἰτούμενον ἥμισυ τῆς βασιλείας, ἐξαπέστειλεν αὐτὸν, βυσσοδομεύοντα τὴν μῆνιν.

24. Ἐννοῶν δ' ἀεὶ ὁ Δουριοδάνας τούτους τοὺς δύω υἱοὺς τοῦ Ἴνδρα καὶ τοῦ Μαρούτα [2] ὑπερτέρους πάντων δι' ἐκείνην τὴν νίκην κατὰ τοῦ Δρουπάδα, καὶ γινώσκων τὴν τῶν πολιτῶν ἔφεσιν πρὸς τὸν υἱὸν τοῦ Δάρμα [3] Ἰνδιστίραν, ἔφη τῷ Πατρὶ αὐτοῦ·

25. «Ὦ Πάτερ, οὐδὲ λόγος ἐστὶν ἡμῶν τῶν οἰκογενῶν σου, » οἱ γὰρ Πανδοΐδαι παμπόθητοί εἰσι καὶ πανέκλαμπροι·

---

1. Καουραβαὶ ἐν ἑνὶ ὀνόματι λέγονται οἱ υἱοὶ τοῦ Δρυταράστρα, ὡς ἀπὸ τοῦ Κουροῦ τοῦ βασιλέως καταγόμενοι· ἔστι δ' ὄνομα προπαππωνυμικόν. Πανδοΐδαι δὲ, οἱ υἱοὶ τοῦ Πανδοῦ.

2. Τὸν Ἀρζούναν καὶ τὸν Βήμαν.

3. Πατὴρ τοῦ Δρουπάδα.

» ἐξορίσας οὖν μακρὰν προφάσι τινι, μετάστησον αὐτοὺς » εἰς τὴν πόλιν Βαραναβάταν. »

26. Ἀκούσας τοιούτων λόγων τοῦ υἱοῦ ὁ Δρυταράστρας, ἐχαρίσατο τῷ Ἰνδιστίρᾳ τὴν πόλιν ἐκείνην Βαραναβάταν, λέγων ταῦτα ὁ πάντῃ τυφλός· « Ἡ πόλις αὕτη ἐστὶν ἐπὶ » γῆς, ὥσπερ θεούπολις· οἰκεῖται γὰρ ὑπ' ἀνθρώπων, ὡς » περ ὑπὸ Θεῶν [1]. »

27. Γνοὺς δὲ τὴν γνώμην αὐτοῦ ὁ Ἰνδιστίρας, καὶ εἰδὼς τοὺς υἱοὺς αὐτοῦ πολλοὺς ἐπικούρους ἔχοντας, καὶ φύσει ἐχθροὺς, προσκυνήσας τόντε Κριπὰν, καὶ τὸν Δρόναν, καὶ τὸν Βήσμαν, καὶ τοὺς λοιποὺς λογάδας, ὧδευσε τὴν εἰς τὴν πόλιν Βαραναβάταν ὁδόν.

28. Ἀποπέμψας τε αὐτὸς ὁ παμπόθητος πάντας τοὺς προπέμψαντας πολίτας, καὶ προσκυνήσας τὸν Βιδούραν, τὸν ἄξιον σύμβουλον, ἐπορεύετο εἰς ἐκείνην τὴν πάντερπνον πόλιν, σὺν τῇ μητρὶ καὶ τῷ χορῷ τῶν ἀδελφῶν.

29. Τούτου δὲ ἀπελθόντος, ἡ μὲν Χαστιναπούρα πόλις ἐγένετο ἄνολβος, ἡ δὲ Βαραναβάτα πανολβία, καθὼς ὃν μὲν τόπον ἀφίησιν ὁ Ἥλιος, ἐκεῖ ἐστι νὺξ, ἔνθα δὲ λάμπει, ἐκεῖ ἡμέρα.

30. Τῇ δὲ δεκάτῃ ἡμέρᾳ ἦχθη ἐπ' οἶκον ἐν ἐκείνῃ τῇ πόλει, εὐάρμοστον ὄντα εἰς τὸ κατακαῆναι εὐθέως, ὃς κατεσκευάσθη πρότερον δολίως ὑπὸ τοῦ δολιόφρονος Βουλευτοῦ, Πουροσάνα τοὔνομα, προσταχθέντος ὑπὸ τῶν δυσμενῶν υἱῶν τοῦ Δρυταράστρα.

31. Γνοὺς δ' ὁ υἱὸς τοῦ Δάρμα ἐκ τῆς ὀσμῆς ἐκεῖνον τὸν οἶκον, οἶκον πυρὸς, κατεσκευασμένον ἐξ ὕλης σχοίνου [2],

---

1. Εὐδαίμονας δηλ. ἔχει κατοίκους καὶ μακαρίους.

2. Εἶδος χόρτου, ἐξ οὗ πλέκουσι σχοινία· οὕτω καλεῖται μέχρι τοῦ νῦν.

ρητίνης, λακκίου, καλάμου, βουτύρου, λίνου, καὶ ἄλλων τοιούτων, εἶπε τάδε τῷ Βήμα καὶ τοῖς λοιποῖς·

32 «Ὅντι μοι ἐν ὁδῷ τότε, ταύτην τὴν συμβουλὴν ἔδωκεν » ὁ Βιδούρας, λόγοις ἀγνώστοις [1] καὶ ὑπὸ τῶν ἐμφρόνων· « Φοβητέον ἀεὶ ὑμῖν πανταχοῦ ἐκ πυρὸς καὶ ἐκ φαρμάκου· « οὐδεμία δὲ ὁδὸς ἄγνωστός ἐστιν ὑμῖν. »

33. « Αὕτη οὖν ἡ συμβουλὴ σήμερον ἐφάνη ἀληθὴς, τούτου « τοῦ οἴκου ἐλθόντος ὑπ' ὄψιν τῶν ἐμῶν ὀφθαλμῶν, κα- » τασκευασθέντος ἐξ ὕλης καυστίμου. Ἐγὼ νομίζω τοῦτον » τὸν Πουροσάναν, τὸν γνωστὸν ἐπὶ δολιότητι, ἐπίβουλον » καὶ ὀλέτορα ἡμῶν.

34. « Οἰκῶμεν δὴ ἐν τούτῳ τῷ οἴκῳ, ὥσπερ μηδὲν ὑπονοοῦν- » τες, ὑπορύξαντες ἕνα ὑπόνομον εἰς φυγήν. Ἐν δὲ τῇ » ὥρᾳ τῆς πυρκαϊᾶς, ἀπατήσαντες τὸν Δουριοδάναν καὶ » τὸν βουλευτὴν, ὅτι τεθνεῶτές ἐσμεν, ἀπέλθωμεν αἰσίως. »

35. Οἰκοῦντος δ' ἐκεῖνον τὸν οἶκον τοῦ Ἰνδιστίρα, προσελ- θών τις ἀγνὼς γεωρύχος, ἀπεσταλμένος παρὰ τοῦ Βιδού- ρα, ἔφη· « Ὁ πονηρὸς βουλευτὴς κατακαύσει ὑμᾶς ἐν νυκτὶ » τῇ δεκάτῃ τετάρτῃ ἡμέρᾳ τῆς μειουμένης Σελήνης, με- » τὰ ἓν ἔτος τῆς ἐνταῦθα ὑμῶν οἰκήσεως.

36. « Ὅθεν ἐν ᾗ ὀγδόῃ ἡμέρᾳ τοῦ Παλγούνα μηνὸς ἦλθες εἰς » τήν δε τὴν πόλιν, ταύτην λάβε κατὰ νοῦν, ὦ Κύριε [2]· » ἐμὲ γὰρ τὸν γεωρύχον, τὸν ἑαυτοῦ φίλον, ἔστειλεν ἐν » ἀδημονίᾳ ὁ Βιδούρας, εἰς τὸ ὑπορύξαι ἕνα ὑπόνομον.

37. Ἀποδεξαμένου δὲ τοῦ Ἰνδιστίρα ὅ,τι εἴρηκεν ὁ γεωρύ- χος, καὶ δείξαντος ἐν τῷ οἴκῳ τόπον κρύφιον, διωρύχθη ταχέως ὑπ' ἐκείνου τοῦ γεωρύχου ὑπόνομος· ὁ δὲ δόλιος Πουροσάνας βουλὴν ἔθετο εἰς τὸ ἔργον τῆς πυρκαϊᾶς,

1. Λόγοις γρίφοις καὶ αἰνιγματώδεσι δηλ.
2. Λόγισαι δηλ. πόσος χρόνος παρῆλθεν ἀφ' οὗ ἦλθες.

οἰκῶν ἐν τῷ ὑπερῴῳ τοῦ ἐκ Λακκίου οἴκου ἐκείνου.

38. Περὶ δὲ μέσας νύκτας ὁ εὔφρων Ἰνδιστίρας, κατακλίνας ἐν οἴκῳ μίαν Νισσαδὴν μετὰ πέντε αὐτῆς υἱῶν, ἐπὶ σκήψει τοῦ δειπνῆσαι, ἀνεχώρησεν ἅμα τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς διὰ τοῦ ὑπονόμου, τοῦ Βήμα βαλόντος πρῶτον πῦρ εἰς τὸν οἰκίσκον τοῦ βουλευτοῦ.

39. Καταμελάναν δὲ τὸ πῦρ τὸν ὁρίζοντα τοῖς πυκνοῖς καπνοῖς, ὥσπερ φανεραῖς δυσφημίαις τοῦ Δουριοδάνα, κατεπυρπόλησε τὸν ἐκ Λακκίου οἶκον σὺν τῷ κακῷ βουλευτῇ Πουροσάνᾳ.

40. Ὃν δὲ βρόμον ἐποίει τὸ πῦρ τῇ κατακαύσει τοῦ ἐκ καλάμων οἴκου, οὗτος ἦν ὡς κάγχασμα «Ὅτι ὁ μὲν Ἰνδι-» στήρας ἀνεχώρησεν αἰσίως, ὁ ὢν εὐμενέστατος καὶ βέλ-» τιστος· ὁ δὲ Πουροσάνας κατεκάη ὑπ' ἐμοῦ, ὁ ὢν ἐλάχιστος » καὶ κάκιστος». Εἶτα δ' ὁ λαὸς ἠθροίσθη λέγοντες·

41. «Ἐπικατάρατον σὺ τὸ πῦρ, τὸ στόμα τῶν θεῶν [1]! ἐπι-» κατάρατοι οἱ Βραχμᾶνες, οἳ λατρεύοντες, σπεύδουσί σοι! » Ἐπικατάρατος ὁ καθαρισμός σου, δι' οὗ ὁ ἐρασμιώτα-» τος θεοῖς τε καὶ Βραχμᾶσι καὶ καθαρὸς βασιλεὺς κατε-» κάη, χάριν τῶν υἱῶν τοῦ Δρυταράστρα, οἵ εἰσιν ἐνσώ-» ματοι δαίμονες!»

42. Ἡ δὲ φλὸξ τοῦ πυρὸς, ὥσπερ γελῶσα [2] διὰ τῆς λάμψεως τὸν λαὸν, τὸν λίαν λυπούμενον, καὶ διδόντα αὐτῷ ψευδῆ ψέγη (στίγματα), διήκουσα μέχρι τοῦ οὐρανοῦ καὶ κυματίζουσα, ἔβλεπεν ἐκείνους τοὺς Πανδοΐδας ὁδεύοντας ἐν ὁδῷ.

43. Τίνων γὰρ ὀφθαλμοῖς ἐραστοὶ οὐκ ἦσαν ἐπὶ γῆς οὗτοι οἱ

---

1. Στόμα λέγεται τῶν θεῶν τὸ πῦρ, ἐπειδὴ τὰ προσφερόμενα τῷ πυρὶ ἐν ταῖς σπονδαῖς καὶ θυσίαις ἐσθίουσιν οἱ θεοί.

2. Ἡ λάμψις ἦν ὡς γέλως.

Πανδοΐδαι, ἕνεκεν τῆς εὐμορφίας, τῆς εὐγενείας, τῆς εἰλικρινείας, καὶ ἄλλων ἀρετῶν; ἐγὼ νομίζω, ὡς ἐκ τοῦ βέβαιόν πως εἶναι, ὅτι κατεκάησαν ἐκεῖνοι, ὕδωρ ἐχέετο ἐξ ὀφθαλμῶν τῶν πολιτῶν, εἰς σβέσιν τοῦ πυρός.

44. «Ὦ φιλάρετε, ἔλεγον [1], ὦ μόνον προτείχισμα τῶν οἰ-» κείων καὶ φίλων! [2] ὦ ἐφάμιλλε τῷ Ἀγαστέᾳ! [3] ὦ δο-» χεῖα τῆς ἀγλαΐας! [4] ποῦ ἐπορεύθητε;» Τοιαύταις φω-ναῖς τῶν ἀνθρώπων καὶ ἡ νὺξ παρῆλθεν ἀνιαρῶς.

45. Ὁ μὲν οὖν λαὸς, θυμῷ κατεχόμενος, ὅτι οὗτος ὁ Πουρο-σάνας, ὁ εὐμενὴς τοῦ Δουριοδάνα, ἦν ὁ συνεργὸς τοῦ ἀναιρεθῆναι τοὺς περὶ τὸν Ἰνδιστίραν, περὶ τὴν ἕω ἔπαιον λαξ τὸ κρανίον αὐτοῦ, καί περ κατακεκαυμένου τὸ σῶμα.

46. Ἰδόντες δὲ τὴν Νισσαδὴν ἐκείνην καὶ τοὺς πέντε αὐ-τῆς υἱοὺς κειμένους, ἔκλαιον, νομίζοντες ὡς οἱ Πανδοΐδαι εἰσὶ σὺν τῇ μητρὶ αὐτῶν· ὁ γὰρ φρόνιμος γεωρύχος ἀθέα-τον ἐποίησε τὴν εἴσοδον τοῦ ὑπονόμου, ἐπισωρεύσας χοῦν πολὺν τοῖς ποσὶν αὐτοῦ.

47. Ὁ δὲ τυφλὸς βασιλεὺς ἔκλαιεν ὑπὲρ τὸ μέτρον, τοιούτων λόγων ἀκούων, λεγομένων πρὸς τῶν πολιτῶν· «Ἐγένετό » σοι τὸ ἐφετόν· οἱ υἱοὶ τοῦ Πανδοῦ ἀνῆλθον εἰς τὸν οὐ-» ρανὸν, ἔνδον ὄντες τοῦ πυρποληθέντος οἴκου ἐκ συνερ-» γίας σου· σὺ δ' ἔχε βασιλείαν μακροχρόνιον.»

48. Παντὸς δὲ τοῦ λαοῦ λίαν λυπουμένου, ἐκτὸς τοῦ Δουριοδάνα, καὶ τοῦ Βιδούρα, τοῦ γινώσκοντος τὸ ἀπόῤῥητον, ὁ βασιλεὺς Δρυταράστρας μόνος πάντα τὰ νενομισμένα τοῖς νεκροῖς ἐτέλεσεν.

---

1. Οὗτός ἐστιν ὁ Ἰνδιστίρας.
2. Τοῦτο ἀναφέρεται εἰς τὸν Ἀρζούναν.
3. Οὗτός ἐστιν ὁ Βήμας, πολυφάγος γὰρ ἦν, ὡς καὶ ὁ Ἀγαστέας.
5. Οὗτοι δ' εἰσὶν ὁ Νακούλας καὶ ὁ Σαχαδέβας.

49. Οἱ τοίνυν Πανδοΐδαι καὶ ἡ Πριτὰ ἐξελθόντες τοῦ κατακεκαυμένου οἴκου καὶ διαπεράσαντες τὴν Γαγγὰν, ὡς ἠδύναντο, ἐπορεύοντο ἐν καιρῷ θέρους κατὰ τὸ μεσημβρινὸν μέρος, προσέχοντες ἀεὶ, καὶ ἔμειναν κατὰ τὴν ἑσπέραν ἐπὶ ῥίζης δένδρου Βάτας [1] ἐντὸς τοῦ δάσους.

50. Ὁ δὲ γενναῖος Βήμας ἦλθε δρομαῖος εἴς τινα λίμνην, ἐξ αἰτίας τῆς πολλῆς δίψης τῶν οἰκείων, ὁδηγούμενος φωνῇ γεράνων· ἔνθα λουσάμενος καὶ πιὼν ὕδωρ καὶ ὑδρευσάμενος ἐν φυλλίνῳ ἀγγείῳ, ἐπανέστρεψεν.

51. Ἰδὼν δὲ τοὺς ἀδελφοὺς καὶ τὴν μητέρα κοιμωμένους κατὰ γῆς, τοὺς ὄντας ἀξίους κοιμᾶσθαι ἐν κλίνῃ ἀπαλῇ καὶ κοραλλιοκολλήτῳ, ἔκλαιε τοιαῦτα διανοούμενος· « Ὢ » τῶν ἀποτελεσμάτων τῆς κακῆς τύχης! Φεῦ τῆς ἐμῆς » ῥώμης.»

52. Εἷς δέ τις Τιτὰν, Χιδάμβας τοὔνομα, ἰδὼν τούτους ἐν τῷ δάσει, πεινῶν, ἐξαπέστειλε τὴν ἀδελφὴν αὐτοῦ Χιδαμβὰν, εἰς τὸ ἀνελεῖν αὐτούς· ἐπειδὴ δὲ ἠράσθη αὕτη τοῦ Βήμα, ἀγανακτήσας ὁ Τιτὰν, ἀνῃρέθη εὐμαρῶς ὑπὸ τοῦ Βήμα, ὡς ὁ ἐλέφας ὑπὸ λέοντος.

53. Τῇ δὲ κελεύσει τῆς μητρὸς καὶ τοῦ Ἰνδιστίρα, συνῆν ὁ Βήμας ἐκείνῃ τῇ Χιδαμβᾷ, πασχούσῃ ἔρωτι καὶ δεομένῃ· συνὼν δ' αὐτῇ κατὰ τὴν ἡμέραν ἐν πολλοῖς μέρεσι τοῦ δάσους, περὶ τὴν ἑσπέραν ἀφικνεῖτο πρὸς τοὺς οἰκείους.

54. Ἐγεννήθη δὲ ἐκ τούτων υἱὸς Γατοτκάσας ὀνόματι, ῥωμαλέος καὶ ἄριστος ἐν τοῖς πολεμισταῖς. Λαβοῦσα δ' ἄδειαν παρὰ τοῦ Βήμα ἡ Χιδαμβὰ, ἀνεχώρησεν εἰς τὸ ἐνδότερον τοῦ δρυμῶνος, καὶ ὁ υἱὸς ὡσαύτως, εἰπὼν τῷ Βήμα· « Ἐνθυμητέος εἰμὶ ἐν ἀνάγκῃ».

---

1. Βάτα, δένδρον μέγα, οὗ οἱ κλόνοι κατατεινόμενοι εἰς γῆν ῥιζοῦνται.

55. Τῇ δ' ἐπιταγῇ τοῦ σεβαστοῦ Βεάσα, ὃς ὤφθη ἐν ὁδῷ, ἀναλαβὼν ὁ Βήμας ἐπὶ τοῦ σώματος ἑαυτοῦ τοὺς οἰκείους, ὡς κεκμηκότας, ἔχοντας φλοιοὺς, ὡς ἱμάτια, καὶ πλοκάμους τριχῶν, ἐβάδιζε ταχέως εἰς τὴν πόλιν Ἑκασακρὰν, καὶ ἐφαίνετο ὡς ὄρος κινητὸν, ἔχον δένδρα μεγάλα.

56. Ἐλθόντες δ' εἰς ἐκείνην τὴν πόλιν, ἐν ᾗ δαίμων τις, Βάκας τοὔνομα, κατεβίβρωσκεν ἕνα ἄνθρωπον καθ' ἑκάστην ἐκ συμφωνίας, καθὼς ὁ λάρος τοὺς ἐν λίμνῃ ἰχθύας, κατέλυσαν ἐν οἰκίᾳ Βραχμᾶνος, ζῶντες ἐξ αἰτήσεως, καί περ βραχίονας ἔχοντες στιβαρούς.

57. Ἐν ᾗ δ' ἡμέρᾳ ὡρισμένος ἦν ὁ Βραχμὰν, οὗ ἐν τῷ οἴκῳ ᾤκουν, εἰς βρῶσιν τοῦ δαίμονος, ἀποσταλθεὶς ὁ Βήμας παρὰ τῆς μητρὸς, εἰς σωτηρίαν τοῦ Βραχμᾶνος, ἦλθεν εἰς τὸ ὄρος, ἔνθα ἦν ὁ δαίμων, φέρων πολυειδῆ βρώματα.

58. Καλέσας δὲ τὸν δαίμονα Βάκαν ὁ γενναιότατος Βήμας εἰς βρῶσιν τῶν προσφερομένων, ἤσθιεν αὐτὸς αὐτά. Θυμωθέντος δὲ τοῦ δαίμονος, ἀνεῖλεν αὐτὸν ὁ Βήμας, μετὰ φρικτὸν πόλεμον, καθὼς ὁ σφοδρὸς ἄνεμος ἀναιρεῖ τὸ πυκνὸν νέφος.

59. Ἀναστρέψας δ' ὁ Βήμας, εἶρηκε τῷ Βραχμᾶνι ταῦτα· «Ὁ δαίμων ἐκεῖνος ἀνῃρέθη ὑπὸ τοῦ ἐμοῦ Θεοῦ, ὃς ἐφά»νη μοι ἵλεως». Ἐκεῖθεν δ' ἐπορεύοντο οἱ νεανίαι οὗτοι εἰς τὴν Πανσάλαν χώραν· οὐ γὰρ καλὸν τοῖς φεύγουσι μένειν ἐν ἑνὶ τόπῳ.

60. Τούτοις διοδεύουσι δάση μεγάλα, ἐπιστὰς ὤφθη ὁ κορυφαῖος τῶν ὁσίων Βεάσας, ἡ εἰκὼν τῆς ἀρετῆς, ὁ λιμὴν τῶν ἐν τῷ κόσμῳ τούτῳ κλυδωνιζομένων, καὶ ἡ πηγὴ τῆς ἱλαρότητος.

61. Ἰδόντες δὲ παρόντα τὸν Βεάσαν οἱ γενναῖοι υἱοὶ τοῦ βασιλέως Πανδοῦ, χαρᾶς ἐπλήσθησαν ἀπείρου, καθάπερ οἱ ταὼ, βλέποντες τὸ ὑδροφόρον νέφος, καὶ οἱ Κόκκαι, τὸν ἀνατέλλοντα Ἥλιον.

62. Τότε οὗτοι οἱ μέλανες γενόμενοι ἐκ τῆς συνεχοῦς πλάνης, καίπερ λευκοὶ ὄντες, ἐκτείναντες τὰς χεῖρας μετὰ μεγάλης χαρᾶς, προσέπεσον τοῖς ποσὶ τοῦ Βεάσα, ὥσπερ οἱ βομβύλιοι ἐμπίπτουσι τοῖς λωτοῖς, ἐκτείνοντες τὰς πτέρυγας.

63. Δοὺς δ' αὐτοῖς εὐλογίαν ὁ ἄριστος τῶν ὁσίων, καὶ γνώστης τῶν παρῳχημένων, τῶν παρόντων καὶ τῶν μελλόντων, ἔφη ἡδέως· «Πορεύθητε ταχέως εἰς τὴν πόλιν » τοῦ βασιλέως Δρουπάδα, ἐπὶ τῷ γῆμαι τὴν κόρην αὐτοῦ, » ἣ ἄθλόν ἐστιν εὐστόχου τοξεύματος».

64. Πιόντες δ' οὗτοι ἐκ τοῦ λωτίου στόματος τούτου τοῦ ἐγκρατοῦς λόγον γλυκὺν, ὡς μέλι μελίσσης, ἐπορεύοντο χαίροντες πρὸς τὸν ἀνθοῦντα λαμπρᾷ φήμῃ Δρουπάδαν, καθὼς οἱ Βομβύλιοι πρὸς τὸν ἀνθοῦντα λωτόν.

65. Ἀφιγμένους δὲ τούτους περὶ τὸ μεσονύκτιον ἐπὶ τὴν ὄχθην τῆς Γαγγᾶς, ὁδηγουμένους ὑπὸ τοῦ Ἀρζούνα, ἔχοντος δαυλὸν ἡμμένον, ἐκώλυσεν ἀγανακτήσας, διότι ἐγένετο φῶς, ὁ ἀρχηγὸς τῶν Γανδαρβῶν, Ἀγκαραπάρνας τοὔνομα, ὃς συνέπαιζε τῇ γυκαικὶ αὐτοῦ ἐν ἐκείνῳ τῷ ὕδατι.

66. Ὁ δ' Ἀρζούνας κατέκαυσε τὴν ἅμαξαν τοῦ Γανδάρβα τῷ πυρίνῳ καταπέλτῃ· ἑάλω δὲ καὶ αὐτὸς, ὡς ἐχθρός· ἡ δὲ γυνὴ αὐτοῦ Κουμβηνασὴ, ἐξελιπάρει ταπεινῶς τὴν Πριτὰν καὶ τὸν Ἰνδιστίραν· ὅθεν καὶ ἀπελύθη ὑπὸ τοῦ Ἀρζούνα.

67. Φιλίαν δ' ἔπειτα ὁ Ἀρζούνας ἐποιήσατο μετὰ τοῦ Γανδάρβα, καὶ ἔδωκεν αὐτῷ τὸ πυροβόλον ὅπλον μετὰ τῆς ἐπωδῆς· ὁ δὲ ἀντέδωκεν ἐκείνῳ μίαν ἐπωδὴν γνωστικὴν τοῦ παντός· ὑπέσχετο δὲ καὶ πεντακοσίους ἵππους ἀτρώτους ἐν πολέμῳ.

68. Συμπαραλαβόντες δ' οὗτοι οἱ Πανδοΐδαι τὸν ἱερέα Δαου-

μέαν, τὸν ἐπιστάτην τοῦ ἱεροῦ τόπου, καλουμένου Οὐτκοσάκα, κατεφρόνουν τοῖς βουλευτικοῖς λόγοις αὐτοῦ, καὶ τῶν οὐρανίων θεῶν, ὧν πᾶν δεινὸν ἀπαλλάττεται τῇ βουλῇ τοῦ Βριχασπατῆ [1].

69. Ἐλθόντες δ' εἰς τὴν πόλιν τοῦ βασιλέως Δρουπάδα, τῇ ἑκκαιδεκάτῃ ἡμέρᾳ, ἀφέντες τὰ ἔπιπλα καὶ τὴν μητέρα αὐτῶν ἐν οἴκῳ κεραμέως, ἐπορεύθησαν μετὰ σπουδῆς εἰς τὸ βασιλικὸν βουλευτήριον, ἐπὶ τὸ λαβεῖν ἆθλον ὡραίαν κόρην εὐστόχῳ τοξεύματι.

70. Ἰδὼν δ' ὁ Ἰνδιστίρας ἐνώπιον τὸν λαμπρὸν νυμφῶνα τοῦ αἱρετοῦ γάμου, ἔφη τῷ χορῷ τῶν ἀδελφῶν αὐτοῦ· «Αὐτός που ὁ οὐρανὸς ἠνέχθη ἐνταῦθα ὑπὸ τοῦ Δρουπάδα,
» ὃς ὑπερέβαλε τὴν θείαν τέχνην τῇ ἀνθρωπείᾳ.

71. «Καὶ αὐτὸ τὸ πῦρ, ὅ ἐστι τὰ πολλὰ λιθοκόλλητα λαμ-
» πρὰ βάθρα, ὥσπερ λαβὸν πολυειδῆ μορφὴν ἐνταῦθα,
» θεωρεῖ μετὰ θαύματος τὰ πολύτιμα πράγματα τοῦ γά-
» μου τῆς κόρης, ἢ ἐγεννήθη ἐκ τοῦ χωνευτηρίου τοῦ τῆς
» θυσίας πυρός [2].

72. «Πάντων τῶν βασιλέων κληθέντων τῇ ἐπὶ θύρας σα-
λευομένῃ σειρᾷ ἐκ φύλλων, ὥσπερ νεύσει ὀφρύος, ὁ νυμ-
» φὼν οὗτος, μὴ βλέπων βασιλέα τινα ἄξιον τῆς παρθέ-
» νου, καλεῖ ταῖς ὑψηλαῖς σημαίαις, ὡς χερσὶ, τοὺς θεούς
» ἐνταῦθα.

73. «Αἱ δὲ σημαῖαι [3], ἀγλαϊζόμεναι τοῖς πυκνοῖς τούτοις
» θυμιάμασι, διακινοῦνται ἐν αἰθέρι, περιπνεόμεναι ἀέρι
» καὶ ὁρώμεναι λίαν χαρμοσύνως ὑπὸ τῶν ἑπτὰ ὁσίων,

---

1. Τουτέστι βουλευτικώτερος ἦν καὶ τοῦ Βριχασπατῆ, ὅς ἐστιν ἱερεὺς τῶν Θεῶν.

2. Θυγάτηρ ἦν τοῦ τῆς θυσίας πυρὸς, καὶ διὰ τοῦτο ἦλθέ πως καὶ αὐτὸ τὸ πῦρ εἰς τὸν τῆς θυγατρὸς γάμον.

3. Αἱ σημαῖαι λευκαὶ, ὡς ἡ Γαγγά· τὸ θυμίαμα μέλαν, ὡς ἡ Ἰαμουνά.

» ὡσπερεὶ χίλιαι Γαγγαὶ, μεμιγμέναι τῇ Ἰαμουνᾷ [1].

74. « Ἦχος δὲ σαλπίγγων ἠχεῖ ὀξέως, διήκων μέχρι τοῦ οὐ-
» ρανοῦ, ὥσπερ ἦχος συναρασσομένων κυμάτων [2] τοῦ πε-
» λάγους τοῦ ἔρωτος τῶν βασιλέων, ἀνεγειρομένου εἰς
» τὸ ἰδεῖν ὅσον οὔπω τὴν σεληνοπρόσωπον βασιλίδα
» κόρην.

75. « Τὰ δ' ἄστρα, ἅ ἐστι τὰ ἄνθη, τὰ ἐν τῷ ἀγλαῷ νυμφῶ-
« νι, ἐλθόντα καὶ βεβαιωθέντα, ὅτι τὸ ὑμνολογούμενον
» σεληνιαῖον πρόσωπον τῆς θυγατρὸς τοῦ Δρουπάδα λαμ-
» πρότερόν ἐστι καὶ τῆς λαμπρᾶς Σελήνης, τῆς κυρίας
» αὐτῶν, μέλανα τὸ πρόσωπον ἐγένοντο ἐκ τῶν βομβυ-
» λίων [3] ».

76. Τοιαῦτα συνδιαλεγόμενοι οὗτοι οἱ Πανδοΐδαι ὑπερχαί-ροντες, ἔχοντες στολὴν Βραχμανικὴν, ἀνεκλίνθησαν ἐπὶ κλίνης, ἀγλαϊζομένης συνεδρεύουσι Βραχμᾶσιν· ἡ δὲ κλίνη, ἔχουσα τούτους τοὺς πέντε ἥρωας, ἐφαίνετο ὡς λέαινα εἰς ὅλεθρον τῶν ἐχθρῶν, ὡς μεμηνότων ἐλεφάντων.

77. Ἐφιέμενος δὲ ὁ Δρουπάδας ἐκδοῦναι τὴν ἑαυτοῦ θυγατέ-ρα τῷ Ἀρζούνᾳ, καὶ βουλόμενος ἀναγνωρίσαι αὐτὸν, ἄγνωστον ὄντα, ἐποίησεν ἓν μέγα τόξον, καὶ ἔθετο ἐν αἰ-θέρι τὸν σκοπὸν [4], οὗ ὁ στοχασμὸς, ἆθλον ἦν τῆς κόρης ὁ γάμος [5].

---

1. Σαλεύονται καθὼς χαίρουσιν οἱ ἀσκηταὶ ὅτε λούονται ἐν τῇ συμμίξει τῆς Γαγγᾶς καὶ τῆς Ἰαμουνᾶς.

2. Καθὼς ἡ θάλασσα ἀνεγείρεται φανείσης τῆς Σελήνης· καὶ γὰρ πληρουμένης τῆς σελήνης ἡ θάλασσα ἐξοιδοῦται, καὶ συνταρασσομένη κύ-μασι, ποιεῖ τὰς ἀμπώτεις.

3. Ἐπὶ τῶν ἀνθέων βομβύλιοι περιέπταντο· ταῦτα δὲ τὰ ἄνθη ἦσαν ὡς ἄστρα.

4. Σκοπὸς ἦν ἰχθὺς κρεμάμενος.

5. Ἐκηρύχθη πρότερον, ὡς ἐκεῖνος ἆθλον ἕξει τὴν κόρην, ὃς καὶ τὸ τόξον ἐντενεῖ, καὶ τοῦ ἰχθύος στοχάσεται.

78. Παρέστη δὲ τῷ θεάτρῳ ἡ κόρη, φέρουσα τῇ χειρὶ ἄνθινον στέφανον τοῦ αἱρετοῦ γάμου, ὥσπερ τόξον τοῦ Ἔρωτος, καὶ περιειλημμένη συχνοῖς βομβυλίοις, ὥσπερ σταγόσιν ἀνισταμέναις ἐκ τῶν κυμάτων τοῦ πελάγους τοῦ Ἔρωτος.

79. Καὶ τὸ μὲν λευκὸν σκιάδιον ἐφαίνετο, ὡς ἡ ἀθρόα μαρμαρυγὴ τῶν μαργαριτῶν ἐστι, τῶν ἐπὶ τοῦ στεφάνου τῆς κεφαλῆς αὐτῆς· τὰ δὲ περισειόμενα ἑκατέρωθεν λευκὰ ῥιπίδια ἐφαίνοντο, ὡς ἡ μαρμαρυγή ἐστι τῶν σαλευομένων λαμπρῶν ἐνωτίων.

80. Ὁ δ' ἐν ταῖς χερσὶ λαμπρὸς ἄνθινος στέφανος ἀντήριζε τῷ ἐκ μαργάρων διαυγεῖ ὅρμῳ· ὁ δ' ἐκ τῆς ζώνης καὶ τῶν περιπεζίων καὶ ψελλίων ἡδὺς ἦχος [1], ὅμοιος ἦν τῷ τῆς χορδῆς τοῦ τόξου τοῦ προδρόμου Ἔρωτος.

81. Τῶν δὲ βλεμμάτων τῶν βασιλέων πάντων γενομένων ἐκ τῆς ἀγωνίας ὁμοίων τοῖς συνταραττομένοις κύμασι τῆς γαλακτώδους θαλάσσης, ἡ βασιλικὴ κόρη ἐφαίνετο ὡς ἡ Λαξμή [2], ἑτοίμη οὖσα γενέσθαι παράκοιτος ἑνί τινι τῶν λογάδων.

82. Οἱ μὲν οὖν βασιλεῖς, οἱστρηθέντες καὶ ἐκβακχευθέντες τὸν νοῦν ἐκ τῆς ὄψεως τῶν ὀμμάτων τῆς εὐοφθάλμου κόρης [3], διὰ πολλοῦ πολυειδῆ ἐποίουν σχήματα, πάθη μεγάλα τοῦ θαυμασμοῦ τοῦ ἁβροῦ Ἔρωτος.

83. Ἄλλος μὲν γὰρ βασιλεὺς, ἔρωτι νικηθεὶς, ἐνασχολούμενος ἐῤῥύθμιζε τὴν κόμην αὐτοῦ τοῖς ἄκροις τῶν δακτύλων·

---

1. Ἐν τῇ ζώνῃ καὶ ἐν τοῖς περιπεζίοις κωδωνίσκοι ἦσαν.

2. Καθὼς ἡ Λαξμὴ, ἐξελθοῦσα ἐκ τῆς γαλακτώδους θαλάσσης παράκοιτις ἐγένετο τοῦ Βισνοῦ.

3. Τὸ μὲν λευκὸν τοῦ ὄμματός ἐστιν ἀμβροσία, τὸ δὲ μέλαν φάρμακον, τὸ δ' ὑπέρυθρον οἶνος· τοὐτέστι τὸ καλὸν ὄμμα γυναικὸς, μέθην, θάνατον, καὶ ζωὴν προξενεῖ.

διὰ δὴ τούτου ἐσήμαινε, καὶ ὥσπερεὶ ἔλεγεν· « ὦ ἀγλαὲ, « καίπερ οὖσα ἐπὶ τῆς ἐμῆς κορυφῆς, οὐδὲν βάρος μοι » προξενεῖς ».

84. Ἄλλος δὲ, παραδεδομένος ὅλος τῷ ἔρωτι, ἔβλεπε τὸ λώτιον ἑαυτοῦ πρόσωπον ἐν τῇ πολυτίμῳ λίθῳ τοῦ περικαρπίου, εἰς τὸ σκοπῆσαι, εἰ ἐπὶ τοῦ μετώπου γράμματά εἰσιν ἐγκεχαραγμένα ὑπὸ τοῦ Βραχμᾶ, ἐπὶ τῷ τυχεῖν αὐτῆς.

85. Ἄλλος δὲ, βλέπων ταύτην τὴν κινητὴν βασιλεύουσαν πολιν τοῦ βασιλέως Ἔρωτος, ἔτεινε λίαν ἐρωτικῶς τὸ ὄμμα αὐτοῦ εἰς τὸν ὃν εἶχεν ἐν χερσὶ λωτὸν, ἵν' ἴδοι, εἰ ἡ ἀγλαΐα τοῦ λωτοῦ ὁμοία εἴη τῇ τῆς κόρης, ἢ μή.

86. Ἄλλος δὲ κρατῶν τῇ μιᾷ χειρὶ λωτὸν, ἔψαυεν αὐτοῦ τοῖς δακτύλοις τῆς ἑτέρας χειρός· ἐκ δὲ τούτου ἐσήμαινε, ὡς οὕτω ψαύσει τοῦ μαστοῦ ἐκείνης, οὗ ἐκ τῆς ὁράσεως πάθος ἐγένετο ἔρωτος.

87. Ἄλλος δὲ ἔθετο ἐν τῷ στόματι κάρφος χόρτου [1], ὥσπερ βουλόμενος ξέσαι τοὺς ὀδόντας· διὰ δὲ τούτου ὑπεδείκνυε, καὶ ὥσπερεὶ ἔλεγε· « Χόρτον θεὶς ἐν τῷ ἐμαυτῷ » στόματι, δουλείαν σοὶ ποιήσω, ὦ εὐόφθαλμε ».

88. Ἄλλος δὲ τρωθεὶς τῷ ἔρωτι, βουλόμενος ἰδεῖν αὐτὴν τρανῶς, ἣν οὐδέποτε εἶδεν εἰς τὸ φανερὸν, ἔτεινε τὸν ὀφθαλμὸν εἰς τὸ στῆθος αὐτῆς, ἐν ᾧ περιττὸς ἦν ὁ καθειμένος λαμπρὸς ὅρμος, διὰ τὴν ἣν εἶχεν ἀγλαΐαν τὸ σῶμα.

89. Ἄλλος δ' αὖ πάλιν, ὥσπερ καταφρονῶν αὐτῆς, κλίνας τὴν κεφαλὴν αὐτοῦ, συνελάλει φίλῳ ὑποκαθημένῳ σύνεγ-

---

1. Ὁ διωκόμενος καὶ καταφεύγων εἴς τινα, ἢ ὁ κινδυνεύων ἐν πολέμῳ ὑπ' ἀντιπάλου, χόρτον ὀλίγον τίθησιν ἐν τῷ ἑαυτοῦ στόματι· ἐκ δὲ τούτου ὑποδεικνύει, ὡς ὑποκείμενος αὐτῷ ἐστιν, ὡς ὑποζύγιον ποηφάγον.

γυς, σημαίνων διὰ τούτου, ὅτι λίαν ὑποκλινὴς τῷ βασιλεῖ Ἔρωτι ἐγένετο.

90. Καὶ ἄλλος ἐρωτόληπτος μὲν, καρτερικὸς δὲ, κατέψηχε τοῖς δακτύλοις τῆς ἀριστερᾶς, τὴν παλάμην τῆς δεξιᾶς, παραθαῤῥύνων καὶ ἐπελπίζων αὐτὴν, ἢ ἀδημόνως εἶχεν εἰς τὸ ἅψασθαι τῶν μαστῶν αὐτῆς τῆς βασιλίδος [1].

91. Ὑπὸ μὲν οὖν τῶν βασιλέων πάντων τῶν ἔρωτι κατεχομένων, οὕτω συνείχετο ἡ νεᾶνις καὶ ὄμματι καὶ καρδίᾳ· Αὐτὴ δὲ, τοῖς μὲν ὄμμασιν ἔβλεπε τὸ κείμενον τόξον, τῷ δὲ νοὶ διενοεῖτο τὸ ζεῦγος τῶν βραχιόνων τοῦ Ἀρζούνα [2].

92. Τότε ὁ Δρυσταδιούμνας [3], τιμήσας τὸ τόξον ἄνθεσιν, ἐπάρας τὴν χεῖρα αὐτοῦ, εἶπε τά δε ἐν τῷ μέσῳ ἱστάμενος· «Ὅστις ἄριστος τοξότης ἐπιθυμεῖ τυχεῖν τῆς θυ-» γατρὸς τοῦ βασιλέως Δρουπάδα, οὗτος στοχασάσθω τοῦ » σκοποῦ. »

93. Τοιαῦτα εἰπόντος τοῦ κορυφαίου πάντων τῶν καταγομένων ἐκ τοῦ Πρισσάτα [4], τίς τῶν πολυδυνάμων ἐκείνων βασιλέων τρόπους οὐκ ἐποίησεν εἰς τὸ ἆραι καὶ ἐντεῖναι τὸ τόξον; ἀλλ' οὐδεὶς αὐτῶν ἐφάνη εὐδόκιμος.

74. Ἄλλοι μὲν γὰρ κατῃσχύνθησαν, μὴ δυνάμενοι ἐντεῖναι τὸ τόξον· ἄλλοι δὲ οὐκ ἀνέστησαν, φοβούμενοι μή που ἐκπέσειαν τῆς πρώην φήμης αὐτῶν. Μετὰ δὲ τούτους ἀνέστη ἐκ τῆς κλίνης ὁ Ἀρζούνας μετὰ τοῦ Βήμα, βραχμανικὴν ἔχων στολὴν καὶ βαδίζων ὡς ἐλέφας.

95. Τότε οὗτοι, ὅ,τε Ἀρζούνας, καὶ ὁ Βήμας, εἰς οὐδὲν λογι-

---

1. Ἐπήλπιζε δηλ. αὐτὴν, ὅτι τεύξεται τοῦ ποθουμένου.
2. Ἀκούουσα τὴν περὶ τὴν τοξικὴν φήμην τοῦ Ἀρζούνα, διενοεῖτο, ὡς αἱ χεῖρες ἐκείνου ἱκαναί εἰσιν ἆραι καὶ ἐντεῖναι τὸ τόξον.
3. Ὁ Δρυσταδιούμνας υἱὸς ἦν τοῦ Δρουπάδα.
4. Πρισσάτας, πάππος τοῦ Δρυσταδιούμνα καὶ πατὴρ τοῦ Δρουπάδα.

ζόμενοι πάντας τοὺς Ξατρὰς, καὶ ἀπό γε τοῦ σώματος καὶ τοῦ ἤθους καὶ τοῦ βαδίσματος καὶ τοῦ ἐπιχειρήματος διαγινωσκόμενοι ὑπὸ τοῦ Κρισνᾶ, ὑπὸ τοῦ Βήσμα, καὶ ὑπὸ τοῦ διδασκάλου Δρόνα,

96. Καὶ ὁρώμενοι ὑπὸ πάντων τῶν βασιλέων διαπορούντων, «Ἆρα ὁ Ἥλιος καὶ ἡ Σελήνη, βαδίζοντες ἐπὶ γῆς, οὗτοί » εἰσιν, ἢ ἄλλοι Βαλαδέβας καὶ Κρισνᾶς; ἢ ὁ Γανέσσας » καὶ ὁ Σκάνδας; ἢ οἱ υἱοὶ τοῦ Δουσσαράτα ἀνεγεννήθη- » σαν, ὅ,τε Ῥάμας καὶ ὁ Λαξμάν;»

97. Ἠγκαλίσαντο, ὥσπερ δύο χεῖρες τῆς ἀνδραγαθίας, τὴν γῆν τὴν ἔμπροσθεν τοῦ συνεδρίου[1], τὴν ἔχουσαν μίαν ὀφρῦν, τὸ τόξον. Ἐνταθέντος δὲ τοῦ τόξου ὑπὸ τοῦ Ἀρ- ζούνα, ἔφη ὁ Βήμας ἐπηρμένως πρὸς τοὺς βασιλεῖς·

98. «Ὦ βασιλεῖς, εἰ δύναμις οὐκ ἔστι τοῖς βραχίοσιν ὑμῶν, » διὰ τί κλίσις ὑμῖν ἐγένετο πρὸς τὴν θυγατέρα τοῦ Δρυ- » πάδα; εἰ δὲ κλίσις ἐγένετο, διὰ τί ποτ' ἆρα ἤλθετε; εἰ » δὲ καὶ ἤλθετε, διὰ τί ἄμιλλα ὑμῖν ἐγένετο, τοῦ τό- » ξου ὄντος ἀνωτέρου τῆς δυνάμεως ὑμῶν;

99. «Οὐδεὶς τῶν βουλευτῶν ὑμᾶς προφάσει τινὶ ἐκώλυσεν, » εἰδὼς, ὡς οὐκ ἔστι τῆς δυνάμεως ὑμῶν τοῦτο τὸ ἐπιχεί- » ρημα; Τὸ στῆθος ὑμῶν οὐ διερράγη σήμερον, ἀχρήστων » ὄντων εἰς τὸ ἐντεῖναι τὸ τόξον;

100. «Ἐν τῷ ἄθλῳ τούτῳ, τῷ μὲν Δρόνᾳ καὶ Βήσμᾳ αἰσχύνη » ἐστίν· ὁ δὲ Κρισνᾶς ὑποκλινής ἐστιν ἑκκαίδεκα χιλιάσι » γυναικῶν[2]· ὑμῖν δὲ, ὦ Καουραβαὶ, τοῖς ἐπαιρομένοις

---

1. Ἦλθον δηλ. εἰς τὴν γῆν τοῦ ἀγῶνος, εἰς τὸ στάδιον.

2. Χαριζόμενος τῷ Δρόνᾳ καὶ τῷ Βήσμα, λέγει ὁ Βήμας, ὅτι οὗτοι οὐ βούλονται γῆμαι αὐτὴν, διότι εἰσὶ γέροντες, καὶ διὰ τοῦτο οὐκ ἐπιδεικνύουσι τὴν ἑαυτῶν τοξικὴν, ὁμοίως δὲ καὶ ὁ Κρισνᾶς, διότι ἀρκετὰς ἔχει γυναῖκας.

« ἐπὶ τῇ δυνάμει τῶν βαχιόνων, ἐγένετ' ἆρα τοῦτο
» τὸ τόξον διδάσκαλος τῆς ἀποσβέσεως τῆς οἰήσεως ;
101. « Διὰ τί δὲ, ὦ Καρνᾶ, οὐδέ γε σοὶ αὐτῷ τὸ τόξον ἐντέ-
» ταται σήμερον, τῷ ἔχοντι ὀνομαστοὺς βραχίονας ; ἢ ἔφεσίς
» σοι ἐγένετο δυσφημίας αἰωνίου, ἀντὶ κοσμήματος αἰω-
» νίου ;
102. « Ἴδετε, ὦ βασιλεῖς, ὅπως οὗτος ὁ Βραχμὰν, ὁ χάριν
» λαβὼν παρὰ τοῦ διδασκάλου, βουλόμενος λαβεῖν φήμην
» λευκὴν καὶ οὐ μέλαιναν, στοχάσεται τούτου τοῦ σκοποῦ,
» ὃς δύναμιν ἔχει συλῆσαι τὸ κλέος πάντων τῶν βασι-
» λέων. »
103. Ἐν τῷ λόγῳ τούτου, τῷ νικῶντι τὴν βροντὴν, ἁπάντων
ἐκείνων τῶν Ξατρῶν καὶ τῶν Βραχμάνων ἡσυχία, καὶ
ἀφωνίᾳ χρησαμένων, καὶ κυψάντων εὐθέως τὰ πρόσωπα,
104. Ὁ Ἀρζούνας ἐποίησε κλαγγὴν ἐκ τῆς χορδῆς τοῦ τόξου,
ὡς φωνὴν ἀγρίαν τοῦ ἐλέφαντος, τουτέστι τῆς μεγάλης
αὐτοῦ σταθερότητος, καὶ ὡς βροντὴν τοῦ νέφους εἰς χο-
ρὸν τοῦ νέου ταὼ, τουτέστι τῆς καρδίας τῆς παρθένου,
καὶ ὡς πάταγον τοῦ καταπίπτοντος κεραυνοῦ ἐπ' ὄρους,
τουτέστι ἐπὶ τοῦ κόμπου τῶν βασιλέων.
105. Ὁ δὲ σκόπιμος ἰχθὺς ἔπεσε κατὰ γῆς, βληθεὶς βέλει
εὐστόχως ὑπὸ τοῦ Ἀρζούνα, τοῦ λαβόντος δύναμιν ἐν
βραχίοσιν ἐκ τῆς ἀμβροσίας ὄψεως τῆς ἐραστῆς βασιλίδος,
καὶ μεγαλουργήσαντος εἰς θαῦμα τοῦ βασιλέως Δρουπάδα.
106. Τότε τῶν μὲν ἀνθρώπων σεισθέντων δίκην ὑψηλῆς Τάλας,
τῶν δὲ θεῶν ἐν οὐρανῷ σαλπισάντων, τῶν δὲ βασιλέων
καταισχυνθέντων, ἡ Κρισνὰ [1], προστάξαντος τοῦ πατρὸς,
ἔθετο τὸν γαμήλιον στέφανον ἐν τῷ λαιμῷ τοῦ Ἀρζούνα.

1. Κρισνὰ ὠνομάζετο ἡ θυγάτηρ τοῦ Δρουπάδα, ἣ λέγεται πατρωνυ-
μικῶς καὶ Δραουπαδή.

107. Ὀργισθέντες δ' οἱ βασιλεῖς καὶ διαταραχθέντες, ὅτι αὐτοὺς μὲν αὐτὸς ὁ Δρουπάδας ἠτίμασεν ἐν τῇ συνόδῳ τοῦ γάμου, τὴν δὲ θυγατέρα ἔδωκε Βραχμᾶνι μειρακίσκῳ, ἁψάμενοι ὅπλων, ἔδραμον κατὰ τοῦ Δρουπάδα.

108. Ὁ μὲν οὖν Δρουπάδας κατέφυγε πρὸς σωτηρίαν εἰς τὸν Βήμαν καὶ Ἀρζούναν, τοὺς ὄντας δυσαντιβλέπτους, ὡς τὸν Βισνοῦν καὶ τὸν Σίβαν· ὁ δὲ Βήμας θυμωθεὶς λίαν, ἐκρίζωσας ἓν μέγα δένδρον, ἀνέτρεψε τὰ στρατεύματα τῶν βασιλέων.

109. Τὸ ἐν χερσὶ τοῦ Βήμα δένδρον ἐκεῖνο, ὥσπερ φθονοῦν, διερρήγνυε θυμῷ τοὺς μὲν ἐξ ἀνθέων στεφάνους τῶν βασιλέων, ἐπειδὴ ἦσαν ὅμοιοι τοῖς κλάδοις αὐτοῦ, τὰς δὲ κάρας αὐτῶν, ἐπειδὴ ἦσαν ὅμοιαι ταῖς ὀπώραις αὐτοῦ.

110. Ἐν ταύτῃ τῇ μάχῃ τοῦ Βήμα, τὰ μὲν ἄνθη τοῦ δένδρου ἔπιπτον σὺν τοῖς κλέεσι τῶν βασιλέων, τὰ δὲ φύλλα σὺν τοῖς κοσμήμασιν αὐτῶν· καὶ πρὶν ἢ πεσεῖν τὸ δένδρον ἐπ' αὐτοὺς, αὐτοὶ ἔπιπτον.

111. Ἀναστρέψας τοίνυν ὁ Βήμας ῥώμῃ ταῦτα τὰ ἀθρόα στρατεύματα τῶν βασιλέων, ἐνίκησε μεγάλῃ μάχῃ τὸν βασιλέα Σαλέαν· λαβὼν δὲ καὶ ὁ Ἀρζούνας τὸ τόξον ἐκεῖνο, ἐποίησεν ἐν πολέμῳ τὸν Καρνᾶν ἀκλεῆ.

112. Οἱ μὲν δὴ βασιλεῖς οὗτοι, ἐπισχεθέντες τοῦ πολεμεῖν ὑπὸ τοῦ Κρισνᾶ, τοῦ γινώσκοντος τὸ ὀρθὸν καὶ δίκαιον, καὶ εἰπόντος, ὡς οὐκ ἔστι τοῦτο ἴδιον ἡρώων, ἐπανῆλθον εἰς τὰ ἴδια· οἱ δὲ Πανδοΐδαι μετὰ τῆς παρθένου εἰς τὸν οἶκον τοῦ κεραμέως.

113. Τούτοις δ' ἐλθοῦσιν εἶπεν ἡ Πριτά· «Πᾶν τὸ ἐκ τῆς συ-» μερινῆς αἰτήσεως βρωτέον ἐστὶν ὑμῖν ἅπασι τοῖς πέντε » ἡνωμένως καὶ συμφώνως.» Ἵνα οὖν μὴ γένηται ψευδὴς ὁ λόγος τῆς μητρὸς, συνέθεντο γῆμαι τὴν παρθένον ἐκείνην καὶ οἱ πέντε κοινῶς.

114. Ἰδούσης δὲ τῆς μητρὸς τὴν θυγατέρα τοῦ βασιλέως, καὶ εἰπούσης ἐν ἀδημονίᾳ, «Τί ἐξεφώνησα;» καταπραΰναντες αὐτὴν οἱ παῖδες φρονίμως, ἐξῆλθον εἰς τὴν πόλιν αἰτήσοντες (ἀφ' οὗ ἀπῆλθον ὅ,τε Κρισνᾶς καὶ ὁ Βαλαδέβας, οἳ ἦλθον εἰς ἀσπασμὸν), κἄπειτα ἐπανέκαμψαν.

115. Περὶ δὲ τὸ τέλος τῆς ἡμέρας ἔθεντο οὗτοι πᾶν τὸ ἑαυτοῦ ἕκαστος μέρος τῆς αἰτήσεως πρὸ τῆς μητρὸς καὶ τοῦ Ἰνδιστίρα· ἰδοῦσα δὲ τοῦτο ἡ κόρη τοῦ Δρουπάδα, οὐδεμίαν λύπην ἔλαβεν ἐν ἑαυτῇ [1]. Τί εἴπω περὶ τῆς γνώμης τῶν ἀγαθῶν γυναικῶν;

116. Ἀφ' οὗ δὲ οἱ εὐγενεῖς οὗτοι ἀπένειμαν μοίραν τοῖς θεοῖς καὶ τοῖς Βραχμᾶσι, καὶ τοῖς ἐπαίταις, τότε ἡ θυγάτηρ τοῦ Δρουπάδα, τῇ ἐπιταγῇ τῆς Πριτᾶς, τὸ μὲν ἥμισυ τοῦ βρώματος ἔδωκε τῷ Βήμα [2], τὸ δ' ἐπίλοιπον ἐποίησεν ἑξαμοιρίαν, χαίρουσα.

117. Ἐν δὲ τῇ νυκτὶ ἐκοιμήθησαν οἱ ἥρωες οὗτοι, ἐπαναπαυόμενοι ἐπὶ κλίνης, πεποιημένης ἐκ χόρτου Κούσσης, θέντες τὴν κεφαλὴν κατὰ τὸ μεσημβρινὸν μέρος [3]· καὶ ἐν μὲν τῇ κεφαλῇ αὐτῶν ἦν ἡ Πριτὰ, ἐν δὲ τοῖς ποσὶν ἡ Κρισνὰ, συλλαλούντων περὶ πολέμων, περὶ ὅπλων, καὶ περὶ ἀνδρείας.

118. Τοιούτων λόγων, προσηκόντων βασιλεῦσιν, ἀκούσας ὁ Δρυσταδιούμνας, ἱστάμενος κρύβδην ὄπισθεν τοῦ κατὰ τὸν τοῖχον τοῦ κεραμέως τοίχου, περὶ τὴν ἕω ἀνήγγειλε

---

1. Ὅτι οὗτοι δηλαδὴ ἐπαῖταί εἰσι καὶ πάμπτωχοι.

2. Ὁ Βήμας, καθὸ πολυδύναμος, ἦν καὶ πολυφάγος· ἔτρωγε γὰρ, ὅσον ἓξ ἄνθρωποι δύνανται φαγεῖν.

3. Ἤτοι κατὰ τὸ νότιον μέρος δεῖ τιθέναι τὴν κεφαλὴν, ἢ κατὰ τὸ ἑῷον, ὅτε κοιμᾶται ὁ ἄνθρωπος.

πάντα τῷ Δρουπάδᾳ, καὶ ὅτι οὗτοι πάντως γε υἱοί τινές εἰσι βασιλέως.

119. Γνοὺς δὲ τούτους Ξατρὰς παρὰ τοῦ ἑαυτοῦ ἱερέως, ὃν ἐξαπέστειλεν εἰς ἀναγνώρισιν ὁ Δρουπάδας, καὶ ὑπολαβὼν, ὅτι υἱοί εἰσι τοῦ Πανδοῦ, μετεπέμψατο αὐτοὺς ἐφ' ἁμαξῶν καὶ εἰστίασεν. Ἐρωτηθεὶς δ' ὁ Ἰνδιστίρας, εἴρηκε τὴν πᾶσαν ἀλήθειαν.

120. Εἰπόντος δὲ τοῦ Δρουπάδα· «Αὕτη ἡ κόρη μου δοτέα » ἐστὶ μόνῳ τῷ Ἀρζούνᾳ, ὅς ἐστι πανέκλαμπρος καὶ δια- » καὴς, ὡς ὁ Ἥλιος, καὶ πανευκλεὴς, ὡς ἡ Σελήνη,» ὁ Ἰν- διστίρας ἀπεκρίνατο· «Αὕτη δέσποινα ἔσεται τῶν πέντε » ἡμῶν, καθὼς ἡ διάνοια τῶν πέντε αἰσθήσεων.»

121. Πελάγει δ' ἀπορίας καὶ ταράχῳ νοὸς ἐμπεσὼν, «Πῶς » ἄρα ἡ θυγάτηρ μου γυνὴ ἔσεται τῶν πέντε; πῶς ἔσται » οὕτως, ὥσφησιν ὁ Ἰνδιστίρας;» ἀθύμως εἶχεν ὁ Δρου- πάδας· τὸν αὐτὸν τρόπον καὶ ὁ υἱὸς αὐτοῦ Δρυστα- διούμνας.

Τέλος τοῦ Πέμπτου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου τοῦ μεγάλου Ποιήματος
Βαλαβαράτα.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ,

Ἐν ᾧ Ἱστορία ἐστὶ τῆς εἰς ἁγίους τόπους περιηγήσεως τοῦ Ἀρζούνα.

1. Προσηνὴς ἔστω μοι ὁ μέλας Ὅσιος, παρ' οὗ τόπος ἐδόθη ἐν τῇ ἐπιδερμίδι τοῦ σώματος ἁπάσῃ τῇ μελανότητι,

τῇ ἐξοικισθείσῃ ἐκ τῶν ἐντὸς τῇ λαμπρότητι τῆς ψυχῆς αὐτοῦ, καὶ ἐκ τῶν ἐκτὸς, ταῖς εὐφημίαις ταῖς ἐκ τῆς Μαχαβαράτας [1].

2. Ἐπιστὰς δὲ τότε ὁ Βεάσας τῷ βασιλεῖ Δρουπάδᾳ, διαποροῦντι περὶ τοῦ, τί ποιητέον, καὶ συγκεχυμένῳ τὸν νοῦν, ἔφη αὐτῷ κατ' ἰδίαν, προσκυνήσαντι, γινώσκων τὰ τῆς προτέρας γεννήσεως ἀπόκρυφα.

3. «Πάλαι θυγάτηρ τις ὁσίου μεγάλου, ἄσκησιν ἧσκει εἰς τὸ » τυχεῖν ἀνδρός· ἀγανακτήσασα δὲ ἐπὶ τῷ μὴ τυγχάνειν » τοῦ εὐκταίου, εἶπεν, ὡς ἀτυχὴς [2], πεντάκις τῷ Σίβᾳ » ἐπιστάντι· «Δός μοι ἄνδρα.»

4. « Νεύσας δ' εἰς τὸ αἴτημα ἐκείνης τῆς εὐμελοῦς ὁ Σίβας, » εἶπεν· «ἔχωσάν σοι ἐν ἄλλῃ γεννήσει πέντε ἄνδρες ἥρωες » καὶ ἀλλήλους ἀγαπῶντες,» καὶ εὐθέως ἄφαντος ἐγένετο.

5. Ἀναπεμπάζουσα δ' αὐτὴ, ὅτι ἐν ἑτέρᾳ γεννήσει πέντε ἄνδρες αὐτῇ ἔσονται, ἠγάπα τῇ ἀσκήσει· μετὰ δὲ θάνατον Νακασρὴ (θεὰ) [3] ἐγένετο, πλησίον οἰκοῦσα τοῦ Σίβα, ἕνεκα τῆς πολλῆς ἀρετῆς.

6. Πρώην ὁ Ἰάμας [4], ἐλθὼν εἰς τὸ ἄλσος, ᾧ ὄνομα Ναϊμισσὰ, θυσίαν ἐποίει· θανάτου δὲ τούτου ἀπέχοντος [5], καὶ ἐλεήμονος ὄντος, οἱ ἄνθρωποι ἦσαν ἐπὶ γῆς ἀθάνατοι, ὡς θεοί.

7. Οἱ δὲ θεοὶ, ἡγούμενον ἔχοντες τὸν Ἴνδρην, προσανεκλαίοντο, ἀχθόμενοι, τῷ Βραχμᾷ, ὡς ἡ γῆ βυθισθήσεται τῷ

---

1. Ἡ εὐφημία λευκή ἐστι καὶ λαμπρά· ὅπου δὲ λάμψις, ἐκεῖ σκότους ἀπουσία.

2. Ἀτυχὴς ἦν, διότι οὐκ ἤτησεν ἀθανασίαν.

3. Νακασρὴ, ὅ ἐστιν οὐρανία λαμπρότης, θεά.

4. Ὁ Ἰάμας ἐστὶ παρ' Ἰνδοῖς ὡς ὁ Ἀΐδωνεὺς παρ' Ἕλλησι.

5. Ἐν γὰρ τῇ θυσίᾳ ἀπέχεσθαι δεῖ παντὸς κακοῦ.

βάρει τῶν πολλῶν ἀνθρώπων, καὶ οὐδεμία ἔσται διαφορὰ θνητῶν καὶ ἀθανάτων.

8. Πρὸς οὓς ἔφη ὁ Βραχμᾶς· «Ὅτε ὁ Ἰάμας οὗτος ἀπολού-» σεται μετὰ τὴν θυσίαν, τότε οἱ ἄνθρωποι πλήρεις γενό-» μενοι ἡμερῶν, πεσοῦνται ἐφεξῆς, καθὼς οἱ πέπειροι » καρποί.»

9. Ἀκούσας τοῦ λόγου ὁ μέγας Ἴνδρας τοῦ Βραχμᾶ, ἀπήει χαίρων. Θεωρῶν δὲ περὶ τὴν Γαγγὰν, εἶδε χρυσοῦν λωτὸν, ὅμοιον κατὰ τὴν λαμπρότητα προσώπῳ ὑδατίας θεᾶς.

10. Καὶ εἰπὼν, «Πόθεν τοῦτο;» εἰσέδυ περιχαρὴς εἰς τὸ ὕδωρ, ἐφ' ᾧ λαβεῖν τὸν λωτόν· εἶδε δ' ἀπέναντι κλαίουσαν ἐκείνην τὴν Νακασρὴν, φενάκη τοῦ Σίβα [1].

11. Θαυμάζων δ' ἦν τηνικαῦτα ὁ Ἴνδρας ἐπὶ τοῖς ἁβροῖς δάκρυσιν, τοῖς καταπίπτουσιν εἰς τὴν Γαγγὰν καὶ γινομένοις εὐθέως χρυσοῖς πρὸ τῆς σεληνοπροσώπου ἐκείνης.

12. Ἐρωτηθεῖσα δ' ὑπὸ τοῦ Ἴνδρα, «Ὦ εὔμηρε, τί κλαίεις; » τίς εἶ;» κλαίουσα ὑπανεχώρει· ὁ δ' Ἴνδρας ἐπορεύετο κατόπιν αὐτῆς, καθὼς ἡ Σελήνη τῆς Ἕω [2].

13. Ἀκολουθῶν δ' αὐτῇ τῇ ἑλαφοφθάλμῳ ὁ Ἴνδρας εἰς τὸ ὄρος Ἰμαὸν, ἰδὼν νέον τινα, καθήμενον ἀκλονήτως καὶ κυβεύοντα μετὰ γυναικὸς, ὠργίσθη ἐπ' αὐτὸν, ὡς μηδένα λόγον ἐπ' αὐτοῦ ποιησάμενον [3].

14. Ὀργισθεὶς οὖν ὁ Ἴνδρας, ἐπλήγη τῷ ὄμματι ὑπὸ τούτου τοῦ νέου, ὃς ἦν ὁ Σίβας, ὥσπερ ὑπ' ὄφεως, ἔχοντος ἰὸν ἐν ὄμματι, καὶ ἔμενεν ἐν τῇ κορυφῇ τοῦ Ἰμαοῦ, ὡς στύλος πεπηγὼς, καὶ ὡς νεοφανὴς ἀκρώρεια.

---

1. Ἐξαπατηθεὶς δηλ. ὑπὸ τοῦ Σίβα.

2. Καὶ ἡ Ἕως, τουτέστιν ἡ ὥρα πρὶν τῆς ἀνατολῆς τοῦ ἡλίου, ἀφανὴς γίνεται, καὶ ἡ Σελήνη.

3. Ἐπειδὴ οὐ παρεχώρησεν, οὐδ' ἀνέστη εἰς τὸ δεῖξαι σέβας.

15. Θιγεὶς μέντοι γε τὸ σῶμα τῇ χειρὶ ὑπὸ τῆς Νακασρῆς ἐκείνης, προστάξαντος τοῦ Σίβα, ἀφοῦ ἔληξε τοῦ κυβεύειν, πέπτωκεν ὁ Ἴνδρας, ὡς στύλος, κοπεὶς τὴν βάσιν.

16. Κἄπειτα ἔφη ὁ Σίβας τῷ Ἴνδρᾳ· «Εἴσιθι εἰς τοῦτο τὸ » σπήλαιον τοῦ ὄρους· πέντε γὰρ αἰσθήσεις ἔχον ἀναφανή- » σεται οὗτω τοῦτο τὸ ὄρος, διὰ τεσσάρων ὁμοίων σοι » προεμβάντων [1].»

17. Ἐμβὰς δὴ τῷ σπηλαίῳ, συνεθλίβετο ἐκείνοις τοῖς τέσ- σαρσι, καὶ προσελθὼν ἔπεσε πρὸ τῶν ποδῶν τοῦ Σίβα, λέγων ἐλεεινῶς· «Τί ποιήσω; τί;»

18. Πρὸς ὃν ἔφη ὁ Σίβας· «Φόνος ἐξετελέσθη φανερὸς πρὸ » πολλοῦ ὑπ' ἐμοῦ, κόψαντος τὴν κεφαλὴν τοῦ Βραχμᾶ· » πιὼν δ' αἵματα ὀκτωκαίδεκα Ἀξαουχινῶν τὸν ἀριθμὸν, » ἐξαλειφθήσεται.

19. «Ὑμεῖς τοιγάρ τοι οἱ πέντε Ἴνδραι τρόπους ποιήσατε » ταχέως [2] εἰς ἐξάλειψιν τοῦ δεινοῦ μου φόνου· φανείτω » ἡ γῆ ταῖς ὑμῶν πέντε παρουσίαις, ὡς μία φοβερὰ λέαινα.

20. «Αὕτη δ' ἡ Νακασρὴ, λαβοῦσα σῶμα ἐν γῇ, καὶ γενομένη » γυνὴ κοινὴ ὑμῶν τῶν πέντε, αἰτία γενέσθω πολέμου » μεγάλου ἐναντίον πολλῶν βασιλέων [3].

21. «Λαβόντων γὰρ ὑμῶν σώματα ἐπὶ γῆς, ὁ κατὰ τοῦ » Βραχμᾶ ἐμὸς φόνος, ὅς ἐστιν ὡς μία Ἅρπυια αἱμοπότις, » πιὼν κατὰ κόρον αἷμα ἡρώων, ὡς οἶνον, ἀφήσει ἐμὲ » εὐθέως, μεθυσθείς.

22. Οἱ μὲν οὖν τέσσαρες Ἴνδραι ὁμολογήσαντες, εἶπον τῷ Σίβᾳ· «Ἡ γέννησις ἡμῶν ἔστω μὴ ἐξ ἀνθρώπου, ἀλλ' ἐκ

---

1. Κἀκεῖνοι οἱ τέσσαρες Ἴνδραι ἦσαν, οὓς καθεῖρξεν ὁ Σίβας.
2. Λάβετε δηλ. σῶμα ἀνθρώπινον.
3. Ἡ ἐν τῷ γάμῳ νίκη τῶν Πανδοϊδῶν πρώτη αἰτία ἐγένετο τῆς ἔχθρας πάντων τῶν βασιλέων.

» τοῦ Δάρμα, ἐκ τοῦ Βάτα, καὶ ἐκ τοῖν υἱοῖν τῆς » Ἀσβινῆς [1].

23, « Ὁ δὲ πέμπτος Ἴνδρας ἔφη· « Ἐγὼ αὐτὸς οὐ γεννηθή- » σομαι ἐπὶ γῆς· ἐκ τῆς ἐμῆς δὲ ἀπορροίας γεννηθήτω » ἄνθρωπος [2], ὃς συνεργήσει εἰς τὸ πρακτέον [3] πολλοῖς » κατορθώμασι.

24. « Χαρεὶς λίαν ὁ κύριος τοῦ κόσμου Σίβας, τετελεσμένου » πως τοῦ πρακτέου εἰς ἐξάλειψιν τοῦ φόνου, ἔφη· « Ἔστω » μὲν τοῦτο οὕτως· ἔστε δὲ καὶ ὑμεῖς νικηταὶ ἐν κόσμῳ. »

25. « Γενέσθω υἱὸς σοῦ τοῦ Ἴνδρα, τοῦ ἐπὶ τῆς δυναστείας τοῦ » Βαϊβασβάτα Μανοῦ, ὁ ὅσιος Νάρας [4] ὁ ἐν τῷ ἅλσει Βα- » δαρῇ· λαβέτω δὲ σῶμα ἐπὶ γῆς καὶ ὁ Ναραϊάνας [5], εἰς » βοήθειαν τοῦ φίλου αὐτοῦ Νάρα. »

26. « Ὁ μὲν οὖν Ἴνδρας, ὁ ἐπὶ τῆς δυναστείας τοῦ Σβαϊαμβοῦ » Μανοῦ, ὀνομαζόμενος Βισβαβοὺγ, ἐλθὼν ἐπὶ γῆς ἐν » σώματι Ἰνδιστίρα, υἱὸς ἐγένετο τοῦ Δάρμα, ἀγαπητὸς » τῷ κόσμῳ.

27. « Ὁ δ' Ἴνδρας, ὁ ἐπὶ τῆς δυναστείας τοῦ Σβαροκίσσα » Μανοῦ, ὀνομαζόμενος Ῥιταδάμας, ἐλθὼν ἐπὶ γῆς ἐν » σώματι τοῦ Βήμα, υἱὸς ἐγένετο τοῦ Βάτα, νικητὴς » πολυαρίθμων ἐλεφάντων [6].

28. « Υἱὸς δ' ἐγένετο τοῦ Ἴνδρα, τοῦ ὄντος ἐπὶ τῆς δυνα-

---

1. Δάρμας ἐστὶν ὁ θεὸς Νόμος, ἐξ οὗ ἐγεννήθη ὁ Ἰνδιστίρας, Βάτας δὲ ὁ θεὸς Ἀὴρ, ἐξ οὗ ἐγεννήθη ὁ Βήμας· ἐκ δὲ τῶν υἱῶν τῆς Ἀσβινῆς ἐγεννήθησαν δίδυμοι ὁ Νακούλας καὶ ὁ Σαχαδέβας.

2. Ἐκ τοῦ Ἴνδρα ἐγεννήθη ὁ Ἀρζούνας.

3. Εἰς ἐξάλειψιν τοῦ φόνου σου.

4. Ὃς ἐστιν ὁ Ἀρζούνας.

5. Ὁ Κρισνᾶς.

6. Πολλοὺς ἐλέφαντας τῶν ἐχθρῶν ἀνεῖλεν ἐν πολέμῳ

» στείας τοῦ νῦν Βαϊβασβατᾶ Μανοῦ, καὶ ὀνομαζομένου
» Ταζασθῆ, αὐτὸς ὁ Ἀρζούνας, ὁ ἔχων τόξον δυσάνεκτον.

29. « Οἱ δὲ δύο Ἴνδραι, ὁ Σαντὴς καὶ Σιβὴς, οἱ ὄντες ἐπὶ
» τῆς δυναστείας τῶν δύο Μαναβῶν, Ἀουττάμα καὶ
» Ταϊζάσα, ἐγένοντο δίδυμοι υἱοὶ τῶν διδύμων υἱῶν τῆς
» Ἀσβινῆς, ἐν σώματι Σαχαδέβα καὶ Νακούλα, λίαν πε-
» ρίφημοι καὶ ὑπέρλαμπροι.

30. « Ἀναπολῶν δὲ τὴν ἣν ἔλαβες ἀτιμίαν ἐξ αἰτίας τοῦ
» Δρόνα [1], θυσίαν ἐτέλεσας ἐν ἑνὶ ἔτει κατὰ τὴν ὄχθην
» τῆς Γαγγᾶς, καλέσας τοὺς Βραχμᾶνας, τὸν Ἰάζαν καὶ
» Οὐπαϊάζαν, ἐπιθυμῶν κτήσασθαι υἱὸν εἰς ἀναίρεσιν τοῦ
» Δρόνα.

31. « Καὶ τοῦ μὲν Οὐπαϊάζα ἐκτελοῦντος τὰ τῆς θυσίας, τοῦ
» δὲ Ἰάζα ἐπικαλουμένου τὸν ἔφορον Θεὸν τῆς θυσίας,
» ἀνεφάνη ἐν τῷ χωνευτηρίῳ ὁ Δρυσταδιούμνας, ἁρμα-
» τηλάτης, ὁπλοφόρος, καὶ θωρακοφόρος, ἀπόρρια ὢν
» τοῦ πυρός.

32. « Τότε δ' ἐξῆλθεν ἐκ τοῦ μέσου τοῦ θυσιαστηρίου καὶ
» αὐτὴ ἡ βαθύζωνος [2] κόρη σου, ἥτις ἐστὶν ἡ Νακασρὴ
» ἐκείνη, ἐφ' ᾗ ἤσθη πρότερον ὁ Σίβας, δ' ἣν αἰτίαν αὐτὴ
» ἔτυχε πέντε ἀνδρῶν. »

33. Τοιαῦτα φαμένου τοῦ Βεάσα καὶ ἀναχωρήσαντος, ὁ Δρου-
πάδας ἐτέλεσε τὸν γάμον τῆς κόρης ἑαυτοῦ, μετὰ τῶν
πέντε υἱῶν τοῦ Πανδοῦ ἐν πέντε ἑξῆς ἡμέραις, λίαν περι-
φανῶς καὶ λαμπρῶς.

34. Διεοδόθη μὲν οὖν ἀπανταχοῦ γῆς αὕτη ἡ φήμη, ὅτι οἱ
υἱοὶ τῆς Πριτᾶς πανόλβιοι ἐγένοντο· οἱ δὲ βασιλεῖς οἱ

---

1. Ὅτε νικηθεὶς ὑπὸ τῶν Πανδοϊδῶν αἰχμάλωτος ἐγένετο, καὶ ἐδόθη τῷ Δρόνᾳ ὡς προείρηται.

2. Βαθύγλουτος, αὐτολεξεί.

ἐλθόντες εἰς τὸν αἱρετὸν γάμον, ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια, διὰ τὸν φόβον τῶν θελῶν τῶν τοῦ Πανδοῦ υἱῶν.

35. Εἰπὼν δ' ὁ Βεάσας. « Οὗτοι οἱ Ἥρωες καὶ ἡ κόρη σου, » οἱ τοιοῦτον ἔχοντες τὸ εἶναι, ζήτωσαν ἐπὶ μήκιστον, » ἔδειξε τῷ Δρουπάδα, ἐναργῶς φωτίσας τὸν νοῦν αὐτοῦ, ὅσα εἴρηκεν.

36. Προτρεπόμενος δ' ὁ τυφλὸς βασιλεὺς καὶ διαζόμενος ὑπὸ τοῦ δυσαναγώγου Δουριοδάνα, κτεῖναι τοὺς υἱοὺς τῆς Πριτᾶς, συμβούλιον ἐποιήσατο μετὰ τοῦ Δρόνα καὶ τοῦ Βήσμα.

37. Πρὸς ὃν ἔφη ὁ ἔφη ὁ Βήσμας· « Ὑπὸ τίνος νικηθείησαν » ἂν οἱ Πανδοΐδαι, οἱ ἔχοντες ἐπικούρους καὶ ἄλλους » ἥρωας τῆς γενεᾶς τοῦ Πρισάτα καὶ τοῦ Ἰαδοῦ, ὧν ἀν- » δρικώτατοι καὶ πολεμικώτατοί εἰσιν ὁ Βήμας καὶ ὁ » Ἀρζούνας ;

38. » Μεταπεμψάμενος τοίνυν τοὺς γενναίους υἱοὺς τῆς Πρι- » τᾶς, τοὺς ὁμοίους κατὰ τὴν λαμπρότητα τῷ Ἡλίῳ, « δὸς αὐτοῖς τὸ ἥμισυ τῆς βασιλείας, καὶ ἀπόσμηξον τὴν » ἄκραν δυσφημίαν. »

39. Φανείσης δ' εὐλόγου ταύτης τῆς βουλῆς τοῦ Βήσμα τῷ νουνεχεῖ Δρόνα, ἔπεμψεν ὁ βασιλεὺς Δρυταράστας τότε τὸν Βιδούραν, καλέσοντα τὸν Ἰνδιστίραν.

40. Παραγενόμενος δ' ἐπὶ τὴν πόλιν τοῦ Δρουπάδα ὁ Βιδούρας, τὸ δοχεῖον τῶν ἀρετῶν, ἤνεγκεν ἐφ' ἁρμάτων τοὺς υἱοὺς τοῦ Πανδοῦ μετὰ τοῦ Κρισνᾶ εἰς τὴν πόλιν τοῦ Δρυταράστρα, συνόντας στρατεύμασι τοῦ Δρουπάδα.

41. Προσκυνησάντων δὲ τῶν περὶ τὸν Ἰνδιστίραν πάντας τοὺς γέροντας, ἔδωκεν αὐτοῖς ὁ Δρυταράστρας τὴν Κανδαβαπράσταν χώραν, ὅπως μὴ εἴη ἐν τοῖς ἐξῆς δυσμένεια τῷ γένει.

42. Ἐλθὼν δ' εἰς τὴν Κανδαβαπράσταν ὁ βασιλεὺς Ἰνδι-

στίρας, οὗ ἐκ τῆς φωνῆς οἱ ἐχθροὶ ἐμβρόντητοι ἐγίνοντο, ἔκτισεν ἐκεῖ μίαν πόλιν Ἰνδραπράσταν τοὔνομα, ὁμοίαν τῇ πόλει τοῦ Ἴνδρα.

43. Καὶ ὁ Ἴνδρας γὰρ ἐφθόνει τούτῳ τῷ Βασιλεῖ, ἔχοντι τοιαύτην πόλιν, δύσκτητον καὶ τοῖς θεοῖς, τοῖς λίαν δυναμένοις εὐθέως τελέσαι, ὅ,τι ἂν θέλωσιν.

44. Ἀπελθόντος δὲ τοῦ Κρισνᾶ, ἀφ' οὗ εἰσεβίβασεν εἰς τὴν νέαν πόλιν τοὺς υἱοὺς τοῦ Πανδοῦ, τοὺς λαμπροὺς ὡς τὸ πῦρ, ἐπέστη ὁ λίαν εὔσπλαγχνος Ναράδας τῷ βουλευτηρίῳ τοῦ Ἰνδιστίρα.

45. Κατὰ δὲ τὸν λόγον τοῦ θεοῦ Ναράδα, συνθήκην ἐποιήσαντο καὶ οἱ πέντε τοιαύτην· «Ὅστις προσέλθῃ δεύτερος » τῷ συνόντι τῇ Κρισνᾷ, οὗτος ἔστω περιερχόμενος τοὺς » ἁγίους τόπους δώδεκα ἔτη.»

46. Τοιαύτην γνώμην θέμενοι, καὶ προσκυνήσαντες τὸν Ναράδαν, ἀναχωρήσαντα, συνεγίνοντο τῇ Δραουπαδῇ [1] κατὰ τὴν συνθήκην ἐκείνην.

47. Καί ποτε βοῶν πολλῶν, ὑπὸ πολλῶν κλεπτῶν κλαπέντων, Βραχμάν τις, ὃς κύριος ἦν τῶν βοῶν, ἐλθὼν ἐπὶ τὴν πόλιν, ἔκραξε πολλάκις λέγων· «Δράμετέ, δράμετε, » υἱοὶ τῆς Πριτᾶς.»

48. Τοῦ μὲν οὖν τόξου κειμένου ἐν τῷ κοιτῶνι, ἔνθα ἦν ὁ Ἰνδιστίρας μετὰ τῆς Δραουπαδῆς, τοῦ δὲ Βραχμᾶνος δεινοπαθοῦντος, ὁ Ἀρζούνας, ἐνθυμούμενος τὴν συμφωνίαν ἐκείνην διηπόρει, λέγων· «Τί ποιήσω; τί;»

49. Ἐννοῶν δ' ὡς ἀρετή ἐστιν ἐκ διαμέτρου, καὶ τὸ πολεμεῖν ὑπὲρ Βραχμᾶνος, καὶ τὸ περιέρχεσθαι τόπους ἁγίους ἐν δώδεκα ἔτεσιν, εἰσελθὼν εἰς τὸν κοιτῶνα ἔλαβε τὸ τόξον, τὸ τὰς κάρας τῶν κακῶν διαπεῖρον.

---

1. Δραουπαδὴ, πατρωνυμικὸν ὄνομα τῆς Κρισνᾶς ἀπὸ τοῦ Δρουπάδα.

50. Νικήσας δὲ τοὺς κλέπτας ὁ θαρσαλέος Ἀρζούνας, καὶ ἀποδοὺς τὰς βοῦς τῷ Βραχμᾶνι, καί περ κωλυόμενος ὑπὸ τοῦ Ἰνδιστίρα, ἥψατο ὅμως σταθερῶς τῆς εἰς ἔρημον ὁδοῦ μετὰ πολλῶν Βραχμάνων.

51 Πλανώμενος δ' εἰς δρυμοὺς, ὡς ἐλέφας, καὶ ἐκμυζώμενος ὑπὸ Βραχμάνων δῶρα πολλὰ, ὡς ὁ ἐλέφας ἐκμυζᾶται τὸν ῥέοντα χυμὸν ὑπὸ βομβυλίων, ἀφίκετο εἰς τὴν Γαγγαδοαρὰν [1], πρὸς θεραπείαν τῆς ὀδύνης τῶν τῆς ψυχῆς παθῶν.

52. Ἐνταῦθα οἱ Βραχμᾶνες, οἱ συνελθόντες τῷ Ἀρζούνᾳ, ἐποίουν θυσίας καὶ πυρολατρείας, καὶ ἐξ ἐκείνου, οἶμαι, μέχρι τῆς σήμερον ἡ Γαγγὰ ἀναβράσεις ποιεῖ τοῖς κύμασιν, ὥςπερ θερμαινομένη.

53. Τοῦτον τὸν Ἀρζούναν, ἐμβάντα ἐντὸς τῆς Γαγγᾶς εἰς τὸ λούσασθαι, κἄπειτα ποιῆσαι λατρείαν τῷ πυρὶ, εἶλε βία θυγάτηρ ὄφεως, Οὐλουπὴ τοὔνομα, οἰστρηθεῖσα τῷ Ἔρωτι.

54. Ἀχθεὶς δ' ὑπ' αὐτῆς αὐτὸς εἰς τὴν πόλιν τῶν ὄφεων, καὶ ἰδὼν ἐκεῖ πῦρ λατρείας, ἐποίησε σπονδήν· τοῖς γὰρ ἀγαθοῖς ποῦ οὐκ ἔστιν ἐκτέλεσις τοῦ πρακτέου;

55. Ἐπειδὴ δέ φασιν, ἔκπτωσις οὐ γίνεται τοῦ τῆς παρθενίας ἔργου τῷ συνόντι λίαν ἐρώσῃ γυναικὶ, (καὶ γὰρ ἄνευ τῆς συνουσίας καὶ τῆς περιπτύξεως οὐχ οἷόν τε ἐστὶν αὐτῇ ἔχειν ζωήν)

56. Διὰ τοῦτο, τοῦτο ἀνακυκλῶν ἐν τῷ νοῖ διὰ πολλοῦ, συνεγένετο ὁ εὔσπλαγχνος τῇ θυγατρὶ τοῦ ὄφεως, λίαν ἐλεεινολογούσῃ καὶ πασχούσῃ ἔρωτι.

---

1. Γαγγαδοαρὰ κατ' ἐτυμολογίαν, θύρα τοῦ Γάγγου· λέγεται δὲ καὶ Χαρηδοαρὰ μέχρι τῆς σήμερον· τόπος ἅγιος, κείμενος περὶ τὴν ὄχθην τοῦ Γάγγου, πλησίον τῆς ὑπωρείας τοῦ Ἰμαοῦ, ἐξ οὗ καταῤῥέει ὁ Γάγγης εἰς τὴν γῆν τῆς Ἰνδίας. Αὕτη ἡ Γαγγαδοαρὰ, ἡ καὶ Χαρηδοαρὰ, οἱ πρῶτοι καταῤῥάκται εἰσὶ τοῦ Γάγγου.

57. Μείνας δ' ἐκεῖ τὴν νύχθ' ὅλην, λαβὼν ἄδειαν παρ' αὐτῆς, ἐν γαστρὶ ἐχούσης, ἐπανῆλθεν εἰς τὸ ἑαυτοῦ κατασκήνωμα. Ἀναγγείλας δ' εὐθὺς τοῖς Βραχμᾶσι πᾶν τὸ γεγονὸς, ἦλθεν εἰς τὴν ὑπώρειαν τοῦ Ἰμαοῦ.

58. Ἐλθὼν δ' ἀπὸ τοῦ ἀσκητηρίου τοῦ Ἀγαστέα εἰς τὸ τοῦ Βασίστα, ἐλούσατο ἐν τῷ ἁγίῳ τόπῳ, ᾧ ὄνομα Βρισσατούγκα. Ἰδὼν δὲ καὶ τὸν ἅγιον τόπον τοῦ Χιρανα βινδοῦ [1], ἀνέβη εἰς τὸν Ἰμαόν.

59. Στρέψας δὲ κατὰ τὸ ἀνατολικὸν μέρος, ἀφίκετο ἀπὸ ποταμοῦ εἰς ποταμὸν, καὶ εἰς τὸ ἄλσος Ναϊμισσὰν, κἀκεῖθεν εἰς τὰς ὄχθας τῆς Νανδᾶς καὶ τῆς Ἀπαρανανδᾶς, καὶ εἰς τὴν Καουσσικὴν καὶ τὴν Γαϊὰν καὶ Γαγγάν.

60. Ἰδὼν δὲ τὸν ὠκεανὸν, ἀφίκετο εἰς τὸ μέγα ὄρος Μαχένδραν, κἀκεῖθεν εἰς τὴν ἐν τῇ ἀκτῇ τῆς θαλάσσης Μανιπούραν, καὶ προσεκύνησε πάντας τοὺς ἐκεῖ ἁγίους τόπους.

61. Ἔνθα ἰδὼν ὁ Ἀρζούνας τὴν Σιτραγγάδαν, θυγατέρα τοῦ Σίτρα, βασιλέως τῆς Μανιπούρας, παίζουσαν ἐρωτικῶς καὶ ὁμοίαν οὖσαν κατὰ τὴν μορφὴν τῇ Ῥατῇ, ἠράσθη αὐτῆς.

62. Πρὸς ὃν ἔφη ὁ Σίτρας· « Ἐν τῷ γένει μου ἦν πρότερον βα» σιλεὺς ἅπαις, Πραβαγκάρας τοὔνομα. Λατρευθεὶς δ' ὑπὸ » τούτου ἀσκήσεσιν ὁ Σίβας, ἔδωκεν αὐτῷ τὴν εὐχὴν ταύ» την· «Ἑνὶ ἑκάστῳ τῶν ἀπογόνων σου ἓν μόνον τέκνον ἔχω.»

63. « Ἐκείνῳ μὲν οὖν καὶ τοῖς λοιποῖς ἀπογόνοις μέχρι ἐμοῦ » υἱοὶ ἐγένοντο· ἐμοὶ δὲ μόνη αὕτη ἡ θυγάτηρ. Γέννησον » οὖν ἐξ αὐτῆς υἱὸν ἐπὶ τοιαύτῃ συμφωνίᾳ, ὡς κληρονόμος » ἔσεται τῆς ἐμῆς βασιλείας.»

64. Ἔμεινεν οὖν ἐκεῖ ὁ Ἀρζούνας τρία ἔτη μετ' αὐτῆς, δοθείσης παρὰ τοῦ πατρὸς, παρακαλέσαντος. Ἐγένετο δὲ τούτῳ υἱὸς περιφανὴς, Βαβροῦς τοὔνομα, ὀλέτωρ

1. Οὗτος μέγας ὅσιος ἦν.

ὧν τοῖς ἐχθροῖς, ὡς ὁ ἰχνεύμων τοῖς ὄφεσιν [1].

65. Ἐντεῦθεν ἐπορεύθη ὁ Ἀρζούνας εἰς προσκύνησιν τῶν ἁγίων τόπων, τῶν ἐν τῇ ἀκτῇ τοῦ ὠκεανοῦ, κατὰ τὸ μεσημβρινὸν μέρος· καίπερ δὲ κωλυόμενος παρὰ τῶν Βραχμάνων, ἐλούσατο ἐν τῷ ἁγίῳ τόπῳ Σαουβάδρᾳ.

66. Ἐκράτησε δ' ὁ δυνατὸς τοὺς βραχίονας ἕνα φοβερὸν κροκόδειλον, ὁρμήσαντα κρατῆσαι τὸν πόδα αὐτοῦ, καὶ ἔρριψεν αὐτὸν εἰς τὸν αἰθέρα, ὁ δεξιὸς εἰς ὄλεθρον τῶν ἐχθρῶν καὶ τῶν συμμάχων αὐτῶν.

67. Ἀντ' ἐκείνου δὲ τοῦ κροκοδείλου εἶδεν ἐν τῷ μέσῳ τοῦ αἰθέρος μίαν ἀγλαὰν θήλειαν, ἡ ἔλεξε πρὸς αὐτὸν λόγον πλήρη ἡδονῆς καὶ ἀγάπης·

68. «Ἡμεῖς, ὦ γενναῖε, πέντε Ἀψαραὶ φίλαι ἦμεν ἐνταῦθα, » ὀνομασταὶ ἐν τῷ χορῷ τῶν θεῶν· ὄνομα δ' ἑκάστη ἡμῶν » Δαρμὰ, Σαουραβαγὴ, Σαμιρικὰ, Βουδβουδικὰ, καὶ » Λατά.

69. «Ὑπό τινος δὲ Βραχμᾶνος ἀσκητοῦ ἐτιμωρήθημεν ἀρᾷ, » ἐμποδὼν γινόμεναι τῇ ἀσκήσει αὐτοῦ, καὶ ἐγενόμεθα « πέντε κήτη δεινὰ ἐν τούτοις τοῖς πέντε προσκυνητοῖς » τόποις.

70. «Χάρις δ' ὅμως ἐγένετο ἡμῖν ὑπ' ἐκείνου, εἰπόντος· «Ὅτε « γενναῖός τις ἀνὴρ ῥίψει ὑμᾶς εἰς τὸν αἰθέρα, τότε ὑμῖν « λύσις τῆς ἀρᾶς δή που γενήσεται.» Ἐγὼ μὲν οὖν ἐλυ- » τρώθην· λύτρωσον δὲ καὶ τὰς λοιπάς.»

71. Ἀκούσας ὁ Ἀρζούνας ἐλύτρωσεν ἐκ τῆς ἀρᾶς καὶ τὰς λοιπὰς, τὰς ἐν τοῖς λοιποῖς ἁγίοις τόποις. Ἔκτοτε δὲ μέχρι τῆς σήμερον οὗτοι οἱ πέντε ἅγιοι τόποι λέγονται *Πέντε γυναικῶν*.

---

1. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· Βαβροῦς γὰρ λέγεται ὁ ἰχνεύμων, ἡ Μυγαλῆ.

72. Θεωρήσας δ' ὁ πολεμικώτατος Ἀρζούνας πολλοὺς ἁγίους τόπους, τὸν Γοκαρνᾶν καὶ τοὺς λοιποὺς, ἐπορεύθη εἰς τὴν περιφανῆ Πραβάσαν, κατὰ τὸ δυτικὸν μέρος [1].

73. Ἐνταῦθα ἐχάρη ὁ Ἀρζούνας ἰδὼν τὸν ὠκεανὸν, ὃς ἔχει μαργαρίτας, ὡς σταγόνας ἱδρῶτος, καὶ φρύττει ταῖς μαρμαρυγαῖς τῶν σμαράγδων, καὶ γνωρίζεται ἐκ τῶν ἐρυθρῶν πολυτίμων λίθων, ὡς ἔρωτα ἔχει καὶ ἐπιθυμίαν μίξεως τῆς ροῆς τῶν ποταμῶν [2].

74. Οὗ θυγάτηρ μέν ἐστιν ἡ ἀμβροσία, υἱὸς δ' ὁ τῆς νυκτὸς φωστὴρ, ὃς τόπος ἐστὶ τῶν πολυτίμων λίθων, ἐξ οὗ ἀνατέλλει ὁ ἐν τῇ Βέδᾳ ὑμνούμενος Ἥλιος, ἐν ᾧ οὐχ ἕρπει ὡς ὅφις ὁ πανδαμάτωρ χρόνος·

75. Ὃς καταφαγὼν πάντας τοὺς κόσμους ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, ἄσκησιν ποιεῖ μεγάλην [3], φέρων τὸν Βισνοῦν ἐν ἑαυτῷ, καὶ ἀγρυπνεῖ ἐν νυκτὶ, ἔχων, ὡς λύχνον, τὸ πύρινον ὄμμα τοῦ Σίβα [4].

76. Οὗ οἱ υἱοὶ μαργαρίται, γινώσκοντες τὸν Κουμβαβάβαν (σταμνογενῆ) Ἀγαστέαν, ἐχθρὸν τοῦ πατρὸς, τιθέμενοι εἰς τιμὴν ἐν τοῖς περιδεραίοις, πατοῦσι τοῖς ποσὶ τοὺς τῶν βασιλισσῶν στρογγύλους μαστοὺς, νομίζοντες ὅτι στάμνοι εἰσίν·

77. Ὃς, γελῶν διὰ τῶν λευκῶν ἀφρῶν τοὺς λόγους τῶν ἀνθρώπων, λεγόντων ὅτι, ὁ ὠκεανός ἐστιν ἐν τῇ κοιλίᾳ τοῦ Κρισνᾶ, λέγει, ὡς τὸν Κρισνᾶν ἔχει ἐν τῇ κοιλίᾳ ἑαυτοῦ,

---

1. Ἐκ τῆς Πραβάσας χώρας ἦν ἡ Πριτά.

2. Σημείωσαι, ὡς ταῦτα πάντα, ὁ ἱδρὼς, ἡ φρίκη καὶ τὸ ἐρυθρὸν, ἰδιά ἐστι τοῦ ἔρωτος.

3. Ἡ κατάβρωσις τοῦ κόσμου ἁμαρτία ἐστίν· ὁ δὲ ἁμαρτίαν ποιῶν, ἐγκράτειαν μετέρχεται καὶ σκληραγωγίαν. Τὸ πρωτότυπον ἐννοεῖ εἶδος ἐγκρατείας, ἥ ἐστι τὸ νηστεύειν δι' ὅλης τῆς ἡμέρας καὶ ἐσθίειν τὴν νύκτα.

4. Ἐννοεῖ τὸ πῦρ, τὸ ἐν τῇ θαλάσσῃ.

καὶ διὰ τοῦτο τὸ φύσει λευκὸν ὕδωρ μέλαν ἐγένετο·

78. Ἐν ᾧ ἐφάλλονται τὰ τμήματα τοῦ Ἡλίου, πίπτοντος ἐν ταῖς νυξὶν ἐκ τῆς κορυφῆς τοῦ δυτικοῦ ὄρους, συντριβομένου τε καὶ βυθιζομένου, ἅ εἰσιν αἱ λαμπραὶ καὶ σπινθηροειδεῖς φρίκαι τῶν συνταραττομένων κυμάτων·

79. Ὃς κατ' ἀρχὰς ποιεῖ τοῦτο τὸ πᾶν, καὶ διατηρεῖ αὐτὸ τοῖς νέφεσι [1], καὶ ἐν τῷ τέλει φθείρει αὐτὸ τοῖς ἀλλεπαλλήλοις κύμασι, γελῶν τοὺς τρεῖς θεοὺς διὰ τῆς ἐκφάνσεως λευκῶν μαργαριτῶν, ὡς ὀδόντων·

80. Οὗ μόνον δῶρόν ἐστιν ἡ Καλπαδρούμα, ὁ Σινταμανὴς καὶ ἡ Καμαγαβὴ, οὗ ἐν τῇ κοιλίᾳ ἐστὶν ὁ Βισνοῦς, ὃς διεφύλαξε τὰ ὄρη ἐκ τοῦ Ἴνδρα· τοῦτον τὸν ὠκεανὸν ἰδὼν ἐνταῦθα ὁ Ἀρζούνας, ἐχάρη.

81. Τοῦτον τὸν Ἀρζούναν ἐλθόντα ἐνθάδε, μαθὼν ὁ Κρισνᾶς, ὁ μέγας βασιλεὺς τῆς Δοαραβατῆς, παρεγένετο εἰς τὸ ὄρος, ᾧ ὄνομα Ῥαϊβατακὰ, σὺν ἅπασι τοῖς ἐκ τοῦ Ἰαδοῦ λογάσι.

82. Καὶ πρῶτον μὲν οἱ τοῦ Ἰαδοῦ ἀπόγονοι πάντες ἐποίησαν κατὰ τάξιν τῷ Ἀρζούνᾳ τὴν προσήκουσαν δεξίωσιν· εἶτα δ' ἠνέχθη αὐτὸς ὑπ' αὐτῶν εἰς τὴν πόλιν, καθὼς τὸ δένδρον φέρεται ὑπὸ τῶν ῥείθρων τοῦ ποταμοῦ.

83. Καί ποτε οἱ ἐκ τοῦ Ἰαδοῦ, σὺν γυναιξὶ καὶ τέκνοις ἦκον εἰς τὸ ὄρος Ῥαϊβατακὰν, πρὸς διατριβὴν καὶ θεωρίαν. Ἐνταῦθα ἡ εὐμελὴς Σουβαδρὰ, ἡ ἀδελφὴ τοῦ Κρισνᾶ, ἔθελξε τὴν καρδίαν τοῦ Ἀρζούνα.

84. Γνοὺς δ' ὁ Κρισνᾶς τήν τε γνώμην τοῦ Ἀρζούνα, καὶ τὴν φιλοχρηματίαν τῶν ἐκ τοῦ Ἰαδοῦ [2], ἔφη αὐτῷ· «Τῷ ἥρωϊ

---

1. Νέφη ἐνταῦθα ἐννοεῖ ἐκεῖνα, ἃ ἐκροφῶσιν ὕδωρ ἐκ τῆς θαλάσσης καὶ ἔπειτα βρέχουσιν ἐπὶ γῆς.

2. Οἱ ἀδελφοὶ τοῦ Κρισνᾶ καὶ λοιποὶ συγγενεῖς ἤθελον δοῦναι τὴν Σουβαδρὰν εἰς γάμον τῷ Δουριοδάνᾳ, ὃς ἦν πλουσιώτερος.

» ὁ γάμος ἔπαινόν ἐστι προξενῶν, ἤτοι ἐν αἱρέσει, ἢ ἐν
85. » ἁρπαγῇ· αὕτη δὲ ἐν αἱρετῷ γάμῳ ἤτοι ἐκλέξεταί σε,
» ἢ οὐχί· ἅρπαξον οὖν αὐτὴν σὺ βίᾳ.» Γνωρίσας δὲ ταῦτα
τῷ Ἰνδιστίρᾳ ὁ Ἀρζούνας, ἕτοιμος ἐγένετο εἰς ἁρπαγὴν
τῆς Σουβαδρᾶς.

86. Καί ποτε ὁ Ἀρζούνας, μαθὼν ὡς ἡ Σουβαδρὰ ἦκεν εἰς
τὸ ὄρος Ῥαϊβατακὰν, ἐπακολουθῶν ἐπὶ προφάσει θήρας,
νικήσας τοὺς σωματοφύλακας, ἥρπαξεν αὐτήν.

87. Τοῦ δὲ Βαλαράμα καὶ τῶν λοιπῶν ἀχθεσθέντων καὶ δρα-
μόντων εἰς πόλεμον, εἶπεν ὁ Κρισνᾶς· «Οὗτος ἀήττητός
» ἐστιν ἅπασιν ἡμῖν,» καὶ καταπραΰνας τὸν Ἀρζούναν
δι' ἀγγέλων ἀποσταλθέντων, συνέζευξεν αὐτῷ αὐτὴν τὴν
Σουβαδράν.

88. Καταναλώσας δ' ὁ Ἀρζούνας ὅλον ἐκεῖνον τὸν χρόνον τῆς
ὡρισμένης ἀποδημίας ἐν τῇ πόλει τῶν ἐκ τοῦ Ἰαδοῦ καὶ
ἐν τοῖς ἁγίοις τόποις τῆς Πουσκάρας, ἐπανῆλθεν εἰς τὴν
Ἰνδραπράσταν μετὰ τοῦ Κρισνᾶ καὶ τῆς Σουβαδρᾶς.

89. Εἰσδὺς δὲ τὰ ἀνακτόρεια, ἐφαιδρύνετο οὗτος· ὁ ἥρως
ταῖς γηραλέαις γυναιξὶν, ἀσχολουμέναις ῥιπίζειν αὐτὸν
τοῖς ἄκροις τῶν ἱματίων καὶ ἀποσμήχειν τὸν ἱδρῶτα, τὸν
ἐκ τοῦ πόνου τῆς ὁδοιπορίας.

90. Ὁ μὲν οὖν μεγαλόψυχος οὗτος Ἀρζούνας ἐποίησε τοῖς
τέσσαρσιν ἀδελφοῖς τὴν προσήκουσαν πρόσρησιν· ἡ δὲ Σου-
βαδρὰ, προσκυνήσασα τὴν Πριτὰν, εἶπε πρὸς τὴν Δραου-
παδήν· «Ἐγώ εἰμι δούλη σου[1].»

91. Τέτοκε δ' ἡ ὀλβία Σουβαδρὰ καλὸν υἱὸν, Ἀβημανιοῦν
τοὔνομα, καταβάλλοντα τὴν ὀφρὺν τῶν ἐχθρῶν, ᾧ ἐνί γε
συνῆλθεν ἐν ταὐτῷ ἡ δύναμις ἀμφοτέρων, τοῦ τε πατρὸς
καὶ τοῦ πρὸς μητρὸς θείου (τοῦ Κρισνᾶ).

---

1. Ἡ δευτέρα γυνὴ τιμᾷ τὴν πρώτην, ὡς κρείττονα.

92. Ἀμφότεροι γὰρ ἐπαίδευσαν τοῦτον παιδιόθεν πᾶσαν παιδείαν, ὅ,τε Ἀρζούνας, ὡς υἱὸν ἑαυτοῦ, ὅ,τε Κρισνᾶς, ὡς ἀδελφιδοῦν ἑαυτοῦ, καὶ ἐγένετο ὅμοιος ἀμφοτέροις.

93. Ἡ δὲ θυγάτηρ τοῦ Δρουπάδα ἐγέννησεν ἐκ τῶν πέντε τούτων ἀνδρῶν, πέντε υἱούς, ἕνα ἕκαστον ἐν ἑνὶ ἑκάστῳ ἔτει, λαμπροὺς ὡς τὸ πῦρ, καὶ παιδείας λαμπρὰ δοχεῖα,

94. Ὧν τὰ ὀνόματά εἰσι ταῦτα· Προτιβανδέας (πανέκλαμπρος), Σρουτασόμας, (περίφημος ὡς Σελήνη), Σρουτακαρμὰν, (μεγαλουργὸς ἐν πολέμοις), Σατανίκας, (ἐξάκουστος),

95. Καὶ Σρουτασένας, (ἀναιρέτης τῶν πολεμίων στρατῶν). Οὗτοί εἰσιν οἱ υἱοὶ τῶν υἱῶν τῆς Πριτᾶς, οἷς ὁ μὲν ἱερεὺς Δαουμέας πᾶσαν ἁγιστείαν ἐτέλεσεν, ὁ δ' Ἀρζούνας πᾶσαν μάθησιν ἔδωκεν.

96. Αὕτη δὲ ἡ πενταπρόσωπος γενεὰ τοῦ Πανδοῦ, παρά τίνος προσκύνησιν οὐκ ἐλάμβανε, λαμπρυνομένη τῷ ὁμίλῳ τῶν ἓξ ἡρωϊκῶν παίδων, τῷ ἔχοντι τὴν ἐξαπρόσωπον φύσιν τοῦ Σκάνδα;

97. Ἡ δὲ θυγάτηρ τοῦ Γοβαχάνα, βασιλέως τῆς Σιβῆς χώρας, Δεβικὰ ὀνόματι, συνεζεύχθη τῷ Ἰνδιστίρᾳ ἐν αἱρετῷ γάμῳ· ἐξ ἧς ἐγεννήθη αὐτῷ υἱὸς, Ἰανδεΐας τὸ ὄνομα.

98. Ὁ δὲ ἰσχυρὸς Βήμας ἔγημεν ἐν Κασσῇ τῇ πόλει τὴν Σταβιρὰν, ἣν ἐκτήσατο διὰ τῆς ἑαυτοῦ δυνάμεως· ἐγένετο δ' ἐξ αὐτῆς αὐτῷ υἱὸς, Σαρβάγκας τοὔνομα, λαμπρὸς ὡς Ἥλιος.

99. Ὁ δὲ Νακούλας ἔγημε τὴν Καρενουβατὴν, θυγατέρα τοῦ βασιλέως τῆς Σεδῆς χώρας, ἀσύγκριτον τῷ κάλλει, ἐξ ἧς ἐγένετο αὐτῷ υἱὸς νικητὴς τῶν ἐχθρῶν, Νιραμήτρας ὀνόματι.

100. Ὁ δὲ Σαχαβέδας ἔγημεν ἐν αἱρετῷ γάμῳ τὴν θυγατέρα τοῦ Διουτιμᾶνος, βασιλέως τῆς Μαδρῆς, Βιζαΐαν ὀνόματι, ἐξ ἧς ἐγέννησεν υἱὸν Σουχότραν τοὔνομα.

101. Οὗτοι οἱ τέσσαρες υἱοὶ τῶν υἱῶν τοῦ Πανδοῦ, ὅ,τε Ἰανδεΐας, ὁ Σαρβάγκας, ὁ Νιραμήτρας καὶ ὁ Σουχότρας, διεδέξαντο τὴν βασιλείαν τῶν πρὸς μητέρων Πάπτων.

102. Διὰ πολλοῦ μὲν οὖν οἱ πέντε υἱοὶ τοῦ Πανδοῦ ἐτέροντο ἅμα τῷ Κρισνᾷ ἐν ταύτῃ τῇ πόλει Ἰνδραπράστᾳ· οἱ δὲ δώδεκα Ἥλιοι [1], οἵ εἰσι τὰ δώδεκα στρογγύλα ἐνώτια τῶν πέντε Πανδοϊδῶν καὶ τοῦ Κρισνᾶ, ὥσπερ νικηθέντες τῇ λαμπρότητι αὐτῶν, θεραπείαν αὐτοῖς ἐποίουν.

103. Ὁ μὲν δὴ Ἰνδιστίρας, ὁ βασιλεὺς τῆς γῆς ἐκείνης, διοικῶν τὴν πολύολβον καὶ πολυάνθρωπον ἐκείνην πόλιν, καὶ ἀγαλλόμενος λίαν τῇ κρίσει καὶ τῇ δικαιοσύνῃ καὶ τῇ ὀρθότητι, εὔκτητον διὰ τῶν εὐποιΐων ἐποίησε καὶ αὐτὴν τὴν πόλιν τοῦ Βραχμᾶ.

Τέλος τοῦ Ἕκτου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου τοῦ μεγάλου Ποιήματος
τοῦ διαλαμβάνοντος περὶ ἡμιθέων
καὶ ἡρώων.

ΚΕΦΑΛΑΙΟΝ ΕΒΔΟΜΟΝ,

δ διαλαμβάνει περὶ τοῦ Ἔαρος.

1. Σέβου τὸν σεβαστὸν καὶ τοῖς θεοῖς Βεάσαν, οὗ τὸ τοῦ σώματος χρῶμα, καίπερ μέλαν, ἔσχεν ὅμως ἀγλαΐαν, καὶ διὰ τοῦτο ὑφ' ἁπαξαπάντων εἰς τιμὴν φέρεται ἐπὶ τῆς κεφαλῆς, ὅ ἐστιν ἡ φαινομένη κόμη.

1. Δώδεκα ἥλιοι, κατ' ἀναλογίαν τῶν δώδεκα ζωδίων.

2. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, ἐπιστάσης τῆς ὥρας Βασάντας [1], λαβόντες ἄδειαν παρὰ τοῦ Ἰνδιστίρα ὅ,τε Ἀρζούνας καὶ ὁ Κρισνᾶς, ἐπορεύθησαν, πρὸς διατριβὴν, μετὰ πολλῶν ἀκολούθων πολιτῶν εἰς τὸ ἄλσος Κανδάβαν, τὸ ραινόμενον ῥανίσι τῶν κυμάτων τῆς Ἰαμουνᾶς.

3. Ἰδὼν δ' ὁ Κρισνᾶς ἀντικρὺ τὸ ἄλσος ἐκεῖνο, τὸ ὂν κυανοειδὲς ἐκ τῶν κυανοειδῶν ῥευμάτων τῆς διαῤῥεούσης Ἰαμουνᾶς, τῆς θυγατρὸς τοῦ Ἡλίου, ἔφη τῷ Ἀρζούνᾳ χαρείς·

4. « Ἰδὲ [2], οὗτος ὁ αἰθὴρ, ὃς ἐστιν ἡ διακινουμένη πυκνὴ » ἀναδενδρὰς ἐπὶ τῆς ὄχθης τῆς Ἰαμουνᾶς, ἐπειδὴ κατε» πατεῖτο ὑπὸ τοῦ Ἡλίου καὶ περιεθερμαίνετο, καὶ κατε» θλίβετο, ἄσκησιν ποιεῖ ἐνταῦθα [3].

5. « Ὧδε οἱ ταὼ θλίβουσι τοὺς ὁδοιπόρους διὰ τῶν ἑαυτῶν » φωνῶν, καὶ νομίζοντες ὅτι ὥρα τῆς βροχῆς ἐστι, χο» ρεύουσιν ἀεὶ, τοῦ Ἡλίου καὶ τῆς Σελήνης ἀφανῶν ὄντων, » ἕνεκα τῶν κλάδων τῶν συνεχῶν δένδρων, καὶ ὅτι βροντή » ἐστιν ἡ φωνὴ τῶν ἐν τοῖς ὕδασι τῆς Ἰαμουνᾶς ἐλε» φάντων.

6. « Αἱ ἐν τούτῳ τῷ δρυμῶνι θυγατέρες τοῦ ἐρημάρχου, » περιγελῶσι τὰς ἐν ταῖς πόλεσιν, ἔχουσαι ὡς κοσμήματα » Γούνζας μεμιγμένας μαργαρίταις, ἐξαχθεῖσιν ἐκ τῶν » κεφαλῶν τῶν ἀγρίων ἐλεφάντων, καὶ ἱμάτια ἐκ δερμά» των παρδάλεων.

7. « Καθὼς τὸ δάσος τοῦτο, καί περ ἐκ φύσεως ἀγλαὸν, » ἀγλαότερον ὅμως γίνεται ἐκ τῆς ἀγλαΐας τοῦ Ἔαρος,

---

1. Βασάντα, ἡ δίμηνος ὥρα τοῦ Ἔαρος· κατὰ μὲν τὴν Βέδαν, ὁ Μάρτιος καὶ Ἀπρίλιος· κατὰ δὲ τὴν Πουράναν, ὁ Φεβρουάριος καὶ Μάρτιος.

2. Ἐν τοῖς ἑξῆς διεξέρχεται ὁ ποιητὴς ἀστείως τὰς χάριτας τοῦ Ἔαρος καὶ τοῦ ἄλσους.

3. Ἄσκησιν ποιεῖ εἰς ἄμυναν τοῦ Ἡλίου.

» οὕτω καὶ τὸ πρόσωπον τῶν γυναικῶν, καί περ ἐκ φύσεως
» λαμπρὸν, λαμπρότερον ὅμως τῆς Σελήνης γίνεται ἐκ
» τῶν λιθοκολλήτων χρυσῶν ἐνωτίων.

8. « Ἰδὲ τὴν ἔλευσιν τοῦ Ἔαρος, ἀπελαύνουσαν μὲν τὰς γε-
» ράνους, ὑπερεκβακχεύουσαν δὲ τὰ σμήνη τῶν βομβυ-
» λίων, ἐξ ἧς καὶ ἡ γῆ τοῦ ἄλσους ἠγλαΐσθη τοῖς ἱλαδὸν
» ἱπταμένοις χησὶν, οἵ εἰσιν οἱ φαινόμενοι οὗτοι ἀνθώ-
» δεις βλαστοί.

9. « Ἐγὼ νομίζω ὅτι, τοῦ οὐρανοῦ ἐκταθέντος εἰς τὸ λαβεῖν
» εὐωδίαν ἐκ τῶν πολλῶν εὐόσμων ἀνθέων, καὶ ἐκ τούτου
» διὰ μακροῦ τοῦ χρόνου διαπερωμένου ὑπὸ τῶν ἵππων
» τοῦ ἅρματος τοῦ Ἡλίου, ἡ ἡμέρα ἀναγκαίως ηὔξησεν.

10. « Ἡ δὲ νὺξ αὕτη ἰσχνότητα, οἶμαι, ἔχει ἐκ λύπης, βλέ-
» πουσα τὴν κυρίαν ἑαυτῆς Σελήνην, νικηθεῖσαν ὑπὸ τῆς
» πολλῆς ἀγλαΐας τῶν προσώπων τῶν γυναικῶν, τῶν
» ἀγλαϊζομένων ἐξ αἰτίας τοῦ Ἔαρος.

11. « Καθὼς δὲ, ὡς οἶμαι, αἱ ἡμέραι αὗται ἑκάστοτε αὐξά-
» νουσιν ἐκ τῆς δυνάμεως τοῦ Ἔαρος, τὸν αὐτὸν τρόπον
» καὶ αἱ νύκτες αὗται συστέλλονται ἐξ αἰσχύνης, ὥσπερ
» νεόγαμοι γυναῖκες [1].

12. « Παρὰ μὲν ταῖς συνούσαις ἀνδράσιν, ἡ μὲν ἡμέρα, καί περ
» μακρὰ, μακροτέρα φαίνεται [2]· ἡ δὲ νὺξ, καί περ βρα-
» χεῖα, βραχυτέρα· παρὰ δὲ ταῖς θλιβομέναις τῇ ἀπουσίᾳ
» τῶν ἀνδρῶν, ἡ μὲν ἡμέρα, καί περ μεγάλη, μικρὰ φαί-
» νεται [3], ἡ δὲ νὺξ, καί περ μικρὰ, μεγάλη.

---

1. Αἱ ἡμέραι, ὡς ἄνδρες, αἱ δὲ νύκτες, ὡς γυναῖκες.

2. Ἀδημονοῦσι πότε ἐλεύσεται ἡ νὺξ, καὶ διὰ τοῦτο ἡ ἡμέρα φαίνε-
ται μακροτέρα.

3. Ἐνασχολοῦνται τοῖς οἰκιακοῖς ἔργοις, ἢ ἐλπίζουσιν ἔλευσιν τοῦ
ἀνδρὸς, καὶ διὰ τοῦτο ἡ ἡμέρα φαίνεται μικρὰ, καί περ μεγάλη.

13. «Πολλὴ δέ τις καὶ δριμεῖα θερμότης ἐγένετο τοῦ Ἡλίου [1], » τρεπομένου κατὰ τὸ βόρειον μέρος, ὥςπερ ὀξυνθεῖσα τῇ » θερμότητι τοῦ πυρίνου ὄμματος τοῦ Σίβα, τοῦ ἐνδια- » τρίβοντος ἐκείνῳ τῷ βορείῳ μέρει.

14. «Τὰ δ' ἄστρα, ἅ εἰσιν αἱ ῥανίδες τοῦ ἐν τῷ προσώπῳ » ἱδρῶτος [2], ὥςπερ θερμανθέντα ἐκ τῶν πολλῶν καὶ σφο- » δρῶν ἀκτίνων τοῦ Ἡλίου, ἀφῆκαν τὸν οὐρανὸν, καὶ » προσῆλθον τῷ προσώπῳ τῆς σεληνοπροσώπου, νομίζοντα » ὡς ὁ ἀνὴρ αὐτῶν ἐστιν ἡ Σελήνη [3].

15. «Καθὼς δὲ τοῦτο τὸ Ἔαρ θίγει καθ' ἑκάστην τὰ πρόσωπα » τῶν ἐλαφοφθάλμων γυναικῶν, εἰς τὸ γενέσθαι ὅπλα » τοῦ Ἔρωτος, οὕτω καὶ αὕτη ἡ Σελήνη θίγει τὴν στιλ- » πνότητα ἑαυτῆς ἑκάστοτε, ὥςπερ ἐρίζουσα.

16. «Ἐν τούτῳ τῷ Ἔαρι, τὸ μὲν σεληνοειδὲς πρόσωπον τῆς » γυναικὸς χρίει βασιλέα παγκόσμιον τὸν Ἔρωτα, ταῖς » ῥανίσι τῶν ἱδρώτων τῶν ἐκ τοῦ πόνου τῆς μετὰ τοῦ » ἀνδρὸς παιδιᾶς· ἡ δὲ Κοκιλὰ ᾄδει [4].

17. «Ἡ Κοκιλὰ, γενομένη ἐρυθρὰ τὸν ὀφθαλμὸν [5] θυμῷ πως, » ᾄδουσα τοῦτο ἀγορεύει· « Οὗτος ὁ Ἔρως νικᾷ τοὺς τρεῖς « κόσμους, χρώμενος, ὡς ὅπλῳ, τῷ ἐμῷ ἱμερόεντι κελαδή- « ματι· οἵ γε μὴν ἄνθρωποι λέγουσι τοῦτον ὁπλόανθον [6]. »

18. «Οὗτος ὁ ἀὴρ ὀλισθήσας ἔπεσεν ἐκ τῆς οὐρανομήκους

---

1. Τὰς θερινὰς τροπὰς ἐννοεῖ.

2. Τὰς ῥανίδας τοῦ ἐν τῷ προσώπῳ ἱδρῶτος ἐκ τοῦ καύματος, ἄστρα ἐννοεῖ, τὸ δὲ πρόσωπον Σελήνην.

3. Τὰ ἄστρα λέγονται Ταρὰ παρ' Ἰνδοῖς ἐπὶ θηλυκοῦ γένους· ἡ δὲ Σελήνη ἀρσενικοῦ γένους ἐστὶ, καὶ διὰ τοῦτο λέγεται ἀνὴρ, τουτέστι κύριος τῶν ἄστρων, διὰ τὴν ἣν ἔχει κρείττονα λαμπρότητα.

4. Κοκιλὰ λέγεται ὁ κόκκυξ, ὃς κρίνεται ἐν Ἰνδίᾳ ὡς ἀηδών.

5. Ὁ Κόκκυξ ἐρυθρὰ ἔχει τὰ ὄμματα.

6. Λέγουσι δηλονότι, ὅτι διὰ τῶν ἀνθέων, ὡς ὅπλων, νικᾷ.

» κορυφῆς τοῦ ὄρους Βινδεᾶ, καὶ ὠλιγοθύμησεν· εἶτα δ'ἀ-
» ναπνεύσας, ὡς ῥιπίσιν, τοῖς ὠσὶ, καὶ ὡς ὕδατι, τῷ
» ῥέοντι χυμῷ τῶν ἀγρίων ἐλεφάντων, ἠρέμα πνέει.

19. « Οὗτοσὶ ὁ ἀὴρ, φοβηθεὶς τοὺς ὄφεις [1], τοὺς ἐν τοῖς δέν-
» δρεσι Σανδάνοις τοῦ ὄρους Μαλαΐα ἐμφωλεύοντας, βου-
» λομένους αὐτὸν καταπιεῖν, ἐδραπέτευσε· βλέπων δ' ἐν-
» ταῦθα τοὺς πλοκάμους [2] τῶν εὐοφθάλμων γυναικῶν,
» σαλευομένους ἐν τῷ ᾄδειν, ἐκ πολλοῦ φόβου ἠρέμα πνέει.

20. « Οὗτοσὶ ὁ ἀὴρ, καὶ περ ποθεὶς ἐκ τῶν σπηλαίων τῶν
» ὀρέων Μαλαΐα, Τρικούτα καὶ Βινδεᾶ, πνέων εὐφραίνει
» ἡμᾶς, συμμιγόμενος τῷ ἀέρι τῶν ἐκ τῶν κινουμένων μα-
» στῶν τῶν ἐλαφοφθάλμων γυναικῶν τῆς Κεραλᾶς χώ-
» ρας, σαλευομένων ἐν τῇ παιδιᾷ αἰώρᾳ (κρεμαστῇ).

21. « Ἰδὲ, οὗτος ὁ ἐξ ὄρους Μαλαΐα ἀὴρ ἠρέμα πνέει, ἐξ οὗ
» διαῤῥεῖ τὰ νέα ἄνθη, τὰ ἐν τῷ δάσει· ὁ δ' Ἔρως παίζει,
» πάθος ποιῶν ταῖς γυναιξὶ, ταῖς διεζευγμέναις τῶν ἀν-
» δρῶν, καὶ ἀσχολούμενος βάλλειν ἄνθη, ὡς βέλη, βρο-
» χηδὸν κατ' αὐτῶν.

22. « Ὁ ἐκ τοῦ ὄρους Μαλαΐα οὗτος ἀὴρ, ὁ ὢν ὡς στρατιώ-
» της τοῦ Ἔρωτος, τοιοῦτον μεγαλούργημα ποιεῖ κατὰ τῆς
» στρατιᾶς τῶν ζηλοτύπων καὶ ἰσχυρογνωμόνων γυναικῶν,
» ὥστε καὶ σῶμα ἔχοντα ξύλινον τὰ δένδρα, εὐφημίζειν
» διὰ τῶν βομβυλίων, καὶ σείειν τὰς κορυφὰς αὐτῶν, ἡδό-
» μενα [3].

23. « Ἐν τούτῳ τῷ Ἔαρι ταῦτα ἀγγέλλεται πρὸς τοὺς ἀποδη-

---

1. Ὁ γὰρ ὄφις λέγεται ἠροφάγος, ζῇ δηλονότι ἐσθίων ἀέρα.

2. Ὁ πλόκαμος εἰκάζεται τῷ ὄφει, ὡς μακροειδής.

3. Ἐγκαταλείπουσι τὴν ζηλοτυπίαν καὶ ἰσχυρογνωμοσύνην, καὶ συμπαίζουσι τοῖς ἀνδράσι καθ' ὧν ὠργίζοντο πρότερον, ἐρεθιζόμεναι εἰς ἔρωτα ὑπὸ τοῦ πνέοντος ἡδέως ἀέρος.

» μήσαντας περὶ τὴν ἕω ἐν ὥρᾳ αἰσίᾳ ἄνδρας, ὑπὸ τῶν » διεζευγμένων γυναικῶν, τῶν πυρουμένων, καὶ ἐκ τῆς » ὁράσεως τῶν λωτῶν, καὶ οἰομένων τὴν παρέλευσιν μιᾶς » ὥρας ἕνα μῆνα·

24. « Σοῦ πορευθέντος, ὦ κύριε, μακρὰν, καὶ οἱ λωτοὶ, οἱ » ὅμοιοι τῷ προσώπῳ σου, θερμότητα προξενοῦσιν [1]. Ὁ » μὴν, μέχρις οὗ ὑπέσχου ἐλθεῖν, πέρας εἴληφε· σὺ δὲ καὶ » ἄχρι τοῦ νῦν οὐδ' ὁπωσοῦν μνημονεύεις μου [2]. »

25. « Ὁ Ἀσόκας θάλλει φύλλοις ἀθρόοις, λακτισθεὶς ἐκ τῆς » ἀγλαΐας τοῦ Ἔαρος, ὥςπερ γυναικὸς βεβακχευμένης, ἧς » πόδες μέν εἰσιν οἱ ἁγλαοὶ λωτοὶ, ἠχοῦντα δὲ περιπέ- » ζια, οἱ κλάζοντες χῆνες [3].

26. « Νῦν ὁ Ἔρως εἰσδύει τὴν καρδίαν τῶν ἀνδρῶν καὶ γυ- » ναικῶν, ἀνοίξας τὴν θύραν τοῦ φρονήματος [4] αὐτῶν τού- » τοις τοῖς ἁγλαοῖς ἄνθεσι τοῦ δένδρου Παλάσσα, ὥςπερ » κλειδίοις κυρτοῖς [5], πεποιημένοις ἐξ ἐρυθρᾶς λίθου (ἄν- » θρακος).

27. « Αὕτη ἡ ἁγλαὰ Σαμπακὰ κατὰ πάντων τῶν ἀνθοφόρων » δένδρων ἔχει ἀεὶ τὰ πρωτεῖα τῆς καλονῆς [6]· ἡ τὸ Ἔαρ, » ὡς ἀνὴρ, ποιεῖ κοσμήματα πολλὰ χρυσοειδῆ καὶ εὐώδη, » ἅ εἰσι τὰ ἄνθη.

28. « Τίνα ἀστειότητα οὐ ποιεῖ σήμερον ὁ Βακούλας [7], ὥςπερ

---

1. Ψυχρὸς γὰρ ὁ λωτός.

2. Νομίζει, ὡς ἡ παρελθοῦσα μία ὥρα εἷς μήν ἐστι.

3. Μυθολογοῦσιν, ὡς τοῦτο τὸ δένδρον λακτισθὲν ὑπὸ γυναικὸς μεθυούσης, θάλλει καὶ ἀνθοφορεῖ.

4. Τὸ φρόνημα, ὃ εἶχον πρότερον, καὶ οὐκ ἔκλινον εἰς τὸν Ἔρωτα, νῦν καταβαλόντες αὐτὸ, ὑποκλινεῖς ἐγένοντο.

5. Ἐρυθρὰ τὰ ἄνθη τοῦ Παλάσσα καὶ κυρτά.

6. Τὸ δένδρον τοῦτο φύει ἄνθη χρυσοειδῆ.

7. Βακούλας, φυτὸν φέρον ἄνθη κιρροειδῆ τὸ χρῶμα.

» μεθύων, μετασχὼν τοῦ οἴνου τῷ ἐν στόματι τῆς εὐστό-
» μου γυναικός [1]; γελᾷ διὰ τοῦ γάνους τῶν ἠνεῳγμένων
» ἀνθέων, ᾄδει διὰ τῶν βόμβων τῶν βομβυλίων, καὶ
» παραφέρεται τῷ ἀέρι [2].

29. « Τὸ φυτὸν τοῦτο, ὁ Κουραβάκας, ἀγκαλισθεὶς ὑπὸ τῆς
» καλῆς νέας, προσελθούσης, τῆς ἐχούσης μαστοὺς ὡς τὰς
» ἐξοχὰς, τὰς ἐπὶ τοῦ μετώπου τοῦ ἐλέφαντος τοῦ Ἴνδρα,
» ἔτυχεν εὐθέως ἀνθέων λευκῶν [3], ὡς λαμπρῶν ἐγκωμίων.

30. « Ὁ Τιλακᾶς οὗτος, ἰδὼν τὴν καλὴν ῥίπτουσαν ἐπ' αὐ-
» τὸν πολλὰς βολὰς ὀμμάτων, ἐμάνη τῷ ἔρωτι [4]· ἐρῶν
» δ' εὐπρεπείας, θεὶς ἐπὶ κεφαλῆς ἄνθη νέα, τίνι φίλτρον
» οὐ προξενεῖ;

31. « Ὁ Κουβζακᾶς [5] οὗτος, ἔχων ἄνθη πολλὰ, καὶ θυμιώ-
» μενος θυμιάμασι λιβάνου καὶ καφούρας [6], καὶ ᾄδων
» διὰ τῆς γλυκείας φωνῆς τῶν θηλέων βομβυλίων, ἕλ-
» κει πρὸς ἑαυτὸν τὴν ἀγλαΐαν τοῦ Ἔαρος, ὡς γυναῖκα.

32. « Ὦ καλὸν Ἔαρ, ὦ βασιλεῦ τῶν ὡρῶν, ὦ ἀδελφὲ τῆς
» ἀγλαΐας τῆς γῆς [7], τοῦτο τὸ δένδρον ὁ Σαχακάρας (ἡ

---

1. Πλύνασα τὸ στόμα ἡ γυνὴ οἴνῳ, ῥίπτει τὸ ἀπόπλυμα εἰς τὸ δένδρον· ἐκ δὲ τούτου ἀνθοφορεῖ.

2. Ἴδια ταῦτα τοῦ μεθύοντος· τὸ γελᾷν, τὸ ᾄδειν καὶ τὸ παραφέρεσθαι καὶ σφαλερῶς βαδίζειν.

3. Διὰ τῆς περιπτύξεως καλῆς γυναικὸς τοῦτο τὸ δένδρον ἀνθοφορεῖ.

4. Δένδρον ἀνθοφόρον· ἀνθοφορεῖ δὲ, ὥς φασι, διὰ τῆς βολῆς τῶν ὀμμάτων καλῆς γυναικός.

5. Ὁ Κουβζακᾶς δένδρον ἀνθοφόρον ἐστί.

6. Οἱ γὰρ φυτοκόμοι ἐν Ἰνδίᾳ θυμιῶσιν ἔνια τῶν δένδρων, ἢ μέλι τιθέασιν εἰς θεραπείαν. Καθὼς δηλονότι ὁ ἐρασπὴς καὶ στεφάνους τίθησιν ἐξ ἀνθέων, καὶ θυμιᾷ τὴν κόμην αὐτοῦ εὐώδεσι θυμιάμασι, καὶ ᾄδει εἰς τὸ ἀρέσαι τῆς γυναικὸς, οὕτω καὶ τὸ δένδρον τοῦτο κ.τ.λ.

7. Ὅτε γὰρ τὸ Ἔαρ ἐστὶ, καὶ ἡ ἀγλαΐα τῆς γῆς πάρεστι.

» Ἄμρα) θάλλει, ἡ δὲ Κοκιλὰ ᾄδει μέλος παναρμόνιον, » συναδόντων τῶν βομβυλίων [1].

33. « Ἰδὲ, τῶν περιστερῶν [2] οἰστρουμένων τῷ πρὸς τὰς θη- » θηλείας ἔρωτι, μαινομένων τε καὶ φωνουσῶν ἡδέως, ἡ » Ῥαμβὰ [3] αὕτη, ὥσπερ ἐαλωκυῖα τοῦ Ἔρωτος τῇ σφοδρᾷ » περιπτύξει τοῦ Ἔαρος, γλυκύτητα δίδωσι τῷ χυμῷ τῶν » οἰκείων ἀνθέων.

34. « Ἡ νέα Μαδαβὴ [4] αὕτη ἀγλαΐζεται ἐν τῇ ἐντεύξει τοῦ » Ἔαρος, ὡς ἀνδρὸς, ἐκφαίνουσα πολλὰς ῥανίδας ἱδρῶτος [5], » αἵ εἰσι τὰ νέα ἄνθη, καὶ φρίκην ἔχουσα, ἥ ἐστιν ἡ πλη- » θὺς τῶν ἐφιζανόντων βομβυλίων.

35. « Ἰδὲ, αἱ νέαι Ναλικέραι [6], μὴ ἔχουσαί πω μαστοὺς, ὅ » ἐστι καρποὺς, ἀγκαλιζόμεναι, ὡς ἀνήλικες παρθένοι, τὸν » ἠρέμα πνέοντα ἀέρα, ὡς παῖδα παίζοντα, γελῶσαι, ὅ » ἐστιν ἀνθοῦσαι, παίζουσι πρὸς ἀλλήλους.

36. « Πόσα σμήνη βομβυλίων οὐ νομίζονται ὡς βέλη παμ- » πληθῆ ἄνθινα τοῦ Ἔρωτος, γενόμενα λευκὰ τὸ σῶμα ἐκ » τοῦ λευκοῦ χνοῦ τῶν ἀνθέων τῶν φοινίκων, ἐμβομβοῦν- » τα καὶ ἀεροπορροῦντα [7] ;

37. « Τίνος καρδία χαρὰν οὐ δίδωσι τὸ φυτὸν ὁ Σινδουβά-

---

1. Οἱ μὲν βομβύλιοι ὡς κιθάραι, αἱ δὲ Κοκιλαὶ ὡς μουσικοί.

2. Εἶδος περιστερῶν, Παριβὰ κοινῶς ὀνομαζομένων.

3. Ἡ Ῥαμβὰ κοινῶς λέγεται Κιλά· χυμὸν δὲ πολὺν καὶ γλυκὺν ἔχει τὸ ἄνθος αὐτῆς.

4. Μαδαβιτατὰ κοινῶς· ἔστι δ' ἀναδενδράς.

5. Πάθη τοῦ ἔρωτος ὁ ἱδρὼς καὶ ἡ φρίκη τῇ γυναικὶ ἐν τῇ ἐντεύξει τοῦ ἀνδρός.

6. Αἱ κοινῶς Ναργέλαι, αἱ καρποφοροῦσι τὰ Ἰνδικὰ κάρυα, ἃ εἰσιν ὡς πέπονες.

7. Λευκὸν τὸ ἄνθινον βέλος τοῦ Ἔρωτος· τὸ δὲ βέλος ἀεροπορεῖ, καὶ ἦχον ποιεῖ.

» ρας [1], ἔχων ἀνθοφόρους βλαστοὺς σαλευομένους καὶ φέ-
» ρων, ὥσπερ δοῦλος, τόξα πολλὰ καὶ βέλη τοῦ Ἔρωτος, τοῦ
» νικητοῦ τῶν τριῶν κόσμων ;

38. « Ἰδὲ, ὁ ἀὴρ οὗτος, πιὼν χυμὸν γλυκὺν φύσει, ὡς οἶνον,
» ἐκ τοῦ δένδρου Μανδούκα [2], περὶ ὃ ἐπιφοιτῶσι καὶ ἐμ-
» βομβοῦσι θήλεις βομβύλιοι, φέρεται ὥσπερ μεθύων [3],
» καὶ πίπτων ἐξ ὑψηλοῦ μέρους, γελᾷν ποιεῖ τὰ ἄνθη [4].

39. « Ἀγλαΐζεται ἡ ἀγλαΐα τοῦ Ἔαρος, ὡς γυνὴ πάγκαλος,
» ἔχουσα χεῖρας τὰ ἁπαλὰ φύλλα τοῦ δένδρου Ἀσσόκα [5],
» καὶ φωνὴν ἀξίαν ἀκοῆς, τὴν γλυκεῖαν φωνὴν τῆς Κοκι-
» λᾶς, καὶ πρόσωπον, τὸν γελῶντα λωτὸν, καὶ μαστοὺς,
» τοὺς καρποὺς τοῦ δένδρου Μανζούλα [6], καὶ γραφὰς καὶ
» χρίσματα ἐκ Σανδάνου καὶ Κρόκου, τὰ πολυποίκιλα ἄνθη.

40. « Ὁ βομβύλιος οὗτος, ἐπιφοιτήσας τοῖς νέοις ἄνθεσι τοῦ
» Καρνικάρα [7], καίπερ ὄντα ἄνευ εὐωδίας, νομίσας αὐτὰ
» τὰ ἄνθη τῆς Σαμβάκας, γεύεται ἅσμενος χυμοῦ, ὃς ἐγε-
» νετο ἡδὺς ἐκ τοῦ στόματος αὐτοῦ, τοῦ ἔχοντος εὐωδίαν
» ἐξ ἄλλων εὐόσμων ἀνθέων.

41. « Ἰδὲ, ὦ Ἀρζούνα! οὗτος ὁ ἐν τῷ ἅλσει ῥίπτων βέλη

---

1. Ὁ Σινδουβάρας λέγεται Μιουρὴ κοινῶς· ἔστι δὲ θάμνος ἔχων ἄνθη ἐπιμήκη καὶ βλαστοειδῆ, οὗ ὁ μὲν βλαστός ἐστιν ὡς τόξον τοῦ Ἔρωτος, τὸ δ' ἄνθος ὡς βέλος.

2. Μαουβὰ κοινῶς. Ὁ καρπὸς τούτου τοῦ δένδρου συκοειδής ἐστι καὶ γλυκύς· ἐκ δὲ τοῦ καρποῦ αὐτοῦ ποιοῦσι οἶνον οἱ Ἰνδοί.

3. Καθὼς ὁ μεθύων παραφέρεται καὶ πίπτων γέλωτα προξενοῖ τοῖς ἀνθρώποις.

4. Γανοῖ, ἀνοίγει τὰ ἄνθη.

5. Τούτου τὰ νεογενῆ φύλλα ἐρυθροειδῆ εἰσι, καθὼς καὶ αἱ παλάμαι τῶν χειρῶν.

6. Ὁ καρπός τούτου ἐστὶν ὡς κυδώνιον, κατά τε τὸ σχῆμα καὶ τὸ χρῶμα· Βαρραχάρα δὲ κοινῶς λέγεται.

7. Cassia fistula ἑσημ. ὁ μεταφρ. εἰς τὸ περιθώριον. (Σημ. τ. ἐκδ.)

» πολλὰ μέλανα, τρέμειν ποιεῖ τοὺς ὀδίτας [1].»—«Μήπως,
» ἔφη ὁ Ἀρζούνας, ἔστι τις Κιράτας [2]; » — «Οὐχὶ, εἶπεν,
» ἀλλὰ Κιγκράτας, ἐφ' ὃν ἵπτανται μέλανες βομβύλιοι.

42. «Οὗτος ὁ βομβύλιος περιφοιτᾷ τῇ δε κακεῖσε, ζητῶν
» τὴν ἀξιοπρέπειαν, ὥσπερ διανοούμενος τάδε ἐν ἑαυτῷ·
« Ἐν ποτέρῳ ὁ μέλας διαπρέπει; ἐν τῷ δένδρῳ Καρουνικᾷ,
« τῷ ἔχοντι ἄνθη λευκά; ἢ ἐν τῷ Κανσανάρᾳ, τῷ ἔχοντι
« ἐρυθρά; »

43. «Ὁ Βομβύλιος, ὥσπερ ἀποσταλθεὶς ὑπὸ τοῦ Ἔρωτος, ὁσ-
» φραίνεται ἐπισπερχῶς τῶν ἀνθέων ἐν ἄλσει Καρδαμώμου,
» Βισικίλα, Πριάλα, Καγκολάκα, Δαμανάκα, καὶ Βαναμα-
» λίκα, εἰς ἐπίγνωσιν ἀνθέων, γενησομένων ἀξίων βελῶν [3].

44. «Τέρψωμεν οὖν, ὦ Ἀρζούνα, τὸ σῶμα καὶ τὴν ψυχὴν τῶν
» πολιτῶν νῦν ἐν τούτῳ τῷ ἄλσει, ἐν ᾧ πνέει ἀὴρ εὐώδης
» ἐκ τῶν εὐόσμων ἀνθέων, τῶν ἀνθούντων ἐν τῷ Ἔαρι.»

45. Τοιούτοις λόγοις εὐφραίνοντες τὴν καρδίαν ἑαυτῶν ὅ,τε
Κρισνᾶς καὶ ὁ Ἀρζούνας, ἐποίουν μετὰ τῶν λοιπῶν διὰ
τῆς ἀπολαύσεως λυσιτελῆ τὴν τερπνότητα τοῦ ἄλσους,
ὃ τερπνὸν ἐγένετο ὑπὸ τοῦ Ἔαρος.

46. Χαίροντες δὲ τῇ χάριτι τοῦ χαρμοσύνου Ἔαρος, περιήρ-
χοντο τὸ ἄλσος Κανδάβαν λίαν σχολαίως οὗτοι οἱ νεανίαι,
μετὰ γυναικῶν, μόλις ἕλκοντες τὰ ὄμματα ἑαυτῶν προ-
σηλωμένα τῇ πρώτῃ θεωρίᾳ, καὶ βαρυνόμενοι, ὡς οἶμαι,
τῇ ἡδονῇ [4].

---

1. Οἱ ἀποχωριζόμενοι τῶν ἑαυτῶν γυναικῶν καὶ ἐν ὁδῷ ὄντες, βλέ-
ποντες τὰ ἄνθη ἐν τῷ Ἔαρι, εἰς ἔρωτα ἔρχονται καὶ τρόμῳ κατέχονται.

2. Παίζει πρὸς τὰς λέξεις ὁ Ποιητής. Σιλιμούκα λέγεται καὶ τὸ βέλος
καὶ ὁ βομβύλιος. Κιράτας, ἄγριος ἄνθρωπος ἐν ὕλῃ διαιτώμενος· Κιγ-
κράτας δὲ εἶδος δένδρου.

3. Εἰς τὸ γνῶναι ποῖον ἄνθος ἄξιον ἔσεται βέλος τοῦ Ἔρωτος.

4. Διὰ τοῦτο λίαν βραδέως ἐπορεύοντο, ἐπειδὴ οἱ ὀφθαλμοὶ αὐτῶν ἦσαν
προσηλωμένοι τῷ πρώτῳ τόπῳ καὶ βεβαρυμμένα πως τῇ ἡδονῇ τὰ σώματα.

47. «Σήμερον [1] ὁ σὸς ἐραστὴς ἡδυλογίαις καὶ κολακείαις » ἑλκύσαι σε βούλεται πρὸς ἑαυτόν· ἄφες ταύτην τὴν ὑπερ- » φροσύνην, ὦ μωρά, σκόπησον τοῖς ἐσωτερικοῖς ὀφθαλ- » μοῖς τοῦτον τὸν ἐμὸν λόγον, καὶ στέρξον.

48. «Οὐκ οἶδας, ὡς ἡ ἀντερωμένη καὶ ἀντίζηλος ἡδύλογός » ἐστιν; οἱ δ' ἄνδρες, ὡς ἐπὶ τὸ πλεῖστον, ὑποχείριοι γί- » νονται τῇ ἡδυλογίᾳ καὶ κολακείᾳ. Εἰ οὖν αὐτὸς ἐν ταύτῃ » τῇ τοῦ Ἔαρος ὥρᾳ συμπαίζει καὶ συνέσται ἐκείνῃ, ἡ δυσ- » φημία σου αὖτη οὐκ ἔσται ὡς τύμπανον;

49. «Αὗται αἱ ἡμέραι τῆς χαρᾶς τοῦ Ἔαρος, ὦ φίλη, δυσφό- » ρητοί εἰσιν, ἐν αἷς φοβερά πως πέφυκε πάντα τὰ μέρη » τῆς γῆς ἐκ τοῦ ἤχου τοῦ τόξου τοῦ Ἔρωτος, καὶ ἐκ τῶν » φωνῶν τῶν Κοκιλῶν, καὶ ταπεινὸν τὸ φρόνημα τῶν » μεγαλοφρόνων γυναικῶν [2].

50. «Ἡ καταστασίς σου αὕτη ἐστί· τὸ στρῶμά σου, τὸ ἐξ » ἁπαλῶν λωτῶν [3], ἐμαράνθη ἐκ τῆς συστροφῆς καὶ περι- » στροφῆς τοῦ πεπυρωμένου σου σώματος. Καθ' ἡμέραν » λωτοὺς κομίζουσί σοι· ἐγὼ δ' ἐγενόμην, ὦ ὀργίλη, ἐν » τῷ κόσμῳ ἀναπολόγητος [4]

51. « Πίπτω πρὸ τῶν ποδῶν σου· ποίησόν μοι χάριν· ἔστω » σήμερον ὁ ἐχθρός σου ἀτυχὴς τοῦ οὗ ἐφίεται [5].» Ἐκ τοιού- τῶν λόγων φρονίμου φίλης εἵλκυσε πρὸς ἑαυτὴν τὸν ἐρα- στὴν ἐρωμένη τις.

52. Ἐραστής τις ἁψάμενος ἀμφοτέραις τῶν ποδῶν ἐρωμένης

---

1. Ἐν τοῖς ἑξῆς ἡ μαστρωπὸς διαλέγεται πρὸς ἐρωμένην ὑπέρφρονα καὶ ἄτεγκτον.

2. Αἱ γυναῖκες δηλ. ἥττονες γίνονται τοῦ Ἔρωτος.

3. Λωτοὺς ὑπετίθη εἰς τὸ καταψύξαι τὸ πεπυρωμένον σῶμα ἐκ τοῦ ἔρωτος.

4. Δηλονότι, εἰ εἴπωτι τοῖς ἐρασταῖς περὶ σοῦ, οὐκ εἰσακούομαι.

5. Ὁ ἐχθρὸς ἐφίεται τοῦ μὴ πεισθῆναι, μηδ' ἀρέσαι τῷ ἐραστῇ.

ὑπέρφρονος καὶ ἀτέγκτου, κολακείαις ἔχρῆτο ἐπὶ φιλότητι· ἀναβλέπων δὲ στυγνὸς τὸ πρόσωπον, καὶ μὴ βλέπων τὸ πρόσωπον αὐτῆς ἐκ τῶν ὑπερόγκων μαστῶν, καί περ ὄντων ἐφετῶν, ἐλυπεῖτο.

53. Τοιαῦτα δέ τις προΰτεινε, σκηπτομένη [1], εἰσδύσα εἰς τὸ ἐνδότερον τοῦ ἄλσους, ὅποι ἐπορεύθη πρότερον ὁ ἐραστὴς, οὗ ἡ δέησις (ἐκλιπάρησις) ἀπερρίφθη· « Σκεπτέον, » ὦ φίλη, ὁποία τις ἐστὶν ἐκείνη ἡ Κοκιλὰ, ἧς ἡ φωνὴ » ὁμοιοῦται τῇ ἐμῇ. »

54. Ἑτέρα δέ τις ἐξελιπαρεῖτο ὑπ' ἐραστοῦ, πταίσαντος πρότερον μεγάλα [2]· καί τοι δὲ ἐκ λήθης, ὅτε ἱκέτευεν, ἄλλης ἀντιζήλου ὄνομα ἐξεφώνησεν, αὕτη ὅμως οὐκ ἤκουσεν ἐκ τοῦ ἤχου τῆς χορδῆς τοῦ τόξου τοῦ Ἔρωτος [3], καὶ εἰσέδυ μετ' αὐτοῦ εἰς τὸ ἄλσος.

55. « Πῶς αὕτη ἀφαιρέσει τὴν οἴοισιν; » οὕτω λέγων ἐν ἑαυτῷ ἐραστής τις, κύψας ἔγραφε κατὰ γῆς [4]· ἐν ταὐτῷ δ' ἐκείνη, θλιβομένη τοῖς δεινοῖς βέλεσι τοῦ Ἔρωτος, ἐκλιπαρήσασα λίαν, ἤγαγεν αὐτὸν ἐπὶ τὸ ἐνδότερον τοῦ ἄλσους.

56. Ἄλλος δέ τις, ἐπακολουθῶν ἐρωμένῃ, ἐβούλετο ἅψασθαι τῶν μαστῶν αὐτῆς· αἱ δὲ χεῖρες αὐτοῦ, καί περ ἐκτεταμέναι, μόλις προσεπέλασαν ταῖς μασχάλαις, ἐκ τῶν ἐπιπροσθούντων μεγάλων αὐτῆς γλουτῶν.

57. Ἄλλη τις, οἰστρηθεῖσα, εἶπε ταῖς φίλαις καθ' ὑπόκρισιν· « Πόνος ἐστί μοι ἐκ τῆς ὁδεύσεως. » ἐκτείνουσα δὲ τὰς χεῖρας, οὐκ ἐξικνεῖτο ἐπιθεῖναι αὐτὰς, ὡς ἐρείσμασι, τοῖς

---

1. Τοῦτο ἦν σκῆψις· ἐκείνης γὰρ ἡ βούλησις ἦν, συνεῖναι τῷ ἐραστῇ, ὃν πρότερον ἀπέβαλε, καὶ διὰ τοῦτο εἰσέδυ τὸ ἄλσος, ὅπου ἦν ὁ ἐραστής.

2. Ἔπταισε, διότι ἠγάπα πλέον τὴν ἀντίζηλον.

3. Ἐμβεβυθισμένη ἦν τῷ Ἔρωτι, καὶ διὰ τοῦτο οὐκ ἤκουσε.

4. Ἴδιον τῶν συννόων τὸ γράφειν κατὰ γῆς τῷ δακτύλῳ τῆς χειρὸς, ἢ τοῦ ποδός.

ὤμοις τοῦ ἐραστοῦ, ἐμποδιζόντων τῶν μεγάλων καὶ ὑπερόγκων αὐτῆς μαστῶν.

58. Ἄλλος τις, μὴ γινώσκων ποῖ ἐπορεύθη ἡ ἐρωμένη, ἧ ὤδευε λίαν ταχέως, ὡς γεγυμνασμένη τῇ ἀνδρικῇ συνουσίᾳ [1], ἔδραμε, καὶ προσελθὼν ἐξεφώνησεν, ὑποκρινόμενος, ὡς προσεπλάκη τὸ φόρεμα αὐτοῦ θάμνῳ τινι· καὶ οὕτως ἔτρεψε τὰ ὄμματα αὐτῆς πρὸς ἑαυτόν.

59. Ἄλλη τις, βαρυνομένη τοῖς παχέσι γλουτοῖς καὶ ὑπερόγκοις μαστοῖς, βραδέσι ποσὶν ἐβάδιζεν· ὁ δ' ἐραστὴς, ἔχων αὐτὴν τοιαύτην ἐν καρδίᾳ, ἐπηκολούθει καὶ αὐτὸς σχολαίως [2] ἐξ ἀνάγκης.

60. Καί τις σεληνοπρόσωπος, ἡ ἡδονὴν παρεῖχε καὶ αὐτῷ τῷ Ἔρωτι ἐκ τῆς περὶ τὴν αἰώραν (κρεμαστὴν) παιδιᾶς κατὰ τὴν τοιαύτην ὥραν τοῦ Ἔαρος, κρατοῦσα τῇ καλῇ χειρὶ τὴν καλὴν χεῖρα τοῦ ἐραστοῦ περιεπάτει [3].

61. Τὸ Ἔαρ, τὸ ἀνθοῦν εἰς ποίησιν ὅπλων τοῦ Ἔρωτος [4] ἠγλαΐζετο τοῖς ἀσύγκριτον χάριν καὶ ἀγλαΐαν ἔχουσι σεληνοειδέσι προσώποις ἐλαφοφθάλμων γυναικῶν, ἐλθουσῶν εἰς τὸ ἄλσος, τὸ συνηρεφὲς χαρίεσι δένδρεσι καὶ φυτοῖς.

62. Αἱ ἐλαφόφθαλμοι καὶ εὐειδεῖς γυναῖκες, αἳ ἐκαλλύνοντο καλοῖς πολυειδέσι κοσμήμασιν ἐκ πολυτίμων λίθων, καὶ εὐανθέστερον τοῦ χρυσοῦ εἶχον χρῶμα, ἐπεθύμησαν παῖξαι ἐπὶ αἰωρῶν, αἳ διακινοῦνται, ὡς ἐνώτια τῆς ἀγλαΐας τοῦ ἄλσους [5].

---

1. Ἀνδρικὴ συνουσία, ὅτε ὁ μὲν ἀνὴρ κεῖται ὡς γυνὴ, ἡ δὲ γυνὴ ἐπίκειται ὡς ἀνήρ.

2. Ἔχων αὐτὴν τὴν βαρύσωμον ἐν τῇ ἑαυτοῦ καρδίᾳ, ἐβαρύνετο καὶ αὐτὸς καὶ διὰ τοῦτο σχολαίως ἐβάδιζε.

3. Ἤρχετο εἰς τὸ παῖξαι ἐπὶ τῆς αἰώρας.

4. Τὰ βέλη τοῦ Ἔρωτος, ὡς προείρηται, ἄνθινά ἐστι.

5. Ἡ ἀγλαΐα τοῦ ἄλσους ὡς γυνή.

63. Ἕως ἂν ὁ ἐραστὴς ἀναβιβάσῃ τὴν ἐρωμένην, ἐξαναστήσας ταῖς χερσὶν, αὕτη πηδήσασα ἀνέβη εὐθέως τὴν αἰώραν, καί περ βαρυνομένη τοῖς μεγάλοις γλουτοῖς καὶ μαστοῖς, δεικνύουσα τὴν ἣν εἶχεν ἐλαφρότητα ἐκ τῆς καθ' ἑκάστην γυμνάσεως περὶ τὴν ἀνδρικὴν καὶ ἀντίστροφον συνουσίαν.

64. Ἄλλη δέ τις ἐρωμένη, κρατηθεῖσα ταῖς χερσὶν ὑπὸ τοῦ ἐραστοῦ, ἐτέθη ἀσμένως ἐν τῇ αἰώρᾳ, ὡς ὑπὸ τοῦ Ἔρωτος, τοῦ νικητοῦ τῶν τριῶν κόσμων, τίθεται ὅπλον ἐν μηχανῇ, ἀφ' ἧς ἐξικνεῖται ὁρμῇ ἐπὶ μήκιστον.

65. Ἄλλη, βουλομένη ἀνελθεῖν εἰς τὴν αἰώραν, ἔθετο τὸν πόδα αὐτῆς, ὃς ἦν βεβαμμένος βαφῇ ἐρυθρᾷ Λακκίου, ἐπὶ τοῦ νώτου τοῦ ἐραστοῦ· ὁ δ' ἐφαίνετο ἐκ τοῦ ἐπὶ τοῦ νώτου ἴχνους τοῦ ποδὸς καὶ τῶν πέντε δακτύλων, ὥσπερ Ἔρως, ἔχων φαρέτραν πέντε βελῶν.

66. Ἄλλος, δραξάμενος τῆς ἐρωμένης ἐκ τῆς λεπτῆς ὀσφύος, ἀνέστησεν αὐτὴν εὐμαρῶς εἰς τὸ ἐπιθεῖναι τῇ αἰώρᾳ, ἐν ταυτῷ δ' ἐνομίσθη μετὰ φόβου καὶ ὑπὸ τοῦ Σίβα, τοῦ νικητοῦ τοῦ Ἔρωτος, ὡς ὁ Ἔρως ἐστὶ, φέρων κεραυνὸν δυνατὸν εἰς νίκην.

67. Τὰ πρόσωπα τῶν ἐπὶ τῆς αἰώρας γυναικῶν, ὄντα ἐν μέσῳ τῶν δύο χειρῶν, αἳ ἐκαθεῖσαι, ἐκράτουν τὰ ξύλα ἑκατέρωθεν τῆς αἰώρας, ἐφαίνοντο ὡς λωτοὶ, γεγενημένοι βέλη ὑπὸ τοῦ Ἔρωτος, καὶ τεθειμένοι ἐν τόξοις πεποιημένοις ἐκ καυλῶν λωτῶν [1].

68. Αὕτη ἡ κατὰ τὴν αἰώραν παιδιὰ ἀνεμίμνησκε τὰς ἑταίρας τῶν τῆς ἀντιστρόφου συνουσίας, ἐν ᾗ τὸ μὲν σῶμα ὑποκεκαμμένον ἐστὶν, ἡ δὲ κόμη διακεχυμένη, τὰ δὲ

---

1. Τὰ μὲν πρόσωπα, ὡς βέλη· οἱ δὲ βραχίονες, ὡς τόξα.

περικάρπια καὶ περιπέζια ἠχοῦσιν, οἱ δὲ γλουτοὶ διακινοῦνται.

69. Ἐν τῇ κατὰ τὴν αἰώραν παιδιᾷ, πληττόμενος ὁ αἰθὴρ τοῖς ἄκροις τῶν ποδῶν, ἐφάνη ἐν ἀκαρεῖ πλήρης ῥανίδων ἱδρώτων, τοῦτ' ἔστι διεσπαρμένων μαργαριτῶν, τῶν διαῤῥαγέντων περιδεραίων τῇ διαστικῇ κινήσει.

70. Ὁ Ἔρως ἐκ τῆς περὶ τὴν αἰώραν ἀγλαᾶς παιδιᾶς τῶν γυναικῶν, νομίσας ὑποχείριον τὸν τριττὸν κόσμον, ἔῤῥιπτεν ἄνθη ἐκ τῆς κόμης αὐτῶν διαλυθείσης, ὡσπερεὶ εἶλκεν αὐτὰ ἐκ τῆς αὐτοῦ φαρέτρας [1].

71. Καί τις γυνὴ, τῆς αἰώρας φερομένης ἄχρι τοῦ οὐρανοῦ, ἀφῆκε τὰ ζύλα, ἃ ἐκράτει, καὶ κροτοῦσα τὰς χεῖρας σφοδρῶς, ἐφόβει τὴν ἐν Σελήνῃ ἔλαφον, προσερχομένην ἐκ τῶν ἡδέων ἀσμάτων, ὥσπερ φοβουμένη μή που γένοιτο καὶ αὐτὴ κατάστικτος τὸ πρόσωπον.

72. Ἰδὼν δ' ὁ Ἥλιος τὸ ἐρυθρὸν ζεῦγος τῶν ποδῶν τινος καταφερόμενον, ἀφ' οὗ διῆκε μέχρι τοῦ οὐρανοῦ τῇ φορᾷ τῆς αἰώρας, ἔτρεψε τὴν ὅρασιν εἰς τὰς δύο χεῖρας αὐτοῦ, νομίσας ὅτι ἔπεσον οἱ δύω λωτοὶ, οὓς ἔχει ἀνὰ χεῖρας [2].

73. Αἱ εὐόφθαλμοι καὶ εὐφυεῖς περὶ τὴν τῆς αἰώρας τέχνην γυναῖκες, οὐκ ἠδύναντο διευθετῆσαι τῇ χειρὶ, κρατούσῃ τὸ ξύλον, τὸ ἀναπεπταμένον φόρεμα τῶν ἐκτεταμένων ποδῶν, καὶ διὰ τοῦτο ὄρθιαι ἐγένοντο.

74. Ὄρθιαι δ' οὖσαι, ἐφαίνοντο ὥσπερ θεαὶ, παίζουσαι ἐν αἰθέρι ἄνευ ἐρείσματος, τῶν αἰωρῶν μὴ ὁρωμένων σαφῶς,

---

1. Ἐκ τοιαύτης παιδιᾶς ἐρωτικῆς κατὰ πάντων ᾄδει τὰ νικητήρια ὁ Ἔρως· οὐδεὶς ἀνίκητος ἔσεται δηλ.

2. Δύω λωτοὺς ἐρυθροὺς ἔχει ἀνὰ χεῖρας ὁ Ἥλιος.

φῶς, διὰ τὸ εἶναι λίαν στιλπναί, καὶ διαυγεῖς ποιημέναι ἐκ λαμπρῶν πολυτίμων λίθων.

75. Ὁ δὲ πολὺς ἱδρὼς τῶν ἀνδρῶν τε καὶ γυναικῶν, ὃς ἐγίνετο ἐκ τῆς συνεχοῦς εἰς τὰ ἄνω καὶ κάτω φορᾶς, ἐξικμάζετο ὑπὸ τοῦ ψυχροῦ ἀέρος, τοῦ ἐπιγινομένου ἐκ τῆς κινήσεως τῆς αἰώρας.

76. Τοῦ δὲ ἄσματος, ὃ ἦδον αἱ γυναῖκες ἐκ τῆς ἡδείας παιδιᾶς τῆς πρόσω καὶ ὀπίσω φερομένης αἰώρας, τούτου ἡ ἠχὼ ἐξηχεῖτο (ἐξηκούετο) ἔνδοθεν τῶν λαιμῶν τῶν Κοκιλῶν, τῶν τοῖς ἄλσεσιν ἐνδιαιτωμένων[1].

77. Ὡθισμοὶ δ' ἐγίνοντο ζίαιοι, οἳ ἦσαν αἱ ὁρμαὶ τῶν αἰωρῶν ἐκ τῆς ἄνω καὶ κάτω φορᾶς, εἰς τὸ ἀποβαλεῖν τὸν ἐκ τῆς ἀντιζηλίας φθόνον τῶν γυναικῶν, ὃς οὐκ ἐξεβλήθη τοῖς τοῦ Ἔρωτος βέλεσι.

78. Τὸ στερέωμα τοῦ οὐρανοῦ, πληττόμενον τότε τοῖς στερεοῖς ποσὶ τοῦ Ἀρζούνα, καὶ τοῦ Κρισνᾶ, καὶ τῶν λοιπῶν ἡρώων, τῶν σπουδαίων περὶ τὴν ἡδείαν παιδιὰν τῆς αἰώρας, φαίνεται διερρηγμένον πως μέχρι τῆς σήμερον, ὅπερ συμπεραίνεται ἐκ τῶν μεταξὺ διεσπαρμένων νεφῶν τῇ δε κἀκεῖσε.

79. Ὁ Ἔρως αὐτὸς, γενόμενος πολύμορφος, ὃς ἐστιν αὐτοὶ οἱ νεανίαι, οἱ φερόμενοι ἐπὶ τῆς αἰώρας, ὥσπερ ἀναπολῶν τὴν παλαιὰν ἔχθραν, ἔφοδον ἐποίει εἰς τὸν οὐρανὸν, τὸ κατάλυμα τοῦ ἐχθροῦ Σίβα, ἔχων τόξον ἄνθινον, ὅ ἐστι τὸ κινούμενον ἐκ μαργάρων περιδέραιον.

80. Τοῦ ἐραστοῦ καθημένου ἐν τῷ πλαγίῳ, πλάσμα ἦν ὁ φόβος τῶν γυναικῶν, ὅτι τάχα ἀνέβησαν ἐπὶ τὴν αἰώραν,

---

1. Τουτέστιν ἡ γλυκυῖα φωνὴ τῆς Κοκιλᾶς ἡ ἠχὼ ἦν τοῦ γλυκέος ἄσματος τῶν γυναικῶν.

καὶ διὰ τοῦτο κάτοχοι ἐγένοντο τρόμῳ, ἱδρῶτι, καὶ φρίκῃ, καὶ τεταραγμένῳ βλέμματι [1].

81. Αἱ παλάμαι τῶν γυναικῶν καὶ τῶν ἀνδρῶν, ἐκλελυμέναι ὑπὸ τοῦ ἱδρῶτος ἐν τῷ κρατεῖν τὰ ξύλα, εὔτονοι ἐγίνοντο ἐκ τοῦ καταπίπτοντος χνοῦ τῶν ἀνθέων τοῦ δένδρου, κλονουμένου ἐκ τῆς εἰς τὰ πρόσω καὶ ὀπίσω φορᾶς τῆς αἰώρας.

82. Ὥςπερ δὲ θυμωθέντες οἱ νέοι, ἀφέντες τὰς αἰώρας καταβεβρεγμένας, καὶ ἀχρήστους γεγενημένας εἰς παιδιὰν καὶ θυμηδίαν, ἐκ τοῦ καταῤῥέοντος γλυκέος χυμοῦ ἀπὸ τῶν ἀνθέων τῶν δένδρων, κλονουμένων ἐκ τῆς πολλῆς κινήσεως, γνώμην ἔθεντο δρέψασθαι ἄνθη.

83. Αἱ μὲν οὖν ἑταῖραι, κρατούμεναι ὑπὸ τῶν ἐραστῶν, τῶν καταβάντων πρότερον, καὶ κινούμεναι, καί περ καταβᾶσαι, ἐνόμιζον ὅτι κινούμεναί εἰσιν ἔτι ἐπὶ τῶν αἰωρῶν· αἱ δὲ αἰῶραι, καὶ καταβασῶν πασῶν τῶν γυναικῶν, οὐκ ἐπαύσαντο τῆς κινήσεως ἐπὶ πολύ.

84. Οὕτως οἱ περὶ τὸν Κρισνᾶν καὶ Ἀρζούναν νεανίαι συνέπαιζον ἡδέως ταῖς γυναιξὶν ἐν τῷ ἄλσει, μαινόμενοι τοῖς ἀκκισμοῖς αὐτῶν, καὶ ὁ Ἔρως δὲ ἐνταῦθα συνέπαιζε τῇ Ῥατῇ, ὥςπερ ἀμιλλώμενος τούτοις τοῖς νεανίαις, οἳ εἶχον σῶμα εὐειδὲς, ὅμοιον τῷ Ἔρωτι.

Τέλος τοῦ Ἑβδόμου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου τῆς Βαλαβαράτας.

---

1. Τουτέστιν ὁ τρόμος καὶ ἡ φρίκη, καὶ τὸ τεταραγμένον βλέμμα οὐκ ἦσαν ἴδια φόβου, διότι ἀνέβησαν ἐπὶ τὴν αἰώραν, ἀλλ' ἴδια ἔρωτος, διότι ἐκάθηντο πρὸς τὸ πλάγιον οἱ ἐρασταί.

ΚΕΦΑΛΑΙΟΝ ΟΓΔΟΟΝ,

ὃ διαλαμβάνει περὶ ἀνθολογίας καὶ ὑδροπαιδιᾶς.

1. Ἁγνισάτω ἡμᾶς ὁ ὅσιος Βεάσας, ὁ τρανώσας τὴν ἄῤῥητον φύσιν τῆς θεότητος, οὗ τῶν ποδῶν τῇ κόνιϊ καὶ ὁ κόσμος οὗτος, ὡς ὠκεανὸς, ξηραίνεται ἐν ἀκαρεῖ.
2. Τὰ δένδρα ἐφάνησάν πως, ὅτι πολλαπλάσια ἄνθη καὶ νεοθαλῆ φύλλα ἔχουσιν ἐκ τῶν ὀνύχων καὶ δακτύλων [1] τῶν περὶ τὸν Κρισνᾶν καὶ Ἀρζούναν ἀσχολουμένων περὶ τὴν ἀνθολογίαν καὶ φυλλολογίαν.
3. Ὅτε αἱ χεῖρες τῶν γυναικῶν ἐξετάθησαν εἰς τὸ λαβεῖν ἄνθη, ὥςπερ φοβηθέντες οἱ ὑποκεκλιμένοι ἀνθώδεις βλαστοὶ, ἀνυψώθησαν, τῶν ἐπικαθημένων βομβυλίων ἀναπτάντων ἐκ τοῦ ἤχου τῶν ψελλίων, ὃν ἐποίησαν αἱ ἐκτεθεῖσαι χεῖρες.
4. Τὰ ἄνθη τῶν ἐν τοῖς ἀγλαοῖς ἄλσεσι φυτῶν ἐρυθρὰ ἐγίνοντο ἐκ τῶν ἐρυθρῶν δακτύλων τῶν γυναικῶν, ὡςπερεὶ θυμούμενα, ἐπειδὴ ἐβλίβοντο ἐν τῷ κόπτεσθαι ὑπ' αὐτῶν.
5. Τὰ μὲν οὖν ἄνθη συνελέγετο σπουδαίως καὶ ἀσμέναις χερσὶν ὑπ' ἀνδρῶν καὶ γυναικῶν, ἀμιλλωμένων εἰς τὸ ποιῆσαι βέλη τοῦ Ἔρωτος, πρὸς ἐπαγωγὴν τῶν ἐρωμένων.
6. Ἀνατεινόμεναι πολλάκις αἱ γυναῖκες εἰς τὸ δρέψασθαι τῶν ἀνθέων, καὶ ὑποκλινόμεναι πολλάκις τῷ βάρει τῶν γλουτῶν, ἀνεμίμνησκον τοὺς ἐραστὰς τῆς ἐν τῇ ὀρθῇ συνουσίᾳ ἐρωτικῆς παιδιᾶς.
7. Τοῦ ἐραστοῦ, ὃς ἐκάθητο ἐπὶ κλάδου δένδρου, καὶ ἐδίδω

---

1. Ὑπέρυθροι οἱ δάκτυλοι, λευκοὶ καὶ οἱ ὄνυχες, καὶ διὰ τοῦτο πολλαπλάσια ἐγίνοντο τὰ φύλλα τὰ ἀειθαλῆ, ἃ εἰσιν ὑπέρυθρα, καὶ τὰ ἄνθη, ἃ εἰσι λευκά.

ἄνθη τῇ ἐρωμένῃ, ἐκφωνήσαντος ἄλλης ὄνομα, τὰ ἄνθη, ἀναφερόμενα ἐκ τῶν ἀναστεναγμῶν αὐτῆς, ἐγίνοντο ἐπ' αὐτὸν βέλη τοῦ Ἔρωτος.

8. Ἐραστής τις μὴ διακρίνας ἐρωμένην, ἱσταμένην παρ' ἀνάδενδράσιν, ἐπειδὴ εἶχε σῶμα λεπτὸν ὅμοιον κλαδί, ἐξέτεινε τὴν χεῖρα, νομίσας τοὺς μαστοὺς ἄνθη, καὶ ἁψάμενος ἐποίει ὃ ἔδει [1].

9. Τοῦ ἀνδρὸς ὄντος ἐπὶ κλόνου ὑποκεκλιμένου εἰς ἀνθολογίαν, ἡ γυνὴ, νομίσασα νεοθαλὲς φύλλον, ἔνυξε διὰ τοῦ ὄνυχος τὸν δάκτυλον τοῦ ποδὸς αὐτοῦ, ὃς ἐπειράθη ἡδονῆς ἐκ τῆς νύξεως τοῦ ὄνυχος, ἧς οὔπω τέως [2].

10. Τοῦ ἐραστοῦ ὄντος ἐπὶ δένδρου, διδόντος τε ἄνθη τῇ ἐρωμένῃ, καὶ λόγους ἡδεῖς λέγοντος, ἡ ἐπιῤῥοὴ τοῦ χυμοῦ τῶν ἀνθέων πλάσμα ἐγένετο τῆς ἐξ ἔρωτος φρίκης καὶ τρόμου τῆς ἐρωμένης [3].

11. Ἀποκοπέντος τοῦ ἄνθους, ὁ ἐπ' αὐτῷ βομβύλιος, ἐπικαθίσας τῷ λωτίῳ προσώπῳ τῆς ἐρωμένης, ἐποίει βόμβον· ὁ δ' ἐραστὴς, ἀγκαλισθεὶς ἐκ φόβου κατὰ πρῶτον ὑπ' ἐκείνης, οὔσης νεονύμφου, ἐνόμισε τὸν βόμβον τοῦτον ᾆσμα γαμήλιον.

12. Γυνή τις πολύπειρος οὐκ ἐκίνησε τὴν χεῖρα αὐτῆς, εἰς τὸ ἀποσοβῆσαι τὸν προσελθόντα βομβύλιον ἐκ τοῦ ἀποκοπέντος ἄνθους, ἀλλ' ἠγκαλίσατο τὸν ἄνδρα αὐτῆς, ὥσπερ φοβηθεῖσα.

13. Βομβύλιοι πολλοὶ προσήρχοντο, νομίζοντες ἐκείνας τὰς

---

1. ἔθλιβεν αὐτούς.

2. Διότι οὐδέποτε ἐνύγη ὁ δάκτυλος τοῦ ποδὸς αὐτοῦ.

3. Δηλονότι ἀπέκρυψε τὴν φρίκην καὶ τὸν τρόμον, ὃν ἔλαβεν ἐπ' ἔρωτι, καὶ ἀπέδειξεν, ὅτι ἐπεγένετο ταῦτα ἐκ τῆς ἐπιῤῥοῆς τοῦ χυμοῦ τῶν ἀνθέων.

εὐπρωσώπους γυναῖκας, ὡς φυτὰ, ἄνθη φέροντα [1]· καί τοι δὲ τὰς χεῖρας ἐκίνουν εἰς ἀποσόβησιν, οἱ βομβύλιοι μᾶλλον θαῤῥαλέως προσήρχοντο, νομίζοντες φυτὰ φολλοφόρα.

14. Πόῤῥωθεν οἱ βομβύλιοι ἐτύγχανον προσιόντες, νομίζοντες ἄνθη λευκὰ τοὺς ἐκ τῶν στομάτων τῶν γυναικῶν ἐξιόντας γέλωτας· βουλόμενοι δ' ἐφιζῆσαι, τὰς πτέρυγας συνέκλειον, καὶ ἐν τῷ καταπίπτειν ἠρείδοντο ἐπὶ τῶν μαστῶν.

15. Ἀνθέων ῥιπτομένων ἀπὸ δένδρου ὑπ' ἐραστοῦ εἰς τὴν χεῖρα τῆς ἐρωμένης, καὶ ἐν τῷ ἀναμεταξὺ ἀπορῥιπτομένων ὑπὸ τῶν ἀναστεναγμῶν ἄλλης ἀντιζήλου, ἡ παλάμη τῆς χειρὸς πλήρης ἀνθέων ἐφαίνετο ἐκ τῶν πολλῶν αὐτῆς γελώτων.

16. Ὁ μὲν ἐραστὴς ἀπὸ δένδρου εἰς μάτην ἐνεχείριζεν ἄνθη τῇ ἐρωμένῃ· ἡ δὲ, μὴ εἰδυῖα ταῦτα πίπτοντα ἐκ τῆς χειρὸς, ὥσπερ λαμβάνουσα αὐτὰ, ἐτίθη ματαίως ἐπὶ τῆς κεφαλῆς, ἀμφότεροι ὄντες ἐμβεβυθισμένοι τῇ πρὸς ἀλλήλους ὁράσει.

17. Ἐρωτομανής τις ἐπὶ δένδρου, συγκλείων ἡδέως τὰ αὐτοῦ χείλη, καὶ ποιῶν μίμημα φιλήματος, χαρὰν μεγάλην ἐλάμβανε, τῆς ἐρωμένης ποιούσης τὸ αὐτὸ, ἣ ἀνέβλεπε συλλέγουσα ἄνθη.

18. Ἄλλος ἀναβιβάσαι βουλόμενος εἰς τὸ δένδρον τὴν ἐρωμένην, εἵλκεν αὐτὴν τῆς χειρός· τρόμῳ δὲ συσχεθεὶς ἐκ τῆς ἁφῆς, καὶ ἀναίσθητος γενόμενος ὑπ' ἔρωτος, ἔπεσε· τοῦ δὲ περιδεραίου συμπλακέντος κλόνῳ, ἣν ἀπηωρημένος ἐπὶ πολὺ, ὀλίγα πνέων.

19. Νέος, συλλέγων ἄνθη, πέπτωκεν ἐκ τοῦ δένδρου ἀπερι-

---

1. Τὰ μὲν πρόσωπα, ὡς ἄνθη· αἱ δὲ χεῖρες, ὡς φύλλα.

σκέπτως, βλέπων εἰς ἄλλην· ὅθεν ἐπαίετο ἀνελεημόνως λαξ ὑπὸ τῆς ἀντιζήλου, θυμῷ κατεχομένης.

20. Καί περ μὴ βουλομένου τοῦ ἐραστοῦ ἐγχειρίσαι τῇ ἐρωμένῃ τὰ ἄνθη, ἵνα βλέπῃ τὸ πρόσωπον αὐτῆς, ἐπὶ πολὺ ἀτενιζούτης, ἔπεσον αὐτὰ ἐκ τρόμου τῆς χειρός· ἡ δὲ, μὴ αἰσθομένη τὰ ἄνθη πεσόντα, οὐχ εἵλκυσε τὸ ἀτενὲς αὐτῆς ὄμμα ἐκ τοῦ ὄμματος ἐκείνου [1].

21. Τοῦ ἐραστοῦ νύττοντος τοῖς ὄνυξι τὰ ἄνθη ἐν τῷ δρέπτεσθαι, ἡ ἐρωμένη φθόνον ἔσχεν [2]· πετάσας δ' ὁ βομβύλιος ἐκ τοῦ ἀποκοπέντος ἄνθους, καὶ ἐπιφοιτήσας τῷ λωτίῳ προσώπῳ τῆς ἐρωμένης, ἐφθονήθη καὶ αὐτὸς ὑπὸ τοῦ ἐραστοῦ [3].

22. Ἐπιφοιτήσας βομβύλιος τῷ χείλει τῆς ἐρωμένης, ἔδακεν αὐτὸ, ὑπολαβὼν νεοθαλὲς φύλλον· ὁ δὲ σοφὸς ἐραστὴς ἐμύζα αὐτὸ εὐθέως ἔμπροσθεν τῶν λοιπῶν, εἰς τὸ ἀπαλλάξαι δῆθεν τὸ ἐκ τοῦ δήγματος ἄλγος.

23. Τῆς ἐρωμένης ἀφορώσης εἰς τὸν κλόνον τοῦ δένδρου, τὴν χεῖρά τ' ἀνεχούσης, καὶ τῷ παρεστῶτι ἐραστῇ λεγούσης· « Δός μοι ἑταῖρε τοῦτο τὸ κάλλιστον ἄνθος, » ὁ δολόφρων ἐραστὴς ἐφίλει τὸ χεῖλος ἄλλης.

24. Ἄλλος ἄλλῃ ὡμίλησε κρυφίως· ἰδὼν δὲ τὴν ἑαυτοῦ γυναῖκα, ἄλλοθέν ποθεν ἐλθοῦσαν, ἐρυθρὰ ἔχουσαν τὰ ὄμματα ἐκ τοῦ ἐμπεσοῦντος χνοῦ τῶν ἀνθέων, ἐνόμισεν ὡς ὀργίζεται, γνοῦσα τὸ γεγονός· καὶ ἐκλιπαρῶν αὐτὴν ταπεινῶς, ἀνεκάλυψε τὸ ἑαυτοῦ ἔγκλημα, καὶ μὴ θέλων.

25. Ἐρωτομανής τις παροῦργος, προσελθὼν ὥσπερ φυσήσων

---

1. Ἀμφότεροι ἐμβεβυθισμένοι ἦσαν τῷ ἔρωτι.

2. Ἐφθόνησε διότι ἐνύττοντο τοῖς ὄνυξι τὰ ἄνθη καὶ οὐχὶ τὸ πρόσωπον αὐτῆς.

3. Κἀκείνη ἐφθόνησε τοῖς ἄνθεσι, καὶ οὗτος ἐφθόνησε τῷ βομβυλίῳ.

τὸν ὀφθαλμὸν εὐοφθάλμου ἑταίρας, δακρυρρόουντα διὰ τὸ ἐπιπεσεῖν ἄνθος, ἐφίλησεν αὐτὸν, καλύψας τὸν ἕτερον καθαρᾷ ὀθόνῃ.

26. Τοῦ σώματος ἑταίρας τινος δυσμόρφου γενομένου ἐκ τοῦ πολλοῦ χνοῦ τῶν ῥιπτομένων ἀνθέων ὑπὸ τοῦ ἐραστοῦ, ἑτέρα ἀντίζηλος παρισταμένη ἐλυπεῖτο καὶ τὸν ἑαυτῆς ἀναστεναγμὸν, ὃς διασκεδάννυε τὸν χνοῦν, καὶ ἐκάθαιρε τὸ σῶμα ἐκείνης.

27. Στέφανος ἄβρὸς ἐξ ἀνθέων, τεθεὶς ἐν τῷ λαιμῷ ἐρωμένης ὑπ' ἐραστοῦ καρδιοθέλκτου, διεκινεῖτο ὑπὸ τοῦ στεναγμοῦ ἑτέρας ἀντιζήλου, ὥσπερ εἰ ἐχόρευε χαρείς.

28. Χνοῦς ἐξ ἀνθέων ἐρῥίφθη ὑπ' ἐραστοῦ εἰς ὄμματά τινος ἑταίρας, ἐπὶ τῷ ἀγκαλίσασθαι ἄλλην· ἡ δὲ σχετλιάζουσα, καὶ στόνοις πολλοῖς αὐτὸν βάλλουσα, ἔχθραν κατ' αὐτοῦ ἔθετο[1].

29. Στέφανος ἄνθινος ἐπ' ὀνόματι ἄλλης τεθεὶς ἐπὶ τοῦ ςήθους ἐρωμένης ὑπ' ἐραστοῦ, ἐποίει βοὴν καὶ θόρυβον διὰ τῶν ἐπιφοιτώντων βουβυλίων, ἵνα μὴ ἀπορρίψειεν αὐτὸν ἐκείνη, ἀκούσασα ὡς ἐτέθη ἐπ' ὀνόματι ἄλλης.

30. Οὐχ οἷόν τε ἦν ταινιωθῆναι στεφάνῳ τὴν κόμην ἐρωμένης ὑπ' ἐραστοῦ, τρέμοντος ἐξ ἔρωτος· χαρὰ δὲ ματαία ἐπεγένετο ἄλλῃ μωρᾷ ἀντιζήλῳ, ταῦτα φρονούσῃ· «Ἐμὲ » οὗτος ἐφοβήθη.»

31. Ἐραστής τις, πλέκων τὴν κόμην τῆς ἐρωμένης, ἀκινήτους ἔσχε τὰς χεῖρας, φοβηθεὶς τὴν βολὴν βλοσυροῦ ὄμματος ἑτέρας ἀντιζήλου· ἡ δὲ, νομίσασα, ὡς ὁ ἐραστὴς ἐρωτόληπτος γενόμενος ἀκινήτους ἔχει τὰς χεῖρας, στρέψασα τὸ πρόσωπον ἐφίλει αὐτόν.

32. Ἑτέρα δέ τις, κρατηθεῖσα ὄπισθεν τὴν σιαγόνα ὑπὸ τοῦ

---

1. Ἀφῆκε τὸ ὃ εἶχε φίλτρον καὶ ἔθετο δυσμένειαν.

ἐραστοῦ, καὶ στραφεῖσα τὸ πρόσωπον εἰς τὸ φιληθῆναι, ἐφάνη ὥςπερ ἄλλη Κινναρὴ [1], τοῦ δεσμοῦ τῆς κόμης ὄντος ἔμπροσθεν ὁμοίου στόματι ἵππου [2], καὶ ἄδοντος διὰ τῶν περὶ τὰ ἄνθη τῆς κόμης ἑμβυλίων.

33. Ξύμπαντες οἱ ἄνδρες τε καὶ αἱ γυναῖκες, ὡς στρατιῶται ἐφαίνοντο τοῦ Ἔρωτος, ἔχοντες στεφάνους ἐξ ἀνθέων, καθειμένους ἀπὸ τοῦ λαιμοῦ μέχρι τοῦ στήθους, ὡς τόξα, καὶ πλοκάμους ἀνθοπλέκτους, καθειμένους ἐπὶ τῶν νώτων, ὡς φαρέτρας.

34. Ὁ Ἔρως ἀνελὼν, ὡς δυνατὸς, τὸν δυνατὸν ἐχθρὸν αὐτοῦ, τὸ μέγα φρόνημα τῶν ἀνδρῶν καὶ γυναικῶν, ἔχαιρεν, ὡς μεμηνὸς χοῖρος, ἐν τῷ σώματι αὐτῶν, πηλώδει γεγενημένῳ ἐξ ἱδρῶτος καὶ χνοῦ τῶν ἀνθέων.

35. Αἱ πολλαὶ κόνεις τῶν ἀνθέων, χαίρουσαι ἐκ τῆς ψαύσεως τοῦ σώματος τῶν γυναικῶν, ὀρχούμεναι ἐν τῷ δάσει ἐκ τῆς φορᾶς τῆς αὔρας, ἐφαίνοντο ὥςπερ τρέμουσαι ἀκτῖνες τοῦ Ἡλίου.

36. Ἡ οἴησις [3] τῆς ἀντιζήλου ἐσβέσθη εὐθέως, ὥςπερ λύχνος, ἔχων εἰς μάτην πολὺ ἔλαιον, ἐκ τοῦ ἀέρος τοῦ ἀποτελουμένου ὑπὸ τοῦ ἐραστοῦ τῷ ἄκρῳ τοῦ ἱματίου, εἰς ἀπαλλαγὴν τοῦ καύματος, τοῦ ἐκ τοῦ περὶ τὴν παιδιὰν πόνου ἑτέρας ἐρωμένης, καὶ ψυχροῦ ὄντος ἐκ τῶν δακρύων τῆς χαρᾶς [4].

---

1. Κινναραὶ, εἶδος μουσικῶν θεῶν ἱπποκεφάλων, ἀκολούθων τοῦ θεοῦ Κουβέρα, ὅς ἐστιν ὁ θεὸς τοῦ πλούτου.

2. Πολυειδῶς κοσμοῦσι τὴν κόμην αἱ τῆς Ἰνδίας γυναῖκες· ἄλλαι μὲν γὰρ συμπλέκουσιν αὐτὴν, ἄλλαι δὲ περιδέουσαι ὄπισθεν δεσμὸν, ἀποτελοῦσι στρογγύλον, καὶ ἄνθη ἐντιθέασιν.

3. Ἡ οἴησις, ἣν εἶχεν, ὡς αὐτὴν μόνην ὑπεραγαπᾷ ὁ ἀνήρ.

4. Ἐκ τῶν δακρύων τοῦ Ἔρωτος.

37. Τοῦ ἐραστοῦ μὴ ὄντος ἱκανοῦ ἐκ τοῦ φίλτρου διακινῆσαι τὸ ὃ ἐκράτει ὀθόνιον, εἰς τὸ ποιῆσαι ἀέρα τῇ ἐρωμένῃ, ὁ ἐκ τοῦ καύματος ταύτης ἰδρὼς ἀπηλλάττετο ἐκ τῶν θερμῶν ἀναστεναγμῶν τῆς ἀντιζήλου.

38. Ὁ Ἥλιος ἐθέρμαινεν εἰς ἄμυναν τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, ἔχοντας πρόσωπα σεληνιαῖα, ἀντικείμενα τῷ φίλῳ αὐτοῦ λωτῷ· ὅθεν κἀκεῖνοι ἀμοιβαίως γνώμης ἐγένοντο ἀνακυκῆσαι καὶ ἀναταράξαι τὴν Ἰαμουνὰν [1], τὴν θυγατέρα τοῦ Ἡλίου.

39. Θερμανθέντες οὖν ἐκ τοῦ Ἡλίου, ἐπορεύοντο ἐκ τοῦ ἄλσους εἰς τὸ ὕδωρ, ὡς δένδρα κινητά, κλάδους ἔχοντες ἐν χερσὶν καὶ πολλοὺς βομβυλίους περιϊπταμένους περὶ τοὺς ἐξ ἀνθέων στεφάνους, οὓς εἶχον ὡς κοσμήματα.

40. Πορευομένων δὲ τῶν εὐμόρφων γυναικῶν, ἀφ' οὗ ἀφεῖλον πάντα τὸν πλοῦτον τῶν δένδρων, τὰ ἄνθη παρείποντο αὐταῖς εἰς ἄμυναν, καὶ τὰ δένδρα εἰς τὸ ποιῆσαι ἔνεδραν, ὅ ἐστι, τὰ σκιάδια τοῦ ταώ [2].

41. Πανοῦργος ἐραστής τις, κρατῶν σινδόνα ἐπὶ κεφαλῆς μιᾶς ἐρωμένης, τοῦ Ἡλίου ὄντος κατὰ τὴν δύσιν, ἐποίει σκιὰν ἑτέρᾳ, ἱσταμένῃ ὄπισθεν, καὶ εὔφραινεν ἐν ταὐτῷ ἀμφοτέρας [3].

42. Σινδὼν, τεθεῖσα ὑπ' ἐραστοῦ τρέμοντος ἐξ ἔρωτος, ἐπὶ κεφαλῆς ἐρωμένης, εἰς ἀποσκίασιν τοῦ Ἡλίου, ἐπετάσθη μακρὰν ὑπὸ τῶν ἀναστεναγμῶν ἄλλης ἀντιζήλου.

---

1. Ἡ Ἰαμουνὰ, ὁ ποταμὸς, θυγάτηρ ἐστὶ τοῦ Ἡλίου.

2. Οὐρανίσκους εἶχον ἐκ πτερῶν ταώ. — Τὰ πτερὰ τοῦ ταὼ πολύχροά ἐστιν, ὡς καὶ τὰ ἄνθη.

3. Ἡ μὲν ἠγάλλετο διότι ἐκράτει ὁ ἀνὴρ τὴν σινδόνα ἐπὶ τῆς κεφαλῆς αὐτῆς, ὡς θεράπων· ἡ δ' ἑτέρα, ἡ ἱσταμένη ὄπισθεν, ἐπειδὴ σκιὰν ἐποίει ἐπ' αὐτῆς.

43. Εἶδον δ' ἔπειτα οἱ νεανίαι ἐνώπιον τὴν Ἰαμουνὰν, ἣ ἦν ὡς λαιμὸς φαιδρὸς τῆς γῆς, τῆς μορφῆς τοῦ Σίβα [1], μέλαινα γενομένη κατὰ τὴν φύσιν τοῦ ἀνδρὸς αὐτῆς Ὠκεανοῦ [2].

44. Καὶ ὑπὸ μὲν τῶν Κόκκων ὡράθησαν φόβῳ τὰ πρόσωπα τῶν γυναικῶν, ὡς πολλαὶ ἐπιδρομὴν ποιοῦσαι Σελῆναι, ὑπὸ δὲ τῶν ἐν ὕδασι τῆς Ἰαμουνᾶς χηνῶν χαρᾷ, ὡς πολλοὶ ἀγλαοὶ λωτοὶ, τέρψιν ποιοῦντες.

45. Αἱ δ' ὑδάτιαι θεαὶ, αἱ ἐν τοῖς ῥείθροις τοῦ ποταμοῦ, ὅ ἐστιν αἱ ἐν ὕδασιν ἀντιλάμπουσαι μορφαὶ τῶν γυναικῶν, ἱσταμένων περὶ τὴν ὄχθην, ἀνιστάμεναι σὺν τοῖς ἀνισταμένοις κύμασιν, ἐφαίνοντο ὥςπερ εἰ ἐποίουν ἀνάστασιν ἐξ ἕδρας, εἰς τιμὴν καὶ ὑποδοχὴν αὐτῶν.

46. «Μὴ φοβεῖσθε,» ἔλεγον οἱ ἄνδρες, «ἰδοὺ καὶ ἄλλαι γυ-» ναῖκες παίζουσιν ἐν τούτοις τοῖς ὕδασιν.» Οὕτως ἀπατήσαντες τὰς γυναῖκας οἱ ἄνδρες, διὰ τῆς δείξεως τῶν ἐν ὕδασιν ἀπαυγασμάτων αὐτῶν, εἰσεβίβασαν εἰς τὸν ποταμὸν αὐτάς.

47. Τὸ μὲν οὖν ὕδωρ ἦν μέχρι τοῦ ὀμφαλοῦ· πολλῶν δ' ἀνθρώπων εἰσδύντων, ἐγένετο εὐθέως μέχρι τοῦ ὤμου· οἱ δὲ λωτοὶ ἐνεβυθίσθησαν αἰσχύνῃ πως, εἰς τὸ ἀποδεῖξαι λωτοὺς τὰ πρόσωπα τῶν γυναικῶν.

48. Ὃν δὲ φλοῖσβον ἐποίησε τὸ ὕδωρ ὑψωθὲν, τῶν ἀνδρῶν πηδησάντων ἐκ τοῦ χείλους τοῦ ποταμοῦ, οὗτος ἦν τότε

---

1. Ὁ Σίβας λέγεται ὀκτάμορφος. Τὰ πέντε στοιχεῖα, ὁ Ἥλιος, ἡ Σελήνη καὶ αὐτὸ τὸ Θεῖον, φύσις ἐστιν αὐτοῦ, δηλ. αὐτός ἐστι τὸ πᾶν.— Κυανοῦς ὁ λαιμὸς τοῦ Σίβα, κυανὴ καὶ ἡ Ἰαμουνά.

2. Οἱ ποταμοὶ λέγονται γυναῖκες τοῦ ὠκεανοῦ, καθὸ εἰσβάλλοντες εἰς αὐτὸν, συμμίγνυνται.

πάντως, ὡς μία κλῆσις πρὸς τὰς γυναῖκας, τὰς βουλομένας πηδῆσαι μετὰ τούτους.

49. Λάμπων δ' ὁ Κρισνᾶς τοῖς λαμπραῖς ἐκ λίθων κοσμήμασι, καὶ μέλας ὤν, ἐφαίνετο ἱστάμενος ὡς ἐμμελὴς [1] ὠκεανὸς ἐν τῇ ἐρωτικῇ καρδίᾳ τῆς θυγατρὸς τοῦ Καλίνδα [2].

50. Ὅ,τε Κρισνᾶς καὶ ὁ Ἀρζούνας, μέλανες ὄντες ἔπαιζον ἐν τῷ ὕδατι, ὡς δύο ἄγριοι ἐλέφαντες, ῥαίνοντες ὕδωρ λαμπρὸν ταῖς λαμπραῖς αὐτῶν χερσὶ, καὶ λωτοὺς πολλοὺς κόπτοντες.

51. Ἡ δὲ Ἰαμουνὰ, ἡδομένη τῇ ἐν ὕδατι ἡδείᾳ παιδιᾷ τοῦ Κρισνᾶ, τῇ γινομένῃ ἀσμένως δι' ὅλου τοῦ σώματος ἀπὸ ποδῶν μέχρι κεφαλῆς, ἐγέλα τότε τὴν Γαγγὰν διὰ τοῦ λευκοῦ ἀφροῦ, τοῦ ἐκ τοῦ πατάγου τῶν χειρῶν αὐτοῦ [3].

52. Τότε ὁ Κρισνᾶς, παίζων ἐν ὕδασι τῆς Ἰαμουνᾶς, ἐν νῷ λαβὼν τὰς ἡδείας παιδικὰς παιδιὰς, οὐ περὶ πολλοῦ ἐποιεῖτο οὐδὲ τὴν ἑαυτοῦ βασιλείαν, τὴν κυβερνωμένην κατὰ τὴν γνώμην τῶν βουλευτῶν [4].

53. Ὁ Κρισνᾶς καὶ ὁ Ἀρζούνας, θεωροῦντες τοὺς ἄνδρας καὶ τὰς γυναῖκας φαιδρυνομένους ἐν ὕδασι τοῦ ποταμοῦ ἡδείαις

---

1. Ἔχων χεῖρας καὶ πόδας καὶ ὄμματα, τοὐτέστιν ἐν τῷ μέσῳ τῆς Ἰαμουνᾶς.

2. Καλίνδα, ὄρος ἐξ οὗ ἀναπηγάζει ἡ Ἰαμουνά.

3. Λευκὸς ὁ γέλως, λευκὸς καὶ ὁ ἀφρὸς, ὃς ἦν ὡς γέλως· τὸ δ' ἐγέλα, ἀντὶ τοῦ κατεγέλα, οἱονεὶ ἔλεγε· « Σὺ μὲν, ὦ Γαγγὰ, ὑπὸ τὸν πόδα εἶ » τοῦ Βισνοῦ, ὅς ἐστιν οὗτος ὁ Κρισνᾶς (ἡ γὰρ Γαγγὰ ἀναπηγάζει, » ὡς μυθολογεῖται, ἐκ τοῦ ποδὸς τοῦ Βισνοῦ), ἐγὼ δὲ ἐπὶ τῆς κεφαλῆς » τοῦ Κρισνᾶ φέρομαι.»

4. Κατεφρόνει ἑαυτοῦ, καίπερ ἔχοντος βασιλείαν, ὡς ὑπεξουσίου ὄντος τῇ βουλῇ τῶν βουλευτῶν.

καὶ χαρμοσύναις παιδιαῖς, ἀπελάμβανον ἄσμενοι, τὸν ἐκ τῶν ὀφθαλμῶν καρπόν [1].

54. Ἐρωμένη τις ἀστεία καὶ σοφιστικὴ, ῥαντιζομένη ἀπατηλῶς ἐν ταῖς τοῦ ὕδατος παιδιαῖς τῇ χειρὶ τοῦ ἐραστοῦ, μὴ δυναμένη ἀντισχεῖν, προσελθοῦσα ἐφύλαξε τὸ λώτιον αὐτῆς πρόσωπον, θεῖσα αὐτὸ ὑπὸ τὸ στῆθος αὐτοῦ.

55. Καί τις, νικῆσαι ἀμήχανος οὖσα τὸν πολύπλοκον ἐραστὴν ταῖς τοῦ ὕδατος παιδιαῖς, ἔπαισε τὸν μακάριον κατὰ τὸ στῆθος, ὥσπερ θυμουμένη, ταῖς σκληραῖς θηλαῖς τῶν μαστῶν αὐτῆς.

56. Ἀνδρὸς καὶ γυναικὸς πληγέντων τὴν καρδίαν τῇ ἐρωτικῇ ὁράσει ἀλλήλων, τὸ ἐν ταῖς παλάμαις ὕδωρ, μὴ ῥιπτόμενον εἰς παιδιὰν, ἔῤῥαινε δάκρυα, ἃ ἦσαν αἱ στάζουσαι σταγόνες [2].

57. Ἐρωμένη ἐραστὴν ἠγκαλίζετο φόβῳ, ἰδοῦσα τοὺς μαστοὺς αὐτῆς ἀντιλάμποντας ἐν τῷ προσιόντι κύματι τοῦ ποταμοῦ, ἐπειδὴ ὑπέλαβεν αὐτοὺς ὡς δύο ἐξοχὰς κεφαλῆς ἐλέφαντος ἐφορμῶντος.

58. Ἐρωτομανὴς, ἰδὼν πρόσωπον γυναικὸς, ᾧ περιέπταντο βομβύλιοι ἐπὶ τῇ εὐώδει ἀναπνοῇ, βεβυθισμένης ἐν ὕδατι ὅλον τὸ σῶμα μέχρι λαιμοῦ, εἶπεν· «Οἷός ἐστιν οὗτος ὁ λωτός! καὶ ὑποκρινόμενος ὡς ὀσφρανθήσεται αὐτοῦ, ἐφίλει αὐτὸ πολλάκις.

59. Τοῦ λειμῶνος τῶν λωτῶν διαφθαρέντος ἐκ τῆς ἐν ὕδατι παιδιᾶς τῶν ἐρωτικῶν ἀνδρῶν καὶ γυναικῶν, ἡ ἀγλαΐα τῶν λωτῶν ἦλθεν εἰς τὸν λειμῶνα τῶν λωτοπροσώπων γυναικῶν.

60. Καταθλιβέντων καὶ κλεισθέντων τῶν ὀφθαλμῶν τῶν

---

1. Ὁ τοῦ ὀφθαλμοῦ καρπός ἐστι τὸ βλέπειν ἡδέα.

2. Ἔμενον ἀκίνητοι καὶ οὗτοι καὶ τὸ ὕδωρ τὸ ἐν ταῖς παλάμαις.

λοιπῶν ἀνδρῶν καὶ γυναικῶν ἐκ τῆς πρὸς ἀλλήλους σφοδρᾶς ὑδροβολίας, δύο τινες εὐφυεῖς, ἀνὴρ καὶ γυνὴ, συνευφραίνοντο τότε ἡδείαις περιπτύξεσι καὶ φιλήμασι.

61. Καί τις γυνὴ ἐν παιδιαῖς πιεσθεῖσα ταῖς πολλαῖς ὑδροβολίαις τοῦ ἀνδρὸς, ἔσχε καὶ ἄσθμα καὶ ὄμμα ἐρυθρόν· ἡ δ' ἀντίζηλος, ἐκ φθόνου καὶ θυμοῦ, ἔσχε καὶ ὄμμα ἐρυθρὸν, καὶ ἀναστεναγμόν.

62. Ἐραστοῦ τινος ἐν τῷ παίζειν ἐξακοντίσαντος ὕδωρ πρὸς ἐρωμένην ἐπ' ἄλλης ὀνόματι ἐκ λήθης, ὃς οὐδέποτε οὕτως ἔπραξεν, αὐτὴ μὲν ὠργίζετο ἐκ τούτου εὐθέως, ἡ δ' ἄλλη ἡ ἀντίζηλος χαρὰν ἐλάμβανεν.

63. Πολλαὶ ἐρώμεναι φθονοῦσαι, συνελθοῦσαι ἀθρόαι, ἔθλιβον βολαῖς ὑδάτων κατὰ τοὺς ὀφθαλμοὺς τὸν ἐραστὴν, τὸν ταῖς γυναιξὶν ἀρεστὸν, διότι ἠδικήθησαν ὑπ' αὐτοῦ πολλάκις.

64. Ἐρωμένη τις, ταῖς ὑδροβολίαις θλιβομένη, ἔστρεψεν εὐθέως τὸ πρόσωπον· ὁ δ' ἐραστὴς τῷ ἔρωτι βεβακχευμένος, κατέβρεχεν ἔτι, μὴ διακρίνων, βλέπων ἐνώπιον τὸν λωτὸν, τὸ κόσμημα τοῦ ὠτός [1].

65. Ἐρωμένη ἀστεία, ἔχουσα τὸ πρόσωπον ὄπισθεν λωτοῦ, κατέθλιβε θυμήρη ἐραστὴν ὑδροβολίαις· ὁ δὲ κατέβρεχε συχνάκις τὸν λαμπρὸν λωτὸν, νομίζων αὐτὸν τὸ πρόσωπον τῆς ἐρωμένης.

66. Ἐρωμένη τις ἄπειρος, προτραπεῖσα ὑφ' ἑτέρας, ἔβρεχε τῷ ἐν δρακὶ ὕδατι τὸ ἐπὶ τοῦ στήθους τοῦ ἐραστοῦ νεόφυτον δένδρον, τὸ φίλτρον. Ἑτέρα δ' ἀντίζηλος ἔβρεχε τῷ ἐν ὀφθαλμοῖς ὕδατι τὰ ἐν τῷ στήθει αὐτῆς δύο ἀρτιφανῆ φυτὰ, τὴν λύπην καὶ τὸν φθόνον.

---

1. Τὸν λωτὸν ἔβλεπεν ἐπὶ τοῦ ὠτὸς, στραφέντος τοῦ προσώπου, καὶ ἐνόμιζεν αὐτὸ τὸ πρόσωπον.

67. Ἐκ τοῦ ἀποπλυνομένου στίμμιος, τοῦ ἐπὶ τῶν ὀμμάτων τῶν γυναικῶν, τοσοῦτον μελάνυδρον τὸ ὕδωρ ἐγένετο, ἡ Ἰαμουνὰ, ὥστε καὶ τὸν ὠκεανὸν μελανόχρουν ἐσχηκέναι τὸ ὕδωρ ἐκ τῆς συμμίξεως αὐτῆς.

68. Ἐπεγειρόμενον τὸ κύμα ἐκ τῶν ἀπὸ τῶν λειμώνων πνεόντων ἀέρων, θίγον ἡδέως τῶν μαστῶν τῶν γυναικῶν, καὶ τὰς ἐν αὐτοῖς γραφὰς ἀπαλεῖφον ταῖς σφοδραῖς ἐπαφαῖς, καί περ ταχέως παρήρχετο, νέον πάλιν καὶ πολλάκις ἀνηγείρετο.

69. Πᾶν κύμα ἐγειρόμενον, καί περ παιόμενον, ὡς κακὸν καὶ ἐγκληματικὸν, ῥαπίσμασιν ὑπὸ τῶν γυναικῶν, ἐρυθρῶν οὐσῶν τὰ ὄμματα, ἐγέλα διὰ τοῦ λευκοῦ ἀφροῦ.

70. Ἐκ τῆς ἡδείας παιδιᾶς τῶν γυναικῶν πᾶν κύμα ἱδροῦν καὶ φρίττον πως ἐφαίνετο διὰ τοῦ χνοῦ τῶν συντριβομένων λωτῶν [1]· καὶ διὰ τοῦ λευκοῦ ἀφροῦ τῶν ἐκρηγνυμένων κυμάτων.

71. Ἡ ἀγλαΐα [2] τοῦ αἰθέρος, ἰδοῦσα τὰ σεληνιαῖα πρόσωπα τῶν γυναικῶν, ἔκλαιε διὰ τῶν πιπτουσῶν ῥανίδων τοῦ ἀνισταμένου ὕδατος, λέγουσα ταῦτα· « Αὕτη ἡ Σελήνη » ἀφεῖσα τὸ ἐμοὶ συνεῖναι, λαβοῦσα πολλὰς μορφὰς, ἐν » ἀγκάλαις ἔχει ταύτας τὰς Κουμουδβατάς [3].

72. Ὁ Ἔρως ἐγαυρία μεγάλως εἰς νίκην κατὰ τοῦ κόσμου ταῖς ἐπὶ τῶν σωμάτων τῶν γυναικῶν ὑπὸ τὴν φρίκην τῶν τριχῶν νύξεσι τῶν ὀνύχων, αἳ μετὰ τὸ λούσασθαι ἐφαίνοντο ὡς ἡμισέληνοι αἰχμαί [4].

---

1. Ὁ μὲν χνοῦς τῶν λωτῶν ἦν φρίκη, ὁ δ' ἀφρὸς τῶν κυμάτων ἱδρώς.

2. Ἡ ἀγλαΐα τοῦ αἰθέρος ὡς γυνὴ, ἡ δὲ Σελήνη ἀρσενικοῦ γένους ἐστὶ παρ' Ἰνδοῖς· αἱ δὲ πολλαὶ μορφαί εἰσιν αἱ γυναῖκες, αἳ εἶχον πρόσωπον Σελήνης.

3. Κουμουδβατὴ λέγεται ὁ νυκτάνθης λωτός.

4. Ἡ μὲν ἀνισταμένη θριξ ἐκ τοῦ ψύχους ἦν ὡς βέλος, ἡ δὲ τοῦ

73. Ὁ Ἔρως ἀπορρίψας τὰ ἑαυτοῦ βέλη καὶ τὸ τόξον, ἃ ἦσαν τὰ πεσόντα ἄνθη ἐκ τῆς διαλυθείσης κόμης, καὶ οἱ διαῤῥαγέντες καὶ πεσόντες ἄνθινοι στέφανοι, ἐποίησε κομπαστικῶς ὅπλα τὰ ἀθύρματα τῶν γυναικῶν.

74. Ἡ Ἰαμουνὰ λευκανθεῖσα τῷ ἐκ τῶν στηθέων ἐξαλειφθέντι Σανδάνῳ, καὶ ἀγλαϊσθεῖσα τοῖς ἐκ τῶν διαῤῥαγέντων ὅρμων μαργαρίταις, ἐνίκησε τότε τὴν Γαγγὰν, τὴν γαυριῶσαν ἐπὶ τῇ λευκότητι τοῦ ὕδατος, καὶ τὴν Ταμραπαρνὴν, διότι γεννᾷ μαργαρίτας.

75. Τὰ ἐξαλειφθέντα ἐν ὕδασι κοσμήματα τῶν γυναικῶν ἀνεπληροῦντο, ἡ μὲν στίμμις τῇ μελανότητι τῆς κόρης τοῦ ὀφθαλμοῦ, τὸ δ' ἐπὶ τοῦ στήθους Σάνδανον, τῷ λευκῷ μειδιάματι, ὁ δ' ἐπὶ ὠτὸς λωτὸς, τῷ ἐκ πλαγίου βλέμματι [1].

76. Οὕτως ηὔξησε τὸ ἐν τῇ καρδίᾳ πέλαγος τοῦ φίλτρου τῶν ἀνδρῶν καὶ γυναικῶν ἐκ τῆς χαρᾶς τῆς ἐν ὕδασι παιδιᾶς, ὥστε ὑπερχειλὲς ἐωρᾶτο ἀπό γε τοῦ ἐρυθροῦ τῶν ὀμμάτων [2].

77. Τῶν λωτῶν, οἵ εἰσιν ἀντίμαχοι (ἀντίζηλοι) τῶν καλῶν προσώπων, διαφθαρέντων ὑπὸ τῶν γυναικῶν ἐν τῇ ὑδροπαιδιᾷ, ὁ φίλος τῶν λωτῶν Ἥλιος, ἐρυθρὸς γενόμενος, ὥσπερ θυμωθεὶς, ἐπέστη τῇ ἀκτῇ τοῦ ὠκεανοῦ [3], ἵν' ἀναστήσειε τὴν Σελήνην, εἰς ἄμιλλαν τῶν προσώπων.

78. Ἐξελθόντος μὲν οὖν τοῦ Ἡλίου ἐκ τοῦ αἰθέρος, ὡς ἐκ λί-

ὄνυχος νύξις, ὡς ἡμισέληνος αἰχμὴ τοῦ βέλους· καὶ γὰρ τὸ σημεῖον τῆς τοῦ ὄνυχος νύξεως ἡμισέληνον σχῆμα ἔχει.

1. Ὁ ἀμυγδαλοειδὴς ὀφθαλμὸς εἰκάζεται τῷ λωτῷ.

2. Μετὰ τὸ λούσασθαι ἐρυθρὰ φαίνονται τὰ ὄματα· τὸ δὲ φίλτρον ἐρυθρὸν λέγεται εἰκαστικῶς.

3. Τουτέστι ἀφίκετο εἰς τὴν δύσιν.

μνης μετὰ τῶν ἑαυτοῦ ἀκτίνων, ὡς γυναικῶν, ἐξῆλθον καὶ οἱ νεανίαι μετὰ τῶν ἑαυτῶν γυναικῶν ἐκ τοῦ ποταμοῦ.

79. Τὸ ὕδωρ τοῦ ποταμοῦ, ὃ ἐπλημμύρησεν ἐκ τῆς εἰσελεύσεως τῶν βαθυγλούτων γυναικῶν, καὶ κατέκλυσε τὴν παρακειμένην γῆν, ὑποχωρῆσαν, ἦλθε πάλιν εἰς τὸν ἑαυτοῦ ὅρον, ἐξελθουσῶν τῶν γυναικῶν.

80. Τότε ἐξελθουσῶν τῶν γυναικῶν, οἱ λωτοὶ, οἳ ἦσαν ἀφανεῖς ἐκ τῆς πλημμυρήσεως τοῦ ὕδατος, ἀνεφάνησαν, ἐπειδὴ οὐκ ἐφοβοῦντο ἔτι τὴν ἐκ τῶν λαμπρῶν ἐκείνων προσώπων ἀτιμίαν [1].

81. Ἡ μελανότης [2], ὅ ἐστιν ἡ καθειμένη κόμη, ἐπειδὴ ἐτέθη ὀπίσω ὑπὸ τοῦ σεληνιαίου προσώπου τῶν γυναικῶν, ὀδυνωμένη ἔῤῥαινε δάκρυα, ἃ ἦσαν αἱ ἀποστάζουσαι σταγόνες.

82. Ἀφαιρουμένου βιαίως ὑπὸ τῶν ἀνδρῶν ἀπὸ τοῦ σώματος τῶν γυναικῶν τοῦ βεβρεγμένου καὶ προσκεκολλημένου τῷ σώματι περιβολαίου, αὗται ἐνεκαλύπτοντο εὐθέως ἑτέρῳ· ποῦ γὰρ αἰδὼς τοῖς σφριγῶσι νέοις;

83. Αἱ ἐρυθραὶ ἀκτῖνες τοῦ Ἡλίου ἐν τῇ ἑσπέρᾳ ἐγένοντο ταῖς γυναιξὶ κατὰ μὲν τὴν κεφαλὴν, ὡς στέφανοι ἐξ ἀνθέων ἐρυθρῶν, κατὰ δὲ τὸ μέσον τῆς διῃρημένης κόμης ἐπὶ τοῦ βρέγματος, ὡς κιννάβαρις, κατὰ δὲ τὸ μέτωπον, ὡς ἐρυθρὰ πολύτιμα λιθίδια, κατὰ δὲ τὰς παρειὰς, ὡς

---

1. Τὰ πρόσωπα τῶν γυναικῶν λαμπρότερα ἦσαν, καὶ διὰ τοῦτο ἐκρύφθησαν οἱ λωτοὶ, ἵνα μὴ ἀτιμασθεῖεν.

2. Ἡ μελανότης, ἣν ἔχει ἐν ἑαυτῇ ἡ Σελήνη εἰκάζεται τῇ μελαίνῃ κόμῃ· ἐπειδὴ δὲ τὸ καλὸν πρόσωπον εἰκάζεται τῇ Σελήνῃ, διὰ τοῦτο πλάττει ὁ ποιητὴς ἀστεῖως, ὅτι ἔῤῥαινε δάκρυα, ἃ ἦσαν αἱ ἀποστάζουσαι σταγόνες, ἐπειδὴ ἐτέθη ὀπίσω, τουτέστι κατεφρονήθη.

γραφαὶ ἐκ κρόκου, κατὰ δὲ τὰ χείλη, ὡς βαφὴ ἐκ λακκίου, κατὰ δὲ τὰ ὦτα, ὡς ἐρυθροὶ λωτοί.

84. Οἱ μὲν οὖν ἄνδρες καὶ αἱ γυναῖκες, ἐμβεβυθισμένοι ἐν τῷ ἐρυθρῷ φωτὶ τοῦ Ἡλίου κατὰ τὴν ἑσπέραν, ὃ ἦν ὡς πέλαγος τοῦ φίλτρου, ἔφεσιν εἶχον τῆς ἐλεύσεως τῆς νυκτὸς, εἰς τὸ καθηδυπαθῆσαι, καὶ ἔχαιρον νομίζοντες, ὅτι σκότος τότε ἐγένετο ἐκ τῆς μελαίνης ἀγλαΐας τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα, τῶν ἄρτι λουσαμένων.

Τέλος τοῦ Ὀγδόου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΕΝΝΑΤΟΝ,

δ διαλαμβάνει περὶ τῆς ἀπολείψεως τῆς Σελήνης.

1. Προσκυνεῖτε τὸν μέλανα ἐκεῖνον ὅσιον Βεάσαν, οὗ τῶν ποδῶν τοῖς λαμπροῖς ὄνυξι λαμπρυνθεὶς, τίς νουνεχὴς οὐκ ἀπολαμβάνει δύο κορυφαίας γυναῖκας, τὴν τρυφὴν καὶ τὴν ἀθανασίαν;
2. Τοῦ δ' Ἡλίου κεκμηκότος τῇ ὁδοιπορίᾳ, καὶ ἐπιβεβηκότος τῆς κορυφῆς τοῦ δυτικοῦ ὄρους, ὁ Ἀρζούνας ἱστάμενος ἐπὶ τῆς στέγης τοῦ οἴκου, ἔφη τῷ Κρισνᾷ·
3. « Ὁ Ἥλιος οὗτος, ὁ ἔχων ἔχθραν κατὰ σοῦ, διότι ἔχεις » τὸ αὐτὸ ὄνομα, χαρεὶς, βλέπων σε ἱστάμενον ὀπίσω τῆς » στέγης τοῦ οἴκου, ἀναβαίνει καὶ αὐτὸς τὴν κορυφὴν τοῦ » δυτικοῦ ὄρους.
4. « Οὗτος ὁ λιπαυγὴς Ἥλιος, ὁ διαζόμενος, ὡς μάστιγι, τῇ

» κακῇ αὐτοῦ τύχῃ, καὶ πίπτων πρηνὴς, ἐκτεταμένας ἔχων
» ἐν οὐρανῷ τὰς ἀκτίνας, ὡς χεῖρας, πόσον χρόνον ἔτι
» μενεῖ [1];

5. « Ὥσπερ διαζόμενος ὁ Ἥλιος, ὡς μάζιξι, τοῖς ἀγρίοις ὑπο-
» βλέμμασι τῶν μοιχαλίδων γυναικῶν, τῶν φίλων τοῦ βα-
» θέος σκότους, πέπτωκεν εἰς τὸ δυτικὸν ὄρος.

6. « Τοῦ Ἡλίου παρισταμένου ἐν τούτῳ τῷ ἡμισφαιρίῳ, ὡς
» ἀνδρὸς ὑπευθύνου, ἡ λάμψις αὐτοῦ ὑπέρθερμος ἦν, ὡς γυνὴ
» ὑπέρφρων· νῦν δ' ἐκείνου ἀποστρέψαντος τὸ πρόσωπον,
» αὕτη μεμαραμμένη καὶ λελυπημένη ἐστιν, ἀπελπισθεῖσα.

7. « Πάντως γε ὁ ἀὴρ, θλιβόμενος τῷ καύματι κατὰ τὴν με-
» σημβρίαν, ἐκρύβη που· νῦν δὲ, τοῦ Ἡλίου συσταλθέντος
» τῇ παρελεύσει τῆς ἡμέρας, ὁ ἀὴρ ἀνεφάνη ὀλίγον.

8. « Ἡ λάμψις ἀνέβη εἰς τὰ ὑψηλὰ ἐπὶ τῷ κρημνίσαι ἑαυτὴν
» δι' ἀντιζηλίαν τοῦ ἀνδρὸς αὐτῆς Ἡλίου, ψυχροῦ γεγονό-
» τος, τραπέντος καὶ σχόντος κλίσιν εἰς τὴν δύσιν [2].

9. « Ἰδὲ, ἡ ἀγλαΐα τοῦ λωτοῦ, λυπουμένη ἐπὶ τῇ τύχῃ τοῦ
» Ἡλίου, πολλοὺς καπνοὺς ἀναζεναγμῶν ἐκπέμπει, οἵ εἰσιν
» οἱ βομβύλιοι, οἱ ἐξερχόμενοι ἐκ τῶν στομάτων τῶν συμ-
» μυόντων λωτῶν.

10. « Ἡ Κουμουδβατὴ [3], ὥσπερ κελευσθεῖσα τῷ βόμβῳ τοῦ
» βομβυλίου οὕτως, « Γρηγόρησον », ὑπανοίξασα τὰ καλὰ
» αὐτῆς ὄμματα, ἀντιφωνεῖ ἡδέως τῇ ἠχοῖ.

11. « Οἱ ὄρνεις Κόκκαι κατὰ συζυγίαν, στυγνοὶ ὄντες τὸ πρό-
» σωπον, καὶ λυπούμενοι ἐπὶ τῇ μελλούσῃ διαζεύξει, ἀγ-
» καλιζόμενοι σφοδρῶς ἀλλήλους, ἀνατείνουσι τοὺς ὀφθαλ-
» μοὺς αὐτῶν πλήρεις δακρύων εἰς τὸν Ἥλιον.

---

1. Ὁ γὰρ πίπτων ἐκτείνει τὰς χεῖρας.
2. Τὴν δύσιν ἑτέραν γυναῖκα ἐννοεῖ.
3. Εἶδος λωτοῦ ἀνθοῦντος ἐν νυκτί.

12. » Ἰδὲ, πάντα τὰ δένδρα φοβούμενα τὴν ἐν τῇ ὥρᾳ τῆς
» νυκτὸς ψυχρότητα, τιθέασιν ἐπὶ τῆς κεφαλῆς ἑαυτῶν
» ταινίας, αἵ εἰσιν αἱ ἐφιπτάμεναι καὶ ἐπικαθήμεναι ἀθρόαι
» ὄρνεις [1].

13. « Τὸ λοιπὸν τοῦτο μέρος τῆς ἡμέρας ἄχθεται ταῖς κόνισι
» ταῖς ἐκ τῶν βοῶν ἐξανισταμέναις [2], ὥσπερ προδρόμου
» μεγάλου στρατεύματος ἐπερχομένου, τοῦ σκότους.

14. « Ἐρχομένου μακρόθεν τοῦ Ἡλίου, τοῦ προσκυνητοῦ θεοῖς τε
» καὶ δαίμοσιν, ὁ Ὠκεανὸς προετοιμάζει αὐτῷ ἕδραν πολύ-
» τιμον, ἥ ἐστιν ἡ ἐν ὕδατι ἀντιλάμπουσα αὐτοῦ μορφή.

15. « Ἡ δύσις ἐκ φίλτρου καταφιλεῖ, ὥσπερ χεῖλος ἐρυθρὸν,
» τὸ ἐναπολειφθὲν λαμπρὸν σῶμα τοῦ Ἡλίου, τοῦ λαμπροῦ
» προσώπου τῆς ἡμέρας [3].

16. « Ὁ φαινόμενος ἥμισυς Ἥλιος, ὥσπερ ἀντεστραμμένη στά-
» μνος ἐστὶν [4], ἣν παρασκευάζει ἡ ἡμέρα διαπεράσαι τὸν
» ὠκεανὸν [5], βουλομένη πορευθῆναί ποι εἰς ἡδυπάθειαν κα-
» τὰ τὸν καιρὸν τῆς νυκτός [6].

17. « Τὸ ἐναπολειφθὲν ἐρυθρὸν σῶμα τοῦ ἐρωτικοῦ Ἡλίου φαί-
» νεται, ὡς σημεῖον ἐρωτικὸν νύξεως ὄνυχος [7] ἐπὶ τοῦ δυ-
» τικοῦ ὄρους, τοῦ ὄντος ὡς μαστοῦ τῆς δύσεως.

---

1. Ἐν τῇ νυκτὶ αἱ ὄρνεις ἐμφωλεύουσι τοῖς δένδρεσιν.

2. Ἡ κόνις, ἡ ἐξανίσταται ἐκ τῶν βοῶν, περὶ βουλυτὸν ἐπανερχομένων ἀπὸ τῆς νομῆς.

3. Ἐνταῦθα ἐννοεῖ τὸ ἥμισυ σῶμα τοῦ Ἡλίου, ὡς χεῖλος, οὗ θάτερον ἥμισυ ἔδυσεν· ὁ δ' Ἥλιος κατὰ τὴν ἑσπέραν ἐρυθρός ἐστι.

4. Τὰ σταμνία ἐν Ἰνδίᾳ στρογγύλα ποιοῦσιν.

5. Ἀντεστραμμένην τὴν στάμνον ποιήσαντες ἐν ὕδατι, καὶ τιθέντες ἐπ' αὐτῆς τὴν κοιλίαν, διαπερῶσι τὸν ποταμὸν, ὡς ἐπὶ σχεδίας.

6. Ἡ ἡμέρα, ὡς μοιχαλὶς, ἡ διαπερᾷ ἐπὶ στάμνου τὸν ποταμὸν εἰς ἔντευξιν τοῦ ἐρωμένου.

7. Καὶ τὸ σημεῖον γὰρ τῆς νύξεως τοῦ ὄνυχος, ὑπέρυθρον φαίνεται.

18. « Οὗτος ὁ Ἥλιος, ὥσπερ θερμανθεὶς ἐκ τῶν πυρωθέντων » ἡλιολίθων [1] τῶν ἐπὶ τῆς κορυφῆς τοῦ δυτικοῦ ὄρους, ἐρυ- » θρὸς γενόμενος, πέπτωκεν εἰς τὸν ὠκεανόν [2].

19. « Οὗ εἰς ἀναίρεσιν ἐγὼ περιέρχομαι, τούτου ἔτυχον σή- « μερον [3]· ποῖ πορεύσεται; » Οὕτω λέγων ὁ Ἥλιος, ἐρυ- » θρὸς γενόμενος θυμῷ, ἐφώρμησεν ἐπὶ τὸν Ὠκεανόν, νο- » μίσας αὐτὸν ζόφον [4].

20. « Ὁ Ἥλιος πέπτωκεν ἤδη εἰς τὸν ὠκεανὸν ἑλκυστικαῖς πως » ἐπῳδαῖς [5], εἰρημέναις ὑπὸ τοῦ Βραχμᾶ, ὀλιβομένου ἐν » τῷ μέσῳ τοῦ κεκλεισμένου λωτοῦ [6], τοῦ ἐπὶ τοῦ ὀμ- φαλοῦ τοῦ Βισνοῦ, τοῦ ἀναπαυομένου ἐν τῷ ὠκεανῷ.

21. « Ἡ ἡμέρα ἐπηκολούθησε τῷ Ἡλίῳ, ῥίψασα ἑαυτὴν εἰς τὸ » πῦρ [7], ὅ ἐστι τὸ τῆς ἑσπέρας ἐρυθρὸν, καὶ ἐποίησε μέλαν » τὸ πρόσωπον τῶν λαμπρῶν διαστάσεων τοῦ τόπου.

22. « Τῆς ἑσπερινῆς ὥρας ἐλθούσης, εἰ ὁ φρόνιμος ἄνθρωπος » συγκλείων τὰς χεῖρας προσκύνησιν ποιεῖ, ἆρα τοῦτο » παράδοξον; καὶ τὸ ὕδωρ γὰρ τὸ αὐτὸ ποιεῖ, συγ- » κλεῖον τὰς χεῖρας, αἵ εἰσιν οἱ συγκλειόμενοι λωτοί.

23. « Ἡ γῆ συνέκλεισε τοὺς ὀφθαλμοὺς, οἵ εἰσιν οἱ λωτοὶ [8], » λαβοῦσα ἄνεσιν ἐκ τοῦ ἐκπνεύσαντος καλοῦ καὶ ἀναψυ-

---

1. Λέγουσιν, ὡς λίθος ἐστὶν, ὃς πῦρ ἐξάπτει, ὅτε αἱ ἀκτῖνες τοῦ Ἡλίου αὐτῷ προσβάλλουσιν.

2. Ὁ γὰρ θερμαινόμενος ἐμβυθίζεται εἰς τὸ ὕδωρ.

3. Τουτέστι τοῦ σκότους, τοῦ ζόφου.

4. Ὁ Ὠκεανὸς κυάνεος ἐστι, τουτέστι μέλας· μέλας δὲ καὶ ὁ ζόφος.

5. Λέγουσιν, ὡς ἐπῳδή τις ἐστι τοιαύτη, ἣ ἕλκει τὰ μακρὰν ὄντα.

6. Εἱλκύσθη ὁ Ἥλιος εἰς διαπέτασιν (ἄνοιξιν) τοῦ κεκλεισμένου λω- τοῦ, ἐν ᾧ ἦν ὁ Βραχμᾶς πιεζόμενος.

7. Ὡς ἡ γυνὴ συγκατακαίεται τῷ ἀνδρὶ ἀποθανόντι, καὶ ἐπακολουθεῖ αὐτῷ· αἱ δὲ διαστάσεις, ὡς λοιπαὶ γυναῖκες, αἳ μείνασαι μέλανες ἐγέ- νοντο τὸ πρόσωπον, τουτέστι κατῃσχύνθησαν.

8. Ὁ αἰσθανόμενος ἠδύτητος καὶ ἀνέσεως, ὑποκλείει τοὺς ὀφθαλμούς.

» κτικοῦ ἀέρος ἐν τῇ ἑσπέρᾳ, καὶ καταπαύσαντος αὐτῆς
» τὴν ὀδύνην τὴν ἐκ τοῦ καύματος τοῦ Ἡλίου.

24. « Τοῦ Ἡλίου, ὅς ἐστι στέφανος τῶν τριῶν κόσμων, πεσόν-
» τος εἰς τὸν ὠκεανὸν, ἀνεβόησαν διὰ τῶν ὀρνέων πᾶσαι
» αἱ διαστάσεις [1] τοῦ τόπου· οἱ δ' ἀστέρες ἀκούσαντες
» ἐξῆλθον εὐθέως εἰς τὸ ἰδεῖν [2].

25. « Ἡ ἀγλαΐα [3] τοῦ οὐρανοῦ ἐκ τῆς ἡδείας καὶ σφοδρᾶς πε-
» ριπτύξεως τούτου τοῦ ἑσπερινοῦ καιροῦ, ὡς ἐρωτικοῦ ἀν-
» δρὸς, πληρωθεὶς ἀστέρων, ὡς σταλαγμῶν ἱδρῶτος, ἠλ-
» λοιώθη τὸ χρῶμα ἀπό γε τοῦ ὀλίγου σκότους [4].

26. « Οὗτοι οἱ χοῖροι, καί περ ἀγεληδὸν ἐξελθόντες ἐκ τελ-
» ματώδους λίμνης, ὄντες ἐν σκότει βαθεῖ, νομίζουσιν
» ἑαυτοὺς ἐμβεβυθισμένους τέλματι, καὶ διὰ τοῦτο σχο-
» λαίως βαδίζουσιν.

27. « Οἱ ἄῤῥενες ἐλέφαντες μετὰ τῶν θηλέων πορεύονται, ὡς
» εἰς εὐνὴν, εἰς τὸ ὕδωρ, ἔνθα λιγυρῶς ᾄδουσι βομβύλιοι,
» ἐγκεκρυμμένοι τοῖς συγκεκλεισμένοις λωτοῖς [5].

28. « Τοῦ Ἡλίου ἀποδημήσαντος, καὶ ἐγχειρίσαντος τοῖς Κόκ-
» καις ἐκ φιλίας, ὡς παρακαταθήκην τὴν περιουσίαν αὐ-
» τοῦ, τὴν θερμότητα, οὗτοι φυλάττουσιν αὐτὴν ἐν τῇ
» καρδίᾳ αὐτῶν, ὡς ἐν πυξίδι [6].

29. « Ἰδὲ, καί τοι ὀλίγον τὸ σκότος ἔξω ἐγένετο ἐκ τοῦ μι-

---

1. Ὡς αἱ γυναῖκες ἀναβοῶσι θρηνοῦσαι ἀποθανόντος τοῦ ἀνδρός. Δύσαντος τοῦ ἡλίου καὶ αἱ ὄρνεις κράζουσι, καὶ οἱ ἀστέρες ἀναφαίνονται.

2. Ἀναβοώντων καὶ θρηνούντων τῶν ἐν τῷ οἴκῳ, οἱ ἐν ἑτέροις οἴκοις γείτονες ἐξέρχονται εὐθέως εἰς τὸ ἰδεῖν καὶ μαθεῖν τὴν αἰτίαν.

3. Ὡς γυνή.

4. Τὸ ὀλίγον σκότος κατὰ τὴν ἑσπέραν, ὥςπερ ἀλλοίωσίς ἐστι τοῦ χρώματος· ὁ δ' ἔρωτι πάσχων, καὶ ἱδρῶτα ἔχει, καὶ χρῶμα ἠλλοιωμένον.

5. Τῶν βασιλέων ἀναπαυομένων ἐπὶ κλίνης, οἱ μουσικοὶ ᾄδουσιν.

6. Ἐννοεῖ τὸ καῦμα καὶ ἄλγος, ὃ ἔχουσιν ἐν νυκτὶ διὰ τὴν διάζευξιν.

κροῦ ὄμματος τῆς γλαυκὸς [1], αὐξάνει ὅμως ἀκολούθως » ἐκ τῶν καλῶν ἔργων τῶν μοιχαλίδων [2].

30. « Οἱ ἀνθοῦντες ἐν νυκτὶ λωτοὶ ἀπολύουσι τοὺς δεδεμέ- » νους βομβυλίους, γνόντες τὸ πρόσκαιρον τοῦ κόσμου ἐκ » ταύτης τῆς ἑσπέρας, τῆς ἐνταὐτῷ ἐρχομένης καὶ παρερ- » χομένης [3].

31. « Τοῦ Ἡλίου, ὅς ἐστιν ὀφθαλμὸς τοῦ κόσμου, πεσόντος » εἰς τὸν ὠκεανόν, οἱ ἄνθρωποι κλίναντες τὰ πρόσωπα, » πολλῇ λύπῃ ἀχθεσθέντες, τρίβουσι τὰς χεῖρας πρὸς ἀλ- » λήλας, ὅ ἐστι στρέφουσι θρυαλλίδα τῶν λύχνων [4].

32. « Τὸ ζεῦγος τῶν χειρῶν τῶν γυναικῶν, τὸ συμμιγνύμενον » κατὰ τὰς παλάμας, καὶ περιστρέφον θρυαλλίδα τοῦ λύ- » χνου, ὥςπερ τροχίσκος ἐστὶν [5] ὁπλικὸς τοῦ Ἔρωτος, τοῦ » νικητοῦ τῶν τριῶν κόσμων.

33. « Ἄνθη βροχηδὸν ἐῤῥίφθησαν, ἅ ἐστι τὰ παμπληθῆ ἄστρα, » ὑπὸ τῶν θεῶν ἐπὶ τῆς κορυφῆς τοῦ ἥρως Ζόφου, τοῦ » νικήσαντος τὸν δυσνίκητον Ἥλιον.

34. » Ὦ! ἰδέ! ἀφ' ἑνὸς λύχνου ἐπὶ γῆς πολλοὶ λύχνοι ἐγένον- » το, ὥςπερ βέλη πολλὰ ἀφ' ἑνὸς θείου βέλους, ἀφεθέντος » ὑπὸ τοῦ Ἡλίου εἰς ἀναίρεσιν τοῦ Ζόφου.

---

1. Ἡ γλαυξ λέγεται παρ' Ἰνδοῖς Δινανδὰ, ὅ ἐστιν ἡμερότυφλος. — Κατὰ τὴν ἑσπέραν ὀλίγον ἐστὶ τὸ σκότος, κατὰ δὲ τὴν νύκτα αὐξάνει.

2. Αἱ μοιχαλίδες ἐν νυκτὶ διαπορνεύονται. Ἐκ τῶν καλῶν ἔργων αὐξάνει ἡ ἀρετὴ, ἐκ δὲ τῶν κακῶν ἡ κακία· ἐνταῦθα δὲ εἰρωνικῶς λέγεται.

3. Καθὼς δηλ. οἱ γινώσκοντες τὴν ματαιότητα τοῦ κόσμου, ἀφέντες πάνθ' ὅσα ἔχουσιν, ἀρνοῦνται τὸν κόσμον, ὡς ψευδῆ, οὕτω καὶ οἱ λωτοὶ τρόπον τινα ἀφῆκαν ἐξελθεῖν τοὺς ἐμμείναντας ἐγκλείστους βομβυλίους περὶ τὸ πρωΐ.

4. Βαμβάκιον τιθέμενοι ἐν μιᾷ παλάμῃ, καὶ στρέφοντες αὐτὸ διὰ τῆς ἑτέρας, θρυαλλίδα τοῦ λύχνου ποιοῦσιν οἱ Ἰνδοί.

5. Τὸ Ἰνδικὸν ὅπλον, ὁ τροχίσκος, ἢ δίσκος, στρεφόμενος ἐν τῷ λιχανῷ, ῥίπτεται κατὰ τοῦ πολεμίου.

35. «Ὦ! τὸ σκότος, ὃ ἐῤῥίφθη ὡς μέγα ὅπλον εἰς τὸν κό-
» σμον, ἀνῃρέθη ὑπὸ τῶν λαμπρῶν λύχνων, τῶν ποιηθέν-
» των, ὡς ἀμυντηρίων, ὑπὸ τῶν ἀνθρώπων! ὦ πολέμου
» θεῶν τε καὶ ἀνθρώπων!

36. «Τὰ σκότη, τὰ ἀναιροῦντα τὴν δύναμιν τῆς ὁράσεως,
» ἐξαχθέντα ἐκ τῆς γῆς ὑπὸ τῶν λύχνων, συνῆλθον εὐ-
» θέως εἰς τὸν οὐρανόν [1].

37. «Σκότος βαθὺ ἐγένετο ἐν αἰθέρι, τῇ μὲν ἐκ τῶν μελά-
» νων καπνῶν τῶν πολλῶν λύχνων, τῇ δὲ ἐκ τῶν βομβυ-
» λίων, τῶν ἀφιπταμένων ἀπὸ τῶν συγκλειομένων λωτῶν,
» τῇ δὲ καὶ ἐκ τῶν κορῶν τῶν ὀμμάτων τῶν γλαυκῶν.

38. «Αὕτη ἡ νὺξ καθαίρει ἀείποτε τὰ ἄστρα, ὡς κάτοπτρα,
» τῷ σκότει, ὡς σποδῷ [2], τῆς ἐρυθρᾶς ἑσπέρας, ἢ σβέν-
» νυται ὡς ἀνθρακιά.»

39. «Ὦ! ἡ μὲν ἡλιακὴ πέτρα ἀφῆκε τὴν πύρωσιν [3]· ἡ δὲ φω-
» τεινὴ βοτάνη ἔλαβε λάμψιν· ἡ δὲ Κουμουδβατὴ ἐγκα-
» τέλιπε τὴν σύμμυσιν· ἆρα τὸ σκότος οὐκ ἔστι παντὸς
» πάθους ὀλέθριον;

40. Αἱ μοιχαλίδες, τυχοῦσαι τερατουργικῆς δυνάμεως διὰ
» τῆς ἀτενοῦς θεωρίας πρὸς τὴν συνουσίαν, περιέρχονται
» νῦν τὸν κόσμον ἀφανεῖς, ἐπειδὴ ἔχουσιν, ὡς κάλυμμα,
» τὸ σκότος, τὸ ὑπὸ τῶν θεῶν ποιηθέν.

41. «Ἐπιθυμοῦσα ἡ νὺξ τῆς μετὰ τοῦ νυκτερινοῦ φωστῆρος
» ὁμιλίας, ἔστρωσε πολλὰ ἄστρα, ὡς ἄνθη, ἐν τῇ αὐλῇ

---

1. Ὁ οὐρανὸς κυάνεος, τουτέστι μέλας ἐστί.

2. Ἐπειδὴ τὰ ἀγγεῖα τριβόμενα σποδῷ καθαίρονται, διὰ τοῦτο λέγει ἀστείως, ὅτι τὰ ἄστρα λάμπει μετὰ τὴν ἑσπέραν, ἀφ' οὗ ἐπιστῇ τὸ σκότος.

3. Πέτρα τις, ἣ ἐξάπτει πῦρ διὰ τοῦ Ἡλίου.

» τοῦ οὐρανοῦ, ὃς ἀληλιμμένος ἐστιν, ὡς βολβίτῳ, τῷ » σκότει [1].

42. « Ἐν τούτῳ τῷ οὐρανῷ, ὡς ἐν θεάτρῳ, ἔνθα εἰσὶ θεαταὶ » οἱ ἀστέρες, μικρόν τι ἀνεφάνη τὸ τῆς Σελήνης φῶς, » ὡς προσελήνιον [2], οὗ ὄπισθεν ἵσταται ἡ Σελήνη, ὡς » τραγῳδὸς παρεσκευασμένη, εἰς ἀναίρεσιν τοῦ ζόφου [3].

43. « Ὁ τῆς νυκτὸς ἀστὴρ, κεκρυμμένον ἔχων τὸ σῶμα ὑπὸ » τὸ ἀνατολικὸν ὄρος, παίζων βάλλει τὴν Ἀνατολὴν [4] » ταῖς ἀκτίσιν, ὥσπερ ἐκ Σανδάνου ῥαντίσμασιν· αἱ δὲ » ῥανίδες εἰσὶ τὰ ἐν οὐρανῷ διεσκορπισμένα ἄστρα [5].

44. » Αὕτη ἡ μηνοειδὴς Σελήνη [6] προφαίνεται ὡς τόξον τοῦ » τοῦ Ἔρωτος· ἡ δὲ οὐρανία Σφαῖρα κατεστιγμένη ἐστὶ » τοῖς ἄστρασιν, ὡς ἀνθίνοις βέλεσι τοῦ Ἔρωτος, ἐπειδὴ » διεζεύχθη τοῦ Ἡλίου [7].

45. « Τὸ ἡμισέληνον ἔχον μελανότητα ἐν μέσῳ, φαίνεται ἐπὶ » τῆς ἐν τῷ ἀνατολικῷ ὄρει φωτεινῆς βοτάνης [8], ὥσπερ

---

1. Οἱ γὰρ Ἰνδοὶ εἰώθασιν ἀλείφειν βολίτῳ, τουτέστι κόπρῳ βοὸς, τὸν τόπον ἔνθα κάθηνται, καὶ μάλιστα ἐνθα ἐσθίουσιν· οἱ δὲ ἐρωτικοὶ ἐπιστρωνύουσι καὶ ἄνθη ἐπὶ τῆς συνουσίας.

2. Ἐνταῦθα λέγει περὶ τῆς Σελήνης, ὅτε μικρόν τι ἀνέτειλε προκύψασα.

3. Καθὼς ὁ τραγῳδὸς ἵσταται πρὸ τοῦ τῆς σκηνῆς παραπετάσματος παρεσκευασμένος εἰς δραματουργίαν.

4. Τὴν ἀνατολὴν ὡς γυναῖκα ἐννοεῖ.

5. Αἱ μὲν ἀκτῖνες ῥαντίσματα ἐκ Σανδάνου, αἱ δὲ ῥανίδες, ἄστρα· τουτέστι, τὰ ἄστρα εἰσὶν ἐκ τῶν ῥαντισμάτων τῶν ἐκ Σανδάνου.

6. Ἐνταῦθα λέγει περὶ τῆς Σελήνης, ὅτε τὸ ἥμισυ αὐτῆς ἀνέτειλε προκύψαν.

7. Ἡ Σφαῖρα ὡς γυνὴ ἐκλαμβάνεται, ὁ δ' Ἥλιος ὡς ἀνήρ.

8. Ἡ λαμπρὰ βοτάνη ἐστὶν ὡς λύχνος. Λέγουσιν, ὡς βοτάνη ἐστὶν, ἣ λάμπει ἐν νυκτὶ, ὡς πῦρ.

» τμῆμα χρυσῆς πιθάκνης ἐπὶ λύχνου, ἔχον στίμμιν ὀμ-
» ματογράφον τῆς οὐρανίου Σφαίρας [1].

46. « Τίνι οἶστρον Ἔρωτος οὐ δίδωσιν ἡ μὴ φαινομένη αὕτη
» μοῖρα τοῦ σώματος τῆς Σελήνης [2], ἥ ἐστιν ὡς πρόσωπον
» τῆς Ἀνατολῆς, τῆς γυναικὸς τοῦ Ἴνδρα, ἣ ἔκρυψε τὸ χεῖ-
» λος αἰσχύνη, διότι ἐδάκη ὑπὸ τοῦ Ἴνδρα [3];

47. « Ἰδὲ [4], ταύτης τῆς Σελήνης ὅλης ἡ μορφὴ, ἱδρυμένη ἐν
« οὐρανῷ, ἔλαμψεν, ὡς λαμπρὸν κάτοπτρον, ἔχουσα τὴν
» προσπίπτουσαν σκιὰν τῆς Νυκτὸς [5], ἥ ἐστιν ἡ μελανό-
» της, ἣν ἔχει περὶ τὸ μέσον.

48. » Πάντως γε αὕτη ἡ Σελήνη, ἡ καταγομένη ἐξ Ὠκεανοῦ,
» τόξον ἐστὶ τοῦ Ἔρωτος, ὃ ἐνταθὲν εἰς νίκην κατὰ τῶν
» τριῶν κόσμων, στρογγύλον ἐστὶ καὶ διαμέσου κενὸν,
» ὅ ἐστιν ἡ μελανότης τῆς Σελήνης [6].

49. « Αὕτη ἡ λάμψις τῆς Σελήνης, μεμιγμένη ἀπακμάζοντι
» σκότει φαίνεται [7], ὥςπερ χοὴ ὕδατος μετὰ μέλανος

---

1. Σφαῖρα ἡ οὐρανία, ὡς γυνὴ, ἣ τίθησι τὸ στίμμι περὶ τὰ ὄμματα· αἱ γὰρ γυναῖκες τῆς Ἰνδίας τιθέασι τμῆμα κεραμίου ἐπὶ λύχνου· ἡ δὲ προσκεκολλημένη καπνία γίνεται στίμμις ὀμματογράφος.

2. Ἐνταῦθα λέγει περὶ τῆς Σελήνης, ὅτε ὀλίγον τι μέρος μένει ἀφανὲς ἔτι, μὴ προκύψασα ὅλη.

3. Τὸ ἐναπολειφθὲν ὀλίγον ἀφανὲς μέρος τῆς Σελήνης, ὁμοιοῖ χείλει ἀστείως, ὅπερ κατεκαλύφθη, διότι ἐδάκη φιληθέν.

4. Ἐνταῦθα λέγει περὶ τῆς Σελήνης, ὅτε ὅλη ἀνεφάνη.

5. Ἡ Νὺξ, ὡς γυνὴ, βλέπει εἰς τὴν Σελήνην, ὡς εἰς κάτοπτρον, οὗ ἡ σκιά ἐστιν ἡ ἐν Σελήνῃ μελανότης.

6. Ὅτε ἐντείνεται τὸ τόξον στρογγυλοειδὲς γίνεται. — Τὸ ἐν τῇ Σελήνῃ στίγμα, τὸ ἐν τῷ μέσῳ τοῦ τόξου κενόν ἐστι.

7. Ἐλθόντος τοῦ φωτὸς τῆς Σελήνης, τὸ σκότος τῆς νυκτὸς οὐ νεάζει, ἀλλ' ἀπακμάζει· ἐν γὰρ τῇ νυκτὶ, ὅτε λάμπει ἡ Σελήνη, οὔτε πολὺ φῶς ἐστιν, ὡς ἐν τῇ ἡμέρᾳ, οὔτε πολὺ σκότος, ἀλλὰ μέσον πως ἐστὶ φωτὸς καὶ σκότους.

» σησάμου, διδομένη παρὰ τῆς γυναικὸς Ἀτμοσφαίρας τῷ
» Ἡλίῳ τελευτήσαντι [1].

50 « Φεῦ ! ὁ φύσει ἀκάθαρτος αἰθὴρ ἐποίησε φόνον τοῦ
» σκότους, διὰ τῆς ἀκτῖνος τῆς ξένης Σελήνης ἐλθούσης,
« ὡς ὁ πονηρὸς οἰκοδεσπότης ποιεῖ φόνον τοῦ ἐν οἴκῳ ὄφεως,
» διὰ χειρὸς ξένου, ἐλθόντος [2].

51. « Ὁ κελαινὸς αἰθὴρ, ὁ ἔχων ἐν ἑαυτῷ τοὺς τρεῖς κόσμους,
» λαπρυνθεὶς τῇ Σελήνῃ, ἔλαβεν ὁμοιότητα τοῦ Σίβα, ὃν
» ἐτίμησεν ὁ Βισνοῦς τῇ προσφορᾷ τοῦ οἰκείου ὀφθαλμοῦ [3].

52. « Ἐλθόντος τοῦ Ζόφου εἰς πάσας τὰς διαςάσεις [4] τοῦ τό-
» που, ἡ Νὺξ [5] ἔθετο τὴν Σελήνην ὡς πρόσωπον ἐρυθρὸν
» ἐκ θυμοῦ· φοβηθέντος δὲ καὶ ἀπελθόντος, ἔθετο αὐτὴν
» ὡς πρόσωπον ὠχρὸν ἐκ λύπης τῆς διαζεύξεως.

53. « Ἡ λάμψις αὕτη τῆς Σελήνης, ὥςπερ φυτὸν λαμπρὸν
» τοῦ Ἔρωτος, ἔχον ἄςτρα, ὡς ἄνθη, ἀνέφυσεν ἐκ τῆς Σε-
» λήνης, ὡς ἐκ στρογγύλης ἀμάρας, ἐχούσης τὰ μέλανα
« στίγματα, ὡς κυανᾶ βλαστήματα.

54. « Τῆς Σελήνης ἐλθούσης, τὰ ὄρη ταῦτα, ὥςπερ καιόμενα
» τῷ πυρὶ, ὅ ἐστι τὸ λαμπρὸν τῶν βοτανῶν, κλαίουσιν

---

1. Τὸν Ἥλιον ποιεῖ ἄνδρα ἐνταῦθα· καὶ γὰρ τῷ ἀποθανόντι ἀνδρὶ ἡ γυνὴ προσφέρει χοὰς ὕδατος καὶ μέλαν σήσαμον.

2. Ἐπὶ τῶν πονηρῶν τοῦτο λέγεται, ὅτι ὁ οἰκοδεσπότης εὑρὼν ὄφιν ἐν οἰκίᾳ, οὐκ ἐφόνευσεν αὐτὸν αὐτὸς, ἀλλὰ δι' ἄλλου ξένου κληθέντος.

3. Καθὼς τὸ πᾶν ἐστιν ἐν τῷ Σίβᾳ, οὕτω καὶ ἐν τῷ αἰθέρι. Λευκὸς ὁ Σίβας, λευκὸς καὶ ὁ αἰθὴρ ἐκ τῆς Σελήνης· ἡ δὲ Σελήνη, ὡς τὸ ὄμμα τοῦ Βισνοῦ.

4. Τὰς διαστάσεις ἐνταῦθα ἐννοεῖ γυναῖκας· διὰ τοῦτο, ὡς γυνὴ, καὶ ἡ νὺξ ἐφθόνησε καὶ ἐκ θυμοῦ ἐρυθρὸν ἔσχε πρόσωπον· εἶτα δ' ἀναχωρήσαντος τοῦ σκότους, λευκὸν ἔσχε πρόσωπον, τουτέστι ὠχρὰ ἐκ λύπης. Τοῦτο δὲ δηλοῖ, ὅτι καταρχὰς μὲν, ὅτε ἀνατέλλει ἡ Σελήνη, ἐρυθρά ἐστιν, εἶτα δὲ λευκὴ ἢ ὠχρά.

5. Ἡ Νὺξ γυνή ἐστι τοῦ Ζόφου.

» ἐπὶ τῇ ἀπουσίᾳ τοῦ εὐμενοῦς Ἡλίου, διὰ τῶν ὑδάτων
» τῶν ἐξαγομένων ἐκ τῶν σελινολίθων [1].

55. « Ὁ τῆς νυκτὸς ἀστὴρ οὗτος πάνυ βραδέως ἀναβαίνει εἰς
» τὴν κορυφὴν τοῦ οὐρανοῦ, ἐπειδὴ κωλύεται ὑπὸ τῆς
» ἀγλαΐας τῶν λωτοφθάλμων γυναικῶν, τῶν ἐπὶ τῶν
» στεγῶν τῶν οἴκων.

56. « Ἡ Σελήνη, ὡς νεφέλη τῆς γαλακτικῆς θαλάσσης, ἔβρεξε
» λάμψιν, ὡς βροχὴν πολλὴν, κατακλύσασαν τὸν οὐρανὸν,
» καὶ ποιήσασαν πομφόλυγας, τοὺς ἀστέρας.

57. « Τὸ σκότος, ὅ ἐστι τὸ σμῆνος τῶν βομβυλίων [2], προ-
» σανακλαίεται τῇ Κουμουδβατῇ [3] οὕτω· « Φύλαξόν με,
« φύλαξόν με, ὦ εὐόφθαλμε· ὁ γὰρ ἀνήρ σου, ὁ τῆς νυκτὸς
« φωστὴρ, θλίβει με. »

58. « Ἡ πολλὴ λάμψις αὕτη τῆς Σελήνης, πιοῦσα τὸν ζόφον,
» ὡς οἶνον, καὶ μεθυσθεῖσα, σκιρτῶσα ἄνω καὶ κάτω,
» γελᾷν ποιεῖ πᾶσαν διάστασιν τοῦ τόπου [4].

59. « Αὕτη ἡ Σελήνη, ἡ κυρία τῶν βοτανῶν, θεῖσα ἐν τῷ
» σκοτεινῷ τούτῳ κόσμῳ, ὥςπερ ἐν σιδηρᾷ βώλῳ, ὀλίγην
» τινα βοτάνην, ἀργυροῦν ἐποίησεν αὐτὸν, τουτέστι, λευ-
» κὸν καὶ λαμπρόν [5].

60. « Ἡ ἐπιφάνεια αὕτη τῆς γῆς ποικίλη ἐγένετο ἐκ τῶν εὐφη-

---

1. Εἶδος πέτρας, σταζούσης ὕδωρ ὅτε προσβάλλει ἡ Σελήνη.

2. Μέλαν τὸ σκότος, μέλανες καὶ οἱ βομβύλιοι.

3. Κουμουδβατὴ λέγεται ὁ νυκτάνθης λωτός· πλάττεται δὲ ὡς γυνὴ ἀγαπητὴ τῆς Σελήνης, ἐπειδὴ κατὰ τὴν νύκτα διεκπετάννυται, ὅτε καὶ ἡ Σελήνη λάμπει· ἡ δὲ Σελήνη, ὡς προείρηται, ἀρσενικοῦ γένους ἐστὶ παρ' Ἰνδοῖς.

4. Τουτέστι γαννύει, λαμπρύνει τὸ πᾶν.

5. Καθὼς ὁ μυθευόμενος χημικὸς, θεὶς ἐν τῷ σιδήρῳ βοτάνην τινα μεταβάλλει αὐτὸν εἰς χρυσὸν, οὕτω καὶ ἡ Σελήνη, ἐκτείνασα τὸ ἑαυτῆς λευκὸν σέλας, λευκὸν καὶ λαμπρὸν ἐποίησε τὸν ἐκ τοῦ σκότους μέλανα κόσμον.

» μιῶν τῆς Σελήνης καὶ ἐκ τῶν δυσφημιῶν τοῦ σκότους,
» αἵ εἰσιν αἱ τῆς Σελήνης αὐγαὶ καὶ αἱ τῶν σωμάτων
» σκιαί [1].

61. « Αὕτη ἡ Σελήνη ἐποιήθη ὑπὸ τοῦ Ἔρωτος, ὡς χειρομύλη,
» κειμένη ἐπ' ἀτμοσφαίρας, ὡς ἐπὶ δέρρεως, ἣ πτίσσει τὰ
» ἐν τῷ στέρνει τῶν διεζευγμένων ἐραστῶν ὀστέα εἰς λε-
» πτὰ, ὅ ἐστι τὰ ἄστρα.

62. « Ἐν οὐρανῷ, ὡς ἐν ὠκεανῷ, νεοφανῆ κύματα λαμπρὰ
» τῆς Σελήνης ἀνακινοῦνται· ὅθεν συνίημι, ὡς ἐνταῦθα
» νήχεται ἀπολύτως (ἐλευθέρως) ὁ ἰχθὺς, ἡ σημαία τοῦ
» Ἔρωτος.

63. « Καὶ ὁ ὠκεανὸς διεταράχθη εὐθέως [2] ἐκ τῶν προσβαλ-
» λουσῶν ἀκτίνων τῆς Σελήνης, ἐριζουσῶν ἀλλήλαις τῇ
» λαμπρότητι, καὶ προθυμουμένων καταδύσασθαι εἰς δια-
» σκέδασιν τοῦ ἐν τῷ ὑποχθονίῳ κόσμῳ σκότους.

64. « Τὰ ζεύγη τῶν περδίκων, τέμνοντα τὴν λαμπρὰν ἀκτίνα
» τῆς Σελήνης τοῖς αὐτῶν ἀγλαοῖς ῥάμφεσι, μεταδιδόα-
» σιν αὐτῆς ἀλλήλαις, ὡς ὄψου, πρὸς τῇ πόσει τοῦ φίλ-
» τρου, ὡς οἴνου [3].

65. « Αἱ γινόμεναι μέλαιναι σκιαὶ τῶν γυναικῶν ἐκ τῆς σε-
» ληνιακῆς λάμψεως, αἳ πορεύονται πρὸς τοὺς ἐρωμένους,

---

1. Τουτέστι λαμπρὸν καὶ σκοτεινὸν ἐγένετο τὸ πᾶν· λαμπρὸν μὲν ἔνθα λάμπει ἡ Σελήνη, σκοτεινὸν δὲ ἔνθα ἐστὶ σκιά.

2. Σημαίνει τὴν ἣν λαμβάνει πλημμύραν ἡ θάλασσα ἐκ τῆς πληρώσεως τῆς Σελήνης.

3. Ὁ πέρδιξ, λέγουσι, λίαν χαίρει τῇ Σελήνῃ· ὅπου κλίνει ἡ Σελήνη, ἐκεῖ κλίνει καὶ ὁ πέρδιξ τὸ πρόσωπον αὐτοῦ, βλέπων πρὸς τὰς ἀκτίνας τῆς Σελήνης, ὅθεν καὶ μυθεύεται ὅτι ἔρωτα ἔχει πρὸς τὴν Σελήνην, καὶ διὰ τῶν ἀκτίνων αὐτῆς ζῇ. Λέγουσιν ὡς τοῦτο τὸ ὄρνεον καὶ ἀνθρακας ἡμμένους συλλέγον κατεσθίει.

» αἱ γυναῖκές εἰσι τοῦ ἀναιρεθέντος σκότους, αἳ κυλίονται » κατὰ γῆς ἐκ λύπης.

66. « Διὰ τί ὁ καιρὸς οὗτος οὐκ ἔστιν ἀμβρόσιος, ὅτε καὶ ἡ » σκιὰ τῶν δένδρων ἄνθη ἔχει, ἅ ἐστιν αἱ στρογγύλαι » λαμπηδόνες, αἱ διήκουσαι εἰς τὴν γῆν διὰ τῶν διεχόν- » των φύλλων;

67. « Νῦν ὁ Ἔρως, φέρων τὴν Σελήνην, ὡς πολεμικὸν δίσκον, » καὶ δυσφόρητος ὢν, ἔχει τὴν παντοκρατορίαν· ὅθεν τὸ » πᾶν τοῦτο ταπεινωθὲν, ὑπόκειται τῇ προσταγῇ αὐτοῦ.

68. « Αἱ γυναῖκες [1], ἐπιθυμοῦσαι ἐν μεγάλῃ ἀδημονίᾳ τῆς » τῶν ἀνδρῶν ἀφίξεως, λαμπρύνουσι καὶ τὰ ἐπείσακτα » κοσμήματα τοῖς φυσικοῖς αὐτῶν κοσμήμασι, ταῖς τοῦ » σώματος ἀγλαΐαις, αἵ εἰσιν ὡς ἀκόναι τῶν βελῶν τοῦ » Ἔρωτος.

69. « Ἐκ τῆς μελαίνης κόμης τῶν γυναικῶν [2], τῆς εὐθετη- » θείσης τοῖς δακτύλοις, ἀκτίνες ἐκπέμπονται, αἵ εἰσιν οἱ » πόδες τῶν βομβυλίων, τῶν περιϊπταμένων περὶ τὰ » εὐώδη ἄνθη, τὰ ἐπὶ τῆς κόμης.

70. « Ὅ,τι κόσμημα καλὸν ἐκ βαφῆς φέρουσιν αἱ καλαὶ γυ- » ναῖκες ἐπὶ τοῦ σεληνιαίου αὐτῶν μετώπου, τοῦτό ἐστιν » ὡς ἡ ἐν τῇ Σελήνῃ μελανότης.

71. « Γραμμαί τινες δύω μέλαιναι, ὡς δύω εἰσὶ τόξα [3] τοῦ » Ἔρωτος καὶ τῆς Ῥατῆς, τῶν νικητῶν τοῦ κόσμου, οἳ » οἰκοῦσιν ἐν τοῖς ὀφθαλμοῖς.

72. « Ἐπειδὴ αἱ γεγραμμέναι περιπλοκάδες ἐπὶ τῶν παρειῶν » φαίνονται, ὡς ἔχουσι τὰ λαμπρὰ ὄμματα, ὡς ἄνθη, διὰ

---

1. Ἔπαινος τῆς σωματικῆς ἀγλαΐας τῶν γυναικῶν.

2. Ἐν τοῖς ἑξῆς ἔπαινον ποιεῖ τῶν κοσμημάτων, τῶν ἐν ἑκάστῳ μέρει τοῦ σώματος.

3. Δύω τόξα ἐνταῦθα ἐγγοεῖ τὰς ὀφρύας.

» τοῦτο ἐκ τῆς λάμψεως τῶν ὀμμάτων τὸ Ἔαρ ἐποίησεν
» ἄνθη, κοσμήματα ταῖς γυναιξὶ, χάριν τοῦ φίλου Ἔρωτος.

73. « Τὸ λαμπρὸν πρόσωπον τῆς γυναικὸς, τὸ ἔχον ἑκατέ-
» ρωθεν δύο λαμπρὰ ἐνώτια μετὰ μαργάρων, διαπρέπει
» ὡς δραματοποιὸς τοῦ Ἔρωτος, σὺν δύω παραστάταις.

74. « Ὅ,τι ἐρυθρὸν χρίσμα ἐκ τοῦ λακκίου ἔθεντο ἐπὶ τοῦ
» ἐρυθροῦ χείλους αἱ γυναῖκες, τοῦτό ἐστιν, ὡς τὸ μέλι,
» μεμιγμένον ἀμβροσίᾳ, καὶ ὡς Σελήνη ἀληλιμμένη Σαν-
» δάνῳ [1].

75. « Ὑπὸ τοῦ λαιμοῦ τῶν γυναικῶν, τοῦ φέροντος περιδέ-
» ραιον ἐκ μαργάρων, ὡς κομβολόγιον ἐκ κρυστάλλων,
» καὶ ὑπερβάλλοντος τὸν κόγχον, τίς εὐχὴ ψιθυρίζεται
» διὰ τοῦ ἤχου τῶν περισειομένων μακρῶν ἐνωτίων, καὶ
» κρουόντων τὸν ἐν τῷ λαιμῷ χρυσοῦν στρεπτόν [2];

76. « Οἱ δύω μαστοὶ τῶν γυναικῶν, οἱ κεχρισμένοι μόσχῳ,
» ὡς χυμῷ στρηνιῶντος ἐλέφαντος, ἠγλαΐζοντο ὡς δύω
» στύλοι παιδιᾶς τοῦ ἀγρίου ἐλέφαντος, τοῦ οἴστρου τῆς
» νεότητος.

77. « Ἐπειδὴ αἱ γυναῖκες ἀνέλαβον τὰ πολλὰ τόξα τοῦ Ἴν-
» δρα, ὅ ἐστι πολλὰ λαμπρὰ βραχιόνια, διὰ τοῦτο ὁ
» Ἔρως ἐγένετο πολυόφθαλμος Ἴνδρας, εἰς τὸ τρῶσαι
» πολλοὺς τρωτούς.

78. « Ὁ λωτὸς, τυχὼν ὀνόματος ἐπὶ τῆς χειρὸς τῆς ὡραίας [3],

---

1. Περιττόν ἐστι δηλονότι· τὸ γὰρ χεῖλος ἐρυθρότερόν ἐστι τοῦ λακκίου, καθὼς ἡ ἀμβροσία γλυκυτέρα τοῦ μέλιτος καὶ ἡ Σελήνη λευκοτέρα τοῦ Σανδάνου.

2. Ὁ ἀγλαὸς λαιμὸς εἰκάζεται τῷ λευκῷ κόγχῳ· ὅτε δὲ ἐνίκησε καὶ τὸν κόγχον, διατί εὔχεταί πως εἰς νίκην; Ὁ βουλόμενος τυχεῖν ἐπιγείου ἢ οὐρανίου δόξης, ἢ νικῆσαι τὸν ἐχθρὸν, ἄσκησιν ποιεῖ, ἔχων κομβολόγιον καὶ ὑποτονθορίζων καὶ εὐχόμενος.

3. Καθὸ ἡ καλὴ χεὶρ ὀνομάζεται λωτός.

» διὰ τῆς ἐν ὕδατι ἀσκήσεως, τιμᾶται ὡς νικητὴς καὶ ὑπὸ
» τῶν μοιρῶν τῆς Σελήνης, αἵ εἰσιν οἱ ἐν τοῖς ψελλίοις
» μαργαρίται [1].

79. « Περιττὸν κόσμημα ἔθεντο αἱ γυναῖκες εἰς θέλγητρον τὰ
» λιθοκόλλητα δακτυλίδια ἐν τοῖς δακτύλοις αὐτῶν· ἐπει-
» δὴ οὗτοι κεκοσμημένοι εἰσὶ ταῖς λαμπρότησι τῶν ὀνύχων.

80. « Ζώνη δέεται περὶ τὴν ὀσφὺν τῆς γυναικὸς ὑπὸ θεραπαι-
» νίδων, αἳ λέγουσι πρὸς ἀλλήλας, ἡ μὲν « Κράτει κα-
« λῶς ταύτην τὴν ζώνην· » ἡ δὲ « Δῆσον αὐτήν. »

81. « Ἀγαλλέσθω [2] τὸ ζεῦγος τῶν λωτίων ποδῶν τῶν γυναι-
» κῶν, τὸ ἀγλαϊζόμενον τοῖς περιπεζίοις· ὁ γὰρ ὄλεθρος
» τῶν λωτῶν, ἡ Σελήνη [3], ταπεινόφρων ἐγένετο ἐκ τῶν
» λαμπρῶν προσώπων αὐτῶν τῶν γυναικῶν.

82. « Οἱ ἐν τοῖς ἀγλαοῖς ποσὶ τῶν γυναικῶν ἐρυθρὰ βαφὴ τοῦ
» λακκίου, αὐτή ἐστιν ἡ τῆς ἑσπέρας ἐρυθρότης, ἡ ἐνική-
» θη ὑπὸ τῆς φυσικῆς ἐρυθρότητος αὐτῶν τῶν ποδῶν, καὶ
» διὰ τοῦτο παρίσταται τιμῶσα καὶ θεραπεύουσα αὐτοὺς
» δουλοπρεπῶς.

83. « Οὐδεμία διαφορὰ πέφυκε τοῦ ἐπὶ τοῦ σώματος ἀλείμμα-
» τος ἐκ λευκοῦ Σανδάνου καὶ τοῦ ἱματίου τῶν γυναικῶν,
» μᾶλλον λευκῶν ἐκ τῆς λάμψεως τῆς Σελήνης φαινομέ-
» νων, καὶ διαφαινόντων ἐκ τῆς λευκότητος τὸ ἀγλαὸν
» τοῦ σώματος.

84. « Αἱ γυναῖκες κοσμηθεῖσαι οὕτως ἀγλαῶς, καὶ ἰδοῦσαι
« τὸ σῶμα ἑαυτῶν ἐν λιθοκολλήτῳ κατόπτρῳ, ἐρωτομα-
» νεῖς γενόμεναι, ἐπεθύμησαν τῆς τῶν ἀνδρῶν ὄψεως.

85. « Ὦ Κρισνᾶ, ἄριστε πάντων τῶν ἐν γῇ, καὶ τῶν τρυφη-

---

1. Ἡ γὰρ Σελήνη ἔχθραν ἔχει πρὸς τοὺς ἡμεράνθεις λωτούς.
2. Ὁ λωτὸς λέγει ἐνταῦθα.
3. Ἐχθρὸς τῶν λωτῶν ἐστιν ἡ Σελήνη.

» λῶν καὶ φιληδόνων, ἡ νεανικὴ ἡμῶν ἀμφοτέρων ἡλικία » ἀπολαυέτω τρυφῆς καὶ ἡδονῆς ἐν τῇ τῶν Θηλειῶν θέα. »

86. Τοιαῦτα ἡδέως διαλεγομένων τοῦ Ἀρζούνα καὶ τοῦ Κρινᾶ, ὧν ἡ διάνοια ἀφεώρα εἰς ἐρωτικὴν παιδιὰν μετὰ ἐρωτικῶν, τίνι ἀνδρὶ καὶ γυναικὶ ἔφεσις οὐκ ἐγένετο τῆς ἀλλήλων θεωρίας, εἰς τὸ καταβαλεῖν τὸ ἀλλήλων φρόνημα;

87. Τί εἴπω περὶ τῆς ἄκρας εὐστοχίας τοῦ Ἔρωτος, ὃς ἔβαλε βέλεσι τὸ στῆθος τῶν ἐλαφοφθάλμων γυναικῶν, κατὰ τὸ μέσον τῶν μαστῶν, οὐ πολὺ τὸ μεταξὺ ἐχόντων;

88. Αἱ γυναῖκες ἐν λόγοις ἀναμνησθεῖσαι τῶν ἐρωμένων, ἐπληρώθησαν ἰδρώτων, ὥςπερ εἰ κατεβράχησαν τὸ σῶμα σταγόσιν ἐκ τοῦ χυμοῦ τῶν ἀνθίνων βελῶν τοῦ Ἔρωτος.

89. Μωροὶ οἱ λέγοντες, ὡς ὁ Ἔρως πέντε ἔχει βέλη· οὗτος γὰρ ἐνέπηξεν ἓν ἕκαστον βέλος ἐν ἑνὶ ἑκάστῳ πόρῳ τοῦ σώματος τῶν γυναικῶν.

90. «Παράγγειλον [1] τῇ ἀγγελιαφόρῳ, ἵνα κομίσῃ παντοίῳ » τρόπῳ ἐκεῖνον τὸν ἐραστὴν,» ἔφη τις τῶν γυναικῶν πρὸς φίλην· ἑτέρα δέ τις εὐτυχὴς εἶδεν αὐτὸν ἐλθόντα καὶ πεσόντα πρὸ τῶν ποδῶν αὐτῆς [2].

91. Ἐρωμένη τις, πεπεισμένη ἐκ τοῦ παλμοῦ τοῦ ἀριστεροῦ ὀφθαλμοῦ [3], ὡς ἐλεύσεται ὁ ἐραστὴς, καί τοι ἦν ἐν ἀδημονίᾳ, οὐκ ἀπέστειλεν ὅμως τὴν μαστρωπὸν, δεικνύουσα ἐκ τούτου τὸ ὃ εἶχε μέγα φρόνημα.

92. Ἄλλη, διανοουμένη τὴν ἔλευσιν τοῦ ἐραστοῦ, τείνασα τοὺς ὀφθαλμοὺς ἀσκαρδαμυκτὶ εἰς τὴν θύραν, ὅλη ἦν πρὸς τὸν

---

1. Διάλογος τῶν γυναικῶν.

2. Ὃν ἐκείνη ἤθελε καλέσαι, οὗτος πρὸς ταύτην ἦλθεν αὐτόκλητος, καὶ διὰ τοῦτο εὐτυχὴς ἡ ἐρωμένη αὕτη.

3. Ὁ παλμὸς τοῦ ἀριστεροῦ ὀφθαλμοῦ τῆς γυναικὸς αἴσιος οἰωνός ἐστι.

ἐραστὴν, μηδαμῶς προσέχουσα τοῖς λόγοις τῆς φίλης, μόνον δὲ κατανεύουσα.

93. Μεγαλόφρων τις ἀφῆκε τὸ ὃ εἶχε μέγα φρόνημα διὰ τῆς ἑαυτοῦ διανοίας, ἢ ἀνέπλαττε τὰς ἀρετὰς τοῦ ἐραστοῦ, καὶ ἐπορεύετο πολλάκις καὶ ἤρχετο, ὡς ἀγγελιαφόρος [1].

94. Ἑτέρα τις, βλέπουσα διὰ τοῦ προσηλωμένου τῇ θύρᾳ ὀφθαλμοῦ σειόμενον φύλλον τοῦ ἐπὶ τῆς θύρας στεφάνου ἐκ φύλλων, περιχαρὴς γενομένη, ὡς οὗτός ἐστιν ὁ ἐραστὴς, πολλάκις ἀνίστατο ἐξ ἕδρας.

95. Ἀγγελιαφόροι ἐπέμφθησαν ἐν ταὐτῷ ὑπ' ἐραστοῦ καὶ ἐρωμένης· ὅτε δ' ὡράθη ἔμπροσθεν ἡ ἀγγελιαφόρος ἑκατέρων, ἑκάτεροι μετενόησαν ἀμοιβαίως, ἐπὶ τῷ ἐξαποστεῖλαι αὐτὴν ταχέως.

96. Ἐρωμένη τις εἶδε τὸν ἐραστὴν ἐπὶ θύρας, καὶ ἐπῄνει τὸν κακὸν οἰωνὸν, ὡς ὄντα αἴτιον τῆς βραδείας ἐλεύσεως τῆς ἀγγελιαφόρου, ἡ ἐπέμφθη πρότερον [2].

97. Αἱ μὲν γυναῖκες παρεσκευάσαντο μαστρωποὺς, εἰς τὸ πέμψαι μετὰ θελκτικῶν λόγων· ἦλθον δ' ἐνταυτῷ καὶ οἱ ἐρασταί. Τοῦτο τὸ ἀμοιβαῖον τῆς ἀγάπης ἀλλήλων ἀπαράμιλλόν ἐστι.

98. Τοῦ ἐραστοῦ ἐλθόντος, ἡ ἐρωμένη στρέψασα τὸ πρόσωπον, ἤνεγκεν εἰς τὸ φανερὸν τὴν ἣν εἶχεν οἴησιν· ἔδειξε δὲ τὸ ἐν τῇ καρδίᾳ φίλτρον διὰ τοῦ ἐκ πλαγίου βλέμματος εἰς τὸν ἐραστήν.

99. Τοῦ ἀνδρὸς ἐλθόντος εἰς τὴν θύραν, ἑτέρα τις στρέψασα τὸ πρόσωπον, ἔδειξε τὸ ὑπερήφανον· ἐπιθυμοῦσα δὲ τοῦ

---

1. Ἡ διάνοια ἐγένετο ἀγγελιαφόρος.

2. Δηλονότι ὁ κακὸς οἰωνὸς οὐκ ἦν τῆς βραδείας ἐλεύσεως τοῦ ἐραστοῦ, ἀλλὰ τῆς ἀγγελιαφόρου.

ἰδεῖν αὐτὸν, ἔψεγε τὸν ὀφθαλμὸν, διότι οὐ δύναται βλέπειν εἰς τοὐπίσω.

100. Τοῦ ἐραστοῦ ἐλθόντος καὶ βουληθέντος ἀγκαλίσασθαι, ἐρωμένη τις ὑπερήφανος, ἐκτείνασα τὰς ἀγλαὰς χεῖρας, οὐκ ἤνεγκε τὸ ὑπερήφανον εἰς τὸ φανερὸν, θυμουμένη, δακρυῤῥοοῦσα καὶ τρέμουσα [1].

101. Ἄλλη τις οὐχ ἥδυνε πανοῦργον ἐραστὴν κολακείαις καὶ περιπτύξεσι πλασταῖς, μὴ δυναμένη, καί περ οὖσα λίαν πανοῦργος, ἀποκρύψαι τρόποις τὸν θυμὸν, τὸν ἐν τοῖς ὀφθαλμοῖς φαινόμενον.

102. Ὁ ἀγλαὸς Ἔρως, ὁ ἐν τῇ καθαρᾷ καρδίᾳ τῆς ἐρωμένης, ἀναστάσης ἐξ ἕδρας, αὐτὸ τὸ ἀπεικόνισμα ἦν τοῦ ἀγλαοῦ σώματος τοῦ ἐραστοῦ, ἐλθόντος καὶ στάντος ἔμπροσθεν [2].

103. Τοῦ ἐραστοῦ ἐλθόντος εἰς τὰ πρόσω, ὁ ὀφθαλμὸς ἐρωμένης τινος οὕτως ἐξετάθη, ὥστε ὁ ἐν τῷ ὠτὶ λαμπρὸς λωτὸς μέλος ἐφαίνετο τοῦ ὀφθαλμοῦ.

104. Τοῦ ἐραστοῦ παραστάντος, τὰ μέλη τῆς ἀδημονούσης ἐρωμένης, ἀναστάσης ἐξ ἕδρας ἡδέως, κρότον ἐποιήσαντο χαρᾷ πως διὰ τοῦ ἤχου τῶν κοσμημάτων.

105. Ἐραστής τις λίαν ἔνοχος, καταφρονηθεὶς ὑπερηφάνως ὑπὸ τῆς ἐρωμένης, ὑπανεχώρει· ἡ δὲ εἰποῦσα, « Πάλιν » πρὸς ἐκείνην πορεύῃ ; » λαβομένη αὐτοῦ ἐκ τῆς κόμης, ἔῤῥιψεν ἐπὶ τῆς κλίνης.

106. Ἡ γυνὴ νοερῶς ἐποίει ἐρωτικὴν ὄψιν καὶ ἀνάστασιν ἐξ ἕδρας πρὸς τὸν ἄνδρα, παραστάντα, τοῦ μὲν ὄμματος πλήρους ὄντος δακρύων [3], τοῦ δὲ σώματος χαύνου.

---

1. Θυμουμένη διότι ἐβράδυνε· ὁ δὲ τρόμος καὶ τὸ δάκρυον ἴδια ἔρωτος.

2. Τουτέστιν εἰλικρινῶς ἠγαπᾶτο ὑπὸ τῆς ἐρωμένης, καὶ διὰ τοῦτο ἐν τῇ καρδίᾳ αὐτῆς ἦν.

3. Τὸ μὲν ὄμμα ἦν πλῆρες δακρύων, τὸ δὲ σῶμα ἐκλελυμένον ἐξ ἔρωτος, καὶ διὰ τοῦτο οὐχ οἷόν τε ἦν τότε ὁρᾶν, οὔτ' ἀνίστασθαι.

107. Ἑκάστη μὲν τῶν γυναικῶν τούτων, αἳ ἦσαν ἀπαράμιλλοι κατὰ τὴν ἀγλαΐαν, ἐκάθισαν ἐπὶ τῆς αὐτῆς κλίνης μεθ' ἑκάστου ἀνδρὸς, ἀφεῖσαι τὸ φρόνημα· ὁ δ' Ἔρως, ἰδὼν ταῦτα τὰ ζεύγη, ἀπιδὼν εἰς τὴν Ῥατὴν, καὶ αὐτὸς ὅλος ἐγένετο ἔρωτος.

108. Οὕτως οἱ ἄνδρες καὶ αἱ γυναῖκες, διασκεδάσαντες τὸ σκότος τοῦ φρονήματος ἐκ τῆς αὐγῆς τῆς αὐγαζούσης Σελήνης, καὶ ἀπορρίψαντες τὴν αἰσχύνην ἐκ τῶν πολλῶν βελῶν τοῦ κραταιοῦ καὶ ἰσχυροῦ Ἔρωτος, ὄντες ἐν ἀκμῇ τῆς ἐπιθυμίας, γνώμης ἐγένοντο γεύσασθαι οἴνου, εἰς τόλμην καὶ μέθην.

Τέλος τοῦ Ἐννάτου Κεφαλαίου
τοῦ Πρώτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ,

ὃ διαλαμβάνει περὶ συνουσίας.

1. Ὁ Ποιητὴς τῆς Μαχαβαράτας ἔστω μοι ἐπ' ἀγαθῷ, ὃς εἰσέδυ τὴν Σελήνην ἀπόγε τῆς φαινομένης μελανότητος [1], ληψόμενος ἀμβροσίαν, εἰς τὸ ἀπαλλάξαι τὸ φάρμακον τῶν δειχθέντων ὑπὸ κακῶν ἔργων, ὡς ὑπ' ὄφεων.

2. Οἱ μὲν δὴ νεανίαι, καταφιλοῦντες ἐρωτικῶς τοὺς ὀφθαλ-

1. Μέλας ἦν ὁ Βεάσας· διὰ τοῦτο πλάττει ὁ ποιητὴς, ὅτι ἡ ἐν τῇ Σελήνῃ μελανότης ἐστὶν ὁ Βεάσας, ὃς εἰσέδυ ληψόμενος ἀμβροσίαν.

μοὺς τῶν εὐοφθάλμων γυναικῶν, ἐπιθυμήσαντες, ἔθεντο τὸν νοῦν αὐτῶν ἐπὶ τοῦ γλυκέος οἴνου.

3. Τῶν δὲ γυναικῶν στερεὸν ἐχουσῶν τὸ φρόνημα, ὁ οἶνος, ὅς ἐστι κῆρυξ πρόθυμος τῆς διατηρήσεως τῆς προσταγῆς τοῦ Ἔρωτος, καὶ ὀξὺς ἀναιρέτης τοῦ φρονήματος, παρακέλευσιν ἐποίησε διὰ τοῦ βόμβου τῶν βομβυλίων.

4. Ὁ οἶνος στρατηγὸς ἐγένετο πάντων τῶν στρατῶν τοῦ Ἔρωτος [1], εἰς ἀναίρεσιν τοῦ φρονήματος τῶν γυναικῶν, καὶ ἐδήλου τὴν ἣν εἶχε νέαν χαρὰν, διὰ τῶν ἁσμάτων τῶν ἀδόντων βομβυλίων.

5. Αἱ γυναῖκες ὥσπερ ὁραθεῖσαι ὑπὸ τοῦ οἴνου ὄμματι θυμοειδεῖ, ὅ ἐστι τὸ ἐρυθρὸν τοῦ ἐν τῷ οἴνῳ λωτοῦ καὶ τὸ μέλαν τοῦ περιϊπταμένου βομβυλίου [2], ἀφῆκαν τὸ ἐντὸς φρόνημα.

6. Γυνή τις, ἐκβαλοῦσα τὰ ἐν τῷ ποτηρίῳ τοῦ οἴνου ἄνθη, ἰδοῦσα τὸ ἀπεικόνισμα τοῦ προσώπου αὐτῆς ἐν τῷ οἴνῳ, ἐνόμισε λωτὸν, καὶ βουλομένη ἀναλαβεῖν αὐτὸν, ᾐσχύνθη ἐν καρδίᾳ, καί περ τοῦ ἀνδρὸς μὴ αἰσθομένου [3].

7. Ὁ ἐν οἴνῳ τεθεὶς λωτὸς εἰς εὐωδίαν, οὐ τοσοῦτον ἐγένετο ἐφετὸς τοῖς ἔρωτι πολλῷ καὶ οἴνῳ κατεχομένοις, ὅσον τὸ λώτιον πρόσωπον τῶν γυναικῶν, τὸ ἀντιλάμπον ἐν τῷ οἴνῳ.

8. Ἡ Σελήνη, ἥ ἐστιν ἡ ἐν οἴνῳ ἀντιλάμπουσα μορφὴ τοῦ γυναικείου προσώπου [4], ἔπεσεν εἰς τὸν οἶνον ἐπὶ τῷ νικῆ-

---

1. Στρατὸς τοῦ Ἔρωτός εἰσι τὰ ἄνθη, τὸ Ἔαρ, καὶ πᾶν ἄλλο τι ἡδὺ δὲ καὶ θυμῆρες, παροξυντικὸν εἰς ἔρωτα.

2. Τὸ μὲν ἐρυθρὸν τοῦ ἐν οἴνῳ λωτοῦ ἀναφέρεται εἰς το ἐρυθρὸν τοῦ ὄμματος ἐκ θυμοῦ· τὸ δὲ μέλαν τοῦ περιϊπταμένου βομβυλίου, εἰς τὴν κόρην τοῦ ὀθφαλμοῦ.

3. Ἐν τούτοις δηλοῖ τὴν παροινίαν ἀμφοτέρων.

4. Ἡ Σελήνη ἐχθρὰ πλάττεται τοῦ ἡμεράνθους λωτοῦ καὶ τοῦ λαμπροῦ προσώπου.

σαι τὸν ἐν οἴνῳ λώτον· οἵα τις μωρὰ ἦν, ἡ, τυφλὴ γενομένη ἐκ τῆς φυσικῆς ἔχθρας, οὐκ εἶδεν ἔξω ἕτερον ἐχθρὸν, τὸ πρόσωπον τῆς γυναικός [1]!

9. Αἱ γυναῖκες ἐποτίζοντο οἶνον πρότερον ὑπὸ τῶν ἀνδρῶν τεχνηέντως, ἵνα λάβῃ ὁ οἶνος πλείω γλυκύτητα τῇ προσψαύσει τῶν λωτίων αὐτῶν προσώπων.

10. Ὁ οἶνος ὁ ἐξάπτων τῶν Ἔρωτα, ποθεὶς ὁ ἥμισυς ὑπὸ τῶν γυναικῶν, ἐλήφθη παρὰ τῶν ἀνδρῶν· τεθεὶς δ' ἐν τῷ στόματι, οὐ κατεπόθη εὐθέως, ἵνα διδοίη διὰ πολλοῦ ἡδύτητα τῇ γεύσει.

11. Ὅτε παιδιαὶ ὑγραὶ τοῦ Ἔρωτος ἔνθεν καὶ ἔνθεν ἀμοιβαίως ἐγίνοντο διὰ τοῦ ἐν τῷ στόματι οἴνου, τότε πάντως ἡ ἕνωσις τῆς ψυχῆς καὶ τοῦ σώματος ἐγίνετο τῷ ἀνδρὶ καὶ τῇ γυναικὶ ἐκ φίλτρου.

12. Ἀγάπη ἄδολος οὐκ ἦν τῷ ἀνδρὶ καὶ τῇ γυναικὶ, ἀλλάττουσιν ὀλίγης χάριτος πολλήν· οὗτοι γὰρ διδόντες ἀλλήλοις τὸν ἐν τῷ στόματι οἶνον, ἔπινον ἔπειτα τὸ χεῖλος.

13. Οἵα ἡδύτης, νικῶσα τὴν ἀμβροσίαν, ἐδίδοτο τῇ γεύσει τοῦ οἴνου παρὰ τοῦ χείλους τῶν γυναικῶν, τοιαύτη ἀμοιβαίως, νικῶσα τὴν Σελήνην, ἐδίδοτο καὶ παρὰ τούτου τοῦ οἴνου τοῖς προσώποις αὐτῶν [2].

14. Τῶν ἀνδρῶν γευομένων συχνάκις κατὰ διαδοχὴν τοῦ χείλους καὶ τοῦ οἴνου, ἐγὼ οὐκ οἶδα πότερον ἦν τὸ ὄψον, καὶ πότερον ἦν τὸ πόμα.

15. Ἐπειδὴ ὁ ἀνὴρ ἔπινε τὸ χεῖλος τῆς γυναικὸς ἀδιαλείπτως, ἀλλ' οὐκ ἐκ διαλείμματος καὶ τὸν οἶνον, ὁ οἶνος, ὥσπερ

---

1. Τίς γὰρ βλέπων ἔξω ἐχθρὸν, πίπτει εἰς τὸ ὕδωρ, τοῦ νικῆσαι ἕτερον ἐχθρόν;

2. Λαμπρότερον τῆς Σελήνης ἐποίει τὸ πρόσωπον αὐτῶν.

θυμωθεὶς, ἐρυθρὸς ἐγένετο τὸ χρῶμα, καὶ τρέμων διεταράττετο ἐκ τοῦ ῥοίζου τῶν ἐπιφοιτώντων βομβυλίων.

16. Ἐραστοῦ διδόντος ἐρωμένῃ τὸν ἡμίποτον οἶνον, ἡ ἀντίζηλος θυμὸν ἔσχε. Πεσούσης δ' ἐξ ἀπροόπτου τῆς φιάλης, ἐχάρη εὐθέως· δόντος δ' ἐκείνου ἐκείνῃ τὸν ἐν στόματι οἶνον, κατηισχύνθη.

17. Εἰσελθὼν ὁ οἶνος εἰς τὰ σπλάχνα τῶν γυναικῶν μετὰ μεγάλης ἐπιθυμίας, μίαν παράδοξον μέθην τῆς ὑπερηφανίας ἐξήγαγε, καὶ ἑτέραν τῆς οἰνοποσίας ἐπεισήγαγε.

18. Ἡ ἐπιθυμία τῶν ἀνδρῶν καὶ γυναικῶν, ἣ ἔσχε τυφλότητα ἐν καρδίᾳ ἐκ τοῦ σκότους τῆς οἰήσεως, ἔσχεν ἤδη δύναμιν τοῦ βλέπειν τοὺς ἐρῶντας καὶ τοὺς ἐρωμένους, ἐξημμένου τοῦ ἐρωτικοῦ λύχνου ἐκ τοῦ οἴνου.

19. Τὰ ἐρυθρὰ καὶ ἐξύῤῥοπα ὄμματα τῶν γυναικῶν, τῶν ἐχουσῶν σῶμα παράφορον ἐκ μέθης, τυχόντα διπλασίας ἐρυθρότητος ἐκ τῶν ἐξ ἐρυθρῶν λίθων ἐνωτίων, ἔλαμπον ὡς κύματα χυμοῦ μεγάλου φίλτρου [1].

20. Ἐπειδὴ ἡ μέθη ἐγένετο ταῖς γυναιξὶ λίαν ἀπαράμιλλον κόσμημα, διὰ τοῦτο αὗται οὐκ ἀνελάμβανον τὰ πίπτοντα καλὰ κοσμήματα καὶ λαμπρὰ ἱμάτια.

21. Καλὴ ἄλωσις τῶν γυναικῶν ἐγένετο, ἀφαιρεθεισῶν τὸ ὃ εἶχον, ὡς πλοῦτον, φρόνημα ὑπὸ τοῦ Ἔρωτος, ἀνισταμένων καὶ πορευομένων ἀσκόπως, ἄνευ αἰτίας καὶ χρείας, ἀδιάρθρωτά τε καὶ ἀσήμαντα διαλεγομένων.

22. Βουλομένου τοῦ ἐραστοῦ περιπτύξασθαι, τὸ ὑπερήφανον τῶν γυναικῶν ἀνυπερήφανον ἐγένετο, ἐκλελυμένων τὸ σῶμα ἐκ τῆς μέθης τῆς οἰνοποσίας· ἡ δὲ αἰσχύνη, ὥσπερ αἰσχυνθεῖσα, συνεστάλη ἐν καρδίᾳ.

23. Ἐρωμένην τινα, ἣ ἐφοβεῖτο καὶ συνεστέλλετο, μεθύσας

---

1. Ἐρυθρὸν καὶ τὸ φίλτρον.

οἴνῳ ὁ ἐραστὴς, ἐπὶ σκοπῷ τοῦ περιπτύξασθαι, συνεμίγη αὐτῇ, ὑπερπυρωθείσῃ εἰς ἔρωτα.

24. Ἐρωμένη τις, πίνουσα οἶνον μετὰ προσοχῆς, μέθην ἐπλάσατο· ἰδοῦσα δὲ τὸν ἐραστὴν μὴ ἐρῶντα ἄλλης, μέθην ἀληθῆ τῆς οἰήσεως ἔλαβεν.

25. Ἐρωμένη τις, ἰδοῦσα τὸν ἐραστὴν ἐρυθρὸν ὄμμα ἔχοντα, νομίσασα, ὡς τεθυμωμένος ἐστὶν, ἱκέτευεν, ἁπτομένη τῶν ποδῶν αὐτοῦ· ἰδοῦσα δὲ τὴν μορφὴν αὐτῆς ἐν τοῖς

26. λαμπροῖς ὄνυξι τῶν ποδῶν αὐτοῦ, καὶ νομίσασα ἄλλην ἐκ μέθης, ἐκ θυμοῦ ἄπο μέθης ἐγένετο, καὶ ᾐσχύνθη ἐλθοῦσα εἰς ἑαυτήν.

27. Γυνή τις πρωτόπειρος, βλέψασα εἰς τὴν ἐν τῷ οἴνῳ σκιὰν τοῦ προσώπου τοῦ ἐραστοῦ, πιοῦσα οἶνον, καὶ παροξυνθεῖσα εἰς ἐπιθυμίαν, ἀφῆκε τὸ αἰσχυντηρὸν, καὶ λαβοῦσα τὸ ἀναίσχυντον, συνῆν αὐτῷ.

28. Τὸ φρόνημα τῶν γυναικῶν, καίπερ ἐξελθὸν ἐκ τῆς καρδίας, ἐποίει παιδιὰς διὰ λόγων [1] ἐπὶ τῆς ἄκρας τῆς γλώττης, ὡς ἐπὶ αἰώρας (κρεμαστῆς), ταῦτα διανοούμενον· « Ποῦ πάλιν τοιοῦτος τόπος εὑρεθήσεται; »

29. Δοθείσης τῆς καρδίας παρὰ τῶν γυναικῶν ἐκ μέθης, εἰς οἴκησιν τῷ Ἔρωτι ἐν ταῖς ἐρωτικαῖς παιδιαῖς, τὸ φρόνημα παραλαβὸν καὶ τὴν αἰσχύνην ἐξῆλθεν, ἕνεκα τῆς ἀτιμίας, ἣν ἔλαβε παρὰ τῶν γυναικῶν [2].

30. Ὁ δὲ κρότος τῶν χειρῶν ἀλλήλων, τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, ὁ γινόμενος μετ' ἀστεϊσμοῦ καὶ γέλωτος ἐν τῇ

---

1. Λόγων δηλ. γαύρων· ἐκ τούτου δεικνύεται, ὡς ὁ πίνων μεγαλορρήμονες.

2. Τὸ φρόνημα οἰκοῦν ἐν καρδίᾳ, ἐξῆλθεν, ὡς ἀτιμασθὲν, ἐπειδὴ ἡ καρδία ἐδόθη τῷ Ἔρωτι εἰς οἴκησιν.

ἐρωτικῇ παιδιᾷ, αὐτὸς ὁ ἦχος ἦν τοῦ ἀφανοῦς τόξου τοῦ Ἔρωτος.

31. Αἱ γυναῖκες λίαν οἰνόφλυγες γενόμεναι, καὶ τῇ μὲν χαίρουσαι, τῇ δὲ ὀργιζόμεναι, τῇ δὲ γελῶσαι, τῇ δὲ κλαίουσαι, φίλτρον προὐξένουν τῇ καρδίᾳ τῶν ἀνδρῶν.

32. Ὅπερ λέγουσιν, ὡς ἡ ἐρυγὴ γίνεται κατὰ τὸ ῥωθεῖν, τοῦτο ψευδὲς ἐφαίνετο ἐνταῦθα· αὗται γὰρ αἱ γυναῖκες, καί περ οἶνον πιοῦσαι, ἠρεύγοντο ὅμως ἄσμα, ὡς νέκταρ.

33. Ὅ,τι ἄσμα ἥδον τότε αἱ γυναῖκες λιγηρῶς καὶ ἐκβεβακχευμένως, τοῦτο πάντως γε ἐδιδάσκοντο οἱ βομβύλιοι ἀπόγε τοῦ περιΐπτασθαι περὶ τὸ στόμα, τὸ πνέον εὐώδους οἴνου [1].

34. Αἱ μὲν γυναῖκες ἐνταῦθα ἥδον ἄσμα ἡδύ, ἡ δὲ Ῥατὴ συνεκρότει χορὸν ἡδύν, ὁ δ' Ἔρως ἐποίει ἦχον ἡδύν, διὰ τῆς χορδῆς τοῦ τόξου, ὡς μουσικοῦ ὀργάνου, εἰς ἡδονὴν τῶν ἡδονικῶν.

35. Τὰ ὀξύῤῥοπα δίκην ἐλάφων ὄμματα τῶν ἐρωτικῶν ἀνδρῶν καὶ γυναικῶν εἴλκοντο ὑπὸ τῶν σωμάτων ἀλλήλων, λαβόντων πλείω ἀγλαΐαν καὶ καλλονὴν ἐκ τῆς οἰνοποσίας.

36. Ἡδονὴ ἐγένετο τοῖς λωτίοις ὄμμασι τῶν ἐραστῶν, τοῖς μὴ προτιμῶσιν ἄλλο τι ἰδεῖν, ἀλλ' ἢ τοὺς μαστοὺς τῶν γυναικῶν, τοὺς ὄντας ὡς στάμνους αἰσίας πρὸ τῆς θύρας ἐν τῇ βασιλείᾳ τοῦ ἔρωτος [2].

37. Τὸ ζεῦγος τῶν ὀμμάτων τοῦ νεανίου, νηχόμενον ἐν τοῖς κύμασι τῆς μεγάλης ἀγλαΐας τοῦ σώματος τῆς γυναι-

---

1. Οἱονεὶ ἔλεγεν· οἱ βομβύλιοι οὐ περιΐπτανται εἰς τὸ ὀσφραίνεσθαι τῆς εὐωδίας τοῦ στόματος, ἀλλὰ εἰς τὸ διδάσκεσθαι τὸ ἄσμα.

2. Στάμνους πλήρεις ὕδατος τιθέασιν ἑκατέρωθεν τῆς τοῦ βασιλέως θύρας καὶ τοῦ νυμφικοῦ θαλάμου· ἔστι δὲ τοῦτο αἴσιον.

κὸς, ἂν θυθισθῇ εἰς τὴν δίνην τοῦ βαθέος ὀμφαλοῦ, πῶς ἀναδύσεται;

38. Οὐκ ἦν ἄχθος τῇ δυάδι τῶν ὀφθαλμῶν τῶν ἀνδρῶν, ἡ ἀνέβαινεν ἐπὶ τοὺς γλουτοὺς τῶν γυναικῶν, ὡς ἡ ἔλαφος ἐπ' ὄρους· ἄχθος δ' ἦν ἐκ φόβου τοῦ ὀξέος βέλους τοῦ Ἔρωτος [1].

39. Τοῦ ὀφθαλμοῦ τοῦ ἀνδρὸς βλέποντός τι μέλος τοῦ σώματος τῆς γυναικὸς, αὕτη ἔβλεπε τὸ πρόσωπον ἐκείνου· βλέποντος δὲ πάλιν τὸ πρόσωπον τῆς γυναικὸς, αὕτη ἔκλινε κάτω τὸ πρόσωπον αἰσχύνη.

40. Γυνή τις νεόγαμος, ἐπιθυμοῦσα μὲν ἰδεῖν τὸ πρόσωπον τοῦ ἀνδρὸς, μὴ δυναμένη δὲ ἰδεῖν ἐξ αἰδοῦς, ἐγυμνάζετο βλέπειν αὐτὸ διὰ τῆς γωνίας τοῦ ὀφθαλμοῦ.

41. Εἰς ὅ,τι μέρος τοῦ σώματος τοῦ ἐραστοῦ προσέβαλλε τὸ ὄμμα τῆς γυναικὸς, τοῦτο, ὡς νύσσα, ἐβάλλετο ὀξέως βέλεσι τοῦ Ἔρωτος [2].

42. Αἱ καρδίαι ἔπινον τὸ χεῖλος ἀμοιβαίως, καί περ ἐξικμάσθη, καταποθὲν ὑπὸ τῶν ὀφθαλμῶν· ἐποθεῖτο δὲ ποθῆναι καὶ ὑπὸ τῶν στομάτων· ὁ γὰρ οἶνος ἠΰξανε τὸν χυμόν.

43. Ἐν ὅσῳ διενοεῖτο ὁ ἐραστὴς πιεῖν τὸ χεῖλος χαρᾷ, ἐκβεβακχευμένος τὸν νοῦν, ἐν τοσούτῳ εἴλκετο, κρατούμενος ἐκ τῆς κόμης, χειρὶ τῆς ἐρωτολήπτου γυναικός.

44. Τοῦ ἐραστοῦ βουλομένου πιεῖν τὸ χεῖλος, ἡ γυνὴ συνεστάλη εὐθέως, ἐξ ὑπερηφανίας καὶ ἀπειρίας· αἰσχυνομένη

---

1. Καθὼς τῇ ἐλάφῳ οὐκ ἔστιν ἄχθος ἐκ τῆς εἰς τὰ ὄρη ἀναβάσεως, ἀλλ' ἐκ τοῦ φόβου τοῦ βέλους τοῦ θηρευτοῦ.

2. Τὸ χειρόγραφον φέρει καὶ ἑτέραν μετάφρασιν τοῦ χωρίου τούτου «ἐπὶ τοῦτο, ὡς ἐπὶ νύσσαν, ἐβάλλοντο ὀξέως τὰ βέλη τοῦ Ἔρωτος.» (Σημείωσις τῶν ἐκδοτῶν).

δὲ καὶ τῷ ἔρωτι πάσχουσα, οὔτε ὤρεγεν, οὔτε ἔστρεφε τὸ πρόσωπον.

45. Ἀνὴρ εἵλκυσεν εἰς ἑαυτὸν γυναῖκά τινα πρωτόπειρον, κολακεύσας αὐτὴν μύροις καὶ ἄνθεσιν [1]· οὐ δυνατὸς δ' ἐγένετο ὁ Ἔρως τρῶσαι αὐτὴν ἕλεσιν, ἔχουσαν, ὡς θώρακα, τὴν ἀπειρίαν.

46. Ὅτε αἱ γυναῖκες ἔτειναν τοὺς ὀφθαλμοὺς εἰς τὰς κλίνας ἐξ ἔρωτος, τότε αὗται ληφθεῖσαι ὑπὸ τῶν ἀνδρῶν χερσὶν, ἐκομίσθησαν ἐπὶ τὰς κλίνας.

47. Νεόγαμός τις, καίπερ ἐπιθυμοῦσα συνουσίας, πρὸς τὸν ἀγκαλισάμενον ἄνδρα ἔλεγεν· «Οὐχί! οὐχί! οὐχί! καὶ ὁ μὲν τρόμος τοῦ σώματος ἀνεφέρετο εἰς φόβον, ἡ δὲ φρίκη εἰς ἔρωτα.

48. Οἵους θελκτικοὺς λόγους ἐδιδάχθη κατ' ἰδίαν ὑπὸ τῶν μαστρωπῶν ἡ ἐρωμένη, εἰς τὸ θέλξαι τὸν ἐραστὴν, τούτους ἐμελέτα ἐνταῦθα ἐπὶ τῆς ἄκρας τῆς γλώττης, εἰς τὸ ἐκφωνῆσαι.

49. Οἱ νεανίαι, βαλλόμενοι κατὰ τὰ στήθη ὑπὸ τῶν βολῶν τῶν ὀμμάτων τῶν γυναικῶν, ὡς ὑπὸ βελῶν τοῦ Ἔρωτος, τρόμον ἔσχον, καὶ ἱδρῶτα, καὶ δάκρυον.

50. Γυνή τις μηδαμῶς αἰσθανομένη, ὡς ἐλύθη τὸ περίζωμα αὐτῆς ἐξ αἰτίας τοῦ ἐντὸς Ἔρωτος, ματαίως ἐκώλυε ταῖς χερσὶ τὴν χεῖρα τοῦ ἐραστοῦ, βουλομένου ἀφελεῖν τὸ ἐπανωφόριον αὐτῆς.

51. Ἀφαιρῶν τις πολλάκις τὴν μαρμαρυγὴν τοῦ ἐκ μαργάρων καθειμένου περιδεραίου γυναικὸς, νομίζων τὸ ἐπιστή-

---

1. «Ἀπατήσας ταύτην δώροις» ἑτέρα γραφὴ τοῦ χειρογράφου (Σ. τ. ἐκδ.).

θιον [1], γελασθεὶς ὑπ' ἐκείνης ἐπὶ τούτῳ, καὶ αἰσχυνθεὶς, καμμύσας τοὺς ὀφθαλμοὺς, ἠγκαλίσατο αὐτήν.

52. Βληθείς τις τοὺς ὀφθαλμοὺς λωτῷ, ὑπὸ γυναικὸς αἰσχυνθείσης, διότι ἀφῃρέθη τὸ ἐπιφόριον, καθαρθεὶς τὰ ὄμματα τῇ ἐξελεύσει τοῦ χνοῦ διὰ τῶν δακρύων, ἐνηγκαλίσθη ὑπ' αὐτῆς εὐθέως.

53. Ἄλλος τις ἐν σφοδρᾷ περιπτύξει, βληθεὶς φρικώδει χειρὶ ὑπ' ἐρωμένης, θυμῷ ἀδρῷ φίλτρου κατεχομένης, ὡράθη ὑπ' αὐτῆς βλοσυροῖς ὄμμασι, χέουσι δάκρυα ἀγάπης.

54. Πανοῦργός τις γυνὴ ἠγκαλίζετο σφοδρῶς, μέλεσιν ἀφρίκτοις, ἐραστὴν ἔνοχον μὲν, πανοῦργον δὲ, καὶ συρίζουσα ἐρωτικῶς, κατεφίλει αὐτόν [2].

55. Πόρρω γεγονότος τοῦ μεγάλου θυμοῦ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, ἕνωσις τῶν καρδιῶν αὐτῶν ἐγένετο, συρραφθεισῶν, ὡς ῥαφίσι, τοῖς βέλεσι τοῦ Ἔρωτος.

56. Οἱ ὀφθαλμοὶ τῶν ἐρωτικῶν, πεσόντες εἰς τὰς ὄψεις ἀλλήλων, ὡς εἰς λίμνας ἀμβροσίας, λουσάμενοι τοῖς ἀμβροσίοις δάκρυσι τῆς χαρᾶς, ἀφῆκαν τὸ καῦμα τοῦ θυμοῦ.

57. Τὰ σώματα τῶν νέων, τὰ ὄντα ἀκίνητα μὲν, τρέμοντα δὲ καὶ ἱδροῦντα, ἐφαίνοντο ὡς δένδρα ἀνθοῦντα, εἰς τὸ ποιῆσαι βέλη τοῦ Ἔρωτος [3].

58. Τηνικαῦτα τὰ φρίκην ἔχοντα καὶ ἄσθμα σώματα τῶν ἀνδρῶν καὶ γυναικῶν, ἐφαίνοντο, ὡς ἀνίσταντο εἰς ὑποδοχὴν καὶ περίπτυξιν ἀμοιβαίαν.

---

1. Λευκή ἐστιν ἡ μαργαρυγὴ τοῦ ἐπὶ τοῦ στήθους καθειμένου περιδεραίου, λευκὸν καὶ τὸ ἐπιστήθιον ἱμάτιον.

2. Καὶ ὁ ἀνὴρ ἐγίνωσκεν, ὅτι ὑποκριτικὰ σημεῖα φίλτρου ἐδείκνυεν ἡ γυνὴ, καὶ αὕτη ἐγίνωσκεν, ὡς πρὸς ἄλλην πορεύεται ὁ ἀνήρ.

3. Καὶ τὸ δένδρον γάρ ἐστιν ἀκίνητον· ὁ δὲ τρόμος τοῦ σώματος ἀναφέρεται εἰς τὸ κλόνημα τοῦ δένδρου· ὁ δὲ ἱδρὼς, εἰς τὰ ἄνθη.

59. Ἐκ τῆς πολλῆς θλίψεως τοῦ Ἔρωτος, οἱ ἄνδρες τε καὶ αἱ γυναῖκες ἐνόμιζον τὰ ἀλλήλων σώματα εὔμορφα, καί περ ἄμορφα ὄντα, καὶ τοὺς λόγους κομψοὺς καὶ χαρίεντας, καί περ ἀκόμψους ὄντας.

60. Ἡ χεὶρ τοῦ ἐμπλήκτου τὸν νοῦν ἐραστοῦ, ὥςπερ αἰσθητικὴ γενομένη ἐν τῷ ψηλαφᾷν τὰς θηλὰς τῶν μαστῶν τῆς ἐρωμένης, ἐψηλάφα κατὰ μικρὸν τὰ κατωτέρω.

61. Τῆς χειρὸς τοῦ ἐραστοῦ ἐκταθείσης, ἡ γυνὴ ἵστατο ἐμβεβυθισμένη τὸν νοῦν κατακλυσμῷ τοῦ Ἔρωτος· τὸ δὲ περίζωμα εὐθέως ἐλύθη ἐκ τῆς ὀσφύος, ὥςπερ εἰδὸς τὸν καιρόν.

62. Τοσοῦτον σφοδρὰ ἡ περίπτυξις τῶν ἐρωτικῶν ἐγένετο, ὥστε τοὺς μαστοὺς τῆς γυναικὸς βυθισθῆναι ἐν τῷ στήθει, καὶ πᾶν κενὸν τοῦ σώματος πληρωθῆναι ἐκ φρίκης καὶ ἄσθματος, τά τε ψέλλια καὶ περιδέραια διαῤῥαγῆναι.

63. Ὁ καταπινόμενος πολὺς γλυκὺς χυμὸς τῶν ἀμβροσίων χειλέων, ἐποίησεν εὐθὺς ἄνεσιν τῇ ψυχῇ, τῇ καταπεπιεσμένῃ ἐντὸς ἐκ τῆς τοιαύτης ἔξωθεν σφοδρᾶς περιπτύξεως.

64. Τὰ μὲν ὄμματα ἀπολαμβάνοντα τὴν λαμπρότητα τῶν σεληνιαίων προσώπων, αἱ δὲ ῥῖνες τὴν εὐωδίαν τῆς ἀναπνοῆς, τὰ δὲ στόματα τὴν γλυκύτητα τῶν χειλέων, ἡδονὴν μεγάλην ἐποίουν τῇ δυάδι τοῦ ἀνδρὸς καὶ τῆς γυναικός.

65. Ἔν τε τῇ περιπτύξει, ἐν τῇ εὐόσμῳ ἀναπνοῇ, ἐν τῇ πολλῇ ἁβρότητι, ἐν τῇ τῶν χειλέων πόσει, καὶ ἐν τοῖς ἡδέσι ψιθυρίσμασι καὶ βλέμμασιν, ἀγάπη ἀμοιβαία ἐγίνετο τῇ δυάδι τῶν νέων.

66. Τοῦ ἐραστοῦ δακόντος τὸ χεῖλος τῆς γυναικὸς, ὅ,τι κίνημα εἰς ἀποτροπὴν ἐγένετο διὰ τῆς χειρὸς αὐτῆς, διὰ τούτου ὁ Ἔρως μᾶλλον εὐθαλὴς καὶ ἀκμαῖος ἐγίνετο.

67. Ὁ ἐραστὴς ἐφίλει συχνάκις τὰ ὄμματα καὶ τὸ χεῖλος τῆς

ἐρωμένης· ταῦτα δ' ἐγίνετο εὐθέως ἐρυθρὰ ἐκ τῆς πρὸς ἄλληλα μεγάλης ἔριδος.

68. Ὅ,τι ὁ ἐραστὴς ἐψιθύρισεν ἐν τῇ συνουσίᾳ, νυχθεὶς τὴν μασχάλην τοῖς ὄνυξι, καὶ δηχθεὶς τὸ χεῖλος, τοῦτο ἐπηνεῖτο ὑπὸ τοῦ ἤχου τῆς κινουμένης ζώνης καὶ τῶν περιπεζίων τῆς ἐρωμένης.

69. Ὁ πάντα τελέσας Ἔρως ἐχόρευε μετὰ τῶν ἐφαλλομένων μαργαριτῶν, ὡς μετὰ βελῶν ἀνθίνων, οἳ ἔπιπτον ἐκ τῶν διαῤῥαγέντων περιδεραίων ἐν τῇ συνουσίᾳ.

70. Ὁ Ἔρως ἐχόρευεν ἡδέως, τῶν ἐρωτικῶν ψιθυρισμάτων τῶν ἀνδρῶν ὄντων ὡς ἀσμάτων, τῶν δὲ ἠχούντων περιπεζίων, ψελλίων, καὶ ζωνῶν τῶν γυναικῶν, ὡς διαφόρων μουσικῶν ὀργάνων.

71. Ὁ Ἔρως κατέβρεχεν ἐπὶ κεφαλῆς τὴν ἐρωμένην τῷ ἐπὶ τοῦ μετώπου τοῦ ἐραστοῦ ἱδρῶτι, ἵνα ἀναψυχὴν καὶ ῥῶσιν εἰς συνουσίαν ἔχοι, ἔχουσα δυσφόρητα βάρη μαστῶν καὶ γλουτῶν.

72. Πολλάκις αἱ γυναῖκες ἦσαν ἐπάνω τῶν ἀνδρῶν ἐν τῇ συνουσίᾳ, ὀλίγην ἔχουσαι αἰσχύνην ἐν τοιούτῳ ἀναισχύντῳ ἔργῳ [1], ἐπειγόμεναι ὑπὸ τοῦ τολμηροῦ καὶ θυμοειδοῦς Ἔρωτος.

73. Ὅ,τι ἄῤῥητον ὁ ἀνὴρ εἶχεν ἐν καρδίᾳ εἰς ἐρωτικὴν παιδιάν, τοῦτο ἐμπράκτως ἐτέλει ἡ γυνὴ, ὥςπερ πεφωτισμένον ἔχουσα τὸν νοῦν ὑπὸ τοῦ Ἔρωτος, τοῦ ἡδομένου ἐν τοιούτῳ ἔργῳ.

74. Ἡ ἐρωμένη ἔβρεξε τὸ φίλτρον πραγματικῶς, μὴ χωρούμενον ἐντὸς, ὅ ἐστιν ὁ ἱδρὼς ὁ ἐπὶ τοῦ στήθους τοῦ ἀνδρὸς, ὁ ἐκ τοῦ ἀγῶνος τῆς ἀντιστρόφου συνουσίας γενόμενος, καὶ μιχθεὶς τῷ κρόκῳ τῷ ἐπὶ τῶν μαστῶν.

---

1. Ἐν τῷ εἶναι ἐπάνω δηλαδή.

75. Τὸ ζεῦγος τῶν μαστῶν τῆς γυναικὸς, τῆς οὔσης ἐπάνω τοῦ ἀνδρὸς ἐν συνουσίᾳ, κλίναν κάτω τὴν θήλειαν, ὥσπερ λυπούμενον, ἐπειδὴ ἦν πόρρω τοῦ στήθους τοῦ ἐραστοῦ, ἔκλαιε διὰ πολλῶν ἱδρώτων.

76. Οἱ ἐρωτικοὶ, ἀφέντες τὰς δήξεις τῶν ὀδόντων, καὶ τὰς νύξεις τῶν ὀνύχων, καὶ τὰ φιλήματα, βλέποντες ἀλλήλους λίαν ἐρωτικῶς, ἐγεύοντο τῆς ἡδονῆς, συρίζοντες.

77. Ὅ,τι ἔλεγον αἱ γυναῖκες ἱκετικῶς, μετὰ μειδιάματος καὶ κλαυθμοῦ, καὶ ἡδονικοῦ συριγμοῦ, εἰς παῦσιν [1], τοῦτο ἐγίνετο τοῖς ἀσπλάγχνοις καὶ ἐρωτομανέσιν ἀνδράσιν ἄλλον ἔξαψις εἰς σκληρότητα.

78. Ἡδονὴ ἐγίνετο ἀμοιβαία ἀμφοτέροις τοῖς ἐρασταῖς [2], ἐρωτικοὺς λόγους λέγουσι χθαμαλῇ τῇ φωνῇ, καὶ τὴν πνοὴν κατέχουσιν ἐν ἑαυτοῖς ἐκ τῆς βίας τῆς συνουσίας, καὶ μηδέν τι ἄλλο διανοούμενοι, ἀλλ' ἢ τὴν συνουσίαν.

79. Καὶ ὁ Ἔρως ἐν τῷ τέλει τῆς συνουσίας τῶν νέων, λειποθυμῶν πως ἐγένετο ἐν ἀκαρεῖ ἐκ τῶν σφοδρῶν περιπτύξεων· ἀνέλαβε δὲ ἐκ τοῦ γενομένου λεπτοῦ καὶ ψυχροῦ ἄσθματος, ὡς ἀέρος.

80. Ὁ ἀνὴρ οὐκ ἀφίετο ὑπὸ τῆς γυναικὸς ἐν τῷ τέλει τῆς συνουσίας, βουλόμενος λυτρωθῆναι τῆς περιπτύξεως· βλέπων δὲ τὸ πρόσωπον αὐτῆς τὸ ἐρωτικὸν, ἐλάμβανε πάλιν ἀκμήν.

81. Τὰ μετὰ τὴν συνουσίαν τῶν νέων λίαν ἀστεῖα ἐγένετο, ἔλκοντα τὸν ἔρωτα· ἐμειδίων γὰρ ἐπὶ τῇ ἀλλαγῇ τῶν ἱματίων, ἃ ἔλαβον ταχέως, καὶ ἔστρεφον τὰ πρόσωπα αἰσχύνῃ.

---

1. Ἱκέτευον αὐτοὺς παύσασθαι τοῦ ἐπιβαίνειν, μὴ δυνάμεναι φέρειν.
2. Ὡς ἐπὶ τῶν θεωρητικῶν θεωρεῖται.

82. Εὐκοσμία ἦν τοῖς μέλεσι τῶν εὐμελῶν γυναικῶν, τοῖς οὖσιν ἄνευ κοσμημάτων, αἱ τῶν ὀνύχων νύξεις· τοῖς δὲ κοσμήμασι, τοῖς οὖσιν ἐκτὸς τοῦ σώματος, ἀκοσμία ἦν[1].

83. Ἰδόντες οἱ ἄνδρες τὰ πρόσωπα τῶν γυναικῶν, μᾶλλον χαρίεντα ὄντα καὶ προτρεπτικὰ εἰς Ἔρωτα, ἐρωτόληπτοι γενόμενοι, ἐκόμισαν πάλιν καὶ πολλάκις ἐπὶ τὴν κλίνην τὰς γυναῖκας.

84. Καὶ ἡ Σελήνη, ὥσπερ νυστάξασα ἐπὶ τῷ ἀγῶνι τῆς μετὰ τῆς Νυκτὸς[2] τρυφῆς, ὠχρὸν χρῶμα ἔχουσα[3], καὶ ἐκλελυμένας χεῖρας, τουτέστιν ἀκτίνας[4], βουλὴν ἔθετο δύσαι, εἰς ἀπόλαυσιν ἀέρος, πνέοντος ἐκ τῶν κυμάτων τοῦ ὠκεανοῦ, τῶν ἐπεγειρομένων ἐκ τῆς νήξεως τῶν νηκτῶν.

Τέλος τοῦ Δεκάτου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου
τῆς Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΕΝΔΕΚΑΤΟΝ,

ὃ διαλαμβάνει τὸν καθοπλισμὸν τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα.

1. Ὁ υἱὸς τῆς Σατεβατῆς, ὁ οἰκῶν ἀεννάως ἐν τῇ λωτοειδεῖ καρδίᾳ τῶν ἀγαθῶν, καὶ ὡς ψιτακὸς φθεγγόμενός τι τῶν

---

1. Τουτέστι τὸ σῶμα ἦν κόσμος τοῖς κοσμήμασιν· ἐν γὰρ τῇ νυκτὶ ἀποβάλλουσι τὰ κοσμήματα.

2. Ὡς γυνὴ ἡ νὺξ τῆς Σελήνης.

3. Οὐ γὰρ τοσοῦτον λάμπει περὶ τὸν ὄρθρον.

4. Καθὼς μετὰ τὴν συνουσίαν ὁ ἀνὴρ ὠχρὸν ἔχει πρόσωπον καὶ ἐκλελυμένα μέλη.

ἐν τοῖς ἀρχαιογονικοῖς Βιβλίοις, εἰς διατριβὴν τῆς Θεᾶς γνώσεως, ἔστω εἰς χαρὰν τῆς καρδίας τοῦ κόσμου.

2. Πρὸς δὲ εὐθυμίαν τοῦ Κρισνᾶ ἔπνευσεν ἡδεῖα αὔρα [1], μηνύουσα τὸ τέλος τῆς νυκτὸς, καταβεβρεγμένης τῷ εὐόσμῳ ἱδρῶτι τῶν ἀνδρῶν τε καὶ γυναικῶν, τῷ ἐκ τῶν συχνῶν ἀνθίνων βελῶν τοῦ Ἔρωτος.

3. Τὸ τύμπανον ἐκρούσθη [2] ἐν τῷ κόσμῳ τῇ προσταγῇ τοῦ Ἡλίου, κηρύττον τάδε· « Ἀναχώρει, Νὺξ, ἀγλαΐζου, Λωτέ [3]· » κλεῖσον ταχέως τὸ στόμα, Κουμουδβατή· ἄφες τὴν τα- » ραχὴν, Θάλασσα· ἄφες τὸν οὐρανὸν, Σελήνη· περίπτυξαι » τὸν θῆλυν Κόκκαν, ὦ ἄῤῥην Κόκκα. »

4. Ὁ ὕπνος ἔτυχε καιροῦ [4] ἐκ τῆς καμμύσεως τῶν ὀφθαλμῶν τῶν ἐραστῶν, πονησάντων ἐκ τοῦ ἀδιαλείπτου ἀγῶνος τοῦ ἔρωτος, ἀπαλῶς συμπεπλεγμένων τὰ μέλη, καὶ ὥςπερ ἐμβεβυθισμένων ῥείθροις ἀμβροσίας.

5. Οἱ ἄνθρωποι τυχόντες αἰσίας ἀναγεννήσεως, τουτέστιν ἐξεγερθέντες περὶ τὸν ὄρθρον, ἀναλαβόντες ἐν νῷ τὸν Θεὸν, καὶ προσευξάμενοι, ἤρξαντο ἐνασχολεῖσθαι ἕκαστος τοῖς ἰδίοις ἑαυτῶν ἔργοις.

6. Ὁ Ἔρως, ὁ μόνος νικητὴς τοῦ κόσμου, καὶ γνωστὸς τὴν δύναμιν, ἀφεὶς τὸ βέλος θυμῷ, ἕνεκεν τῆς ἀτιμίας, τῆς παρὰ τοῦ Σίβα, γυμναζόμενος ἐν ἀρχῇ τῆς ἡμέρας, δονεῖ

---

1. Περὶ τὴν ἕω αὔρα ἡδεῖα πνέει.

2. Ἔθος ἐστὶ κρούειν τύμπανον περὶ τὸν ὄρθρον παρὰ τοῖς ἐνδόξοις. Ἀγαθὸς οἰωνός ἐστι βλέπειν τύμπανον περὶ τὸ πρωΐ, ἢ χρυσίον, ἢ πῦρ, ἢ τὸν ἥλιον, ἢ τὸν διδάσκαλον.

3. Ὁ μὲν λωτὸς κατὰ τὴν ἡμέραν διεκπετάννυται· ἡ δὲ Κουμουδβατὴ συμμύει.

4. Παυσάντων τῆς παιδιᾶς, ὁ ὕπνος ἦλθεν, εὐκαιρίας τυχών.

τὴν ῥομφαίαν, ἥ ἐστιν ἡ δονουμένη πλεξὶς τῶν γυναικῶν, αἳ περιστρέφουσι τὸ πεπηγμένον γάλα [1].

7. Ὁ μεγαλόφωνος ἀλέκτωρ οὕτως ἐκήρυττε πρὸς τὰς ὑπερηφάνους καὶ ἰσχυρογνώμονας γυναῖκας ἐν ἑκάστῳ τόπῳ· « Ἀφεθήτω ταχέως τὸ ὑπερήφανον καὶ ἰσχυρόγνωμον· ἡ » μὲν γὰρ νὺξ παρέρχεται, ἡ οὖσα πάνδωρος δάμαλις τῶν » γυναικῶν· ἡ δ' ἡμέρα ἀναφαίνεται, ἡ πρόξενος τῆς » διαζεύξεως. »

8. Μόλις ὑπνώσασα ἡ ἐρωμένη, ἔδρεν ἐν ὀνείρῳ ἔνοχον ἐραστὴν, προσελθόντα· ἐξεγερθεῖσα δὲ καὶ λυπηθεῖσα ἐπὶ ταῖς πολλαῖς πληγαῖς, ἠγκαλίζετο, ἔρωτι πιεζομένη αὐτὸν, ὃς, ἐλθὼν κρυφίως, ἐκοιμᾶτο που ἐνάκρα τῆς κλίνης.

9. Γυνή τις εἶδεν ἐν ὀνείρῳ ἐραστὴν, συμπαίζοντα ἄλλῃ ἀντιζήλῳ· ἐξυπνήσασα δὲ καὶ ἰδοῦσα τὸν ἐραστὴν παρόντα, ἐλάκτιζε τὴν ἐπὶ τοῦ τοίχου σκιὰν αὐτῆς, νομίζουσα ὡς αὐτή ἐστιν ἡ ἀντίζηλος.

10. Ἀνὴρ καὶ γυνὴ τὸ πολὺ τῆς νυκτὸς γρηγορήσαντες ὑπερηφάνως καὶ ἰσχυρογνωμόνως, ὕπνωσαν ὀλίγον ἐπὶ τῆς αὐτῆς κλίνης· ἐξιλεώσαντες δ' ἀλλήλους ἐν ὀνείρῳ, καὶ περιπτυξάμενοι, ὁποίαν παιδιὰν οὐκ ἐποίησαν;

11. Ἡ ἀνατολὴ ἔτυχεν ἐρυθρότητος, ὥσπερ ὁραθεῖσα ἐρυθροῖς ὀφθαλμοῖς χηναλωπέκων, διανοουμένων μετὰ θυμοῦ ταῦτα· « Χίλιοι αἰῶνες παρῆλθον· ὁ δὲ φωτοφόρος Ἥλιος οὐκ » ἔτι ἀνατέλλει ἐν ταύτῃ τῇ ἀνατολῇ; »

12. Ἡ σεληνιακὴ λάμψις, ὥσπερ θυμωθεῖσα ἐπὶ τῷ φωστῆρι τῆς νυκτὸς, περιπτυσσομένῳ ἡδέως τὰς Κουμουδβατὰς, τὰς παρὰ τῇ ἀκτῇ τοῦ ἐπὶ τῆς κορυφῆς τοῦ δυτι-

---

1. Περὶ τὸ πρωὶ ἐξεγείρονται αἱ γυναῖκες καὶ στρέφουσι τὸ πεπηγμένον γάλα, ἵνα ἐξαγάγωσι τὸ βούτυρον.

κοῦ ὄρους ποταμοῦ, ἰσχνότητα καὶ ἐρυθρότητα ἔλαβεν [1].

13. Οἱ ἄνθρωποι συνέλεγον ταχέως ἐν ἀγγείοις τὸ σέλας [2] τῆς Σελήνης, ὅ ἐστι τὸ ἀμελγόμενον γάλα τῶν βοῶν, ὥσπερ λέγοντες· « Ποῦ πάλιν ἔσται τοῦτο τὸ ἀγλαὸν σέλας τῆς » Σελήνης, τῆς πηγῆς τῆς ἀμβροσίας ἀπελθούσης ; »

14. Ἡ Σελήνη ἦν ἐν οὐρανῷ, ὡς φρέαρ ἐν ἀγρῷ· ἡ δ' ἐν τῇ Σελήνῃ μελανότης, ὡς κηλόνιον, εἰς τὸ ἀντλῆσαι ὕδωρ· Μετὰ δὲ τὴν παῦσιν τῆς λάμψεως τῆς Σελήνης ζόφωσις ἐγένετο, ὡς μετὰ τὸ πότισμα χλόη.

15. Ἡ ἐν οὐρανῷ Σελήνη ἀνεχώρησεν, ἰδοῦσα τὸ μὲν ἑαυτῆς Σέλας καταποθὲν, τὰ δ' ἄστρα καταβρωθέντα ὑπὸ τοῦ ζόφου, ὡς ὁ χὴν ἀναχωρεῖ, βλέπων τὸ μὲν ὕδωρ τῆς λίμνης καταποθὲν, τὰς δὲ ῥίζας τῶν λωτῶν καταβρωθείσας ὑπ' ἐλεφάντων [3].

16. Ἡ ἀνατολὴ ἠγλαΐσθη ἐκ τοῦ χνοῦ τοῦ ἐρυθροῦ λωτοῦ, τοῦ ἐν τῇ χειρὶ τοῦ Ἡλίου, (ὃ συμπεραίνεται ἀπὸ τῶν ἐρυθρῶν ἀκτίνων) τοῦ διασκεδαζομένου ὑπὸ τοῦ ἀέρος, τοῦ ἐκ τῶν πτερύγων τῶν βομβυλίων, τῶν ἀφιπταμένων ἀπὸ τοῦ ἡδέος χυμοῦ του Ἀϊραβάτα ἐλέφαντος, καὶ φοιτώντων εἰς τὴν εὐωδίαν τοῦ λωτοῦ τοῦ Ἡλίου.

---

1. Ἡ σεληνιακὴ λάμψις ἐκλαμβάνεται ὡς γυνὴ τοῦ φωστῆρος τῆς νυκτὸς, τῆς Σελήνης, αἱ δὲ Κουμουδβαταὶ, οἱ ἐν νυκτὶ ἀνθοῦντες λωτοὶ, ὡς ἄλλαι γυναῖκες. Ἡ λάμψις τῆς δυούσης Σελήνης καὶ ὀλίγη ἐστὶ καὶ ἐρυθρὰ, καθὼς ἐκ ζηλοτυπίας ἰσχνὴ γίνεται καὶ ἐρυθρὰ ἐκ θυμοῦ ἡ γυνὴ, βλέπουσα τὸν ἑαυτῆς ἄνδρα πρὸς ἄλλας κλίσιν ἔχοντα.

2. Λευκὸν τὸ σέλας τῆς Σελήνης, λευκὸν καὶ τὸ γάλα, ὅπερ τὴν ἕω συλλέγουσιν ἀμέλγοντες.

3. Ὁ μὲν οὐρανός ἐστιν ὡς λίμνη, ἡ δὲ Σελήνη ὡς χὴν, τὸ δὲ σέλας τῆς Σελήνης, ὡς ὕδωρ τῆς λίμνης, τὰ δ' ἄστρα, ὡς ῥίζαι λωτῶν, ὁ δὲ ζόφος, ὡς ἐλέφας. Αἱ ῥίζαι τοῦ λωτοῦ στρογγυλοειδεῖς εἰσι καὶ λευκαὶ καὶ βρώσιμοι.

17. Οἱ ὀφθαλμοὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν ἀνοικτοὶ ὄντες ἐν τῇ νυκτὶ, καθὼς οἱ νυκτάνθεις λωτοὶ, ἔλαβον ὀλίγον ὕπνον· εἶτα δὲ ἠνεῴχθησαν περὶ τὸ πρωΐ, εὐστρόφους ἔχοντες κόρας, καθὼς οἱ ἡμεράνθεις λωτοὶ, περιϊπταμένους ἔχοντες βομβυλίους [1].

18. Ἐν τῇ ἀνατολῇ τοῦ Ἡλίου, καί τοι ἤρξαντο συμμύσαι οἱ ἐν νυκτὶ ἀνθοῦντες κυάνεοι λωτοὶ, οὐ καθόλου ὅμως ἠδύναντο συμμύσαι, ἐξ αἰτίας τῆς ἐξελεύσεως τῶν ἐντὸς πιεζομένων βομβυλίων.

19. Τοῦ Ἡλίου ἀνατείλαντος ἡ φυταλιὰ τῶν ἡμερανθέων λωτῶν εἶχε σμήνη βομβυλίων ἐν τοῖς ἄκροις τῶν ἀνθέων, διὰ τὴν εὐωδίαν τῶν διεκπεταννυμένων φύλλων, ὥσπερ ψέλλια ἐν χερσίν [2].

20. Ὁ λύχνος, καί περ καίων ἐν ἰδιαιτέρῳ τόπῳ τοῦ κοιτῶνος τῶν ἐραστῶν, ἔτρεμε καὶ ἐφοβεῖτό πως, ὅτι τὰ μὲν ἄστρα πάντα ἀφῆκαν τὴν πολλὴν λάμψιν, ἡ δὲ Σελήνη ἀπῆλθε, τοῦ Ἡλίου ἐλθόντος [3].

21. Ὁ ζόφος ᾤκησεν εὐθέως ἐντὸς τῶν σπηλαίων τῶν ὀρέων, ὃς ἦν ὡς καπνὸς τῶν ἀποσβεσθεισῶν λαμπρῶν βοτανῶν [4], ἀναιρεθεὶς ἐκ τῶν πολλῶν ἀκτίνων τοῦ Ἡλίου, τοῦ λύχνου πάσης τῆς γῆς.

22. Οἱ νέοι ἐξήρχοντο ἐκ τῶν κοιτώνων, ἔχοντες ἐπὶ τοῦ στήθους, ὅπερ ἦν, ὡς λαμπρὸν ἄρμα τοῦ βασιλέως Ἔρω-

---

1. Μέλαινα ἡ κόρη τοῦ ὀφθαλμοῦ, μέλας καὶ ὁ βομβύλιος.

2. Καθὼς αἱ γυναῖκες κοσμοῦνται, ἐλθόντος τοῦ ἀνδρὸς, οὕτω καὶ οἱ λωτοὶ, ἐλθόντος τοῦ Ἡλίου. — Ὁ μὲν Ἥλιος ὡς ἀνὴρ, ἡ δὲ φυταλιὰ ὡς γυνὴ, τὰ δὲ σμήνη τῶν βομβυλίων ὡς ψέλλια.

3. Ἀμυδρῶς ἔλαμπε· τουτέστι καὶ αὐτὸς οὐδέν ἐστι πρὸς τὸ φῶς τοῦ Ἡλίου.

4. Βοτάνη μυθευομένη, ἣ λάμπει ὡς πῦρ ἐν νυκτί.

τος, δύο στρογγυλὰ σημεῖα, ὡς δύο τροχοὺς, τυπωθέντα ἐν τῇ περιπτύξει ἐκ τοῦ κρόκου τοῦ ἐπὶ τῶν μαστῶν τῶν γυναικῶν.

23. Τὸ πῦρ, ἐξελθὸν ἐκ τῆς καρδίας τῶν χηναλωπέκων [1], ὥσπερ φοβηθὲν [2] ἐκ τῶν κυμάτων τῆς ἀμβροσίας περιπτύξεως αὐτῶν ἐν τῇ ἀνατολῇ τοῦ Ἡλίου, ἐποίησεν οἴκησιν ἐν ταῖς δυσβάτοις κορυφαῖς τοῦ ἀνατολικοῦ ὄρους, ὅπερ συμπαιραίνεται ἐκ τῶν θερμῶν ἡλιολίθων [3].

24. Οἱ ποταμοὶ, οἱ ῥέοντες ἐκ τῶν σεληνολίθων [4], ἔπαυσαν σὺν τοῖς ποταμοῖς τῶν δακρύων τῶν θηλέων χηναλωπέκων, ἐκ τῆς διαζεύξεως ἀπὸ τῶν ἀῤῥένων· ὁ δὲ Ὠκεανὸς ἡσυχίαν σχὼν [5], ἕνεκα τῆς στερήσεως αὐτῶν τῶν ποταμῶν, ἔλαβε κατάστασιν ταπεινήν.

25. Οἱ ἄνδρες, ἐλθόντες περὶ τὸ πρωΐ οἴκαδε, σεσημειωμένοι νύζεσιν ὀνύχων, καὶ δήξεσιν ὀδόντων ἄλλων γυναικῶν, προσπεσόντες τοῖς ποσὶ τῶν οἰκείων γυναικῶν, περιελαμβάνοντο ἐν ἀγκάλαις ὑπ' αὐτῶν οὐκ ἐκ καρδίας, ἀλλ' ἐπιπλάστως, φοβουμένων τὴν ὑπερηφάνειαν τῶν γειτονικῶν γυναικῶν [6].

26. Ἡ ἡμέρα ἐξῆλθεν εἰς τὸν κόσμον, ὡς λέων εἰς τὸν δρυμὸν, ἔχουσα τὴν μὲν πληθὺν τῶν ἡλιακῶν ἐρυθρῶν ἀκτίνων, ὡς λοφιὰν, τὸν δ' ἐξ ἡμισείας ἀναφανέντα Ἥλιον,

---

1. Τὸ πῦρ δηλ. ὅπερ ἔκαιε τὴν καρδίαν αὐτῶν ἐν νυκτὶ ἐκ τῆς διαζεύξεως.

Τὸ γὰρ πῦρ φοβεῖται τὸ ὕδωρ, ὡς σβεννύμενον ὑπ' αὐτοῦ.

3. Λίθος μυθευόμενος, ὃς ἐξάγει πῦρ ὅτε λάμπει ὁ Ἥλιος.

4. Λίθος μυθευόμενος, ὃς ἐξάγει πῦρ ὅτε λάμπει ἡ Σελήνη.

5. Ἐν νυκτὶ ἀναταραττομένη ἡ θάλασσα, ἡσυχίαν ἔσχε περὶ τὴν ἕω.

6. Ἐφοβήθησαν μὴ αἱ γειτονικαὶ γυναῖκες ὑπερηφανευθεῖεν λέγουσαι· « οἱ ἡμῶν ἄνδρες σύνεισιν ἡμῖν ἀεί, ὁ δὲ σὸς οὐδέποτε σύνεστί σοι. »

ὡς ὀδόντα ἐρυθρὸν ἐξ αἵματος, τοῦ οὗ κατέφαγεν ἐλέφαντος, τουτέστι τοῦ σκότους.

27. Χαρὰν ἐποίησεν ὁ Ἥλιος ἅπασι τοῖς ἐμψύχοις, ἔχων τὸ ἑαυτοῦ ἥμισυ σῶμα κεκρυμμένον ὄπισθεν τῆς κορυφῆς τοῦ ἀνατολικοῦ ὄρους, ὥσπερ ἱστάμενος ἐπὶ τῆς ἀκρωρείας, εἰς ἀνάπαυσιν τοῦ πόνου, ἐκ τοῦ δολιχοῦ καὶ τοῦ ἀενναόυ δρόμου.

28. Ὁ Ηλιος ἐξῆλθεν ὅλος εἰς τὸν οὐρανὸν, ὥσπερ πληγεὶς, ὡς ἄκροις τῶν χειρῶν, τοῖς ὑψηλοῖς κύμασι τοῦ Ὠκεανοῦ θυμωθέντος, ὅτι τὰς μὲν γυναῖκας αὐτοῦ, τοὺς ποταμοὺς, οὗτος αὔει, τὸν δὲ υἱὸν αὐτοῦ, τὸν φωστῆρα τῆς νυκτὸς, θλίβει [1].

29. Ὁ Ἥλιος λάμπων ὑψοῦ ἐπὶ τῆς κορυφῆς τοῦ ἀνατολικοῦ ὄρους, ἐφαίνετο τοῖς ὄμμασι τῶν ἀνθρώπων ἐκ τῶν τρεμουσῶν ἀκτινοβολιῶν, ὅτι περιφέρεται, ὡς λαμπρὸς ἄτρακτος.

30. Ἀναρίθμητα ὄρνεα διεσπράρθησαν εἰς τὸν αἰθέρα περὶ τὸ πρωΐ, μέλανα ὄντα, ὡς τὰ μέλανα φυτὰ, αἱ Ταμάλαι [2], καὶ φαινόμενα ὡς συντρίμματα τοῦ σκότους, συντριμμένου ὑπὸ τοῦ Ἡλίου, ὡς ὑπὸ χειρομύλης.

31. Ὁ ὄρθρος διακαύσας τὸν ἐν αἰθέρι ζόφον, ὡς τὸ πῦρ τὸν ἐν δάσει χόρτον, ἀνεπαύθη· καί τοι δ' ἦν ὀλιγόλαμπρος ὅτε ἀνεπαύθη, πολύλαμπρος ὅμως Ἥλιος ἀνεφάνη εἰς ἔκστασιν τοῦ νοός [3].

32. Ἀ ἡ νὺξ προσήνεγκεν εἰς λατρείαν τῷ οὐρανῷ, ὡς φαλῷ

---

1. Τουτέστιν ἐλαττοῖ καὶ ἀμαυροῖ, τὴν λάμψιν τῆς Σελήνης. Ἡ Σελήνη ἐγεννήθη ἐκ τῆς θαλάσσης.

2. Ταμάλα, εἶδος δένδρου, ἔχοντος μελανοειδῆ φύλλα καὶ φλοιόν· πολλὰ τοιαῦτα δένδρα φύονται περὶ τὰς ὄχθας τῆς Ἰαμουνᾶς.

3. Μετὰ τὸν ὄρθρον δηλ. ὁ Ἥλιος ἀνεφάνη.

τοῦ Σίβα, πεποιημένῳ ἐκ σμαράγδου, τὸ μὲν σέλας τῆς Σελήνης, ὡς λευκὸν περιβόλαιον, τὰ δ' ἄστρα, ὡς ἄνθη, ταῦτα ἀποῤῥίψας ὁ Ἥλιος ἔλουσεν αὐτὸν τῷ ἑαυτοῦ ἐρυθρῷ φωτὶ, ὡς ὕδατι μετὰ κρόκου [1].

33. Τῆς μὲν ἐχθρᾶς Σελήνης πασχούσης, χαρίεις καὶ λαμπρὸς γίνεται ὁ λωτός· τοῦ δ' ἐχθροῦ ζόφου πάσχοντος, ἄχαρις καὶ ἀμαυρὸς γίνεται ὁ λύχνος. Καί τοι δὲ ὅ,τε λωτὸς καὶ ὁ λύχνος ὅμοιοί εἰσι κατὰ τὴν ἀγλαΐαν, πολὺ ὅμως τὸ διάφορόν ἐστιν αὐτῶν· ὁ μὲν γὰρ, ὡς μικροπρεπὴς, γάννυται ἐπὶ τῷ πάθει τοῦ οἰκείου ἐχθροῦ· ὁ δὲ, ὡς μεγαλοπρεπὴς, στυγνάζει [2].

34. Ἐπειδὴ ἡ Σελήνη ἀφείλετο ἐν νυκτὶ πᾶσαν τὴν ἀγλαΐαν τῶν λωτῶν, διὰ τοῦτο αὖτη, ἐλθόντος τοῦ Ἡλίου περὶ τὸ πρωΐ, πηδήσασα ἐκ τῆς κορυφῆς τοῦ δυτικοῦ ὄρους, ἐφαίνετο ἐμβεβυθισμένη ἡ ἡμίσεια τῇ ἰλύϊ, τῇ παρὰ τῇ ἀκτῇ τοῦ ὠκεανοῦ [3].

35. Τὸ ὄρος τῆς δύσεως ἐφαίνετο, ὡς ὁ Σίβας, ἔχων ἐν μὲν τῇ ὑπωρείᾳ τὸ σκότος, ὡς δέρμα [4], ἐπὶ δὲ τῆς κορυφῆς τὸ ἡμισέληνον καὶ τὰς χρυσοειδεῖς ἀκτίνας, ὡς ξανθοὺς πλοκάμους.

---

1. Ἐν τῇ νυκτὶ λατρεύοντες τιθέασι τῇ εἰκόνι ἄνθη καὶ περιβόλαιον, ὥςπερ ὑπνίζοντες τὸν Θεόν· περὶ δὲ τὴν ἕω ἀποβάλλουσιν αὐτὰ, καὶ λούουσιν αὐτὸν, ὥςπερ ἐξεγερθέντα τοῦ ὕπνου· κρόκον τιθέασιν ἐν ὕδατι, ὃ ῥαίνουσι· σημαίνει δὲ διὰ τούτου τὴν περὶ τὸ πρωΐ ἐρυθρότητα τοῦ οὐρανοῦ ἐκ τοῦ Ἡλίου.

2. Μικροπρεπὴς νομίζεται ὁ λωτὸς, ἔχων τὸ εἶναι ἐξ ἰλύος· μεγαλοπρεπὴς δὲ ὁ λύχνος, ὡς ἔχων τὸ εἶναι ἐκ φωτός.

3. Ἐφοβήθη, ἐπειδὴ ἦλθεν ὁ Ἥλιος, ὁ φίλος τῶν ἡμεραν θέων λωτῶν.

4. Ὁ Σίβας δέρμα ἔχει, ὡς στρῶμα, καὶ πλοκάμους, καὶ τὸ ἡμισέληνον ἐπὶ κεφαλῆς.

36. Ἰδούσης τῆς ἀγλαΐας τοῦ οὐρανοῦ [1] τὸν νέον Ἥλιον, καὶ ἐπιθυμησάσης αὐτοῦ, ὁ τῆς νυκτὸς φωστὴρ, ὃς ἦν γέρων καὶ διαῤῥεούσας εἶχε λευκὰς τρίχας, τουτέστιν ἀκτίνας, λυπηθεὶς, ἔπεσεν εὐθέως ἀπὸ τοῦ δυτικοῦ ὄρους εἰς τὸν ὠκεανόν.

37. Οἱ ἀστέρες, ὥσπερ καιόμενοι ὑπὸ τοῦ πυρὸς τοῦ Ἡλίου, ἦλθον πρὸς τοὺς ἀνθοῦντας λωτοὺς, τοὺς φύσει ψυχροὺς, οἵ εἰσιν οἱ βομβύλιοι, ὑπόξανθοι ὄντες ἐκ τοῦ χρυσοειδοῦς χνοῦ τῶν λωτῶν.

38. Αἱ λαμπραὶ ἀκτίνες τοῦ Ἡλίου, φλόγες ἦσαν τοῦ πυρὸς τῆς διαζεύξεως τῶν ἀνδρῶν καὶ γυναικῶν κατὰ τὴν ἀρχὴν τῆς ἡμέρας, ἀποδεικνύουσαι τὸν κυάνεον οὐρανὸν, ὡς καπνόν [2].

39. Οἱ ἀστέρες, ὥσπερ φοβηθέντες τοὺς τροχοὺς τοῦ ἅρματος τοῦ Ἡλίου, κατέφυγον εἰς τοὺς οἴκους, ὅπερ συμπεραίνεται ἐκ τῶν μαργαριτῶν, οἳ διεσκορπίσθησαν ἐν οἴκοις ἐκ τῶν διαῤῥαγέντων ὅρμων ἐν τῇ σφοδρᾷ περιπτύξει τῶν γυναικῶν καὶ τῶν ἀνδρῶν.

40. Ὁ μὲν πέρδιξ, ἐπέχων βρώσεως, νηστείᾳ ἐχρῆτο [3]· ἡ δὲ Κουμούδα [4] συμμύουσα θεωρίαν ἐποίει· ἡ δὲ γλαυξ ἐκάθητο ἐν ἡσυχίᾳ, ὡς ἐγκρατὴς [5], εἰς τὸ γενέσθαι ἀνατολὴν τῆς Σελήνης, τῆς ποιητρίας τῆς νυκτός.

41. Ὁ Ἥλιος, ὥσπερ θερμανθεὶς ἐκ τοῦ πυρὸς τῶν ἡλιολίθων, τῶν ἐν τῷ ἀνατολικῷ ὄρει, πετασθεὶς ἐκ τῆς κορυφῆς

---

1. Ἡ ἀγλαΐα τοῦ οὐρανοῦ ὡς γυνὴ ἦν τοῦ τῆς νυκτὸς φωστῆρος, ὅτε ἔλαμπεν ἐν νυκτί.

2. Ἴδιον τοῦ πυρὸς, ὁ καπνός.

3. Ὁ πέρδιξ, λέγουσιν, ἥδεται τῇ Σελήνῃ.

4. Κουμούδα λέγεται ὁ νυκτάνθης λωτός.

5. Καθὼς ὁ ἐγκρατὴς ἀπέχει βρώσεως, καὶ κλείων τὰ ὄμματα θεωρίαν ποιεῖ, εὐχόμενος ἵν' ἔλθῃ ἐπ' αὐτὸν ἡ θεία πρόνοια.

αὐτοῦ τοῦ ὄρους, ἀνέβη ταχέως εἰς τὴν κορυφὴν τῆς ἀνατολῆς, ὡς ὁ ὄρνις ἐπὶ τὴν κορυφὴν τοῦ δένδρου [1].

42. Ὁ Ἥλιος, ὅς ἐστιν εἰκὼν πάντων τῶν θεῶν, δύναμιν ἔσχε λαμπρότητος μεγάλης, ἐπειδὴ τὸ πῦρ, ὅπερ ἐστὶ στόμα τῶν θεῶν [2], κατέβρωσε τὸ προσφερόμενον ὑπὸ τῶν Βραχμάνων περὶ τὴν ἕω.

43. Τῆς Σελήνης πεσούσης, ὡς φύλλου ξηροῦ καὶ μεμαραμμένου, οὗτος ὁ Ἥλιος ἐγένετο, οἶμαι, ὡς φύλλον νεοθαλὲς τοῦ οὐρανοῦ, ὡς δένδρου, τοῦ ποτιζομένου τῇ ἀγαθουργίᾳ τῶν τριῶν κόσμων, ὡς ἀμβροσίᾳ.

44. Ἐπειδὴ ἡ ἀνθρωπότης ἐποίησε λατρείαν τῷ Ἡλίῳ, διὰ τοῦτο ὁ Ἥλιος ἔθετο ἐν τῇ χειρὶ τῶν ἀνθρώπων ἑαυτὸν πραγματικῶς, ὅ ἐστι τὸ ἀπαύγασμα αὐτοῦ ἐν τῷ ὕδατι τῷ ἐπὶ τῆς χειρὸς [3], ὡς καρπὸν τῶν καλῶν ἔργων, εἰς λειψιν τῶν δεινῶν.

45. Ἡ ἐκτεταμένη ἐπὶ μήκιστον κατὰ γῆς σκιὰ τοῦ στελέχους καὶ τῆς στρογγύλης κορυφῆς τοῦ δένδρου ἐφαίνετο, ὥσπερ πεπτωκὸς σκιάδιον τοῦ μεγάλου ἐχθροῦ, τοῦ ζόφου, τοῦ ἀναιρεθέντος ὑπὸ τοῦ νέου ἥρωος, τοῦ Ἡλίου.

46. Ὁ Ἥλιος ἀνεῖλε καὶ τὸ ἐν τοῖς ἐνδομύχοις τῶν οἴκων σκότος, ταῖς διὰ τῶν θυρίδων εἰσδυούσαις λάμψεσιν, ὑπερλάμπροις γενομέναις ἐκ τῶν ἀντανακλάσεων τῶν λιθοκολλήτων ἐνωτίων τῶν περιφερομένων γυναικῶν.

---

1. Καθὼς τὸ ὄρνεον ἵπταται καὶ κάθηται ἐπὶ κορυφῆς δένδρου εἰς ἀνάπαυσιν.

2. Τῶν Πυρολατρῶν δηλονότι, οἳ ἐγχέουσι τῷ πυρὶ γάλα καὶ βούτυρον περὶ τὴν ἕω· φαγόντων δὲ τῶν θεῶν διὰ τοῦ πυρὸς, ὡς διὰ στόματος, ἔφαγε καὶ ὁ Ἥλιος, ὅς ἐστιν εἰκὼν πάντων τῶν θεῶν, καὶ διὰ τοῦτο ἔσχε πλείω λαμπρότητα.

3. Οἱ Ἰνδοὶ λαμβάνοντες ὕδωρ κοίλῃ τῇ χειρὶ, χέουσιν αὐτὸ, προσφέροντες τῷ Ἡλίῳ, καὶ ἀτενίζοντες εἰς αὐτόν.

47. Ὁ Ἥλιος, ὡς ῥάβδοις σκληραῖς ταῖς ἀκτῖσι, ταῖς εἰσδυούσαις διὰ τῶν κλάδων τῶν δένδρων, συνέτριψε τὸ σκότος, τὸ ἐν τοῖς συνηρεφέσι δάσεσιν, φοβούμενον καὶ τρέμον, ὅπερ συμπεραίνεται ἐκ τῆς σκιᾶς τῶν σειομένων φύλλων.

48. Ὁ Ἥλιος ἐφόβησε [1] καὶ τὸ ὀλίγον σκότος, τὸ καταφυγὸν εἰς τὰς βαθείας ὀπὰς τῆς γῆς, καὶ ἐξ ἀφοβίας μεγαλαυχοῦν, ταῖς μαρμαρυγαῖς τῶν πολυτίμων λίθων τῶν ἐπὶ τῆς κορυφῆς τῶν ὄφεων, τῶν εἰσδυσάντων ἐξ αἰτίας τῆς ἡμέρας [2].

49. Ὁ Ἥλιος, τουτέστιν ἡ τῶν σωμάτων λάμψις τῶν ἐν σπηλαίοις ποιούντων θεωρίαν ἐκτενῆ ἀσκητῶν, περὶ τὴν ἕω διεσκέδασε τὸ σκότος, καί περ εἰσελθὸν ἐν ἀδύτοις σπηλαίοις, προνοούμενον τῆς σωτηρίας ἑαυτοῦ.

50. Ὁ Ἥλιος φθορὰν ἐποίησε παντὶ τῷ σκότει, τῷ ὑπὸ γῆν οἰκοῦντι, καί περ τεθωρακισμένῳ τοῖς μέλασι σώμασι τῶν ὑποχθονίων ὄφεων, διελθὼν διὰ τοῦ κρυσταλλίνου ὄρους, τοῦ ὄντος διαφανοῦς.

51. Ὁ μὲν δίσκος τοῦ Ἡλίου ἠγλαΐζετο ὑπὸ τοῦ οὐρανοῦ, ὡς μία χρυσῆ Τιλακὰ [3] ἐπὶ τοῦ μετώπου γυναικός· ἡ δὲ διακεχυμένη ἐρυθρὰ λάμψις, ὡς ἄλειμμα ἐκ κρόκου ἐπὶ τοῦ σώματος.

52. Ὁ δὲ Κρισνᾶς καὶ ὁ Ἀρζούνας [4], προσκυνήσαντες τὸν Θεὸν Σίβαν κατὰ τὸν ὄρθρον, ἐγυμνάσθησαν ὀλίγον ἐν

---

1. Ἐπειδὴ ἐξ αἰτίας τῆς ἡμέρας ὁ ὄφις οὐκ ἐξέρχεται τῆς ὀπῆς, τῆς δ' ἡμέρας αἴτιός ἐστιν ὁ Ἥλιος, διὰ τοῦτο λέγει, ὡς ὁ Ἥλιος ἐφόβησε.

2. Οἱ γὰρ ὄφεις ἐν τῇ νυκτὶ ἐξέρχονται ἐκ τῶν ὀπῶν.

3. Τιλακὰ, χρίσμα στρογγύλον, ἐρυθρόν.

4. Νῦν ἔρχεται ἐπὶ τὴν ὑπόθεσιν.

ὅπλοις κατὰ τὴν ἕω· καθίσαντες δὲ παρὰ τῇ Ἰαμουνᾷ ἐποίουν δωρεὰς, ἀνατείλαντος τοῦ Ἡλίου.

53. Βραχμὰν δέ τις, λαμπρὸς τὸ σῶμα, ὡς Ἥλιος, μεγαλόσωμος, μελανείμων, μεγαλόφθαλμος, σύμμετρος τοῖς μέ-
54 λεσι τοῦ σώματος, σεβάσμιος, ξανθογένειος, σοβαρῶς περιπατῶν, πλοκάμους ἔχων, μακρόχειρ, καρδιόθελκτος, παρέστη τούτοις, τῷ Κρισνᾷ καὶ τῷ Ἀρζούνᾳ, τοῖς ὀλέτορσι πάντων τῶν ἐχθρῶν.

55. Οὗτος οὖν ὁ μελανείμων καὶ ξανθόχρους εἰς ἀπορίαν αὐτοὺς ἤγαγε, λέγοντας ἐν ἑαυτοῖς· « Ἆρα οὗτος τὸ χρυσοῦν » ἐστιν ὄρος, ἡ Μερόη, ἔχον νέφος ὡς περίζωμα; ἢ ὁ » Ἥλιος, ἔχων ἐν ἀγκάλαις τὴν θυγατέρα αὐτοῦ Ἰαμου- » νάν; ἢ τὸ πῦρ, ἔχον καπνόν; »

56. Ἀφέντες δὲ ἐκ χαρᾶς τὸ συλλαλεῖν, ἀνέστησαν παραυτίκα, νομίσαντες ἑαυτοὺς μακαρίους, καὶ κλίναντες τὰς κεφαλὰς, ἥψαντο τοῦ ζεύγους τῶν λωτίων ποδῶν αὐτοῦ, ὡς βομβύλιοι.

57. Ἀναστήσας δὲ τῇ χειρὶ ἱλαρῶς αὐτοὺς τοὺς ἥρωας ὁ Βραχμὰν οὗτος, κεχρισμένους τὸ μέτωπον τῇ κόνιϊ τῶν ποδῶν αὐτοῦ, εἶπεν, ἀνοίξας τὸ στόμα, οὗ τῶν ὀδόντων ἡ λευκότης, προσβάλλουσα εἰς τὸ μέλαν ἱμάτιον, ἀπεδείκνυεν ὡς ἡ Πραϊάγα ἐστὶ μετὰ τῆς Γαγγᾶς καὶ Ἰαμουνᾶς [1].

58. « Πάλαι βασιλεύς τις ἦν Σβετακὴς τοὔνομα, ὅμοιος τῷ » Σίβᾳ κατὰ τὸ θερμουργὸν, οὗ ἐκ τῶν συνεχῶς γινομέ- » νων θυσιῶν ἀπέκαμον οἱ θυηπόλοι [2].

---

1. Πραϊάγα, ἡ νῦν Πράγα, ἱερὰ πόλις, ἔνθα συμμίγνυνται ἡ Γαγγὰ καὶ ἡ Ἰαμουνὰ, οἱ ποταμοί· καὶ ἡ μὲν Πραϊάγα ἀναφέρεται εἰς τὸ ἱερὸν καὶ σεβάσμιον, ἡ δὲ Ἰαμουνὰ εἰς τὸ μέλαν τοῦ φορέματος, ἡ δὲ Γαγγὰ εἰς τὸ λαμπρὸν καὶ λευκόν.

2. Δηλ. ἐβαρύνθησαν θυσίας ἐκτελοῦντες.

59, « Ποιῶν δὲ σκληραγωγίαν μεγάλην [1] οὗτος ὁ βασιλεὺς, » προσταχθεὶς ὑπὸ τοῦ Σίβα ἡσθέντος, ἔσπενδε τῷ πυρὶ » διὰ βουτύρου δώδεκα ἔτη [2].

60. « Χαρεὶς δ' ἐπ' αὐτῷ τῷ βασιλεῖ ὁ Σίβας, ὀφθεὶς πάλιν » αὐτῷ, ἔφη ἡδέως· « Ἔστω σοι ἐκτέλεσις θυσίας διὰ τοῦ « μεγάλου ὁσίου Δουρβάσα, ὅς ἐστιν ἐμὴ ἀπόῤῥοια. »

61. « Ἀκούσας δὲ τοῦ λόγου τοῦ Σίβα ὁ Βασιλεὺς, ἐποίει θυ- » σίας ἑκατὸν ἔτη, τυχὼν Βραχμάνων, ἐλθόντων μετὰ τοῦ » ὁσίου Δουρβάσα, τοῦ ὁμοίου τῷ Σίβᾳ.

62. « Βαρυνθὲν δὲ τὸ πῦρ ἐκ τῶν γεγενημένων ὑπὸ τοῦ βασι- » λέως Σβετακῆ πολλῶν θυσιῶν ἐν ἑκατὸν ἔτεσι, καὶ ἐκ » τῶν χοῶν τοῦ βουτύρου ἐν δώδεκα ἔτεσιν, ἐγένετο ὀλί- » γης δυνάμεως [3].

63. « Μετὰ δὲ πολὺ, λαβὸν τὸ πῦρ συμβουλὴν παρὰ τοῦ » Βραχμᾶ, εἰς ἀπαλλαγὴν τῆς ἀτονίας καὶ δυσπεψίας, καί » τοι ἑπτάκις ἐξήφθη ἐν τούτῳ τῷ ἄλσει Κανδάβα, ἐσβέ- » σθη ὅμως ὑπὸ τῶν φυλαττόντων ἀνθρώπων.

64. « Πιὸν γὰρ τὸ πῦρ τὸ στέαρ πάντων τῶν ζώων τῶν ἐν » τούτῳ τῷ ἄλσει, ἀπολήψεται [4] τὴν ἑαυτοῦ δύναμιν· » φυλάττει δ' ἀεὶ τοῦτο τὸ ἄλσος εἷς μέγας δράκων, Τα- » ξακᾶς τοὔνομα, ᾧ εὐμενής ἐστιν ὁ Ἰνδρας.

65. « Ἐγώ εἰμι ἐκεῖνο τὸ πῦρ· εὑρὼν δ' ὑμᾶς ἀμφοτέρους ἐμοὶ » συνερίθους, ὅτι εὔφημοί ἐστε, ὡς ἡ λευκότης τῆς Σελή-

---

1. Μὴ εὑρίσκων Βραχμάνας εἰς τὸ ποιῆσαι θυσίας, ἐποίει σκληραγω- γίαν.

2. Μὴ εὑρίσκων θυηπόλους Βραχμᾶνας, ἔσπενδε τῷ πυρὶ διὰ βου- τύρου.

3. Καθὼς ὁ τρώγων ὑπὲρ τὸ μέτρον ἀτονεῖ.

4. Ὁ ἀὴρ λέγεται φίλος τοῦ πυρὸς, καθὸ ὑπὸ τοῦ ἀέρος ἐξάπτεται μᾶλλον τὸ πῦρ.

» νης καὶ τσῦ χηνὸς, κατακαύσω ἐν ἀκαρεῖ τοῦτο τὸ δά-
» σος, κατὰ τὸν λόγον τοῦ Βραχμᾶ.

66. « Οἱ ἐν τούτῳ τῷ μεγάλῳ δάσει ἄνθρωποι καὶ δαίμονες
» καὶ ὄφεις διατήρησιν ἀεὶ ποιοῦσιν· ὁ δὲ Ἴνδρας, ὁ φίλος
» τοῦ Ταξακᾶ, δράκοντος, βρέχει ἐν καιρῷ τῆς πυρκαϊᾶς.

67. « Ἔχων τοίνυν τὴν μεγάλην βοήθειαν ὑμῶν ἀμφοτέρων,
» κατακαύσω παντελῶς τοῦτο τὸ δάσος· ὁ γὰρ φίλος μου,
» ὁ ἀὴρ, καί περ λίαν δυνατὸς ὢν, ἀμβλὺς ἐγένετο ἐν ταύ-
» τῃ τῇ πράξει. »

68. Ἀκούσας τοῦ λόγου τούτου ὁ περίφρων Ἀρζούνας, εἶπεν
ἀνοίξας τὸ στόμα, οὗ ἡ λευκότης τῶν ὀδόντων, προσβάλ-
λουσα εἰς τὸ μέλαν στῆθος αὐτοῦ, ἐφαίνετο ὥσπερ εἰ ἐποίει
κύματα τῆς ἐν οὐρανῷ Γαγγᾶς·

69. « Τὸ μὲν τόξον ἐμοῦ, τοῦ δυνατοῦ ἐν βραχίοσιν, ἀδύνατόν
» ἐστιν· οἱ δὲ ἁρμάτιοι ἵπποι βραδύποδες· τὸ δ' ἅρμα
» τοῦτο οὐχ ὑποφέρει δρόμον ταχύν· τὰ δὲ βέλη ταῦτα
» ὀλίγα εἰσὶν ἐν τοιούτῳ μεγάλῳ ἔργῳ πολέμου.

70. « Ἀλλὰ καὶ τούτῳ τῷ Κρισνᾷ μέγα ὅπλον οὐκ ἔστι, δυ-
» νατὸν φέρειν τοὺς δυνατοὺς αὐτοῦ βραχίονας· ποίησον
» οὖν τὰ τελεσιουργικὰ ὄργανα, ἵνα γένηται τοῦτο τὸ ἀν-
» δραγάθημα. »

71. Ἀκοῦσαν τούτων τὸ πῦρ, ἔδωκε τῷ Ἀρζούνᾳ ἅρμα, ὃ
ἔλαβε παρὰ τοῦ Βαρούνα, ὁ δὲ Βαρούνας παρὰ τῆς Σελή-
νης, ἔχον ἵππους λευκοὺς καὶ σημαίαν, ἔχουσαν τὸν πί-
θηκα, καὶ τόξον ἓν, καὶ φαρέτρας δύω ἀκενώτους [1].

72. Τῷ δὲ Κρισνᾷ ἐδόθη παρὰ τοῦ πυρὸς δίσκος πύρινος,
καταπληκτικὸς τοῖς ἐχθροῖς, καὶ κορύνη, Καουμοδακὴ
τοὔνομα, εἰς φθορὰν οὐχὶ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν
καὶ δαιμόνων.

---

1. Ἀμφιδέξιος ἦν ὁ Ἀρζούνας, διὰ τοῦτο ἔδωκεν αὐτῷ δύω φαρέτρας.

73. Ὁ μὲν οὖν ἥρως Ἀρζούνας, προσκυνήσας τὸ πῦρ, λαβὼν ἐν χειρὶ τὸ τόξον, θέμενος καὶ τὴν δερματίνην δακτυλήθραν, ἀνέβη εὐθέως ἐπὶ τοῦ ἅρματος, ὁμοίως δὲ καὶ ὁ Κρισνᾶς· τὸ δὲ πῦρ γενόμενον ἀνύποιστον διὰ τῆς βοηθείας τούτων, ἐξαφθὲν ἐν ἐκείνῳ τῷ δάσει, φλόγας ἐξέπεμπε, καθὼς ἐν τῇ συντελείᾳ.

Τέλος τοῦ Ἑνδεκάτου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΔΩΔΕΚΑΤΟΝ,

ὃ διαλαμβάνει περὶ τῆς πυρπολήσεως τοῦ δάσους Καυδάβα.

1. Ἔστω ἀεὶ εἰς χαρὰν ὁ Βεάσας, ὁ ὢν ἡ μόνη ναῦς, εἰς διαπόρθμευσιν τοῦ ὡς πελάγους τούτου κόσμου, οὗ ἐκ τοῦ στόματος ἱστίον ἀμόλυντον ἀνεπετάσθη, ὅ ἐστιν ἡ Μαχαβαράτα [1].
2. Οὕτως οὖν τοῦτο τὸ πῦρ, γνώμην ποιῆσαν κατακαῦσαι τὸ δάσος, εἶχε κόμην διαλελυμένην καὶ διακεχυμένην [2], τουτέστι μέγαν καπνὸν, καὶ θυμῷ κατεχόμενον ἐπὶ τῷ

1. Καθὼς ἐκ τῆς νηὸς ἱστίον ἀναπετάννυται.
2. Καθὼς ὅτε ποιεῖ τις διαστικῶς καὶ θυμωδῶς διαλέλυται ἡ κόμη καὶ διακέχυται.

μὴ κατακαῦσαι τὸ δάσος διὰ πολλοῦ χρόνου, ἐφαίνετο ἐρυθρόν.

3. Λίαν δ' ἀφόρητον ἐγένετο τὸ πῦρ, ὥςπερ τρῶγον τὰς ἀκτίνας τοῦ Ἡλίου ταῖς πυρίναις γλώσσαις, αἷς ἐξέπεμπε, καὶ ὥςπερ καταγελῶν τῇ καυστικῇ δυνάμει τοῦ ἐν τῇ συντελείᾳ πυρός [1].

4. Φλογίζον δὲ τὸ πῦρ, ἔκοπτε τὰς κεφαλὰς τῶν δένδρων, τῶν τραφέντων ὑπὸ τοῦ ἐχθροῦ ὕδατος, τῶν νεφῶν [2], καὶ ἔῤῥιπτεν αὐτὰς εἰς τὸν αἰθέρα, ὅπερ συμπεραίνεται ἐκ τῶν ἀνισταμένων σωμάτων τοῦ καπνοῦ.

5. Τότε τὸ πῦρ φοβερὰν καταβοὴν ἐποίει τοῖς ἐν δάσει φοβουμένοις ζώοις, ὅπερ συμπεραίνεται ἐκ τοῦ μεγάλου ἤχου, τοῦ γινομένου ἐκ τῶν ῥηγνυμένων καλάμων ἐν τῷ καίεσθαι.

6. Σύμμικτος δὲ βοὴ, πρόξενος φόβου παντὶ τῷ κόσμῳ, ἐγένετο τότε ἐν τοῖς τὸ δάσος οἰκοῦσι, περικαιομένοις ἐκ τῆς συμπλοκῆς τοῦ πυρὸς, τοῦ διήκοντος λίαν ὑψοῦ.

7. Τὸ πῦρ ἐκεῖνο ἔκαιε τὰ ἱμάτια καὶ τὰς τρίχας τῆς κεφαλῆς, καὶ ἐξέσπα τὰ ὄμματα, καὶ τελευταῖον κατέκαιε πάντα τὰ μέλη τῶν ἐν τῷ δάσει.

8. Τὸ δὲ ἅρμα τοῦ Ἀρζούνα, τὸ ἔχον ἐπὶ τῆς σημαίας χρυσοειδῆ πίθηκα, περιφερόμενον ταχέως εἰς πᾶν μέρος τοῦ δάσους, ἦν ὡς τεῖχος, κωλύον τοὺς ἀνθρώπους ἀποφυγεῖν τὸν κίνδυνον τῆς πυρκαϊᾶς.

9. Καὶ αἱ μὲν κεκομμέναι πτέρυγες τῶν ὀρνέων, τῶν ἀνιπταμένων ἐκ τοῦ δάσους, ἀνήρχοντο εἰς τὸν οὐρανὸν ἐκ τοῦ σφοδροῦ ἀέρος, τοῦ ἐκ τῶν πολλῶν βελῶν τοῦ Ἀρζούνα, τὰ δὲ σώματα αὐτῶν κατέπιπτον εἰς γῆν.

---

1. Δεινότερον δηλ. ἦν καὶ τοῦ ἐν τῇ συντελείᾳ πυρός.
2. Τὸ γὰρ ὕδωρ πολέμιόν ἐστι τῷ πυρί.

10. Ὕδωρ δ' ἔφερον πανταχόθεν μετὰ θυμοῦ ἕκαστος τῶν ἐν τῷ δάσει ἐν ὑδρίαις, ὡς ἠδύναντο, εἰς τὸ ἀποσβέσαι τὸ πῦρ, οἵ τε Ἰάξαι καὶ οἱ Ῥαξάσαι, καὶ οἱ ἱπποκέφαλοι, καὶ οἱ ἄνθρωποι.

11. Ἀλλ' οὐδὲ ὀλίγον μέρος ὕδατος ἔπιπτεν εἰς τὸ πῦρ, ῥιπτομένου ὑπὸ τῶν ἀνθρώπων εἰς ἀπόσβεσιν, ἐπειδὴ ἐξηραίνετο ἐκ τῆς ὑπερβολικῆς πυρκαϊᾶς, πρὶν τοῦ ἐφικέσθαι.

12. Τὸ δὲ πολὺ ὕδωρ, τὸ χεόμενον ὑπ' ἀθρόων τῶν ἐν τῷ δάσει ἀνθρώπων εἰς τὸ καῖον πῦρ, τὸ καταβιβρῶσκον πολλὰ δένδρα, ἐγίνετο ὡς πόσις ἐν βρώσει.

13. Ὃ δ' ὕδωρ ἔφερον οἱ ἄνθρωποι ἐν ἀγγείοις εἰς τὸ ἀποσβέσαι τὴν πυρκαϊὰν, τοῦτο τότε ἔχεον οὐκ ἐπὶ τὰ κατακαιόμενα πράγματα, ἀλλ' ἐπὶ τὰ ἑαυτῶν σώματα, καὶ αὐτοὶ κατακαιόμενοι.

14. Τὰς μὲν χεῖρας τῶν ἐνασχολουμένων τῇ ἀποσβέσει τοῦ πυρὸς, τοὺς δὲ πόδας τῶν φευγόντων ἀπέκοπτον, ὁ μὲν Ἀρζούνας συνεχέσι βέλεσιν, ὁ δὲ Κρισνᾶς τοῖς ἀλλεπαλλήλοις δίσκοις.

15. Αἱ μὲν ἔλαφοι ἐπήδων ταχυτῆτι εἰς τὸν αἰθέρα, λέξουσαί πως ταῦτα τῷ ἀέρι· « Τὸ πῦρ, ὁ φίλος σου, κατα- » καίει ἡμᾶς σήμερον· διαφύλαξον οὖν σὺ ἡμᾶς, ὁ ἔχων » ἔλαφον, ἔλκουσαν τὸ ἅρμα σου. »

16. Οἱ δὲ ἵπποι χρεμετίζοντες μεγάλῃ χαρᾷ, ἔπιπτον εἰς τὸ καῖον πῦρ αὐτοθελήτως· τοῦ γὰρ θανάτου ὄντος ἀφεύκτου, οἱ μεγαλόφρονες οὐκ ἀφιᾶσιν ἐκ φόβου τὴν μεγαλοφροσύνην !

17. Οἱ δὲ χοῖροι, τοῦ πυρὸς καταπυρπολοῦντος τὸ δάσος, λίαν φοβούμενοι, ἔσκαπτον τὴν γῆν τοῖς ὀδοῦσιν, ὡσπερεὶ ὤρυσσον φρέαρ, ἄφρονες !

18. Οἱ δὲ λέοντες, ἀφέντες τὴν ἔχθραν ἐκ φόβου τοῦ πυρὸς, ἦλθον πρὸς τοὺς ἐλέφαντας, ὡς εἰς καταφύγιον, οἳ καὶ

ἀπωλέσθησαν ὑπὸ τῶν ἐλεφάντων, πεσόντων· τί γὰρ ὄφελος ἔσται τὸ ἀνοίκειον τοῖς ἀφέσι τὸ μέγα φρόνημα;

19. Ἐπειδὴ δὲ ἐξερχόμενοι οἱ ὄφεις ἐκ τῶν ὀπῶν, εἶχον λίθους ἐρυθροὺς, ὡς σπινθῆρας, καὶ σῶμα μέλαν, ὡς καπνὸν, διὰ τοῦτο ἐφαίνετο, ὅτι καὶ ὁ κασαχθόνιος κόσμος κατακαίεται ἐξ ἐκείνου τοῦ πυρὸς τοῦ δάσους.

20. Τὸ πῦρ ἠγλαΐζετο ἐν τῷ δάσει τότε γλώσσῃ πως ἐρυθρᾷ, φαγὸν Ναγαβαλὴν [1] καὶ Πούγαν, καὶ ἄσβεστον, γεγενημένην ἐκ τῶν κατακαιομένων λίθων, καὶ μεμιγμένων τῷ ὕδατι τοῦ ποταμοῦ.

21. Τὸ πῦρ καταφαγὸν κατὰ κόρον πᾶν τὸ κυανόχρουν δάσος, ἐξηρεύγετο ἐρυγμὸν κατὰ τὸ βρῶμα, τουτέστι μέλανα καπνόν.

22. Καὶ ὁ ἐπὶ τῆς σημαίας τοῦ Ἀρζούνα πίθηκος, ὁ κατακαύσας τὴν πόλιν τοῦ Ῥαβάνα, βλέπων τοῦτο τὸ πῦρ, τὸ κατακαῖον τοὺς τρεῖς κόσμους, ὑπερεθαύμασε.

23. Τὸ πῦρ, τὸ ὂν ἐντὸς τῶν δαιμόνων ἐκ φύσεως, ἐφαίνετο ὥςπερ εἰ ἐποίει ὑποδοχὴν τοῦ ἔξωθεν ἐρχομένου πυρὸς τοῦ δάσους, διὰ τῆς ἐξερχομένης φλογὸς ἐκ τοῦ στόματος αὐτῶν τῶν δαιμόνων, καιομένων καὶ οἰμωζόντων.

24. Αἱ θήλειαι ἔλαφοι, πίπτουσαι ἐπὶ τῶν νεβρῶν, διετήρουν αὐτοὺς ἐκ τῆς φλογὸς, εἰς οὐδὲν λογιζόμεναι τὸ πάθος αὐτῶν· οἱ δὲ ἄῤῥενες ἔλαφοι ἔπιπτον ἐπὶ τῶν θηλειῶν, μὴ φέροντες τὴν στέρησιν αὐτῶν.

25. Οἱ ἄνδρες καὶ αἱ γυναῖκες, οἱ πρὸ πολλοῦ διαζευχθέντες διαφορᾷ τινι καὶ ἔριδι, περιήρχοντο τὸ δάσος οἰμώζοντες·

---

1. Ναγαβαλὴ, ὄνομα ἀναδενδράδος καὶ τοῦ φύλλου αὐτῆς, ὅπερ ἐστὶν ὡς κισσός. Τοῦτο τὸ φύλλον μιγνύντες Πούγα, ἥ ἐστιν ὡς βάλανος, καὶ ἀσβέστῳ, μασσῶνται ἐν Ἰνδίᾳ ἄνδρες τε καὶ γυναῖκες· ὁ δὲ χυμὸς ἐρυθρός ἐστι, καὶ διὰ τοῦτο τά τε χείλη καὶ ἡ γλῶσσα ἐρυθρὰ γίνεται.

ἐν δὲ τῇ καθ' ὁδὸν συντυχίᾳ ἠγκαλίζοντο ἀλλήλους ἡδέως, ἐπιλαθόμενοι τῶν δεινῶν.

26. Οἱ ἄνδρες καὶ αἱ γυναῖκες, ἐν προὔπτῳ κινδύνῳ ὄντες, τοιαύτην ἡδονὴν τῆς περιπτύξεως ἐλάμβανον, ὥστε οὐκ ἐγίνωσκον, ὅτι ἡ ζωὴ αὐτῶν ἀπολεσθήσεται ὅσον οὔπω ἐκ τοῦ πυρός.

27. Αἱ γυναῖκες τοῦ δάσους, ἔχουσαι τὰ τέκνα αὐτῶν ἐν ἀγκάλαις, ἔπιπτον εἰς τοὺς ποταμοὺς, νομίζουσαι κάλλιον ἐν ὕδατι θανεῖν, ψυχρῷ ὄντι, ἢ ἐν πυρὶ καίοντι.

28. Τότε οἱ ἐν τῷ δάσει ταῦτα ἔφασκον πρὸς ἀλλήλους· «Ὦ μῆτερ! ὦ παῖ! ὦ γύναι! ὦ ἄνερ! ὦ ἀδελφέ! ὦ ἀδελ» φή! τὸ πῦρ κατακαύσει ἡμᾶς!

29. Ὁ θροῦς, ὁ γινόμενος ἐκ τῶν μεγάλων ὀρέων, ἀποῤῥηγνυμένων, συμμεμιγμένος τῇ φωνῇ τῶν ὄφεων, τῶν ἐλεφάντων, τῶν λεόντων καὶ τῶν λοιπῶν ζώων, καιομένων, φόβον τῆς ἀπωλείας τοῦ κόσμου παρεῖχε τοῖς θεοῖς.

30. Ἐν νῷ δὲ λαβὼν ὁ Ἴνδρας διατηρῆσαι τὸ δάσος Κανδάβαν, παρασκευασάμενος ἐν ἀκαρεῖ νέφη πολλὰ, ἔβρεχε ποταμηδὸν ῥαγδαίαν βροχὴν, καθὼς ὁ υἱὸς αὐτοῦ Ἀρζούνας βέλη.

31. Ὢ τῆς τύχης! τοῦτο τὸ ὕδωρ τῶν νεφῶν, καιόμενον ὑπὸ τῶν φλογῶν τοῦ ὑπερκαίοντος πυρὸς ἐν δάσει, ἔτυχε καὶ ἐν τῷ αἰθέρι τοῦ αὐτοῦ πάθους, ὃ πάσχει ὑπὸ τοῦ ἐν θαλάσσῃ πυρός.

32. Τὸ μὲν οὖν πλῆθος τῶν βελῶν τοῦ Ἀρζούνα διατείχισμα ἐγίνετο ἐν τῷ αἰθέρι, ἐμποδίζον τὴν βροχήν· τὸ δὲ πῦρ ἐξήπτετο μᾶλλον ἐκ τοῦ ἀέρος, τοῦ γινομένου ἐκ τῆς μεγάλης ὁρμῆς τῶν ῥιπτομένων βελῶν.

33. Τοῦ δάσους καιομένου, ὁ μὲν Ταξάκας ὄφις ἦν ἐν τῇ γῇ τοῦ Κουροῦ· ὁ δ' υἱὸς αὐτοῦ Ἀσβασένας εἰσέδυ πάλιν διὰ τοῦ στόματος εἰς τὴν κοιλίαν τῆς ἑαυτοῦ μητρὸς ἐκ φόβου.

34. Ἡ δὲ γυνὴ τοῦ ὄφεως Ταξάκα, εἰς διατήρησιν τοῦ υἱοῦ, ἐπήδησεν εἰς τὸν αἰθέρα ἐκ τοῦ πυρὸς τοῦ δάσους· ὁ δ' Ἀρζούνας ἔκοψε καὶ τὴν οὐρὰν τοῦ ὄφεως, τὴν οὖσαν ἔξω τοῦ στόματος τῆς μητρὸς ἐν τῷ καταποθῆναι, καὶ τὴν κεφαλὴν αὐτῆς.

35. Τότε ὁ Ἴνδρας, διαταράξας τὸν Ἀρζούναν ἀνέμῳ σφοδρῷ, ἐξήγαγεν ἐκ τῆς κοιλίας τῆς ἀκεφάλου μητρὸς τὸν υἱὸν Ἀσβασέναν, ἕνεκα τῆς πρὸς τὸν Ταξάκαν φιλίας.

36. Θυμωθεὶς δ' ὁ Ἀρζούνας ἐπὶ τῇ ἀπάτῃ, ἔτεμεν εἰς τρία τὸν θῆλυν ὄφιν ἐν τῷ αἰθέρι τοῖς βέλεσι. Τηνικαῦτα τὸ πῦρ, καὶ ὁ Κρισνᾶς, καὶ ὁ Ἀρζούνας, κατηράσαντο τῷ Ἀσβασένᾳ ὄφει, λέγοντες· «Ἔσο ἀνώνυμος καὶ ἄτιμος.»

37. Θυμωθεὶς μὲν οὖν ὁ Ἀρζούνας, ὡς ὁ Ἰάμας, διότι ἀπάτῃ ἐσώθη ὁ Ἀσβασένας, ἐπλήρωσε τὸν οὐρανὸν φοβερῶν βελῶν, καταθλίβων τοὺς θεούς.

38. Ὁ δ' Ἴνδρας θυμῷ μεγάλῳ ἐρυθρὰ ἔσχε τὰ ἄπειρα ὄμματα τοῦ ἑαυτοῦ σώματος κατὰ τοῦ Ἀρζούνα, ὥσπερ εἰ εἶχε σπινθῆρας τοῦ πυρὸς, τοῦ εἰς οὐρανὸν διήκοντος.

39. Θυμωθεὶς τοίνυν ὁ Ἴνδρας κατὰ τοῦ λεοντοκαρδίου Ἀρζούνα, ἔῤῥιψε κατ' αὐτοῦ ὁρμῇ τὸ νεφοβόλον ἑαυτοῦ ὅπλον, ὃ περιεκάλυψε τὸν οὐρανὸν νέφεσι.

40. Φοβερὸς δ' ἐγένετο τότε ὁ οὐρανὸς, ὡς ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, ἐκ τῶν πυκνῶν νεφῶν, σὺν σμερδαλέοις κεραυνοῖς καὶ ἐρισμαράγοις ἀστραπαῖς, καὶ βαρυβρόμοις βρονταῖς, ἃ κατέπληττον τοὺς ἐλέφαντας τῶν ὀκτὼ μερῶν τοῦ κόσμου.

41. Τὰ δὲ πυκνὰ νέφη, ἀποκρύψαντα τὸν Ἥλιον, σκότος βαθὺ ἐποίησαν, ἐν ᾧ τὸ πῦρ τοῦ δάσους, τὸ λάμπον ἐκ τῶν φλογῶν εἰς τοὺς τρεῖς κόσμους, ἐφαίνετο ὡς πυγολαμπίς.

42. Αἱ μὲν φλόγες τοῦ πυρὸς ἔπιπτον, ὥσπερ ὠθούμεναι τοῖς πολλοῖς ὕδασι τῶν πολλῶν νεφῶν· τὸ δὲ πῦρ, ὀλιγό-

λαμπρον γινόμενον, ἐστέναζεν ἐκ λύπης, τουτέστιν ἔσιζεν [1].

43. Ἰδὼν δ' ὁ Ἀρζούνας τὸ πῦρ νικώμενον, ὅπερ ἦν πραγματικῶς ἡ αὐτοῦ δύναμις, ἔῤῥιψε τὸ ἀεροβόλον ὅπλον, ὁ ὢν ὅπλων εἰδήμων, καὶ ὅμοιος κατὰ τὴν δύναμιν τῷ Βαλαδέβᾳ.

44. Σφοδρὸς δὲ τότε ἄνεμος ἀνέστη, πλεονάσας τετραχῶς, τῇ τε φιλίᾳ τῇ πρὸς τὸ πῦρ, καὶ τῷ θυμῷ κατὰ τῶν ἐχθρῶν θεῶν, διότι ἔχουσι τὸ αὐτὸ ὄνομα Μαρούτ [2], καὶ τῇ ἐπῳδῇ τοῦ Ἀρζούνα, καὶ τῇ ἑαυτοῦ μεγάλῃ δυνάμει.

45. Τὸ δὲ μέγα ὄρος, ἡ Μερόη, τὸ κατασκήνωμα τοῦ Ἴνδρα, ἐκλονήθη ὑπὸ τοῦ Ἀέρος, ταῦτα διαλογιζομένου· « Φεῦ! » ὑπὸ τούτου τοῦ Ἴνδρα ὁ Ἀρζούνας, ὁ νεώτερος ἀδελφὸς » τοῦ υἱοῦ μου Βήμα, πολεμεῖται ἐχθρωδῶς! »

46. Διασκεδάσας δ' εὐθέως τῇ δε κἀκεῖσε ὁ ἀὴρ τὰ ὑδατώδη νέφη τοῦ Ἴνδρα, ἐξῆψεν ἐπὶ πλέον καὶ τὸ πῦρ, τὸ κατακαῖον τὰ κατὰ τὸ δάσος, καὶ τὸ θερμουργὸν τοῦ Ἀρζούνα.

47. Διασκεδασθέντων δὲ τῶν ἐχθρῶν νεφῶν ὑπὸ τοῦ Ἀέρος, αἱ ἀνιστάμεναι φλόγες τοῦ πυρὸς διῆκον ἄχρι τοῦ οὐρανοῦ, καὶ κατεγέλων καὶ αὐτοῦ τοῦ Ἡλίου.

48. Ὅτε μὲν οὖν τὰ πυκνὰ νέφη ἐν οὐρανῷ διεσκορπίσθησαν ὑπὸ τοῦ νικητοῦ Ἀρζούνα, τότε ὁ Ἴνδρας θυμωθεὶς, ἥψατο τοῦ κεραυνοῦ [3], ἐπὶ τοῦ λευκοῦ ἀναβὰς ἐλέφαντος.

49. Τοῦ δ' Ἴνδρα ὀργιζομένου κατὰ τοῦ ἐπιφυσήσαντος ἀνέμου, καὶ πάλλοντος τὸν φρικτὸν κεραυνὸν, ἔλαβον καὶ οἱ θεοὶ ἕκαστος τὰ ἴδια ὅπλα, εἰς πόλεμον κατὰ τοῦ Ἀρζούνα.

50. Καὶ ὁ μὲν Ἰάμας ἔλαβε τὴν ῥάβδον [4], τὴν γενομένην

---

1. Ἦχος γινόμενος ὅτε ῥίπτεται ὕδωρ εἰς τὸ πῦρ.

2. Μαρούτ, ὄνομα ἀέρος καὶ θεοῦ.

3. Καθὸ οὗτος ἔῤῥιψε τὸ ἀεροβόλον ὅπλον.

4. Τὸ ὅπλον τοῦ Ἰάμα, ὅς ἐστιν ὁ Ἅδης καὶ ὁ θάνατος, μέλαινά ἐστι ῥάβδος, σύμβολον τῆς παιδείας.

μᾶλον μέλαιναν ἐκ τοῦ προσπελάζοντος πολλοῦ καπνοῦ τῶν θερμῶν ἀναστεναγμῶν τῶν ἀνθρώπων, τῶν θλιβομένων τῷ τε πυρὶ καὶ τῷ θανάτῳ τῶν οἰκείων.

51. Ὁ δὲ Κουβέρας, ὁ φίλος τοῦ Σίβα, ἔλαβε τὸ ἀκαταμάχητον ὅπλον ἑαυτοῦ, τὴν χρυσῆν κορύνην, ὥσπερ εἰ ἐποίησεν αὐτὴν ὁ Σίβας ἐκ τοῦ πυρὸς τοῦ ἑαυτοῦ ὀφθαλμοῦ, τοῦ ὀλέτορος τοῦ κόσμου, καὶ ἔδωκεν αὐτὴν αὐτῷ.

52. Ὁ δὲ Βαρούνας, ὁ λαμπρὸς ὡς ὁ Ἥλιος, ἔλαβε τότε εὐθέως τὸ ὅπλον ἑαυτοῦ, τὸν βρόχον, οὗ τῷ φόβῳ οἱ Τιτᾶνες οὐδαμῶς θάτερον τὸν πόδα τιθέασι πρὸ θατέρου [1], ὡς οἱ χῆνες, βλέποντες τὸν βρόχον.

53. Οὕτως ἡ σύνοδος τῶν θεῶν μετὰ τοῦ Ἴνδρα, καθωπλισμένη καὶ ἱκανὴ εἰς ἀπόσβεσιν τοῦ ἐν δάσει πυρὸς, ὥρμησεν εἰς πόλεμον κατὰ τοῦ Ἀρζούνα.

54. Ἐξώρμησαν δ' ἐκ τοῦ δάσους θυμῷ, λίαν ὑπερηφανευόμενοι, ἀναπνεύσαντες ὀλίγον ἐκ τῆς βροχῆς, οἵ τε Ἰάξαι, καὶ οἱ Ῥαξάσαι, καὶ οἱ ἀετοὶ, καὶ οἱ δράκοντες, καὶ ἄλλα τῶν ζώων, εἰς μάχην κατὰ τοῦ Ἀρζούνα.

55. Οἱ μὲν οὖν Ἰάξαι ἤρχοντο εἰς πόλεμον κατὰ τοῦ Ἀρζούνα, ἔχοντες ἐν χερσὶν ῥομφαίας, φοβεροὶ ὄντες καὶ ἐρυθροὶ θυμῷ μεγάλῳ, ὥσπερ φλόγες πυρὸς, μεμιγμένοι καπνῷ [2].

56. Οἱ δὲ Ῥαξάσαι μεγάλην τόλμην εἶχον, φοβεροὶ ὄντες πολυειδέσιν ὅπλοις, ἀλαλάζοντες, ἄγριόν τι βλέποντες, καὶ φλόγας ἐκ τοῦ στόματος ἐκπέμποντες.

57. Οἱ δ' Ἀετοὶ, δεινὰ ἔχοντες καὶ ῥάμφη, καὶ ὄνυχας, τοσοῦτον ἄνεμον ἐν αἰθέρι ἐποίησαν ταῖς πτέρυξιν, ὥστε

---

1. Δηλ. οὐ προβάλλουσιν, οὐ προβαίνουσι.

2. Τὸ μὲν ἐρυθρὸν τοῦ προσώπου, ὡς τὸ πῦρ, ἡ δὲ ῥομφαία, μέλαινα ἔχουσα σίδηρον, ὡς καπνός.

τὸ πῦρ ἀποσβεσθῆναι εὐθέως, δίκην φωτὸς λύχνου.

58. Οἱ δ' ὄφεις εἵρποντο εἰς πόλεμον, περιφερόμενοι ταχέως, ὡς μέλαιναι χεῖρες τοῦ βασιλέως θανάτου, ἔχοντες δάκτυλα μὲν τὰς ἀνισταμένας κεφαλὰς [1], ὄνυχας δὲ τοὺς πολυτίμους λίθους.

59. Ὁ δὲ φίλοπλος Ἀρζούνας πόλεμον εὐθὺς συνεκρότησε κατὰ τῶν πολεμικῶν τῶν τριῶν κόσμων, κατὰ τῶν ἐν οὐρανῷ θεῶν, θυμουμένων, καὶ κατὰ τῶν ἔμπροσθεν ὄντων Τιτάνων, δαιμόνων, ἀνθρώπων καὶ ὄφεων.

60. Βροχὴν δ' ἐποίει βελῶν ἐν τῷ ἅμα, ὡς τὰ νέφη τὰ ἐν τῇ συντελείᾳ, εἰς πᾶν μέρος κατὰ τῶν πολεμικῶν τῶν τριῶν κόσμων, φοβερῶν ὄντων ἐκ θυμοῦ, καὶ ταχέων εἰς χρῆσιν τῶν οἰκείων ὅπλων.

61. Καί τις δαίμων ὥρμησε κατὰ τοῦ Ἀρζούνα, ἔχων ἐν χειρὶ ὄρος μετὰ δένδρων ἡμμένων, ἀνασπάσας αὐτό· πληγεὶς δὲ τὴν χεῖρα τοῖς βέλεσι τοῦ Ἀρζούνα, ἔπεσε καὶ αὐτὸς καὶ τὸ ὄρος, καὶ κατεκάη.

62. Καὶ ὁ μὲν Ἰάμας ἔτρεμεν ἐν πολέμῳ ἐκ τῶν βελῶν τοῦ Ἀρζούνα· πεσοῦσα δ' ἐκ τῆς χειρὸς αὐτοῦ ἡ ῥάβδος, ἐποίησε γραμμὴν ἐπὶ τῆς γῆς [2], τοῦτό πως δηλοῦσαν· « Οὗτος ὁ Ἀρζούνας μόνος ἥρως ἐστίν. »

63. Οἱ δ' ὄφεις, οἳ ἦσαν ὡς βρόχοι θανάτου, καὶ δίγλωσσοι, ὡς ψαλίδια, εἰς ψαλισμὸν τῆς ζωῆς τοῦ Ἀρζούνα, κατετέμνοντο ἐν πολέμῳ τοῖς βέλεσι τοῦ Ἀρζούνα.

64. Ὁ δὲ Κουβέρας δειλίαν ἔσχεν, ὡς οὐδέπω πρότερον, ἐλθοῦσαν διὰ τοῦ βέλους τοῦ Ἀρζούνα, ὡς διὰ μαστρω-

---

1. Πολυκέφαλοι ὄφεις ἦσαν.

2. Πεσοῦσα γὰρ ῥάβδος ἐπὶ τῆς γῆς σημεῖων ποιεῖ· τοῦτο δὲ τὸ σημεῖον ταῦτά πως ἐδήλου· « Οὗτος ὁ Ἀρζούνας ἥρως ἐστί.

ποῦ [1]· ἡ δὲ κορύνη [2] ἣν εἶχεν ἐν χειρὶ ἔπεσε θυμῷ πως [3].

65. Ἔκοψε δ', ὡς εἰκὸς, ὁ Ἀρζούνας ὁ υἱὸς τοῦ Ἴνδρα καὶ τὰς πτέρυγας τῶν ἀετῶν, τῶν ἐν αἰθέρι ἱπταμένων, ὡς μικρῶν ὀρέων, γεννημάτων τῶν μεγάλων ὀρέων [4].

66. Ἔπεσε δὲ θυμῷ πως καὶ ὁ Βρόχος, ὁ ἐν τῇ χειρὶ τοῦ Βαρούνα, φυγόντος ἐκ πολέμου, διὰ τὸν φόβον τοῦ βέλους τοῦ γενναίου Ἀρζούνα.

67. Θυμωθεὶς δὲ καὶ ὁ Κρισνᾶς, θάνατον ἐποίει τοῖς ἐν τῷ δάσει τῇ βολῇ τοῦ δίσκου· τὸ δὲ πῦρ κατηνάλισκεν αὐτοὺς φλογὶ ὀξείᾳ.

68. Διατέμνων δὲ τοὺς ἐχθροὺς ὁ λαμπρὸς δίσκος τοῦ Κρισνᾶ, ἐπανήρχετο πολλάκις εἰς τὴν χεῖρα αὐτοῦ, καθὼς ὁ δίσκος τοῦ Ἡλίου, ἀναιρῶν τὸ ἐν οὐρανῷ σκότος, ἀνέρχεται εἰς τὴν κορυφὴν τοῦ ἀνατολικοῦ ὄρους.

69. Οἱ μὲν οὖν οἰκοῦντες τὸ δάσος ἔλαβον φύσιν θεῶν, ἐκ τοῦ θανάτου τοῦ ἐκ τῶν βελῶν τοῦ Ἀρζούνα, καὶ τοῦ δίσκου τοῦ Κρισνᾶ· οἱ δὲ θεοὶ ἤρχοντο πάλιν εἰς πόλεμον μετ' αὐτῶν τῶν νέων θεῶν, λαμπροτέρων καὶ ἰσχυροτέρων.

70. Ἰδόντες δ' οἱ θεοὶ τούτους τοὺς Τιτᾶνας καὶ τοὺς ἀνθρώπους τοὺς ἐν τῷ δάσει, γενομένους θεοὺς ἐκ τοῦ πολέμου τοῦ Ἀρζούνα, πάλιν ἤρχοντο εἰς πόλεμον, γενέσθαι θέλοντες ἀθάνατοι [5].

---

1. Ἡ δειλία ὡς γυνὴ παλλακίς.

2. Ἡ κορύνη ὡς γυνὴ νόμιμος.

3. Ὡς ἀνάξιος ἦν ὁ Κουβέρας ταύτην ἔχειν.

4. Δηλ. καὶ ὁ Ἴνδρας ἔκοψε πρότερον τὰς πτέρυγας τῶν ὀρέων, καὶ ὁ υἱὸς αὐτοῦ Ἀρζούνας τὰς τῶν ἀετῶν, ὡς υἱῶν τῶν ὀρέων. Μυθολογοῦσιν, ὡς τὰ ὄρη εἶχον πρότερον πτέρυγας, ἃς ἔκοψεν ὁ Ἴνδρας τῷ κεραυνῷ, ἐπειδὴ ὅπου καθίπταντο, κατέφθειρον καὶ πόλεις καὶ ἀγρούς.

5. Οἱ θεοὶ λέγονται θνητοὶ ὡς πρὸς τὸν ὕψιστον Θεὸν Βισνοῦν· διὰ τοῦτο ὁ ποιητὴς πλάττει ἐνταῦθα, ὡς ὅτε οἱ ἄνθρωποι ἀναιρούμενοι ἐγίνοντο θεοὶ, οἱ θεοὶ ἐνόμιζον, ὡς αὐτοὶ, θεοὶ ὄντες, ἀναιρεθέντες, ἔσονται ἀθάνατοι. Δόγμα ἐστὶν, ὡς ὁ ἀναιρεθεὶς ἐν πολέμῳ γενναίως, θεὸς γίνεται.

71. Ὁ δὲ δίσκος τοῦ Κρισνᾶ, ὁ καταπιέζων τοὺς θεοὺς, ἐφαίνετο ἐν οὐρανῷ σὺν τοῖς χρυσοῖς βέλεσι τοῦ Ἀρζούνα, ὡς ἄλλος δίσκος τοῦ Ἡλίου σὺν ἀκτίσι.

72. Καταπιεζόμενοι δὴ οἱ θεοὶ ἐν πολέμῳ τοῖς συνεχέσι δεινοῖς βέλεσι τοῦ Ἀρζούνα, ἃ διερρήγνυον καὶ ἄχρηστα ἐποίουν τὰ ἀντικείμενα ὅπλα, κατέφυγον εἰς τὸν Ἴνδραν, ὡς εἰς ἄσυλον.

73. Χαρεὶς δ' ὁ Ἴνδρας ἐπὶ τῇ ἀνδρείᾳ τοῦ υἱοῦ αὐτοῦ, βουλόμενος ἰδεῖν ἐπὶ πλέον τὴν δύναμιν αὐτοῦ, ὑποκρινόμενος θυμὸν, ἔβρεχε χάλαζαν οὐρανόθεν.

74. Θυμωθεὶς δ' ὁ Ἀρζούνας ἐπὶ τούτῳ, τοσοῦτον πλῆθος βελῶν ἔρριψε βροχηδὸν ταχέως, ὥστε τὴν χάλαζαν διασκορπισθῆναι, ὡς ἄτομα τῇδε κἀκεῖσε ὑπὸ τοῦ ἀέρος τοῦ ἐκ τῶν πτερωτῶν βελῶν.

75. Εἶτα δ' ἀπορρώξ τις μεγάλη τοῦ ὄρους Μεροῦ [1] ἐρρίφθη θυμῷ πως ὑπὸ τοῦ Ἴνδρα, εἰς ἀναίρεσιν τοῦ Ἀρζούνα, ὥσπερ μία σιδηρᾶ σφαῖρα πεπυρωμένη, καταπλήξασα τοὺς τρεῖς κόσμους.

76. Τῆς δὲ μεγάλης ἀπορρῶγος ἐκείνης πεσούσης εἰς τὸ ἐν δάσει πῦρ, πολλοῖς βέλεσι τοῦ Ἀρζούνα, τὸ τοῦ Ἴνδρα βούλημα, ἡ πτόησις δηλονότι, οὐκ ἐπληρώθη οὐδὲ ὑπὸ τῶν πανδώρων δένδρων [2].

77. Γνοὺς δ' ὁ Ἴνδρας τόν τε Ἀρζούναν καὶ τὸν Κρισνᾶν δυσνικήτους ἔκ τε τῆς ἀπ' οὐρανοῦ φωνῆς καὶ ἐκ τῆς πείρας, ἀφεὶς τὸ διαμάχεσθαι περαιτέρω, ἐπανῆλθεν εἰς τὸν οὐρανὸν μετὰ τῶν θεῶν.

78. Τὸ δὲ πῦρ διῆκε μέχρι τοῦ οὐρανοῦ, εἰς τὸ ἰδεῖν πως τὸν Ἴνδραν φυγοπόλεμον γενόμενον, ὑπερκαῖον ἀνεμποδίστως,

---

1. Τὸ ὄρος ἡ Μερόη χρυσοῦν ἐστι.

2. Ὅ,τι θέλει ὁ ἄνθρωπος, ἢ οἱ θεοὶ, τοῦτο δίδωσι τὸ πάνδωρον δένδρον.

καὶ σεῖον τὴν κορυφὴν τῷ θαύματι τῆς δυνάμεως τοῦ Ἀρζούνα.

79. Πῦρ δέ τι λαμπρὸν ἔλαμπεν ἐπὶ τούτων, τοῦ τε Κρισνᾶ καὶ τοῦ Ἀρζούνα, τῶν νικητῶν τοῦ Ἴνδρα, πρὸς ὃ τὸ πῦρ ἐκεῖνο τοῦ δάσους ἐφαίνετο λευκὸν, ὡς τὸ ὄρος, ὁ Ἰμαὸς[1], διὰ τῆς εὐφημίας αὐτῶν.

80. Ὁ δὲ πολὺς καὶ μέγας καπνὸς, ὁ ἐκ τοῦ πυρὸς τοῦ δάσους, ὁ μέχρι τοῦ οὐρανοῦ φερόμενος, ἐφαίνετο ὡς δυσφημία πραγματικὴ τοῦ Ἴνδρα, φυγόντος ἐκ τοῦ πολέμου.

81. Ἡ δὲ λευκὴ φήμη ἐγένετο τῷ Ἴνδρᾳ ἐν οὐρανῷ, ἐκ τῆς νίκης κατὰ τοῦ μεγάλου ἐχθροῦ Τιτᾶνος Ζάμβα, αὕτη ἐτμήθη τοῖς βέλεσι τοῦ Ἀρζούνα εἰς πολλὰ τμήματα, ἅ ἐστι τὰ ἄστρα.

82. Τοσαύτην δὲ φωνὴν λεόντειον ἐνθουσιαστικῶς ἐξέπεμψαν ὅ,τε Κρισνᾶς καὶ ὁ Ἀρζούνας ἐπὶ τῇ νίκῃ, ὥστε τοὺς θεοὺς νομίσαι, ὅτι οἱ δύο ἥρωες οὗτοι ἔρχονται εἰς οὐρανὸν πρὸς πόλεμον.

83. Τούτων ὄντων ἐφ' ἅρματος εἰς τὸ κωλύσαι ἐξελθεῖν τοὺς ἐν τῷ δάσει, τὸ πῦρ ἐκπετάσαν φλόγα, ὡς κόμην, μέχρι τοῦ οὐρανοῦ μανιωδῶς, βρόμον ἐποίει, καὶ ἔπινε τὸ στέαρ τῶν ζώων.

84. Τὸ ἐν ἐκεῖνο τῷ δάσει φαινόμενον μετέωρον φλογερὸν πῦρ, βουλόμενον κατακαῦσαι καὶ τὰ ὑδροφόρα νέφη, ἦν ὥσπερ τὸ πῦρ τὸ τῆς θαλάσσης, τὸ ἔχον ἔχθραν κατὰ τοῦ ὕδατος[2].

85. Ἡ χλοάζουσα ἀγλαΐα τοῦ δάσους, φοβηθεῖσα ἐκ τοῦ κατακαίοντος ἐκείνου πυρὸς, προσῆλθε τῇ ψυχρᾷ Ἰαμουνᾷ·

---

1. Λευκὸν λέγεται τὸ ὄρος ὁ Ἰμαὸς, διὰ τὴν ἣν ἔχει χιόνα.

2. Τὸ γὰρ πῦρ τῆς θαλάσσης τὸ ὕδωρ πίνει, καὶ διὰ τοῦτο ἡ θάλασσα οὐκ αὐξάνει.

διὰ τοῦτο μέχρι τῆς σήμερον ἡ Ἰαμουνὰ κυανῆ ἐστι τὸ ὕδωρ.

86. Ἀλλὰ καὶ ἡ Ἰαμουνά, πιεζομένη τῇ θερμότητι τοῦ πυρὸς τοῦ δάσους, ἐπορεύθη ταχέως εἰς τὸν οὐρανόν, περιπτυξομένη πως τὴν φίλην αὐτῆς Γαγγὰν, ὃ συμπεραίνεται ἀπὸ τοῦ πολλοῦ καπνοῦ.

87. Τὸ πῦρ φαγὸν τὸ κρέας πάντων τῶν ἐν δάσει ζώων, ἔπιεν, ὡς διψαλέον, ἡδέως καὶ ἀκορέστως πᾶν τὸ ὕδωρ τὸ ἐν λίμναις, καὶ φρέασι, καὶ πηγαῖς, καὶ ποταμοῖς.

88. Καὶ ὁ Ἥλιος, θλιβεὶς τότε ἐκ τοῦ πολλοῦ ἐκείνου πυρὸς τοῦ δάσους, μέχρι τῆς σήμερον ἄνεσιν οὐ λαμβάνει ἐκ τῆς πολλῆς ἐν οὐρανῷ θερμότητος, καὶ διὰ τοῦτο καταδύει εἰς τὸν ὠκεανὸν καὶ ἀναδύει.

89. Τότε καὶ ἡ Σελήνη, κερὰ γενομένη καὶ ἰσχνὴ ἐκ τῆς νυκτὸς, τῆς συσταλθείσης ἐκ τῆς θερμότητος, καιομένου ἐκείνου τοῦ δάσους, ᾤκησε παρὰ τῇ ὄχθῃ τῆς Γαγγᾶς, τῆς ἐπὶ τῆς κεφαλῆς τοῦ Σίβα.

90. Τὸ πῦρ ἐκεῖνο, καῖον μέχρι τοῦ οὐρανοῦ, τοσαύτην θερμότητα ἔδωκε τοῖς ἄστρασι τότε, ὥστε τὰ ἄστρα, μέχρι τῆς σήμερον, μὴ φέροντά πως τὸν Ἥλιον, πλανᾶσθαι ἀλλαχοῦ που ἐν τῇ ἡμέρᾳ.

91. Ὁ ἄνεμος, βλέπων τὴν φθορὰν πάντων, ἁρπάξας μίαν ἔλαφον ἐκ μέσου τοῦ πυρὸς, ἔδωκεν αὐτὴν τῇ Σελήνῃ ἐκ φιλίας, εἰς τὸ ἐποχεῖσθαι, ἢ καὶ ἐγένετο σημεῖον τῇ Σελήνῃ [1].

92. Ἐξ ἐκείνης τῆς φλογὸς τοῦ πυρὸς, τοῦ κατακαύσαντος τὴν γῆν τοῦ δάσους φαίνεται, ὅτι καὶ ἡ κεφαλὴ τοῦ γαιούχου ὄφεως Σέσσα κατεφλέχθη, καὶ καταφλέγεται

---

1. Ὄχημα τῆς Σελήνης καὶ τοῦ Ἀέρος ἐστὶν ἡ ἔλαφος. Μυθολογοῦσιν ὡς τὰ μέλανα στίγματα, ἃ ἔχει ἡ Σελήνη, ἔλαφός ἐστι.

μέχρι τῆς σήμερον, ὅπερ συμπεραίνεται ἀπὸ τῆς λάμψεως τῶν πολυτίμων λίθων, ὧν ἔχει ἐπὶ κορυφῆς.

93. Καὶ ὁ Βισνοῦς, ὅς ἐστιν ὁ Κρισνᾶς, ὁ ὢν πλησίον τότε, τοσοῦτον ἐθερμάνθη ὑπὸ τούτου τοῦ ὀλεθρίου πυρὸς, ὥστε διὰ τοῦτο πάντως ἀναπαύεται μέχρι τοῦ νῦν ἐπὶ τῶν ὑδάτων τοῦ ὠκεανοῦ.

94. Ἀλλὰ καὶ τὸ πῦρ αὐτὸ, πιεζόμενον ὑπὸ τῆς οἰκείας ἑαυτοῦ θερμότητος, καὶ μὴ δυνάμενον σβεσθῆναι ὑπὸ τοῦ χεομένου ὕδατος, εἰσέδυ εἰς τὴν θάλασσαν· διὰ τοῦτο καὶ ἔλαβε τοῦτο τὸ ὄνομα Ἀούρβα [1].

95. Εἷς δὲ Τιτὰν, Μαΐας τοὔνομα [2], ἀδελφὸς τοῦ Ναμουσῆ, ἐσώθη ἐκ τοῦ κινδύνου τοῦ πυρὸς, εἰπὼν ταῦτα· «Ὦ Ἀρ-» ζούνα, ἀξία καταφυγὴ, διαφύλαξόν με ἐκ τοῦ καιομένου » δάσους· αὔξησον τὴν εὐφημίαν σου, τὴν ὑπερβαίνουσαν » κατὰ τὴν λευκότητα τὴν Σελήνην.»

96. Πάλαι Βραχμάν τις, Μανδαπάλας τοὔνομα, καίπερ ἄγαμος ὢν ἐκ νεότητος, ἀνελθὼν εἰς οὐρανὸν, οὐκ ἔλαβε τέλειον καρπὸν τῶν μεγάλων τῆς ἐγκρατείας πόνων αὐτοῦ, ἐπειδὴ ἦν ἄτεκνος [3]. Λαβὼν δ' ἔπειτα φύσιν ὀρνέου [4] Σάργκα, εἰς ταχεῖαν τεκνογονίαν, ἐγέννησεν ἐκ τοῦ θήλεος Σάργκα τέσσαρας νεοττοὺς, οἳ καὶ ἐσώθησαν ἐκ τοῦ πυρὸς ταῖς δεήσεσιν αὐτοῦ.

97. Τὸ δὲ πῦρ, τὸ ὂν φοβερὸν, ὡς τὸ ὄμμα τοῦ Σίβα θυμουμένου ἐν τῇ συντελείᾳ, καταπυρπολῆσαν ἐν ἓξ ἡμέραις

---

1. Ἀούρβα λέγεται τὸ ἐν θαλάσσῃ μυθευόμενον πῦρ. — Δηλαδὴ τὸ τῆς θαλάσσης πῦρ, ὃ ὀνομάζεται Ἀούρβα, αὐτό ἐστι τὸ πῦρ τοῦ δάσους ἐκείνου.

2. Ὁ Μαΐας ἀρχιτέκτων ἐστὶ τῶν Τιτάνων.

3. Ὅστις ἔχει υἱὸν, ἐκεῖνος οἰκεῖ ἀϊδίως ἐν οὐρανῷ.

4. Ἔλαβε φύσιν ὀρνέου, ἐπειδὴ οἱ ὄρνεις πολύγονοί εἰσι καὶ ταχύγονοι.

πᾶν ἐκεῖνο τὸ δάσος Κανδάβαν, ἐκτὸς τῶν ἓξ τούτων, τῶν τεσσάρων νεοττῶν τοῦ ὄφεως Ἀσβασένα καὶ τοῦ Τιτᾶνος Μαΐα, λαβὸν ἄδειαν παρὰ τῶν γενναίων καὶ ἡρώων, τοῦτε Κρισνᾶ καὶ Ἀρζούνα, τῶν καταγομένων, τοῦ μὲν ἐκ τοῦ Κουροῦ, τοῦ δὲ ἐκ τοῦ Κυκούρα, ἀνεχώρησε χαῖρον εἰς τὴν ἑαυτοῦ χώραν.

98. Ὁ λίαν ἐγκρατὴς καὶ σοφὸς Ἀμάρας σεβέσθω, ὡς ἄλλος Βρυβύλιος, τὸν λώτιον πόδα τοῦ Ζηναδάτα, τοῦ καλοῦ καὶ ὀρθοδόξου διδασκάλου. Ἔλαβε τέλος τὸ πρῶτον Βιβλίον τοῦ μεγάλου ποιήματος τῆς Βαλαβαράτας, ὅ ἐστι γνώρισμα τῆς γνώσεως τοῦ Ἀμάρα καὶ ἐραστὸν τοῖς μεγαλόφροσι, καὶ ἀμιλλώμενον τῷ οὐρανῷ τῇ πολλῇ ἡδύτητι, τῇ ἡδυτέρᾳ τῆς ἀμβροσίας [1].

99. Ἐν τούτῳ τῷ πρώτῳ βιβλίῳ ἀριθμός ἐστι Κεφαλαίων μὲν δώδεκα, στίχων δὲ χιλίων ἐννεακοσίων καὶ ὀκτὼ, κατὰ τὸ μέτρον τοῦ στίχου, τοῦ καλουμένου Ἀνουξούπα [2].

Τέλος τοῦ Δωδεκάτου Κεφαλαίου
τοῦ Πρώτου Βιβλίου
τῆς
Βαλαβαράτας.

---

1. Οὗτος ὁ στίχος κεῖται ἐν τῷ τέλει τῆς πρώτης Πάρβας, τουτέστι τοῦ πρώτου Βιβλίου, ἔξω τῆς ὑποθέσεως, σημαίνων μόνον τὸ τέλος τῆς Πάρβας.

2. Καὶ οὗτος ὁ στίχος ἔξω τῆς ὑποθέσεως.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει τὸν θάνατον τοῦ Ζαρασάνδα.

1. Οἱ λαμπροὶ ὄνυχες τῶν ποδῶν τοῦ Βεάσα, οἱ αὐξάνοντες τὴν ἀρετὴν, ὡς ἡ Σελήνη τὸν ὠκεανὸν, καὶ γανοῦντες τὰς καρδίας τῶν ἀγαθῶν, ὡς ὁ Ἥλιος τοὺς λωτοὺς, διασκεδασάτωσαν τὸ σκότος, τουτέστι πᾶν πάθος τῶν τριῶν κόσμων.
2. Οἱ μὲν οὖν ὅλβιοι οὗτοι, ὅ,τε Ἀρζούνας καὶ ὁ Κρισνᾶς, καὶ ὁ δαίμων Μαΐας, φιλίαν θέμενοι, ἐκάθηντο παρὰ τὴν ὄχθην τῆς Ἰαμουνᾶς, εἰς ἀπαλλαγὴν τοῦ πόνου, τοῦ ἐκ τοῦ καυθέντος δάσους, φιλικῶς συλλαλοῦντες.
3. Ὁ δὲ δαίμων Μαΐας, γνοὺς ἑαυτὸν ἀναγεννηθέντα, ὡς λυτρωθέντα ἐκ τοῦ πυρὸς τοῦ δάσους, εἶπε λίαν χαίρων τῷ ἡρωϊκῷ Ἀρζούνᾳ πρὸ ὀφθαλμῶν τοῦ Κρισνᾶ·
4. «Τὰ μὲν ὄρη καὶ οἱ ἐλέφαντες, οἱ λεγόμενοι, ὡς βαστά» ζουσι τὴν γῆν, βάρος εἰσὶ τῆς γῆς [1]· ὁ δὲ Σέσσας ὅφις πῶς » δύναται βαστάξαι τὴν γῆν, ὢν ἀνεμόσαρκος; εἷς δὲ μό» νος βαστάζει τὴν λίαν βαρεῖαν γῆν, ὁ ἄλλους εὐεργετῶν.

---

1. Δηλ. οὐκ ἔστιν ἀληθὲς, ὡς βαστάζουσι τὴν γῆν οἱ ἐλέφαντες τῶν ὀκτὼ μερῶν καὶ τὰ ὄρη· τοὐναντίον δὲ βάρος εἰσὶ τῆς γῆς.

5. « Ὃς γὰρ χαρὰν λαμβάνει τῷ πρὸς τοὺς ἄλλους κακὰ ποιεῖν, » τούτου τῷ πολλῷ βάρει βαρυνομένης τῆς γῆς εἰς τὰ κά- » τω, εἰς τὸ βαστάζαι ταύτην ὁ Θεὸς πολύμορφος γίνεται, » ὅς ἐστιν οἱ ἄνθρωποι, οἱ ποιοῦντες ἀγαθὰ πρὸς ἄλλους.

6. « Ὁ ποιῶν εὐεργεσίας οὐδαμῆ πάσχει, οὔτ' ἐν τούτῳ τῷ » κόσμῳ, οὔτ' ἐν τῷ μέλλοντι, ἐμβεβαπτισμένος ἐν τῇ » εὐφημίᾳ καὶ ἐν τῇ εὐποιΐᾳ, ὡς ἐν ἀμβροσίᾳ, καὶ περ τοῦ » κόσμου καίοντος δίκην πυρὸς τοῦ δάσους.

7. « Διὰ τί ματαίως οἱ ἄνθρωποι ποιοῦσι μεγάλην σκληραγω- » γίαν καὶ ἐγκράτειαν; διὰ τί ματαίως πορεύονται εἰς » ἁγίους τόπους; μόνη γὰρ ἡ εὐεργεσία δίδωσιν ἀεὶ ἐκεῖνα » τὰ ἀγαθὰ τοῖς ἀγαθοῖς [1].

8. « Πολλαὶ εὐεργεσίαι εἰσὶν ἐν κόσμῳ, οἷον ἡ δόσις τοῦ » πλούτου, καὶ ἄλλαι τοιαῦται· αὗται δ' ὅμως οὐδέ γε τὸ » ἑκατοστημόριον ὅμοιαί εἰσι τῇ εὐεργεσίᾳ, ἣ σώζει τὸν » ἄνθρωπον ἐκ κινδύνου ζωῆς.

9. « Οὐδὲ γὰρ ὁ Βραχμᾶς εἶπεν ὡρισμένως ἀνταμοιβήν τινα » ἀξίαν τῆς εὐεργεσίας τοῦ δόντος σωτηρίαν καὶ ἀσφάλειαν· » τίνι οὖν ἀνταμοιβῇ ἀξίᾳ τῆς σῆς εὐεργεσίας ἐγὼ εἴην ἂν » ἔξω τοῦ χρέους;

10. « Τίς ἀνταμοιβὴ κατάλληλός ἐστι τῷ πατρί, τῇ μητρί, » τῷ διδόντι μάθησιν, καὶ τῷ διδόντι σωτηρίαν; Ταῦτα » ἀναλογιζόμενοι οἱ ἄνθρωποι, ἀποβάλλουσι τὸ ἐν τῇ » καρδίᾳ αὐτῶν ἄχθος [2], διὰ τῆς πρὸς τοὺς πόδας αὐ- τῶν θεραπείας. »

---

1. Ἡ εὐεργεσία μόνη δίδωσι τοῖς ἀγαθοῖς τὰ ἀγαθὰ ἐκεῖνα, ἅ περ ἀπολαμβάνουσι διὰ τῆς σκληραγωγίας καὶ περιηγήσεως, καὶ προσκυνή- σεως ἁγίων τόπων.

2. Τὸ ἄχθος, ὃ ἔχουσιν, ὅτι οὐ δύνανται ἀνταμεῖψαι τὴν χάριν τῷ πατρὶ, κ.τ.λ.

11. Εἰπὼν δ' ἔπειτα ὁ Τιτὰν Μαΐας, «Ἐγὼ, ὦ Ἀρζούνα, »προσφοράν τινα προσοίσω τοῖς ποσὶ τῶν πρεσβυτέρων »σου ἀδελφῶν, καὶ σοὶ αὐτῷ», ἄφαντος ἐγένετο ἔμπροσθεν αὐτοῦ τότε.

12. Ὁ δὲ Ἰνδιστίρας, τιμήσας δώροις τὸν Κρισνᾶν, τὸν βοηθήσαντα τῷ Ἀρζούνᾳ ἐν τῇ πυρπολήσει τοῦ δάσους Κανδάβα, ἐξαπέστειλεν αὐτὸν ἀπὸ τῆς Κανδαβαπράστας πόλεως εἰς τὴν Δοαρακάν [1].

13. Ἔστι λίμνη τις, Βινδουσάρα τοὔνομα, κειμένη μέσον τῆς ἀνατολῆς καὶ τῆς ἄρκτου, ἐπ' ὄρους Μαϊνάκα, κατὰ τὸ βόρειον μέρος τοῦ ὄρους Καϊλάσσα.

14. Ἐνταῦθα ἐλθὼν λίαν ταχέως ὁ Μαΐας, ἤνεγκε τρία θαυμαστὰ πράγματα, ἐναποτεθέντα ἐκεῖ πρότερον, κόγχον, κορύνην, καὶ βουλευτήριον.

15. Καὶ τὴν μὲν κόγχον, ἥτις ἦν τοῦ Βαρούνα, καὶ ὠνομάζετο Δεβαδάτα, ἔδωκε τῷ φίλῳ Ἀρζούνᾳ· ταύτης δ' ἐμπνεομένης μακρόθεν, καὶ ὁ ἐλέφας τοῦ Ἴνδρα λειποθυμεῖ.

16. Τὴν δὲ κορύνην, ἥτις ἦν τοῦ βασιλέως Βαβαζανέα, ἔδωκε τῷ Βήμᾳ· ταύτης παλλομένης, τῷ ἤχῳ ὁ κόσμος ἅπας καὶ θεοὶ καὶ δαίμονες ταράττονται, νομίζοντες συντέλειαν.

17. Τῷ δὲ Ἰνδιστίρᾳ ἔδωκεν ἄσμενος τὸ βουλευτήριον τοῦ βασιλέως τῶν Τιτάνων Βρισσαπάρβα, ᾧ ὄνομα ἦν Μαΐα, χιλίων πήχεων ὂν τὸ περίμετρον, ποιηθὲν ὑπ' αὐτοῦ τοῦ Μαΐα ἐν ἑνὶ ἔτει καὶ δύο μησί.

18. Τούτου τοῦ βουλευτηρίου, ὅπερ ἦν πραγματικῶς ἐγκώμιον [2] τοῦ Ἀρζούνα, πεποιημένου ἐκ διαφόρων λαμπρῶν μαρμάρων, φυλακὴν ἐποίουν ὀκτακισχίλιοι Ραζάσαι, ὑποκείμενοι τῇ προσταγῇ τοῦ Μαΐα.

---

1. Ἡ Ἰνδαπράστα λέγεται καὶ Κανδαβαπράστα.

2. Λευκὸν τὸ μάρμαρον, λευκὴ καὶ ἡ εὐφημία.

19. Καὶ ἐπὶ μὲν τοῦ ἄνω μέρος τοῦ τοίχου, κατὰ τὸ στέγασμα, τοῦ ἐκ λευκῶν μαρμάρων, ἦσαν πεποιημένοι κατ' ἀλληλουχίαν λόφοι [1], φαινόμενοι ὥσπερ ὄρνεις Κόκαι [2], καθήμενοι περὶ τὴν ὄχθην τῆς Γαγγᾶς.

20. Ἐν δὲ τῷ λιθοστρώτῳ ἐδάφει ἦσαν λιμνίσκοι, μὴ φαινόμενοι μὲν ἐκ τῶν λευκῶν μαρμάρων [3], διακρινόμενοι δὲ ἐκ τῶν κλαζόντων χηνῶν, ὥσπερ ἠχούντων περιπεζίων τῆς Λαξμῆς, τῆς οἰκούσης ἐν τοῖς λωτοῖς.

21. Ἐν δὲ τοῖς λιμνίσκοις ἦσαν λωτοί, ἔχοντες φύλλα μὲν ἐκ σμαράγδων, ἄνθη δ' ἐξ ἀνθράκων, καυλοὺς δὲ ἐξ ἀδαμάντων· ἀντὶ δὲ σταγόνων ὕδατος, μαργαρίτας ἐμπεπηγμένους [4].

22. Τοὺς δὲ τοίχους καὶ τοὺς στύλους, μὴ διακρινομένους, διὰ τὸ πεποιεῖσθαι ἐκ λαμπρῶν μαρμάρων, καὶ ἐκ τούτου αἰτίους γινομένους προσκρούσεως, οἱ περιπατοῦντες ἄνθρωποι διέκρινον ἐκ τῆς ἀντιλαμπούσης ἑαυτῶν σκιᾶς [5].

23. Ἡ δὲ Σελήνη ἦν, ὡς κηπουρὸς, ποτίζουσα ἀφειδῶς ὕδωρ τὰ ἐν τῷ κηπαρίῳ τοῦ βουλευτηρίου δένδρα ἐκ τῶν σελληνολίθων [6], ἐξ ὧν ἦσαν πεποιημέναι αἱ ἀμάραι.

---

1. Σφαιροειδῆ κοσμήματα, τιθέμενα ἐπὶ τοῦ τοίχου πέριξ τοῦ στεγάσματος. — Λευκὸν τὸ μάρμαρον, λευκὴ καὶ ἡ Γαγγά. Τὸ δὲ ἄκρον τοῦ ἐκ μαρμάρων τοίχου ἦν ὡς τὸ χεῖλος τῆς Γαγγᾶς.

2. Κόκαι, ὡς προείρηται, λέγονται οἱ χηναλώπεκες.

3. Λευκὸν γὰρ καὶ τὸ ὕδωρ, λευκὰ καὶ τὰ μάρμαρα.

4. Τὰ φύλλα τοῦ λωτοῦ μεγάλα εἰσὶν, ἐν οἷς αἱ ῥανίδες τοῦ ὕδατος στρογγύλαι γίνονται, ὡς μαργαρίται.

5. Λαμπρὸν τὸ ἔδαφος ἐκ τῶν λαμπρῶν λίθων, λαμπροὶ καὶ οἱ τοῖχοι καὶ οἱ στύλοι, καὶ διὰ τοῦτο οὐ διεκρίνοντο ἀπ' ἀλλήλων· οἱ δ' ἄνθρωποι προσέκρουον ἂν αὐτοῖς, εἰ μὴ διεκρίνοντο ἐκ τῆς ἀντιλαμπούσης αὐτῶν σκιᾶς.

6. Σεληνόλιθος, εἶδος λίθου, ἐξ οὗ ἀναβρύει ὕδωρ ὅταν λάμπῃ ἡ Σελήνη.

24. Ἐδέσματα δ' ἐγίνοντο ὑπὸ τῶν μαγείρων, οὐ διὰ πυρὸς, ἀλλὰ διὰ τοῦ Ἡλίου· τιθέντες γὰρ τὰς χύτρας ἐπὶ τοῦ ἐδάφους, τοῦ ἐστρωμένου ἐκ τῶν ἡλιολίθων [1], ἥδιστα ἐδέσματα ἐποίουν, καὶ κατεγέλων τῆς φήμης τοῦ βασιλέως Νάλα [2].

25. Ὁ δ' ἐπὶ τῆς κορυφῆς τοῦ βουλευτηρίου τούτου πολυποίκιλος αἰθὴρ, ἐκ τῶν ἀγλαῶν μαρμαρυγῶν τῶν διαφόρων πολυτίμων λίθων, ἣν ὥσπερ σκιάδιον νικητικὸν [3], πεποιημένον ὑπὸ τοῦ Βραχμᾶ, ἐπειδὴ ὑπαιρέβαινε τῇ ἀγλαΐᾳ καὶ τὸ βουλευτήριον τῶν θεῶν.

26. Τούτου τοῦ βουλευτηρίου ἐν τῷ ἐδάφει, τῷ ἐξ ἀνθράκων λίθων, καὶ ἐν τοῖς κίοσι, τοῖς ἐκ σμαράγδων, τοῖς ὁμοίοις τῷ πυρὶ καὶ τῷ καπνῷ [4], ἀναλύσας ὁ Ἔρως τὰς καρδίας τοῦ ἐραστοῦ καὶ τῆς ἐρωμένης, καὶ διαχύσας, ἕνωσιν τούτων ἐποίει [5].

27. Οἱ μὲν ἀνθράκινοι κίονες τούτου τοῦ βουλευτηρίου ἐπ' ἐδάφους σμαραγδίνου, ἐφαίνοντο εἰς ἡδονὴν τῶν ὀφθαλμῶν, ὥσπερ ἐκτεταμέναι ἀκτῖνες τοῦ Ἡλίου, ἀναδυομένου περὶ τὴν ἕω ἀπὸ τοῦ ὠκεανοῦ [6].

28. Οἱ δὲ σμαράγδινοι στύλοι [7] ἐπ' ἐδάφους ἀδαμαντίνου,

---

1. Ἡλιόλιθος, εἶδος λίθου, ὃς πῦρ ἐξάγει ὅταν λάμπει ὁ Ἥλιος, καὶ διὰ τοῦτο ἐνταῦθα οὐκ ἦν χρεία πυρός.

2. Ὁ Νάλας, ὃς ἦν βασιλεὺς, ἔγραψε περὶ μαγειρικῆς.

3. Ὁ νικῶν σκιάδιον λαμβάνει παρὰ τοῦ βασιλέως, ὡς βραβεῖον.

4. Οἱ μὲν ἄνθρακες, ὡς ἐρυθροὶ, ἀναφέρονται εἰς τὸ πῦρ, οἱ δὲ σμάραγδοι, ὡς κυάνεοι, εἰς τὸν καπνόν.

5. τουτέστιν ὁ βλέπων τοιοῦτον κτίσμα ἡδονικὸν, ἔρωτι κάτοχος ἐγίνετο.

6. Ἐρυθραὶ αἱ ἀκτῖνες τοῦ Ἡλίου, ἐρυθροὶ καὶ οἱ κίονες· κυάνεος ὁ ὠκεανὸς, κυάνεον καὶ τὸ ἔδαφος.

7. Οἱ μὲν σμαράγδινοι στύλοι, ὡς ἐμετὸς τοῦ καταποθέντος σκότους· τὸ δὲ ἀδαμάντινον ἔδαφος, ὡς παρατεταμένη λάμψις τῆς Σελήνης.

ἦσαν ὥςπερ ἐμετοὶ τοῦ πολλοῦ σκότους, τοῦ κατὰ κόρον καταποθέντος ὑπὸ τῆς παρατεταμένης λάμψεως τῆς Σελήνης.

29. Οἱ δὲ πέρδικες ἔπινον τὴν λάμψιν τῆς Σελήνης, τὴν ἐπὶ τῶν προσώπων τῶν ἐκ μαρμάρου ἀγαλμάτων, ἃ ἐνομίζοντο ὡς σελῆναι [1], καὶ εἶχον ὡς μελανα στίγματα τοὺς περιϊπταμένους βομβυλίους, νομίζοντας αὐτὰ ὡς λευκοὺς λωτούς.

30. Ἐν τούτῳ τῷ βουλευτηρίῳ τὰ ἐκ διαφόρων χρωμάτων γεγραμμένα αἴσια τραπέζια ἐπὶ γῆς εἶχον μαργαρίτας [2], οἳ ἦσαν ὡς σταγόνες ὕδατος, πίπτοντες ἀπὸ τῆς ἐπὶ τῆς στέγης οὐρανομήκους σημαίας [3], ἧς τὸ ἄκρον ἔθιγε τῆς οὐρανίας Γαγγᾶς.

31. Οἰκῶν δ' ἀεὶ ἐν τούτῳ τῷ βουλευτηρίῳ ὁ Τουμβουροῦς [4] διὰ τὴν πρὸς τὸν Ἀρζούναν φιλίαν, ἤδεν ἐναρμόνια ἄσματα μετὰ τῶν Κιμπουρουσσῶν [5] καὶ Ἀψαρῶν καὶ Γανδαρβῶν.

32. Καὶ οἱ ἐλλόγιμοι καὶ σοφοὶ, οἳ ἐθεάσαντο τὸ βουλευτή-

---

1. Τὸ ἀγλαὸν πρόσωπον εἰκάζεται τῇ Σελήνῃ καὶ τῷ λωτῷ.

2. Εἰώθασι γράφειν ἐπὶ γῆς διὰ χρωμάτων, ὡς αἴσια, τετράγωνα σχήματα μυστηριώδη, ὁποῖον τὸ ἑξῆς, ⊞ Σβαστικὰ ὀνομαζόμενον, ἐν ἑορταῖς ἔμπροσθεν τῶν θεῶν, ἢ ἐν γάμοις, ἔμπροσθεν τῆς καθέδρας τοῦ νυμφίου καὶ τῆς νύμφης· ἐπὶ δὲ τοῦ μέσου ποιοῦσι σταυροειδὲς σχῆμα ἐξ ἀλεύρου ἢ ὀρύζης· ἀντὶ δὲ τούτων ἐνταῦθα ἦσαν μαργαρίται.

3. Ἡ ἐπὶ τῆς στέγης σημαία τοσοῦτον ὑψηλὴ ἦν, ὥςτε ἐνομίζετο ὅτι ἔψαυε τῆς ἐν οὐρανῷ Γαγγᾶς, καὶ σειομένη ὑπὸ τῆς αὔρας, ἐῤῥαινε σταγόνας, αἳ ἦσαν οἱ μαργαρίται.

4. Ἀρχηγός ἐστι τῶν Γανδαρβῶν, τουτέστι μουσικῶν θεῶν.

5. Κιμπουροῦσαι ἢ Κιννάραι, θεοὶ μουσικοί.

ριον τῆς Σαρασβατῆς [1], ἐπαινέσαι· τοῦτο τὸ βουλευτήριον οὐκ ἠδύναντο, ἐξιστάμενοι καὶ σείοντες τὴν κεφαλήν.

33. Ἐμβὰς δ' ὁ βασιλεὺς Ἰνδιστίρας τούτῳ τῷ βουλευτηρίῳ ἐν αἰσίᾳ ὥρᾳ, δωρεὰς ἐδωρεῖτο ἐν ἑπτὰ ἡμέραις πολλοῖς ἐλθοῦσι Βραχμᾶσιν, ἁγιαστικοῖς ἁπάσης τῆς οἰκουμένης.

34. Καίποτε ὁ Ἰνδιστίρας, ὢν ἐν τούτῳ τὸ βουλευτηρίῳ εἶδε τὸν Ναράδαν, κατιόντα ἐξ οὐρανοῦ, λαμπρότερον ὄντα καὶ τοῦ Ἡλίου τῇ λάμψει τοῦ ἑαυτοῦ σώματος.

35. Οὗ τὸ σεληνιαῖον πρόσωπον ἔβλεπον χαρᾷ οἱ μεγάλοι ἑπτὰ ὅσιοι, οἱ θεωρητικοὶ καὶ φιλήσυχοι, ἀνοίξαντες τοὺς ὀφθαλμούς, καθὼς οἱ Κουμοῦδαι [2].

36. Οὗ τὸ λαμπρὸν πρόσωπον ἔβλεπον ἐλευθέρως καὶ ἀτενῶς οἱ σώφρονες ἀστέρες [3], νομίζοντες τὴν Σελήνην· βλέποντες δ' αὐτὸ ἄνευ στιγμάτων [4], ἀφέντες τὴν δόξαν ἐκείνην, ἔβλεπον φειδομένως.

37. Ὃς, ἰδὼν θεούς τινας συμπαίζοντας ταῖς θεαίναις, ἀπέκρυψε τὸ ἑαυτοῦ σῶμα ἐν τοῖς νέφεσιν, ἵνα μὴ οὗτοι βλέποντες αὐτὸν αἰσχύνοιντο.

38. Ὃς προσεκυνεῖτο ἐν αἰδοῖ καὶ εὐλαβείᾳ ὑπὸ τῶν θεῶν τῇ κλίσει τῆς κεφαλῆς, καὶ ἡνωμέναις ταῖς χερσὶν, αἳ εἰλκύσθησαν ἀπὸ τῶν μαστῶν τῶν θεαινῶν, καὶ ἐτέθησαν ἐπὶ τοῦ μετώπου.

---

1. Οἱ γὰρ λόγιοι ἄξιοί εἰσι τοῦ βουλευτηρίου τῆς Σαρασβατῆς, τῆς θεᾶς τοῦ λόγου.

2. Καθὼς οἱ Κουμοῦδαι, οἱ νυκτάνθεις λωτοὶ, διεκπετάννυνται βλέποντες τὴν Σελήνην, οὕτω καὶ οἱ ἐν θεωρίᾳ ὄντες ἑπτὰ ὅσιοι ἠνέῳξαν τοὺς ὀφθαλμοὺς εἰς τὸ ἰδεῖν τὸ σεληνιαῖον πρόσωπον τοῦ Ναράδα.

3. Οἱ ἀστέρες θηλυκοῦ γένους ὄντες παρ' Ἰνδοῖς, λέγονται ὡς γυναῖκες τῆς Σελήνης, ἥ ἐστιν ἀρσενικοῦ γένους παρ' Ἰνδοῖς.

4. Στίγματα ἐννοοῦνται ἐνταῦθα ἡ μελανότης, ἣν ἔχει ἡ Σελήνη.

39. Οὗ τοῦ ζεύγους τῶν λωτίων ποδῶν ἥψατο ἐν οὐρανῷ ὁ Ἥλιος προθύμως καὶ εὐλαβῶς, ῥίψας τοὺς δύο λωτοὺς [1], καὶ ἐκτείνας τὰς χεῖρας.

40. Οὗ τὸ ζεῦγος τῶν λωτίων ποδῶν ἔνιψεν ἡ Γαγγὰ, διεκπετάσασα μακρόθεν ἓν κῦμα, ὡς χεῖρα, εἰς τὸ ἁγνισθῆναι, καί περ τιμωμένη ὑπὸ τοῦ Σίβα [2].

41. Ὃς ἤκουε μὲν τῷ ἐσωτερικῷ ὠτὶ τοῦ ἀῤῥήτου θείου ὀνόματος, προξένου ἀμυθήτου χαρᾶς, κατεφρόνει δὲ ἡδείας φωνῆς τῆς ἑαυτοῦ κιθάρας, πληττομένης ὑπ' ἀνέμου [3].

42. Ὃς ἐφώτιζε τοὺς τῶν θεωρητικῶν τόπους, τοὺς ἐν τῇ ὄχθῃ τῆς πολυῤῥείθρου Γαγγᾶς, λευκὸς ὢν τὸ σῶμα, ὡς ἡ Σελήνη, καὶ μόνος ὤν, ὡς ὁ Σίβας μετὰ τὴν διάζευξιν ἀπὸ τῆς Σατῆς.

43. Οὗ τὸ πρόσωπον ἐφαίνετο, ὡς λωτὸς, τοῖς ὄμμασι τῶν ἐνδόξων Βραχμάνων καὶ τῶν λοιπῶν, καὶ ἐῤῥιπίζετο ἐν τῷ καταβαίνειν ταῖς σαλευομέναις ἄκραις τῶν ἐπὶ τοῦ βουλευτηρίου σημαιῶν, εἰς ἄνεσιν τοῦ πόνου τῆς ὁδοιπορίας.

44. Καταβὰς οὖν οὗτος ὁ ὅσιος Νараδας ἀπὸ τοῦ οὐρανοῦ, καὶ δοὺς εὐλογίαν τῷ βασιλεῖ Ἰνδιστίρᾳ, ἀναστάντι καὶ προσκυνήσαντι, καθεσθεὶς ἐν πρωτοκαθεδρίᾳ, ἔφη ταῦτα·

45. « Αἱ θεαὶ ἐθεωρήθησαν ὑπ' ἐμοῦ, καταβαίνοντος ἐξ οὐρα-» νοῦ, διδοῦσαί σοι εὐλογίαν, ἐπειδὴ βλέπουσι τοὺς ἑαυ-» τῶν ἄνδρας γενναίους καὶ ἀνικήτους τοῖς βραχίοσι τῶν » δαιμόνων, διὰ τὸ κορέννυσθαι ἀεὶ τῶν θυσιῶν σου [4].

---

1. Δύο ἐρυθροὺς λωτοὺς ἔχει ὁ Ἥλιος ἐν χερσί.

2. Μυθολογεῖται ὅτι ὁ Σίβας φέρει τὴν Γαγγὰν ἐπὶ κορυφῆς.

3. Ὅτε ὁ Νараδας αἰθεροβατεῖ, ἡ κιθάρα αὐτοῦ ἠχεῖ, πληττομένη ὑπ' ἀνέμου.

4. Τουτέστιν οἱ θεοὶ, ὄντες δυνατοὶ, διότι καλὰ τρώγουσι καὶ πίνουσιν ἐκ τῶν θυσιῶν σου, νικῶσι τοὺς δαίμονας.

46. « Οἷα τέρψις ἐγένετό μοι ἐν οὐρανῷ ἐκ τῆς θέας τῶν » βουλευτηρίων τῶν μεγάλων θεῶν, ταύτην ἐξήλειψέ μου » τοῦτο τὸ βουλευτήριόν σου, τὸ λίαν περιφανὲς καὶ περί- » βλεπτον.

47. « Ὁ βασιλεὺς Πανδοῦς, ὁ πατήρ σου, ὁ καλλύνων τῇ » ἑαυτοῦ παρουσίᾳ τὸ βουλευτήριον τοῦ Δάρμα [1], τοιαύ- » την παραγγελίαν εἶπέ μοι πρὸς σὲ ἐκ στόματος, κατα-

48. » βαίνοντι εἰς γῆν, ἀπιδὼν εἰς τὸν οὐρανόν, καὶ ἰδὼν » βασκανίᾳ τὸν Χαρισάνδραν Βασιλέα, καθήμενον ἐν τῷ » τοῦ Ἴνδρα βουλευτηρίῳ, καὶ ὑπερβαίνοντα τὸν Ἴνδραν » τῇ πολλῇ δόξῃ καὶ λαμπρότητι. »

49. « Ὁ κόσμος οὗτος οὐδενὸς μεγάλου πόνου αἰσθάνεται [2], « ἀγόμενος ὑπὸ σοῦ ἀπόνως εἰς ὁδὸν δικαιοσύνης, ἔνθα « τὰ μὲν καλά σου ἔργα εἰσὶν, ὡς πάνδωρα δένδρα, αἱ δὲ « εὐφημίαι σου, ὡς ποταμοὶ ἀμβροσίας [3].

50. « Οὐδεὶς ἐν τῇ γῇ σου ὑπέρφρων ὢν, κύπτει εἰς τὸ λαβεῖν « τι οἰκεῖον πρᾶγμα, πεσὸν ἐκ τῆς χειρὸς αὐτοῦ κατὰ « γῆς, ἵνα μὴ δόξῃ ταπεινὸς, πολλῷ μᾶλλον ἀλλότριον.

51. « Ἔστω σοι πάντοτε ἐν ἑκάστῃ πόλει καὶ ὁδῷ φήμη τις « τῆς καλῆς διοικήσεως ἐκ τῶν ἤχων τῶν πολυτίμων κο- « σμημάτων τῶν ἀγλαῶν γυναικῶν, ἀδεῶς περιπατουσῶν [4].

52. « Βασιλέως σοῦ ὄντος ἐπὶ γῆς, οἱ ἄνθρωποι ἀδεῶς ὁδεύου- « σιν ὁδὸν μακρὰν καὶ ἐν μέσαις νυξὶ, διασκεδάζοντες τὸ

1, Τὸ γὰρ βουλευτήριον τοῦ Δάρμα ἧττόν ἐστι τοῦ βουλευτηρίου τοῦ Ἴνδρα.

2. Ἐντεῦθεν ἄρχεται ἡ παραγγελία τοῦ Πανδοῦ.

3. Ἀνέτως καὶ ἀπόνως ὁδεύεται ἡ ὁδὸς, ἐν ᾗ ἐστι καὶ δένδρα εἰς κατασκίασιν, καὶ ὕδατα εἰς πόσιν.

4. Τουτέστιν ἐκ τούτου δῆλον ἔσται, ὅτι καλὴ διοίκησίς ἐστιν, ὅτε οἱ ἄνθρωποι χρυσοφοροῦντες, περιπατοῦσιν ἀφόβως.

« σκότος ταῖς λάμψεσι τῶν ἐν δακτυλίοις πολυτίμων λί-
« θων, ὡς λύχνων.

53. « Τοσοῦτον ἡ γῆ εὔφορος καὶ καρποφόρος ἐγένετο ὑπὸ τῆς
« λαμπρᾶς ἀμβροσίας τῆς Σελήνης, μὴ φοβουμένης ἐκ τῶν
« θεῶν [1], κόρον ἐχόντων ἐκ τῶν θυσιῶν σου, ὥστε περιγε-
« λᾷ τὸν παράδεισον τοῦ Ἴνδρα.

54. » Καί τοι ὁ Δάρμας [2] παίζει ἀεὶ καὶ σκιρτᾷ ἀπολύτως [3]
« ἐπὶ γῆς διὰ τὴν χαρὰν τοῦ γενέσθαι σὲ τὸν υἱὸν αὐτοῦ
« βασιλέα, τιμᾶται ὅμως ἀπανταχοῦ, διότι πατήρ ἐστι
« σὸς, τοῦ βασιλέως τῆς γῆς.

55. « Ποῦ οὐκ ἐγένετο ἡ γῆ *ρατναγάρβα* [4] ἐκ τῶν ὑετίων ὑδά-
« των, ἀγίνονται πολύτιμοι λίθοι, ἑλκόμενα ἐκ τοῦ ὠκεα-
» νοῦ, τοῦ *ρατνακάρα*, ὑπὸ τοῦ Ἡλίου, ἡσθέντος τὴν καρ-
« δίαν ταῖς θυσίαις σου;

56. « Σοῦ ὄντος βασιλέως τῆς γῆς δικαιοτάτου, πάντα μὲν
« τὰ δάση γεννῶσιν ἐλέφαντας, πάντα δὲ τὰ ὄρη χρυσόν [5].
« ποῦ δὲ ἡ ἔπαρσις τοῦ δάσους Βινδεᾶ [6], καὶ τοῦ ὄρους
« Μεροῦ;

57. « Αἱ πόλεις σου ἔχουσαι γῆν πάμφορον, ποτιζομένην ἐκ

---

1. Οὐ φοβεῖται μὴ πίωσι τὴν ἀμβροσίαν αὐτῆς οἱ θεοὶ, οἳ κεκορεσμέ-νοι εἰσὶν ἐκ τῶν θυσιῶν.

2. Ὁ Δάρμας ἐστὶν ὁ θεὸς Νόμος, καὶ ἡ πρᾶξις τῶν τοῦ νόμου. Τουτέστιν οἱ ἄνθρωποι πάντες ἀγαθὰ ἔργα καὶ νόμιμα πράττουσι.

3. Ὅστις γὰρ παίζει καὶ σκιρτᾷ ἀπολύτως, τουτέστιν ὑπὲρ τὸ μέτρον, ἐκεῖνος καταφρονεῖται.

4. Ἡ μὲν γῆ λέγεται Ῥατναγάρβα, ὅ ἐστιν, ἐν γαστρὶ ἔχουσα πολύ-τιμα πράγματα· ὁ δὲ ὠκεανὸς Ῥατνακάρα, ὅ ἐστι θησαυρὸς πολυτίμων πραγμάτων.

5. Τοῦ βασιλέως ὄντος νομίμου καὶ δικαίου, ἡ γῆ ἀγαθὰ γεννᾷ.

6. Ἐν τῇ ὕλῃ τοῦ ὄρους Βινδεᾶ ἐλέφαντές εἰσι πολλοὶ καὶ ἄριστοι· τὸ δὲ ὄρος ἡ Μερόη χρυσοῦν ἐστι.

« τοῦ ἀεὶ ῥέοντος γάλακτος ἀπὸ τῶν οὐθάτων τῶν βοῶν,
« οὐκ ἀναφέρουσιν εἰς τὰ νέφη τὰ ὄμματα [1].

58. « Σὺ μὲν βασιλεῦ καλῶς καὶ δικαίως βασιλεύεις· ἡ δὲ σὴ
« χώρα αὕτη ἄδικός πως ἐστὶν, ἕλκουσα τὰς καρδίας καὶ τῶν
« μεγάλων θεωρητικῶν, οἳ παντα ἐξ ἴσου βλεπουσιν [2].

59. « Αἱ λύπαι καὶ αἱ νόσοι, βλέπουσαι πᾶν τὸ ὑπήκοόν σου
« σεβὸν ἐν τοῖς νομίμοις ἔργοις, αἰσχυνόμεναι, οὐ θλίβου-
« σιν αὐτοὺς ἐν τῷ ἑαυτῶν σκληρῷ ἔργῳ.

60. « Οἱ ἐπουράνιοι θεοὶ εὐχάς σοι ἐξερεύγονται, τυγχάνοντες
« ἀεὶ θυμάτων, προσφερομένων ὑπὸ τῶν ἀνθρώπων ἐν παντὶ
« τόπῳ εὐθύμως, ἐν ἑορταῖς καὶ θαλίαις.

61. « Ἡ μὲν ἐν τῷ στόματι Σαρασβατὴ [3] τῶν ἐν τῇ σῇ ἐπι-
« κρατείᾳ ἀνθρώπων ἐπωφελής ἐστι, διὰ τὸ ποιεῖν σοι
« ὑμνολογίας· ἡ δ' ἐν τοῖς οἴκοις αὐτῶν Λαξμὴ ἀνωφελὴς,
« διὰ τὸ μὴ εἶναι ἐνδεῆ τινα καὶ ἐπαίτην [4].

62. « Ἡ ὡς πάνδωρον δένδρον δικαιοσύνη σου, ἐπειδὴ ἀρδεύε-
« ται τοῖς καθ' ἡμέραν δάκρυσι τῶν μοιχαλίδων, τῶν μὴ
« δυναμένων ἐκτελέσαι τὰ τῆς ἐπιθυμίας, διὰ τοῦτο πλη-
« ροῖ πᾶσαν ἔφεσιν τῶν ἀνθρώπων.

63. « Οἵαν ἄνεσιν ἀπολαμβάνουσιν οἱ μοναστὰι καὶ φιλήσυ-
« χοι ἐν ταῖς ἑαυτῶν μοναῖς διὰ τῆς σῆς καλῆς διοική-
« σεως, ταύτην πάντως γε γινώσκουσιν, ὡς ἀπαρχὴν προσ-
« δοκωμένης χαρᾶς τῆς ἀθανασίας.

---

1. Οὐ δέονται δηλ. βροχῆς.

2. Τουτέστι καὶ οἱ πάντα ἐξ ἴσου βλέποντες ἀδιάφοροί εἰσιν, οὔτε ἀγαπῶσι δηλονότι, οὔτε μισοῦσί τι· ἀλλὰ καὶ τούτων ἤδη ἡ καρδία εἰλκύσθη καὶ ἠπατήθη ὑπὸ τῆς σῆς εὐνομουμένης γῆς· ἀγαπῶντες γὰρ ἐπαινοῦσι.

3. Σαρασβατὴ, ἡ θεὰ τοῦ λόγου· Λαξμὴ δὲ, ἡ θεὰ τοῦ πλούτου.

4. Εἰς τὸ μεταδοῦναι αὐτῷ τοῦ πλούτου.

64. « Ὁ ὄφις Σέσσας [1], ἀφεὶς τὴν γῆν, ὡς ναῦν, ἐπὶ τοῦ πελά-
« γους τῆς δικαιοπραγίας σου, ἀκούει τῶν περὶ σοῦ ἀσμά-
« των τῶν γυναικῶν αὐτοῦ, σείων τὰς κεφαλὰς ἐκ θαύ-
« ματος.

65. « Ἐπιθυμοῦντες ἀεὶ ἐκ καρδίας οἱ θεοὶ οἰκῆσαι ἐν τῇ χαριε-
« στάτῃ πόλει σου, οὐ δύνανται ἐγκαταλιπεῖν τὸν οὐρανὸν [2].
« τίς γὰρ ἀνοχὴ εἴη ἂν τῆς παραιτήσεως τῆς αὐτῶν ἐπι-
« στασίας ;

66. « Ποῦ δ' ἔσται σοι ἡδονὴ, ἀφέντι ταύτην τὴν πόλιν καὶ
« ἐλθόντι εἰς οὐρανὸν, ὅταν βλέπῃς λύπῃ ἐνδοξότερον τὸν
« βασιλέα Χαρισάνδραν, ἐὰν μὴ ποιήσῃς *Ῥαζασουΐαν* [3].

67. « Ἐπειδὴ δ' οὗτος ὁ μέγας βασιλεὺς Χαρισάνδρας νικητὴς
« ἐγένετο πολλῶν βασιλέων, καὶ μόνος θυσίας *Ῥαζασουΐας*
« τελεσιουργὸς, καὶ λίαν ἀγαθοεργὸς, διὰ τοῦτο ὑπερέχει
« τοῦ Ἴνδρα πολλῇ δόξῃ ἐν οὐρανῷ.

68. « Ποίησον οὖν, ὦ εἰδήμων τοῦ δικαίου, ταύτην τὴν βασι-
« λικὴν θυσίαν, ἵνα γένῃ συγκάθεδρος τῷ Ἴνδρᾳ· σὺ γὰρ
« ἄξιος εἶ, ἔχων τετρακτὺν ἀδελφῶν νικητῶν, καὶ τοιαύ-
« την πλουσίαν βασιλείαν. »

69. « Ταῦτά σοι ἀναγγείλας τὰ παρὰ τοῦ σοῦ πατρὸς, πορεύο-
» μαι ἀναγγελῶν τι παρὰ τοῦ Ἴνδρα πρὸς τὸν Κρισνᾶν. »
Ὁ μὲν δὴ Ναράδας τοιαῦτα εἰπὼν, ἄφαντος εὐθέως ἐγέ-

---

1. Ὁ Σέσσας, ἀκούων ἀδομένων τῶν σῶν ἀρετῶν, ἀφῆκε τὴν βασταζομένην γῆν, ἵνα μὴ πέσοι, περισαλεύων τὰς κεφαλὰς αὐτοῦ ἐκ θαύματος, καὶ ἔθετο αὐτὴν ἐπὶ τοῦ πελάγους τῆς δικαιοπραγίας σου, ἐφ' ἧς πλέει, ὡς ναῦς φερομένη.

2. Οὐ δύνανται δηλ. ὁ Ἥλιος καὶ ἡ Σελήνη καὶ πάντες οἱ θεοὶ ἀφεῖναι τὴν αὐτῶν ἐπιστασίαν· εἰ δὲ ᾤκουν, ἂν ἐν τῇ σῇ χαριεστάτῃ πόλει.

3. Ῥαζασουΐα, εἶδος θυσίας, ἔνθα οἱ ὑποτεταγμένοι βασιλεῖς παρίστανται καὶ τέλος διδόασι τῷ τελοῦντι.

νετο, ὡς ἀστραπὴ, λαμπρύνων τῇ ἑαυτοῦ λάμψει τὸν αἰθέρα.

70. Ὁ δὲ βασιλεὺς Ἰνδιστίρας ἐκάλεσε τὸν μόνον φίλον Κρισνᾶν, εἰς συμβουλὴν περὶ τῆς δυσκόλου βασιλικῆς θυσίας, ἐπειδὴ ἐγίνωσκεν αὐτὸν ἄξιον τοῦ ἀναδέξασθαι τοιοῦτον μέγα καὶ βαρὺ ἔργον.

71. Παρακληθεὶς τοίνυν πρὸς τοῦ Ἰνδιστίρα κατ' ἰδίαν ὁ ἄξιος βουλευτὴς[1] Κρισνᾶς, βουλὴν δοῦναι περὶ τῆς παραγγελθείσης θυσίας ὑπὸ τοῦ Πανδοῦ, ἔφη τάδε·

72. « Σὺ, ὦ βασιλεῦ, πᾶσι τρόποις ἱκανὸς εἶ τελέσαι τὴν » βασιλικὴν θυσίαν· ἄνευ δ' ὅμως τοῦ θανάτου τοῦ μεγα- » λοδυνάμου ἐκείνου βασιλέως Ζαρασάνδα, ἡ θυσία αὕτη » οὐκ εἰς τέλος ἥξει.

73. « Τούτου τοῦ βασιλέως ἐκστρατεύσαντος εἰς νίκην κατὰ » τῆς γῆς πάσης, καὶ γνώμην ποιήσαντος πολλοὺς βασι- » λεῖς θύσαι τῷ Σίβᾳ, οἱ μὲν τῶν βασιλέων ὑπετάγησαν » αὐτῷ, οἱ δὲ φοβηθέντες ἔφυγον.

74. « Ὅσοι δὲ ἐπαιρόμενοι τῇ ἑαυτῶν ἀνδρείᾳ καὶ δυνάμει, » ἦλθον ἐνώπιον αὐτοῦ εἰς πόλεμον, οὗτοι πάντες καθείρ- » χθησαν ἐν τῇ πόλει αὐτοῦ Γιριβράζᾳ, ὄντες ὀγδοήκοντα » καὶ ἓξ τὸν ἀριθμόν.

75. « Ἕως δ' ἂν γένωνται ἑκατὸν καὶ δεκατέσσαρες κατάδικοι » βασιλεῖς, οὗτος βούλεται θύσαι αὐτούς. Ὅστις οὖν λυ- » τρώσει τοὺς δεσμίους τούτους ἐκ τῶν χειρῶν αὐτοῦ, οὗ- » τος αὐτοκράτωρ ἐπὶ γῆς γενήσεται.

76. « Εἰ μέν τοι γε οὗτος εἴη κατ' ἰδίαν, δυνατὸν νικηθῆ- » ναι ὑπὸ ῥιψοκινδύνων· ἐν γὰρ πολέμῳ, οὐδ' ὑπὸ τοῦ Σί- » βα ἂν νικηθείη. Τούτου τῇ θερμότητι θερμαινόμενος

---

1. Κατὰ λέξιν· ὁ εἰδήμων τῆς βασιλικῆς διοικήσεως.

» ἐγὼ, οἰκῶ παρὰ τῇ θαλάσσῃ, ὡς παρὰ δυσφημίᾳ [1].

77. « Ὁ Βήμας, ὁ λίαν δυνατὸς τοὺς βραχίονας, καὶ ὁ Ἀρ-» ζούνας, ὁ μόνος νικητὴς τοῦ κόσμου, καὶ ἐγὼ, ὁ εἰδή-» μων τῆς πολιτικῆς ἐπιστήμης, καὶ οἱ τρεῖς ὁμοῦ πορευ-» σόμεθα εἰς θάνατον τοῦ Ζαρασάνδα. »

78. Τῇ μὲν οὖν ἀδείᾳ τοῦ βασιλέως Ἰνδιστίρα, ὃς ἔστερξε τοιαύτῃ βουλῇ, ἐπορεύετο εἰς θάνατον τοῦ ἐχθροῦ ὁ Κρισνᾶς μετὰ τοῦ Βήμα καὶ Ἀρζούνα, ἀγλαϊζόμενος, ὡς ὁ Ἥλιος, μετὰ τοῦ Σούκρα καὶ Βούδᾳ [2].

79. Ἀφίκοντο δὲ τελευταῖον οὗτοι οἱ τρεῖς ἥρωες εἰς τὴν μεγάλην πόλιν Γιριβράζαν, τοῦ βασιλέως τῆς Μαγάδας, κατὰ τὸ ἑῷον μέρος τῆς Ἰνδίας, τὴν περικυκλουμένην πέντε ὄρεσι.

80. Πρὸς ταύτῃ τῇ πόλει ἐπλήττοντο τρία τύμπανα, πεποιημένα ὑπὸ τοῦ Ζαρασάνδα ἐκ τοῦ δέρματος καὶ ἐκ τῶν ὀστέων τοῦ βασιλέως τῶν Τιτάνων Βρισσάβα, ὃν ἀνεῖλεν ἐν πολέμῳ· ἐπὶ δὲ τούτων τῶν τυμπάνων ἄνθη ἔπιπτον ἀπὸ δένδρου μεθορίου.

81. Ἐκριζώσαντες δὲ τοῖς δυνατοῖς αὐτῶν βραχίοσι τὸ μεθόριον ἐκεῖνο δένδρον, τὸ ὂν ἐπὶ κορυφῆς ὄρους, ἀφέντες τὴν λεωφόρον, εἰσέδυσαν καὶ οἱ τρεῖς ὁμοῦ εἰς τὴν πόλιν τοῦ βασιλέως Ζαρασάνδα δι' ἄλλης εἰσόδου.

82. Εἶτα δ' εἰσέδυσαν ἐξαίφνης ἐν σχήματι Βραχμάνων καὶ εἰς τὸ βουλευτήριον τοῦ βασιλέως οὗτοι οἱ ἥρωες, οἱ δυσ-

---

1. Ὁ Κάνσας, ὃς ἦν γαμβρὸς τοῦ Ζαρασάνδα καὶ βασιλεὺς τῆς Ματουρᾶς, ἀνῃρέθη ὑπὸ τοῦ Κρισνᾶ· ὁ δὲ Ζαρασάνδας εἰς ἄμυναν πολλάκις ἐξεστράτευσε κατὰ τοῦ Κρισνᾶ, καὶ κατετρόπωσεν αὐτόν· ὃς ἀποδρὰς ἦλθε παρὰ τὸν ὠκεανὸν, καὶ ᾤκισε τὴν πόλιν Δοαρακὰν, ἔνθα καὶ ἐβασίλευε.

2. Σούκρας, ὁ ἀστὴρ ἡ Ἀφροδίτη· Βούδδας δὲ ὁ Ἑρμῆς.

σοδομεύοντες τὴν ἔχθραν, λαβόντες βίᾳ τοὺς στεφάνους παρὰ τῆς στεφανοπλόκου, φοβηθείσης αὐτούς [1].

83. Ὁ δὲ βασιλεὺς, ὁ ἡδόμενος τῇ πρὸς τοὺς ξένους τιμῇ, εἶπε πρὸς αὐτοὺς, εἰσελθόντας καὶ μὴ προσδεξαμένους τὰ ξένια, θαυμάζων κατὰ τὸν νοῦν, καὶ νομίζων αὐτοὺς ἐκ τοῦ ἤθους υἱοὺς βασιλέως·

84. « Ἀνασπάσαντες τὸ μεθόριον δένδρον, τὸ ὂν κόσμημα τοῦ » ὄρους, καὶ τιμώμενον παρὰ πᾶσι τοῖς ἐν τῇ πόλει, καὶ » εἰσελθόντες εἰς τὴν πόλιν δι' ὁδοῦ ἀδιοδεύτου, οὐ προσ- » δέχεσθε νῦν τὰ νομιζόμενα ξένια.

85. « Ὑμεῖς οὐκ ἔστε Βραχμᾶνες· τὸ γὰρ ὑποκάρπιον τῶν » χειρῶν ὑμῶν, τὸ ἔχον οὐλὴν ἐκ τῆς χορδῆς τοῦ τόξου, » φαίνεται ὥσπερ γῆ, ἐφ' ἧς ῥέει ὁ μανικὸς χυμὸς τοῦ ἐλέ- » φαντος, τῆς ἀνδρείας ὑμῶν.

86. « Τίνος Ξατρῆ υἱοὶ ὑμεῖς ἐστε; διὰ τί ἦλθετε ἐνθάδε ἐν » σχήματι Βραχμάνων; ἢ διὰ τί ὁ ποῦς ὑμῶν ἐπάτησεν » ἐν πυρὶ, ὑπερφλέγοντι δεινῶς; »

87. Ὁ δὲ Κρισνᾶς, ὑπόδρα βλέπων καὶ ὑπομειδιῶν, λόγον ἔλεξε τούτῳ τῷ μεγαλαυχοῦντι, μηδέπω ἀκουσθέντα τοῖς ὠσὶν αὐτοῦ.

88. « Οἱ γενναῖοι Ξατραὶ ἐμβαίνουσι τῷ οἴκῳ τοῦ ἐχθροῦ καὶ » δι' ὁδοῦ μὴ τετριμμένης· ἐμβάντες δ' ἐν τῷ οἴκῳ τοῦ » ἐχθροῦ διά τι τέλος, οὐ δέχονται ξένια [2].

89. « Σὺ ἐχθρὸς εἶ ἡμῖν, τοῖς φυλάττουσι τὰ τοῦ νόμου, βου- » λόμενος ποιῆσαι θυσίαν, ἐναντίον τοῦ νόμου, διὰ φόνου » τοσούτων βασιλέων, ὃ οὔτε ἠκούσθη, οὔτε ὡράθη πρό- » τερον.

90. « Ἡμεῖς ἤλθομεν τῇ προσταγῇ τοῦ Ἰνδιστίρα, μὴ ὑπο-

---

1. Εἰσέδυσαν ἐν σχήματι Βραχμάνων ἐστεφανωμένοι.

2. Τουτέστιν ἐμβαίνουσιν ἵνα λάβωσιν ὃ ἦλθον, καὶ οὐχὶ ξένια.

» φέροντες τὴν ταλαιπωρίαν τῶν ὁμοφύλων Ξατρῶν· ὅθεν
» ἀπόλυσον τοὺς δεδεμένους βασιλεῖς, εἰς σφαγὴν ἐν θυσίᾳ
« καὶ μὴ ὅδευε τὴν ὁδὸν τοῦ θανάτου.

91. « Ἐγὼ μέν εἰμι ὁ ἀναιρέτης τοῦ μεγάλου Τιτᾶνος Κάν-
» σα, οὗτος δὲ ὁ ὀλέτωρ τοῦ Χιδάμβα, ἐκεῖνος δὲ ὁ κατα-
» βαλὼν τὴν ἔπαρσιν τοῦ Ἴνδρα, βουλομένου διαφυλάξαι τὸ
» καιόμενον δάσος Κανδάβαν.

92. « Ἐστάλθημεν δὲ πρὸς σὲ παρὰ τοῦ Ἰνδιστίρα, βουλομέ-
» νου ἐκτελέσαι θυσίαν βασιλικήν· ἢ φόρον οὖν δὸς τῷ Ἰν-
» διστίρᾳ ἐν θυσίᾳ, ἢ τὸ πνεῦμα τῷ φοβερῷ τοὺς βραχίονας
» βήμα ἐν μάχῃ. »

93. Ὁ δὲ δεινὸς ἐν πολέμοις Ζαρασάνδας, ἀκούσας τοῦ λό-
γου τούτου, πλήξαντος ἄμφω τὰ ὦτα αὐτοῦ, δίκην κε-
ραυνοῦ, ἔκρουσε τὸν μυῶνα τῆς χειρὸς αὐτοῦ τῇ παλάμῃ,
καταπλήττων τοὺς τρεῖς κόσμους.

94. Ἐν ὅσῳ οὖν ἀναστῇ οὗτος, κράζων « Στῆτε, στῆτε, ὦ ῥᾳ-
» διοῦργοι » ἐν τοσούτῳ ἀνέστη εὐθέως ὁ βήμας εἰς μά-
χην, θαῤῥῶν καὶ χαίρων.

95. Ἐκ δὲ τοῦ ἤχου τῶν συγκρουομένων βραχιόνων ἀμφοτέ-
ρων τούτων διεῤῥάγη τὸ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς,
ὅπερ δῆλόν ἐστιν ἐκ τοῦ φαινομένου γαλαξίου.

96. Τότε τοῖς βαρέσι πατήμασι τῶν ποδῶν αὐτῶν, ἡ κεφα-
λὴ τοῦ βαστάζοντος τὴν γῆν ὄφεως εἰς χιλίας διετμήθη,
καὶ καθημαγμένη ἐγένετο, ὅπερ συμπεραίνεται ἐκ τῶν
πολυτίμων ἐρυθρῶν λίθων.

97. Ἀλλὰ καὶ ὁ κεραυνὸς, ὁ ὢν ἐν τῇ χειρὶ τοῦ Ἴνδρα, ὃς
ἦλθε θεασόμενος τὴν μάχην, ἀφῆκε τὴν ἔπαρσιν ἣν εἶχε
διὰ τὸ συντρίψαι τὰ ὄρη, ἰδὼν τὰς δεινὰς συγκρούσεις τῶν
χειρῶν τούτων.

98. Ἐκλελυμένα δ' ἔχων πάντα τὰ μέλη ὁ βασιλεὺς Ζαρα-
τάνδας ἐκ τῆς τοιαύτης δεινῆς συμπλοκῆς, ἐῤῥίφθη ὑπὸ

τοῦ Βήμα κατὰ γῆς, μετὰ δεκατεσσάρων ἡμερῶν μάχην.

99. Ἡ δ' ἐπὶ τοῦ ἅρματος τοῦ Ζαρασάνδα σημαία, οὐ συνεπλέκετο τοῖς δένδροις [1], οὐ διερρήγνυτο ταῖς πληγαῖς τῶν ὅπλων, ὁμοιοχρώματος ἦν τῷ τόξῳ τοῦ Ἴνδρα [2], ἀρίστη τε πασῶν τῶν ἐν ἅρμασι σημαιῶν, καὶ ἐφαίνετο ὡς τρόπαιον.

100. Τοῦτο τὸ ἅρμα, παρὰ μὲν τοῦ Ἴνδρα ἔλαβεν ὁ Βασοῦς· παρὰ δὲ τοῦ Βασοῦ ὁ Βριχατράτας· παρὰ δὲ τοῦ Βριχατράτα ὁ Ζαρασάνδας· ἐφ' ὃ ἀναβὰς ὁ Κρισνᾶς, γενόμενος ἡνίοχος, ἀνεβίβασε καὶ τὸν Βήμαν καὶ τὸν Ἀρζούναν.

101. Συνανεβίβασε δὲ καὶ τὸν ὑποταγέντα υἱὸν τοῦ Ζαρασάνδα, τὸν Σαχαδέβαν. Τοῦτο δὲ τὸ ἅρμα ἦν φυλαττόμενον ἑκατὸν δαίμοσι· καλέσας δὲ νοερῶς τὸν ἀετὸν ὁ Κρισνᾶς, ἔθετο αὐτὸν ἐπὶ τῆς σημαίας.

102. Οὗτοι μὲν οὖν οἱ τρεῖς νικηταὶ τῶν τριῶν κόσμων, οἱ ὅμοιοι τῷ πυρὶ κατὰ τὴν θερμότητα, ἐλευθερώσαντες τοὺς δεσμίους ἐκείνους βασιλεῖς, ἦλθον πρὸς τὸν Ἰνδιστίραν σὺν αὐτοῖς, ἀμέτρως χαίρουσιν.

103. Εἰποῦσι δὲ τοῖς βασιλεῦσι, «Τί ποιήσωμεν ἡμεῖς οἱ ἐμ» βληθέντες τῷ ὄρει τῆς Μαγάδας, ὡς ἐν πελάγει, καὶ » ἐλευθερωθέντες; » ἔφη ὁ Κρισνᾶς· « Ἐπιθυμητή ἐστιν ἐμοὶ » ἡ βασιλικὴ θυσία τοῦ Ἰνδιστίρα· γένεσθε οὖν καὶ ὑμεῖς » συνέριθοι. »

104. Τὸ μὲν οὖν ἅρμα ἐκεῖνο ἐδόθη τῷ Κρισνᾷ παρὰ τοῦ Ἰνδιστίρα, τὸ δὲ γνώρισμα τῆς νίκης κατὰ τοῦ Ζαρασάνδα· οἱ δὲ βασιλεῖς, τιμηθέντες ἀπῆλθον ταχέως εἰς τὰ ἴδια, χαίροντες.

105. Ἐπανῆλθε δὲ καὶ ὁ Κρισνᾶς εἰς τὴν Δοαρακὰν, τῇ ἀδείᾳ

---

1. Οὐ συνεποδίζετο τοῖς κλάδοις τῶν δένδρων.

2. Τόξον τοῦ Ἴνδρα ἐστὶν ἡ Ἶρις.

τοῦ βασιλέως Ἰνδιστίρα, δοὺς αὐτῷ ταύτην τὴν συμβουλήν· « Ἐξαποστείλας τοὺς τέσσαρας γενναίους ἀδελφοὺς εἰς τὰ τέσσαρα μέρη τῆς γῆς, καὶ πληρώσας τὸν » θησαυρὸν πλούτου πολλοῦ, ἐκ τῆς δασμολογίας, ἔσο » ἕτοιμος ἐπὶ θυσία. »

Τέλος τοῦ Πρώτου Κεφαλαίου, τοῦ Δευτέρου Βιβλίου τοῦ μεγάλου Ποιήματος Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

ὃ διαλαμβάνει τὴν νίκην κατὰ τῶν τεσσάρων μερῶν τῆς γῆς.

1. Ὑμνήσωμεν τὸν Βεάσαν, ὃς, ὢν ὡς νέφος τοῦ ἀμβροσίου ὠκεανοῦ τῆς θείας γνώσεως, ἔβρεξεν ἡδεῖαν ἀμβροσίαν, ἥ ἐστιν ἡ Μαχαβαράτα, εἰς χαρὰν τοῦ κόσμου.
2. Ὁ μὲν οὖν Ἀρζούνας ἐξεστράτευσεν εἰς νίκην τοῦ βορείου μέρους, οὗ τῷ πολλῷ τετραμερεῖ στρατεύματι ἡ γῆ βαρυνομένη ἐπιέζετο.
3. Καὶ οἱ μὲν στρατιῶται ᾤδευον πληροῦντες τὸν αἰθέρα βοῆς διὰ τοῦ παρακελευσμοῦ, ὥσπερ εἰ ἦσαν ἐπαοιδοί, εἰς τὸ ἑλκύσαι τὸν πλοῦτον τοῦ ἐχθροῦ [1].

---

1. Μυθολογοῦσιν ὡς οἱ ἐπαοιδοὶ ἕλκουσι πρὸς ἑαυτοὺς καὶ πλοῦτον ἄλλων, καὶ γυναῖκα, καὶ εἴτι ἄλλο θέλουσι.

4. Τὰ δ' ἅρματα ἔτρεχον, ὥσπερ ποιοῦντα χορεύειν τὴν φήμην τῶν ἀναβατῶν, διὰ τῆς νικήσεως τῶν σημαιῶν, ὡς χειρῶν, καὶ διὰ τῶν χρεμετισμῶν τῶν ἵππων, ὡς ᾀσμάτων.

5. Οἱ δ' ἵπποι ἠγλαΐζοντο, κόνιν ἀνιστῶντες θυμῷ εἰς ἀποσκίασιν τοῦ Ἡλίου, ὥστε ἀποκρύψαι τὴν σκιὰν ἑαυτῶν, τὴν ἀμιλλωμένην τῷ δρόμῳ.

6. Οἱ δ' ἐλέφαντες ὦδευον, ῥέοντες μανικὸν χυμὸν μελανοειδῆ, ὥσπερ βουλόμενοι ποιῆσαι μέλαν τὸ, ὡς λευκὸν ἱμάτιον, κλέος τῶν ἐχθρῶν.

7. Πεφρυγμένη δ' ὄρυζα ἐρρίπτετο ἀφειδῶς ἐπὶ τοῦ ἡρωϊκοῦ Ἀρζούνα ὑπὸ τῶν γυναικῶν τῆς πόλεως, ὥσπερ σπόροι τῶν μελλόντων δένδρων τῆς νίκης [2].

8. Ἐλθὼν δ' ὁ ἀπαράμιλλος τῇ ἀνδρείᾳ Ἀρζούνας [3] εἰς τὴν χώραν Κουνίνδαν, πολλοὺς τῶν βασιλέων τῆς γῆς ἐνίκησεν.

9. Εἶτα δ' ἐλήλυθεν οὗτος ὁ νικητὴς τῆς ἑπτανήσου γῆς εἰς τὴν χώραν Πραγγεοτίσσαν, οὗ ἐκ τῆς ἐλεύσεως, ὡς νυκτὸς, ὕπνος ἐγένετο τῇ ἀνδρείᾳ τοῦ βασιλέως Σουμανδάλα καὶ ἄλλων ὁμοῦ.

10. Ἔνθα ἐποίησε μᾶλλον εὐώδη τὰ δένδρα ἀγάλλοχα, διὰ διὰ τῶν ῥεόντων χυμῶν τῶν ἐλεφάντων τοῦ στρατοῦ, τῶν δεδεμένων ἐκείνοις τοῖς δένδρεσιν.

11. Ἐνταῦθα πόλεμον συνεκρότησε κατὰ τοῦ Ἀρζούνα ὁ βασιλεὺς Βαγαδάτας, ὁ φίλος τοῦ Ἴνδρα, βοηθούμενος τοῖς

---

1. Ἡ ὄρυζα μετὰ τοῦ φλοιοῦ φρυγομένη, λίαν λευκὴ γίνεται καὶ ἀνθοειδής· ἔστι δ' αἴσιον τὸ ῥίπτειν πεφρυγμένην ὄρυζαν.

2. Τὸ Ἰνδικὸν πρωτότυπον φέρει· ὁ τοῦ Βασαβᾶ υἱὸς, δηλαδὴ τοῦ Ἴνδρα.

ἐγκατοίκοις τῆς Κίνας, καὶ τῆς παραλίου χώρας, καὶ πολλοῖς Κιράταις.

12. Τὰ δὲ βέλη, τὰ ἀφιέμενα ἐκ τῆς χειρὸς τοῦ Ἀρζούνα, ἔπινον τὸν μανικὸν χυμὸν τοῦ Σουπρατίκα ἐλέφαντος τοῦ Βαγαδάτα, ἐφ' οὗ ἦν ἐποχούμενος [1].

13. Ὁ μὲν οὖν βασιλεὺς τῆς Καμαρούπας, ὁ Βαγαδάτας, πόλεμον ποιήσας κατὰ τοῦ Ἀρζούνα ἐν ὀκτὼ ἡμέραις, πρῶτον μὲν ἔδωκεν αὐτῷ νίκην, εἶτα χρήματα [2].

14. Μετὰ δὲ ταῦτα ὁ Ἀρζούνας ἐποχούμενος τῷ ἐλέφαντι Σουπρατίκᾳ, ὃς ἦν ὑψηλότερος τῶν ὀρέων, ἐνίκησεν ἐν πολέμῳ τὸν βασιλέα τῆς Κουλουταπούρας, ᾧ ὄνομα Βριχάντας.

15. Νικήσας δ' ὁ λαμπρὸς οὗτος τόν τε Ῥαμαδέβαν, καὶ τὸν Σουνάμαν, καὶ ἄλλους πολλοὺς βασιλεῖς, ἐξολόθρευσε καὶ τὸν Σατέαν, τὸν βασιλέα τῆς Διβαπράστας πόλεως.

16. Καταβαλὼν δὲ τήν τε ἔπαρσιν καὶ τὴν δύναμιν τοῦ βασιλέως τῶν ὀρέων, ἐποίησεν ἐν τῇ χώρᾳ ἐκείνου λύπην ἀντὶ χαρᾶς.

17. Κᾆτα ἡ γῆ τῆς Κασμήρας, τῷ ἔρωτι θλιβομένη, ὃ συμβαίνει συμπεραίνεται ἐκ τοῦ οὗ ἔχει κρόκου [3], ἠράσθη τοῦ Ἀρζούνα, ἐγκαταλειφθεῖσα ὑπὸ τοῦ ἑαυτῆς κυρίου [4].

18. Οἱ δ' ἐκεῖ ῥέοντες ποταμοὶ ὑπερηύξησαν πρὸς τοῖς ἑαυτῶν ῥείθροις, τοῖς τε δάκρυσι τῶν γυναικῶν τῶν ἐχθρῶν, καὶ τοῖς μανικοῖς χυμοῖς τῶν ἐλεφάντων.

19. Ἀποδείξας δὲ τὸν τῆς Καμβήρας βασιλέα ἄνανδρον, καὶ

---

1. Ἔπληττον δηλ. τὸ μέτωπον αὐτοῦ.

2. Τουτέστι καὶ ἐνικήθη καὶ ὑποτελὴς ἐγένετο.

3. Τὸ ἐρυθρὸν ἢ ξανθὸν ἴδιόν ἐστι τοῦ Ἔρωτος καὶ τοῦ φίλτρου.

4. Ὡμολόγησε δηλ. αὐτὸν βασιλέα, τοῦ πρώην βασιλέως φυγόντος ἢ ἀναιρεθέντος.

τὸν βασιλέα τῆς Λοχίτας εἰς ἀμηχανίαν ἀγαγὼν, φόβον μέγαν ποιῶν παντὶ τόπῳ, κατέκοψε τοὺς ἥρωας τῆς Τριγάρτας χώρας,

20. Καὶ ὁρμήσας κατὰ τῆς Σιγχαπούρας [1] πόλεως, ὡς λέων κατὰ τοῦ ἐλέφαντος, ἐποίησε τὸν εὐπόλεμον βασιλέα ἐκείνης τῆς πόλεως ἀπόλεμον ἐν πολέμῳ.

21. Καταβαλὼν δὲ τὸ ὑπέροφρυ τῶν εὐοφθάλμων γυναικῶν τοῦ βασιλέως τῆς Σόλας χώρας, χηρείαν ποιήσας πάσαις ταῖς γυναιξὶ τῆς Βαλχικᾶς,

22. Ἀρδεύων μὲν τὸ ἑαυτοῦ κλέος, ὡς φυτὸν, τοῖς δάκρυσι τῶν γυναικῶν τοῦ βασιλέως τῆς χώρας Βρούνας καὶ Χούνης, ἐξάπτων δὲ τὸ ἑαυτοῦ πῦρ τοῖς μεγάλοις ἀναστεναγμοῖς τῶν γυναικῶν τοῦ βασιλέως τῆς Δαράδας χώρας,

23. Ἦλθεν ὁ γενναῖος Ἀρζούνας εἰς τὴν Καμβόζαν χώραν, τὴν ἔχουσαν καλοὺς καὶ γενναίους ἵππους, καὶ εὐφορωτάτην οὖσαν, ἐπιθυμῶν πλούτου.

24. Οἱ δ' ἐλέφαντες τούτου ἐπότιζον τοῖς ἑαυτῶν μανικοῖς χυμοῖς τὰς καρύας, τὰ δένδρα, ἐν οἷς ἦσαν δεδεμένοι· ἴδιον γὰρ τῶν μεγαλοφυῶν τὸ εὐποιεῖν καὶ τοὺς κακὰ ποιοῦντας.

25. Καταβαλὼν δὲ τὸν ἀνδρεῖον βασιλέα τῆς Καμβόζας Σουδαξινὰν, ἐνίκησε καὶ τοὺς λοιποὺς βασιλεῖς, τοὺς ὄντας μέσον τῆς Ἀνατολῆς καὶ τῆς Ἄρκτου.

26. Δόξαν δὲ λαβὼν μεγάλην ἐκ τῆς νίκης κατὰ τοῦ μεγάλου βασιλέως τῆς Καμβόζας, ἐπορεύθη ἔπειτα εἰς τὴν Ῥιακὰν χώραν, ὁ ὅμοιος τῷ Βισνοῦ κατὰ τὰ κατορθώματα.

27. Λαβὼν δὲ ὀκτὼ ἵππους ξανθοὺς, οὓς προσήνεγκεν αὐτῷ ὁ βασιλεὺς ἐκείνης τῆς χώρας, ἠγλαΐζετο μᾶλλον τοῦ

1. Αὐτολεξεὶ, Λεοντοπόλεως.

Ἡλίου [1] αὐτὸς ὁ πληρώσας τοὺς τρεῖς κόσμους τῆς ἑαυτοῦ λαμπρότητος.

28. Ἔπειτα δ' ἀνέβη ἐπὶ τὸ χιονῶδες λευκὸν ὄρος [2], τὸ οὐρανόμηκες, ὥσπερ ἐπὶ κλέος μέγα ἐκ τῆς ὑποταγῆς τοσούτων τόπων.

29. Ἔνθα ἰδόντες οἱ Κιννάραι [3] τοὺς ἵππους τούτου, ἐθαύμασαν, λέγοντες· « Τούτων τὸ σῶμα οὐκ ἔστιν ἁρμόδιον » ἀνάλογον τῷ προσώπῳ, ἢ τὸ πρόσωπον τῷ σώματι. »

30. Ἐνταῦθα οἱ ἐλέφαντες τοῦ Ἀρζούνα ἔπληττον τὰ νέφη τοῖς ὀδοῦσι, λίαν θυμούμενοι, ἐκ τῆς ὀσμῆς τοῦ μανικοῦ χυμοῦ τοῦ ἐλέφαντος, τοῦ βαστάζοντος τὸ μέρος τὸ ἀρκτῶον [4].

31. Ὕδατα δὲ ἔνθεν κακεῖθεν ἀνέβρυον ἐκ τῶν τροχαλιῶν τοῦ ἅρματος τοῦ Ἀρζούνα, καὶ ἐξ ἐκείνου τοῦ χρόνου, εἶμαι, ἡ Γαγγὰ ἐγένετο χιλιόβρυτος [5].

32. Οἱ δὲ στρατιῶται τοῦ Ἀρζούνα, οἱ θερμοὶ τῇ ἀνδρείᾳ, ὅπου ἐτίθεντο τὸν πόδα ἑαυτῶν, εὐφημία τούτων ἐκεῖθεν ἔρρει, τουτέστιν ἐκ τῆς χιόνος [6].

33. Ἐταπεινώθη δὲ τὸ ὄρος ἐκεῖνο, ἐπειδὴ οἱ μὲν ἐλέφαντες

---

1. Μᾶλλον τοῦ Ἡλίου ἠγλαΐζετο, ἐπειδὴ ὁ Ἥλιος ἑπτὰ ξανθοὺς ἵππους ἔχει.

2. Ὁ Ἰμαός ἐστι.

3. Οἱ Κιννάραι οὗτοι μυθεύονται ὅτι ἔχουσιν ἄλλοι μὲν πρόσωπον ἵππου, σῶμα δ' ἀνθρώπου· ἄλλοι δὲ σῶμα μὲν ἵππου, πρόσωπον δ' ἀνθρώπου.

4. Βλέποντες τὸ πρὸς τῷ ὄρει Ἰμαῷ νέφος, ἐνόμιζον ὡς ὁ ἐλέφας ἐστιν, ὁ βαστάζων τὸ ἀρκτῶον μέρος, καὶ εἰς ὀργὴν παρωξύνοντο, ὀσφραινόμενοι τοῦ μανικοῦ χυμοῦ τοῦ ἐλέφαντος ἐκείνου. Μέλαν τὸ νέφος, μέλας καὶ ὁ ἐλέφας.

5. Ἡ Γαγγὰ ἐκείνῳ τῷ ὄρει ἀναβρύει.

6. Ἡ γὰρ χιὼν θερμαινομένη, ἢ πατουμένη ἀναλύεται εἰς ὕδωρ. Λευκὴ ἡ χιών, λευκὴ καὶ ἡ εὐφημία.

τοῦ Ἀρζούνα ἦσαν ὥσπερ δένδρα Βούρζας [1], οἱ δὲ περὶ τὸν μανικὸν χυμὸν τῶν ἐλεφάντων βομβοῦντες βομβύλιοι, ὥσπερ ἄδοντες Κιννάραι [2].

34. Τὰ δὲ δένδρα ἐπειρῶντο θλίψεως ὑπὸ τῶν ἐλεφάντων τοῦ Ἀρζούνα [3], ἧς οὐκ ἐπειράθησαν ὑπὸ τῶν ἐκεῖ ἐλεφάντων [4], διὰ τὸν φόβον τοῦ θεοῦ Κουβέρα, τοῦ ἐφόρου τοῦ ὄρους ἐκείνου.

35. Διαβὰς δὲ τὸ λευκὸν ὄρος, καὶ νικήσας τοὺς ἐν τῷ ὄρει Νισκούτα, ἐνίκησε τὸν Δρουμαπάτραν, βασιλέα ἐκείνης τῆς χώρας, ἔνθα ᾤκουν οἱ Κιμπουρουῦσαι.

36. Νικήσας δ' ὁ εὐπόλεμος Ἀρζούνας κατὰ κράτος καὶ τοὺς Γουχέκας [5], τοὺς ἐν τῇ χώρᾳ Χατάκᾳ, ἀφίκετο εἰς τὴν περίφημον λίμνην Μανάσαν.

37. Οἱ δ' ἐν τῇ λίμνῃ χῆνες ἐπετάσθησαν εἰς τὸν οὐρανὸν, ὥσπερ ἔπαινοι τοῦ Ἀρζούνα, ἰδόντες τοὺς ἐλέφαντας διαρρηγνύντας φωνὴν, καὶ νομίσαντες αὐτοὺς νέφη ἔξω καιροῦ [6].

38. Παίζοντες δ' οἱ στρατιῶται ἐν τῇ χρυσῇ ἄμμῳ [7] καὶ χρώμενοι ἐνωτίοις τοῖς χρυσοῖς λωτοῖς, ἐφαίνοντο ὥσπερ

---

1. Βούρζα μέχρι τοῦ νῦν λέγεται· ἔστι δὲ κατεστιγμένον καὶ παρδαλὸν κατὰ τὸν φλοιὸν, ὡς καὶ ὁ ἐλέφας κατὰ τὸ δέρμα, Ἐν ἐκείνῳ τῷ ὄρει φύεται τὸ δένδρον ἡ Βούρζα, καὶ ἐπὶ τοῦ φλοιοῦ ἐκείνου γράφουσιν, ὥσπερ ἐπὶ χάρτου.

2. Οἱ μυθευόμενοι Κιννάραι κατὰ τὸν Ἰμαὸν διάγουσιν· ἀκόλουθοι δ' εἰσὶ τοῦ θεοῦ Κουβέρα.

3. Οἱ ἐλέφαντες παίζοντες προσέτριβον τοὺς ὀδόντας καὶ τὰς προβοσκίδας τοῖς δένδροις.

4. Ἐκ τούτου δεικνύει, ὅτι οἱ ἐλέφαντες τοῦ Ἀρζούνα δεινότεροι ἦσαν τῶν ἀγρίων ἐλεφάντων.

5. Γουχέκαι, εἶδος θεῶν ὑπὸ τὴν ἐξουσίαν τοῦ Κουβέρα.

6. Ἐν γὰρ τῇ ὥρᾳ τῶν ὄμβρων οἱ χῆνες οὐκ ἐνδιαιτῶνται τῇ λίμνῃ.

7. Ἡ λίμνη ἐκείνη χρυσῆν ἄμμον ἔχει καὶ χρυσοὺς λωτούς.

περικεκαλυμμένοι πραγματικῶς τῷ ἐν αὐτοῖς λάμποντι πυρὶ τῆς ἀνδρείας [1].

39. Εἶτα δ' ὁ Ἀρζούνας, οὗ τὸ στράτευμα διπλάσιον ἐφαίνετο ἐκ τῆς ἀντιλαμπούσης σκιᾶς ἐν τῇ ὑπωρείᾳ τοῦ ἐκ λαμπρῶν κρυστάλλων ὄρους, ἐστρατοπέδευσε παρὰ τῇ πύλῃ τῆς πόλεως Ἀλακᾶς [2].

40. Οἱ δ' ἐλέφαντες ἔθιγον ἡδέως τῶν ἑαυτῶν σκιῶν, τῶν ἐν τῇ ὑπωρείᾳ τοῦ λαμπροῦ ὄρους, ἐν αἷς οὐ διεκρίνοντο οἱ ὀδόντες [3], νομίζοντες θήλεας ἐλέφαντας [4].

41. Ἐπιγραφὴ δὲ τῆς νίκης ἐπὶ τοῦ τείχους τῆς πόλεως Ἀλακᾶς ἐγράφθη ὑπὸ τῶν ἐλεφάντων τοῦ Ἀρζούνα, διὰ τῶν μελανοειδῶν σταγόνων τοῦ μανικοῦ χυμοῦ, τῶν ἐκριπτομένων ὑπὸ τοῦ ἀέρος τοῦ ἐκ τῶν κινουμένων ὤτων.

42. Δοὺς δ' ὁ Κουβέρας πλοῦτον ἀναρίθμητον τῷ Ἀρζούνᾳ, φοβούμενος τὴν διαπόρθησιν τῆς οἰκείας πόλεως, ἐξ ἐκείνου τοῦ χρόνου ὠνομάσθη φερωνύμως Δανάδας [5].

43. Καθυποτάξας δὲ τὴν χώραν τῶν Γανδαρβῶν, ἔλαβεν ἐκ τῆς πόλεως αὐτῶν ἵππους ποικιλόχροας, γεννηθέντας ἐν ὄρει, οἷς ὄνομα Μανδοῦκαι.

44. Βουλόμενος δὲ πορθῆσαι καὶ τὴν βορειοτέραν χώραν Χαριβαρσσὰν, λαβὼν παρὰ τῶν θεοειδῶν ἐγκατοίκων, ὡς φόρον, πολλὰ πολύτιμα πράγματα, ἀπέσχετο.

45. Οὕτωσὶ οὖν οὗτος νικήσας τὰ βόρεια μέρη, ἐξ οὗ ἐφοβήθη

---

1. Τουτέστι τὸ θερμουργὸν αὐτῶν ἐφάνη ἔξωθεν πραγματικῶς.

2. Ἀλακά ἐστιν ἡ πόλις τοῦ Κουβέρα· Καϊλάσσα δὲ, ὄρος, ὅπερ κρυστάλλινον ἢ ἀργύρεόν ἐστι.

3. Λευκὸν τὸ ὄρος, λευκοὶ καὶ οἱ ὀδόντες.

4. Οἱ γὰρ θήλεις ἐλέφαντες οὐκ ἔχουσιν ὀδόντας.

5. Δανάδας, τουτέστι Πλουτοδότης· ὁ γὰρ Κουβέρας ἐστὶν ὁ θεὸς τοῦ πλούτου.

καὶ ὁ Σίβας, κατέβη ἀπὸ τοῦ Καϊλάσσα ὄρους, τιμηθεὶς ὑπὸ τοῦ θεοῦ Κουβέρα.

46. Ἔστησε δὲ ἐν τρόπαιον ἐνταῦθα αὐτὸς ὁ ὄντως τροπαιοῦχος, ἵνα εἴῃ ὡς στύλος παιδιᾶς καὶ διατριβῆς τῷ υἱῷ τοῦ Σίβα, Γανέσσα.

47. Ὁ δὲ ἰσχυρὸς Βήμας ἐξεστράτευσε κατὰ τὸ ἀνατολικὸν μέρος, φρίκῃ συνεχόμενος ἐκ τῆς περὶ τὸν πόλεμον χαρᾶς, ὥσπερεὶ εἶχεν ἄγρωστιν αἰσίαν [1].

48. Ἐποχούμενος δ' ἐφ' ἅρματος, ἐπορεύετο ὡς ὄρος, ἔχων τὸν μὲν στρατὸν, ὡς πίδακα ῥέοντα, τὴν δὲ νίκην, ὡς μεταλλείαν, τὴν δὲ κορύνην, ὡς ἀκρώρειαν.

49. Ἐν δὲ τῇ ἐξόδῳ τούτου κατὰ τὸ πρωΐ, ἡ ἀνατολὴ ἦν ἔμπροσθεν, ὡς παρθένος, ἔχουσα τὸν Ἥλιον ἐπὶ κεφαλῆς, ὡς στάμνον, ἀγαθὸν οἰωνὸν τῆς νίκης [2].

50. Ἡ δὲ στρατιὰ ἐποίει βοὴν, ὡς θάλασσα, βλέπουσα τὸ σεληνιαῖον πρόσωπον τοῦ Βήμα, ἧς τὰ μὲν λευκὰ σκιάδια ἦν, ὡς ἀφρὸς, οἱ δ' ἄττοντες ἵπποι, ὡς κύματα.

51. Ἐν τῇ κατὰ τοῦ ἀνατολικοῦ μέρους ἐκστρατείᾳ τοῦ Βήμα, κατὰ πρῶτον ὁ ἀνατείλας Ἥλιος ἀμαυρὸς καὶ ἀδρανὴς ἐγένετο, κατακαλυφθεὶς τῇ κόνει, τῇ ἀνισταμένῃ ἐκ τῆς πορείας τοῦ στρατοῦ.

52. Πολλοὺς δὲ ποταμοὺς διαβὰς, καὶ πολλὰς δυνάμεις βασιλέων καταβαλὼν, ἦλθεν εἰς τὴν περιφανῆ χώραν Πανσάλαν.

53. Καὶ τοὺς μὲν ἐν τῇ Πανσάλᾳ χώρᾳ λεηλατήσας, τοὺς δ' ἐν τῇ Γανδάκᾳ παιδεύσας, τοὺς δ' ἐν τῇ Βιδέχᾳ

---

1. Ὅταν ἀποδημῇ τις, ἄγρωστιν φέρουσι πρὸ αὐτοῦ καὶ στάμνον πλήρη ὕδατος, καὶ ὀξύγαλα, ἃ εἰσιν οἰωνοὶ ἀγαθοί.

2. Ἀγαθὸς γὰρ οἰωνὸς τὸ ἰδεῖν στάμνον πλήρη τὸ πρωΐ ἐπὶ τῆς κεφαλῆς παρθένου, ἢ γυναικὸς ἐχούσης ἄνδρα.

αἰχμαλωτεύσας, ἀφίκετο εἰς τὴν χώραν Δασσάρναν.

54. Καταβαλὼν δ' ἐν μάχῃ τὸν βασιλέα τῆς Δασσάρνας Σουσσαρμᾶνα, ἔθετο ἐν τῇ πόλει Βιδισσᾷ τὸ ἑαυτοῦ κλέος, ὡς στύλον ἀκράδαντον.

55. Ἔνθα οἱ μὲν βόες τοῦ στρατοῦ ἔγραφον ἐπιγραφὴν τοῖς κέρασιν ἐν τῇ ὄχθῃ τῆς Βετραβατῆς, οἱ δ' ἐλέφαντες τοῖς ὀδοῦσιν ἐν τοῖς λίθοις τοῦ ὄρους Ἄξα.

56. Ποιήσας δ' ἀρχηγὸν στρατοῦ τοῦτον τὸν Σουσσαρμᾶνα, ἐνίκησε τοὺς βασιλεῖς τῆς Ἀσβαμέδας καὶ Πουρβαδέσσας.

57. Ὑποτάξας δὲ δύω βασιλεῖς τῆς Πουλίνδας πόλεως, τὸν Σουκουμάραν, καὶ τὸν Σουμίτραν, ἐστρατοπέδευσε παρὰ τῇ χώρᾳ Σέδῃ,

58. Ἔνθα ἔμεινε τριάκοντα ἡμέρας δεδεμένος, ὥςπερ ἐλέφας σχοινίῳ, τῷ μεγάλῳ φίλτρῳ τοῦ βασιλέως Σισσουπάλα.

59. Νικήσας δ' οὗτος ὁ γενναῖος τὸν βασιλέα τῆς Κουμάρας, Σρενημάνταν, καὶ τὸν τῆς Κοσσάλας, Μαχαδβάλαν, ἀφίκετο εἰς τὴν Οὐτταρακοσσάλαν.

60. Κατατροπώσας δὲ τὸν βασιλέα Δηργαπράγναν, κατήσχυνε τὴν πόλιν Ἀϊοδεάν, τὴν ἐπαιρομένην ἐπὶ βασιλεῦσιν ἀνικήτοις ἐν πολέμῳ.

61. Ἐνταῦθα ἡ Σαραϊοῦ, συγκραθεῖσα τῷ μέλανι χυμῷ τῶν ἐλεφάντων τοῦ Βήμα, ἐγένετο δευτέρα Ἰαμουνά, συμμιγνυμένη τῇ Γαγγᾷ.

62. Ἦλθε δ' ἔπειτα ὁ φιλοπόλεμος Βήμας εἰς τὴν Βαρανασὴν πόλιν, ἀφανίσας τοὺς ἐν μέσῳ βασιλεῖς, τὸν Γυπάλαν, τὸν Κάσαν καὶ ἄλλους, ὡς ἡ Σελήνη τοὺς λωτούς[1].

---

1. Δηλαδὴ καθὼς οἱ ἡμερανθεῖς λωτοὶ συστέλλονται, ἀνατειλάσης τῆς Σελήνης, οὕτω καὶ οἱ βασιλεῖς συνεστέλλοντο καὶ ἠφανίζοντο, φανέντος τοῦ Βήμα.

63. Εὔκλεια δ' ὑπ' αὐτοῦ ἐξετάθη, ὥσπερ ἄλλη Γαγγὰ, νικήσαντος τὸν πρώην ἀνίκητον βασιλέα τῆς Βαρανασῆς, Σουμαντοῦν τοὔνομα.

64. Ἐνταῦθα προσκυνήσας τὸν Σίβαν, εὐφημίαν καὶ λαμπρότητα ἐκτήσατο, ὑπερλάμπρους γεγενημένας τῇ λάμψει τοῦ ἐπὶ τοῦ μετώπου τοῦ Σίβα ὀφθαλμοῦ, καὶ τοῦ ἡμισελήνου.

65. Ὁ δὲ βασιλεὺς τῆς Μοτιλᾶς χώρας, Ζανάκας, κατεκάη τῇ πυροειδεῖ τούτου λαμπρότητι, ἣ κατέκαυσεν, ὡς ξύλα, τοὺς βασιλεῖς Ματσέας καὶ ἄλλων τόπων.

66. Μεγάλη δὲ χαρὰ ἐγένετο τῷ Βήμᾳ, λαβόντι φόρον παρὰ τοῦ βασιλέως τῆς Μιτιλαπούρας, ὡς τῷ τοξικῷ Ῥάμᾳ, ἑλκύσαντι τὸ μέγα τόξον, καὶ λαβόντι τὴν γυναῖκα Σητάν [1].

67. Ὑπέταξε δ' ἔπειτα τὴν Ἰνδραπαρβάταν, τὴν Σουχμὰν, τὴν Πρασεσουχμὰν, τὴν Σαπαξάκαν, καὶ τὴν Μαγάδαν προσέτι, κατατροπώσας τοὺς βασιλεῖς Δάνδαν καὶ Δανδάραν.

68. Ποιήσας δ' ὑποτελῆ τὸν υἱὸν τοῦ Ταρασάνδα ἐν τῇ Γιριβράζᾳ, ἐπορεύετο σὺν ἅπασι τοῖς ὑποτεταγμένοις βασιλεῦσιν εἰς τὴν χώραν Γαούραν.

69. Καὶ τοὺς μὲν βασιλεῖς καταπτοήσας, τὰ δ' ὄρη διασείσας, ἀφείκετο εἰς τὴν πλουσιωτάτην πόλιν Σαμπὰν, τὴν ἐν Γαούρᾳ χώρᾳ.

70. Ἰδὼν δ' ὁ βασιλεὺς τῆς Σαμπᾶς, Καρνᾶς, τὸν Βήμαν ἐλθόντα, τὸν φοβερὸν κατὰ τὰ ὅπλα καὶ κατὰ τὸ σῶμα, ἦν τρέμων, ὡς γυνὴ βλέπουσα ἐρωτόμορφον νέον.

71. Ἀκούσας δ' ὁ Βήμας, ὡς ὁ Καρνᾶς, βασιλεὺς τῆς Σαμ-

1. Ὁ μὲν Ῥάμας ἔλαβε γυναῖκα, ὁ δὲ Βήμας φόρον.

πᾶς, φοβηθεὶς ἔφυγεν, ἐνίκησεν ἐν πολέμῳ τὸν Βασουδέβαν, τὸν βασιλέα τῆς Πούνδρας.

72. Κατορθώματα δὲ πολλὰ τελέσας ἐν Καουσσικᾷ καὶ Κασῇ, ἀφίκετο μετὰ ταῦτα εἰς τὴν Βάγγαν χώραν, τὴν προσεομένην τῇ θαλάσσῃ.

73. Ὁ δὲ βασιλεὺς Σαμουδρασένας, ἀφελὼν τὸν ἑαυτοῦ στέφανον καὶ θεὶς αὐτὸν παρὰ τῷ ποδὶ τοῦ μεγαλουργοῦ Βήμα, ἔθετο τὴν προσταγὴν αὐτοῦ ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς.

74. Ἠττηθεῖσα δ' ὑπ' αὐτοῦ καὶ ἡ ἀνατολικὴ θάλασσα κατὰ τὴν βαθύτητα, ἔδωκεν αὐτῷ φόρον πολλὰ πολύτιμα πράγματα, ἐκριφθέντα τοῖς κύμασιν, ὡς χερσίν.

75. Ἔδησε δὲ τὸν ὕμνον αὐτοῦ, ὡς ἐλέφαντα [1], νικητὴν τοῦ ἐλέφαντος τῆς Ἀνατολῆς, ἐν στύλῳ νίκης, ὅνπερ ἔστησεν ἐν τῇ εἰσβολῇ τῆς Γαγγᾶς εἰς τὸν Ὠκεανόν.

76. Τὸ δὲ πῦρ τῆς δυνάμεως τούτου ἐξήφθη μᾶλλον ἐκεῖ τοῖς ἀνέμοις, τοῖς ἐκ τῶν κυμάτων τῆς ἑώας θαλάσσης· οἱ δ' ἥλιοι, οἳ ἀνατέλλουσι καθ' ἑκάστην, ὥσπερ σπινθῆρές εἰσιν ἐκείνου τοῦ πυρός.

77. Ὁ μὲν οὖν Βήμας, καταδαμάσας πολλοὺς βασιλεῖς τῇ δυνάμει τῶν βραχιόνων αὐτοῦ, καὶ ὑποτάξας πάντας τοὺς τόπους τῆς Ἀνατολῆς, ἐπανέζευξεν ἀπὸ τοῦ μεγάλου Ὠκεανοῦ.

78. Ὁ δὲ γενναῖος καὶ ἔμφρων Σαχαδέβας ἐποίησε στρατείαν [2] εἰς νίκην τοῦ μεσημβρινοῦ μέρους, ἔχων τετραμερῆ στρατόν.

79. Οὗ τῶν μουσικῶν ὀργάνων ὁ ψόφος, ἐποίησε τὰ ὄρη τῶν πολεμίων βασιλέων ἀκατοίκητα, διακρημνίζων τὰς ἀκρωρείας αὐτῶν.

---

1. Λευκὸς ὁ ὕμνος, λευκὸς καὶ ὁ ἐλέφας τοῦ ἀνατολικοῦ μέρους, ὁ Ἀϊραβάτας.

2. Αὐτολεξεί, νικητικὴν περιήγησιν.

80. Κόνις δ' ἐφέρετο ἀπὸ τοῦ ὅλου στρατεύματος μέχρι τοῦ ὕψους τοῦ οὐρανοῦ ὑπὸ τοῦ ἀέρος, τοῦ ἐκ τῆς χαίτης τῶν ἵππων, ἐκ τῶν ὤτων τῶν ἐλεφάντων, καὶ ἐκ τῶν σημαιῶν τῶν ἁρμάτων.

81. Ἐνίκησε δ' εὐμαρῶς τοὺς γενναίους στρατοὺς τῶν ἐχθρῶν ἐν τῇ χώρᾳ Σουρασένᾳ, δήσας τὴν νίκην, ὡς ἐλέφαντα, ἐν τῷ ὄρει Γοβαρδάνᾳ.

82. Μετ' αἰδοῦς δὲ καὶ χαρᾶς ἐωρᾶτο οὗτος ὁ μέγας νικητὴς καὶ πάγκαλος ὑπὸ τῶν γυναικῶν τοῦ βασιλέως τῆς πόλεως Ματουρᾶς.

83. Αἱ δὲ Νύμφαι τοῦ ἅλσους Βρινδαβάνα, βλέπουσαι τὰς ὀστώσεις ἐξοχὰς τῶν μετώπων τῶν ἐλεφάντων τούτου, ἀνέφερον τὸν νοῦν αὐτῶν εἰς τοὺς ἁγλαοὺς μαστοὺς τῶν βουκολικῶν γυναικῶν, τῶν ἡδομένων τῇ θέᾳ τοῦ Κρισνᾶ.

84. Καταθλίψας δὲ τὸν βασιλέα τῆς Ματσέας καὶ τὸν τῆς Ἀχῆς, καὶ ἄλλους ἄλλων τόπων βασιλεῖς, κατεπάτησε καὶ τὸν βασιλέα Βόζαν περὶ τὴν ὄχθην τῆς Σαρμαμβατῆς, ὡς ὁ ἐλέφας τὸν λωτόν.

85. Καὶ ἡ Ἰαμουνὰ δὲ τρίῤῥειθρος ἐγένετο, ἔκτε τῶν ἑαυτῆς ὑδάτων, ἐκ τῶν μελάνων χυμῶν τῶν ἐλεφάντων, καὶ ἐκ τῶν μεμιγμένων τῇ στίμμει δακρύων τῶν γυναικῶν τῶν ἐχθρῶν.

86. Εἶτα δ' ἐπορεύθη εἰς τὴν χώραν Ἀβαντὴν οὗτος ὁ ὢν ὅμοιος τῷ πυρὶ κατὰ τὴν θερμουργίαν· ὁ δὲ στρατὸς αὐτοῦ ὦδευεν ἐν ἀνέσει ὑπὸ τὴν σκιὰν τῆς ἀνισταμένης κόνιος.

87. Χορεῦσαι δ' ἐποίησε τὴν ἑαυτοῦ εὐφημίαν [1], τὴν νικήτριαν τῶν βασιλέων Βίνδα καὶ Ἀνουβίνδα, ἐν τῷ χείλει τῆς Σιπρᾶς, ὡς ἐν θεάτρῳ.

88. Ὀρθεὶς δὲ ἡδέως ταῖς ἑταίραις τῆς Οὐζαγίνης πόλεως,

1. Τὴν φήμην ὡς χορεύτριαν παρίστησι.

φρίκη κατάσχετος ἐγένετο· εἶτα δὲ προσεκύνησε τὸν ἐκεῖ θεὸν Μαχακάλαν [1].

89. Πόλεμον δὲ συγκροτήσας κατὰ τοῦ Νείλα, τοῦ βασιλέως τῆς Μαχισματῆς πόλεως, ἐρυθρὸν ἐποίησε τὸν ποταμὸν Ῥεβὰν ἐκ τῶν αἱμάτων.

90. Πῦρ δ' ἐξήφθη φλογερὸν ἐν τῷ στρατῷ τοῦ Σαχαδέβα, εἰς εἰς βοήθειαν τοῦ Νείλα, δεδεμένου ὑποσχέσει, ἣν ἔδωκέ τινι τῶν προπατόρων αὐτοῦ.

91. Ἰδὼν δ' ὁ Σαχαδέβας τὸν ἑαυτοῦ στρατὸν κατατρυχόμενον ταῖς ἀλλεπαλλήλοις φλοξὶ τοῦ πυρὸς, λουσάμενος καὶ καθαρὸς γενόμενος, ἔφη τῷ πυρί·

92. «Αὕτη ἡ παρεσκευασμένη ἐκστρατεία διὰ σὲ γίνεται, ὦ » ἀγαπητὲ ἄνερ τῆς Σβαχᾶς· δόξα ἔσω σοι· σὺ εἶ σόμα τῶν » θεῶν· οὐ δίκαιον οὖν ἐστιν ἐμποδὼν γενέσθαι τῇ θυσίᾳ. »

93. Σβεσθέντος δὴ τοῦ πυρὸς τοῖς ὕμνοις τοῦ Σαχαβέδα, ὁ βασιλεὺς Νείλας ἔθετο τὴν προσταγὴν αὐτοῦ ἐπὶ κεφαλῆς.

94. Ποιήσας δ' ὑποτελῆ τὸν βασιλέα τῆς Τριπούρας, ἐξολοθρεύσας τε τὸν τῆς Πουνδάνας, καὶ ὑποτάξας τοὺς ἐν Κενατκᾷ, ἀφίκετο εἰς τὴν Σουράστραν.

95. Κατετρόπωσε δὲ τὸν φίλον τοῦ Ἴνδρα Βισμάκαν, τὸν βασιλέα τῆς ἐν Σουράστρᾳ Βοζακάτας πόλεως, μετὰ τοῦ υἱοῦ αὐτοῦ Ῥουκμῆ.

96. Φιλίαν δὲ ποιησάμενος μετὰ τοῦ Βασιλέως Βισμάκα, τοῦ φιλικῶς διατεθειμένου πρὸς τὸν Κρισνᾶν, πορευθεὶς εἰς τὴν Σουρπάραν χώραν, ὑπέταξεν αὐτήν.

97. Νικήσας δὲ τοὺς ἐν τῷ Δανδάκᾳ [1] βασιλεῖς, καὶ προσκυνήσας τοὺς τόπους, ἔνθα διέτριβεν ὁ Ῥάμας, πορευθεὶς εἰς τὴν Σαγάραν νῆσον, κατέβαλε τὸν βασιλέα Νισσάδαν.

---

1. Τὸν Σίβαν.

2. Ἐν τούτῳ τῷ δάσει ὁ Ῥάμας διέτριψε τέσσαρα ἔτη.

98. Καταβαλὼν δ' ἐν πολέμῳ τοὺς ἐν τῇ Καρναπραβαράνᾳ χώρᾳ, κατεπόρθησε τὰς πόλεις αὐτῶν· καὶ τοὺς ἐν τῇ Καλαμούκᾳ ἐξωλόθρευσεν αὐτὸς ὁ ὢν ὄλεθρος τῶν ἐχθρῶν.

99. Ὑμνούμενος δ' ἐπὶ τῇ νίκῃ κατὰ τῶν γενναίων ἐγκατοίκων τῆς Μουραβῆς πόλεως, ἠμαύρωσε τὴν λαμπρότητα τοῦ βασιλέως τῆς Τάμρας νήσου, ὡς ὁ ἄνεμος τὴν λαμπηδόνα τοῦ λύχνου.

100. Ἐμβροντήτους δὲ ποιήσας τοὺς ἐν ὄρει Ῥαμακᾷ, ἐκράτησεν ἐν πολέμῳ βέλει τὸν βασιλέα Τιμιγκίλαν, ὡς ὁ ἁλιεὺς τὸν ἰχθῦν ἐν θαλάσσῃ δυκτίῳ.

101. Εὔσπλαγχνος μὲν γενόμενος τοῖς μονόποσι καὶ ἀπολέμοις, ὑποταγεῖσι, σκληρὸς δὲ τοῖς ἐν Καραχάτᾳ οἰκοῦσι, φόρον ἔλαβε παρ' αὐτῶν χρυσὸν πολύν.

102. Οὕτως ὁ Σαχαβέδας θεὶς, ὡς στέφανον, τὴν προσταγὴν τοῦ Ἰνδιστίρα ἐπὶ τῆς κεφαλῆς τῶν βασιλέων, ἀφίκετο εἰς τὴν ὑπώρειαν τοῦ ὄρους Μαλαΐα, τοῦ ἀγλαϊζομένου δένδροις Σανδάνοις.

103. Τὰ δὲ Σάνδανα, ἐλευθερωθέντα ἀπὸ τῶν ὄφεων, νομισάντων ταῶνας τὰ ἐκ τῶν πτερῶν αὐτῶν πεποιημένα σκιάδια τοῖς στρατιώταις, καὶ φυγόντων, ἐποίουν θεραπείαν αὐτοῖς [1].

104. Ἐν δὲ τοῖς ποταμοῖς, τοῖς γινομένοις ἐκ τοῦ χυμοῦ, τοῦ χεομένου ἀπὸ τῶν κοπτομένων Σανδάνων ὑπὸ τῶν ἐλεφάντων τοῦ στρατοῦ, οἱ στρατιῶται ἐλούοντο καὶ ἐχρίοντο [2].

105. Ἄνεμοι δ' ἡδεῖς πνέοντες ἐκ πολλῶν δένδρων Ταμαλῶν,

---

1. Τουτέστιν ὑπὸ τὴν σκιὰν αὐτῶν ἐκάθευδον οἱ στρατιῶται.
2. Καὶ λουτρῷ καὶ χρίσματι ἐχρῶντο τῷ χυμῷ.

Καρδαμώμων, καὶ Καρυοφύλλων, ἤδυνον τὸν Σαχαδέβαν.

106. Πυρετῷ δὲ φρικτῷ συσχεθεὶς τὸ σῶμα ὁ βασιλεὺς Πανδέας ἐκ πολλοῦ φόβου, οὐδεμίαν ἐπιτηδειότητα ἔδειξε περὶ τὸ τόξον ἐναντίον τοῦ Σαχαδέβα.

107. Ὁ δὲ ποταμὸς, ἡ Ταμραπαρνὴ, ἠγλαΐζετο, ἔχων, ὡς πίναξ, ὕμνον τούτου γεγραμμένον, ὡς γράμμασι, τοῖς μαργαρίταις, τοῖς ἐξελθοῦσιν ἐκ τῶν κόχλων [1], τῶν διαῤῥαγέντων ὑπὸ τῶν ἐλεφάντων.

108. Εἶτα δ' ἀφίκετο εἰς τὸ ὄρος Σαχέαν, τὸ ἀνεπίβατον πολεμίοις βασιλεῦσιν· ἐκ τοῦ ἀλαλαγμοῦ δὲ καὶ παρακελευσμοῦ τοῦ στρατοῦ, αἱ ἐν τῷ ὄρει Δαρδούρα λέαινα ἐξέτρωσαν.

109. Ἡ δὲ ὑπώρεια τοῦ ὄρους, γεγενημένη ὑγρὰ ἐκ τῶν χυμῶν τῶν ἐλεφάντων τοῦ Σαχαδέβα, ἐφαίνετο ὥσπερ ἀφεθεῖσα τότε ὑπὸ τῆς θαλάσσης, πληγείσης τῷ βέλει τοῦ Παρασουράμα.

110. Ἐν δὲ τῇ γῇ Δραβήρᾳ κατετρόπωσε τὰς δυνάμεις τοῦ βασιλέως τῆς Κανσῆς πόλεως ταῖς ἑαυτοῦ δυνάμεσι, ταῖς ὁμοιοδυνάμοις τῷ Ἴνδρᾳ.

111. Τὸ δὲ πῦρ τοῦ θυμοῦ, τὸ ἐν τῇ καρδίᾳ τούτου, ἐσβέσθη ταῖς χεομένοις πολλοῖς δάκρυσιν ἐκ τῶν ὀφθαλμῶν τῶν γυναικῶν τῆς Σορῆς χώρας.

112. Ὁ δὲ Ὠκεανὸς ἐστερήθη τῆς ἀγαπητῆς Καβερῆς, ἧς τὰ ῥεῖθρα ἔστη ἐκ τοῦ στρατοῦ, τοῦ διαβαίνοντος διὰ στάμνων καὶ διὰ γεφυρῶν.

113. Ἐν δὲ τῇ Κεράλᾳ χώρᾳ ὑπετάγη μὲν τῷ κάλλει τῶν καλλικόμων γυναικῶν, οὐχ ὑπετάγη δὲ τῇ ἀνδρείᾳ τῶν πολεμίων ἀνδρῶν.

---

1. Ἡ διαγεγραμμένη πρώτη γραφὴ τοῦ μεταφραστοῦ ἦν ὀστρέων, τὴν ὁποίαν νομίζομεν ὀρθωτέραν· διότι ἐκ τῶν ὀστρέων καὶ οὐχὶ ἐκ τῶν κόχλων γεννῶνται οἱ μαργαρῖται. (Σημ. τ. ἐκδ.).

114. Ἡ δὲ Λαξμὴ[1] τοῦ βασιλέως τῆς Κεράλας ἠνέχθη πρὸς αὐτὸν τὸν Σαχαδέβαν ἐν συνδένδρῳ τόπῳ, πρὸς τῇ ὄχθῃ τῆς Μουραλᾶς, τοῦ ποταμοῦ.

115. Νιφθεὶς δὲ τοὺς πόδας τοῖς δάκρυσι τῶν βασιλικῶν γυναικῶν ἐν τῇ Ἄνδρᾳ χώρᾳ, ἐποίησε λατρείαν τῷ θεῷ Βισνοῦ, διὰ τῆς προσφορᾶς τῶν λωτῶν, τῶν ἐν τῷ ποταμῷ Μαχαναδῇ.

116. Ἐκεῖ δ' ἐν τῇ Ἄνδρᾳ, κατὰ τὸν ποταμὸν Γοδαβαρὴν, οἱ ἵπποι τοῦ Σαχαδέβα, οἱ ὑπερβαίνοντες τῇ ταχυτῆτι τοὺς ἵππους τοῦ Ἡλίου, ἀπέβαλον τὴν κόνιν, τὴν ἐκ τῆς ὁδοῦ.

117. Πληρώσας δὲ τὸ κενὸν τοῦ οὐρανοῦ ἐπαίνων τῶν ἐκ τῆς νίκης κατὰ τοῦ βασιλέως τῆς Ἄνδρας, προσεκύνησεν ἐκεῖ εὐλαβῶς τὸν θεὸν Σίβαν.

118. Μετὰ δὲ ταῦτα εὐπειθεῖς τῇ ἑαυτοῦ προσταγῇ ἐποίησε τοὺς βασιλεῖς τῆς Κουντάλας καὶ Καρνάτας, αὐτὸς ὁ ὢν ὅμοιος τῷ Ἴνδρᾳ κατὰ τὴν προσταγὴν, καὶ φοβερὸς κατὰ τὴν ἀνδρείαν.

119. Ἐκεῖθεν δ' ἐπορεύθη εἰς τὴν Καλίγγαν χώραν, τὴν ἔχουσαν λαμπροὺς Ξατρὰς, περιγελῶν τῇ ἑαυτοῦ δυνάμει τὸν Σέσσαν ὄφιν, τὸν καταπιεζόμενον ἐκ τῆς γῆς, βαρυνομένης τῷ αὐτοῦ στρατεύματι.

120. Τὸ δ' ἐν τῇ Καλίγγα ὄρος, ὁ Μαχένδρας, νικηθὲν ὑπὸ τοῦ Σαχαδέβα κατὰ τὸ ὕψος, προσεκύνησεν αὐτὸν, ὅπερ εἰκάζεται ἐκ τῶν πολλῶν κορυφῶν, τῶν πιπτουσῶν ἐκ τοῦ μεγάλου πατάγου τῶν μουσικῶν ὀργάνων.

121. Ὁ μὲν οὖν βασιλεὺς τῆς Καλίγγης, φέρων ἐλέφαντας πολλοὺς, διαῤῥηγνύοντας φωνὴν, ἔβρεχε βέλη κατὰ τοῦ Σαχαδέβα, ὡς ὁ Ἴνδρας βρέχει βροχὴν, φέρων νέφη βροντῶντα[2].

---

1. Ἡ Λαξμὴ, ὡς γυνή. Λαξμὴ ἐννοεῖται ἐνταῦθα ἡ βασιλικὴ δόξα.

2. Ἀπὸ τῶν ἐλεφάντων ἔβρεχε βέλη, ὡς ὁ Ἴνδρας βροχὴν ἀπὸ τῶν νεφῶν.

122. Ὁ δὲ Σαχαδέβας, ἐξάγων τῇ ῥομφαίᾳ μαργαρίτας ἐκ τῶν κρανίων τῶν ἐλεφάντων, ἔσπειρεν αὐτοὺς κατὰ γῆς, ὡς σπόρους δένδρων νίκης.

123. Ἡ δ' ἀγαθὴ νίκη περιέθετο γαμήλιον στέφανον περὶ τὸ δίστομον ξίφος τούτου, ὅπερ εἰκάζεται ὑπὸ τῶν ἀλλεπαλλήλων μαργαριτῶν, τῶν ἐκπιπτόντων ἐκ τοῦ κρανίου τον ἐλέφαντος πληγέντος.

124. Ἀφεὶς δὲ τὸ διαμάχεσθαι ὁ βασιλεὺς τῆς Καλίγγης, ἐξέμαξε ταῖς θριξὶ τῆς κεφαλῆς τὸ λώτιον ζεῦγος τῶν ποδῶν τοῦ Σαχαδέβα [1], ἔνθα ᾤκει ἡ Λαξμή.

125. Τοῖς δὲ στρατιώταις τοῦ Σαχαδέβα ἀνάμνησίς τις ἐγένετο [2] ἐνταῦθα παρὰ τῇ ἀκτῇ τῆς θαλάσσης, ἰδοῦσι καρποὺς Ναλικερῆς, καὶ τυχοῦσι Ναγαβαλῆς καὶ Πούγγας [3].

126. Νικήσας δ' ὁ μεγαλοδύναμος Σαχαδέβας τοὺς βασιλεῖς Ῥομάνσαν, Καβάσαν, Ῥουροῦν, Κάσαν, καὶ ἄλλους ἐν τῇ νήσῳ Σιγχάλᾳ, μάλα ἠγλαΐζετο.

127. Πολλὰ δὲ πολύτιμα πράγματα παρεῖχε τῷ Σαχαδέβᾳ τὸ ὄρος ὁ Ῥοχάνας ἐκ φόβου, τρέμων τὸ μέγα σῶμα ἐκ τῶν πληττόντων ὀδόντων τῶν ἐλεφάντων τοῦ στρατοῦ.

128. Ὁ δ' οὐρανὸς ἐπληρώθη, ὡς εὐφημίας, πολλῆς καμφόρας, τῆς ἐξερχομένης ἐκ τῶν καμφορικῶν δένδρων, τῶν διαῤῥηγνυμένων ὑπὸ τῶν ἐλεφάντων καὶ ἀναῤῥιπτομένων τῇ προβοσκίδι.

129. Τιμηθεὶς δὲ καὶ προσκυνηθεὶς ὑπὸ τοῦ βασιλέως τῆς

---

1. Δηλ. προσεκύνησεν αὐτόν.

2. Ἀνεμνήσθησαν δηλ. Ἔρωτος.

3. Ναριγέλλιον, ἢ Μαργέλλιον, Πὰν καὶ Σουπαρί. — Ὁ μὲν καρπὸς τῆς Ναλικερῆς ἀναφέρεται εἰς τὸν μαστόν· ἡ δὲ Ναγαβαλὴ καὶ ἡ Πούγγα ἀναφέρεται εἰς τὴν ἡδονήν.

Σιγχάλας, ἔμεινεν ἐκεῖ εἰς προσκύνησιν τοῦ Ἀγαστέα, τοῦ μονάζοντος ἐν τῷ ὄρει Ῥοχάνῃ· ἔνθεν ἔστειλε τὸν Γατοτκάσαν [1] εἰς τὴν Λανκάν.

130. Ὁ δὲ Γατοτκάσας, μηδαμῶς ἀποδειλιάσας τοὺς Ῥαξὰς, ὑπέταξε τὸν βασιλέα Βιθησάναν [2] διὰ τῆς πολεμικῆς ἑαυτοῦ ἀρετῆς, ἣ ὑπερέβαινε τὴν τοῦ Ῥάμα.

131. Τὸ δὲ ἐν τῇ Λανκᾷ τρικόρυφον ὄρος, τετρακόρυφον ἀπειργάσατο, στήσας ἐκεῖ τρόπαιον νικητικὸν εἰς ὄνομα τοῦ Ἰνδιστίρα.

132. Οἱ δὲ Ῥαξαὶ, οἱ στρατεύσαντες τῷ Γατοτκάσᾳ, ἔβρεχον εὐφημίαν ἐπὶ τοῦ ὄρους Σουβέλα [3], ὥσπερ τὰ ἀστραπηφόρα νέφη βροχὴν, ἐπὶ τῇ νίκῃ κατὰ τῶν ἐν τῇ Λανκᾷ.

133. Οὕτωσὶ οὖν φήμην λευκὴν κτησάμενος ὁ Σαχαδέβας, ἐπανέστρεψε μετ' αὐτοῦ τοῦ δυνατοῦ καὶ νικητικοῦ Γατοτκάσα.

134. Ὁ δὲ Νακούλας, οὗ τὰ κατορθώματα ὑμνοῦνται ὑπὸ τῶν βασιλέων τῆς γῆς, λαβὼν πολλὰ στρατεύματα, ἐπορεύθη κατὰ τὸ δυτικὸν μέρος.

135. Τίνες δὲ βασιλεῖς τρέμοντες οὐκ ἐσαλεύοντο, ὡς δένδρα, ὧν αἱ φῆμαι ἀπέῤῥεον ὑπὸ τούτου, καθὼς τὰ ἄνθη ὑπὸ φυσῶντος ἀνέμου;

136. Ἡ γὰρ Λαξμὴ [4] τῶν ἐχθρῶν προσήρχετο μετὰ χαρᾶς καὶ ἀφοβίας τῷ Νακούλᾳ, τυφλῶν γινομένων ἐκ τῆς κόνιος τῶν στρατευμάτων αὐτοῦ, καὶ κωφῶν ἐκ τοῦ ἤχου τῶν σαλπίγγων καὶ τυμπάνων.

---

1. Γατοτκάσας, υἱὸς τοῦ Βήμα, ἐκ τῆς ἀδελφῆς τοῦ Τιτᾶνος Χιδάμβα.

2. Οὗτος ἦν ἀδελφὸς τοῦ Ῥαβάνα.

3. Ἡ Τρικούτα, τὸ ὄρος, λέγεται καὶ Σουβέλα.

4. Ἡ Λαξμὴ, ὡς γυνή· ἡ γὰρ γυνὴ πορεύεται ἀφόβως πρὸς τὸν ἐρώμενον, τοῦ ἀνδρὸς αὐτῆς τυφλοῦ ὄντος καὶ κωφοῦ.

137. Ἐπιθυμίαν δὲ προξενῶν τῇ καρδίᾳ τῶν εὐοφθάλμων γυναικῶν τῶν ἐχθρῶν, ἐπέστη τῷ ὄρει Ῥοχιτάκᾳ, τῷ ἐνδιαιτήματι τοῦ Σκάνδα.

138. Καταβαλὼν δ' οὗτος, ὁ ἔχων φήμην λευκὴν ἐν παντὶ μέρει, τὴν ἐν πολέμοις ὀφρὺν τῶν ὑπερφρόνων ἐγκατοίκων τῆς Ῥοχιτακαπούρας,

139. Καὶ ἀνακλίνας τὸ ὄρος Κουλασάλαν τῇ κλίσει τῆς γῆς, ἐκ τοῦ βάρους τοῦ οἰκείου στρατοῦ, ἐπορεύθη εἰς τὴν Μαρουδέσσαν, ἔνθα οἰκοῦσι μεγάλοι Ξατραί.

140. Οἱ δὲ στρατιῶται αὐτοῦ ἀφῆκαν τὴν ἐντὸς καὶ ἐκτὸς θλῖψιν, τὴν ἐκ τῆς ὁδοιπορίας, διὰ τῆς σκιᾶς τῶν δένδρων, τῶν περὶ τὴν μονὴν τοῦ Βασίστα, ἐν τῷ ὄρει Ἀρβούδᾳ, καὶ διὰ τῶν ὀπωρῶν αὐτῶν.

141. Ἔνθα ἔπιε τὴν φήμην τῶν Ξατρῶν [1], τὴν μὴ ποθεῖσαν πρότερον, τῶν ἐξελθόντων ἐκ τῆς θυσίας τοῦ Βασίστα, καὶ νικησάντων τὸν Βησμτμήτραν.

142. Ποταμοὶ δ' ἔῤῥεον ἐκ τῶν δακρύων τῶν γυναικῶν τῶν ἐχθρῶν ἐν ἐκείνῳ τῷ ἀνύδρῳ τόπῳ, ὑγρῷ γεγενημένῳ ἐκ τῶν χυμῶν τῶν ἐλεφάντων τοῦ στρατοῦ, καὶ ἰλώδει ἐκ τοῦ λύθρου τῶν θανατωθέντων ἡρώων.

143. Ἐνίκησε δὲ καὶ τοὺς Ξατρὰς, τοὺς ἐν τῇ Σαϊρισσακᾷ καὶ Σιβῇ, καὶ Χαΐμᾳ, καὶ Τριγγάρτᾳ, καὶ Ἀμβάστᾳ, καὶ Μαλάβᾳ, καὶ Πανσακαρβατάκᾳ, καὶ Μαδεβάτᾳ.

144. Οἱ δ' ἐν τῷ δάσει Πουσκάρᾳ οἰκοῦντες κατεκαύθησαν τῷ πυρὶ τούτου, οἳ ὑπέφερον καὶ τὸ μέγα πῦρ τοῦ δάσους, τὸ κατακαῖον ἐν ὥρᾳ θέρους.

145. Διατείχισμα δ' ἐγένετο ἡ θάλασσα τοῦ εἰς τὸ πρόσω ἰέναι τῷ ἀπείρῳ τούτου στρατεύματι, τῷ πορευομένῳ εἰς τὸ καθυποτάξαι τὸν κόσμον.

---

1. Τουτέστιν ἐνίκησε.

146. Θλιβομένη δὲ ἡ θάλασσα τῷ πυρὶ τούτου, τῷ καίοντι τοὺς ἐν τῇ ἀκτῇ βασιλεῖς, ἐνόμισεν, ὡς τὸ πῦρ τὸ θαλάσσιον εἰς παντελῆ ὄλεθρον ἐξήφθη, ἐξελθόν.

147. Οἱ δὲ στρατιῶται, μεθυσθέντες οἴνῳ τῆς Τάλας, καὶ ἐκμανέντες, ἔτρεχον ἐπὶ τῶν κυμάτων τῆς θαλάσσης εἰς μάχην, βλέποντες τὰς ἐν ὕδασι σκιὰς ἑαυτῶν, καὶ νομίζοντες πολεμίους.

148. Ἐξερρίζωσε δὲ πάντας τοὺς βασιλεῖς, τοὺς παρὰ τῇ ὄχθῃ τῆς Σαρασβατῆς, ὡς οἱ μεμηνότες ἐλέφαντες τὰ δένδρα.

149. Καὶ τῶν μὲν ἐν τοῖς ὄρεσι βασιλέων τὸ ὑπερήφανον ἐταπείνωσε, τὴν δὲ Σουσὰν, πόλιν τοῦ Πανσανιδεσσίτα, κατέστρεψε, τοὺς δ' ἐν τῇ Οὐτταραγεοτίσσα κατετρόπωσε, τὸν δὲ βασιλέα τῆς Ἀμαραπερπάτας ταπεινόφρονα ἀπέδειξε, τὸν δὲ βασιλέα τῆς Σεδικατᾶς κατεπίεσε, τοὺς δὲ ἐν Ῥαματᾷ ἀναστάτους ἐποίησε.

150. Διακόψας δὲ τὴν δύναμιν τῶν βραχιόνων τοῦ βασιλέως Χαραχούνας, καὶ ἁγιασθεὶς τὸ σῶμα τῇ προσκυνήσει πάντων τῶν ἁγίων τόπων τῶν ἐν τῇ Πραβάσα χώρᾳ, ἔτερψε κατὰ τὴν καρδίαν τῇ ἀγάπῃ καὶ τὸν βασιλέα τῆς Δοαραβατῆς Κρισνᾶν, τὸν λίαν πολιτικὸν, καὶ τὸν ἐκ μητρὸς θεῖον Σαλέαν, τὸν βασιλέα τῆς Μάδρας.

151. Καταστρέψας δὲ τοὺς ἐν τοῖς δυτικοῖς ὄρεσι πάντας βαρβάρους, δοὺς πτωχείαν τῷ βασιλεῖ τῆς Παλλάβας, γενόμενός τε ὀλέτωρ τοῦ βασιλέως τῆς Βαρβάρας χώρας, καὶ πάντα τὰ μέρη τῆς δύσεως ὑποτάξας, ἔστησε τρόπαιον ἐν τῇ δύσει, κατὰ τὴν ἀκτὴν τοῦ ὠκεανοῦ, ὡς ὅρος ἐῶν, ὅθεν ἀνατέλλει ἡ θερμότης αὐτοῦ καὶ ἡ φήμη [1], ὡς ὁ Ἥλιος καὶ ἡ Σελήνη.

152. Οὕτω μὲν οὖν ὁ Ἰνδιστίρας, ἐπιθυμῶν ποιῆσαι θυ-

---

1. Ἡ μὲν θερμότης ὡς ὁ Ἥλιος, ἡ δὲ φήμη, ὡς ἡ Σελήνη.

σίαν, ὑποτάξας πᾶσαν χώραν, ὡς ἔδει, διὰ τῶν τεσσάρων λαμπρῶν καὶ τροπαιούχων ἀδελφῶν αὐτοῦ, κύριος ἐγένετο τῆς γῆς ἁπάσης, ἣ ἐγένετο λευκὴ ὑπὸ τοῦ διεσπαρμένου κλέους, ὡς ὑπὸ Σανδάνου.

153. Ὁ δὲ Βήμας, ὁ Ἀρζούνας, ὁ Σαχαδέβας, καὶ ὁ Νακούλας, ἀναστρέψαντες, ἀφοῦ ὑπέταξαν τὴν οἰκουμένην, καὶ προσκυνήσαντες τὸν Ἰνδιστίραν, ἔστησαν σωροὺς χρυσίου πρὸ αὐτοῦ ἔξω τῆς πόλεως, ὡς ὄρη νίκης ἀγαθῆς κατὰ πάντων τῶν μερῶν τῆς γῆς.

154. Ἀφανίσας δὴ οὗτος ὁ ἥρως πάντα τὰ λευκὰ (ἀργυρᾶ) σκιάδια τῶν βασιλέων τῆς γῆς, ἔχων αὐτὸς ἓν μόνον χρυσοῦν ἐν παντὶ τῷ κόσμῳ, ἐλάμπρυνε τὴν γῆν, ὡς ἡ ἡμέρα, λάμποντα ἔχουσα τὸν Ἥλιον, καὶ ἀφανίσασα τοὺς ἀστέρας.

Τέλος τοῦ Δευτέρου Κεφαλαίου,
τοῦ Δευτέρου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ,

ὃ διαλαμβάνει τὴν βασιλικὴν θυσίαν.

1. Ὁ Βεάσας, ὁ ὢν ὡς γαλακτικὴ θάλασσα τῆς γνώσεως, ἔστω εἰς κάθαρσιν παντὸς πράγματος, οὗ μιᾷ ῥανίδι, ἥ ἐστιν ἡ Μαχαβαράτα, τὸ πῦρ τῶν παθῶν ἀποσβέννυται.

2. Ὁ μὲν οὖν Ἰνδιστίρας, ποιήσας νίκην, καὶ ὑποτάξας τὰ τέσσαρα μέρη τῆς γῆς διὰ τῶν ἀδελφῶν ἑαυτοῦ, ἐποίει παρασκευὴν τῆς θυσίας, εἰς τρυφὴν τῶν θεῶν.

3. Ὅτε δ' ἐπέστη ὁ καιρὸς τῆς θυσίας, τότε παρέστη καὶ ὁ Κρισνᾶς τῷ βασιλεῖ Ἰνδιστίρᾳ, ὁ ὢν εἰδήμων τῶν περὶ τὴν θυσίαν.

4. Εἰσβιβάσας δ' ὁ Ἰνδιστίρας τὸν Κρισνᾶν ἐν τῷ λαμπρῷ βουλευτηρίῳ, ὃς ἐπελάθετο τῆς ἐν τῇ γαλακτικῇ θαλάσσῃ διατριβῆς [1], καὶ τιμήσας αὐτὸν τὸν τιμητὸν παντὶ τῷ κόσμῳ, εἶπεν, ἡνωμένας ἔχων τὰς παλάμας·

5. « Ἐγὼ τοῦτον τὸν ἀνίκητον κόσμον ἐνίκησα διὰ τῆς σῆς » χάριτος, καθὼς ὁ Ἀρούνας διασκεδάζει τὸ ἀπανταχοῦ » σκότος, καί περ χωλὸς ὤν, διὰ τῆς πρὸς τὸν Ἥλιον » θεραπείας.

6. « Ἡ μὲν οὖν νίκη ἐγένετο· οἱ δὲ μεγάλοι σωροὶ τοῦ χρυσίου, » ὃ φαίνεται ὡς ἡ συληθεῖσά ἐστιν ἐν πολέμῳ ἀγλαΐα τῶν » πολεμίων βασιλέων, οὐκ εἰσὶ χωρητοὶ ἐν τῷ ἐμῷ οἴκῳ [2].

7. « Ἐμοῦ πεισθέντος τῇ προσταγῇ σου, νικηθεῖσα, ἦλθεν εἰς » τὸν ἐμὸν οἶκον ἡ λαμπρότης τῶν ἐνδόξων βασιλέων, » τουτέστι τὰ πολύτιμα αὐτῶν πράγματα.

8. « Οἱ δὲ βασιλεῖς προσήνεγκαν ἐμοὶ δῶρα, ἐλέφαντας » ἀπαραμίλλους, οἳ ὄντες, ὡς ὄρη μεγάλα, καὶ καλλίνικοι, » νίκης αἴτιοι ἐγένοντο κατὰ πάντων τῶν μερῶν τῆς γῆς.

9. « Ὅσοι δ' ἵπποι ὅμοιοί εἰσιν ἐν πολέμῳ τῇ καρδίᾳ τῶν » ἀναβατῶν [3], τούτους, ὡς ἔδει, ἔδωκαν ἐμοὶ οἱ βασιλεῖς, » ἐκ καρδίας σεβόμενοι τὸν πόδα μου.

10. « Ταῦτα δὲ τὰ ἄπειρα καὶ ἀναρίθμητα χρήματα ἐκ τῆς » κατὰ τῶν βασιλέων νίκης, ᾧ εὐεργετικέ, κτητὰ ἐγένοντο » τῇ σῇ χάριτι.

11. « Νῦν δ' εἰπὲ, ὦ γνῶστα τοῦ καιροῦ, ὅ,τι μὲ δεῖ ποιῆσαι

---

1. Λευκότερον ἦν καὶ τῆς γαλακτικῆς θαλάσσης.
2. Τοσοῦτον δηλ. πολλοί εἰσιν, ὥστε ἀχώρητοί εἰσιν ἐν τῷ ἐμῷ οἴκῳ.
3. Τουτέστι γενναῖοι.

» ἐν τῇ θυσίᾳ· σὺ γάρ μοι φίλος εἶ κατὰ τὰς ἀγαθὰς » συμβουλὰς, καὶ διδάσκαλος καλῆς διδασκαλίας.

12. « Ἐμοὶ μὲν πολλαὶ θυσίαι ἀεὶ ἐκτελοῦνται ἐκ τῆς σῆς » θέας [1]· ἐπιθυμία δ' ὅμως ἔστι ταύτης, ἕνεκα τῆς προστα- » γῆς τοὐμοῦ πατρός· οὐ μὴν ἀλλὰ καὶ αὕτη ἐκτελεσθή- » σεται διὰ τῆς σῆς ἐπικουρίας.

13. « Πρόσταξον οὖν εὐθέως, ἵνα ἐκτελέσω ἐγὼ τὴν θυσίαν » μετὰ τῆς σῆς βοηθείας, ἢ τέλεσον σὺ αὐτήν· ἐγὼ δ' αὖ- » τὸς ὑπουργήσω εἰς ὅ,τι εἴπῃς. »

14. Τοιαῦτα εἰρηκότος τοῦ βασιλέως Ἰνδιστίρα, ἀπεκρίνατο ὀρθῶς ὁ Κρισνᾶς, οὗ οἱ ὀδόντες ἐκφαινόμενοι, χαρὰν δι- δόασι τοῖς ὀφθαλμοῖς τοῦ κόσμου, καθὼς ἡ Σελήνη τοῖς ἀνθοῦσιν ἐν νυκτὶ λωτοῖς·

15. « Σὺ, ὦ ἀγαθὲ, τέλεσον τὴν θυσίαν· οὐδεμία γὰρ δια- » φορά ἐστιν ἐν τῇ ἐμῇ ἢ σῇ ἐκτελέσει, καθὼς οὐδεμία » διαφορὰ φαίνεται τοῦ Ἡλίου καὶ τῆς λαμπρότητος αὐτοῦ » ἐν τῇ ἀνοίξει τοῦ λωτοῦ.

16. « Εἰ καὶ οἱ ἀδελφοί σου ἐνίκησαν πάντα τὰ μέρη τῆς γῆς » ὑπὲρ τῆς σῆς θυσίας, ἀλλὰ καὶ ἐγὼ αὐτός εἰμι ὁμοιο- » γνώμων αὐτοῖς· ὅστις δὲ βασιλεὺς οὐχ ὑπηρετήσει σοι » ἐν τῇ θυσίᾳ, τοῦτον ἡμεῖς οἱ πέντε ἀφανίσωμεν. »

17. Οὕτως εἰρηκότος τοῦ Κρισνᾶ, ὁ βασιλεὺς Ἰνδιστίρας, οὗ τῇ προσταγῇ ὑπετάγησαν οἱ βασιλεῖς, ἐκάλεσε διὰ μὲν τοῦ ἱε- ρουργοῦ Δαουμέα τοὺς Βραχμᾶνας, διὰ δὲ τῶν ἀδελφῶν τοὺς βασιλεῖς.

18. Τῇ δὲ συμβουλῇ τοῦ Βήσμα καὶ τῶν λοιπῶν οἰκείων, ὁ Ἰνδιστίρας ἤρξατο ποιῆσαι τὴν θυσίαν, καὶ ἐπλήρωσε τὴν ὀγδόην μορφὴν τοῦ ὀκταμόρφου Σίβα [2].

---

1. Δηλ. σὲ μόνον βλέπων, πολλῶν θυσιῶν καρπὸν ἀπολαμβάνω.

2. Ὀκτάμορφος λέγεται ὁ Σίβας, τὰ πέντε στοιχεῖα, ὁ Ἥλιος καὶ ἡ

19. Προσέταξε δ' ἔπειτα τοῖς βασιλεῦσιν ὅ,τι ἦν πρακτέον ἐν τῇ θυσίᾳ, εἰς ἣν παρεσκευάσθησαν ἅπαντα τὰ πρόσφορα ὑπὸ τῶν Βραχμάνων καὶ τοῦ Σαχαδέβα, τῇ προσταγῇ τοῦ Δαουμέα.

20. Καὶ ὁ μὲν νεώτερος ἀδελφὸς τοῦ Δουριοδάνα, Δουσσασάνας, ἐπιστάτης ἦν τῆς παρασκευῆς τῶν βρωμάτων· ὁ δὲ υἱὸς τῆς Κριπῆς, Ἀσβατάμας, εἶχε τὴν ἐπιστασίαν τῆς διανομῆς τῶν πρὸς τοὺς Βραχμᾶνας δωρημάτων·

21. Ὁ δὲ πολιτικὸς Σανζαΐας ἦν ποιῶν τὰς προσηκούσας τιμὰς τοῖς βασιλεῦσι πᾶσι· τῷ δὲ Βήσμᾳ καὶ Δρόνᾳ ἦν ἡ φροντὶς καὶ ἡ ἐπιστασία τῶν προσηκόντων τῇ θυσίᾳ.

22. Ὁ δὲ δεξιὸς Κριπᾶς ἦν ἐπὶ τῶν πρὸς τὸν λαὸν δωρημάτων· ὁ δὲ Βιδούρας ἐθεώρει τὰ νόμιμα· ὁ δὲ βασιλεὺς Δουριοδάνας εἶχε τὴν ἐπιστασίαν τοῦ λαμβάνειν τὰ προσφερόμενα δῶρα παρὰ πάντων τῶν βασιλέων.

23. Ὁ δὲ Βεάσας, ὁ τιμώμενος ἐν τοῖς τρισὶ κόσμοις, ἔλαβε τὸ ὄνομα τοῦ Βραχμᾶ ἐν τῇ θυσίᾳ, ἣ ἠγλαΐζετο τῇ παρουσίᾳ τῶν ὁσίων Βραχμάνων, τοῦτε Ναράδα καὶ ἄλλων, καὶ τῶν βασιλέων, τοῦτε Κρισνᾶ καὶ ἄλλων [1].

24. Παρεγένετο δ' ἔπειτα σὺν τοῖς βασιλεῦσιν ὁ Ἰνδιστίρας, ὁ θύων εἰς τὸ θυσιαστήριον, τὸ εὐτρεπισθὲν ὑπὸ τῶν Βραχμάνων, ὡς ἦν πρέπον.

25. Καὶ ἡ εἰς τρεῖς ῥύακας διαιρουμένη Γαγγὰ, καὶ καθαίρουσα τοὺς τρεῖς κόσμους, παρεγένετο εἰς ἐκεῖνο τὸ θυσια-

---

Σελήνη, καὶ ὁ θύων. Ὁ θύων οὐδενὶ κλίνει τὴν κεφαλὴν ἐνόσῳ τελεῖται ἡ θυσία, καὶ σεβαστός ἐστι παρὰ πᾶσι, καὶ θεοειδὴς κρίνεται.

1. Τεσσαρές εἰσι κυρίως οἱ ἱερουργοὶ περὶ τὴν θυσίαν· ὁ μὲν, ὃς λέγεται Βραχμᾶς, θεωρός ἐστι καὶ ἐπιστάτης τῶν τελουμένων· ὁ δὲ καλεῖ τοὺς θεούς· ὁ δὲ χέει εἰς τὸ πῦρ τὰ θύματα· ὁ δὲ ᾄδει τὴν Βέδαν, καὶ ὑμνεῖ τοὺς θεούς.

στήριον, εἰς κάθαρσιν ἑαυτῆς, ὅπερ συμπεραίνεται ἐκ τῆς φωνῆς, τῆς ἐκ τῶν στομάτων τῶν Βραχμάνων, τῶν ἀδόντων τὰς τρεῖς Βέδας.

26. Οἱ μὲν οὖν Βραχμᾶνες, οἱ καθαρὰν ἔχοντες καρδίαν καὶ δύναμιν μεγάλην, ἐπικαλεσάμενοι τοὺς θεοὺς, ἔθυον πολλὰ θύματα, ἁγνὰ γενόμενα ταῖς ἐπωδαῖς.

27. Τὸ δὲ πῦρ, τὸ ἐλευθερωθὲν τοῦ πάθους ἐκ τῆς ποθείσης ὕλης τοῦ δάσους Κανδάβα, διὰ τῆς ἀρωγῆς τοῦ Ἀρζούνα, ἔπινε πολὺ χεόμενον βούτυρον, εἰς εὐτροφίαν τοῦ ἑαυτοῦ σώματος.

28. Οἱ δ' ἐπικληθέντες θεοὶ, βλέποντες τὸ εἰς τὸ πῦρ χεόμενον, ἔπινον αὐτὸ ἀφειδῶς καὶ ἀκορέστως, εἰσβαλλόμενον ἀφανῶς εἰς τὸ στόμα αὐτῶν.

29. Εὐθέως δ' ἐδέχοντο οἱ θεοὶ τὸ εἰς τὸ πῦρ χεόμενον, βλεπόμενον ὑπὸ τῶν ἀκοιμήτων αὐτῶν ὀφθαλμῶν, καί περ καπνοῦ πυκνοῦ ἀνερχομένου.

30. Ἀμβροσία τις ἐκεῖ ἀσύγκριτος ἐπίνετο ὑπὸ τριάκοντα τριῶν Κοτίων θεῶν, μὴ ἐπιθυμούντων ὅλως τῆς ἀμβροσίας τοῦ οὐρανοῦ, μήτε τῆς ἀμβροσίας τῆς Σελήνης, μήτε τῶν χειλέων τῶν Ἀψαρῶν.

31. Ἡ δ' ἀγλαΐα τοῦ οὐρανοῦ ἀμαυρὰ ἐφαίνετο ἐκ τοῦ τῆς θυσίας καπνοῦ, ἐπειδὴ ἦν διεζευγμένη τοῦ Ἴνδρα [1], κατερχομένου καθ' ἑκάστην εἰς εὐωχίαν.

32. Τὰ δὲ βρώματα ἐβιβρώσκοντο ὑπὸ τῶν Βραχμάνων, ἀποδιωχθέντων τῶν ἐλαχίστων τῷ γένει ὑπὸ τοῦ Δαουμέα, καθὼς ἡ ἀμβροσία ἐπίνετο ἤδέως ὑπὸ τῶν θεῶν, ἀποδιωχθέντων τῶν δαιμόνων ὑπὸ τοῦ Βισνοῦ.

33. Ἐπειδὴ γὰρ κόρος ἐπαρκὴς οὐκ ἐγένετο τοῖς θεοῖς,

---

1. Ὡς ἡ γυνὴ ἀκόσμητος μένει, καὶ ὑπαρὰ φέρει ἄμφια, διαζευχθεῖσα τοῦ ἀνδρός.

ἐσθίουσι δι' ἑνὸς στόματος, τοῦ πυρὸς, διὰ τοῦτο καὶ βρώματα κατεσκευάσθησαν εἰς τὸ βρωθῆναι ὑπὸ τῶν Βραχμάνων [1].

34. Ὁ δὲ βασιλεὺς Ἰνδιστίρας, ὁ ἀγαθοποιὸς τοῖς τρισὶ κόσμοις καὶ ἀρίστους ἔχων συνέδρους, ἀπολουσάμενος μετὰ τὴν θυσίαν, ἤρξατο δωρεῖσθαι δωρήματα.

35. Δωρεὰς δ' ἐτίθετο ἐν ταῖς χερσὶ τῶν Βραχμάνων ἐπὶ σκοπῷ τοῦ ξηρὰν ποιῆσαι τὴν θάλασσαν, ἵν' ἀνακαλυφθῶσι τὰ ἐν αὐτῇ πολύτιμα πράγματα [2], καὶ ἵν' αὐξηθῇ ἡ ἀρώσιμος γῆ, ἡ πρόξενος τῶν δωρεῶν [3].

36. Δένδρα δὲ πάνδωρα ἐπὶ γῆς οὐκ ἔφυσαν, καί περ ποτιζομένης τῷ ὕδατι τῆς δωρεᾶς τοῦ Ἰνδιστίρα, διότι ἐνεννόουν, ὡς οὐδὲν ὄφελός εἰσι, τοῦ βασιλέως ὄντος φιλοδώρου καὶ πολυπλούτου.

37. Τὰ δ' ὄρη, τὰ ἐπέχοντα γῆν πολλὴν, θλίψιν παρεῖχον τῇ καρδίᾳ τούτου [4], ἔχοντος τὴν γῆν ἐν τῇ ἑαυτοῦ χειρὶ, εἰς τὸ δοῦναι αὐτὴν τοῖς Βραχμᾶσι.

38. Ἐπειδὴ δὲ παρὰ τούτου ἐδόθη πολλοῖς Βραχμᾶσι γῆ μετὰ πολλοῦ πλούτου, διὰ τοῦτο αὕτη ἡ γῆ πάντως γε ἔλαβεν ἐν κόσμῳ νέον ὄνομα, Βασουματή [5].

39. Ἣν δὲ γῆν ὀλίγην ἐχαρίσατο τοῖς βασιλεῦσιν, ἐναπολειφθεῖσαν ἐκ τῶν πρὸς τοὺς Βραχμᾶνας ἐν τῇ θυσίᾳ δωρεῶν, ταύτην οἱ βασιλεῖς ἐδέξαντο, ὡς πολλὴν, κλίναντες τὰς κεφαλάς.

---

1. Οἱ γὰρ θεοὶ ἐσθίουσι καὶ διὰ τοῦ πυρὸς, καὶ διὰ τοῦ στόματος τῶν Βραχμάνων.

2. Ὅτι δωρεῖται ὁ ἄνθρωπος, διά τι τέλος τοῦτο δωρεῖται· οὗτος δ' ἐδωρεῖτο εἰς τὸ ποιῆσαι ξηρὰν τὴν θάλασσαν.

3. Φόρον γὰρ λαμβάνων ἐκ γῆς ὁ βασιλεὺς, δωρεῖται τοῖς Βραχμᾶσι.

4. Τουτέστιν ἐλυπεῖτο ὅτι ἅπασα ἡ γῆ οὐκ ἦν ἀρώσιμος.

5. Βασουματὴ ἐτυμολογεῖται παρὰ τὸ ἔχειν πλοῦτον.

40. Τὸν δὲ πλοῦτον, ὃν οἱ βασιλεῖς ἐξ ἀρχῆς ἐφύλαττον, ὡς τὴν ψυχὴν ἑαυτῶν, προσήνεγκαν τῷ Ἰνδιστίρᾳ ἄσμενοι, ὃν λαβὼν οὗτος μετὰ πολλῆς τιμῆς, ἐδωρεῖτο ἀφειδῶς αὐτὸν τοῖς αἰτοῦσιν.

41. Ὃν δὲ πλοῦτον ἐδωρεῖτο ἕκαστος τῶν βασιλέων ἐριστικῶς, ἵνα τελεσθείη ἡ θυσία διὰ τῆς προσφορᾶς αὐτοῦ μόνου, οὗτος ἐδίδοτο ἑνὶ μόνῳ αἰτοῦντι, παρ' αὐτοῦ τοῦ βασιλέως Ἰνδιστίρα.

42. Ὅ,τι δοῦναι ἔφεσις ἦν τούτῳ, τοῦτο οὐδαμῶς ἦν οὐδ' ἐν τῷ νοὶ τῶν αἰτούντων [1]· καὶ ὅ,τι ἦν ἐν τῷ νοὶ, τοῦτο οὐκ ἦν ἐν τῇ γλώττῃ [2]· ἡ δὲ δωρεὰ ὑπερεῖχε πασῶν τῶν ἐν τοῖς τρισὶ κόσμοις.

43. Οὗτος ἔλεγε τοῖς ὑπηρέταις, «Ὅ,τι αἰτήσῃ ὁ αἰτῶν, τοῦτο » διδόσθω αὐτῷ ταχέως,» καὶ οὐκ ἔλεγε, «Φέρε χρυσίον,» ἵνα μὴ φανείη τῇ βραδυτῆτι, ὅτι οὐ βούλεται δοῦναι.

44. Ὑπὸ τίνος αὕτη ἡ φιλονεικία διαλυθείη, τοῦ μὲν αἰτοῦντος θέλοντος λαμβάνειν, ὅσου ἔχρῃζε, τοῦ δὲ Ἰνδιστίρα διδόντος πλέον τῆς ἐκείνου χρείας; καὶ τοῦ μὲν λέγοντος, « Ἐγὼ οὐ λαμβάνω,» τοῦ δὲ « Ἐγὼ δίδωμι »;

45. Ὁ δὲ Χαρὴς τότε, βουλόμενος κυκῆσαι τὴν θάλασσαν, εἰς τὸ πολλαπλασιάσαι τὰ πολύτιμα πράγματα, τὰ διδόμενα παρὰ τοῦ Ἰνδιστίρα, ἐλυπεῖτο, ὅτι οὐκ ἔχει συνέριθον τὸν Βαλὴν [3], ὃν ἔῤῥιψεν εἰς τὰ καταχθόνια [4].

46. Τούτου διδόντος ἀδάμαντας, καὶ ἄλλας πολυτίμους λίθους, ὁ μὲν ἀδάμας τοῦ οἴκου [5] ἔτρεμεν, ὁ δὲ τῆς ἡμέ-

---

1. Δηλ. πλέον τοῦ προσδοκωμένου ἐχαρίζετο.

2. Δηλ. πρὶν τοῦ αἰτῆσαι ἐλάμβανον.

3. Δαίμων ἦν οὗτος.

4. Τὸ κείμενον λέγει αὐτολεξεὶ εἰς τὴν ὀπὴν, δηλ. εἰς τὰ καταχθόνια.

5. Ἀδάμας τοῦ οἴκου λέγεται ὁ λύχνος· ἀδάμας τῆς ἡμέρας λέγεται ὁ Ἥλιος· ἀδάμας τῆς νυκτὸς, ἡ Σελήνη.

ρας ἐξεκαίετο, ὁ δὲ ἀδάμας τῆς νυκτὸς μέλας τὴν καρδίαν ἐγίνετο, φοβούμενοι μήπως καὶ οὗτοι δοθεῖεν.

47. Τοσοῦτον δ' ὑπερχειλῆ ἐποίει τὸν δίσκον ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἄλλοις πολυτίμοις πράγμασιν, ὥστε ἐπλήρου καὶ τὴν γῆν λάμψεως, καθὼς ὁ Ἥλιος ἀνατέλλων περὶ τὴν ἕω.

48. Τοὺς δὲ πτωχοὺς οὕτω πλουσίους ἀπέδειξεν ἐν ἁπάσῃ τῇ γῇ, ὥστε μίαν καὶ τὴν αὐτὴν στάσιν ἅπασιν ἐποίησε, καθὼς τὸ νέφος βρέχον, ἴσα ποιεῖ τὰ βαθέα καὶ ὑπερανεστηκότα μέρη τῆς γῆς.

49. Ἡ δὲ γῆ, ἡ ἔχουσα χοῦν ἐν γαστρὶ, ἐγένετο δεκτικὴ πολυτίμων λίθων, δοθέντων ἀφειδῶς παρὰ τοῦ Ἰνδιστίρα τοῖς αἰτοῦσι, καὶ ἐναποτεθέντων ὑπ' αὐτῶν τῇ γῇ, εἰς τὸ διαμένειν μέχρι συντελείας τοῦ αἰῶνος.

50. Τοσοῦτον δὲ πολὺν πλοῦτον ἐδίδω ὁ βασιλεὺς Ἰνδιστίρας, ὥστε τοὺς μὲν ἐν οὐρανῷ αἰτοῦντας καλεῖν Ἰνδιστίραν τὸ πάνδωρον δένδρον, τοὺς δὲ ὑπὸ γῆν καλεῖν Ἰνδιστίραν τὸν Βαλήν.

51. Ἡ γῆ, ἡ ὑποκεκρυμμένον ἔχει τὸν Βαλὴν, τὸν ποιήσαντα μεγάλην θυσίαν, ἐδείκνυε τότε διὰ τοῦ ἐν τῷ θυσιαστηρίῳ στύλου, ὡς διὰ δακτύλου, ὡς οὗτος μόνος ὁ Ἰνδιστίρας θυσίαν πολυτελῆ τελεῖ.

52. Ἐρωτήσαντι δὲ τῷ Ἰνδιστίρᾳ, τίς τῶν συνέδρων εἴη ἄξιος πρώτης τιμῆς ἐν τῇ τελετῇ τῆς θυσίας, ἀπεκρίνατο μετὰ χαρᾶς ὁ Βήσμας·

53. « Καίτοι γινώσκεις ἄξιον τιμῆς τὸν Κρισνᾶν, τὸν σεβα-
» στὸν παντὶ τῷ κόσμῳ, καὶ ὑμνούμενον ὑπὸ τῶν θεῶν,
» ἐρωτᾷς ὅμως ἐμέ· οὕτω δὲ ποιῶν, τιμὴν ἀπονέμεις
» ἐμοὶ, ὡς γεραιτέρῳ.

54. « Οὗ τῶν ποδῶν τὸ ἀπόνιτρον, τουτέστι τὴν Γαγγὰν,
» ἔθετο ἐπὶ τῆς κορυφῆς ὁ Σίβας, ὁ ὀλέτωρ τῶν τριῶν κό-

» σμων, τοῦτον τὸν ἀρχαῖον ἄρρενα καὶ ἔφορον τῆς θυσίας,
» τίμησον εὐθέως. »

55. Οὕτως ἐκδηλώσαντος τοῦ Βήσμα, ὅπερ ἦν ἐν τῷ νοῖ τοῦ Ἰνδιστίρα, θαυμάσας λίαν ὁ Ἰνδιστίρας, ἔδωκεν εὐθέως πρώτην τιμὴν τῷ Κρισνᾷ [1].

56. Ὁ δ' ἐν τῇ θυσίᾳ βασιλεὺς Σισσουπάλας, μὴ φέρων ταύτην τὴν πρὸς τὸν Κρισνᾶν τιμὴν, ἔδειξε πραγματικῶς τὸν θυμὸν, σχὼν ὄμματα ἐρυθρὰ καὶ φοβερά.

57. Καὶ, « Ὦ βασιλεῦ, ἔφη, διὰ τί ὁ Κρισνᾶς ἐτιμήθη ὑπὸ σοῦ,
» ὃς οὐκ ἔχει οὐδέ γε ἓν τῶν προτερημάτων, ὅσα ἔνεισι
» τούτοις τοῖς παροῦσι, τῷ τε Δρουπάδᾳ, καὶ Ἀγαστέᾳ,
» καὶ Βεάσᾳ, καὶ ἄλλοις γέρουσι καὶ σεβασμίοις θυηπόλοις ;

58. « Εἰ δέ σοι οὗτος τιμητέος ἦν, διὰ τί καλέσας ἡμᾶς
» κατεφρόνησας ; Πόθεν σοι τοῦτο τὸ ὄνομα, υἱὸς τοῦ
» Δάρμα [2] ; τὸ ὄνομα τοῦτο λίαν ἠτιμάσθη σοι. »

59. Τοιαῦτα εἰπὼν, ἀνέστη σὺν πολλοῖς βασιλεῦσι, βουλόμενος ἀναχωρῆσαι· ἐπισχεθεὶς δ' ὅμως ὑπὸ τοῦ Ἰνδιστίρα, καὶ καταπεισθεὶς λόγοις μειλιχίοις, ἔφη θυμωδῶς·

60. « Ἐπειδὴ τῷ ἄπαιδι, οὐκ ἔστι τιμὴ καὶ δόξα [3], διὰ τοῦ-
» το ὁ ἄτιμος καὶ ἄδοξος [4] υἱὸς τῆς Γαγγᾶς ἔδωκε τοι-
» αύτην συμβουλὴν, εἰς τιμὴν τοῦ Κρισνᾶ, ἵν' ἀφέλοι τὴν
» σὴν εὐδοξίαν [5].

61. « Ὁ Κρισνᾶς, ὃς μεγαλοφρονεῖ, ὅτι μεγάλα κατώρθωσεν,
» ἐπειδὴ ἐδάμασε ταῦρον καὶ ἵππον, καὶ διέρρηξεν ἅμα-

---

1. Ἔχρισεν αὐτὸν καὶ ἔθετο στέφανον ἐξ ἀνθέων περὶ τὸν τράχηλον αὐτοῦ.

2. Δάρμας λέγεται ὁ νόμος.

3. Ἐπίτευξις τοῦ οὐρανοῦ.

4. Ὁ ἀνάξιος τῆς ἐπιτεύξεως τοῦ οὐρανοῦ.

5. Τὴν ἐπίτευξιν τοῦ οὐρανοῦ. Λέγεται ἐν τῇ Βέδᾳ καὶ ἐν τῷ νόμῳ, ὡς ὁ ἄπαις οὐ τυγχάνει τοῦ οὐρανοῦ.

» ξαν, καὶ ἀνεῖλεν ὄφιν, ἐτιμήθη ὑπὸ σοῦ εἰς καταφρόνησιν
» τοσούτων θαυμαστῶν βασιλέων [1]. Ἐπικατάρατον τοιοῦ-
» τον ἔργον! »

62. « Ἄξίως ἐτιμήθη ὑπὸ σοῦ οὗτος, τὸ νέον φυτὸν τῆς ἀρε-
» τῆς [2], ἐν τοιαύτῃ μεγάλῃ τελετῇ θυσίας, ὃς ἐφόνευσε
» τὴν γυναῖκα Πουτανήν!

63. « Πρεπόντως τιμητέος σοι ἐστὶν οὗτος, ὃς ἔδωκε τοιού-
» την κάλλην βουλὴν, φονεῦσαι ἀπάτῃ τὸν Ζαρασάνδαν· τοι-
» ούτου δὲ μεγάλου ἀμπλακήματος καὶ σὺ μέτοχος εἶ. »

64. Οὕτως εἰρηκότος τοῦ Σισσουπάλα θυμῷ, ἀναστάντα τὸν Βήμαν εἰς τὸ φονεῦσαι αὐτὸν, ἐπισχὼν ὁ Κρισνᾶς εὐθέως καὶ χειρὶ, καὶ στήθει, καὶ λόγοις πραέσιν, ἔφη αὐτῷ εἰς ἠρεμίαν·

65. «Πρότερον τούτου γεννηθέντος ἐν κόσμῳ τριοφθάλμου,
» τετράχειρος, καὶ ὀνοφώνου, φωνὴ ἐγένετο ἐξ οὐρανοῦ,
» ἀπαλλακτικὴ τοῦ φόβου τῇ μητρὶ καὶ τῷ πατρὶ αὐτοῦ,
» φοβηθεῖσι, τοιαύτη·

66. « Οὗτος ὁ παῖς νικητὴς ἔσται τοῦ κόσμου· ἀποκτενεῖ
« δ' αὐτὸν ἐκεῖνος, οὗ ἐν ἀγκάλῃ, ὅταν βασταχθῇ, καὶ ὁ
« περιττὸς ὀφθαλμὸς, καὶ αἱ περιτταὶ χεῖρες ἐκρυήσονται. »

67. « Τούτων ἀκούσασα ἡ μήτηρ αὐτοῦ, τίνος ἐν ἀγκάλαις οὐκ
» ἔθετο αὐτόν; Ἐλθὼν δ' οὗτος εἰς τὴν ἀγκάλην τοῦ Κρισ-
» νᾶ, ὡς ὁ Ἥλιος εἰς τὸ δυτικὸν ὄρος [3], ἐγένετο ἄπο
» τοῦ περιττοῦ ὀφθαλμοῦ καὶ τῶν περιττῶν χειρῶν.

---

1. Οὐ θαυμαστὸν καὶ μέγα κατόρθωμα δηλονότι ἐτέλεσεν, εἰ ἀνεῖλε ταῦρον καὶ ἵππον καὶ ὄφιν· τοὐναντίον δὲ μεμπτὸν καὶ μικροπρεπές. Λέγουσιν ὡς ἀνεῖλε δύω δαίμονας, ὧν ὁ μὲν εἶχε μορφὴν ταύρου, ὁ δὲ ἵππου· μεμπτὸν δὲ τὸ ἀναιρεῖν ταῦρον καὶ ἵππον καὶ ὄφιν.

2. Εἰρωνία.

3. Καθὼς ὁ Ἥλιος ὅταν δύσῃ, καὶ ὁ δίσκος αὐτοῦ, ὅς ἐστιν ὡς ὀφθαλμὸς, καὶ αἱ ἀκτῖνες, αἵ εἰσιν ὡς χεῖρες ἐκτεταμέναι, ἀφανίζονται.

68. « Ἡ δ' ἔφη τῷ Κρισνᾷ, τῷ υἱῷ τοῦ ἀδελφοῦ αὐτῆς· « Μὴ « θανατώσῃς αὐτὸν, κἂν πταίσῃ σοι. » Τότε ὁ Κρισνᾶς » ἔδωκεν ὑπόσχεσιν ἀσφαλῆ, ὡς οὐ θανατώσει αὐτὸν, ἕως » οὗ ἑκατοντάκις πταίσῃ.

69. « Μὴ τοίνυν θανατώσῃς αὐτὸν ἤδη, ὦ Βήμα, τὸν ζήσοντα » ἕως ἂν ἑκατοντάκις πταίσῃ, καὶ σφάγιον γενησόμενον » τῷ Βισνοῦ. » Ὁ μὲν οὖν Βήμας τούτων ἀκούσας, ἡσυχίαν ἔσχεν· ὁ δὲ βασιλεὺς τῆς Σέδης, Σισσουπάλας, ἔφη θυμῷ·

70. « Ὦ ἐλάχιστε Βήσμα, οὗ οἱ μεγάλοι καὶ ἔνδοξοι βασιλεῖς » καταφρονοῦσιν, ὡς μηδὲν ἔχοντος προτέρημα, τοῦτον » τὸν Κρισνᾶν σὺ τιμῶν, οὐ φονεύῃ ὑπὸ τούτων, διότι » εἶ γέρων. »

71. Ἀκούσας τούτου τοῦ ἐπιπληκτικοῦ λόγου ὁ Βήσμας, δυσφόρως ἔσχε, καὶ ἔφη θυμῷ· « Οἵτινες τῶν βασιλέων κατα- » φρονοῦσι τοῦ Κρισνᾶ, τούτων ἐπὶ τῆς κεφαλῆς τὸν πόδα » τίθημι.

72. « Ὦ βασιλεῖς, οὗτος ὁ Χαρὴς τίμιός ἐστιν ἐμοί· ὅθεν » εἴ τις τούτῳ ἐγκαλεῖ διὰ ταύτην τὴν τιμὴν, οὗτος σή- » μερον παρανάλωμα ἔσται τοῦ ἐμοῦ βραχίονος, ὡς βά- » τραχος τοῦ ὄφεως. »

73. Τοῦ μὲν οὖν γέροντος Βήσμα τοιαῦτα εἰρηκότος, τῶν δὲ βασιλέων θυμοῦ πληρωθέντων, ὁ Σισσουπάλας, ὁ υἱὸς τοῦ Δαμαγγόσσα, εἶπε βροντοφώνως πρὸς τὸν Κρισνᾶν·

74. « Διὰ τί δὲ σὺ ἔλαβες τὴν τιμὴν, τὴν δοθεῖσαν παρὰ » τούτων ὑπὲρ τὸ πρέπον; ἐγὼ σήμερον κατακαύσω σε σὺν » πᾶσι τοῖς Πανδοΐδαις καὶ τῷ Βήσμᾳ ἐν τῷ στόματι » τοῦ πυρὸς τῆς ἐμῆς δυνάμεως.

75. « Ἐλθὲ ταχέως, ὦ οἰηματία, ποίησον τοὔμὸν βούλημα [1],

---

1. Πολέμησον δηλ. μονομάχησον, ὡς ἐγὼ βούλομαι.

» εἴ σοι δύναμίς ἐστιν ἐν πολέμῳ, ἵνα γένηταί σοι ὁ ἐμὸς
» βραχίων πνευματικὸς πατὴρ, εἰς ἄφεσιν τοῦ σοῦ δεινοῦ
» ἁμαρτήματος, τῆς ἧς ἔλαβες ἀναξίως τιμῆς.

76. «Ὦ! καὶ σὺ, καὶ ὁ Βήσμας, καὶ οἱ Πανδοΐδαι [1], ἔλθετε
» ὁμοῦ ἅπαντες εἰς πόλεμον ταχέως, ἡ ἕκαστος κατὰ
» μέρος, ἵνα πίω ὑμᾶς ἐν ἀκαρεῖ, καθὼς ὁ Ἀγαστέας τὰς
» ἑπτὰ θαλάσσας.»

77. Τοιαῦτα εἰπόντος τοῦ Σισσουπάλα, τοῦ υἱοῦ τῆς Σατε-
βατῆς βροντοειδῶς, δίκην νέφους, ὁ Κρισνᾶς, ὁ ἀναιρέ-
της τῶν ἀντιθέων, ἐξηρεύξατο, ὡς ὁ ταὼς [2], φωνὴν
ἡδεῖαν πρὸς τὴν Σύνοδον, εἰπών·

78. «Ὦ βασιλεῖς, οὗτος ἐπυρπόλησε τὴν ἐμὴν πόλιν· ἔκλεψε
» τὸν ἵππον τοῦ πατρός μου ἐκ τῆς ἱπποθυσίας· ἥρπαξε
» τὴν γυναῖκα τοῦ συγγενοῦς μου Βαβροῦ· τί λέγω μίαν
» ἑκάστην τῶν αὐτοῦ κακιῶν;

79. «Ἐγὼ ἑκατὸν πταίσματα αὐτοῦ ἠνεσχόμην, ἐπειδὴ υἱός
» ἐστι τῆς ἀδελφῆς τοῦ ἐμοῦ πατρός· νυνὶ δ' οὐκ ἀνέχο-
» μαι· καὶ ἡ γαλακτικὴ γὰρ θάλασσα ἐκ τῆς πολλῆς
» ἀνακυκήσεως ἰὸν ἐξήνεγκεν.»

80. Ὁ δὲ Σισσουπάλας, τρέμων χεῖρας καὶ πόδας καὶ χείλη
ἐκ θυμοῦ, ἔφη· «Τί φλυαρεῖς; τίς ἀνοχή ἐστιν ἐμοῦ σοὶ
» τῷ ἐμῷ δούλῳ;

81. «Μὴ ἀνάσχου, ἀλλ' ἀνάστα γενναίως ἐν τάχει.» Ὁ δὲ
Κρισνᾶς ἐκαρατόμησεν αὐτὸν τῇ βολῇ τοῦ πολεμικοῦ δί-
σκου, ἁψάμενον τῶν ὅπλων.

82. Φῶς δ' ἐξελθὸν ἐκ τοῦ ἀκεφάλου σώματος τοῦ Σισσουπά-
λα, λαμπρότερον τοῦ Ἡλίου [3], ὑμνούμενον ὑπὸ τῶν θεῶν

---

1. Πέντε οἱ υἱοὶ τοῦ Πανδοῦ, ἕκτος ὁ Βήσμας, καὶ ἕβδομος ὁ Κρισνᾶς.
2. Ὅτε βροντᾷ καὶ ὁ ταὼς φωνεῖ χαίρων.
3. Τὸ φῶς ἦν ἡ ψυχὴ, ἡ ἡνώθη τῷ Κρισνᾷ, ὃς ἦν ὁ Θεὸς σαρκωθείς.

καὶ τῶν ἁγίων ἀνδρῶν, χαρέντων, εἰσῆλθεν εἰς τὸ σῶμα τοῦ Κρισνᾶ ὑπ' ὄψιν πάντων.

83. Συνεργήσας δὲ εἰς τὰ περὶ τὴν πυρὰν νόμιμα τῷ υἱῷ τῆς ἀδελφῆς τῆς μητρὸς αὐτοῦ ὁ Ἰνδιστίρας, χρίσας βασιλέα τὸν υἱὸν ἐκείνου, Δριστακετοῦν ὀνόματι, καὶ θεὶς ἐν τῷ θρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἤγαγεν αὐτὸν εἰς τὴν σύνοδον.

84. Ὁ μὲν οὖν Ἰνδιστίρας, τελέσας τὴν θυσίαν τῇ προστασίᾳ τοῦ Κρισνᾶ, τυχὼν αὐτοκρατορίας, ἦν βασιλεὺς βασιλέων, καὶ ἐποίησε τὸ μεταξὺ τοῦ οὐρανοῦ καὶ τῆς γῆς μεστὸν πολλοῦ κλέους, ὡς λίμνην γάλακτος ἐν τῷ τέλει τῆς θυσίας.

85. Οἱ δὲ βασιλεῖς, τιμηθέντες πρὸς τοῦ Ἰνδιστίρα, οὗ τὰ λαμπρὰ κατορθώματα ὑμνοῦνται ἐν τοῖς τρισὶ κόσμοις, σφόδρα ἐχάρησαν, καὶ προπεμφθέντες ὑπὸ τοῦ Βήμα, Ἀρζούνα, Σαχαδέβα, καὶ Νακούλα ἀσμένως, ἐπορεύθησαν ἕκαστος εἰς τὰ ἴδια.

Τέλος τοῦ Τρίτου Κεφαλαίου,
τοῦ Πρώτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ,

ὃ διαλαμβάνει τὴν μῆνιν τοῦ Δουριοδάνα.

1. Διαφυλάττοι τοὺς ἐν κόσμῳ ὁ Βεάσας, ὅς ἐστιν ἐπὶ παντὸς θεόφρονος, ὡς τὸ ἐπὶ τοῦ λύχνου ἀγγεῖον, καὶ μέλας ὡς ἡ στίμμις [1].

1. Ἐπὶ λύχνου κείοντος πιθέασιν ἀγγεῖον πήλινον ἢ σιδηροῦν, ᾧ προσ-

2. Ἰδὼν δ' ὁ Δουριοδάνας τὴν καλλονὴν τῆς Ἰνδραπράστας πόλεως, ἀφῆκε τὴν οἴησιν, ἣν εἶχεν, ὅτι ἡ πόλις αὐτοῦ Χαστιναπούρα κρείττων ἐστὶ τῆς πόλεως τοῦ Ἴνδρα.

3. Περιπατῶν δὲ ἐν τῷ ἐκ κρυστάλλων ἐδάφει τοῦ βουλευτηρίου τοῦ Ἰνδιςίρα, ἀνέλαβε τὸ ἱμάτιον [1], νομίζων ὕδωρ, καὶ ἐγελάσθη ὑπὸ πάντων, καταισχυνθείς.

4. Ἰδὼν δὲ δεξαμενὴν κατεσκευασμένην ἐκ πολυτίμων λίθων ἀνθράκων, νομίσας γῆν ἐκ τοῦ Ἡλίου λαμπομένην, ἔπεσεν εἰς τὸ ὕδωρ.

5. Ἐμπεσόντος δὲ τούτου τῷ ὕδατι, καὶ αἰσχυνθέντος, οἱ Καουραβαὶ ἐγέλασαν τότε, καθὼς καὶ οἱ νυκτερινοὶ λωτοὶ γελῶσι [2], τοῦ Ἡλίου πίπτοντος εἰς τὸν ὠκεανόν.

6. Γελασάντων δὲ τοῦ τε Βήμα, καὶ Ἀρζούνα, καὶ Νακούλα, καὶ Σαχαδέβα, καὶ ἄλλων πρὸς τούτοις, καὶ οἱ τοῖχοι τοῦ βουλευτηρίου ἐγέλασαν τῇ γενομένῃ ἠχοῖ.

7. Τούτου μὲν οὖν ἐμπεσόντος τῇ δεξαμενῇ, τὸ ὕδωρ ἐταράττετο [3], ὥςπερ εἰ ἔλεγεν, «Οἴμοι! ὅτι ἐγενόμην αἰ-» τία φθορᾶς βασιλέων πολλῶν.»

8. Ἐγένετο δ' οὗτος ἐν τῇ δεξαμενῇ, ὡς δένδρον σωματικὸν ἔχθρας ἐν ἀμάρᾳ, ἄνθη ἔχον τοὺς καταφρονητικοὺς γέλωτας εἰς καρπόν τινα [4].

9. Ἐξελθὼν δὲ ἐκ τῆς δεξαμενῆς καταβεβρεγμένος καὶ ὠργισμένος, γνώμης ἐγένετο ἀφανίσαι πολλοὺς βασιλεῖς, καθὼς ὁ Ἥλιος ἀναδυόμενος ἐκ τῆς θαλάσσης, ἀφανίζει τοὺς ἀστέρας.

κολλᾶται ὁ ἀναδιδόμενος καπνός· τὸ δὲ συνιστάμενον μέλαν ἐκ τοῦ καπνοῦ ἡ στίμμις ἐστὶ, δι' ἧς βάφουσι τοὺς ὀφθαλμούς.

1. Ἀνέλαβε τὸν ποδήρη χιτῶνα, ἵνα μὴ βραχείη.

2. Τουτέστιν ἀνθοῦσιν, ἀνοίγουσιν.

3. Αἰτία ἦν τοῦτο τῆς μελλούσης ἔχθρας.

4. Ὁ καρπός ἐστιν ὁ γενησόμενος πόλεμος.

10. Πορευθεὶς δὲ προσωτέρω, μὴ διακρίνας τὸν κρυστάλλινον τοῖχον, προσέκρουσε τὴν κεφαλὴν, καὶ πάλιν ἐγέλων οἱ ἄνθρωποι.

11. Ὑποκρύψας δ' ὅμως τὴν δυσθυμίαν καὶ τὸν θυμὸν, καὶ ὑποκρινάμενος εὐθυμίαν, λαβὼν ἄδειαν παρὰ τοῦ Ἰνδιστίρα, ἐπανέστρεψεν εἰς τὴν Χαστιναπούραν.

12. Ἀναπολῶν δὲ συχνάκις τὸν τοιοῦτον ὄλβον τοῦ Ἰνδιστίρα, οὐδαμοῦ ἄνεσιν ἐλάμβανε, καθὼς ὁ θερμαινόμενος ἐλέφας ἐν ἀμμώδει καὶ ἀνύδρῳ τόπῳ.

13. Ἐκ δὲ τῶν θερμῶν ἀναστεναγμῶν ἐφαίνετο, ὡς ἐξέμει φλόγας τοῦ ἐν καρδίᾳ πυρὸς τῆς ἀνίας [1], ὥςπερ μὴ δυνάμενος χωρεῖσθαι ἔνδον.

14. Ἰσχνὰ δὲ γινόμενα τὰ μέλη τοῦ σώματος αὐτοῦ κατὰ μικρὸν, ἀφῆκαν τὴν πολλὴν ἀγλαΐαν, ἣν εἶχον, καθὼς αἱ ἡμέραι τοῦ χειμῶνος.

15. Ἰδὼν δ' αὐτὸν οὕτω κατεσκληκότα ὁ υἱὸς τοῦ Σουβάλα, ὁ βασιλεὺς Σακουνὴς, διασθεὶς, ἔφη τῷ Δρυταράστρᾳ, ὄν τι κατ' ἰδίαν·

16. « Ὁ σὸς υἱὸς, καί περ πολύολβος ὢν, καὶ πολλαῖς γυναι-» ξὶν ἐντρυφῶν, οὐκ οἶδ' ὅπως πολύσαρκος καὶ παχὺς οὐκ » ἔστι, καθὼς καὶ ὁ ὠκεανὸς ἐν ὥρᾳ ὄμβρων, ὅτε οἱ πο-» ταμοὶ πλημμυροῦντες εἰσβάλλουσι [2]. »

17. Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς Δρυταράστρας, καλέσας τὸν υἱὸν αὐτοῦ, ἔφη αὐτῷ· « Ὦ παῖ, καί περ ὄλβιος ὢν, διὰ » τί φθίνεις, καθὼς καὶ ἡ Σελήνη;

18. « Διὰ τί, ὦ τέκνον, ἡ πατρικὴ εὐδαιμονία οὐκ εὐφραί-

---

1. Ὅ, ἐστιν οἱ θερμοὶ ἀναστεναγμοὶ ἦσαν αἱ φλόγες τοῦ ἐνδομύχου πυρός.

2. Ἐν ὥρᾳ ὄμβρων οἱ ποταμοὶ πλημμυροῦντες εἰσβάλλουσιν εἰς τὸν ὠκεανόν· ἀλλὰ καὶ οὕτως ὁ ὠκεανὸς οὐ πλημμυρεῖ, οὐδὲ αὐξάνει.

» νει σε, ἢ πάρεστί σοι εἰς ἀπόλαυσιν παντὸς ἡδέος, πόρρω
» ἀποδιώξασα τοὺς υἱοὺς τοῦ Πανδοῦ ;»

19. Ὁ δὲ Δουριοδάνας, ἀναστενάξας λίαν θερμῶς πρὸ τοῦ ἐκφωνῆσαι λόγον, ἔφη δεινοπαθῶς καὶ συγκεχυμένως·

20. « Ἐκεῖνοι οἱ Ἑκτορὶ ὑμνοῦνται, ὦ πάτερ, οἳ ἐκτήσαντο
» αὐτοὶ τὸν πλοῦτον, καθὼς οἱ Πανδοΐδαι· ὁ γὰρ μέγας
» πατρικὸς πλοῦτος ἁρμόδιός ἐστιν εἰς καύχημα τοῖς ἐμ-
» πόροις.

21. « Τοσοῦτον οἱ Πανδοΐδαι ἐκαλλώπισαν τὴν Κανδαβα-
» πράσταν πόλιν τῷ κτηθέντι ὅλβῳ, ὥστε καὶ τὸν Ἴνδραν
» ἐπιθυμεῖν οἰκεῖν ἐν ἐκείνῃ.

22. « Τὸ ἐκ μαρμάρων ταύτης τεῖχος, τὸ ἀνεγειρόμενον ἐκ
» μέσου τῆς τάφρου, φαίνεται ὡς δράκων Σέσσας, ἀνέρ-
» πων ἐκ χάσματος, εἰς φυλακὴν τοῦ θησαυροῦ [1].

23. « Τὰ δ' ἐκ πολυτίμων λίθων σφαιροειδῆ κοσμήματα κρα-
» τοῦνται ὑπὸ τοῦ αἰθέρος [2], ὡς κομβολόγια εὐχῆς, δο-
» θέντα παρὰ τοῦ ὑψηλοῦ τείχους, ὡς παρὰ πνευματικοῦ
» πατρὸς, εἰς τὸ ἀποσοβῆσαι τὸ σκότος [3].

24. « Τὰ δὲ κύματα τοῦ ὕδατος τῆς τάφρου ἀντιλάμπουσιν
» ἐν τῷ οὐρανῷ, ὡς ἐν κατόπτρῳ ἐκ σαπφείρου, ἅ ἐστιν αἱ
» κυμαίνουσαι σημαῖαι ἐπὶ τοῦ ὕψους τοῦ τείχους.

25. « Εἴσδυσις δ' οὐδὲ τοῦ ἀέρος γίνεται εἰς ἐκείνην τὴν πό-
» λιν, προσκρούοντος τῷ τείχει· οἱ δ' ἄνθρωποι ἐπωφελῆ
» νομίζουσι τὴν τῶν πολεμικῶν θυρίδων κατασκευήν [4].

---

1. Λέγουσιν, ὡς ὅπου θησαυρὸς, ἐκεῖ καὶ ὄφις.

2. Ἐκ τούτου δηλοῖ, ὡς τὰ τείχη ἦσαν οὐρανομήκη· πέριξ δὲ τοῦ τείχους, κατὰ τὸ ὕψος, σφαιροειδῆ κοσμήματα τιθέασι.

3. Τουτέστι τὴν ἄγνοιαν. Καθὼς ὁ εὐχόμενος ἀποσοβεῖ τὴν ἄγνοιαν μετὰ κομβολογίου.

4. Πέριξ τῶν προμαχώνων ὁπὰς ποιοῦσι, δι' ὧν ῥίπτουσι βέλη κατὰ τῶν ἐχθρῶν.

26. « Ἡ πόλις ἐκείνη γελᾷ τὰς πόλεις τῶν θεῶν, τῶν ἐφόρων » τῶν τεσσάρων μερῶν τῆς γῆς, διὰ τεσσάρων θυρῶν, ὡς » στομάτων [1], ἐχουσῶν, ὡς ὀδόντας, τὰς ἐκ μαργάρων » σειράς.

27. « Περὶ δὲ τὴν ἑσπέραν ὁ Ἥλιος, κλίνων πρὸς τὴν δύσιν, » νομίζεται ὑπὸ τῶν ἀνθρώπων, ὥσπερ σφαιροειδὲς κόσμη- » μα ἐξ ἀνθράκων λίθων, πίπτον ἐξ ὕψους τοῦ τείχους.

28. « Ἐν ἐκείνῃ τῇ πόλει ὁ Ἔρως περιέρχεται ἄφοβος, γινώ- » σκων, ὡς οὐδὲ ὁ Σίβας διακρίνει τοῦτον βαδίζοντα με- » ταξὺ τῶν νεανίσκων, ἀμφιβάλλων, τίς τούτων εἴη [2].

29. « Ἐνταῦθα αἱ θεῖαι νύμφαι, ἥ τε Ῥαμβὰ καὶ αἱ ἄλλαι, » οἰκοῦσιν ἐν σχήματι γυναικῶν, ἀφεῖσαι τὴν οὐρανοπο- » λίαν, ἵνα γυμνασθῶσι χάριτας.

30. « Ἐνθαῦθα οἱ ἄνδρες καὶ αἱ γυναῖκες, βλέποντες ἀσκαρ- » δαμυκτὶ τὸ κάλλος ἀλλήλων [3], νομίζονται, ὅτι θεοὶ » καὶ θεαί εἰσιν, ἐλθόντες ἐνθάδε, ὡς εἰς ἄσυλον, φοβη- » θέντες τοὺς Τιτᾶνας.

31. « Ἐγὼ νομίζω, ὡς αὕτη ἡ πόλις κατὰ μὲν τὰ ἀνώγεω » Ἀμαραβατή ἐστιν [4], κατὰ δὲ τὰ κατώγεω Βογαβατή [5].

32. « Ἐν μὲν τῇ ἡμέρᾳ οἱ παῖδες, τρέχοντες ἐξ ἑκατέρου μέ- » ρους τῆς αὐλῆς, σὺν τῷ κινουμένῳ ἀνταυγάσματι τοῦ » Ἡλίου ἐπὶ τοῦ ἐκ πολυτίμων λίθων ἐδάφους, ἔρχονται

---

1. Στόματα τέσσαρα ἐννοεῖ τὰς τέσσαρας θύρας· ὀδόντας δὲ τὰς ἐπὶ τῶν ἀνωφλίων σειρὰς ἐκ μαργάρων.

2. Τουτέστιν ὡραίους καὶ παγκάλους ἔχει τοὺς οἰκήτορας.

3. Οἱ θεοὶ καὶ αἱ θεαὶ ἀσκαρδαμυκτὶ βλέπουσι.

4. Ἀμαραβατὴ μεθερμηνεύεται Θεούπολις· ἔστι δὲ ἡ ἐν οὐρανῷ λαμπρὰ πόλις τοῦ Ἴνδρα.

5. Βογαβατὴ ἑρμηνεύεται Τρυφηλὴ ἢ Ἡδονική· ἔστι δὲ ἡ ὑπὸ γῆν μυθευομένη λαμπρὰ πόλις τῶν Δρακόντων.

» μέχρι τοῦ πέρατος, νομίζοντες ὅτι παιδική ἐστι σφαῖρα[1].

33. « Ἐν δὲ τῇ νυκτὶ, ὄντες οἱ παῖδες ἐπὶ τῶν στεγῶν, ἐκ-
» τείνουσι τὴν χεῖρα ἐπὶ τὸν δίσκον τῆς Σελήνης, νομί-
» ζοντες ἀγγεῖον ἀργυροῦν, δεκτικὸν στίμμιος.

34. « Οἱ δ' οἶκοι, οἱ διὰ τοῦ ὕψους καταφαγόντες τὸν αἰθέ-
» ρα[2], ἐξερεύγονται αὐτὸν, ὅπερ συμπεραίνεται ἐκ τοῦ
» πυκνοῦ καπνοῦ τῶν λιβανωτῶν, τοῦ ἀεὶ ἐξερχομένου.

35. « Αἱ δὲ σφαῖραι, αἱ οὖσαι ὡς κόσμημα ἐπὶ τῆς κορυφῆς
» τῶν ναῶν, φαίνονται ὡς στάμνοι, ἐναποταμιευμένην
» ἔχουσαι τὴν ἀρετὴν τοῦ νεωδόμου, ὡς θησαυρὸν[3], οὗ
» εἰς φυλακὴν, ὡς ὅρις, ἐστὶν ἡ σημαία[4].

36. « Αἱ ἀργυραῖ στέγαι τῶν οἴκων φαίνονται ὡς σύμμικτοι
» λαμπρότητες τῆς δικαιοσύνης, τῆς δόξης, καὶ τῆς φή-
» μης τοῦ βασιλέως Ἰνδιστίρα.

37. « Τὰ δὲ λιθοκόλλητα σανδάλια τῶν ἐγκατοίκων τῆς πό-
» λεως, οἵ εἰσι διδάσκαλοι τῆς πολυδωρίας, πάντως γε
» φέρονται εἰς τιμὴν ἐπὶ τῆς κορυφῆς τῶν πανδώρων δέν-
» δρων[5], ἅ ἐστι τὰ νεογνὰ τῶν φύλλων.

38. « Τὰ δ' ὕδατα τῶν λιμνίσκων ταύτης τῆς πόλεως, διαῤ-
» ῥήξαντα τὴν γῆν, καὶ διαῤῥεύσαντα εἰς τὴν Πατάλαν[6],
» ἐγένοντο ἀναμφιβόλως τὰ ἐν Πατάλᾳ ἀμβρόσια φρέατα.

---

1. Σφαιροειδὴς ἐστιν ὁ Ἥλιος.

2. Τουτέστιν ὑψηλοὶ καὶ οὐρανομήκεις, οἳ ἐπλήρωσαν τὸν αἰθέρα.

3. Τὸ ἀργύριον ἢ χρυσίον τιθέντες ἐν στάμνῳ ἢ ἐν χύτρᾳ, φυλάττουσιν ὑπὸ γῆν· ποιοῦντες δὲ σχῆμα ὄφεως ἐκ ζύμης, τιθέασιν ἐπὶ τοῦ ἀργυρίου ἢ χρυσίου, εἰς φυλακήν.

4. Ἐπὶ τῆς κορυφῆς τοῦ ναοῦ σημαίαν τιθέασι τρίγωνον.

5. Καθὼς ὁ διδαχθεὶς μαθητὴς φέρει ἐπὶ τῆς κορυφῆς ἑαυτοῦ τὸ σανδάλιον τοῦ διδασκάλου.

6. Πατάλα λέγεται ὁ ὑποχθόνιος κόσμος, ἔνθα μυθεύονται ὡς φρέατά εἰσι πολλὰ νέκταρος.

39. «Ἐν ἐκείνῃ τῇ πόλει ἡ Λαξμὴ, ἡ θεὰ τοῦ πλούτου, πα-
» ρίσταται ὡς δούλη πρὸ τῆς Σαρασβατῆς, τῆς θεᾶς τοῦ
» λόγου, τῆς παιζούσης ἡδέως ἐπὶ τῆς γλώττης τῶν σο-
» φῶν, ὡς ἐπὶ αἰώρας [1].

40. «Καὶ ὁ ὄφις Σέσσας, ὁ ἔχων δισχίλια ὄμματα καὶ δι-
» σχιλίας γλώσσας, ἰδὼν ἀκριβῶς τὴν ἀγλαΐαν ταύτης
» τῆς πόλεως, οὐκ οἶδεν εἰ δύναται αὐτὴν ἐπαινέσαι ἀξίως.

41. «Ὁ οἰκῶν ἐν ἐκείνῃ τῇ πόλει, ἧς οἱ οἶκοι οὐκ ἔχουσί ποτε
» σκότος, ἐκ τῶν προσκεκολλημένων πολυτίμων λίθων,
» οὐκ οἶδε τὴν ἀνατολὴν ἢ τὴν δύσιν τοῦ Ἡλίου.

42. «Ἡ ἐμὴ πατρικὴ πόλις οὐ συγκρίνεται τῇ πόλει ἐκείνῃ,
» τῇ πεποιημένῃ ὑπὸ τῶν υἱῶν τοῦ Πανδοῦ, καθὼς οὐ
» συγκρίνεται ὁ πολεμῶν διὰ χειρὸς, τῷ πολεμοῦντι διὰ
» τόξου.

43. «Αὕτη οὖν ἡ ἀγλαΐα τῆς πόλεως τούτων τῶν φύσει ἐχ-
» θρῶν συγγενῶν, θλίβει ἐμὲ κατὰ τὴν καρδίαν, εἰς μνή-
» μην ἀγομένη, καθὼς ἡ δόξα τὸν φιλόδοξον.

44. «Ἣν δὲ δόξαν εἶχεν ὁ Ἰνδιστίρας ἐν τῇ θυσίᾳ, ὧν σὺν τῷ
» Κρισνᾷ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, τοῖς νικηταῖς τοῦ
» κόσμου, λίαν αὕτη θλίβει με.

45. «Δυνατοὶ δὲ βασιλεῖς τῆς γῆς ἕτερπον αὐτὸν εἰς τιμὴν
» τῆς θυσίας παντοίοις δοθεῖσι πράγμασι, γινομένοις ἐν
» τοῖς τόποις αὐτῶν.

46. «Καὶ ὁ μὲν Πανδέας, ὁ βασιλεὺς τοῦ ὄρους Μαλαΐα,
» προσήνεγκεν αὐτῷ χυμὸν καλοῦ Σανδάνου ἐν στάμνοις
» χρυσαῖς, ὡς περ εἰ προσήνεγκε τὴν φήμην ἑαυτοῦ [2], οὖ-
» σαν ἐν λαμπρότητι.

---

1. Τουτέστιν οἱ πλούσιοι τιμῶσι τοὺς σοφούς.

2. Ἡ μὲν φήμη λευκὴ, ὡς ὁ χυμὸς τοῦ Σανδάνου, ἡ δὲ λαμπρότης ἐρυθρὰ, ὡς ἡ χρυσῆ στάμνος.

47. « Ὁ δὲ βασιλεὺς τῆς Σιγχάλας ἔδωκεν αὐτῷ πολυτίμους
» λίθους ἄνθρακας, γινομένους ἐν τῇ Ῥαβαναγαγγᾷ, ὡς
48. » περ σημεῖα πραγματικὰ τῆς ἀκραιφνοῦς ἀγάπης αὐτοῦ [1],
» πολλούς τε προσέτι κυανοὺς λίθους καὶ μαργαρίτας,
49. » γινομένους παρὰ τὴν ἀκτὴν τῆς θαλάσσης, ὥς περ λευκὰ
» καὶ μέλανα ἐλέμματα τῆς ἑαυτοῦ βασιλείας [2], καὶ ἀνα-
» ριθμήτους ἐκλεκτοὺς λευκοὺς κόγχους, ὡς ῥίζας τοῦ
» ἑαυτοῦ κλέους.
50. « Ὁ δὲ βασιλεὺς τῆς Βαρβάρας χώρας ἔδωκε μαργαρίτας
» μετὰ σαπφείρων, ὥς περ ἄνθη λευκὰ μετὰ βομβυλίων,
» δοθέντα παρὰ τοῦ Ὠκεανοῦ τῇ θυγατρὶ Λαξμῇ, ἣ συνε-
» ζεύχθη τῷ Ἰνδιστίρᾳ.
51. « Ὁ δὲ βασιλεὺς τῆς Καουγγασαουλίκας χώρας, ἔθετο
» πρὸ αὐτοῦ ξανθὰς πολυτίμους λίθους, εἰπών· « Ἡ ἐμὴ
« βασιλεία ἐστὶν, ὡς χήρα· ταῦτα δ' εἰσὶν αἱ τρίχες
« αὐτῆς [3]. »
52. « Οἱ δὲ τῶν ἐν θαλάσσῃ νήσων βασιλεῖς ἔδωκαν τῷ Ἰν-
» διστίρᾳ δύω ὁρμαθοὺς μαργαριτῶν λευκῶν, ἐξερχομένων
53 » ἐκ τοῦ στόματος τῶν κόχλων καὶ τῶν ἰχθύων, καὶ δύω
» ὁρμαθοὺς κοραλλίων ἐρυθρῶν, δίκην Ἡλίου, δι' ὧν ἠγλαΐ-
» ζετο ἡ βουλὴ [4] αὐτοῦ, ὡς διὰ δύω σειρῶν ὀδόντων καὶ
» χειλέων.
54. « Ὁ δὲ βασιλεὺς τῆς Σουρπάρας ἔδωκεν αὐτῷ ἀδάμαντας
» καὶ μαργαρίτας, οἳ ἦσαν λευκοί, ὡς ὁ ἵππος τῆς θαλάσ-
» σης Οὐτσαϊσραβᾶς, καὶ ὑπερέβαινον πάντας τοὺς ἄλλους.

---

1. Τὸ γὰρ ἐρυθρὸν ἀναφέρεται εἰς τὴν ἀγάπην.

2. Ἡ βασιλεία ὡς γυνὴ, οἱ δὲ κυανοῖ λίθοι καὶ μαργαρῖται, ὡς ἐλέμματα λευκῶν καὶ μεγάλων ὀμμάτων· τὸ δὲ κλέος, ὡς δένδρον.

3. Ἡ χήρα κείρεται τὴν κόμην.

4. Ἡ βουλὴ, ὡς γυνή.

55. « Οἱ δὲ βασιλεῖς τῶν ὀρέων ἔδωκαν αὐτῷ, ὡς ὄρη παι-
» διᾶς τῆς ἀνδρείας [1], τρεῖς τόπους, ἔνθα γίνονται μαρ-
» γαρίται, ἐκ καλάμων, ἐκ κεφαλῶν ἐλεφάντων, καὶ ἐξ
» ὀδόντων χοίρων.

56. « Ὁ δὲ βασιλεὺς τῆς Περσίας ἔδωκεν αὐτῷ ἵππους, κο-
» σμήματα ἔχοντας ἐκ μαργαριτῶν, καὶ ἁλτικοὺς ὄντας,
» ὡς τὰ κύματα τῆς παρὰ τῇ γῇ αὐτοῦ θαλάσσης.

57. « Οἱ δὲ βασιλεῖς τοῦ Ἰμαοῦ ὄρους ἔδωκαν αὐτῷ ἀδάμαν-
» τας, γενομένους ἐρυθρούς [2] ἐπὶ ταύτῃ τῇ ἐννοίᾳ· « Εἰ
« ἡμεῖς ἐδόθημεν, τίς ἡ χρεία βοείων οὐρῶν, βοτανῶν,
« καὶ μόσκου; »

58. « Οἱ δὲ βασιλεῖς τῆς Καλίγγας καὶ τῆς Παουνδράκας
» ἔδωκαν ἐλέφαντας, κεκοσμημένους πολυτίμοις λίθοις,
» χρυσανθέσι, καὶ κυανοχρόοις, γινομένους παρὰ τὴν λίμνην
» Καμεκάν.

59. « Ὁ δὲ βασιλεὺς τῆς Κοσσάλας ἔδωκεν ἐλέφαντας κυα-
» νόχροας· ὁ δὲ τῆς Ματάγγας κιρρόχροας· ὁ δὲ τῆς Ρε-
» βᾶς, τοῦ ποταμοῦ, λευκόχροας· ὁ δὲ τῆς Σαουράστρας,
» ἐρυθρόχροας.

60. « Ἄλλοι δὲ βασιλεῖς τῆς γῆς ἔδωκαν τὸ κάλλιον τῆς
» ἑαυτῶν περιουσίας, ἀγάπῃ φερόμενοι πρὸς αὐτὸν, ἰδόν-
» τες τοιαύτην τελετὴν θυσίας.

61. « Παρὰ δὲ τοῦ Κρισνᾶ ἐδόθησαν δεκατέσσαρες χιλιάδες
» ἐλεφάντων, οἳ εἶχον κοσμήματα χρυσαυγῆ, ὡς ἀστρα-
« πήν, καὶ χρῶμα καὶ μέγεθος, ὡς νέφη ὑδροφόρα.

62. « Ὁ δὲ βασιλεὺς τῶν Γανδαρβῶν Σιτραράτας, ὁ φίλος

---

1. Ἡ ἀνδρεία ὡς γυνή.

2. Δηλονότι ἀνθρακας· οὐχὶ δὲ μόνον ἀνθρακας ἔδωκαν, ἀλλὰ καὶ βοείας οὐρὰς, καὶ βοτάνας, καὶ μόσκον, ἃ γίνονται κατ' ἐκεῖνα τὰ μέρη.

» τοῦ Ἴνδρα, ἔδωκε τετρακοσίους ἵππους, ὑπερβαίνοντας
» τὸν νοῦν τῇ ταχύτητι.

63. « Ἔδωκε δ' οὗτος καὶ χιλιάδας μεγάλων καὶ λαμπρῶν
» μαργαριτῶν, ἐξερχομένων ἐκ τῶν νεφῶν ἐπὶ τῆς κορυφῆς
» τοῦ Ἰμαοῦ.

64. « Ὁ δὲ Τουμβαροῦς [1] ἔδωκεν ἑκατὸν ἵππους ταχεῖς, ἐφ' οὓς
» ἀναβῆναι καὶ δραμεῖν, καὶ ὁ ἄνεμος ἐπιθυμίαν ἔχει.

65. « Οὐδεὶς δὲ βασιλεύς ἐστιν ἐν γῇ, τῇ ἐν τῷ μέσῳ τοῦ
» ἀνατολικοῦ καὶ δυτικοῦ ὄρους καὶ ἄλλων ὀρέων, ὃς οὐκ
» ἔδωκεν αὐτῷ φόρον.

66. « Οὐχὶ δὲ μόνον ἐγὼ τότε ἀπέκαμον, λαμβάνων πράγ-
» ματα θαυμαστὰ, ἃ οὐχ ὡράθησαν πρότερον, καὶ ὧν τὸ
» ὄνομα ἄγνωστον ἦν, ἀλλὰ καὶ οἱ περὶ ἐμὲ πάντες.

67. « Ἡ γῆ ἐκείνου ὑπερέβαινε πᾶσαν τὴν γῆν κατὰ τὴν ὁλ-
» βιότητα, πεπληρωμένη πάντων τῶν ἀγαθῶν, τῶν γι-
» νομένων ἐν πόλεσιν, ἐν δάσεσιν, ἐν ποταμοῖς, ἐν θαλάσ-
» σαις, καὶ ἐν ὄρεσι.

68. « Οἱ δ' οὐρανοβάμονες ὅσιοι, ὅ,τε Ναράδας καὶ ἄλλοι,
» ἤνεγκαν τότε ὕδωρ ἐκ πάντων τῶν ἁγίων τόπων, εἰς
» λουτρὸν τῷ Ἰνδιστίρᾳ.

69. « Οἱ δὲ μεγάλοι βασιλεῖς τῆς γῆς ἦσαν παρασκευάζον-
» τες, ὡς δοῦλοι, τὰ εἰς λουτρόν ἐπιτήδεια ἐκείνου τοῦ
» βασιλέως Ἰνδιστίρα, καὶ τὰ μετὰ τὸ λουτρόν.

70. « Καὶ ὁ μὲν βασιλεὺς τῆς Καμβόζας ἐζεύγνυε τοὺς ἵπ-
» πους ὑπὸ τὸ ἅρμα, τοὺς ἐνεχθέντας ὑπὸ τοῦ βασιλέως
» τῆς Βαλχικᾶς· ὁ δὲ Σουνίτας παρεσκευάζετο τὴν ση-
» μαίαν [2], ὁ δὲ Βασουδάνας τὸν μέγαν ἐλέφαντα.

71. « Ὁ δὲ βασιλεὺς τῆς Μαγάδας παρεσκευάσατο τὸν ὅρμον

---

1. Καὶ οὗτος Γανδάρβας.
2. Τὴν ἐπὶ τοῦ ἅρματος.

» καὶ τὸ διάδημα· ὁ δὲ Ἐκαλαβέας τὰ σανδάλια· ὁ δὲ
» βασιλεὺς τῆς Κασσῆς τὸ τόξον· ὁ δὲ Πανδέας τὸν θώ-
» ρακα· ὁ δὲ Σικετάνας τὴν φαρέτραν.

72. « Ἀντιλάμπων δὲ ἐν τῷ διστόμῳ ξίφει, τῷ ὃ ἔμελλεν
» ἐγχειρίσαι αὐτῷ ὁ βασιλεὺς Σαλέας, ἐφαίνετο ὡς τρι-
» μορφος [1] εἰς τιμὴν τῶν Βαχμάνων, τῶν ἀναγινωσκόν-
» των τὴν τριττὴν Βέδαν.

73. « Ἡ δὲ Σελήνη ἦλθεν ἐκεῖ δι' ὅλου λαμπρὰ, ἐν σχήματι
» τοῦ λευκοῦ σκιαδίου [2], ὃ ἐβάσταζεν ὁ βασιλεὺς Σατεκὴς,
» ὀψομένη τὸν ἀπόγονον, ὃς ἐξήλειψε τὰ στίγματα αὐτῆς
» δι' ἀγαθῶν ἔργων [3].

74. « Δύω δὲ οὐραὶ βόειαι ἠγλάϊζον τὸν Ἰνδιστίραν, σαλευόμεναι
» ἑκατέρωθεν αὐτοῦ ὑπὸ τοῦ Βήμα καὶ τοῦ Ἀρζούνα, ὡς
» περχάριτες τῆς πρὸ ὀλίγου γενομένης θυσίας καὶ δωρεᾶς.

75. « Ἑτοιμασθέντων δὲ τῶν βασιλικῶν συμβόλων, κατὰ τὴν
» ἐντολὴν τῆς Βέδας ὑπὸ τῶν βασιλέων, ὁ Δαουμέας καὶ
» ὁ Βεάσας καὶ ἄλλοι βραχμᾶνες, ἔλουσαν καὶ ἔχρισάν
» τὸν Ἰνδιστίραν.

76. « Τότε ὁ Ὠκεανὸς ἔδωκεν αὐτῷ ἐκείνην τὴν κόγχον τοῦ
» Βαρούνα, ἣν ἔδωκεν ἐν προτέρῳ χρόνῳ ὁ Βραχμᾶς τῷ
» Ἴνδρᾳ.

77. « Ταύτην τὴν κόγχον λαβὼν ὁ Κρισνᾶς, ὁ κοινωνὸς τῆς
» λύπης καὶ τῆς χαρᾶς τοῦ Ἀρζούνα, ἐρράντισε (ἔλουσε)
» τὸν Ἰνδιστίραν ὕδασιν ἁγίων τόπων.

---

1. Βραχμᾶς, Βισνοῦς καὶ Σίβας· ἐφαίνετο ὅτι ἦλθεν ἡ τριπρόσωπος θεότης εἰς τιμὴν τῶν Βραχμάνων.

2. Οἱ μὲν ἄλλοι βασιλεῖς, ὡς προείρηται, ἀργυροῦν σκιάδιον εἶχον· ὁ δὲ Ἰνδιστίρας χρυσοῦν.

3. Οἱ ἀπόγονοι ἐξαλείφουσι τὰ ἐγκλήματα τῶν προπατόρων διὰ νομίμων καὶ ἀγαθῶν ἔργων.

78. «Ἐκ δὲ τοῦ μεγάλου ἤχου τῶν ἐμπνευομένων κόγχων
» αἰσίως ὑπὸ τῶν ἡρώων, καὶ ἐγὼ καὶ ἄλλοι βασιλεῖς,
» λυποθυμήσαντες, ἐπέσομεν ἐπὶ γῆς.

79. «Ἐπειδὴ δ' ἐγὼ λυποθυμήσας ἐγελώμην ὑπὸ τοῦ Κρισνᾶ,
» καὶ τῶν Πανδοειδῶν, καὶ τοῦ Σατεκῆ, καὶ Δρυσταδιού-
» μνα, μὴ λειποθυμησάντων, διὰ τοῦτο οὐ δύναμαι ἐπι-
» λαθέσθαι.

80. «Ἡ δ' ἀνθοβολία, ἡ ἐξ οὐρανοῦ ἐγένετο ἐπὶ τοῦ Ἰνδιστίρα,
» ἐκ τῆς πρὸς τὸν Κρισνᾶν τιμῆς [1], αὕτη θλίβει με· ἦν
» δ' ὡς διάττων ἀστὴρ [2], σημαντικὸς τοῦ θανάτου τοῦ
» Σισουπάλα.

81. «Ἐπειδὴ δὲ καὶ ἡ Δραουπαδὴ ἐγέλασεν ἐπ' ἐμοὶ σὺν ταῖς
» γυναιξὶ, πεσόντι εἰς τὴν δεξαμενὴν, διὰ τοῦτο, τοῦτο
» τὸ πάθος οὐκ ἐξέρχεται ἕως τοῦ νῦν ἐκ τῆς καρδίας μου,
» ὃν ὡς βέλος ὀξύ.

82. «Ἡ καρδία ἡ ἐμὴ, ἀχθομένη τῇ ἀναμνήσει τούτων καὶ
» ἄλλων τοιούτων, λίαν ἐκτόπως διαταράττεται.

83. «Ἐμοὶ μὲν οὖν ὁ θάνατος προτιμητέος ἐστὶν, ἢ τὸ ζῆν
» μετὰ τοσαύτης λύπης, μὴ ἀπολαύσαντι οὗ τέως ἐπεθύ-
» μουν [3], καὶ εἰς ὠκεανὸν ἀτιμίας ἐμβυθισθέντι.»

84. Γνοὺς τὸ πάθος τοῦ υἱοῦ ὁ Δρυταράστρας, ὁ υἱὸς τῆς
Ἀμβικᾶς, ἔφη· «Ὦ τέκνον, ἡ ἀλλοτρία εὐδαιμονία αἰτία
» γίνεται ἀνίας μικροπρεπέσιν ἀνθρώποις.

85. «Ποίησον καὶ σὺ τὴν οἰκείαν πόλιν εὐνομίᾳ πολύολβον·
» κατασκεύασον καὶ σὺ πολυτίμοις πράγμασι τοιοῦτον
» λαμπρὸν βουλευτήριον.

86. «Νίκησον πάντα τὰ μέρη τῆς γῆς σὺν τοῖς σεαυτοῦ ἀδελ-

---

1. Εἶπεν ἐπὶ τῆς θυσίας, ὡς ἄξιός ἐστιν ὁ Κρισνᾶς μόνος τιμῆς.
2. Ὁ διάττων ἀστὴρ ἀπαίσιόν ἐστι σημεῖον.
3. Ἐπεθύμει τῆς ἀπωλείας τῶν Πανδοϊδῶν.

» φοῖς, καὶ τῷ Κριπᾷ, καὶ Καρνᾷ, καὶ Δρόνᾳ, καὶ Ἀσβα-
» τάμᾳ [1]. Τέλεσον τὴν *Σαπτατάρτοῦν* θυσίαν, καθὼς ὁ
» Ἰνδιστίρας τὴν *Ῥαζασούταν*.

87. «Μὴ ἀπελπίζου, τέκνον, κτῆσαι ὄνομα δι' ἀνδραγαθίας·
» χαρὰ δέ σοι ἔστω ὁ Ἰνδιστίρας, καί περ ὄλβιος, ἐπειδή
» ἐστι πρεσβύτερός σου.»

88. Ὁ δὲ Δουριοδάνας ἀπεκρίνατο, ἀποκαλύπτων τὴν μῆνιν
λόγοις ταπεινοῖς· «Αὕτη ἡ ὀλβιότης, ἣν λέγεις, διὰ
» πολλοῦ τοῦ χρόνου γένοιτ' ἂν τῇ ἡμετέρᾳ πόλει· τῆς δὲ
» ζωῆς ταύτης τίς ἐγγυητής;

89. «Πῶς δ', ὦ πάτερ, γενήσεται ὑπὸ τεχνουργῶν ἀνθρώπων
» τοιοῦτο βουλευτήριον [2]; πρὸς δὲ, ἅπας τῆς γῆς ὁ ὄλβος
» κατεπόθη ὑπὸ τῶν Πανδοϊδῶν. Τί οὖν ὄφελος τοῖς νικη-
» ταῖς ὁ κόσμος [3];

90. «Ἐγὼ νικήσας τοὺς βασιλεῖς, τοὺς καταπονηθέντας τῇ
» νίκῃ ἐκείνου τοῦ Ἰνδιστίρα, αἰσχυνθείην ἄν· πρὸς δὲ,
» αὐτοκράτωρ οὐκ ἂν γενοίμην, ἄνευ τῆς *Ῥαζασούας* θυ-
» σίας· τί οὖν ὄφελος ἐκ τῆς *Σαπτατάρτοῦς*;

91. «Ποῦ δὲ πρεσβύτερός μου ὁ Ἰνδιστίρας, ὃς ἦν ἀδιάφορος
» τότε, τῶν ἀδελφῶν αὐτοῦ γελώντων, ὅτε ἐγὼ προσέ-
» κρουσα ἐν τῷ βουλευτηρίῳ;

92. «Ὅθεν ἐγὼ μετὰ τοῦ Κριπᾶ καὶ ἄλλων, καταβαλὼν ἐν
» πολέμῳ τοὺς ἐχθροὺς Πανδοΐδας, λήψομαι καὶ τὴν ἔχου-
» σαν τοιοῦτο βουλευτήριον πόλιν ἐκείνην, καὶ τὸν πλοῦ-
» τον, τὸν ἐκ τῆς νίκης κατὰ τοῦ κόσμου συναχθέντα.»

93. Τοῦ δὲ Δρυταράστρα μὴ κρίνοντος ὀρθὸν τὸν λόγον τοῦ-

---

1. Τῷ υἱῷ τοῦ Δρόνα.

2. Τὸ γὰρ βουλευτήριον τοῦ Ἰνδιστίρα κατεσκευάσθη, ὡς εἴρηται, ὑπὸ τοῦ δαίμονος Μαΐα.

3. Δηλ. οὐδὲν εὑρήσουσι.

τον, καὶ μέλλοντος ἐρεῖν τι, ὑπολαβὼν ὁ βασιλεὺς τῆς Γανδάρας [1], ἔφη πρὸς τὸν υἱὸν τῆς ἀδελφῆς αὐτοῦ·

94. «Ὑπὸ τίνος νικηθήσεται ὁ Ἰνδιστίρας, ὁ ὢν ἱκανὸς ἐν » θυμῷ κατακαῦσαι τὸν κόσμον, καὶ προασπιστὰς ἔχων ἐν » πολέμῳ τὸν Κρισνᾶν, τὸν Βήμαν, τὸν Ἀρζούναν, τὸν » Νακούλαν, καὶ τὸν Σαχαδέβαν;

95. « Ἀλλ' ἔγωγε νικήσας τοῦτον ἐν παιδιᾷ κύβων, τὸν μὴ » ἐπιστάμενον κυβεῦσαι, μήτε δυνάμενον ἀνανεῦσαι, εἰ » κληθείη, λήψομαι πᾶσαν ἐκείνην τὴν περιουσίαν.

96. «Μετάπεμψαι τοίνυν αὐτὸν ἐνθάδε, ἐπὶ προφάσει τοῦ θεά- » σασθαι τὸ σὸν βουλευτήριον, ὁμοιοκατασκεύαστον ὂν τῷ » ἐκείνου· ἐγὼ δὲ τότε πάνθ' ὅσ' ἔχει λήψομαι ταύτῃ γε » τῇ μηχανῇ.»

97. Ὁ δὲ τυφλὸς [2] Δρυταράστρας, δακνόμενος τὴν καρδίαν, ἔφη· «Φεῦ τῆς βουλῆς ὑμῶν! ὁ γὰρ δίκαιος ἐκεῖνος νι- » κητέος ἐστὶν ἀπάτῃ.

98. « Ἐν τοιούτῳ δ' ἔργῳ ποῦ ἔσται λόγος δικαιοσύνης, » ἰσχύος, καὶ ἐπαίνου [3]; τουναντίον δὲ φανερὰ ἔσεται ἀδι- » κία, ἀδυναμία, καὶ κατηγορία.»

99. Τοιαῦτα εἰρηκότος τοῦ Δρυταράστρα, ἔφη ὁ υἱὸς αὐτοῦ, τυφλὸς ὢν ἀριδήλως ἐκ θυμοῦ· «Τίς αὕτη ἡ σκέψις, εἴ τοι » δίκαιος εἴη ἢ ἄδικος ὁ ἐχθρὸς κατὰ τοῦ ἐχθροῦ;

100. « Ὁ γὰρ ἐχθρὸς, ἀνίκητος τῇ δυνάμει, νικητὸς ἔσεται » τῇ ἀπάτῃ. Καὶ ὁ Βημάνας ἔδησεν ἀπάτῃ τὸν δίκαιον » καὶ δυνατὸν Βαλήν.

101. « Ποίησον οὖν παρασκευὴν (ἀρχὴν) ἐν τάχει τοῦ νικῆσαι

---

1. Οὗτός ἐστιν ὁ Σακουνὴς, ὁ καὶ Σαουβάλας, ὃς ἦν ἀδελφὸς τῆς Γανδαρᾶς, ἧς υἱὸς ἦν ὁ Δουριοδάνας.

2. Αὐτολεξεὶ, ὁ ἔχων ὀφθαλμὸν τὸν νοῦν, ὁ τυφλός.

3. Δηλ. οὐδεὶς ἐπαινέσει ἡμᾶς, ὡς δικαίους καὶ γενναίους.

» τούτους τοὺς ἐχθροὺς· εἰ δὲ μὴ, ἡμεῖς ἀπολεσθησόμεθα » ὑπ' ἐκείνων, ὥςπερ ὑπὸ παθῶν, μὴ τυχόντων τομῆς.

102. « Ἀλλ' ἐὰν ἐπισχεθῇς ἀπὸ τούτου τοῦ πρακτέου ὑπὸ τοῦ » Βιδούρα, καὶ ἄλλων, ὄντων εἰς βοήθειαν τῶν υἱῶν τοῦ » Πανδοῦ, σὺ μὲν ἔσο χαίρων διὰ πολλοῦ τοῦ χρόνου· ἐμοὶ » δ' ἄνεσις ἔστω ὁ θάνατος. »

103. Ὁ δὲ Δρυταράστρας, καὶ γινώσκων, ὡς ἤγγικεν ὁ ὄλεθρος τῶν γενναίων τῆς γενεᾶς, ἐκ τῆς κακῆς βουλῆς τοῦ υἱοῦ, ἔφη· « Ἔστω οὕτως, ὡς βούλει· ἡ γὰρ ἰσχυρογνωμοσύνη » τοῦ υἱοῦ, τίνος πατρὸς νοῦν οὐ διαστρέφει ;

Τέλος τοῦ Τετάρτου Κεφαλαίου,
τοῦ Δευτέρου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ,

ὃ διαλαμβάνει τὴν ἐξορίαν (ἐξοίκισιν) τῶν Πανδοϊδῶν.

1. Ὁ υἱὸς τῆς Σατεβατῆς, ὁ μέλας ὢν τὸ χρῶμα, καὶ ὄμματα ἔχων τὸν Ἥλιον καὶ τὴν Σελήνην, ἀγνισάτω ὑμᾶς, ὃς ἔλαμπεν ὡς ὁ αἰθὴρ, ἔχων ἰδιότητα τὴν φωνὴν, τουτέστιν τὴν Μαχαβαράταν [1].

2. Τῷ μὲν οὖν Δυριοδάνα κατεσκευάσθη βουλευτήριον κα-

1. Κυάνεός ἐστιν ὁ αἰθὴρ, καὶ ὡς ὀφθαλμοὺς ἔχει τὴν Σελήνην καὶ τὸν Ἥλιον· ἴδιον δὲ τοῦ αἰθέρος, τουτέστι τοῦ κενοῦ, καὶ ἡ φωνή.

λὸν, ὥσπερ εἰ ἔπεσεν ἡ Σουδαρμὰ [1] ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς, ἕνεκα τῆς ἁμίλλης, ἣν εἶχεν ὑπὲρ τοῦ λαμπροῦ βουλευτηρίου τοῦ Ἰνδιστίρα.

3. Ἀπεστάλθη δ' ὁ Βιδούρας, καὶ μὴ θέλων, ὑπὸ τοῦ Δρυταράστρα, ἐπὶ τῷ ἀγαγεῖν τοὺς Πανδαΐδας πρὸς τὴν κυβείαν, εἰπόντος ταῦτα· « Ἐμοῦ παρόντος καὶ τοῦ Βήσμα, » οὐκ ἂν γένοιτο ἀδικία [2] »

4. Λυπούμενος δὲ τὴν ψυχὴν ὁ ἔμφρων Βιδούρας, ἀφίκετο ἐν τάχει ἀπὸ τῆς Χαστιπούρας [3] εἰς τὴν Κανδαβαπραστα πούραν ἐφ' ἅρματος, ἵππους ἔχοντος ὑπερβαίνοντας τὸν ἀέρα τῇ ταχύτητι.

5. Ὁ δὲ Ἰνδιστίρας, τιμήσας τὸν Βιδούραν, εἰπόντα, « Ὁ » βασιλεὺς Δουριοδάνας, ποιήσας ἓν βουλευτήριον, εἰς κυ» βείαν τῶν οἰκείων καὶ φίλων, καλεῖ σε εὐθέως » ἔφη, γελῶν πως·

6. « Ἐγὼ οἶδα δόλον ἐν προφάσει κυβείας, συρραφέντα ὑπὸ » τοῦ Σακουνῆ· φύσις γὰρ αὕτη ἐκείνου ἐστὶ, τὸ νικᾶν τὸν » ἐχθρὸν ὅπως ἄλλως δύναται, τὸν μὴ νικώμενον ἐν πολέμῳ.

7. « Ὅστις καλούμενος ἐπὶ πόλεμον, ἢ ἐπὶ κυβείαν, ἔνθα » ἐστὶ νίκη ἢ ἧττα, οὐκ ἀποστρέφεται, οὗτος μόνον ἐστὶν » ἀρχηγὸς τοῦ γένους τῶν Ξατρῶν· ὅθεν ἐγὼ ἵημι εἰς » ἐκείνην τὴν πόλιν, εἴτι καὶ γένοιτο. »

8. Οὕτω γνοὺς, ἀναβὰς ἐφ' ἅρματος, ἐπορεύετο σὺν τῇ Δραουπαδῇ καὶ τοῖς τέσσαρσιν αὐτοῦ ἀδελφοῖς εἰς τὴν Χαστιναπούραν, καθὼς ὁ Ἥλιος εἰς τὸν δυτικὸν ὠκεανὸν, ἐπ' ἀπωλείᾳ τῆς οἰκείας λαμπρότητος.

---

1. Σουδαρμὰ λέγεται τὸ βουλευτήριον τῶν θεῶν.

2. Ὁ Βιδούρας οὐκ ἤθελε πορευθῆναι· ὁ δὲ Δρυταράστρας εἶπεν· « οὐδεὶς φόβος· ἐμοῦ παρόντος καὶ τοῦ Βήσμα, οὐδὲν κακὸν γενήσεται. »

3. Λέγεται ἡ Χαστιναπούρα· ἡ δὲ Ἰνδικὴ λέξις σημαίνει προάστειον.

9. Ἀφ' οὗ δὲ ἐτίμησεν ὁ Ἰνδιστίρας τὸν Βήσμαν καὶ τὸν Δρόναν, καὶ τὸν Δρυταράστραν, καὶ ἄλλους, ἐτίμησεν αὐτὸν ὁ Δουριοδάνας, καθὼς τὸν ἵππον, τὸν ἐπὶ τῇ θυσίᾳ.

10. Τῇ δ' ἐπιούσῃ ἡμέρᾳ παραθεὶς ἐν μέσῳ τὸν Σακουνὴν [1] ὁ Δουριοδάνας, ἐπεβάλετο κυβεύειν μετὰ τοῦ Ἰνδιστίρα ἐν τῷ βουλευτηρίῳ, ἔνθα παρῆσαν ὅ,τε Δρυταράστρας καὶ ὁ Βήσμας καὶ ἄλλοι.

11. Τότε μὲν δὴ οἱ κύβοι, ῥιπτόμενοι πολλάκις ἐπὶ τοῦ κυβευτικοῦ χρυσοῦ πίνακος, καὶ ῥέποντες σαφῶς εἰς ζημίαν τοῦ ὄλβου τοῦ Ἰνδιστίρα, ἦχον ἐποίουν μέγαν, ὥσπερ γέλωτα [2].

12. Καὶ αὐτὸ δὲ τὸ βουλευτήριον αἰάζον ἦν, ὅτι θάνατος ἔσται τῷ κυρίῳ αὐτοῦ, ὃ συμπεραίνεται ἐκ τῆς ἠχοῦς τῆς γενομένης ἐκ τοῦ ἤχου τῆς μεταθέσεως τῶν πεσσῶν ἀφ' ἑνὸς οἴκου εἰς ἄλλον.

13. Ἐγὼ νομίζω, ὅτι τῶν πεσσῶν, οἱ μὲν μέλαν χρῶμα ἔσχον, ἐπειδὴ διεννοοῦντο τὸν θάνατον τοῦ κακοῦ βασιλέως, οἱ δὲ ἐρυθρὸν, ἐπειδὴ ἐνεννόουν τὴν ζημίαν τοῦ ὄλβου τοῦ Ἰνδιστίρα.

14. Ἔπαιζον οὖν οἱ δύο οὗτοι πεσσοῖς ἐρυθροῖς καὶ μέλασιν, ἀναλαμβανομένοις, τιθεμένοις, δεσμευομένοις, λυτρουμένοις, ὡς βασιλεῦσι, λίαν προσέχοντες καὶ ἀφανῶς τιθέντες τοὺς πεσσοὺς, ἔνθα οὐκ ἔδει [3].

15. Ὅ,τι δὲ τίμημα ἐτίθη ὁ Ἰνδιστίρας, τοῦτο ἐκέρδαινεν ὁ δολόφρων Σακουνῆς [4], ἄλλων μὲν βασιλέων δικαίων αἰαζόντων, ἄλλων δὲ ἀδίκων καὶ πονηρῶν χαιρόντων.

---

1. Οὗτός ἐστιν ὁ Σαουβάλας.
2. Ἐγέλων, ὅτι νικηθήσεται ὁ Ἰνδιστίρας.
3. Δηλ. δόλῳ χρώμενοι.
4. Ὁ Σακουνῆς, ἀντὶ τοῦ Δουριοδάνα ἐκύβευε.

16. Ζημιωθεὶς δὲ πᾶσαν τὴν ἑαυτοῦ περιουσίαν ὁ Ἰνδιστίρας, καὶ τοὺς ἑαυτοῦ ἀδελφοὺς ἐν τιμήματι, ἐζημιώθη καὶ ἑαυτὸν, μηδαμῶς δυσχεράνας.

17. Εἰπόντος δὲ τοῦ Δουριοδάνα πρὸς τὸν Ἰνδιστίραν, » Ἔστι σοι ἔτι καὶ ἡ Δραουπαδὴ· κύβευσον καὶ ἐπὶ τιμήματι αὐτῆς, » ὁ Βιδούρας ἔφη θυμῷ·

18. Ὦ τυφλοῦ υἱὲ, καὶ τυφλὲ τὸν νοῦν, τίς αὕτη ἡ βουλή » σου, ἡ σκληρὰ καὶ φθοροποιὰ τοῦ γένους; διὰ τί ἐξεγείρεις λαξ εἰς θάνατόν σου τούτους τοὺς λέοντας κοιμωμένους;

19. « Μέγα κακὸν πάντως γε, ὅτι, καί τοι ἐγνώσθης ἐκ τῆς » γεγενημένης βροχῆς αἵματος καὶ ὀστέων ἐν τῷ καιρῷ » τῆς σῆς γεννήσεως, ὅτι ἔσῃ ἐρυσίβη τοῖς καταγομένοις » ἐκ τῆς Σελήνης, οὐκ ἀνῃρέθης ὑπὸ τοῦ τυφλοῦ πατρός » σου!

20. « Ὁ θεὸς, ὁ νυκτερινὸς φωστὴρ, ὁ γνώστης τῶν τριῶν χρόνων, καὶ χαροποιὸς τῶν τριῶν κόσμων, εἰδώς σε γεννηθησόμενον ἐν τῷ γένει αὐτοῦ λίαν ἀτάσθαλον, ἔθετο » πρότερον μελανότητα ἐν ἑαυτῷ [1].

21. « Ὦ Καουραβαὶ, εἰ ἔφεσίς ἐστιν ὑμῖν ζωῆς, ἀποκόψατε πρόρριζον ὀξείαις μαχαίρας τοῦτο τὸ κακὸν καὶ σκληρὸν ἀπόστημα, τὸ γεγονὸς εἰς θάνατον ἡμῶν [2]. »

22. Τοιαῦτα λέγοντος τοῦ Βιδούρα, ὁ κόλαξ Σακουνὴς ἔφη γελῶν πως· « Ἀρκεῖ, ἀρκεῖ· αὕτη ἡ Δραουπαδὴ ὑποχείριος » ἐγένετο, τεθεῖσα ὡς τίμημα ὑπὸ τοῦ Ἰνδιστίρα ἐν » κυβείᾳ. »

23. Ὁ δὲ Δουριοδάνας ἔστειλεν ὑπηρέτην τινα, ᾧ ὄνομα Σαμπρατικάμας, κομίσοντα τὴν κόρην τοῦ Δρουπάδα, ὡς ἀνα-

---

1. Σημαίνει τὰ μελανοειδῆ στίγματα, ἃ ἔχει ἡ Σελήνη.
2. Τὸν Δουριοδάναν ἐννοεῖ.

δενδράδα φαρμακώδη τοῦ γένους, εἰπὼν, « Αὕτη ἐγένετο » δούλη μου. »

24. Πορευθέντος δὲ τοῦ ὑπηρέτου καὶ ἀναγγείλαντος πάντα τὰ τῆς κυβείας, ἡ Δραουπαδὴ ἔφη αὐτῷ· « Ἐρώτησον » τοὺς ἐν τῷ βουλευτηρίῳ, εἰ, ὅ,τι θῇ τις ὡς τίμημα, » ἀφ' οὗ δουλώσῃ ἑαυτὸν, τοῦτο λαβεῖν δίκαιον εἴη τῷ » νικήσαντι. »

25. Ἐπανελθόντος δὲ τοῦ ὑπηρέτου, καὶ ἀπαγγείλαντος ταῦτα, ὁ Δουριοδάνας ἐξαπέστειλε τὸν νεώτερον αὐτοῦ ἀδελφὸν Δουσσασάναν, εἰπών· « Κόμισον αὐτὴν, ἵνα ἐρωτήσῃ » αὐτὴ περὶ τούτου τοὺς ἐν τῷ βουλευτηρίῳ. »

26. Πορευθέντος δ' ἐκεῖσε τοῦ Δουσσασάνα, καὶ εἰπόντος θυμῷ· « Ἐλθὲ, ἐλθέ· σὺ εἶ δούλη, » ἡ Δραουπαδὴ λίαν φοβηθεῖσα, εἰσελθεῖν ἐβούλετο εἰς τὸ ἐνδότερον τοῦ οἴκου.

27. Εἰπὼν δ' οὗτος ὁ ἐλάχιστος καὶ φθορεὺς ἑαυτοῦ, « Ποῖ » πορεύῃ σὺ ἡ δούλη; » δραμὼν καὶ ἁψάμενος αὐτῆς ἐκ τῆς κόμης, εἵλκεν αὐτὴν, ἣ ἔμελλε γενήσεσθαι θάνατος τῶν οἰκείων.

28. Καὶ ἡ μὲν ἔλεγεν ἡσύχως· « Μή με ἕλκε, ἔχουσαν τὰ » καταμήνια· » ὁ δ' εἵλκεν αὐτὴν βιαίως, χαίρων· τί γὰρ ἄπρακτον τοῖς κακονόοις;

29. Τρόμῳ δὲ συνεσχέθησαν οἱ βασιλεῖς, ἰδόντες αὐτὴν ἑλκομένην βιαίως ὑπὸ τοῦ Δουσσασάνα, τῇ προσταγῇ τοῦ Δουριοδάνα, τὴν οὖσαν ὡς καπνὸν πυρὸς τοῦ θανάτου τοῦ γένους.

30. Καὶ τῷ μὲν Βήσμᾳ καὶ Δρόνᾳ καὶ Κριπᾷ ἀμύθητον ἄλγος ἐγένετο, δηλωτικὸν τῆς ἀπωλείας τοῦ γένους· ἄλλοι δέ τινες τῶν ἐπὶ τῆς συνόδου, πλήρη ἐποίησαν οἰμωγῶν τὸν αἰθέρα.

31. Ὁ δὲ Βιδούρας, ἰδὼν τοῦτο τὸ δεινὸν ἔργον, κλίνας κάτω τὸ πρόσωπον, κατέβρεχε δάκρυσι τὰς ἐπὶ τὴν κοι-

λίαν αὐτοῦ τρίχας, καὶ ἔπαιε σφοδρῶς τὴν κεφαλὴν ταῖς χερσίν.

32. Οἱ δὲ βασιλεῖς, ἐννοοῦντες τὸ ἑαυτῶν στῆθος σκληρὸν, ὡς λίθον, ὃ κατεκαίετο μὲν τῇ λύπῃ, ἀλλ' οὐ κατερρήγνυτο [1], κατέβρεχον αὐτὸ τοῖς ῥέουσι δάκρυσιν ἐξ ὀφθαλμῶν, εἰς τὸ ποιῆσαι κόνιν.

33. Ὁ δὲ λάμπων μέγας γέλως ἐν τοῖς προσώποις τῶν βασιλέων, τῶν ὄντων ἐκ μέρους τοῦ Δουριοδάνα, ἦν ὡς λαμπρὸς ἦχος σάλπιγγος, κηρύττων τὴν ἐντὸς ὀλίγου γενησομένην ἔξοδον τῆς ζωῆς αὐτῶν.

34. Ἰδὼν δ' αὐτὴν τὴν Κρισνὰν ὁ Βήμας, ἔφη θυμῷ· « Ἐγὼ » κατακαύσω ἀτεχνῶς τὰς χεῖράς σου, ὦ Ἰνδιστίρα, τὰς » ποιησάσας τὴν κυβείαν· κόμισον πῦρ, ὦ Σαχαδέβα. » θυμοῦ γὰρ ὄντος, τίς διακριτικός [2];

35. Πρὸς ὃν ἔφη ὁ Ἀρζούνας· « ὦ Βήμα, σοῦ ὄντος λίαν δια- » κριτικοῦ, διὰ τί αἱ φρένες σου διαταράττονται; Εἰ ὁ Βα- » σιλεὺς Ἰνδιστίρας ἐποίησεν ἡμᾶς ὑποδούλους ἐν κυβείᾳ, » τοῦτό ἐστιν ἐπαίνου πρόξενον ἡμῖν. »

36. Ἡσυχάσαντος δὲ τοῦ Βήμα τοιούτοις λόγοις τοῦ Ἀρζούνα, ὁ Δουσσασάνας ἤγαγεν εἰς τὴν σύνοδον βιαίως τὴν Κρισνὰν, ὡς ῥίζαν ἀναδενδράδος δυσφημίας τοῖς περὶ τὸν Δουριοδάναν.

37. Ἡ δὲ ἀχθεῖσα εἰς τὴν σύνοδον ὑπὸ τούτου τοῦ πονηροῦ, ἐν καταμηνίοις οὖσα, μονοχίτων καὶ ἄνευ τοῦ ἐπιστηθίου, ἔτεινεν ὄμμα θυμοειδὲς καὶ ἐλεεινὸν πρὸς τοὺς πέντε αὐτῆς ἄνδρας, κύπτοντας αἰσχύνῃ.

---

1. Καθὼς ὁ λίθος καιόμενος, κἄπειτα βρεχόμενος, κόνις ἄσβεστος γίνεται.

2. Ἐνταῦθα ὁ ποιητὴς γνωμοδοτεῖ· ὁ γὰρ θυμὸς παρεκίνησε τὸν Βήμαν εἰς τὸ εἰπεῖν τοιαῦτα κατὰ τοῦ πρεσβυτέρου ἀδελφοῦ Ἰνδιστίρα.

38. Ἀκούσασα δ' αὕτη ἡ σώφρων παρὰ τοῦ Δουσσασάνα, « Σὺ » δούλη γενομένη, διὰ τί βλέπεις εἰς τούτους; τεῖνον τὸ » ὄμμα πρὸς μόνον τὸν Δουριοδάναν, » προσκυνήσασα τοὺς γέροντας, ἔφη ὧδε·

39. « Διὰ τί οὗτος καλεῖ ἐμὲ δούλην, τὴν θεοφιλῆ, τὴν θυ- » γατέρα τοῦ βασιλέως Δρουπάδα, καὶ νύμφην τοῦ βασι- » λέως Πανδοῦ; ὑμεῖς θεωρήσαντες τὸ δίκαιον, ἐπίσχετε » τοῦτον τὸν κακόφρονα. »

40. Πρὸς ἣν ἔφη ὁ Βήσμας· « Ἡμεῖς, ὦ τέκνον, καί περ » εἰδότες τὰ τοῦ νόμου, ἀνόητοι ἐγενόμεθα, θεωροῦν- » τες ἐν νοὶ τὴν φθορὰν τοῦ γένους ἐκ τῆς πρὸς σὲ » ἀτιμίας· ὅθεν οὐκ οἴδαμεν ἀπόκρισιν δοῦναι εἰς ὅ,τι » ἐρωτᾷς. »

41. Τοῦ δὲ Δουριοδάνα ἐρωτήσαντος περὶ τοῦ δικαίου, « Αὕ- τη ἑάλω ὑπ' ἐμοῦ ἐν κυβείᾳ; ἢ οὐχί; » ὁ Βικαρνᾶς, ὁ υἱὸς τοῦ Δρυταράστρα ἀπεκρίνατο, τῶν ἐν συνόδῳ φο- βουμένων εἰπεῖν τι·

42. « Ὦ σύνεδροι, διὰ τί φόβος ἐστὶν ἡμῖν; θεωρήσαντες τὰ » τοῦ δικαίου, εἴπατε, ὡς ἔχει· αὕτη τεθεῖσα ὡς τίμημα » ὑπὸ τοῦ Ἰνδιστίρα, δουλωθέντος, οὐ δουλωθήσεται· » μάλιστα δὲ γυνή ἐστι τῶν πέντε. »

43. Ἅπαντες μὲν δὴ οἱ ἐπὶ τῆς συνόδου ἐπῄνεσαν λίαν τὸν λόγον τοῦ Βικαρνᾶ. Ὁ δὲ Δουριοδάνας ἔφη θυμῷ· « Οὐκ » οἶδας, ὦ Βικαρνᾶ, ὅτι καὶ αὕτη ἡ Κρισνὰ πρότερον » ἐδουλώθη σὺν ἅπασι τοῖς κτήμασι τοῦ Ἰνδιστίρα, τοῖς » τεθεῖσιν ἐπὶ τιμήματι;

44. « Πάντα οὖν τὰ ὅπλα καὶ τὰ ἱμάτια τῶν χειρωθέντων » Πανδοειδῶν παραλάβετε· τίς αὕτη ἡ ἀναβολή; παρα- » λάβετε δὲ δικαίως καὶ τὸ λαμπρὸν ἱμάτιον ταύτης τῆς » σώφρονος γυναικὸς τῶν πέντε.

45. « Αὕτη, ἣ λέγεται γυνὴ πολλῶν, καὶ μέγα κτῆμα κρίνε-

» ται, ὡς βοῦς ἐστιν [1]· ἑλκύσατε οὖν βιαίως τὸ φόρεμα » ταύτης· ἡ γὰρ βοῦς μᾶλλον διαπρέπει, οὖσα ἄνευ φο- » ρέματος.»

46. Οἱ μὲν οὖν Πανδοΐδαι, γυμνωθέντεν τῶν ἱματίων οἰκείαις χερσὶ, κατὰ τὸν λόγον τοῦ Δουριοδάνα, διέπρεψαν εὐθέως, καθὼς αἱ ἀκτῖνες τοῦ ἡλίου, ἀφεθεῖσαι ὑπὸ τῶν πολλῶν νεφῶν ἐν τῇ ὥρᾳ *Σαράδᾳ*.

47. Ὁ δὲ Δουσσασάνας εἵλκε τὸ περιβόλαιον τῆς θυγατρὸς τοῦ Δρουπάδα, τῇ προσταγῇ τοῦ Καρνᾶ, πάντων τῶν ἐν συνόδῳ καμμυσάντων εὐθέως τὰ ὄμματα, ἵνα μὴ βλέποιεν, ὡς ὁ τυφλὸς Δρυταράστρας.

48. Οἱ δ' ἐχθροὶ, ἀνοίξαντες τοὺς ὀφθαλμοὺς αὐτῶν ἡδέως, ὧν ἡ ἐπιθυμία οὐκ ἐπληρώθη [2], ἔβλεπον ἕτερον νεοφανὲς ἱμάτιον, καὶ ὁμοιοχρώματον τῷ πρώτῳ ἱματίῳ, καλύπτον τὰ μέλη αὐτῆς.

49. Ὅσον οὖν οὗτος ὁ Δουσσασάνας εἵλκυε βίᾳ τὸ ἱμάτιον, τοσοῦτον αὕτη τῇ σώφρονι ἄλλο νέον ἀμέσως προσεπεγίνετο μᾶλλον λαμπρὸν, καθὼς τὸ ἐν τῷ φρέατι ὕδωρ μᾶλλον πότιμον γίνεται, ἀντλούμενον.

50. Ἐκ δὲ τῆς προσταγῆς τοῦ ἑλκυσθῆναι τὸ φόρεμα, αἱ σαλευόμεναι συχνάκις ἐκ χαρᾶς κεφαλαὶ [3] τῶν περὶ τὸν Δουριοδάναν ἠνίττοντο, ὅτι οἱ θεοὶ, οἱ ἔφοροι τῶν ὅπλων τῶν Πανδοειδῶν, ἤρξαντο ἐκνευρίσαι αὐτὰς καὶ ἀνασπάσαι.

51. Θυμωθεὶς δ' ὁ Βήμας ἐπὶ τῇ βιαίᾳ ἑλκύσει τοῦ ἱματίου,

---

1. Δηλ. καὶ ἡ βοῦς πολλῶν ἐστι, καὶ μέγα τι κτῆμά ἐστι.

2. Οὓ ἐπεθύμουν δηλονότι ἰδεῖν, οὐκ ἔτυχον· ἐπεθύμουν δὲ ἰδεῖν γυμνὸν τὸ σῶμα αὐτῆς.

3. Σημεῖον ἀνέσεως καὶ ἡδύτητος ἡ σάλευσις τῆς κεφαλῆς· ἐχάρησαν δὲ ὡς ἐχθροὶ, διότι εἵλκετο τὸ περίζωμα τῆς Κρισνᾶς.

ἔφη· « Ἀκούσατέ μου τοῦ λόγου, ὦ βασιλεῖς, ὃς οὐδέ-
» ποτε ἦλθεν εἰς τὴν ἀκοὴν ἡμῶν.

52. « Ἂν μὴ πίω τρεῖς δράκας αἵματος, διαῤῥήξας τὸ στῆθος
» τούτου τοῦ Δουσσασάνα, ἐγὼ τότε ἔνοχος ἔσομαι τοῦ
» ἁμαρτήματος τούτου τοῦ δυστρόπου, τοῦ γενομένου ἐκ
» τῆς πρὸς τὴν Κρισνὰν θλίψεως. »

53. Τότε ἀφεθὲν ἕλκεσθαι τὸ πολύτιμον ἐρυθρὸν φόρεμα τῆς
Κρισνᾶς, ἐφαίνετο ἐν τῇ συνόδῳ ὥςπερ μέγα πῦρ τοῦ
δάσους αὐτογέννητον, εἰς κατάκαυσιν τοῦ γένους τοῦ
Δρυταράστρα.

54. Τοῦ μὲν οὖν Δουσσασάνα ἀποκαμόντος τῇ διὰ πολλοῦ
ἑλκύσει τοῦ ἱματίου, καὶ αἰσχυνθέντος, ἡ Κρισνᾶ ἐθρή-
νει, λέγουσα· « Οἴμοι! ὅτι οὗτος εἵλκυσεν ἐμὲ τὴν σώφρονα
» καὶ εὔανδρον, ὡς ἄνανδρον. »

55. Πρὸς ἣν ἔφη ὁ Καρνᾶς· « Πόθεν σοι σωφροσύνη, τῇ ἐχού-
» σῃ πολλοὺς ἄνδρας; σὺ δουλωθεῖσα, ἄνευ ἀνδρὸς εἶ·
» ἔσο οὖν ταχέως μετ' ἀνδρὸς, ἐκλέξας ἕνα τῶν Καου-
» ραβῶν. »

56. Τοιαῦτα εἰρηκότος τοῦ Καρνᾶ, ὁ Δουριοδάνας, ὁ ὢν τυ-
φλὸς τῇ ἐπάρσει, καὶ πέλαγος ἁμαρτίας, ἔδειξε τῇ Δρα-
ουπαδῇ τὸν μηρὸν αὑτοῦ, ὁ μωρὸς καὶ θανατιῶν, εἰπών·
« Κάθισον ἐνταῦθα. »

57. Ὁ δὲ Βήμας, πῦρ πνέων θυμῷ ἐξ ὤτων, ἐξ ὀφθαλμῶν,
ἐκ στόματος καὶ ῥινὸς, ἐφάνη, καθὼς ὁ Ὠκεανὸς, ὁ φλό-
γας ἐξάγων τοῦ ἐν ἑαυτῷ πυρὸς, καὶ ἀφιεὶς τοὺς ἑαυτοῦ
ὅρους ἐν τῇ συντελείᾳ, καὶ ἔφη·

58. « Ὃν μηρὸν, ὦ Δουριοδάνα, ἔδειξας ἐν συνόδῳ τῇ Δραου-
» παδῇ γυμνώσας, τοῦτόν σου τὸν ἀριστερὸν μηρὸν ἐγὼ
» συνθλάσω ἐν πολέμῳ ταύτῃ τῇ κορύνῃ. »

59. Ἰδόντες δὲ τοῦτον τοιαῦτα ἀναφωνοῦντα, τρίζοντα τοὺς
ὀδόντας αὐτοῦ μεγάλῳ θυμῷ, καὶ λίαν μεμηνότα, ἄλλοι

μὲν τρόμον ἔσχον, ἄλλοι δὲ ἔπεσον ἐξ ἕδρας, καὶ ἄλλοι ἐλειποθύμησαν.

60 Ἐκ δὲ τῶν στομάτων τοῦ Βιδούρα, καὶ Βήσμα καὶ Κριπᾶ, καὶ Δρόνα, τοιοῦτοι λόγοι ἐξήρχοντο· « Ἤτοι σήμερον » ἢ αὔριον θάνατος ἔσται τῶν κακοφρόνων [1], τῶν ἐκ γένους » Κουροῦ. »

61 Τότε ἐν τῷ τόπῳ τῆς πυρολατρείας τοῦ Δρυταράστρα κυνόλυκος ὑλάκτει μεγάλα, φλόγας πολλὰς ἐκπέμπων ἐκ στόματος, ὡσπερεὶ ἔλεγε· « Πῦρ κατακαύσει ἅπαν τὸ γένος. »

62. Ὁ μὲν οὖν Δρυταράστρας, νομίσας τοῦτο ἀπαίσιον οἰώνισμα [2], ἀφῆκε τὸ ὃ εἶχε φίλτρον, καὶ ἔφη πρὸς τὸν δύστροπον Δουριοδάναν, ὀνειδίζων·

63. « Αὕτη ἐστὶν, ὡς ἀδελφὴ καὶ ὡς μήτηρ σου, ἅ τε οὖσα » γυνὴ τοῦ πρεσβυτέρου σου ἀδελφοῦ· ὅθεν σεβαστή σοι » ἔστω, ὡς δεῖ· ὦ ἄφρον, τί τοιαῦτα λέγεις [3] ἐν μέσῳ » τῆς συνόδου ταύτῃ τῇ σεβαστῇ ἐν μέσῳ πολλῶν σωφρό- » νων γυναικῶν ;

64. « Σὺ δ', ὦ κόρη Δραουπαδὴ, δυνατὴ εἶ ἀποτεφρῶσαι τὸν » κόσμον τῷ οἰκείῳ πυρὶ τῆς σωφροσύνης· χαίρω οὖν ἐπὶ » σοὶ, διότι οὐκ ὀργίζῃ τούτῳ τῷ ἀδίκῳ· αἴτησόν με » χάριν. »

65. Ἡ δὲ νόμιμος γυνὴ τῶν Πανδοϊδῶν ἔφη· « οὗ ἐν ἐκείνῃ » τῇ θυσίᾳ ἅπαντες οἱ βασιλεῖς τῆς γῆς ὑπηρεσίαν ἐποίη- » σαν, οὗτος ἔστω ἀδούλωτος [4]. »

66. Εἰπόντος δὲ τοῦ Δρυταράστρα, « Ὦ κόρη, θαῤῥήσασα, » αἴτησον καὶ ἑτέραν χάριν, » αὕτη ἔφη· « Ἔστωσαν ἀδού-

---

1. Τὸ πρωτότυπον φέρει αὐτολεξεί· « τῶν ἀρχηγῶν τῆς ἀφροσύνης. »
2. Αὐτολεξεί· « κακὴν ἐλπίδα. » Κακὸς ἦν οἰωνὸς ἡ ὑλακὴ τοῦ κυνολύκου.
3. « Κάθησαν ἐπὶ τοῦ μηροῦ μου. »
4. Μὴ γενέσθω δηλ. δοῦλος, διότι ἐνικήθη ἐν κυβείᾳ.

» λωτοι, ὦ βασιλεῦ, καὶ οὗτοι οἱ λοιποὶ υἱοὶ τοῦ Πανδοῦ, » καὶ λαβέτωσαν τὰ οἰκεῖα ὅπλα καὶ ἔπιπλα [1]. »

67. Τὰ δὲ ῥήματα ταῦτα τῶν ἐπὶ τῆς συνόδου, « Αὕτη ἡ » Κρισνὰ πάντως γε ναῦς [2] ἐγένετο τοῖς Πανδοΐδαις, τοῖς » ἐμβεβυθισμένοις πελάγει δυστυχίας, » ὕλην προσέθεντο τῷ ὡς πυρὶ θυμῷ τοῦ Βήμα.

68. Εἰπὼν γὰρ ὁ Βήμας θυμῷ, « Τί δαί ; γυνὴ ἔσται ἡμῖν » ναῦς ; ἡμεῖς τοῖς ἑαυτῶν στιβαροῖς βραχίοσι διαπλεύ- » σομεν τὸ τῆς δυστυχίας πέλαγος, » καὶ ἁψάμενος τῆς κορύνης, ἀνέστη εἰπών· « Τοὺς ἐχθροὺς ἀναιρῶ. »

69. Τῶν δ' ἐχθρῶν, τοῦ τε Δουριοδάνα, καὶ Καρνᾶ, καὶ Δουσ- σασάνα, καὶ ἄλλων τρεμόντων ἐν τῷ ἰδεῖν αὐτὸν, ὁ Ἰνδι- στίρας, κρατήσας τοῦ Βήμα τὰς χεῖρας, ἐμποδὼν ἐγένετο τοῦ ἀνελεῖν αὐτούς.

70. Τοῦ μὲν οὖν Ἰνδιστίρα κωλύσαντος τὸν θυμωθέντα Βή- μαν, κτεῖναι βουλόμενον τοὺς περὶ τὸν Δουριοδάναν, ὁ Δρυταράστρας ἔλεξε λόγον τερπνὸν πρὸς τὸν Ἰνδιστίραν·

71. « Τίς, ὦ τέκνον, μεγάλους ἔχων ἐπικούρους, καὶ δυνάμε- » νος κατακαῦσαι θυμῷ τοὺς κόσμους, οὐ θυμοῦται κατὰ » τῶν φθονούντων καὶ ἐκπεμπόντων ῥήματα σκληρὰ, ὡς » βέλη, κατὰ τῆς καρδίας, καὶ ἐπὶ τούτῳ ἐπαιρομένων ;

72. « Καὶ ὁ σεληνόλιθος [3] τῇ πολλῇ τριβῇ σπινθῆρας ἐξά- » γει ἐν νυκτί. Τίς δ' ἐνεργείᾳ συγκριθείη ἄν σοι τῷ τοι- » ούτῳ ἡμέρῳ κατὰ τὴν καρδίαν ;

73. « Λάβε [4], ὦ βασιλεῦ, μετὰ τῶν ἀδελφῶν τὴν οἰκείαν

---

1. Κατένευσε καὶ εἰς τοῦτο ὁ Δρυταράστρας, καὶ ἐπέταξε δοῦναι τοῖς Πανδοΐδαις τὰ ὅπλα καὶ ἔπιπλα, ἃ ἀφῃρέθησαν.

2. Ναῦς αὐτολεξεὶ, τουτέστι σωτηρία.

3. Ἐν γὰρ τῇ νυκτὶ, ὅτε ἡ Σελήνη λάμπει, μᾶλλον ψυχρός ἐστιν ὁ σεληνόλιθος.

4. Αὐτολεξεί· Τίμησον.

» λαμπρὰν βασιλείαν, καὶ ποίησον ταύτην τὴν γῆν καθα-
» ρὰν [1], λαμπρότερος ὢν καὶ αὐτοῦ τοῦ πανεκλάμπρου
» Ἡλίου.

74. «Οἱ ἀγαθοὶ ἄνδρες οὐδέποτε ἐκβάλλουσι τοῦ νοὸς τὴν
» παρ' ἄλλων εὐποιΐαν, καθὼς οὐδὲ τὸν θεῖον λόγον τοῦ
» πνευματικοῦ πατρὸς, οὐδ' ἀναπολοῦσι τὴν παρ' ἄλλων
» κακοποιΐαν, καθὼς οὐδὲ τὸ διδόμενον τοῖς ἐνδεέσιν.

75. «'Ανάσχου τῆς ἀδικίας καὶ ἀταξίας τοῦ Δουριοδάνα, καὶ
» πορεύθητι σὺν τοῖς ἀδελφοῖς εἰς τὴν οἰκείαν πόλιν· καὶ
» ἡ Πριτὰ γὰρ αὐτὴ, ἡ διεζευγμένη ἀπὸ σοῦ, ὀλίγην θλί-
» ψιν ἕξει.»

76. Ὁ μὲν οὖν Ἰουδιστίρας τῇ προσταγῇ τοῦ Δρυταράστρα
ἀνεχώρησεν εὐθέως εἰς τὴν οἰκείαν πόλιν μετὰ τῶν ἀδελ-
φῶν, λαμπρὰ ὅπλα ἐχόντων, καὶ θυμὸν μέγαν συνεχῶς
πνεόντων.

77. Ὁ δὲ Δουριοδάνας, «Ὦ πάτερ, ἔφη, οὗτοι ἀναχωροῦσι
» θυμοειδῶς καὶ δυσθύμως· θάνατος οὖν ἔσται τῷ ἡμετέρῳ
» γένει. Τὸ ἔργον τοῦ πολέμου μετὰ τούτων δυσκατέργα-
» στόν ἐστιν· ὥστε ἔστω πάλιν κυβεία.

78. « Καὶ νικηθέντες, διαγέτωσαν ἐν ἐρήμῳ, δερματοφοροῦν-
» τες ἐπὶ δώδεκα ἔτη· ἐν δὲ τῷ δεκάτῳ τρίτῳ ἔτει
» ἔστωσαν ἀγνῶτες καὶ ἀφανεῖς, καθὼς οἱ ὄρνεις Κανζάναι
» ἐν ὥρᾳ θέρους [2].

79. «Οὕτω γὰρ ἐγὼ ἀνίκητος ἐκείνοις ἔσομαι ἐν πολέμῳ, συλ-
» λέξας στρατὸν πολὺν καὶ πάντα τὰ προσήκοντα ἐν δώ-
» δεκα ἔτεσιν.» Ὁ μὲν οὖν Δρυταράστρας ἐκάλεσε πά-

---

1. Δηλ. ἀνέγκλητον, ἵνα μὴ λέγωσιν οἱ ἄνθρωποι, ὡς ὁ Δουριοδάνας ἔλαβε πᾶσαν τὴν γῆν τῶν ἐξαδέλφων.

2. Ἐν τῷ ἰνδικῷ πρωτοτύπῳ ὑπάρχει ὁ μὲ τὸν Ἰούνιον ἀντιστοιχῶν Ἰνδικὸς μήν.

λιν τὸν Ἰνδιστίραν κατὰ τὸν λόγον τοῦ υἱοῦ αὐτοῦ.

80. Ὁ δὲ Ἰνδιστίρας, ἰδίωμα ἔχων Ξατροῦ [1], ἀφῆκε τῇ τύχῃ τὸ μέλλον γενέσθαι [2], καὶ παρέστη τῷ βουλευτηρίῳ· νικηθεὶς δ' ἐν κυβείᾳ ὑπὸ τοῦ Σακουνῆ, ἥψατο τῆς εἰς ἔρημον σὺν τοῖς ἀδελφοῖς.

81. Παραδοὺς μὲν οὖν τότε ὁ Ἰνδιστίρας τῷ Δουριοδάνᾳ πᾶσαν τὴν ἑαυτοῦ βασιλείαν, φορῶν δέρμα, καὶ ἐν νῷ ἔχων τὴν ἐν ὄρεσι καὶ ἄλσεσι διαγωγὴν, διέπρεπεν ὡς ἄλλος Σίβας.

82. Ὁ δὲ νεώτερος ἀδελφὸς τοῦ Δουριοδάνα [3] ἔφη τῇ Δραουπαδῇ, ἀκολουθούσῃ τοῖς Πανδοΐδαις· «Ἄφες, ἄφες τούτους τοὺς ἄνδρας τοὺς πένητας, καὶ ἔκλεξον ἕνα, τὸν βασιλέα τῶν Καουραβῶν [4].

83. Πρὸς ὃν ἔφη ὁ Βήμας· «Ἐγὼ παροξυνθεὶς εἰς μεγάλην »ἄμυναν τῷ δεκάτῳ τετάρτῳ ἔτει, πατήσας τοὺς ἀναι»ρεθησομένους ἑκατὸν υἱοὺς τοῦ Δρυταράστρα, ὀρχήσομαι »ἐπὶ τοῦ στεφάνου τοῦ Δουριοδάνα.»

84. Τοῦ δὲ Δουσσασάνα ἐκφωνήσαντος, «Οὗτος ὁ δέρμα φο»ρῶν ἐπὶ τοῦ σώματος, ὡς βοῦς, καὶ ἁρμόζων διάγειν ἐν »δάσει, τί μεγαλορῆμονεῖ ἐν ταὐθα;» ἐγέλασαν ὅ,τε Καρνᾶς, καὶ ὁ Σακουνῆς, καὶ ὁ Δουριοδάνας.

85. Θυμῷ δὲ κατασχεθέντες καὶ οἱ τρεῖς νεώτεροι ἀδελφοὶ τοῦ Βήμα, ἐπηπείλησαν ἐν τῇ συνόδῳ φονεύσειν τόν τε Καρνᾶν καὶ τὸν Σακουνῆν, καὶ τοὺς λοιποὺς βασιλεῖς, τοὺς λίαν κακούργους.

---

1. Ἴδιον Ξατροῦ μὴ ἀποποιεῖσθαι πόλεμον, ἢ κυβείαν, ἔνθα ἐστὶ νίκη ἢ ἧττα.

2. Τὴν νίκην δηλ. ἢ τὴν ἧτταν.

3. Οὗτός ἐστιν ὁ Δουσσασάνας.

4. Τὸν Δουριοδάναν δηλονότι.

86. Οὗτοι μὲν οὖν οἱ Πανδοΐδαι ἄλλους μὲν ἰδόντες, ἄλλους δὲ πρυσκυνήσαντες, τοὺς φίλα φρονοῦντας ἐν καρδίᾳ [1], ἀφέντες ἐν τῷ οἴκῳ τοῦ ἀντιλήπτορος (ὑπερασπιστοῦ) Βιδούρα τὴν ἑαυτῶν μητέρα, ἤψαντο τῆς ὁδοῦ.

87. Ἡ δὲ Πριτὰ ἔφη τῇ Δραουπαδῇ, προσκυνησάσῃ τοὺς πόδας αὐτῆς ἐν τῷ πορεύεσθαι· «Ὦ ἀγαθὴ, τὸ σῶμά σου, » τὸ φοβούμενον στρῶμα ἐξ ἀνθέων, πόνου ἐκ χαλίκων » αἰσθήσεται [2].

88. «Πῶς σὺ ἐν ἐρήμῳ ἀνέξῃ τοῦ καύματος τοῦ Ἡλίου καὶ » τοῦ ἱδρῶτος, ἢ ἐκ τῆς ἀπαλότητος οὐκ εἶχες φέρειν » οὔτ' ἄλειμμα ἐκ κρόκου, οὔτε κόσμους ἐκ μαργαριτῶν [3];

89. «Οὗτοι, καὶ νικηταὶ ὄντες τοῦ κόσμου, ἀναχωροῦσιν εἰς » ἔρημον, ὡς φροντίζοντες τῆς ἀληθείας· φρόντισον σύγε » ἐμῆς μόνης ἐνταῦθα· διὰ τί καὶ σὺ, ὦ τέκνον, ἐγκα- » ταλείπεις ἐμέ;

90. «Ὦ εὐγενὴς Νακούλα, πῶς τὸ ἐμὸν ὅμμα, τὸ ὂν ὡς ἡ » Κουμούδα [4], γανωθήσεται ἄνευ τούτου τοῦ σοῦ σελη- » νιαίου προσώπου, τοῦ λαμπροῦ καὶ ἁβροῦ;

91. «Ὦ ἀγαπητὲ υἱὲ Σαχαδέβα, ἐπειδὴ τὸ ἀληθὲς περὶ πολ- » λοῦ ἐποιήθη ὑπὸ τῶν ἀδελφῶν σου, καὶ ὑπὸ σοῦ τοῦτο » περὶ πολλοῦ ἐποιήθη ὀρθῶς, σὺ μέν τοι μένων ἐνταῦθα » ἀπάλλαξόν με τοῦ ἄχθους.

92. «Ὦ Ἀρζούνα, σὺ, ὃς ἐλεήμων ἐγένου ἐν τῇ συνόδῳ πρὸς » τὸν κακεργάτην ἐχθρὸν, πῶς νῦν ἀνελεήμων γεγονὼς, » οὐδὲ ἐλέπεις τοῖς ὀφθαλμοῖς ἐμὲ κλαίουσαν;

---

1. Τοὺς εὐνοϊκῶς αὐτοῖς διακειμένους.

2. Κοιμηθήσεται ἐπὶ γῆς δηλ.

3. Αἱ σταγόνες τοῦ ἱδρῶτος ὡς μαργαρίται, τὸ δὲ χρῶμα τοῦ κρόκου, ὡς ὁ ξανθὸς Ἥλιος.

4. Κουμούδα, ὡς εἴρηται, λέγεται ὁ νυκτάνθης λωτός.

93. «Σὺ δ', ὦ Βήμα, ἁρπάξας ἐμὲ ἐκ τοῦ οἴκου τοῦ κατα-
» σκευασθέντος ἐκ λακκίου, καὶ φέρων ἐπ' ὤμου νύκτωρ
» καὶ μεθ' ἡμέραν, τότε λύπην εἶχες· νῦν δὲ πῶς ἐγκα-
» ταλείπεις ἐμὲ κλαίουσαν;

94. «Ὦ Ἰνδιστίρα, τίς προσκυνῶν ἐν τῇ ἀρχῇ τῆς ἡμέρας,
» ὄψεται τὸ πρόσωπον αὐτοῦ ἐν τοῖς ὄνυξι τῶν ποδῶν
» μου [1], τοῖς λαμπροῖς καὶ στιλπνοῖς γενομένοις τῇ προσ-
» θίξει τῶν ἐπὶ κεφαλῆς σου πολλῶν πολυτίμων λίθων;»

95. Αὕτη τοίνυν θρηνοῦσα ὑπὲρ τὸ μέτρον, θρηνεῖν ἐποίει καὶ
τοὺς λίθους. Οὐδὲν τοῦτο θαυμαστόν· λύπη γὰρ ἐγένετο
τότε καὶ τῷ Δουριοδάνᾳ, καὶ Δουσσασάνᾳ, καὶ Καρνᾷ,
καὶ Σακουνῇ.

96. Ἔκλαιε δὲ καὶ ὁ λαὸς ἅπας τῆς πόλεως, πλὴρῶν κραυ-
γῆς τὸ μεταξὺ τῆς γῆς καὶ τοῦ οὐρανοῦ κενὸν, «Οὐαί!
» κράζοντες, οὗτοι οἱ βασιλεῖς πορεύονται εἰς γῆν ἔρη-
» μον!!»

97. Ὁ μὲν οὖν βασιλεὺς Ἰνδιστίρας ἐπορεύετο, κεκαλυμμένον
ἔχων τὸ πρόσωπον ἱματίῳ, ὡς ἡ Σελήνη τῷ νέφει, ἵνα
μὴ κατακαύσειε τὴν χώραν τοῦ Δρυταράστρα θυμώδει ὄμ-
ματι, ὡς στερηθεὶς δολίως τῆς ἑαυτοῦ βασιλείας.

98. Ὁ δὲ Βήμας ἐπορεύετο, ἐκτεταμένας μὲν ἔχων τὰς χεῖ-
ρας, ἐρυθροὺς δὲ τοὺς μεγάλους ὀφθαλμοὺς, τῷ μεγάλῳ
θυμῷ, σημαίνων διὰ τούτου, ὅτι ἔσται χρόνος, ὅτε κα-
ταβρώσεται, ὡς θάνατος, διὰ τῶν πολεμικῶν χειρῶν ἐκεί-
νων καὶ τὸ ὄνομα καὶ τὸ γένος τῶν Καουραβῶν.

99. Ὁ δ' Ἀρζούνας πορευόμενος περιέῤῥιπτε πολλὴν ἄμμον,
σημαίνων διὰ τούτου, ὅτι ῥίπτων βέλη ἄπειρα εἰς τοὺς
στρατοὺς τοῦ Δρυταράστρα, ποιήσει πόλεμον, καταβάλ-
λοντα τὴν καρτερίαν τῶν δυσφορήτων τοξοφόρων.

---

1. Τίς ὅηλ. προσκυνήσει με, σοῦ ἀπόντος.

100. Ὁ δὲ γενναῖος Σαχαδέβας ἐπορεύετο, ἀλείψας τὸ πρόσωπον αὐτοῦ μέλανι, σημαίνων διὰ τούτου, ὅτι τότε λευκὸν ἔσεται τὸ πρόσωπον αὐτοῦ, ὅταν διατέμῃ ἐν πολέμῳ τὸν Σακουνὴν, τὸν ἔχοντα μέγα ὄνομα ἐπὶ τῇ ἐν δόλῳ κυβείᾳ.

101. Ὁ δὲ Νακούλας, ὁ τῇ εὐμορφίᾳ θέλγων τὰς καρδίας τῶν γυναικῶν, ἐπορεύετο ἠλειλιμμένος τὸ σῶμα κόνει, σημαίνων ὅτι, τῶν ἐχθρῶν εὖ ἐχόντων, ἡ εὐπρέπεια τῶν μελῶν τοῦ σώματος οὐδόλως διαπρέπει τοῖς ἤρωσιν.

102. Ἡ δὲ γυνὴ τῶν Πανδοειδῶν ἐπορεύετο, διαλελυμένην ἔχουσα τὴν κόμην, κλαίουσα καὶ πολλὰς ἀρὰς τοιαύτας ἐκφωνοῦσα· «Οὕτω θλιβερῶς εἰσελθέτωσαν εἰς τὴν Χαστι-» πούραν καὶ αἱ γυναῖκες τῶν Καουραβῶν μετ' ὀλίγας » ἡμέρας!»

103. Ὁ δὲ ἱερουργὸς Δαουμέας, πορευόμενος ἐν ὁδῷ, ἦδε τὰ τῆς Βέδας Σάμας περὶ τοῦ δεινοῦ Ἰάμα [1], θυμῷ ὢν ἐρυθρὸς, ἔχων *κούσσαν* ἐν χειρὶ, ἀνατεταμένῃ κατὰ τὸν Δίβυν [2], καὶ καταρώμενος ταῦτα· «Τοιαῦτα θρηνώδη » μετ' ὀλίγας ἡμέρας ᾄδέτωσαν καὶ αἱ γυναῖκες τῶν » Καουραβῶν.»

104. Πολλά τε σημεῖα ἀπαίσια γεγόνασιν ἐν τῇ πόλει· ὅ,τε Ναράδας, παραστὰς τῷ Δρυταράστρᾳ, καιομένῳ τὴν καρδίαν ἐκ συννοίας, φθορὰν τοῦ γένους αὐτοῦ μεμήνυκε. Τῶν δὲ περὶ τῶν Δουριοδάναν καταφυγόντων εἰς τὸν Δρόναν τῷ φόβῳ τῶν σημείων, δοὺς αὐτοῖς αὐτὸς ἀφυβίαν, ὁ ὢν πέλαγος τῆς ἀνδρείας, ἐποίησεν αὐτοῖς ἄνεσιν [3].

---

1. Ὕμνος εἰς Ἰάμαν ἐπὶ θανάτῳ ἐχθροῦ. — Ἄλλως· Ὕμνος εἰς τὸν Ἰάμαν, ὅς ἐστιν αὐτὸς ὁ θάνατος.

2. Ἔνθα οἰκεῖ θανατηφόρος δαίμων, ᾧ ὄνομα Νιρρίτη.

3. Καὶ σοφὸς ἦν καὶ γενναῖος, καὶ Βραχμάν· διὰ τοῦτο καὶ ἀπαλλαγὴν τῶν δεινῶν ταῖς εὐχαῖς ἐποίησε, καὶ θάρρος δέδωκε.

105. Ὁ Ἀμάρας, ὁ λίαν ἐγκρατὴς καὶ σοφὸς ἐπιφοιτὼν, ὡς βομβύλιος, τῷ λωτίῳ ποδὶ τοῦ καλοῦ διδασκάλου Ζηναδάτα, τοῦ σοφοῦ καὶ ὀρθοδόξου· οὗ τῆς πολυφήμου Βαλαβαράτας, τοῦ μεγάλου ποιήματος, τὸ δεύτερον βιβλίον, ᾧ ὄνομα *Σαββαπάρβα* τὸ καταβάλλον τὴν ὀφρὺν τῶν σοφῶν, πέρας εἴληφε.

106. Ἐν τούτῳ τῷ Βιβλίῳ ἐμπεριέχονται πέντε μὲν Κεφάλαια, ἑξακόσιοι δὲ καὶ ὀγδοήκοντα τρεῖς στίχοι, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Πέμπτου Κεφαλαίου
τοῦ Δευτέρου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει τὴν τῶν ἁγίων τόπων προσκύνησιν τοῦ Ἰνδιστίρα.

1. Ὁ ὅσιος Βεάσας, ὁ ὢν ἀπόῤῥοια τοῦ Βισνοῦ, καὶ μᾶλλον ἀξιύμνητος τοῦ Ῥάμα [1], ἔστω μοι ἐπ᾽ ἀγαθῷ, δι᾽ οὗ ἐποιήθη γέφυρα, ἡ Μαχαραβάρατα, ἐν τῷ ὡς πελάγει κόσμῳ, ἐπ᾽ ὠφελείᾳ ἄλλων.
2. Συνώδευον δὲ τοῖς Πανδοΐδαις τεσσαρεσκαίδεκα φιλόφρονες ἥρωες μετὰ τῶν γυναικῶν ἑαυτῶν ἐφ᾽ ἁρμάτων, ὅ,τε Ἰνδρασένας καὶ ἄλλοι, οἱ ὄντες ἱκανοὶ νικῆσαι καὶ τοὺς στρατοὺς τοῦ Ἴνδρα.
3. Δεξάμενοι δ᾽ οἱ Πανδοΐδαι τὰ πεμφθέντα δῶρα ὑπὸ τοῦ Δρυταράστρα, ἁμάξας καὶ ἄλλα ἀναγκαῖα [2], ἀποπέμψαντες μετὰ τιμῆς τοὺς προπέμψαντας πολίτας, καὶ τὰς καρδίας αὐτῶν συλήσαντες, ἐπορεύοντο κατὰ τὸ βόρειον μέρος.
4. Στὰς δ᾽ ἐν τῇ νυκτὶ ὁ Ἰνδιστίρας παρὰ τὸ χεῖλος τῆς

---

1. Ὁ μὲν γὰρ Ῥάμας ἐποίησε γέφυραν ἐπ᾽ ὠφελείᾳ ἑαυτοῦ, ὁ δὲ Βεάσας ἐπ᾽ ὠφελείᾳ ἄλλων· διὰ τοῦτο καὶ μᾶλλον ἀγαθοποιὸς ἐκείνου.
2. Ἵππους δηλ.

Γαγγᾶς ὑπὸ δένδρον Βάταν, ἀφῆκε τὴν λύπην, τῇ συμβουλῇ τοῦ Σαουνάκα, τοῦ προεστῶτος τῶν ἀκολουθούντων ἐγκρατῶν Βραχμάνων.

5. Περὶ δὲ τὸ πρωὶ [1] ὁ βασιλεὺς Ἰνδιστίρας, ἄμοιρος πλούτου ὢν, καὶ πολλοῖς Βραχμᾶσι συνὼν, ἔτυχε παρὰ τοῦ Ἡλίου χύτρας ἀκενώτου [2], ἱκετεύσας καὶ ὑμνήσας αὐτὸν διὰ τῆς Συμβουλῆς τοῦ Δαουμέα.

6. Προσκυνήσας μὲν οὖν ὁ βασιλεὺς Ἰνδιστίρας τὴν Κουρουξέτραν, τὴν ἐπαινετὴν ποταμοῖς πολλοῖς, ὧν κολοφών ἐστιν ἡ Σαρασβατὴ, ἐπορεύετο εἰς τὸ δάσος Καμεκὰν, μεγάλας χάριτας ὁμολογῶν τῇ κυβείᾳ [3].

7. Ἐνταῦθα περὶ μέσας νύκτας, κωλύτας τὴν εἰς τὰ πρόσω ὁδὸν τῶν περὶ τὸν Ἰνδιστίραν ὁ γίγας Κιρμήρας, ὁ ἀδελφὸς τοῦ Βάκα [4] τοῦ ἀναιρεθέντος ὑπὸ τοῦ Βήμα [5], ἐπέμφθη εἰς ἔντευξιν τοῦ Ἰάμα.

8. Μὴ εἰσακουσθεὶς δ' ὁ Βιδούρας ὑπὸ τοῦ Δρυταράστρα, λέγων ταῦτα, « Πῶς διοικήσει τὴν γῆν ὁ ἀξιοκατηγόρητος » υἱός σου, ὁ ὢν ἀπόῤῥοια τοῦ Καλῆ Αἰῶνος [6]; ἀπόβαλε » οὖν αὐτὸν, » ἐπορεύετο εἰς ἐκεῖνο τὸ δάσος πρὸς τοὺς Πανδοΐδας.

9. Παρακληθεὶς δ' ἔπειτα ὁ Βιδούρας ὑπὸ τοῦ Σανζαΐα [7], πεμφθέντος παρὰ τοῦ Δρυταράστρα, λυπουμένου ἐπὶ τῇ

---

1. Τὸ πρωτότυπον φέρει αὐτολεξεί· ἐν αὐγῇ.

2. Λύτη ἡ χύτρα οὐδέποτε ἐκενοῦτο, ἀλλὰ πάντοτε πλήρης ἦν παντοειδῶν βρωμάτων.

3. Διότι ἐγένετο αἰτία τῆς προσκυνήσεως τοιούτου ἁγίου τόπου.

4. Ἀνῃρέθη πρότερον ὁ Βάκας ὑπὸ τοῦ Βήμα.

5. Τὸ Ἰνδικὸν κείμενον φέρει αὐτολ. « ὑπὸ τοῦ ἐχθροῦ τοῦ Βάκα », τοῦ Βήμα δηλ.

6. Δηλ. κακεντρεχής· οὕτω γὰρ περιφραστικῶς καλοῦσι τὸν δύσροπον,

7. Ὁ Σανζαΐας βουλευτὴς ἦν τοῦ Δρυταράστρα.

ἀπουσίᾳ αὐτοῦ, ἐπανῆλθεν εἰς τὴν πόλιν, πρὸς νουθεσίαν τοῦ κακόνοος Δουριοδάνα, εὔνους ὢν τοῖς Πανδοΐδαις.

10. Ὁ δὲ Δουριοδάνας, ὁρμηθεὶς εἰς ἀναίρεσιν τῶν Πανδοϊδῶν τούτοις τοῖς λόγοις τοῦ Καρνᾶ, « Νῦν εὐχείρωτοί » εἰσιν οἱ ἐχθροὶ, ὄντες ἄνευ στρατῶν, » ἐκωλύθη εὐθέως ὑπὸ τοῦ Βεάσα εἰπόντος, « Διατί βούλῃ πεσεῖν εἰς βόρβο- » ρον ἀδικίας ; »

11. Ἐπειδὴ ὁ μὲν ὅσιος Μαϊτρέγης ἐπὶ συνόδου συμβουλεύων παρώτρυνε τὸν Δουριοδάναν εἰς τὴν πρὸς τοὺς Πανδοΐδας φιλοφροσύνην καὶ εὔνοιαν, ὁ Δουριοδάνας οὐκ εἰσήκουεν, » ἀλλ' ἔκρουε τὸν ἑαυτοῦ μηρὸν τῇ χειρὶ παίζων, διὰ τοῦτο » ὁ Μαϊτρέγης κατηράσατο αὐτοῦ, εἰπών· « Συντριφείη » σου ὁ μηρὸς αὐτὸς ἐν πολέμῳ τῇ κορύνῃ τοῦ Βήμα. »

12. Τῶν δὲ Πανδοϊδῶν πορευθέντων εἰς τὸ ἄλσος Δβαϊταβανὰν, συνῆλθον πρὸς αὐτοὺς πάντες οἱ φίλοι βασιλεῖς εἰς ἀσπασμὸν, καθὼς εἰς τὴν καρδίαν ἐλθούσης τῆς ἡσυχίας, πᾶσαι πανταχόθεν αἱ ἀρεταὶ συνέρχονται.

13. Ὃς ἐτέλεσε τὴν Ῥαζασουΐαν θυσίαν, καὶ υἱὸς ἦν τοῦ Δάρμα, καὶ ἐφρόνει τὰ τοῦ νόμου, τούτου ἐκ τῆς ὁμιλίας, συλλυπηθέντες, ἀνεχώρησαν οἱ βασιλεῖς.

14. Τότε ἀνεχώρησεν εἰς τὴν οἰκείαν χώραν, ὅ,τε υἱὸς τοῦ σεβαστοῦ Δρουπάδα, μετὰ τῶν πέντε υἱῶν τῆς Δραουπαδῆς, καὶ ὁ μεγαλόφρων Κρισνᾶς, ὁ πρῶτος τῶν ἐκ τοῦ Ἰαδοῦ, μετὰ τῆς Σουβαδρᾶς καὶ τοῦ υἱοῦ αὐτῆς Ἀβιμανιοῦ.

15. Ἐλθὼν δ' ὁ μέλας ὅσιος Βεάσας πρὸς τὸν Ἀρζούναν, ἔβρεξεν ὡς νέφος [1] αὐτῷ ἐπῳδήν τινα, καλουμένην *Πρατισρουτὴν*, εἰς ἀνάφυσιν τοῦ φυτοῦ τῆς χαρᾶς, τοῦ κατακαυθέντος τῷ δεινῷ πυρὶ τῶν ἐχθρῶν.

---

1. Καὶ τὸ νέφος μέλαν ἐστί.

16. Οἱ μὲν δὴ περὶ τὸν Ἰνδιστίραν ἐπανῆλθον εἰς τὸ ἄλσος Καμεκὰν, τὸ ὂν ἀγνὸν ἐκ τοῦ διαῤῥέοντος ποταμοῦ Σαρασβατῆς· ὁ δ' ἔνδοξος Ἀρζούνας ἐπορεύθη εἰς τὸν Ἰμαὸν, μελετήσων τὴν ἐπῳδὴν, ἣν ἔμαθε [1].

17. Μετὰ δέ τινας ἡμέρας ἡ διάζευξις τοῦ Ἀρζούνα ἔκαυσε τὰς ἐν τῇ καρδίᾳ αὐτῶν λύπας ἐπὶ τῇ στερήσει τῆς βασιλικῆς δόξης, καθὼς τὸ πῦρ τὰ ἐν τῷ ἄλσει δένδρα [2].

18. Ἐν τούτῳ τὸ ἀναμεταξὺ, καταβὰς ἐξ οὐρανοῦ ὁ ἄριστος τῶν ὁσίων θεῶν Λομάσσας, γαληνιαῖον ἔχων σῶμα, ἔλεξε τῷ Ἰνδιστίρᾳ λόγον ἀμβρόσιον τῇ ἀκοῇ·

19. « Χαῖρε, ὦ υἱὲ τοῦ Δάρμα, ὁ μέγας καὶ ὄλβιος, καὶ νό- » μιζε τοὺς ἐχθροὺς ἡττημένους [3]· ὁ γὰρ Ἀρζούνας, ὁ » νικῶν τοὺς τρεῖς κόσμους τῷ βραχίονι αὐτοῦ, θείων » ὅπλων ἔτυχεν, ὦ βασιλεῦ.

20. « Αὐτὸς πορευθεὶς ἐπ' ἀσκήσει εἰς τὴν ὑπώρειαν τοῦ Ἰ- » μαοῦ [4], τὴν λεγομένην Ἰνδρακίλαν, ἐνέτυχε τῷ Ἴνδρα » ἐν σχήματι Βραχμᾶνος, εἰπόντι· « Ἄφες τὰ ὅπλα ἐν « ἀσκήσει· » μὴ ἀφεὶς δ' αὐτὰ, ἤκουσε πάλιν παρ' αὐτοῦ, » δείξαντος τὴν ἑαυτοῦ μορφήν· « Σέβου τὸν Σίβαν. »

21. « Μετὰ δὲ ταῦτα, πορευθεὶς εἰς τὴν καλὴν Ταποβάναν [5], » ἡσκεῖτο ὅλον ἕνα μῆνα, δεόμενος τοῦ Θεοῦ ταπεινῶς, » καὶ ἐσθίων ὀπώρας μετὰ τρεῖς ἡμέρας.

22. « Τῷ δὲ δευτέρῳ μηνὶ, ποιῶν ἐνταῦθα ἄσκησιν ἀκατα-

---

1. Παρὰ τοῦ Βεάσα ἔμαθε τὴν ἐπῳδὴν, ὡς εἴρηται ἀνωτέρω.

2. Πάσας δηλ. τὰς λύπας ὑπερέβαλεν ἡ λύπη τῆς διαζεύξεως τοῦ Ἀρζούνα.

3. Ἐν συντομίᾳ λέγει τὴν αἰτίαν τῆς χαρᾶς.

4. Νῦν δὲ ἐκτεταμένως διηγεῖται περὶ τῆς ὑποθέσεως.

5. Ἄλσος ἀσκήσεως.

» νόητον οὗτος ὁ μέγας ἥρως καὶ ἀσκητὴς, ἤσθιεν ὀπώρας
» μετὰ ἓξ ἡμέρας.

23. « Τῷ δὲ τρίτῳ μηνὶ ποιῶν ἄσκησιν οὗτος ὁ πανεύφημος,
» ἤσθιε μετὰ πεντεκαίδεκα ἡμέρας φύλλα ξηρὰ, μηδεμίαν
» ἔχων φροντίδα τοῦ σώματος, ἀνάγων δὲ τὸν νοῦν αὐτοῦ
» πρὸς τὸν Σίβαν.

24. « Ἐν δὲ τῷ τετάρτῳ μηνὶ ἐσθίων τὸν πνέοντα ἀέρα πρὸ
» προσώπου αὐτοῦ, καὶ ἔχων τὸ σῶμα ὄρθιον καὶ ἀκίνη-
» τον, μεγάλας ἀσκήσεις ἐποιεῖτο.

25. « Οἱ δ' ἐλέφαντες, ἀφέντες τὰς ἄκρας τοῦ Ἰμαοῦ ὄρους
» πλήρεις οὔσας χιόνος, καὶ μηδὲν ἡδὺ ἐχούσας, ἔπλητ-
» τον σφόδρα τοῖς ὀδοῦσι τὸ σῶμα αὐτοῦ τοῦ Ἀρζούνα,
» νομίζοντες μέλανα λίθον.

26. « Ἀφεὶς δὲ πόρρω τὴν *ῥάγαν* [1] καὶ τὴν *τάμαν* οὗτος ὁ
» μεγαλόφρων, ἔσχε τότε ἐν τῇ καρδίᾳ αὐτοῦ σωματικὴν
» τὴν *σάτβαν*, τουτέστι τὸν Σίβαν, τὸν συστατικὸν τῶν
» τριῶν κόσμων.

27. « Πάντα δὲ τὰ εἴδη τῶν ζώων ἐν ἐκείνῳ τῷ τόπῳ ἠλευ-
» θερώθησαν τῆς φυσικῆς ἀντιπαθείας, ἣν εἶχον, φοβη-
» θέντα, καὶ ὥσπερ πληγέντα τῇ ὀξείᾳ τούτου ἐγκρατείᾳ,
» ὡς ῥομφαίᾳ.

28. « Ὁ μὲν γὰρ λέων διέλυε τὴν συμπλεχθεῖσαν οὐρὰν τῆς
» ἀγρίας βοὸς τῇ βάτῳ [2]· τὸ δὲ ζεῦγος τῶν στρουθῶν,
» ἀποκαμὸν μετὰ τὴν συνουσίαν, ἀνεψύχετο ἠρέμα φυσή-
» ματι τῶν ὄφεων.

29. « Ὁ δ' ἰχθῦς, ἀναλαμβανόμενος ὑπὸ τοῦ Λάρου ἀπὸ λί-

---

1. Ῥάγα ἐστὶ τὸ ἐπιθυμητικόν· Τάμα, τὸ θυμικόν· Σάτβα, τὸ λογικὸν, τὸ πρᾶον καὶ ἀπαθές.

2. Ἐν τούτοις σημαίνει, ὅτι ἔχθρα καὶ ἀντιπάθεια οὐκ ἦν.

» μνης ἀνύδρου, ἀφίετο εἰς πολύϋδρον· ἡ δὲ λέαινα ἐγα-
» λακτοτρόφει ἐλέει τὸν νεβρὸν, ἄνευ μητρὸς ὄντα.

30. Τὰ δ' ἄλση πάντα ἐκοσμοῦντο ἀεὶ πᾶσι τοῖς ὡραίοις
» καρποῖς [1], ἀφεισῶν τῶν ὡρῶν τὴν πρὸς ἀλλήλας ἐναν-
» τιότητα· λευκὴ δὲ φήμη τῷ Ἀρζούνᾳ ἐγένετο, ὅ ἐστι
» τὰ πολλὰ ἄνθη.

31. « Τοῦτον ἰδόντες οἱ ἔφοροι τῶν ὀκτὼ μερῶν θεοὶ, ἔχοντα
» ἐφ' ἑκατέρου ὤμου ῥομφαίαν καὶ τόξον, καὶ ἐφ' ἑκατέ-
» ρας πλάτης δύω φαρέτρας, καὶ τοιαύτας σκληρὰς ἀσκή-
» σεις ἀσκούμενον, φόβον ἔλαβον.

32. « Ὁ δὲ τριόφθαλμος Σίβας, χαρεὶς ταύταις ταῖς ὑπερφυέ-
» σιν ἀσκήσεσι τούτου, ἐπιθυμῶν δὲ θεωρῆσαι τὴν ῥώμην
» αὐτοῦ, ἀφίκετο ἐκεῖ μετ' ἀκολούθων, λαβὼν σχῆμα
» Κιράτα [2].

33. « Ἰταμὸς δέ τις δαίμων καὶ τολμηρὸς, Μουκασούρας
» τοὔνομα, προσελθὼν ἐνώπιον ἐν μορφῇ χοίρου, πρῶτον
» μὲν ἐβλήθη τοῖς θέλεσιν ὑπὸ τοῦ ἀδελφοῦ σου Ἀρζούνα,
» εἶτα δ' ὑπὸ τοῦ Σίβα, τοῦ ἔχοντος σχῆμα Κιράτα.

34. « Ὁ δὲ Σίβας προύκαλέσατο εἰς μάχην τὸν Ἀρζούναν
» τοιούτοις λόγοις, ἐκ στόματός τινος δούλου, πεμφθέν-
» τος· « Οὗτος ὁ χοῖρος, ὃν ἐγὼ ἔμελλον ἀνελεῖν, διὰ τί
« ἀνῃρέθη ὑπὸ σοῦ; τούτου ἕνεκεν ἐγὼ μαχήσομαί σοι. »

35. « Τοῦ μὲν οὖν Σίβα, τοῦ ὄντος ἐν σχήματι Κιράτα, ἁψα-
» μένου τῶν ὅπλων, ὁ κορυφαῖος τῶν ἡρώων Ἀρζούνας
» ἐντείνας τὸ τόξον, διετάραξε τοῖς θέλεσι τὴν Βραχ-
» μάνδαν.

36. « Τοῦ δὲ σίφους παντὸς τῶν δεινῶν Κιρατῶν φοβουμένου,
» καὶ φεύγοντος τοῖς πολλοῖς θέλεσι τοῦ Ἀρζούνα, ὁ Σί-

---

1. Δηλ. πάντες οἱ καρποὶ ἐν πάσαις ταῖς ὥραις εὑρίσκοντο.
2. Κιράτας λέγεται ὁ οἰκῶν ἐν ὕλῃ, ὁ ἀγροῖκος.

» βας ἥρπαξεν ἀφανῶς τὸ τόξον καὶ ἀμφοτέρας τὰς φαρέ-
» τρας αὐτοῦ, καταπλαγέντος τὸν νοῦν.

37. « Ἐλκύσας δὲ τὴν ῥομφαίαν ἐκ τῆς θήκης ὁ νεώτερός σου
» ἀδελφὸς, καὶ ἀνατείνας τὴν χεῖρα, ὥρμησε κατὰ τοῦ
» Σίβα, τοῦ φαινομένου Κιράτα, κατακαίων τὸ περιέχον
» μᾶλλον τοῦ Ἡλίου, τῷ τῶν ὀφθαλμῶν αὐτοῦ πυρί.

38. « Ἀφανοῦς δὲ καὶ τοῦ ξίφους γενομένου, ἁρπαγέντος, ὁ
» γενναῖος Ἀρζούνας, ῥίπτων λίθους μεγάλους ταῖς ἀόπλοις
» χερσὶν, ἀνθίστατο τῷ Σίβα, πολεμῶν καὶ πνέων θυμόν.

39. « Μὴ ἔχων δ' ὡς ὅπλα, μήτε δένδρα, μήτε λίθους [1], δε-
» ξιὸς ὢν παλαιστὴς, ἁψάμενος τῇ χειρὶ τοῦν ποδοῦν τοῦ
» Σίβα, περιέφερεν αὐτὸν, ὡς ἱμάτιον, νίκης σημεῖον ἐν
πολέμῳ [2].

40. « Χαρεὶς δ' ὁ Σίβας τῇ εὐψυχίᾳ τοῦ Ἀρζούνα, ἐφάνη αὐτῷ
» ἐν ταυτῷ, ὡς ἔχει φύσεως, ἔχων ῥέουσαν τὴν Γαγγὰν
» ἐκ τῆς κορυφῆς, κρανιοφόρος, τριαινοφόρος, πλοκαμο-
» φόρος, σεληνοφόρος, καὶ τριόφθαλμος.

41. « Ἔδωκε δ' ἔπειτα ὁ Σίβας αὐτῷ τῷ περικλεεῖ υἱῷ τῆς
» Πριτᾶς βέλος, ᾧ ὄνομα *Πασουπάτα*, ἀνοίκειον μὲν ῥί-
» πτεσθαι ἐπ' ἀνθρώπους, λαμπρὸν δ' ἐπὶ νίκῃ κατὰ θεῶν
» καὶ ἀντιθέων ὑπερφρόνων.

42, Ἐτιμᾶτο δὲ τότε ὁ Ἀρζούνας καὶ ὑπὸ τῶν θεαινῶν [3]
» ἀνθοβολίαις, ἵνα χαρίσηται αὐταῖς καλοὺς ἄνδρας, καὶ
» τύμπανα ἐκρούοντο ἐν οὐρανῷ, ὡς βροντοειδῆ κηρύγ-
» ματα τῆς ἀγλαΐας τοῦ οὐρανοῦ [4].

---

1. Ἅπαντα δηλονότι κατηναλώθησαν, ῥιπτόμενα, καὶ δένδρα καὶ λίθοι.
2. Ἐν πολέμῳ νικήσας ὁ ἀντίπαλος περιστρέφει τὸ περιβόλαιον αὐτοῦ, ὡς σημεῖον νίκης.
3. Οἱ ἐν πολέμῳ ἡρωϊκῶς θνήσκοντες σύνεισι θεαῖς.
4. Καὶ ὁ οὐρανὸς δηλ. ἠγλαΐσθη καὶ ἐχάρη ἐπὶ τῇ νίκῃ τοῦ Ἀρζούνα.

43. «Περικυκλωθεὶς δὲ, ἐτιμᾶτο καὶ ὑπὸ τῶν θεῶν, χαι-
» ρόντων, οὗτος ὁ υἱὸς τοῦ Ἴνδρα, ὡς Ἴνδρας· τιμὴ γὰρ
» δίδοται παρὰ τῶν ἀγαθῶν καὶ τῷ ἀξίῳ υἱῷ τοῦ βασι-
» λέως, ὡς αὐτῷ τῷ βασιλεῖ.

44. «Καὶ ὁ μὲν Κουβέρας ἔδωκε τῷ γενναίῳ ἥρωϊ βέλος, ᾧ
» ὄνομα *Πρασβαπάνα* [1], ὁ δὲ Βαρούνας βρόχον, ὁ δὲ Ἰά-
» μας ῥάβδον, εἰπόντες· «Νίκα τὸν κόσμον τούτοις τοῖς
« ὅπλοις.»

45. «Ὁ δὲ οὐρανοδεσπότης Ἴνδρας, ὁ ὢν μακάριος ἐπὶ τοιού-
» τῳ υἱῷ, ἀναβιβάσας αὐτὸν ἐφ' ἅρματος, ἡνιόχου ὄντος
» τοῦ Ματαλῆ, ἤγαγεν εἰς τὴν οἰκείαν χώραν, μεγαλο-
» φρονῶν, πρὸς ἧτταν πολεμίων γιγάντων [2].

46. « Παρεκάθισε δὲ αὐτὸν ἐπὶ τοῦ οἰκείου θρόνου, καὶ ἐρω-
» τήσαντί μοι « Τί τοῦτο ; » διηγήσατο παῤῥησίᾳ πάντα
» τὰ κατορθώματα αὐτοῦ, ἃ εἶπόν σοι, καὶ ὅτι ὄνομα αὐ-
» τοῦ ἐστιν Ἀρζούνας. »

47. Τοῦ δὲ βασιλέως Ἰνδιστίρα μετὰ τῶν ἀδελφῶν ἐμβυθι-
σθέντος τὸν νοῦν τῇ ἡδείᾳ ἀκροάσει τοιούτων κατορθωμά-
των, ἔχοντος στόμα ἄφωνον καὶ πρόσωπον μειδιῶν,
ἔκ τε τῆς χαρᾶς δάκρυα ἐξ ὀφθαλμῶν ῥαίνοντος, καὶ φρίτ-
τοντος [3],

48. Πάλιν ὁ ὅσιος εἶρηκε· « Ἐμοῦ δ', ὦ βασιλεῦ, κατερχο-
» μένου εἰς προσκύνησιν τῶν ἐνταῦθα ἁγίων τόπων, πα-
» ρήγγειλέ μοι ὁ Ἀρζούνας ἀναγγεῖλαί σοι ἐκ στόματος
» μετὰ τῆς αὐτοῦ προσκυνήσεως ταῦτα·

---

1. Αὐτολεξεί· Ὑπνωτικόν.

2. Ἤγαγεν αὐτὸν εἰς τὸ νικῆσαι δι' αὐτοῦ τοὺς πολεμίους Γίγαντας.

3. Ἐνταῦθα ὁ Ποιητὴς λέγει· Ἐκ τούτου δὲ φαίνεται, ὡς ὁ Λομάσας ἀπεσιώπησε μικρόν τι, βλέπων τὸν βασιλέα μὴ δυνάμενον εἰπεῖν τι ἐκ τῆς χαρᾶς.

49. « Ὅτι γυμνασθεὶς [1] τὰ διάφορα θεῖα ὅπλα ἐν πέντε ἔτεσι,
« καὶ πράξας ὅ,τι βούλεται ὁ Ἴνδρας [2], ποιήσει τὰς τρίχας
« τῆς κεφαλῆς αὐτοῦ ὡς βομβυλίους πρὸς τοῖς λωτίοις
« ποσί σου ἐπὶ τῆς κορυφῆς τοῦ λευκοῦ ὄρους [3]. »

50. Τοιαῦτα τοῦ Λομάσσα εἰρηκότος, χαρεὶς ὁ βασιλεὺς ἔφη·
» Ἔσο μοι ἵλεως· ἐγὼ σὺν σοὶ περιελεύσομαι τοὺς ἁγίους
» τόπους, ἵνα ἐξαλειφθῶσιν αἱ πολλαί μου ἁμαρτίαι. »

51. Εὐλόγου δὲ φανείσης τῷ Λομάσσᾳ ταύτης τῆς γνώμης
τοῦ βασιλέως, ἀποπέμψας οὗτος πάντας τοὺς γέροντας
ἐκ τοῦ ἄλσους Καμεκᾶ, ἔμεινεν ἐκεῖ τρεῖς ἡμέρας, καθα-
ρὸς γινόμενος τὴν καρδίαν τοῖς λόγοις τοῦ ὁσίου Παρβά-
τα, καὶ Ναράδα, καὶ ἄλλων.

52. Ἤψατο δὲ τῆς εἰς τὸ ἀνατολικὸν μέρος, διδασκόμενος
καθ' ἑκάστην καθ'ὁδὸν τὴν γνῶσιν τῶν ὄντων, ὑπότε τοῦ
Λομάσσα καὶ Δαουμέα, τελευτήσαντος τοῦ Νοεμβρίου,
καὶ ἀρξαμένου τοῦ Δεκεμβρίου.

53. Προσκυνῶν οὖν πάντας τοὺς κατὰ τὴν ὁδὸν ἁγίους τό-
πους, λουόμενός τε καὶ δωρούμενος, ἀφίκετο εἰς τὴν Ναϊ-
μέσσαν, κἀκεῖθεν εἰς τὴν ἀλεξικακον Πραϊάγαν, ἔνθα συμ-
μίγνυνται τὰ ὕδατα τῆς Γαγγᾶς καὶ Ἰαμουνᾶς.

54. Ἐντεῦθεν δ' ἀφίκετο εἰς τὴν ὀρεινὴν Γαΐαν, τὴν οὖσαν
ἁγίαν διὰ τῆς κεφαλῆς τοῦ Γαΐα, ἔνθα ἐστὶν ἡ Μαχανα-
δή [4]. Τότε τὰ νέφη βροντῶντα ἐπὶ τῇ νίκῃ κατὰ τοῦ
καύματος, ἐκόσμησαν τὸν οὐρανόν.

---

1. Αὐτολεξεὶ, μαθὼν διδαχθείς.

2. Ὁ Ἴνδρας ἤθελε τὴν ἐπικουρίαν τοῦ Ἀρζούνα, εἰς τροπὴν τῶν Δαιμόνων καὶ Γιγάντων.

3. Τουτέστιν ἐλθὼν προσκυνήσει τοὺς πόδας σου ἐπὶ τῆς κορυφῆς τοῦ λευκοῦ ὄρους, ὅ, ἐστι μέρος τοῦ Ἰμαοῦ.

4. Ὅ, ἐστι Μεγάλος ποταμός.

55. Ὁ δὲ Δαουμέας ἔφη τῷ Ἰνδιστίρᾳ· « ὦ βασιλεῦ, ἡ πε-
» ριήγησις ἁγίων τόπων ἐν τῇ ὥρᾳ τῶν ὄμβρων, οὐχ ἁρ-
» μοδία ἐστὶν, ὅτε πολυειδῆ ζωύφια γεννῶνται ἐπὶ τῆς γῆς
» ἐκ τῶν ὀμβρίων ὑδάτων.

56. « Αὕτη ἡ ὥρα τῶν ὄμβρων, ὦ βασιλεῦ, ἡδεῖά ἐστι τοῖς
» μένουσιν οἴκοι [1], ἀλλ' οὐχὶ τοῖς περιερχομένοις, πάντα
» μὲν τἄλλα ποιοῦσα ἀγαπητὰ τῇ ὁράσει, δυσόδους δὲ
» τὰς ὁδοὺς ἐκ τῶν πολλῶν ὑδάτων καὶ τελμάτων.

57. « Αὐτίκα καὶ γὰρ ἰδὲ [2], αἱ μὲν διαστάσεις τοῦ τόπου ὀρ-
» χοῦνται, ὡς γυναῖκες [3], σὺν ταῖς βρονταῖς τῶν νεφῶν,
» ὡς ἤχοις τυμπάνων· ἡ δ' ἀστραπὴ αὕτη περιλάμπει,
» ὡς λάμψις λιθοκολλήτων κοσμημάτων κινουμένων.

58. « Πάντως γε [4] αἱ φλόγες τοῦ ἐν θαλάσσῃ πυρὸς κατεπό-
» θησαν μετὰ τῶν ὑδάτων ὑπὸ τῶν νεφῶν· ὅθεν πίπτον-
τος τοῦ ὕδατος, αἱ φλόγες τοῦ ἐν θαλάσσῃ πυρὸς φωτα-
» γωγοῦσιν, αἵ εἰσιν αἱ πολλαὶ ἀστραπαί.

59. « Ἰδὲ, πάντα τὰ ὅπλα [5] τῶν στρατιωτῶν τοῦ Ἔρωτος
» θήγονται ἐν νεφέλαις, ὡς ἐν ἀκόναις, ὃ συμπεραίνεται
» ἐκ τῆς ἀστραπῆς· αἱ δ' ἀνιστάμεναι πυγολαμπίδες φαί-
« νονται ὡς λαμπροὶ σπινθῆρες τῆς θίξεως [6],

60. « Ὁ τῶν φώτων κύριος περιεκαλύφθη τοῖς νέφεσι· τούτου
» δὲ αἱ ὡς γυναῖκες λαμπηδόνες περιπλανῶνται ἐν τῷ
» αἰθέρι καὶ λειποθυμοῦσαι πίπτουσιν ἐπὶ τῇ διαζεύξει, ὃ

---

1. Ἔπαινος τῆς ὥρας τῶν ὄμβρων.

2. Αὐτολεξεὶ, παραδείγματος χάριν.

3. Ὅταν αἱ γυναῖκες χορεύωσι, τὰ λιθοκόλλητα αὐτῶν λαμπρὰ κο-
σμήματα περικινοῦνται, μαρμαρυγὰς ἐκπέμποντα.

4. Ἀτολεξεὶ, ἀναγκαίως, πάντως.

5. Ἡ ἀστραπή ἐστιν ὡς ὅπλον.

6. Ἐν ὥρᾳ ὄμβρων πολλαὶ γίνονται πυγολαμπίδες καὶ περιίπτανται.

» συμπεραίνεται ἐκ τῆς κόνιος τῶν ἀνθέων τοῦ δένδρου
» Καδάμβας, τῆς πιπτούσης ὑπὸ σφοδροῦ ἀνέμου [1].

61. « Ἰδὲ, οὗτοι οἱ λευκοὶ λάροι [2] φαίνονται ὡς ὀδόντες τῶν
» νεφῶν, ἡδέως καγχαζόντων, τουτέστι βροντώντων, ὅτι
» ἐνίκησαν τὸ τοῦ δάσους πῦρ, τὸ ὂν πολέμιον τοῖς δέν-
» δρεσι, τοῖς θετοῖς υἱοῖς αὐτῶν τῶν νεφῶν [3].

62. « Τοῦτο τὸ νέφος οὐκ ἔστι νέφος, ἀλλ' ὁ μέλας Ἀρζούνας,
» ὃς ἔρχεται ἐξ οὐρανοῦ, ἔχων τὴν μὲν ἀστραπὴν ὡς στέφα-
» νον, τὴν δ' Ἶριν, ὡς τόξον, καὶ δεικνύων σοι ἀπό γε
» τοῦ κατιόντος ῥαγδαίου ὑετοῦ, ὅτι ἐγυμνάσθη τὴν τῶν
» θείων βελῶν βολήν.

63. « Οὗτοι οἱ ταῶνες ᾄδουσι καὶ χορεύουσιν, ὁρῶντες τὰ ὕδατα
» πίπτοντα, τὰ αἴτια τῆς συλλήψεως τῶν θηλέων ὄφεων
» μαντευόμενοι μέλλουσαν ἀφθονίαν τροφῆς [4].

64. « Νῦν, ὦ βασιλεῦ, τὰ μεγάλα πελάγη συστέλλονται ἐξ
» αἰδοῦς [5] ἀγκαλιζόμενα τοὺς ποταμοὺς, τὰς ἐρασμίας
» θυγατέρας τούτου τοῦ εὐγενοῦς καιροῦ [6].

---

1. Ἡ κόνις αὕτη ξανθή ἐστι.

2. Οὗτοι οἱ ὄρνεις ἵπτανται ἱλαδὸν ἐν τῇ ὥρᾳ τῶν ὄμβρων.

3. Τὰ γὰρ δένδρα καὶ ὑπὸ τῶν νεφῶν τρέφονται, πίνοντα τὸ ἐξ αὐτῶν πίπτον ὕδωρ.

4. Λέγουσιν, ὡς ἐν ὥρᾳ τῶν ὄμβρων σύλληψις τῶν θηλέων ὄφεων γίνεται· ἐκ τούτου δὲ συμπεραίνουσιν, ὡς πολλοὶ γενήσονται· οἱ γὰρ ταῶνες ὀφιοφάγοι εἰσίν.

5. Λέγουσιν, ὡς ἐν ὥρᾳ τῶν ὄμβρων, ὅτε τοσοῦτοι ποταμοὶ πλημμυροῦντες εἰσβάλλουσιν εἰς τὴν θάλασσαν, ἡ θάλασσα οὐ πλημμυρεῖ, ἀλλ' ἐκ τοῦ ἐναντίου μειοῦται· ἐπειδὴ τὰ νέφη ἐκροφοῦσιν ὕδωρ ἐξ αὐτῆς, κἄπειτα τοῦτο βρέχουσι.

6. Ἐν γὰρ τῷ καιρῷ τῶν ὄμβρων οἱ ποταμοὶ, οἵτε ἀέννaοι καὶ χείμαῤῥοι, πλημμυροῦντες ἐκβάλλουσιν εἰς τὴν θάλασσαν. Ὅτε δέ τις γαμεῖ θυγατέρα εὐγενοῦς τινος καὶ ἐνδόξου, συστέλλεται καὶ αἰδεῖται.

65. Ὁ Ἔρως κρατεῖ πρίονα ὀδοντώδη [1] εἰς τομὴν, ὡς φυτοῦ,
» τοῦ ἥτορος τῆς διεζευγμένης γυναικὸς, ὅ ἐστι τὸ ἄνθος
» ἡ Κετάκα [2], ὃ μελανοειδὲς γίνεται ἐκ τοῦ ἐπικαθη-
» μένου μέλανος Βομβύλιου [3].

66. « Ἰδὲ, οἱ ὁδῖται ὁδεύουσιν ἐν ὁδῷ στρεβλῶς, ὡς ὄφεις [4].
» ἀφανεῖς ἔχοντες τοὺς πόδας ἐν πολλοῖς τέλμασι, μέ-
» λανες γινόμενοι ἐκ τῆς λύπης τῆς διαζεύξεως τῶν οἰ-
» κείων γυναικῶν, καὶ ἀσθμαίνοντες [5] ἐκ τοῦ πόνου τῆς
» ὁδοιπορίας.

67. « Οἱ ὁδοιπόροι κωλύονται τῆς ὁδοῦ [6], μὴ δυνάμενοι δια-
» βῆναι τὸν πλημμυρήσαντα ποταμὸν ἐκ τῶν ὄμβρων,
» ὄντα ὡς ὅρον τῆς προσταγῆς τοῦ Ἔρωτος, ἐπαπειλοῦν-
» τος διὰ τῶν βροντώντων νεφῶν, ὡς τὰς ψυχὰς αὐτῶν
» ἀφαιρήσεται.

68. « Οἱ λευκόπτεροι χῆνες προανεχώρησαν, ὡς δοκεῖ, ἵνα μὴ
» βλέποιεν τόν τε πόνον τοῦ ὁδοιπόρου, τὸν ἀφανισμὸν
» τοῦ λωτοῦ, τὴν στέρησιν τοῦ Ἡλίου, καὶ τὴν θολότητα
» τῶν ὑδάτων.

1, Αὐτολεξεὶ, ἀκανθώδη πρίονα.

2. Τὸ φύλλον τούτου τοῦ ἄνθους μακροειδές ἐστι καὶ ἀκανθῶδες, ὡς ὁ ὀδοντώδης πρίων, ὅπερ ἀνθεῖ περὶ τὸν ὄμβρον· σημαίνει δὲ, ὅτι τότε ἡ διεζευγμένη τοῦ ἀνδρὸς γυνὴ θλίβεται τῷ ἔρωτι.

3. Μελανοειδής ἐστι καὶ ὁ σίδηρος.

4. Πάνυ ἀστεία ἡ ὁμοίωσις· στρεβλῶς γὰρ οἱ ὄφεις ἕρπουσι καὶ ἀφα-
νεῖς ἔχουσι πόδας (εἰ γὰρ μὴ εἶχον πόδας, λέγουσιν, οὐκ ἂν ἀναβαίνον-
τες περιεπάτουν ἐπὶ τῶν τοίχων καὶ δένδρων), καὶ μέλανές εἰσιν ἔνιοι,
καὶ συρίζουσιν· ὁ σύριγμα ἀναφέρεται εἰς τὸ ἄσθμα ἐπὶ ἀνθρώπου.

5. Αὐτολεξεὶ, συρίζοντες.

6. Τουτέστιν ἐν ὥρᾳ ὄμβρων, οὐδεὶς ἀποδημεῖ, ἀλλὰ μένει οἴκοι καθη-
δυπαθῶν.

69. « Νῦν ὁ Βισνοῦς, ὡς δοκεῖ, κοιμᾶται [1]· διά τοι τοῦτο οἱ » ὀφθαλμοὶ αὐτοῦ, οἱ δύω φωστῆρες τοῦ οὐρανοῦ, οὐ φω- » τίζουσι φωτὶ πολλῷ τὸ πᾶν τοῦτο, ὅ περ ἐστὶν ἐζο- » φωμένον.

70. « Ὕπνωσεν, ὦ βασιλεῦ, ἐκεῖνος ὁ τοῦ κόσμου Κύριος, οὗ » εἰσιν ἅπαντες οἱ ἅγιοι τόποι. Μένε οὖν ἐνταυθὶ νυνί· » ἐκείνου δ' ἀφυπνώσαντος, περιήγησιν τότε ποίησον τῶν » τόπων τῶν ἁγίων. »

71. Τοιούτοις ῥήμασι τοῦ ἱερέως Δαουμέα, κατέλυσεν ἐκεῖ [2] τὸ τετράμηνον τῶν ὄμβρων ὁ Ἰνδιστίρας, ἔνθα ἤκουσεν ἐκ στόματος τῶν Βραχμάνων τὰ τῆς ἱστορίας τοῦ ἁγίου βασιλέως Γαΐα.

72. Θεωρήσας δ' ἔπειτα οὗτος τὴν μονὴν τοῦ ὁσίου Ἀγαστέα, τόν τε ἅγιον τόπον Δουρναΐαν, καὶ ἄλλους, ἀκούων καὶ τὰ κατορθώματα τῶν παλαιῶν (προγενεστέρων) ἀνδρῶν, ἀφίκετο ἔνθα ἡ Γαγγὰ ἐκβάλλει εἰς τὸν ὠκεανόν.

73. Ἐνταῦθα λουσάμενος ἐν πεντακοσίοις ποταμοῖς, καὶ ἁγιασθεὶς, παρεγένετο εἰς τὴν χώραν Καλίγγαν. Διαπε- ράσας δὲ τὸν ποταμὸν Βαϊταρινὴν, ἐποίει χοὰς καὶ μνη- μόσυνα τοῖς τεθνεῶσι, φρονῶν θεῖα.

74. Δύναμις δ' ἐγένετο ἐνταῦθα τούτῳ τῷ βασιλεῖ τοῦ βλέ- πειν πάντα τὰ ἐν πᾶσι τοῖς τόποις γινόμενα, καὶ ἤκουε πρὸς τούτοις τῶν μυστικῶν εὐχῶν τῶν ἐν ἐγκρατείᾳ καὶ ἀσκήσει ζώντων, μακρὰν ὄντων ἑξηκοντακισχιλίοις Γα- βιούτας [3].

75. Τῷ δὲ λόγῳ τοῦ μεγάλου ὁσίου Ἀκριταβράνα ἔδωκε δω-

---

1. Μυθολογοῦσιν, ὡς ὁ Βισνοῦς ὑπνώττει κατὰ τὸ τετράμηνον τῶν ὄμβρων.

2. Αὐτολεξ. ἐν οἴκῳ.

3. Ὁ Γαβιούτης μέτρον ἐστὶ διαστήματος τεττάρων Μιλίων.

ρήματα τοῖς Βραχμᾶσι, κἄπειτα ἔμεινεν ἐν τῇ μονῇ τοῦ ὁσίου Κασσέπα, μέχρι τῆς δεκάτης τετάρτης, εἰς ἔντευξιν τοῦ Παρασουράμα.

76. Προσκυνήσας δὲ τὸν Παρασαρούμαν, τὸν λαμπρὸν δίκην Ἡλίου ἐν τῇ κορυφῇ τοῦ μεγάλου ὄρους Μαχένδρα, οὗτος ὁ ἄριστος τῶν βασιλέων, ἐπορεύθη κατὰ τὸ δυτικὸν μέρος, εἰς τὸν ποταμὸν Παριξίταν.

77. Λουσάμενος δ' ἐν τῷ ποταμῷ Γοδαβαρῇ, προσκυνήσας τε τὸν ἅγιον τόπον τοῦ Ἀγαστέα ἐν τῇ χώρᾳ Δραβίδᾳ, καὶ ὑμνήσας (ἀφηγησάμενος) τὰ κατορθώματα τοῦ υἱοῦ τοῦ Ἴνδρα [1] ἐν τῷ ἁγίῳ τόπῳ Ναρῇ, ἐπορεύθη εἰς τὴν Πραββάσαν [2].

78. Ἔνθα δεξιωθεὶς (ὑποδεχθεὶς) ὑπό τε τοῦ Κρισνᾶ καὶ Βαλαράμα, τῶν εὐπροσηγόρων [3], ἔμεινεν ἐκεῖ δύω καὶ δέκα ἡμέρας, ἄνεμον ἐσθίων καὶ ὕδωρ πίνων.

79. Ἐνταῦθα πορευθεὶς εἰς τὴν χώραν Βιδάμβαν, ἐλούσατο ἐν τοῖς ὕδασι τοῦ ποταμοῦ Παϊοσνῆς [4], ὅπου ὢν, πάνυ περιχαρὴς ἐγένετο, θεωρήσας τῷ νοὶ τὸν ἀδελφὸν Ἀρζούναν, συγκαθεζόμενον τῷ Ἴνδρᾳ.

80. Ἐπεὶ δὲ τὸ πρόσωπον τῆς θυγατρὸς τοῦ βασιλέως Δρουπάδα [5] ὡράθη ὑπὸ τῶν λωτῶν, λουομένης ἐν πᾶσι τοῖς ἁγίοις τόποις, διὰ τοῦτο ποῦ ἂν εἴη χαροποιὰ αὐτοῖς ἡ Σελήνη [6];

---

1. Τοῦ Ἀρζούνα.

2. Τόπος ἅγιος.

3. Ἑτέρα μετάφρασις· τῶν ὄντων εὐφυῶν εἰς χαροποίησιν. (Σημ. τ. ἐκδ.)

4. Αὐτολεξεί, ἡ ἔχουσα θερμὸν ὕδωρ.

5. Ὡς ἐν ἐν παρεκβάσει ἔπαινον ἐνταῦθα ποιεῖ καὶ τῇ Δραουπαδῇ.

6. Δηλ. τὸ πρόσωπον τῆς Σελήνης οὐκ ἐφαίνετο ἡδὺ τοῖς νυκτερινοῖς λωτοῖς, ὡς τὸ τῆς Δραουπαδῆς.

81. Οὗτος μὲν δὴ ὁ ἄριστος ἐν τοῖς δικαίοις καὶ ἥρωσιν Ἰνδιστίρας, ἣν διδοὺς ἐν παντὶ τόπῳ δωρήματα τοῖς Βραχμᾶσι, καὶ εὐθύτητα πρὸς πάντας ἀνθρώπους δεικνύων. Προσκυνήσας δὲ καθεξῆς καὶ πάντας τοὺς ἁγίους τόπους, τοὺς ἐν τῷ βορείῳ μέρει, εἰσῆλθεν εἰς τὴν Σουβαχουπούραν.

Τέλος τοῦ Πρώτου Κεφαλαίου,

τοῦ Τρίτου Βιβλίου

τῆς

Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

ὃ διαλαμβάνει τὴν εἰς τὸν Ἰμαὸν ἀνάβασιν τῶν Πανδοϊδῶν.

1. Ὁ ὅσιος Βεάσας, ὁ ὢν ὡς κόρη τοῦ νοεροῦ ὀφθαλμοῦ τῶν ἀγαθῶν, δειξάτω τὸ πέρας τοῦ πελάγους τούτου τοῦ κόσμου.
2. Ὁ μὲν οὖν ἀνὴρ τῆς Γανδαρῆς [1], ἀκούσας παρὰ τοῦ Βεάσα τὰ περὶ τοὺς Πανδοΐδας, ἃ ἦσαν πικρὰ τῇ ἀκροάσει, διήνυεν ἐν λύπῃ ἐκείνας τὰς ἡμέρας.
3. Οἱ δὲ Πανδοΐδαι, ἀφέντες, ὡς ἔδει, τὰς ἁμάξας, ἀνέβησαν πεζοπορίᾳ εἰς τὸ ὄρος τὸν Ἰμαὸν, τὸν βασιλέα πάντων τῶν ὀρέων.
4. Ἐνταῦθα ὁ Λομάσσας ἔφησε πρὸς τὸν ἐκ Σελήνης ἔλκοντα

1. Ὁ Δρυταράστρας. — Τοῦτο τὸ Κεφάλαιον συγίσταται πολυειδέσι κατὰ τὸ μέτρον στίχοις.

τὸ γένος Ἰνδιστίραν, ἐπάραντα τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἰδόντα τὸ λαμπρὸν ἐκεῖνο μέγα ὄρος·

5. « Τοῦτο τὸ ὄρος, ὦ βασιλεῦ [1], βασιλεὺς τῶν ὀρέων πέφυ-» κεν. Ἐνταῦθα ὁ Πανδαῦς, ὁ σὸς πατὴρ, ἀφεὶς τὴν βασι-» λείαν, διέτριψεν ἐπὶ πολὺ, ἄνευ τοῦ θηρεύειν· οὗ ταῖς » λευκαῖς φήμαις, ταῖς ἐκ τῆς πολλῆς ἐγκρατείας, τὸ » σῶμα τούτου τοῦ ὄρους λευκὸν φαίνεται, ὡς ἡ Σελήνη.

6. « Πάντως γε παρὰ τούτου τοῦ ὄρους, τοῦ ἑαυτῶν γεννή-» τορος, πορισάμεναι ἐπαγωγούς τινας βοτάνας [2], ἡ μὲν » Γαουρὴ ἔλαβε τὸ ἥμισυ σῶμα τοῦ Σίβα, ἡ δὲ Γαγγὰ » ἔθετο τὸν πόδα αὐτῆς ἐπὶ τῆς κορυφῆς αὐτοῦ.

7. « Ἐπεὶ δὲ σὺ, ὦ βασιλεῦ, τυγχάνων παῖς, ἔπαιζες διὰ » πολλοῦ ἐπὶ τούτου τοῦ ὄρους, διὰ τοῦτο, κατακαιόμε-νόν πως τῇ διαζεύξει σου, ἐξήπλωσεν ἐπὶ τοῦ ἑαυτοῦ » σώματος ἄπειρον χιόνα.

8. « Ἡ Γαγγὰ, τοῖς μὲν ἐκ ῥίζης τούτου τοῦ ὄρους ἀνα-» βρύουσι ῥείθοις ῥέει εἰς τὸν καταχθόνιον κόσμον, τοῖς » δ' ἐκ μέσου, εἰς τὸν ἐπιχθόνιον, τοῖς δ' ἐκ κορυφῆς, εἰς » τὸν ὑπερχθόνιον.

9. « Τὰ ἐν τούτῳ τῷ ὄρει σπήλαια, ὦ βασιλεῦ, τὰ ὄντα » οἰκήματα εἰς ἀνάψυξιν τῶν ἀῤῥένων καὶ θηλέων Κιν-» ναρῶν, τῶν θλιβομένων ἐν τῷ θέρει περὶ τὴν μεσημ-» βρίαν ἐκ τῶν θερμῶν ἀκτίνων τοῦ Ἡλίου, χιόνος ἀνα-» ρίθμοις σταγόσιν ἀγλαΐζονται.

10. « Τοῦτο τὸ ὄρος, ὃ διὰ τὴν πολλὴν καρτερίαν [3], ἣν ἔχει

---

1. Ἐγκώμιον τοῦ ὄρους Ἰμαοῦ.

2. Μυθολογοῦσιν, ὡς καὶ ἐπαγωγοί τινές εἰσι βοτάναι, αἳ ἕλκουσι τὴν καρδίαν τοῦ ἐρωμένου ἢ τῆς ἐρωμένης.

3. Ἐγκαρτερεῖ γὰρ καὶ τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός.

» περὶ τὴν κακουχίαν, τοὺς ἐπιλέκτους θεοὺς ἀεὶ κατὰ
» τὴν κορυφὴν ἔχει, καὶ τὴν γῆν συνέχει, ὠρθώθη ἀπα-
» ραιτήτως, εἰς τὸ θεάσασθαι σὲ, ὡς φίλον.

11. « Ἐνταῦθα διάγουσιν ἡδέως αἱ ἐλαφόφθαλμοι θέαιναι
» μετὰ τῶν θεῶν τῶν συνεύνων, ἐν ἄλσεσιν οἰκοῦσαι, ἀ-
» γλαοῖς κοσμήμασι λαμπρυνόμεναι, καὶ τῇ λαμπρότητι
» ὑπερβάλλουσαι τὰς ἐκ χρυσοῦ καὶ πολυτίμων λίθων
» ἀκρωρείας.

12. « Ἐνταῦθα ἐν ἑνὶ καὶ τῷ αὐτῷ τόπῳ ὅ,τε λέων καὶ ὁ
» ἐλέφας συνδιάγουσι, μὴ δυνάμενοι ὁρᾶν ἀλλήλους ἐκ
» τῆς πολλῆς μαρμαρυγῆς, τῆς ἐκ τῶν πολυτίμων λίθων.
» Ταύτην μέντοι γε αἰτίαν οἱ ἄφρονες δοξαζέτωσαν· ἐγὼ
» δ' οἶδα αἰτίαν τὴν δύναμιν, τὴν ἐκ τῆς ἀσκήσεως τῶν
» μεγάλων ἀσκητῶν.

13. « Τοῦτο τὸ μέγα ὄρος, τὸ ποτάμια, ὕδατά τε καὶ λίμνας
» πολλὰς ἔχον, πολλοὺς ἔχει θεοὺς, συναθύροντάς τε καὶ
» συνηδομένους ταῖς αὐτῶν συζύγοις.

14. « Ἐκ μέσου [1] τούτου τοῦ ὄρους ποταμοὶ ἐξερχόμενοι πί-
» πτουσι πρὸ τῶν ποδῶν αὐτοῦ, ὡς θυγατέρες [2]· φέρον-
» τες δὲ πολλὰς πολυτίμους λίθους, ὡς κοσμήματα δο-
» θέντα παρ' αὐτοῦ τοῦ ὄρους, ὡς παρὰ πατρὸς, πορεύον-
» ται μετὰ πολλῆς τῆς σπουδῆς πρὸς τὸν ἄνδρα ἑαυτῶν
» Ὠκεανόν.

15. « Τὸ ὄρος τοῦτο ἐν μὲν τῇ ἡμέρᾳ, ὅτε ὁ Ἥλιος περιέρχε-
» ται σκοπῶν, διαφυλάττει ἐντὸς τῶν σπηλαίων τὸ κα-
» ταφυγὸν σκότος, τὸ πολέμιον τῷ κόσμῳ· ἐν δὲ τῇ νυ-

---

1. Αὐτολεξεί· ἐκ τῆς ἀγκάλης.

2. Ὡς αἱ θυγατέρες ἐξερχόμεναι τοῦ οἴκου πρὸς τὸν ἄνδρα, πίπτουσι πρὸ τῶν ποδῶν τοῦ πατρὸς, πολλὰ κοσμήματα φέρουσαι.

» κτι, ὅτε ὁ Ἥλιος ἀπέρχεται, ἀποπέμπει αὐτὸ, λάμπον
» ταῖς λαμπραῖς βοτάναις.

16. « Τοῦτο τὸ ὄρος γάννυται, ὡς τὸ ὄρος ἡ Μερόη, βαστά-
» ζον τὴν γῆν πᾶσαν, καὶ ἡδὺν ἀέρα ἔχον καὶ Σάνδανα
» πολλὰ μετ' ὄφεων ἐμφωλευόντων, καὶ ἄλλα τοιαῦτα
» δένδρα.

17. « Ἐνταῦθα ἐντὸς τῶν ἄλσεων, ἃ ἡδέα ἐστὶν ἡδέσι δέν-
» δροις, οἱ θεοὶ ταῖς θεαίναις συνδιατρίβουσι, ἐρυθραινό-
» μενοι τῇ τῶν ἐρυθρῶν λίθων θαυμαστῇ μαρμαρυγῇ.

18. « Τοῦτο τὸ ἄλσος ἀγλαΐζεται, ὡς ἡ Μερόη, περικεκα-
» λυμμένη ἄστρασιν [1], ἔχον κατεστρωμένους μαργαρίτας
» πολλοὺς, ἐξελθόντας ἐκ τῶν διαῤῥαγέντων καλάμων ταῖς
» προβοσκίσι τῶν ἀγρίων ἐλεφάντων, καὶ ξανθὸν ὂν τῇ
» κόνιϊ τῶν ἐν λιμῶσιν ἀνθέων [2].

19. « Καὶ ὁ λέων ἐνταῦθα οὐκ ἀναιρεῖ τὸ γένος τῶν ἐλεφάν-
» των, μέγα βοώντων, ἐγγὺς ὄντων, καὶ μὴ φοβουμένων,
» ἀποκαμὼν τὸ σῶμα διὰ τοῦ κρούειν τὰ δένδρα καὶ τοὺς
» λίθους, νομίζων ἐλέφαντας τὰ βροντῶντα μέλανα νέφη [3].

20. « Ὁ ὠκεανὸς ταμεῖον πολυτίμων λίθων ἐγένετο καὶ μέ-
» λας ἐκ τῶν ῥείθρων τῶν ποταμῶν τούτου τοῦ ὄρους,
» μιγνυμένων τῷ πολλῷ μόσκῳ [4], καὶ τοῖς πολυτίμοις
» λίθοις, τοῖς ἐξαγομένοις ἐκ τῶν λίθων τοῦ ὄρους, διαῤ-
» ῥηγνυμένων ταῖς πληγαῖς τῶν μεγάλων ὀδόντων τῶν
» ἐλεφάντων.

---

1. Μυθολογοῦσιν, ὡς ἐπὶ τῆς κορυφῆς τῆς Μερόης ὁ ἀστερόεις ἐστὶν οὐρανός.

2. Ξανθόν ἐστι καὶ τὸ ὄρος ἡ Μερόη, ὡς ὂν χρυσοῦν.

3. Τὰ βροντῶντα μέλανα νέφη, τὰ προσπελάζοντα τῷ ὄρει, ἐνόμιζεν ὁ λέων ἐλέφαντας βοῶντας· ἀλλ' ἀντὶ τοῦ κρούειν τὰ νέφη, ἔκρουε τὰ δένδρα καὶ τοὺς λίθους, καὶ διὰ τοῦτο ἦν ἀποκαμών.

4. Μέλας ἐστὶν ὁ μόσκος.

21. « Πῦρ ἐστιν ἐν τῷ αἰθέρι, ὡς ἐν πελάγει, συμπεραινόμε-
» νον τοῖς κινουμένοις πυκνοῖς καὶ μέλασι νέφεσιν, ὡς
» καπνῷ, ταῖς τε ἐκ πολυτίμων λίθων λαμπράτησιν, ὡς
» φλοξί, καὶ τοῖς ξανθοπτέροις ὄρνισιν, ὡς σπινθῆρσιν.

22. « Ἐν τούτῳ τῷ ὄρει, ὅ ἐστιν ὡς μέγα στρατόπεδον, οἱ
» μὲν ὑψηλοὶ λόφοι καὶ ὄχθοι, ὡς ἄνδρες γενναῖοί εἰσιν,
» ἔχοντες σκιάδια ἐπὶ κορυφῆς, ἅ ἐστι τὰ ἱστάμενα δέν-
» δρα, καὶ ξίφη πάλλοντες, ἅ ἐστιν οἱ ἕρποντες ὄφεις.

23. « Τοῦτο τὸ ὄρος ἀγλαΐζεται, ἔχον ἐν ἑαυτῷ πᾶν ὅ,τι ὁ
» τριττὸς κόσμος ἔχει, θεοὺς δηλονότι, καὶ βόας, καὶ λέον-
» τας, καὶ δράκοντας [1].

24. « Τοῦ αἰθέρος ὄντος κυανοῦ ἐκ τῶν μαρμαρυγῶν τῶν
» σαπφείρων, καὶ ῥανίδων ὕδατος τῶν πιδάκων, πιπτου-
» σῶν ἐκ τοῦ σφοδροῦ ἀέρος, οἱ μὲν ταῶνες [2] χορεύουσιν
» ἀεὶ χαρᾷ ἐν τοῖς ἄλσεσι τούτου τοῦ ὄρους, νομίζοντες
» βροχὴν, οἱ δὲ Σατάκαι [3] ἀγάλλονται.

25. « Τοῦτο τὸ ὄρος, ἀναφύσαν τῷ χρόνῳ νέας πτέρυγας [4],
» αἵ εἰσι τὰ νέφη, ὥςπερ νικῆσαν τὸν ἐχθρὸν ἑαυτοῦ Ἴν-
» δραν, ἐλαφυραγώγησε τὰ δύω τούτου ὅπλα, τήν τε Ἶριν,
» ἥ ἐστιν ἡ μαρμαρυγὴ τῶν ἐπὶ τῆς κορυφῆς αὐτοῦ πολυει-
» δῶν λαμπρῶν λίθων, καὶ τὸν κεραυνὸν, ὅς ἐστιν ἡ ὑπερ-
» αυγάζουσα ἀστραπή [5].

---

1. Οὗτος ὁ στίχος πολύσημός ἐστι καὶ γρίφος. Χαρὴς γὰρ λέγεται καὶ ὁ ὄφις, καὶ ὁ λέων, καὶ ὁ Ἴνδρας, καὶ ὁ Βισνοῦς.

2. Οἱ ταῶνες βλέποντες νέφη, καὶ οἱ Σατάκαι, λίαν ἀγάλλονται.

3. Ὄρνεόν εἶδος, περὶ τὸν καρὸν τῶν ὄμβρων λίαν ἀγαλλομένου, ὡς ἐπιθυμοῦντος πίνειν ὄμβριμον ὕδωρ.

4. Μυθολογοῦσιν, ὡς τὰ ὄρη πρότερον εἶχον πτερὰ, ἅπερ ὁ Ἴνδρας ἔκοψε διὰ τοῦ κεραυνοῦ.

5. Τὸ τόξον τοῦ Ἴνδρα ἡ Ἶρις ἐστὶν, βέλος δὲ ὁ κεραυνός.

26. «Τοῦ μὲν λαμπροῦ Ἡλίου ἀνατέλλοντος, τῆς δὲ Σελήνης
» δυούσης περὶ τὴν ἕω, τὸ ὄρος τοῦτο, λαμπρυνόμενον
» ταῖς ἀκτίσιν ἀμφοτέρων, ὁμοιόν ἐστι τῷ Σίβᾳ, τῷ δόν-
» τι τὸ ἥμισυ τοῦ ἑαυτοῦ σώματος τῇ Παρβατῇ, ἔχον ἐκ
» μὲν τοῦ ἑνὸς μέρους τὸν Ἥλιον, ὡς χρυσοῦν ἐνώτιον, ἐκ
» δὲ θατέρου τὴν Σελήνην, ὡς κρανίον [1].

27. «Νῦν τοῦτο τὸ ὄρος καλεῖ τοῖς σαλευομένοις κλάδοις τῶν
» δένδρων, ὡς δακτύλοις χειρῶν, σὲ τὸν προσερχόμενον·
» διότι ἐξ αἰτίας τῆς ἀσκήσεως τοῦ σοῦ ἀδελφοῦ εἶδε πε-
» ριχαρῶς τὸν ἑαυτοῦ γαμβρὸν [2] μετὰ πολὺν χρόνον.»

28. Τοιούτοις λόγοις τοῦ Λομάσσα καὶ ἄλλων, ἐπιθυμῶν θεάσασθαι τὸ ὄρος ἐκεῖνο ὁ βασιλεὺς, ἀνέβαινεν εὐθέως, βαδίσματι χρώμενος τοιούτῳ [3], οὗ μιμητικοὶ ἐγένοντο ἐξ ἐκείνου οἱ χῆνες.

29. Ἀνέβαινε δ' ἐκεῖνο τὸ ὄρος ὁ βασιλεὺς σὺν ἄλλοις ὁμοῦ δι' ὁδοῦ, ἧς τὰ ἀνώμαλα μέρη ἐξωμαλίζοντο τοῖς πατήμασι τῶν ποδῶν τοῦ προπορευομένου Βήμα.

30. Οὗτοι μὲν οὖν πορευόμενοι διὰ τοῦ Γανδαμανδάνου δάσους, ἀπέβαλον τὴν ἐκ τοῦ σφοδροῦ ἀέρος καὶ κόνιος καὶ βροχῆς ταλαιπωρίαν (θλῖψιν), τῇ πρὸς τὸν Θεὸν θεωρίᾳ καὶ καθαρᾷ καρδίᾳ.

31. Τῶν μέντοι γε Βραχμάνων ταλαιπωρουμένων καθ' ὁδὸν, καὶ τῆς Δραουπαδῆς κρατουμένης ὑπὸ τοῦ Νακούλα, κινδυνευούσης πεσεῖν, ἐμνήσθη ὁ Βήμας τοῦ γενναίου Γατοτκάσα, ὃς καὶ παρέστη εὐθέως.

---

1. Λευκὸν γὰρ τὸ κρανίον, καθὸ ὀστοῦν, ὡς καὶ ἡ Σελήνη· ὁ δ' Ἥλιος ἐρυθρὸς, ὡς ὁ χρυσός.

2. Τὸν Σίβαν δηλ. — Ἡ Παρβατὴ, ἡ παράκοιτις τοῦ Σίβα, θυγάτηρ ἐστὶ τοῦ Ἰμαοῦ.

3. Δηλ. σχολαίῳ.

32. Ἀναληφθέντες δ' οὗτοι ἐπ' ὤμων ὑπὸ τῶν ἀκολούθων τοῦ Γατοτκάσα, ἀφίκοντο δι' ὁδοῦ, δειχθείσης ὑπὸ τοῦ προπορευομένου Λομάσσα ἐν αἰθέρι, εἰς τὴν κορυφὴν τοῦ Ἰμαοῦ, κατὰ τὸ δάσος Βαδαρὴν, ὥσπερ ἀστραπαὶ συμπεριπεπλεγμέναι νέφεσιν [1].

33. Ἡ δὲ Γαγγὰ εὐδαίμονα ἑαυτὴν ἐνόμισεν, ὅτι ἐλούσατο ἐν αὐτῇ ἡ Κρισνὰ, ἡ σώρρων, καὶ μηδεμίαν διαφορὰν νομίζουσα τοῦ πόνου καὶ τῆς ἀνέσεως, χάριν τῶν ἑαυτῆς ἀνδρῶν.

34. Κατὰ δὲ τὴν ἑβδόμην ἡμέραν εἶδεν αὕτη ἡ Κρισνὰ ἕνα χρυσοῦν λωτὸν, ὅμοιον τῷ ἑαυτῆς προσώπῳ, ἐν τῇ ὑπωρείᾳ τοῦ ὄρους Καϊλάσα, ἐνεχθέντα ὑπὸ τοῦ βορείου ἀέρος, πνέοντος μέσον τοῦ βορείου καὶ ἑώου μέρους.

35. Ἐνταῦθα κοσμηθεῖσα τοῖς λωτοῖς, τοῖς ἐν τῇ λίμνῃ Βινδοῦ, χαίρουσα ἔβλεπεν ἑαυτὴν, ὡς ἐν κατόπτρῳ, ἐν τοῖς λαμπροῖς λίθοις τοῦ ὄρους Καϊλάσα.

36. Παρακληθεὶς δ' ὁ Βήμας ὑπ' αὐτῆς, ἐνεγκεῖν αὐτῇ τοιούτους χρυσοῦς λωτοὺς, ἐπορεύθη πρὸς τὸν Ἀέρα, εἰς προσκύνησιν αὐτοῦ, ὡς πατρός.

37. Ἀναβὰς δὲ τὸ Γανδαμάνδανον ὄρος, ἐξερεύξατο φωνὴν μετὰ τῆς κόγχου [2], καταπλήξασαν τὸν ἐλέφαντα ἐκείνου τοῦ μέρους, καὶ εἰς ἔκστασιν βαλὼν τοὺς Γανδάρβας καὶ Γουχέκας.

38. Ἐξεγερθεὶς δὲ, ἐξέστη λίαν καὶ ὁ Χανουμὰν ἐκ ταύτης τῆς φωνῆς, οἰκῶν ἐκεῖ που πλησίον ἐν ἄλσει, ἔχοντι χρυσᾶς Ῥαμβάς [3].

---

1. Τούτους μὲν ποιεῖ ἐρυθροὺς, ὁμοίους τῇ ἀστραπῇ, τοὺς δὲ Τιτᾶνας μέλανας, ὁμοίους τοῖς νέφεσι.

2. Δηλ. καὶ φωνὴν ἐξηρεύξατο, καὶ τὴν κόγχον ἐφύσησε.

3. Ῥαμβὰ, εἶδος φυτοῦ καρποφόρου· λέγεται καὶ Καδαλή.

39. Πλήττων δὲ τὸ ὄρος διὰ τῆς οὐρᾶς αὐτοῦ, ἀνεμίμνησκεν αὐτὸ τοῦ πίπτοντος κεραυνοῦ, καὶ τρέμειν ποιῶν διὰ τοῦ πατάγου τοὺς ἐν οὐρανῷ δαίμονας, τόν τε Σαγκουκαρνᾶν, καὶ ἄλλους [1], ἀνέστη.

40. Γνοὺς δ' ὁ Χανουμὰν τῷ νοΐ [2] ἐρχόμενον τὸν ἀδελφὸν αὐτοῦ, ἐξετάθη ἐν στενῇ ὁδῷ, ὥςπερ κοιμώμενος, εἰς τὸ ἀγαθοποιῆσαι αὐτόν.

41. Ὁ δὲ Βήμας ἀπέβαλε τὸν ἐκ τῆς ὁδοιπορίας πόνον, πιὼν ὕδωρ, καὶ λουσάμενος, ὡς ἐλέφας, ἔν τινί που λίμνῃ παρὰ τὴν ὁδὸν, τὴν ἄγουσαν εἰς τὸ ἄλσος τῶν χρυσῶν Ῥαμβῶν.

42. Ἐλθὼν δὲ προσωτέρω, εἶδε τοῦτον τὸν μέγαν πίθηκα, ἀποκλείσαντα τὴν μεγάλην ὁδὸν, ὃς ἐφαίνετο ὡς ἡ Μερόη [3], τὸ χρυσοῦν ὄρος, ἐλθὼν εἰς προσκύνησιν τοῦ Ἰμαοῦ, τοῦ βασιλέως τῶν ὀρέων.

43. Ἵνα οὖν ἀποστῇ τῆς ὁδοῦ ὁ πίθηξ ἐκεῖνος, ὁ Βήμας κραυγάζων, ὑπόδρα βλέπων, πηδῶν καὶ θορυβῶν, εἰς φόβον ἤγαγε πάντα τὰ κατὰ τὸ ὄρος ζῶα.

44. Ὑπανοίξας δὲ τοὺς ὀφθαλμοὺς ὁ πίθηξ, καὶ ἀνεγείρας μικρόν τι τὸν τράχηλον αὐτοῦ, ἔφη ἡσύχως ἀνθρωπείᾳ φωνῇ·

45. «Τὸ μὲν εἶδός σου μεγάλου ἐστὶν ἀνδρὸς, τὸ δ' ἔργον
» σου οὐτιδανοῦ· ματαίως γὰρ θλίψιν ποιεῖς τοῖς ζώοις
» διὰ τῶν κραυγῶν.

46. «Ὦ μωρὲ, τί μέγα καλὸν ἐποίησας, ἐξυπνήσας ἐμὲ, ὃς
» διὰ τοῦ καλοῦ ὕπνου ἀπηλλατόμην μεγάλης ἀσθενείας;

47. «Διὰ τί ἐλήλυθας ἐνθάδε; σὺ μὲν γὰρ τῶν θνητῶν εἶ·
» ὁ δὲ τόπος οὗτος τῶν ἀθανάτων. Ἐπανάκαμψον, ἵνα
» κἀγὼ ἡδέως ὑπνώσω, καὶ τὰ ζῶα ἡδέως διάγωσιν.»

---

1. Οὗτοι φονευθέντες ὑπ' αὐτοῦ πρότερον, ἐπορεύθησαν εἰς οὐρανόν.
2. Καθὸ καὶ οὗτος ἀερογέννητος.
3. Ἐρυθρὸς ἦν ὁ Χανουμὰν, ὡς ὁ χρυσὸς, καὶ μέγας, ὡς ὄρος.

48. Ὁ δὲ τῶν ἐχθρῶν ὀλέτωρ Βήμας, δηλώσας τῷ πίθηκι τὸ ἑαυτοῦ γένος καὶ τὸ πρακτέον, ἠτήσατο παρ' αὐτοῦ πάροδον.

49. Ὁ δ' ἔφη πρὸς αὐτόν· «Εἰ οὐχ ὑπερπηδᾷς ἐμέ, διότι » πνοὴν ἔχω [1], μεταθεὶς τὴν ἐμὴν οὐράν, διάβηθι· ἐγὼ » γὰρ ἀσθενὴς ὢν, οὐ δύναμαι κινηθῆναι.»

50. Ἐννοήσας οὖν ὁ Βήμας, ὡς οὐ δεῖ ὑπερπηδᾷν ἔμψυχόν τι, ἁψάμενος τῆς οὐρᾶς αὐτοῦ, ἠβούλετο αὐτὴν μεταθεῖναι, ἵν ἐκεῖθεν διαβῇ.

51. Μεταθεῖναι δ' αὐτὴν μὴ δυνάμενος, περιέστρεφε τοὺς ὀφθαλμοὺς ἔνθα καὶ ἔνθα, μήπου ὁράθῃ ὑπό τινος. Πρὸς ὃν ἔφη ὁ πίθηξ·

52. «Μὴ αἰσχύνου, ὦ υἱὲ τοῦ Ἀέρος· ἐγὼ γὰρ πρεσβύτερός » εἰμί σου ἀδελφός· ἐγώ εἰμι ὁ θεράπων τοῦ Ῥάμα· ἦλθον » δ' ἐνθάδε εἰς σὴν θέαν.»

53. Γανωθεὶς δὲ τὴν καρδίαν ὁ Βήμας ἐκ ταύτης τῆς χαροποιᾶς ἀγγελίας, θεὶς τὰς χεῖρας ἐπὶ τῆς κεφαλῆς ἑαυτοῦ, λόγον ἔλεξε τοιοῦτον·

54. «Καί τοι, Κύριε, εἶδόν σε μικρὸν τὸ σῶμα, εὐφράθην· » ὑπερεύφρανόν με, λαβὼν τὸ ἐλαφρὸν καὶ μέγα ἐκεῖνο » σῶμα, ὅτε τὸν Ὠκεανὸν ἀνεπήδησας [2].»

55. Τότε ὁ Βήμας εἶδεν ἀφόβῳ καρδίᾳ τὸ σῶμα τοῦ ἀδελφοῦ ὑπέρμεγα, ἀόριστον, ἔχον τὰς μὲν τρίχας ὑπερμεγέθεις, ὡς ὄρη, ἐπὶ δὲ τοῦ λαιμοῦ, ὡς ἀδάμαντα, τὸν Ἥλιον [3], ἐπὶ δὲ τοῦ μετώπου, ὡς χρίσμα, τὸ λαμπρὸν στέμμα τοῦ Ἴνδρα [4], ὃ σῶμα καὶ οἱ θεοὶ καὶ οἱ δαίμο-

---

1. Ἀπηγορευμένον ἐστὶ διασκελίζειν ἔμψυχόν τι.

2. Δηλ. πηδήσας διέβης εἰς τὴν Ταπροβάνην.

3. Δηλ. ὁ ἥλιος ἐπὶ τοῦ λαιμοῦ ἐφαίνετο· ὑψηλότερος δηλ. καὶ τοῦ Ἡλίου ἦν.

4. Ὑψηλότερος δηλ. ἦν καὶ τοῦ Ἴνδρα.

νες ἐφοβοῦντο, ὡς τὸ τῆς συντελείας ἀκάματον πῦρ.

56. Οὗτος, τῇ μὲν διὰ τῶν μυκτήρων εἰσπνοῇ καὶ ἐκπνοῇ εἰσβάλλων τὰ δένδρα εἰς τὴν κοιλίαν καὶ ἐκβάλλων· τῇ δὲ διὰ τοῦ στόματος εἰσπνοῇ καὶ ἐκπνοῇ ἀνασπῶν καὶ κατασπῶν τὴν γῆν, καὶ καταθλίβων οὕτω τὸν γεοῦχον Δράκοντα, καὶ πληρῶν τοὺς ἑπτὰ κόσμους, εἰς οὐδὲν ἐλογίζετο τὸν Ὠκεανὸν [1], ὃς ἦν ὡς μία ῥανὶς τοῦ ἰδρῶτος, τοῦ ἐκῤῥέοντος ἐκ τοῦ στήθους αὐτοῦ . . . Τί εἴπω [2];

57. Ἐγὼ νομίζω ὡς τότε τῇ μὲν πληγῇ τῆς οὐρᾶς αὐτοῦ διαῤῥαγεῖσα ἡ γῆ, ἐξέῤῥευσεν ὕδατα, ἐξ ὧν συνέστησαν οἱ ποταμοί· τῇ δὲ ἀναπνοῇ αὐτοῦ, ἀναβρασθέντων τῶν ὑδάτων τοῦ Ὠκεανοῦ, συνέστησαν αἱ ἑπτὰ θάλασσαι· τῇ δὲ φωνῇ αὐτοῦ, διαῤῥαγέντων τῶν ὀρέων, ἀνεφάνησαν τὰ σπήλαια· ταῖς δὲ πρὸς οὐρανὸν νύξεσι τῶν ἄκρων τῶν τριχῶν αὐτοῦ ἐγένοντο ὀπαί, αἵ εἰσι τὰ ἄστρα.

58. Ἰδὼν δ' ὁ Ἥλιος τότε τὴν σκιὰν τοῦ ἑαυτοῦ σώματος ἐκταθεῖσαν ὀπίσω τοῦ ἅρματος [3] ἐκ τῆς ὑπερφυοῦς λαμπρότητος τοῦ Χανουμᾶνος, φοβηθεὶς μήπου ὁ Ῥαχοῦς εἴη, ἐγελάσθη [4] ὑπὸ τῆς μακρὰν οὔσης Σελήνης σὺν τοῖς ἄστρασιν [5];

59. Οὕτως ἠγλαΐσθη εἰς χαρὰν τῶν ἀγαθῶν ὁ μέγας πίθηξ καὶ παρθένος [6], ὃς ἐποίησε πέντε ἐνθέσεις τὸν αἰθέρα διὰ

---

1. Δηλ. οὐδὲν ἦν ὁ Ὠκεανὸς ὡς πρὸς αὐτὸν, ὑπέρτερος ἦν καὶ τοῦ Ὠκεανοῦ.

2. Ἀπορεῖ ὁ ποιητής.

3. Ὄπισθεν τοῦ ἅρματος τοῦ ἡλίου σκότος γίνεται· τότε δὲ φῶς ἐγενετο ἐκ τῆς λάμψεως τοῦ Χανουμᾶνος.

4. Ἐγέλασεν ἡ Σελήνη, ὅτι ματαίως ἐφοβήθη ὁ Ἥλιος.

5. Ἀκόλουθοι τῆς Σελήνης ἐννοοῦνται τὰ ἄστρα, ὡς γυναῖκες.

6. Παρθένος λέγει, διότι οὐχ ὑπὸ γάμον ἐγένετο.

τῶν ὀπῶν τῶν ὤτων, τῆς ῥινὸς, καὶ τοῦ στόματος [1].

60. «Ἀλλ' ὦ ἄριστε τῶν ἐκ γένους πιθήκων, ἔφη ὁ Βήμας, » ἐθεωρήθη ὑπ' ἐμοῦ ἡ ἀξιοθεάτός σου μορφὴ, ἧς εἰς ἔκ- » τρανωσιν καὶ ἡ γλῶσσα τῶν σοφῶν φαίνεται ἀδρανής.

61. «Σὺ ὁ ὢν ἑνδέκατος Ῥούδρας [2], καὶ ἔχων ὡς οἶκον τὸν » αἰθέρα [3], καὶ ὡς σημαίαν τὴν οὐρανίαν Γαγγὰν [4], ἄφες » ταύτην τὴν μορφὴν [5], καὶ εἴσδυθι τὴν καρδίαν τῶν » ἀγαθῶν.»

62. Λαβὼν δ' ὁ Χανουμὰν παραυτίκα σῶμα μικρὸν, ἐνηγκαλίσατο τὸν Βήμαν, τοιαῦτα εἰρηκότα, καὶ κατεφίλησε τὴν κορυφὴν αὐτοῦ, χέων χαρᾶς δάκρυα.

63. Καὶ, «ὦ Βήμα, ἔφη, σὺ εἶδες τὴν ἐμὴν μορφὴν, μηδα- » μῶς φοβηθεὶς, ἣν καὶ ὁ Ἴνδρας ἰδὼν, ἐφοβήθη· ὅθεν » ἐγὼ χαίρων, νομίζω ἐμαυτὸν κατώτερον τῆς σῆς στα- » θερότητος.

64. «Ἀπὸ τοῦ νῦν ἡ σὴ λεοντεία φωνὴ, ἐνωθεῖσα τῇ ἐμῇ, » θανάσιμος ἔσται τοῖς ἐχθροῖς, καθὼς τὸ βέλος, τὸ βε- » βαμμένον φαρμάκῳ.»

65. Τοιαῦτα φαμένου τοῦ Χανουμᾶνος καὶ γενομένου ἀφάντου, τῷ Βήμᾳ τότε καὶ χαρὰ, καὶ λύπη ὁμοῦ ἐγένετο.

66. Ἐντεῦθεν ἐπορεύθη ὁ ὀξύνους Βήμας εἰς τὸ ἄλσος, ᾧ ὄνομα Σαουγανδικὰ, οὗ ἐν τῇ γῇ ἦσαν Ῥαμβαὶ χρυσαῖ, ἐν δὲ τοῖς ποταμοῖς λωτοὶ χρυσοῖ.

67. Ἐνταῦθα εἶδε χρυσοῦς λωτοὺς, φυλαττομένους ὑπὸ δαι-

---

1. Κατέπιε πάντα τὸν αἰθέρα. Ὁ μέγας αἰθὴρ δηλονότι οὐδὲν ὡς πρὸς αὐτόν.

2. Ἕνδεκα Ῥούδραι εἰσί.

3. Ὡς οἶκον ἔχει τὸν αἰθέρα, τουτέστιν ὁ οὐρανομήκης, ὁ τὸ πᾶν πληρῶν.

4. Εἰώθασιν ἐπὶ τοῦ οἴκου σημαίαν τιθέναι.

5. Τοιαύτην φοβερὰν μορφὴν λαμβάνει ὁ Σίβας, ὅτε τὸ πᾶν ἀπόλλυσι.

μόνων, ἐν ποταμῷ ῥέοντι ἐξ ἄλσους ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ Κουβέρα.

68. Ἰδὼν δὲ τοὺς χρυσοῦς λωτοὺς, τοὺς ὄντας ὁμοίους τῷ λωτίῳ προσώπῳ τῆς Δραουπαδῆς, ἐχάρη σφόδρα, ὡς πληρώσας τὴν ἐπιθυμίαν τῆς ἠγαπημένης.

69. Οὗτος μὲν οὖν, ὁ ὢν δυνατὸς ἀνελεῖν τοὺς φύλακας δαίμονας, ἥψατο φρικώδει χειρὶ λωτοῦ χρυσοῦ, οὗ ἔμελλεν ἅπτεσθαι χειρὶ ἡ Δραουπαδή.

70. Περιεκυκλώθη [1] δ' εὐθέως, ὡς ὑπὸ κωνώπων ὁ ἐλέφας, ὑπ' ἀθρόων δαιμόνων, οἳ ἦσαν οὐρανομήκεις, καὶ ὀργῆς πλήρεις.

71. Ὁ δὲ περιέφερεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ὡς τροχὸν, ταχυφερῆ καὶ ὀξυφερῆ τὴν μεγάλην κορύνην, φόβον ποιοῦσαν τοῖς δαίμοσιν.

72. Οἱ δὲ δαίμονες ἔῤῥιπτον κατ' αὐτοῦ, ἀναχωροῦντος, λίθους βροχηδὸν, οἳ ἔπιπτον ἐπ' αὐτὸν, καθὼς οἱ λωτοὶ, οἱ ῥιπτόμενοι ὑπὸ παιζουσῶν γυναικῶν.

73. Πολλῶν δὲ σημείων γεγενημένων ἀπαισίων, παρεγένετο ἐνταῦθα ὁ Ἰνδιστίρας σὺν πᾶσι τοῖς οἰκείοις, δι' ὁδοῦ, δειχθείσης ὑπὸ τοῦ Βεάσα, φερόμενος ὑπὸ τοῦ Γατοτκάσα.

74. Καταπραΰνας δὲ τοὺς πολεμίους δαίμονας ὁ βασιλεὺς, ἀγκαλισάμενος τὸν Βήμαν, ἐποίησεν αὐτὸν ἄπο τοῦ θερμοῦ [2], καθὼς τὸ νέφος τὸν Ἥλιον.

75. Ἡσθέντες δ' οὗτοι οἱ περὶ τὸν Ἰνδιστίραν τῷ ἡδεῖ καὶ καλῷ ἄλσει τῶν χρυσῶν Ῥαμβῶν, ἔμειναν ἐκεῖ, μὴ προτιμῶντες ἐκείνου μηδὲ τὴν βασιλικὴν δόξαν.

76. Δαίμων δέ τις, Ζατασούρας τοὔνομα, προσελθὼν αὐτοῖς,

---

1. Αὐτολεξεὶ, ἐπεσχέθη.

2. Κατέψυξεν αὐτὸν ἀγκαλισάμενος.

λέγων ἑαυτὸν μαθητὴν τοῦ Ἡλίου, πλοκάμους ἔχων, καὶ σχῆμα Βραχμᾶνος, ἔμεινεν ἐνταῦθα δολοφρονῶν.

77. Καί ποτε, τοῦ Βήμα ἀπελθόντος εἰς θήραν μετὰ τοῦ Γατοτκάσα, τὸ σῶμα τοῦ περὶ τὸν Ἰνδιστίραν στρατοῦ ἐφαίνετο ἄνευ δύω βραχιόνων.

78. Ἀπόντος οὖν τοῦ θυμοειδοῦς Βήμα, ὁ Ζατασούρας τότε ἥρπαξε τοὺς Πανδοΐδας μετὰ τῆς Κρισνᾶς, προαφελὼν αὐτῶν τὰ ὅπλα μαγείᾳ.

79. Διακωλυθέντα δὲ ἀπὸ τῆς πορείας ὑπὸ τοῦ Ἰνδιστίρα, καὶ διαταραχθέντα ὑπό τε τοῦ Σαχαδέβα καὶ Νακούλα, ἐπιστὰς ὁ Βήμας, ἐποίησεν αὐτὸν εὐθέως ὁδοιπόρον εἰς τὴν πόλιν τοῦ Ἰάμα [1].

80. Πορευθέντες δ' ἔπειτα οὗτοι εἰς τὴν μονὴν τοῦ Νάρα καὶ Ναραϊάνα, διέτριψαν ἐκεῖ τέσσαρα ἔτη, τοιαύτην διομολογίαν λαβόντες παρὰ τοῦ Ἀρζούνα [2].

81. Ἐκεῖθεν δ' ἐπορεύθησαν εἰς τὴν μονὴν τοῦ μεγάλου ἡσυχαστοῦ Βρισσαπάρβα, ἔνθα ὁ λέων ξύει τοῖς ὄνυξι τὴν ψώραν, τὴν ἐν τῷ λαιμῷ τῆς ἐλάφου.

82. Ἐνταῦθα δεξιωθεὶς ὁ Ἰνδιστίρας ὑπὸ τοῦ Βρισσαπάρβα, καὶ ἑπτὰ μείνας ἡμέρας, ἐπορεύθη ἐν τῷ τέλει τῆς χειμερινῆς ὥρας κατὰ τὸ βορειότερον μέρος, καθὼς καὶ ὁ Ἥλιος.

83. Κἄπειτα ἀνέβη μετὰ τέσσαρας ἡμέρας τὸ λευκὸν ὄρος, τὸ ὂν λαμπρὸν, καθὼς ἡ ἐπιθυμία τῆς ἐντεύξεως τοῦ Ἀρζούνα.

84. Ἐντεῦθεν δ' ἐπορεύθησαν οἱ περὶ τὸν Ἰνδιστίραν εἰς τὸ ὄρος Γανδαμάδανον [3], τὸ ὂν ἐνδοξότερον τῆς Μερόης, ὡς

---

1. Ἐξαπέστειλεν αὐτὸν εἰς τὸν τοῦ Ἅδου, δηλ. ἐφόνευσεν αὐτόν.

2. Αὐτολεξεὶ, Λευκίππου, παρὰ τοῦ Ἀρζούνα δηλ.

3. Ὅ ἐστι, τὸ θέλγον ἐξ εὐωδίας.

κατοικούμενον ὑπὸ τοῦ Σίβα, ἡσθέντος, ὅτε ἔγημε τὴν Γαουρήν [1].

85. Ἔνθα καὶ ἔμειναν παρὰ τῇ μονῇ τοῦ μεγάλου ὁσίου Ἀρστισένα, ἐν ᾗ ἡ ἀπορία τῶν ἀναγινωσκόντων παίδων διελύετο ὑπὸ τοῦ λαλοῦντος ψιττακοῦ.

86. Ἡ μὲν οὖν Κρισνὰ, ἐρασθεῖσα ἀνθέων πενταχρόων, φερομένων ὑπὸ τοῦ ἀέρος, ἔπεμψε τὸν Βήμαν εἰς κομιδὴν αὐτῶν.

87. Ὁ δὲ, ἀναβὰς ἐπὶ τὸ ὕψος τοῦ ὄρους, καὶ ἰδὼν ἀπέναντι τὴν Ἀλακὰν [2] πόλιν, ἐφώνησε φωνὴν μεγάλην, ἣ ἀνετάραξε τὸ ὕδωρ τοῦ ὠκεανοῦ· μετὰ δὲ ἐνεφύσησε τῇ κόγχῳ.

88. Τότε τὸ πρόσωπον τούτου, τὸ ἔχον πρὸς τῷ στόματι τὴν κόγχον, ἠγλαΐζετο, ὡς ὁ λωτὸς, ἔχων παρ' ἑαυτῷ χῆνα.

89. Ἐκ δὲ τῆς μεγάλης καὶ βροντοειδοῦς φωνῆς τῆς κόγχου, αἵ τε ἑκκαίδεκα μοῖραι τῆς Σελήνης διηρέθησαν, καὶ τὰ ἄστρα διερράγησαν, καὶ οἱ ἵπποι τοῦ Ἡλίου ἐφοβήθησαν.

90. Τὰ δὲ σπήλαια, τὰ ἐν τοῖς ὄρεσιν, ἠχὼ μεγάλην ἐποίουν, καὶ οὐδεὶς διέκρινε, ποῦ αὕτη ἡ φωνὴ τὸ εἶναι ἔσχεν.

91. Ὁ δὲ Βήμας, οὗ ἡ φωνὴ τῆς κόγχου ἠχὼ μεγάλην ἐποίει, ἀντιλάμπων ἐν ταῖς λευκαῖς ἀκρωρείαις, ἀπειρόμορφος ἐφαίνετο εἰς πλήρωσιν τῆς πρυσταγῆς τῆς ἠγαπημένης.

92. Ἐκ δὲ τῆς ἑαυτοῦ λεοντείας φωνῆς, ἐνωθείσης τῇ φωνῇ τοῦ Χανουμᾶνος, εἰς ἔκστασιν βαλὼν τοὺς Γανδάρβας, ἔλαβε μίαν δέσμην ἐκείνων τῶν πενταχρόων ἀνθέων ἀπὸ τοῦ Γανδαμαδάνου ὄρους.

93. Ὁ δὲ λίαν δυνατὸς Μανειμὰν [3], ὁ ἀρχιφύλαξ τοῦ ἐν τῷ Γανδαμανδάνῳ λειμῶνος, θυμωθεὶς, τρώσας τὴν δεξιὰν

---

1. Ἡ Παρβατὴ λέγεται καὶ Γαουρὴ, ὅ ἐστι λευκή.

2. Ἀλακά ἐστιν ἡ πόλις τοῦ τοῦ Κουβέρα.

3. Δαίμων οὗτος, θεράπων τοῦ Κουβέρα, τοῦ ἐφόρου, θεοῦ τοῦ βορείου μέρους.

χεῖρα τοῦ Βήμα τῇ βολῇ τῆς λόγχης, ἐπηνέθη ὑπὸ τῶν θεῶν.

94. Ὁ δὲ Βήμας τῇ λαιᾷ χειρὶ, τῇ δεξιᾷ οὔσῃ εἰς ἄμυναν, ὥςπερ θυμωθείσῃ ὅτι ἐτρώθη, ἐποίησε τὸ ὄνομα τοῦ Μανειμᾶνος ἔκγραπτον [1] ἐκ τῆς καταγραφῆς τοῦ Σιτραγούπτα [2].

95. Ὁ μὲν οὖν Βήμας συνεγένετο τοῖς ἀδελφοῖς αὐτοῦ [3], ἐγκαταλιποῦσι τὴν Κρισνὰν ἐν τῇ μονῇ τοῦ ὁσίου Ἀρστισένα, ὁ δὲ Κουβέρας μαθὼν παρὰ τῶν δαιμόνων ἀναιρεθέντα τὸν Μανειμᾶνα, ἀφίκετο τεθυμωμένος εἰς ἄμυναν.

96. Ἰδὼν δὲ τὸν Ἰνδιστίραν, ἀφεὶς τὸν θυμὸν, ἔφη ταῦτα· «Πάντως γε εὐδαίμων ἐγώ εἰμι, διότι παρεγένου ἐνθάδε »σὺ αὐτὸς ὁ υἱὸς τοῦ Δάρμα.

97. « Ὦ βασιλεῦ, ἐντρύφα ἀεὶ ἡδέως τούτοις τοῖς τερπνοῖς » λειμῶσιν· ἐνταῦθα γὰρ σοῦ ἐνδιαιτωμένου, μετὰ ἕνα μῆνα « μελισταγίαν δώσει τοῖς ὀφθαλμοῖς σου ὁ υἱὸς τοῦ Ἴνδρα [4]. »

98. Τοῦ δὲ Κουβέρα ἀπελθόντος οἴκαδε, ἀγκαλισάμενος ὁ Ἰνδιστίρας τὸν ἀνδρεῖον Βήμαν, καὶ καταστορέσας αὐτοῦ τὸν θυμὸν, ἐπανελθὼν εἰς τὴν μονὴν τοῦ Ἀρστισένα, διέτριψεν ὅλον ἕνα μῆνα, διανοούμενος τὸν Ἀρζούναν, καὶ ἐν ἀδημονίᾳ ὢν τοῦ ἰδεῖν αὐτόν.

Τέλος τοῦ Δευτέρου Κεφαλαίου,
τοῦ Τρίτου Βιβλίου
τῆς Βαλαβαράτας.

---

1. Ἐθανάτωσεν αὐτόν.

2. Ὁ Μυστρογράφος (ἴσ. Μυστηριογράφος) τοῦ Ἰάμα, ὁ καταγράφων τὰ καλὰ καὶ κακὰ ἔργα τῶν ἀνθρώπων, καὶ τὰ ὀνόματα αὐτῶν.

3. Οἱ ἀδελφοὶ τοῦ Βήμα, ἀφέντες τὴν Δραουπαδὴν παρὰ τῇ μονῇ τοῦ Ἀρστισένα ἐπορεύθησαν εἰς ἀναζήτησιν τοῦ Βήμα.

4. Δηλ. ὁ Ἀρζούνας.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ,

ὃ διαλαμβάνει τὴν ἔλευσιν τοῦ Ἀρζούνα.

1. Ὁ ὅσιος Βεάσας, ὁ ποιήσας, ὡς δημιουργὸς, τὴν θύραν τῆς πόλεως τῆς ἀθανασίας, τουτέστι τὴν Μαχαβαράταν [1], καὶ ἐνασχολούμενος ἀσμένως ἀπαθείᾳ καὶ θείᾳ θεωρίᾳ, ἔστω πᾶσιν εἰς ἀγαθόν.
2. Καί ποτε ὁ Ἰνδιστίρας, διατρίβων ἐν τῷ λευκῷ ὄρει, εἶδε πολλὴν λάμψιν, λάμπουσαν δίκην δώδεκα Ἡλίων, καταπίπτουσαν οὐρανόθεν χύδην.
3. Ἔλαμπε δ' ἐν τῷ κυανῷ αἰθέρι τὸ φῶς ἐκεῖνο, ὥςπερ πυγολαμπὶς ἐν νέφεσι, καὶ θερμὸν ἦν καὶ δυσαντίβλεπτον τοῖς τοῦ κόσμου ὀφθαλμοῖς.
4. Πρὸς δὲ ἐφαίνετο ἐν τῷ αἰθέρι τὸ φῶς ἐκεῖνο, ὡς φλὸξ τοῦ ἐν θαλάσσῃ πυρὸς, καὶ ὕδωρ ἔπινεν, ὅπερ συμπεραίνεται ἐκ τοῦ κυανοῦ χρώματος τοῦ οὐρανοῦ· ὁ δ' Ἥλιος ἐφαίνετο σπινθὴρ ὡς πρὸς ἐκεῖνο τὸ φῶς.
5. Ἐν ὅσῳ δ' ὁ Ἰνδιστίρας διελογίζετο, τί ἄρα εἴη τοῦτο, ἐν τοσούτῳ κατῆλθεν ἐξαίφνης ἐνώπιον αὐτοῦ ἐξ οὐρανοῦ, ὡς ἐκ νέφους ἡ ἀστραπὴ, τὸ περιλάμπον τὸν κόσμον ἅρμα τοῦ μεγάλου Ἴνδρα.
6. Τοῦ τοίνυν ἅρματος προσπελάσαντος τῇ γῇ, ἰδὼν ἐν ταὐτῷ ὁ Ἰνδιστίρας τὸν Ἀρζούναν κυλιόμενον πρὸ τῶν ποδῶν αὐτοῦ, ἔθετο τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτὸν [2], ὃς ἦν ὡς μέλας ὄφις εἰς ὄλεθρον τῶν ἐχθρῶν.

---

1. Ἡ Μαχαβαράτα εἴσοδός ἐστιν εἰς τὴν ἀθανασίαν· ὁ Βεάσας ἀείζωος δοξάζεται.

2. Ὁ κρείττων τίθησι τὴν χεῖρα ἐπὶ τῆς κορυφῆς τοῦ ἥττονος, εἰς σημεῖον ἀφοβίας.

7. Ἠγκαλίσατο δ' ἔπειτα αὐτὸν μετὰ χαρᾶς ἐγκαρδίου διὰ πολλοῦ, ὁμοίως δὲ καὶ ἡ Κρισνὰ τῇ διανοίᾳ, καίπερ οὖσα μακρὰν τῷ σώματι.

8. Περίπτυξις δ' αὐτοῦ τότε χαροποιὰ ἐγένετο καὶ ὑπὸ πάντων τῶν ἀδελφῶν, ἡδυτέρα τοῦ Σανδάνου, χαριεστέρα τῆς Σελήνης, καὶ ἀσυγκρίτως ὑπερτέρα τῆς ἀμβροσίας [1].

9. Δεξιωσάμενος δ' ὁ Ἰνδιστίρας, καὶ ἀποπέμψας τὸν ἡνίοχον τοῦ Ἴνδρα Ματαλὴν, ἔφη τῷ Ἀρζούνᾳ, ἁψαμένῳ τῶν ποδῶν τοῦ Βήμα, καὶ προσκυνηθέντι ὑπό τε τοῦ Νακούλα καὶ Σαχαδέβα [2].

10. « Εἰπὲ ἡμῖν ἐν τάχει σὺ, ὁ ὢν δεινὸς κατὰ τῶν πολε-» μίων, ὡς ὁ λέων κατὰ τῶν ἐλεφάντων, ὅ,τι ποτ' ἐκτή-» σω μετὰ τὴν διάζευξιν ἀφ' ἡμῶν τῶν πέντε [3], καὶ με-» τὰ τὴν τοσαύτην ἄσκησιν [4] ἐν πέντε ἔτεσι. »

11. Πρὸς ὃν ἀπεκρίνατο ὁ Ἀρζούνας, οὗ τοῦ μὲν σώματος τὸ μέλαν ἦν, ὡς τὸ ὕδωρ τῆς Ἰαμουνᾶς, τὸ δ' ἀποστίλβον εἰς τὸ σῶμα λευκὸν τῶν ὀδόντων, ὡς τὸ τῆς Γαγγᾶς, ἡ δ' ἕνωσις τῶν χειρῶν ἐπὶ τοῦ μετώπου, ὡς λωτός·

12. « Αὕτη ἡ ἄφθαρτος τοῦ τόξου χορδὴ ἐδόθη μοι παρὰ τῶν » θεῶν ἐν οὐρανῷ, καὶ ἡ ἀσπὶς, ἡ ἄτρωτος τοῖς ἐχθροῖς· » καὶ μάθησις δ' ἐγένετό μοι πεντεκαίδεκα ὅπλων [5], διὰ » τῆς σῆς χάριτος.

---

1. Ψυχρὰ καὶ ἀναψυκτικὰ ταῦτα.

2. Ὡς πρεσβύτερον ἀδελφὸν προσεκύνησε τὸν Βήμαν, ἁψάμενος τῶν ποδῶν αὐτοῦ, καὶ ὡς πρεσβύτερος αὐτὸς προσεκυνήθη ὑπὸ τῶν νεωτέρων, Νακούλα καὶ Σαχαδέβα.

3. Ἀριθμουμένης καὶ τῆς Δραουπαδῆς γίνονται πέντε.

4. Αὐτολεξεί, πεντάπυρος ἄσκησις, εἶδος ἀσκήσεως.

5. Δηλονότι ἔμαθον τέχνην πεντεκαίδεκα εἰδῶν ὅπλων.

13. «Ἐδόθη μοι καὶ παρὰ τοῦ Ἴνδρα, λίαν χαρέντος, οὗτος ὁ » ἐκ χρυσῶν λωτῶν ὅρμος, καὶ αὕτη ἡ μίτρα, ἡ ἀλεξί- » κακος.

14. «Θεραπεύσας δὲ τὸν υἱὸν τοῦ Βαράτα [1] Σιτρασέναν, τὸν » ἀγλαΐζοντα τὴν σύνοδον τοῦ Ἴνδρα, ἔμαθον παρ' αὐτοῦ » τὴν μουσικὴν καὶ τὴν ὀρχηστικὴν, αἳ τέρπουσι λίαν τὸν » κόσμον.

15. «Οἱ δὲ Νιβατακαβασαὶ [2], οἱ ἐν τῷ βυθῷ τῆς θαλάσσης, » τρία κότια τὸν ἀριθμὸν, οἱ νικήσαντες τοὺς Θεοὺς ἐν » πολέμῳ, ἀνῃρέθησαν ὑπ' ἐμοῦ ὅπλοις, ἔχοντος ἡνίοχον » τὸν τοῦ Ἴνδρα.

16. «Διὰ δὲ τῶν πολυειδῶν ζώων, τῶν ἐξερχομένων ἐκ τοῦ » ὅπλου Πασσουπάτα [3], ἀνεῖλον ἔγω γε καὶ τοὺς Τιτᾶνας, » τοὺς ὄντας ἐν τῇ αἰθεροβατούσῃ πόλει, ἣ ὄνομα Χιρανε- » πούρα [4].

17. «Οὐδέ που δ' ὅμως, ὦ Κύριε, ἐγένετό μοι αὕτη ἡ ἡδο- » νὴ, ἥ ἔστι μοι νῦν ἐν τῇ θέᾳ τοῦ σοῦ ποδὸς, καθὼς » οὐδ' ἂν ἡδονὴ γένοιτό ποτε τῷ βομβυλίῳ ἐκ τοῦ χυμοῦ » τοῦ ἄνθους Καρνικάρα [5], τῷ γευομένῳ τοῦ ἄνθους Πα- » ριζάτα [6]. »

18. Ὁ μὲν οὖν πρῶτος υἱὸς τῆς Πριτᾶς ἔλεξε πρὸς τὸν Ἀρ- » ζοῦναν, «Δεῖξον ἡμῖν ἐνταῦθα τὴν μάθησιν τῶν δια- » φόρων θείων ὅπλων·» ὁ δ' ἔδειξεν εἰς θεωρίαν τοῦ

---

1. Βαράτας, Γανδάρβας ἦν, διδάσκαλος τῆς μουσικῆς καὶ ὀρχηστικῆς.

2. Εἶδος δαιμόνων ἐν θαλάσσῃ.

3. Πασσουπάτα, ὄνομα ὅπλου, ὃ ἔδωκε τῷ Ἀρζούνᾳ ὁ Σίβας, ὡς προείρηται.

4. Χιρανεπούρα, ὅ ἐστι Χρυσόπολις.

5. Κοινῶς Κανὲρ, ὅ ἐστιν ἡ Ῥοδοδάφνη.

6. Παριζάτα, ἄνθος εὐωδέστατον,

βασιλέως τὴν ἐνέργειαν τῶν πολυειδῶν θείων ὅπλων.

19. Τότε τῇ βολῇ τῶν πολυειδῶν ὅπλων, τῶν βαλλομένων ἐκ τῶν βραχιόνων τοῦ Ἀρζούνα, ἄνθρωποί τε καὶ θεοὶ, καὶ δαίμονες ἔτρεμον καὶ ἐταράττοντο, λέγοντες· «Τί; τί ἔσται σήμερον;»

20. Ἐν τούτῳ τὸ ἀναμεταξὺ, ἐπιστὰς εὐθέως (δρομαῖος), ἕνεκα τῆς ταραχῆς καὶ θλίψεως τῶν ἀδημονούντων θεῶν, ὁ Θεὸς Σίβας, ὁ διδοὺς ἀφοβίαν τοῖς ἐμψύχοις, ἐκτεταμένην ἔχων τὴν χεῖρα, ἔφη·

21. «Ἄφες, ἄφες παραυτίκα τὰ ὅπλα, ὦ τέκνον, μηδ' ἔσο »ἐπὶ θλίψει τοῦ κόσμου· εἰ γὰρ ὁ Ἥλιος ποιήσοι σκότος, »τίς φωτίσοι ἂν τὸν κόσμον τοῦτον;

22. «Τὰ ὅπλα ταῦτα τῶν θεῶν ῥίπτονται κατὰ πολεμίων »ἐπ' ὠφελείᾳ τοῦ κόσμου, καὶ οὐχὶ ἐπὶ κενῷ. Τί δαί; »τὸ τῆς θαλάσσης πῦρ, ἀφιέμενον μὴ κατὰ τῆς θαλάσ»σης, ἀλλ' ἔξω, οὐ κατακαύσει ἐν ἀκαρεῖ τὸν κόσμον »ὅλον;»

23. Ὁ μὲν οὖν υἱὸς τοῦ Ἴνδρα, οὕτω συμβουλευθεὶς ὑπὸ τοῦ Σίβα, ἐπέβλεψεν εἰς τὸ λώτιον πρόσωπον τοῦ υἱοῦ τοῦ Δάρμα, καὶ ἰδὼν αὐτὸν κατανεύσαντα, ἀφῆκε τὰ ὅπλα καὶ καθησύχασεν.

24. Ὑμνηθέντος δὲ τοῦ Σίβα ὑπὸ τοῦ Ἰνδιστίρα καὶ ὑπὸ τοῦ Ἴνδρα ἐν οὐρανῷ, καὶ ἀφάντου γενομένου, οἱ ἀδελφοὶ οὗτοι διέτριβον ἐν ἄλσεσι, λίαν χαίροντες ἐπὶ τῇ ἀλλήλων ἐντεύξει.

25. Ἐπέστη δ' ἡ Βασάντα [1], λέγουσα ταῦτα τοῖς Πανδοΐ-

---

1. Ἐν τοῖς ἑξῆς λέγει ὁ ποιητὴς περὶ τῶν ἓξ ὡρῶν τοῦ ἔτους, καὶ πρῶτον περὶ τοῦ Ἔαρος, ὃ λέγεται Βασάντα παρ' Ἰνδοῖς, καὶ συνίσταται ὑπὸ δύω μηνῶν, τοῦ Μαρτίου καὶ Ἀπριλίου, ὡς καὶ καθεξῆς αἱ λοιπαὶ πέντε ὧραι.

δαις διὰ τῶν φωνῶν τῶν ἐν λειμῶσι βομβυλίων· « Ἐγὼ » ἦλθον ἐνθάδε εἰς θεραπείαν ὑμῶν.»

26. Πάντως αἱ μακραὶ νύκτες τῆς ὥρας Σισσείρας [1], τμηθεῖσαι ὑπὸ τῶν ἡμερῶν τῆς ὥρας Βασάντας, ἐσμικρύνθησαν· ἐκείνων δὲ τῶν νυκτῶν τὰ τμήματα, τὰ δένδρα εἰσὶν, ἄνθη δὲ τὰ ἄστρα.

27. Αὕτη ἡ Βασάντα ἔτερπε [2] τὸν κόσμον, ἔχουσα τοὺς μὲν βλαστοὺς τῶν δένδρων χορευτὰς, τοὺς δὲ γλυκεῖς βομβυλίους ἀοιδοὺς, τὸν δ' ἐξ ὄρους Μαλαΐα πνέοντα ἀέρα [3] δραματουργὸν, τὴν δὲ καθαίρεσιν τῆς ὑπερηφανίας τῶν γυναικῶν δραματουργίαν [4].

28. Ἰδὼν ὁ Ἥλιος τοὺς φίλους λωτοὺς φυλλορροοῦντας [5], ἐπορεύθη μετὰ πολλοῦ τοῦ θερμοῦ κατὰ τὸν Ἰμαὸν τὸ ὄρος [6], ἀνελεῖν βουλόμενος τὰς χιόνας.

29. Ἡ μὲν μοιχαλὶς τοιαῦτα διενοεῖτο· « Τίς ἁρμόδιός ἐστι » καιρὸς τοῦ πορευθῆναι πρὸς τοὺς ἐραστάς;» Ἡ δὲ Κοκιλὰ [7], ἡ ἀρίστη τῶν ὀρνίθων, καὶ τὰ τῆς διανοίας γινώσκουσα, ἔλεγε τοιᾷδε φωνῇ, «Κουχοῦ [8]!

---

1. Σισσείρα ἐστὶν ἡ ὥρα τοῦ Φεβρουαρίου καὶ Ἰανουαρίου, ὅτε αἱ νύκτες μακραί εἰσι. Τὰ μὲν δένδρα εἰσὶν, ὡς τμήματα ἐκείνων τῶν νυκτῶν· τὰ δ' ἄστρα, ὡς ἄνθη.

2. Αὐτολεξεὶ, ἤδυνε.

3. Τὸν Νότον δηλονότι.

4. Τὸ ὑπερήφανον καὶ ἄτεγκτον τῶν γυναικῶν καθαιρεῖται καὶ καταβάλλεται ἐξ αἰτίας τοῦ Ἔαρος, ὅς ἐστι προτρεπτικὸς εἰς ἔρωτα.

5. Ἐν γὰρ τῷ χειμῶνι οἱ λωτοὶ ἀφανίζονται.

6. Ὁ Ἰμαὸς κεῖται κατὰ τὸ βόρειον τῆς Ἰνδίας, ἔνθα καὶ ὁ Ἥλιος τρέπεται κατὰ τὰς θερινὰς τροπάς.

7. Κοκιλά ἐστιν ὁ Κόκκυξ.

8. Παίζει πρὸς τὴν λέξιν ὁ Ποιητής· Κουχοῦ γὰρ ἡ φωνὴ τῆς Κοκιλᾶς, (οὕτω γὰρ φωνεῖ Κουχοῦ), καὶ ἡ Ἀμαβασιὰ, ἡ τελευταία

30. Τῶν θεαινῶν, αἳ ἡδέως συνέπαιζον τοῖς θεοῖς ἐν τῷ Γανδαμανδάνῳ ὄρει, ὁραθεισῶν ἐριστικῶς ὑπὸ τῆς Κρισνᾶς, τῆς συζύγου τῶν Πανδοειδῶν, οὗτοι ἠσθάνοντο πληγῆς τῶν πέντε βελῶν τοῦ Ἔρωτος [1].

31. Ἐπεὶ δὲ τοῦ Ἔαρος ἀκμάζοντος, ἡ ἀγλαὰ ἡμέρα ἐπήρθη [2], διὰ τοῦτο οὗτος ὁ Ἥλιος θυμωθείς πως, μείζονα ἔλαβε θερμότητα [3].

32. Καὶ αἱ μὲν κλόνες τῶν δένδρων ἐφαίνοντο μὴ εὐαρεστούμεναι [4] τοῖς ὡς κοσμήμασιν ἄνθεσι, διότι τὸ Ἔαρ [5] ἀνεχώρησέ που, μεμαραμμέναι τε καὶ ἐξηραμμέναι ἦσαν, ὡσπερεὶ κατεφλέγησαν τῇ ὡς φλογὶ ἀπουσίᾳ τοῦ ἀγαπητοῦ Ἔαρος.

33. Τὸ Θέρος, νικῆσαν τὸ Ἔαρ ἐπέστη, ὡς βασιλεὺς, ἡλιακὴν ἔχον θερμότητα, εὐφημούμενον αἰσίοις τυμπάνοις, τοῖς ἠχοῦσι κύμασι τῆς ταραττομένης θαλάσσης [6].

34. Πιεζόμενος ὁ Ἔρως τῇ τοῦ Θέρους θερμότητι, ἔβρεχε [7]

ἡμέρα τῆς μειουμένης Σελήνης, δηλονότι ἐν ἀφεγγεῖ καὶ ἀσελήνῳ νυκτὶ ἁρμόδιόν ἐστι πορευθῆναι, πρὸς τὸ μὴ ὁρᾶσθαι. Ἡ Κοκιλὰ ὁμοία ἐστὶ τῷ Κολοιῷ τὸ χρῶμα, ἥττων δ' ὅμως τῷ σώματι· λέγουσιν ὅτι ἐν μόνῳ τῷ ἔαρι γλυκύφωνός ἐστιν, οὐχὶ δὲ καὶ ἐν ταῖς λοιπαῖς ὥραις τοῦ ἔτους.

1. Ἔρωτι κάτοχοι δηλ. ἐγένοντο οἱ ἄνδρες αὐτῆς.

2. Δηλ. ηὔξησε. — Ἐνταῦθα λέγει περὶ τῆς διμήνου ὥρας τοῦ θέρους, ἣ λέγεται Γρίσμα παρ' Ἰνδοῖς, ὅ ἐστι, καῦμα.

3. Ἐγένετο δηλ. ἀναίσχυντος, ἠράσθη τοῦ ἀκμάζοντος Ἔαρος. Ὅσον τὸ Ἔαρ αὐξάνει, τοσοῦτον καὶ ἡ ἡμέρα· ἡ δ' ἡμέρα πλάττεται ὡς γυνὴ τοῦ Ἡλίου.

4. Αὐτολεξεὶ, κακῶς διατεθειμέναι.

5. Ὡς ἄνδρα ποιεῖ τὸ Ἔαρ.

6. Ἐν τῷ θέρει μᾶλλον ταράττεται ἡ θάλασσα καὶ σφοδρότεραι τότε αἱ ἀμπώτεις ἐπισυμβαίνουσι.

7. Ὡς ἐθίζουσι καταβρέχειν τὴν γῆν οἱ ἄνθρωποι ἐν ὥρᾳ θέρους.

τοῖς χυμοῖς τῶν ἀνθέων τὰ ἑαυτοῦ οἰκήματα, τὰ στήθη τῶν γυναικῶν· ἄλλως γὰρ πῶς ἂν εἴησαν ταῦτα ψυχρά [1];

35. Αἱ ἡμέραι ἐπαχύνθησαν [2], ὡς τέκνα τοῦ Ἡλίου, ποιοῦσαι ὕδατα ἀφειδῶς, βρεχθέντα ἐν λίμναις ἐκ τῶν μελάνων νεφῶν, ὡς γάλακτα ἀμελχθέντα ἐν ἀγγείοις ἐκ τῶν βουβάλων [3].

36. Τὰ ὕδατα τοῦ κόσμου, φοβηθέντα τὴν ὑπερβολικὴν τοῦ Ἡλίου θερμότητα, κατέδυσαν ἀθρόα διὰ τῶν πόρων τῆς γῆς, καὶ κατέφυγον εἰς τὸν ὑδρομέδοντα Ὠκεανόν [4]· ὅθεν καὶ ὑπερηύξησεν ἡ θάλασσα [5].

37. Ἀγλαΐα καὶ φαιδρότης ἐγίνετο τῷ σώματι τῆς Δραουπαδῆς ἐκ τῶν ὁμοιοχρόων ἀνθέων [6] τοῦ δένδρου Πατάλα καὶ Βισακίλα, τῶν δοθέντων παρὰ τῶν ἀνδρῶν αὐτῆς, καὶ οὐχὶ ἐκ τῶν ἀνθέων [7] τοῦ δένδρου Σιρίσσα, ἃ ἦν ὅμοια κατὰ τὴν ἀπαλότητα.

---

1. Λέγουσιν οἱ ἐρωτικοὶ, ὡς τὸ γυναικεῖον στῆθος ἐν μὲν τῷ θέρει ψυχρόν ἐστι· ἐν δὲ τῷ χειμῶνι θερμόν.

2. Περὶ τὸν Μάϊον καὶ Ἰούνιον μηκύνονται αἱ ἡμέραι· ἐν καιρῷ τῶν ὄμβρων αἱ λίμναι πληροῦνται ὕδατος· ἐν δὲ τῷ θέρει ξηραίνονται.

3. Τὸ γάλα τῆς βουβάλου παχύνει τὸν πίνοντα.

4. Διὰ τούτου σημᾶναι βούλεται, ὅτι αἱ λίμναι καὶ οἱ χείμαρροι ἐν τῷ θέρει ξηραίνονται.

5. Λέγουσιν ὅτι ἡ θάλασσα ἐν μὲν τῷ θέρει αὐξάνει, ἐν δὲ τῇ ὥρᾳ τῶν ὄμβρων ἐλαττοῦται· τοῦτο δὲ θεωρεῖται ὡς πρὸς τοὺς ποταμούς· οὗτοι καὶ γὰρ ἐν μὲν τῷ θέρει ἐλαττοῦνται· ἐν δὲ τῇ ὥρᾳ τῶν ὄμβρων αὐξάνουσι καὶ πλημμυροῦσιν, ὅτε ἡ θάλασσα μένει ἐν τῇ αὐτῇ ἐκείνῃ στάσει, ἐν ᾗ ἦν καὶ πρότερον.

6. Κυανᾶ (ἴσ. γραπτέον ῥοδόχροα) τὸ χρῶμα καὶ ταῦτα τὰ ἄνθη καὶ ἐν τῷ θέρει γινόμενα.

7. Λίαν ἁπαλόν ἐστι καὶ ὑπόλευκον τοῦτο τὸ ἄνθος. Ἐκ τούτου δηλοῦται, ὡς ἁπαλὸν σῶμα εἶχεν ἡ Κρισνά.

38. Τὸ τετριμμένον Σάνδανον, φοβηθέν πως λίαν τὴν θερμότητα τοῦ φοβεροῦ θέρους, ἀνεπαύετο ἐν τοῖς μαστοῖς τῶν γυναικῶν, τοῖς οὖσι ψυχροῖς τὴν φύσιν ἐν ἐκείνῃ τῇ ὥρᾳ [1].

39. Οὕτω τὸ πᾶν τοῦτο ὑπὸ τῆς πολλῆς θερμότητος ἐθερμάνθη, τῆς συμβαινούσης ἐν τῷ θέρει, ὥστε μηδὲ τὴν νύκτα ἀναπαύεσθαι ἐπὶ πολὺ, καί περ ἔχουσαν, ὡς ἄλειμμα Σανδάνου, τὸ σεληνιακὸν σέλας [2].

40. Ἡ νεοφανὴς συννεφία τοῦ καιροῦ τῶν ὄμβρων [3], ἐπελθοῦσα, ὥσπερ ἔφοδος στρατοῦ βασιλέως, ἐσύλησε τὸν τοῦ θέρους ὄλβον, ὅς ἐστιν ὁ θερμὸς Ἥλιος [4].

41. Ἡ μὲν γῆ, ἰδοῦσα τὸν ὀξὺν Ἥλιον ἐξαίφνης ἀποσκιασθέντα ὑπὸ νεοφανῶν νεφῶν, χαίρουσά πως, ἠγλαΐζετο τῇ ἀνθηρᾷ χλόῃ [5], οἱ δὲ ποταμοὶ ἀνεσκίρτων τῷ ὕδατι [6].

42. Ἡ τῆς γῆς ἐπιφάνεια ἠγλαΐζετο ὑπὸ τῶν ταώνων, χορευόντων, ὅτε εἶδον τὸ φίλον νέφος ἕτοιμον εἰς νίκην κατὰ τοῦ θέρους, καὶ ἐξαπλούντων κυκλικῶς τὰ οὐραῖα πτερὰ, ὄμματα ἔχοντα καλὰ καὶ διάχρυσα [7].

---

1. Ψυχρὸν ὂν τὸ Σάνδανον ἀλείφεται ἐν τοῖς στήθεσι τῶν γυναικῶν συντριβόμενον ὕδατι.

2. Σημαίνει ὅτι καὶ κατὰ τὴν νύκτα θερμότης ἐστὶν ἐν θέρει. Τὸ σεληνιακὸν σέλας λευκόν ἐστιν, ὡς καὶ τὸ Σάνδανον.

3. Νῦν δὲ λέγει περὶ τῆς ὥρας τῶν ὄμβρων, ἥτις λέγεται παρ' Ἰνδοῖς Βαρσσὰ, ὅ ἐστι βροχὴ, καὶ στνίσταται ὑπὸ τοῦ Ἰουλίου καὶ Αὐγούστου. Ὡς νέος βασιλεὺς πλάττεται ὁ καιρὸς τῶν ὄμβρων· ὁ δὲ καιρὸς τοῦ θέρους, ὡς βασιλεὺς παλαιὸς νενικημένος.

4. Τουτέστιν ἀπέκρυψε τὸν Ἥλιον.

5. Ἅπασα ἡ γῆ χλοάζει ἐν ὥρᾳ ὄμβρων.

6. Ἐπλημμύρουν δηλ.

7. Τὰ οὐραῖα πτερὰ κύκλους ἔχει χρυσαυγεῖς.

43. Φερέτω τὸ νέφος [1] μελανότητα· ἠχείτω λίαν ἰταμῶς· ἀφαιρείτω τὴν τοῦ Ἡλίου λαμπρότητα· ἔδωκεν ὅμως ἔν τι καλὸν, δι' οὗ οἱ κόσμοι ἐχάρησαν.

44. Τὰ πολλὰ τμήματα τοῦ Ἡλίου, τοῦ κατατριβέντος ἐκ τούτων τῶν συγκρουομένων πυκνῶν νεφῶν, ἐκόσμησαν πάντα τὰ μέρη, ἅ ἐστιν αἱ κινούμεναι ἐν τῷ αἰθέρι πυγολαμπίδες [2].

45. Τὸ ἐκ τοῦ καπνοῦ συστὰν νέφος [3], ἐπαρθὲν, εἰς ὄλεθρον ἤγαγε τὸν προπάτορα ἑαυτοῦ, τὸ πῦρ, τὸν ἐνοικοῦντα τοῖς δάσεσι [4]. Φεῦ τῆς ἀδιακρίτου ἐπάρσεως τῶν ἐσκοτισμένων!

46. Οἱ Πανδοΐδαι ἀνεπαύοντο, ὡς ἐν οἴκοις, τοῖς σπηλαίοις, ὧν τὸ σκότος διεσκεδάννυτο τῇ λαμπρότητι τοῦ σεληνιακοῦ προσώπου τῆς Δραουπαδῆς, καὶ εἰς ἃ οὐκ εἰσήρχετο οὐδὲ βρυχύ τι ὕδωρ τῶν νεφῶν.

47. Ὁ ἥρως Ἔρως, κοσμηθεὶς τοῖς πέντε αὐτοῦ βέλεσι, τοῖς ἄνθεσι, τῷ Ἰουτικᾷ, τῷ Κουταζᾷ, τῷ Κετακᾷ, τῷ Ζατακῇ, καὶ τῷ Νείπᾳ [5], παρασκευὴν ἐποιήσατο εἰς νίκην κατὰ τῶν τριῶν κόσμων.

48. Καί ποτε, ἀφ' οὗ ἔπαυσαν τὰ νέφη βρέχοντα ῥαγδαίως,

---

1. Ἐγκώμιον τοῦ νέφους. Οἱονεὶ ἔλεγεν· εἰ καὶ τὸ νέφος μέλαν ἐστί· εἰ καὶ ἠχεῖ λίαν ἰταμῶς, δηλ. βροντᾷ· εἰ καὶ ἀποσκιάζει τὴν λαμπρότητα τοῦ ἡλίου, ἔχει ὅμως ἓν ἀγαθὸν, δι' οὗ οἱ κόσμοι χαίρουσι, δηλ. τὸ ὕδωρ ὃ βρέχει· τὸ δὲ ἓν καλὸν ὑπερτερεῖ τῶν τριῶν κακῶν.

2. Διὰ τούτου σημαίνει βούλεται, ὅτι ἐν τῇ ὥρᾳ τῶν ὄμβρων αἱ πυγολαμπίδες ἵπτανται, αἵ εἰσιν, ὡς τρίμματα τοῦ κατατριβέντος Ἡλίου ἐν τῇ συντριβῇ τῶν νεφῶν.

3. Τὸ νέφος λέγουσιν ἐκ τοῦ καπνοῦ γίνεται.

4. Ἐν γὰρ τῇ ὥρᾳ τῶν ὄμβρων, οὐκ ἐπισυμβαίνει πυρκαϊὰ τοῖς δάσεσιν.

5. Ὀνόματα ἀνθέων, ἃ γίνονται ἐν τῇ ὥρᾳ τῶν ὄμβρων. Ἡ Νείπα λέγεται καὶ Καδάμβα· ἡ δὲ Κετακὰ, λέγεται καὶ Κεβρά.

ψεκάδες ὕδατος ἀφίεντο ὑπ' αὐτῶν, πίπτουσαι εἰς ἀνάπαυσιν τῶν νεμομένων ὀρνίθων ἐπὶ λόφων [1].

49. Ἡ δὲ γῆ ἐφαιδρύνετο παντοχοῦ τοῖς ἄνθεσι Σιλίνδραις [2]· τοῖς ἐρυθροῖς τὸ χρῶμα, καὶ τοῖς ἐφιζάνουσι βομβυλίοις, ὡς κοσμήμασιν ἐξ ἐρυθρῶν καὶ κυανῶν πολυτίμων λίθων.

50. Ἐπεὶ δὲ τὸ νέφος [3], τὸ ὑπερβαῖνον καὶ τὴν θάλασσαν, ἔδωκε τὸ ἐφετὸν ὕδωρ εἰς τροφοδοσίαν τοῦ κόσμου [4], διὰ τοῦτο, ὡς δοκεῖ, εὐθέως ἔλαβε λευκότητα, ἐκ τῆς λευκῆς φήμης [5].

51. Ὁ καιρὸς τῶν νεφῶν, ἀγκαλισάμενος, ὡς μοιχὸς [6], ἐν λειμῶσι τὴν Σαράταν ὥραν, ἐπιστᾶσαν, ἔφυγεν ἐν ταὐτῷ, ἀκούσας κλαγγῆς χηνῶν [7].

52. Ἐλύληθεν ἡ Σαράτα, ἔχουσα τὴν μὲν λαμπρὰν Σελήνην πρόσωπον, τὸν δ' Ἥλιον κάτοπτρον, τὴν δ' Ἶριν διάδημα [8], τὴν δ' ἴλην τῶν χηνῶν, λευκὸν ὅρμον ἐκ μαργάρων, τὰς δ' αὐτῶν κλαγγὰς, ἤχους περιπεζίων.

53. Ἀναφανέντος τοῦ Ἀγαστέου [9], ἡ θάλασσα εὐθέως ἐφυσώθη

---

1. Ἐκ τούτου δεικνύει, ὅτι μετὰ τὴν ραγδαίαν βροχὴν ἐνίοτε ψεκάζει.

2. Σιλίνδρα λέγεται τὸ ἄνθος τῆς Κεδαλῆς, ὅ ἐστιν ἐρυθρόν.

3. Νῦν δὲ λέγει περὶ τῆς ὥρας Σαράτας, ἥτις συνίσταται ὑπὸ τοῦ Σεπτεμβρίου καὶ Ὀκτωβρίου.

4. Τὸ γὰρ νέφος βρέχον, πάντα πλήρη ὑδάτων ἀποτελεῖ.

5. Ὅταν γὰρ τὸ νέφος ὕδωρ μὴ ἔχῃ, λευκοειδές ἐστι· ἐκ δὲ τούτου συμπεραίνεται, ὅτι ἔπαυσεν ἡ ὥρα τῶν ὄμβρων· ὁ δὲ ἀγαθοποιῶν εὐφημεῖται.

6. Οὐχ ὡς ἀνὴρ (γνήσιος), ἀλλ' ὡς μοιχός.

7. Οἱ γὰρ χῆνες τότε χαίρουσιν, ὅτε εὐδία ἐστί.

8. Ἀνεφέλου γὰρ ὄντος τότε καὶ καθαροῦ τοῦ οὐρανοῦ, οὗτοι οἱ φωστῆρες ὑπερλάμπουσιν· ἀφ' οὗ γὰρ ἡ συννεφία διασκεδασθῇ, τότε λάμπει καὶ ἡ Ἶρις, ἥτις λέγεται τόξον τοῦ Ἴνδρα.

9. Ἀγαστέας, ἄστρον ἀνατέλλον περὶ τῶν Σεπτέμβριον· ὅταν δ' ἀνατείλῃ τοῦτο, σημεῖον ὅτι ἔπαυσαν οἱ ὄμβροι.

λίαν [1], καὶ περ κατεσκληκυῖα ὑπὸ τῶν νεφῶν [2], λέγουσα ταῦτα μετὰ χαρᾶς· « Μακαρία ἐγὼ, ὅτι πολὺ ὕδωρ ἔχω » νυνὶ, ἕνεκα τούτου τοῦ Ἀγαστέου! »

54. Τὸ διειδὲς καὶ πότιμον ὕδωρ ἔβλεπεν, ὡς ὀφθαλμοῖς, τοῖς ἠνεῳγμένοις λωτοῖς, τὴν ὁδὸν τῶν ἐλευσομένων καλῶν χηνῶν [3].

55. Διερράγη κατὰ τὴν καρδίαν ἡ ἰλὺς, μελανθεῖσα καὶ ξηρανθεῖσα τῇ στερήσει τῆς ὑγρότητος, ἐλθούσης κατ' ὄψιν τῶν δεινῶν ἀκτίνων τοῦ Ἡλίου [4].

56. Τὰ πτερὰ τῶν ταώνων, διανοούμενα ταῦτα, « Τίς ὠφέ- » λεια τῇ ζωῇ ἡμῶν οὗτος ὁ καιρός; » πεσόντα ῥιψοκινδύνως ἐν τοῖς ἄλσεσιν, ἔλαβον τόπον ἐπὶ τῆς κορυφῆς τοῦ βασιλέως, συμπλεχθέντα εἰς σκιάδιον [5].

57. Αἱ ἀγροῖκοι γυναῖκες φυλακὴν ἐποίουν τῆς ἐν ἀρούρᾳ ὀρύζης [6] τοῖς ἄσμασι καὶ τοῖς χοροῖς, τὰς μὲν ἐλάφους

---

1. Μετὰ τοὺς ὄμβρους αὐξάνει λέγουσιν ἡ θάλασσα· τοῦτο δὲ θεωρεῖται ὡς πρὸς τοὺς ποταμοὺς, ὅτε οὗτοι μειοῦνται.

2. Καθὸ τὰ νέφη ἕλκουσιν ὕδωρ ἀπ' αὐτῆς.

3. Δηλοῖ διὰ τούτου, ὅτι ἐν τῇ ὥρᾳ Σαράτα, τὸ ὕδωρ καθαρόν ἐστι, καὶ οἱ λωτοὶ ἀνθοῦσι, καὶ οἱ χῆνες ἥδονται νηχόμενοι.

4. Καὶ γὰρ ὁ ἰλώδης τόπος διασχίζεται ὑπὸ τοῦ καύματος, ἀφ' οὗ ἐξικμασθῇ.

5. Ἐκ τούτου δεικνύει, ὅτι ἐν ταύτῃ τῇ ὥρᾳ οὐκ ἀγάλλονται οἱ ταῶνες, καὶ τὰ πτερὰ αὐτῶν πίπτουσι, καὶ ἔπειτα καινὰ ἀναφύουσιν· ἐκ δὲ τούτου ἀστείως ὑπαινίττεται καὶ τὸ δόγμα τῆς μετεμψυχώσεως, ὅτι πολλοὶ πίπτοντες εἰς χιόνα, ἢ εἰς ὕδωρ, ἢ εἰς πῦρ, ἀπολαμβάνουσιν ἐν τῇ μετὰ ταῦτα γεννήσει ἀμοιβὴν ἀξίαν, καὶ στάσιν ὑψηλὴν, καθὼς καὶ τὰ πτερὰ τῶν ταώνων πεσόντα, ἐτέθησαν ἐπὶ τῆς κορυφῆς τοῦ βασιλέως, γενόμενα σκιάδιον.

6. Εἶδος ὀρύζης, σπειρόμενον περὶ τὸν Ἰούνιον καὶ θεριζόμενον περὶ τὸν Ὀκτώβριον.

ἱστᾶσαι τῇ ἡδύτητι τῶν ἀσμάτων, τοὺς δὲ ψιτακοὺς ἀποδιώκουσαι τῷ ἤχῳ τῶν κινουμένων ψελλίων.

58. Ὁ κόσμος οὗτος, ἔχων τοὺς γλυκεῖς καὶ χαρίεντας Σακχαροκαλάμους [1], ἐγέλα διὰ τοῦ λευκοῦ Κάσα [2], τὸν οὐράνιον κόσμον, καὶ τὸν καταχθόνιον, ὧν ὁ μὲν ἔχει πηγὴν ἀμβροσίας [3], ὁ δὲ τὴν Σελήνην, τὴν ἀμβροσίας ἔχουσαν ἀκτίνας [4].

59. Αὕτη ἡ Σαράτα, [5], ἔχουσα ὄμματα τῆς Ἴυγγος (σεισοπυγίδας [6],) ἐπειδὴ περιεπάτει ἐν τοῖς ἄλσεσι, διὰ τοῦτο οἱ χερσαῖοι λωτοὶ [7] ἔλαβον τὴν ἀγλαΐαν τῶν ἰχνῶν τῶν ποδῶν αὐτῆς.

60. Ὁ βομβύλιος προσεφοίτα πολλάκις τῷ ἄνθει Σαπταπάρνα [8], τῷ εὐώδει δίκην χυμοῦ τοῦ ἐλέφαντος, καὶ ἀνεχώρει μετὰ φόβου, νομίζων ὡς τὰ κινούμενα φύλλα αὐτοῦ, ὦτά εἰσιν ἐλέφαντος [9].

61. Τοῦ προσώπου ταύτης τῆς Σαράτας [10] ἔχοντος ὄμματα

---

1. Ἐν ταύτῃ γὰρ τῇ ὥρᾳ, περὶ τὸν Ὀκτώβριον οἱ σαχαροκάλαμοι πεπαίνονται.

2. Κάσα, ἄνθος λευκὸν, ἀνθοῦν περὶ τὸν Σεπτέμβριον.

3. Μυθολογοῦσιν ὅτι ὑπὸ γῆν ἐστιν ἡ ἀμβροσία.

4. Τὸ μὲν ἄνθος Κάσα αἰνίττεται τὴν Σελήνην, ὁ δὲ σακχαροκάλαμος τὴν ἀμβροσίαν.

5. Ὡς γυνὴ πλάττεται ἡ Σαράτα ὥρα.

6. Τὸ ὀξύῤῥοπον γυναικεῖον ὄμμα εἰκάζεται τῇ Ἴυγγι, τῇ σεισοπηγίδι.

7. Τουτέστιν οἱ χερσαῖοι λωτοὶ τὰ ἴχνη τῶν ποδῶν αὐτῆς εἰσιν· ἐρυθροὶ δ' εἰσί. Λέγουσιν ὡς καὶ χερσαῖοι λωτοί εἰσι· σπάνιοι δ' ὅμως.

8. Ἄνθος μακροειδὲς, ὡς κῶνος, πολύφυλλον καὶ σκληρόφυλλον.

9. Ἐκ τῆς ὁσμῆς τοῦ ἄνθους ἐνόμιζεν, ὡς χυμός ἐστιν ἐλέφαντος, καὶ διὰ τοῦτο ἔφευγε, μήπως πληγείη ὑπὸ τῶν σαλευομένων ὤτων.

10. Ἡ Σαράτα, ὡς γυνή.

μὲν τὰ ἄνθη Βαναπάτρα, χρῶμα δὲ τὸ χρυσαυγὲς ἄνθος Ἀσάνα [1] τὰ Βανδουζίβα ἄνθη [2] ἀνεπλήρωσαν τὴν ἀγλαΐαν τοῦ ἐπὶ τοῦ μετώπου ἐρυθροῦ χρίσματος.

62. Ὁ βομβύλιος περιϊπτάμενος περὶ τὸ χεῖλος τῆς Δραουπαδῆς, νομίζων αὐτὸ, ὡς ἄνθος Ζαπά [3] ἐστιν, οὐκ ἠδύνατο ἀποσοβηθῆναι οὐδ' ὑπὸ πέντε ἡρώων ἀπογόνων τοῦ Κουροῦ, κινούντων τὰς χεῖρας.

63. Ἡ Σαράτα, γνοῦσα ἑαυτῆς μέγα σφάλμα, ὅτι ἐγέννησε τοὺς ἀγλαοὺς καὶ ἡδεῖς λωτοὺς, ἀναφανέντος τοῦ ἐχθροῦ τῆς τῶν ἀνθέων ἀγλαΐας [4], βουλὴν ἔθετο ἀναχωρῆσαι, φοβηθεῖσά πως λίαν.

64. Ἡ ὥρα τοῦ χειμῶνος ἐπέστη [5] εἰς ἡδονὴν τῶν ἐραστῶν, καταστήσασα τὴν μὲν νύκτα μείζονα, τοὺς δὲ μαστοὺς τῶν γυναικῶν, καὶ ψύχους ὄντος, θερμούς.

65. Ἀναπολῶν ὁ βομβύλιος τὴν ἀγαπητὴν Ζαπάν [6], οὐκ ἐτίθη τὸν πόδα ἐπὶ τῆς Φαλινῆς [7]· λευκὸς δὲ γενόμενος τὸ σῶμα τῇ προσαφθείσῃ κόνιϊ τῆς Ῥόδρας [8], περιήρχετο τὸ δάσος, ὡς γυμνοσοφιστής [9].

---

1. Κυανᾶ ταῦτα τὰ ἄνθη.

2. Ἐρυθρᾶ ταῦτα τὰ ἄνθη. Ταῦτα τὰ ἄνθη κατ' ἐκείνην τὴν ὥραν ἀνθεῖ.

3. Λίαν ἐθυθρόν ἐστι τοῦτο τὸ ἄνθος.

4. Τῶν ἀνθέων ἐχθρός ἐστιν ὁ χειμών.

5. Ἐν τοῖς ἑξῆς λέγει περὶ τῆς ὥρας τοῦ χειμῶνος, ὃς λέγεται Χειμὰ παρ' Ἰνδοῖς.

6. Ἡ Ζαπὰ ἄνθος ἐστὶν ἀνθοῦν ἐν τῇ ὥρᾳ Σαράτᾳ.

7. Οὐ προσεφοίτα τῇ Φαλινῇ, ἥ ἐστι μέλαν ἄνθος, καὶ εὐωδίαν οὐκ ἔχει.

8. Ῥόδρα, ἄνθος, ἀνθοῦν πρὸς τὸν χειμῶνα. Πάλαι αἱ γυναῖκες τὴν λευκὴν κόνιν τούτου τοῦ ἄνθους ἐτίθεσαν ἐπὶ τῶν παρειῶν.

9. Ὡς ὁ ἄνθρωπος, στερηθεὶς τῆς ἀγαπητῆς, ἀφίησι τὸν κόσμον καὶ ἐρημίτης γίνεται. Οἱ ἐρημῖται χρίουσι τὸ σῶμα σποδῷ.

66. Καὶ ὁ Ἥλιος ἀσθενής πως ὢν ἐκ τοῦ ψύχους, περιεπάτει κατὰ τὴν γωνίαν τοῦ οὐρανοῦ [1], ὅς ἐστιν ὡς οἶκος αὐτοῦ· ὅθεν οὐδὲ πῦρ ἐξήρχετο ἐκ τῶν ἡλιολίθων, ἐλεπόντων τὸν Ἥλιον ἐν τοιαύτῃ στάσει.

67. Ὁ Ἥλιος ἐπορεύθη κατὰ τὸ μέρος τοῦ Πυρὸς [2], τοιαύτην σκέψιν ἐν καρδίᾳ αὐτοῦ θέμενος· «Εἰ ἐγὼ καὶ τοῦτο συν-» νείημεν, οὐκ ἂν ὑπὸ τοῦ ψύχους νικηθείημεν [3].»

68. Ἥ τε ἐν οὐρανῷ Σελήνη καὶ ὁ ἐν ὕδατι λωτὸς ἀπώλεσαν τὴν χάριν ἐκ τῆς πολλῆς ψυχρότητος· τούτων δ' ἡ χάρις ἐωρᾶτο ὑπὸ τῶν Πανδοειδῶν, προσφῦσα τῷ προσώπῳ τῆς Δραουπαδῆς [4].

69. Ὁ μὲν χειμὼν ἀνεχώρησε μετανοῶν [5] καὶ ἐννοῶν ταῦτα· «Διὰ τῆς γεννήσεως ἐμοῦ τὸ πᾶν τοῦτο ἐπιέσθη· ἥδη » δὲ ὁ καιρὸς τῆς ἐγκρατείας καὶ τῆς ἀσκήσεως [6] ἐλήλυ-» θεν, ἐλθόντος τοῦ γήρατος [7].»

70. Ὁ δὲ παῖς Σισσείρας [8] ἦλθεν, ἔχων ὀδόντας μὲν τὰ ἀρτιφυῆ ἄνθη Κούνδα [9], πόδας δὲ τοὺς ἀδρανεῖς λωτοὺς,

---

1. Καθὼς ὁ ἀσθενὴς οὐ δύναται περιέρχεσθαι ὅλον τὸν ἑαυτοῦ οἶκον, ἀλλὰ μόνον τὸν κοιτῶνα, ὅς ἐστι μέρος τοῦ οἴκου.

2. Τὸ μέρος τοῦ πυρὸς τὸ μέσον τῆς ἀνατολῆς ἐστιν καὶ μεσημβρίας· ἔφορός δ' ἐστιν ὁ Θεὸς Ἀγνὴς, τουτέστι τὸ Πῦρ.

3. Δύο γὰρ ὄντες, ἀντισταίησαν ἂν ἑνὶ ἐχθρῷ.

4. Τὸ πρόσωπον αὐτῆς ἦν σεληνοειδὲς καὶ λωτοειδές.

5. Αὐτολεξεὶ, περίλυπος σύννους.

6. Τάπα λέγεται καὶ τὸ καῦμα, καὶ ἡ ἄσκησις, καὶ διὰ τοῦτο τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

7. Καθώς τις μετανοῶν ἐφ' οἷς ἔπραξεν ἁμαρτήμασιν, ἀναχωρεῖ εἰς ἔρημον ἐν γήρατι.

8. Νῦν δὲ λέγει περὶ τῆς τελευταίας ὥρας τοῦ ἔτους, ἥτις λέγεται Σισσείρα, καὶ συνίσταται ὑπὸ τοῦ Ἰανουαρίου καὶ Φευρουαρίου· ἐπειδὴ δὲ νεωστὶ ἀνεφάνη, διὰ τοῦτο καὶ παῖς πλάττεται.

9. Ἐν ταύτῃ τῇ ὥρᾳ ἀναφύονται τά τε ἄνθη Κούνδα, καὶ οἱ Λωτοί.

καὶ ἁπαλὴν καὶ λεπτὴν χαίτην, ἥτις ἐστὶν ἡ κόνις τοῦ Μοσκοκαρφίου, ἡ διὰ τοῦ ἀέρος διασκεδαννυμένη.

71. Πάντως ὁ Ἥλιος ἐν νυκτὶ κάτεισιν εἰς τὸν ὑποχθόνιον κόσμον· καὶ ἐπειδὴ μένει ἐκεῖ διὰ πολλοῦ, διὰ τοῦτο ἐν τῷ χειμῶνι τὸ ἐν τοῖς φρέασιν ὕδωρ θερμὸν καθίσταται τὴν φύσιν· ἐξ ἐναντίας δὲ ἐν τῷ θέρει ψυχρόν.

72. Ἀριδήλως τὸ πῦρ τῆς πείνης ἤφθη ἀφ' ἑαυτοῦ ἐντὸς τῶν σωμάτων κατὰ τὸ πρωΐ, ἐκ τοῦ φόβου τοῦ ψύχους· ὅθεν τὸ ἐξερχόμενον ἐκ τοῦ στόματος τῶν ἀνθρώπων ἀχνῶδες [1], ὡς καπνός ἐστιν ἐκείνου τοῦ πυρός.

73. Ἡ ὥρα αὕτη ἐνίκησε τοῦτον τὸν κόσμον τῇ δυνάμει τοῦ ψύχους, οὐχὶ δ' ὅμως καὶ τοὺς μαστοὺς τῶν γυναικῶν· ἐν γὰρ ἐκείνοις πῦρ ἐξῆπται μέγα, ὅ ἐστιν ἡ φαινομένη ἐρυθρὰ βαφὴ τοῦ κρόκου [2].

74. Ἐν ταύτῃ τῇ ὥρᾳ πολλοὶ σωροὶ Κρισναλῶν [3] ἐν παντὶ τόπῳ τοῖς μὲν πίθηξιν ἐνομίζοντο ὡς πυρὰ, ταῖς δὲ γέαις τῶν ἀλσέων ἦσαν, ὡς μαστοὶ, βεβαμμένοι ἐρυθρᾷ βαφῇ [4].

---

1. «Ἀναθυμίασις» ἑσημ. ὁ μεταφραστὴς εἰς τὸ περιθώριον. (Σημ. ἐκδ.)

2. Αἱ γὰρ Ἰνδικαὶ γυναῖκες χρίουσιν εἰς κόσμον τὸ περὶ τὴν θηλὴν τῶν μαστῶν ἐρυθρῷ χρώματι.

3. Κρισναλὰ, λέγεται καὶ Γούνζα, εἶδος καρποῦ δένδρου μεγάλου, σκληροῦ τὴν φύσιν, ὡς ὄστρακον, πάνυ ἐρυθροῦ τὸ χρῶμα, στρογγύλου τὸ σχῆμα, τὸ δὲ μέγεθος ὡς μικρὸν φασιώλιον, μέλαν στίγμα ἔχον περὶ τὸ μέσον. Τοῦτον τὸν καρπὸν συνάγοντες οἱ πίθηκες περὶ τὸν χειμῶνα σωρηδὸν, καὶ περικαθήμενοι πυροῦνται, νομίζοντες πῦρ. Τούτῳ τῷ κόκκῳ χρῶνται ἐν Ἰνδίᾳ οἱ χρυσοχόοι καὶ οἱ ἀργυραμοιβοὶ ἐν τοῖς ζυγοῖς, ὡς ἐν ἄλλοις τόποις τῷ τοῦ σίτου. Λέγουσιν ὡς, εἴτις κατατρίψας φάγοι ἕνα μόνον κόκκον τούτου τοῦ καρποῦ, ἀποκαθίσταται κωφός. Τοῦτο τὸ δένδρον ἀνθεῖ περὶ τὸν Σεπτέμβριον.

4. Τὰς γέας τῶν ἀλσέων ὑποτίθησιν ὁ ποιητὴς ὡς γυναῖκας, τοὺς δὲ σωροὺς τούτου τοῦ ἐρυθροῦ καρποῦ, ὡς μαστοὺς, βεβαμμένους ἐρυθρᾷ βαφῇ, ὡς ἐθίζουσιν αἱ Ἰνδικαὶ γυναῖκες.

75. Βαβαί! καὶ τὸ πῦρ, ὡς περ θλιβόμενον ὑπὸ τοῦ ψύχους, ἠγρύπνει τὰς μεγάλας νύκτας, καίπερ περικεκαλυμμένον διὰ χειρὸς τῶν γυναικῶν ἐν ταῖς ἑστίαις σποδῷ, ὡς παχεῖ ἱματίῳ [1].

76. Ἐκ τοῦ φόβου τοῦ ψύχους καὶ ὁ Ἔρως ἔθετο πυρεῖον ἐν τοῖς ἑαυτοῦ οἴκοις, τοῖς τῶν γυναικῶν στήθεσιν· πῶς γὰρ ἂν ἄλλως ἦν θερμὸν τὸ ζεῦγος τῶν γυναικείων μαστῶν, εἰς ἡδονὴν τῶν ἀνδρῶν;

77. Θλιβομένη ἡ Δραουπαδὴ τῷ ψύχει ἐν τῷ χιονόδει ὄρει, ἰδοῦσα ἐν νυκτὶ φοτεινὰς βοτάνας [2] προσέδραμε, νομίσασα ἀνθρακιὰν, καὶ διὰ τοῦτο ἐγελᾶτο πολλάκις ὑπὸ τῶν ἀνδρῶν αὐτῆς.

78. Ὁ δὲ Σισσείρας, ὁ κατακαίων τῷ ψύχει καὶ ἄνθη, καὶ φυτὰ, καὶ πᾶσαν χλόην, γνοὺς τὴν ἔλευσιν τοῦ Ἔαρος, τοῦ ἀνθοποιοῦ καὶ πασῶν τῶν ὡρῶν τοῦ ἔτους κυρίου, φοβηθεὶς ἀνέχωρησεν.

79. Ὑπὸ μὲν οὖν τῶν Πανδοειδῶν διηνύθησαν ἐνταῦθα τέσσαρα ἔτη μετὰ χαρᾶς, τῆς Δραουουπαδῆς [3] φωνὴν μὲν ἐχούσης ὁμοίαν τῇ τῆς Κοκιλᾶς, τρίχας δὲ λεπτὰς, ὡς τὴν κόνιν τοῦ ἄνθους Σιρίσσα [4], κόμην δὲ πυκνὴν, ὡς τὴν οὐρὰν τοῦ ταὼ, ὄμματα δὲ, ὡς τὸ σῶμα τῆς σεισοπυγίδος [5], γέλωτα δὲ, ὡς τὴν λευκὴν κόνιν τοῦ ἄνθους Ῥόδρα, ὀδόντας δὲ, ὡς τὰ ἄνθη Κούνδα.

---

1. Τὸ πῦρ ἐθλίβετο ψύχει, καίπερ κεκαλυμμένον· καλυπτόμενον γὰρ τὸ πῦρ σποδῷ, οὐκ ἀποσβέννυται.

2. Λέγουσιν ὡς βοτάνη ἐστὶν, ἡ λάμπει ἐν νυκτὶ, ὡς πῦρ.

3. Ἐν τούτῳ τῷ στίχῳ ἔπαινός ἐστι τῆς Δραουπαδῆς, χάριτας ἐχούσης ἀναλόγως ταῖς τῶν ἓξ ὡρῶν τοῦ ἔτους.

4. Κατὰ τὴν ἀπαλότητα.

5. Τὸ ὀξύῤῥοπον τοῦ σώματος τῆς Ἰύγγος ἐννοεῖ.

80. Γνόντες δ' οὗτοι οἱ πέντε ἥρωες, ὡς δέκα ἔτη ἐπληρώθησαν ἀπὸ τῆς ἡμέρας τῆς κυβείας, ἀφέντες τὸ ὄρος Ἰμαὸν, ἔμειναν ἕνα μῆνα ἐν τῷ ἄλσει Βαδαφῇ. Καταβάντες δ' εἶτα ἐκεῖθεν, ἔλαβον τὰς ἀμάξας, ἃς ἀφῆκαν ἐν τῇ πόλει τοῦ βασιλέως Σουβαχοῦ, καὶ ἀποπέμψαντες τὸν υἱὸν τοῦ Βήμα [1], ἐπορεύθησαν εἰς τὸ ὄρος Ἰαμουνάν.

Τέλος τοῦ Τρίτου Κεφαλαίου
τοῦ Τρίτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ,

δ διαλαμβάνει τὴν ἐμφάνειαν τοῦ Δάρμα.

1. Σέβομαι τὸν μέλανα ἐκεῖνον ὅσιον, οὗ τοῦ σώματος τὴν μελανότητα, ὡς *Σιδδανζάναν* [2], θεὶς ὁ ἄνθρωπος ἐν τοῖς ὀφθαλμοῖς, βλέπει ἀμέσως τοὺς τρεῖς κόσμους [3].
2. Οἱ δὲ Πανδοΐδαι διῆγον ἐντρυφῶντες τοῖς ἄλσεσι τοῦ ὄρους Ἰαμουνᾶς, ὧν πάντα τὰ ἄνθη ἠγλαΐζοντο τῷ πρὸς ἀλλήλους ἁβρῷ καὶ λαμπρῷ μειδιάματι.
3. Ἐνταῦθα τούτων διατριβόντων τε καὶ συλλαλούντων ἀλλήλοις ἡδέως, αἱ βοτάναι ἐνόμιζον τὸν οἰκεῖον τόπον μακάριον [4].

---

1. Τὸν Γατοτκάσαν.
2. Σιδδανζάνα, τελεσιουργικὴ βαφὴ τῶν ὀμμάτων.
3. Ὁ βάπτων τὰ ὄμματα τοιαύτῃ βαφῇ, βλέπει καὶ τὰ ὑπὸ γῆν.
4. Ὅτι ἐκεῖ ἦλθον ἐκεῖνοι, ἔνθα αὗται ἔφυσαν.

4. Ἐνταῦθα καὶ ἡ Κρισνὰ, ἁβρῶς περιπατοῦσα, καλοῦσα τοὺς χῆνας τῷ ἤχῳ τῶν περιπεζίων, καὶ ὥσπερ διδάσκουσα αὐτοὺς τὸν περίπατον διὰ τῶν ἠχούντων περιπεζίων, ὡς διὰ γλώσσης λαλούσης, ἐγίνετο αὐτοῖς διδάσκαλος.

5. Ἀκούοντες δ' οἱ τοῦ ἄλσους θεοὶ τῆς γλυκείας καὶ χαριέσσης φωνῆς τῆς Κρισνᾶς, μεγάλην τερπωλὴν ἀεὶ ἐλάμβανον, νομίζοντες αὐτὴν ὡς μέλι.

6. Ἡ δὲ Κρισνὰ, στεφανουμένη ὑπὸ τῶν ἀνδρῶν ἑαυτῆς, ἄνθεσι τοῖς προσήκουσι τῇ ὥρᾳ, περιπατοῦσα ἐκόσμει, ὡς κινητὴ ἀναδενδρὰς, τὸ ἄλσος.

7. Ἐνταῦθα μὲν οὖν ὑπὸ τούτων τῶν ἐνδόξων ἀπογόνων τῆς Σελήνης, πολυειδῶς εὐφραινομένων, διηνύθη τὸ ἑνδέκατον ἔτος τῆς ἐξορίας.

8. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, πορευθὺς ὁ Βήμας ἐν θήρᾳ, εἶδεν ὄφιν μεγαλόσωμον, κείμενον ἔν τινι σπηλαίῳ τοῦ ὄρους.

9. Προσεπέλασε δ' ὁ Βήμας ἐπὶ θεωρίᾳ ἀκριβεῖ ἐκείνῳ τῷ ὄφει, τῷ ἔχοντι σῶμα ὅμοιον τῷ σιδηρῷ τείχει τῆς πόλεως τοῦ Ἰάμα.

10. Ἰδὼν δὲ τὸν Βήμαν ὁ δυσαντίβλεπτος ὄφις, ὁ ἔχων ἐρυθρὸν λίθον ἐπὶ κεφαλῆς, ὁμοιοφανῆ τῇ φλογὶ τοῦ θυμοῦ, τῇ ἐξιούσῃ ἐκ τοῦ βρέγματος, ἔδραμε κατ' αὐτοῦ.

11. Ἔδραμε δὲ καὶ ὁ Βήμας θυμῷ, κρατῶν τὴν κορύνην, εἰς τὸ ἀνελεῖν αὐτὸν, τὸν ἔχοντα δύω γλώσσας ἐν στόματι, ὡς δύο χεῖρας τοῦ θανάτου.

12. Ἡ δὲ κορύνη τοῦ υἱοῦ τοῦ Ἀέρος ἔπεσεν ἐκ τοῦ ἀέρος, τοῦ γενομένου ἐκ τοῦ συρίγματος τοῦ ὄφεως· καὶ ὁ οἰκεῖος γὰρ, συνὼν τῷ ἐχθρῷ, ἐχθροῦ φύσιν εἴληχε.

13. Βουλόμενος δ' ὁ Βήμας ἀνελεῖν τὸν ὄφιν τῷ βραχίονι, περιειλίχθη ὑπὸ τοῦ σώματος τοῦ ὄφεως ἀπὸ ποδῶν μέχρι λαιμοῦ.

14. Δεδεμένος δ' ὑπ' ἐκείνου τοῦ ἀνεμοφάγου [1] ὄφεως, ἀναταράττων τὸ σῶμα σφοδρῶς, οὐκ ἦν δυνατὸς λυτρωθῆναι, καίπερ υἱὸς τοῦ μεγάλοδυνάμου Ἀέρος.

15. Ἐλθὼν δὲ ὁ υἱὸς τοῦ Δάρμα ἐκ τῶν ἀπαισίων σημείων, ὧν εἶδεν, εἶδε τὸν Βήμαν δεδεμένον τὸ σῶμα ὑπὸ τοῦ ὄφεως, καὶ νενεκρωμένον πάντα τὰ μέλη.

16. Διανοησάμενος δὲ ταῦτα, « Ποῦ ὄφις δυνατὸς κατισχύσαι τοῦ Βήμα ; Θεός δέ τις ὀργισθείς », ἔφη ὁ Ἰνδιστίρας τῷ ὄφει· « Τίς εἶ σύ ; ἢ διὰ τί οὗτος δεδεμένος ; »

17. Ὁ δ' ὄφις ἀπεκρίνατο τῷ βασιλεῖ ἀνθρωπείᾳ φωνῇ· « Ἐγὼ » ὦ μεγαλοβραχίων, ὄφις εἰμὶ οἰκῶν ἐν τούτῳ τῷ δάσει.

18. « Πάντα τὰ ζῶα βρώσιμά μοι ἐστίν· οὗτος δὲ, φονεύων » ταῦτα, καὶ διὰ τοῦτο ἔνοχος ὤν, ἐδέθη ὑπ' ἐμοῦ· ἡ » γὰρ πρὸς ἓν καὶ τὸ αὐτὸ πρᾶγμα ἔφεσις, ἔχθρα μεγά- » λη γίνεται [2].

19. « Οὐδέποτε δ' ἔγωγε ὑφ' ἑνός τινος ζώου ἐκορέσθην· σή- » μερον δὲ, πληρώσας τὴν γαστέρα ὑπὸ τούτου, τοῦ ἔχον- » τος μέγα σῶμα, κοιμηθήσομαι ἐν ἀκαρεῖ.

20. « Ἐκείνῳ μέν τοι γε δώσω, ὡς εὐχαριστήριον, τοῦτον τὸν » ὄντα ἐμοὶ βρῶμα, ὃς ἀπόκρισιν κατάλληλον [3] δώσει μοι » πρὸς τὰς ἐρωτήσεις. »

21. Πρὸς ὃν ἔφη ὁ βασιλεὺς [4]· « Εἰ οὕτως ἔχει, ἐρώτα· ἐγὼ » γὰρ ταπεινὴν ποιήσομαι, ὦ ὄφι, τὴν ἐπὶ τῇ ἐρωτήσει » σου ἔπαρσιν.

---

1. Ὅτι τὸν Ἄνεμον τρώγει, τὸν πατέρα τοῦ Βήμα, πολλῷ μᾶλλον τὸν υἱὸν αὐτοῦ, τὸν Βήμαν.

2. Ἡ πρὸς ἓν καὶ τὸ αὐτὸ πρᾶγμα ἔφεσις δύο ἀνθρώπων, ἔχθρα γίνεται.

3. Αὐτολεξεὶ, εὐφυᾶ.

4. Αὐτολεξεὶ, ὁ Σελήνη τῆς γῆς.

22. « Ἀβέβαιος δ' ἐστὶν ὁ λόγος οὗτος· « Ἆρα καὶ ἐκ τοῦ » ἰοῦ ἀμβροσία ἂν γένοιτο [1] ; » Εἶτα δ' ἔφησε πρὸς τὸν βασιλέα ὁ ὄφις·

23. « Τίς Βραχμάν; καὶ τίς Σούδρας; τίς φίλος; καὶ τίς ἐχ- » θρός; τίς εὔφρων; καὶ τίς ἄφρων; τίς ἀνδρεῖος; καὶ » τίς δειλός;

24. « Τίς ἀλήθεια; καὶ τί ψεῦδος; τίς ἀρετή; καὶ τίς κα- » κία; τίς ὀδύνη καὶ τίς ἄνεσις; τίς ἀπάθεια; καὶ τίς » ἐμπάθεια; »

25. Τοῦ μὲν ὄφεως ἐκείνου ἐρωτήσαντος τοιαύτας διττὰς » ἐρωτήσεις, διότι καὶ διττὴν γλῶσσαν ἔχει, ὁ εὔφρων Ἰνδιστίρας ἀπεκρίνατο μειδιῶντι προσώπῳ·

26. « Ἐγὼ ἐκεῖνον γινώσκω Βραχμᾶνα, οὗ ἡ ἐγκράτεια ἀνυ- » πόκριτός ἐστιν· ἀλλὰ καὶ ὁ Σούδρας βραχμανικὴν τάξιν » εἴληχε διὰ τῆς ἐγκρατείας, εἰ ἀνυποκρίτως αὐτὴν ποιεῖ.

27. « Σούδραν δ' ἐκεῖνον γίνωσκε, ὦ ὄφεων βασιλεῦ, ὃς ἰτα- » μός ἐστι, καὶ φαῦλα πράττει· καὶ οἱ γινώσκοντες γὰρ » τὰς τρεῖς Βέδας Σούδρα τάξιν εἰλήχασιν, ὄντες φαυ- » λόβιοι (κακεργάται).

28. « Ἡ μὲν πρὸς τὰ καλὰ ἔργα ἐπιμέλεια καὶ φροντὶς, φίλος » ἐστὶν, ἡ δ' ἀμέλεια καὶ ἀκηδία, μέγας ἐχθρός. Εὔ- » φρων δ' ἐστὶν ὁ καθαρὸς τὴν καρδίαν [2] καὶ εὐσεβής· » ἄφρων δὲ τἀνάπαλιν, ὁ ἀσεβὴς καὶ ἄθεος.

---

1. Τουτέστι δύναται γενέσθαι ἀμβροσία καὶ ἐκ τοῦ ἰοῦ; Ἐπειδὴ ὁ ὄφις εἶπεν· « Ἐγὼ δώσω σοι τοῦτον τὸν ὄντα ἐμὸν βρῶμα, ἐὰν δῷς μοι ἀπό- » κρισιν εἰς τὰς ἐρωτήσεις », τὸ δὲ βρῶμα τοῦ ὄφεως δυσαπόσπαστόν ἐςιν καὶ δυσάφετον· διὰ τοῦτο λέγει ὁ Ἰνδιστίρας, ὅτι « καὶ ἐκ τοῦ ἰοῦ ἀμβρο- » σία ἂν γένοιτο; » οἱονεὶ ἔλεγεν· ἐπὶ σοὶ κεῖται δοῦναί μοι τὸν ἀδελφὸν σῶον καὶ ζῶντα.

2. Ὁ καθαρὸς τὴν καρδίαν βαδίζει τὴν εὐθεῖαν καὶ ποιεῖ τὰ τοῦ νόμου.

29. « Ἀνδρεῖός ἐστιν ἐκεῖνος, δοκεῖμοι, ὃς ἀναιρεῖ τοὺς ἐσω-
» τερικοὺς ἐχθροὺς, τὴν ἐπιθυμίαν, καὶ τὰ λοιπὰ πάθη,
» τὰ εἰσερχόμενα εἰς τὴν καρδίαν διὰ τῆς κατανεύσεως
» τῶν αἰσθήσεων [1].

30. « Ὅστις δ' ἀφεὶς τὴν καρτερίαν, ᾧ ὄφι, τρέμει ἐκ τοῦ
» ἰδεῖν ἐρωτικὰ βλέμματα γυναικῶν, οὗτός ἐστι πάντως
» γε δειλός.

31. « Ὅστις δὲ λόγος, καί περ ψευδὴς, λέγεται εἰς σωτηρίαν
» ζωῆς ἀνθρώπου, οὗτος ἀληθειά ἐστι· ψεῦδος δὲ τἀνά-
» παλιν, καί περ ἀληθειά ἐστιν, ὃ γίνεται εἰς βλάβην
» ἄλλων.

32. « Τὸ δὲ μὴ καταφρονεῖν Θεοῦ ἄλλων, ἢ τοῦ καταγομένου
» ἐκ γένους βασιλικοῦ, ἥτε δωρεὰ πρὸς καλὸν ἄνδρα καὶ
» ἄπορον, καὶ ἡ ἀνοχὴ, αὕτη ἀρετή ἐστι μεγάλη.

33. « Κακίαν δὲ λέγω, ᾧ ὄφι, τὴν ἀχαριστίαν πρὸς τὸν εὐερ-
» γέτην, τὴν ἀπάτην πρὸς τὸν ἐμπιστευσάμενόν τι τινὶ [2],
» καὶ τὴν ἐκ μεγάλου βαθμοῦ ὑπεροψίαν πρὸς τὸν ἄξιον
» τιμῆς [3].

34. « Ἡ δὲ πρὸς πάντα μετριότης, ἀνεσίς ἐστιν· ἡ δὲ πλεο-
» νεξία, ὀδύνη· ἀπάθεια δὲ, ἡ πρὸς τὸν Θεὸν θεωρία· ἐμ-
» πάθεια δὲ, ἡ πρὸς τὰ πάθη ἀσχολία τοῦ νοός. »

35. Τοιαύταις ἀποκρίσεσιν ὁ βασιλεὺς οὗτος, ὥς περ ἐπω-

---

1. Ὅστις οὐκ ἔστι κύριος τῶν αἰσθήσεων, ἀλλ' αἱ αἰσθήσεις εἰσὶ κύ-
ριαι, οὗτος ὅ,τι προστάττουσιν αἱ αἰσθήσεις, τοῦτο καὶ πράττει, δηλο-
νότι, οὗ αἰσθάνεται καὶ ἐπιθυμεῖ, τοῦτο καὶ εἰς ἔργον βάλλει.

2. Ἐνεπιστεύσατό τις τινὶ χρήματα ἢ παρακαταθήκην, οὗτος δὲ
κατέφαγεν αὐτὰ ἢ ἠρνήσατο.

3. Νομίζει, ὅτι αὐτὸς μέγας τις ἐστὶ, καὶ διὰ τοῦτο οὐ καταδέχεται
τιμῆσαι τὸν ἄξιον τιμῆς, εἴτε βασιλεύς ἐστιν οὗτος, ἢ Θεὸς, ἢ πατὴρ,
ἢ διδάσκαλος.

δαῖς τισιν, εἶδε τὸν Βήμαν ἀπόλυτον ἀπέναντι, τὸν δ' ὄφιν οὐκ εἶδε.

36. Καί τις Θεὸς, καθήμενος ἐπὶ φορείου, ἐκφωνήσας, «Νίκα, » νίκα, βασιλεῦ,» ῥίπτων ἄνθη ἐπὶ τῆς κορυφῆς τοῦ Ἰνδιστίρα, ἔφη αὐτῷ χαίροντι·

37. «Πάντων τῶν ἑκατὸν Καουραβῶν κεχραμμένων λίαν τοῖς » πάθεσι, σὺ μόνος εἶ, ὦ τέκνον, ὡς περ εἷς λαμπρὸς » μαργαρίτης ἐν τῇ ἡμετέρᾳ γεννεᾷ [1].

38. «Ἐγώ εἰμι ἐκεῖνος ὁ προγενέστερός σου Ναχούσσας [2], ὃς » διὰ τῶν ἀσκήσεων ἔτυχον τῆς λαμπρᾶς δόξης τοῦ Ἴν» δρα [3].

39. «Ἐφερόμην δ' ἐπὶ *Βιμᾶνος* [4], βασταζομένου ὑπὸ Γανδαρ» βῶν, καὶ θεῶν, καὶ μεγάλων ὁσίων, ἐπιθυμῶν συνεῖναι » τῇ Σακῇ [5].

40. «Εἰπόντος δέμου τῷ Ἀγαστέᾳ, «Πορεύου πορεύου [6],

---

1. Τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

2. Ὁ βασιλεὺς Ναχούσσας, περὶ οὗ ἐν τῷ πρώτῳ Βιβλίῳ ἱστόρηται, ἐκ τῆς οἰκείας ἀρετῆς ἐγένετο θεός. Ἐν δὲ πολέμῳ, νικηθεὶς ὁ Ἴνδρας ὑπὸ τῶν Γιγάντων, ἔφυγε καὶ ἐκρύβη ἐν καυλῷ λωτοῦ ἐπὶ λίμνης. Οἱ δὲ θεοὶ ἔθηκαν ἐπὶ τοῦ θρόνου τοῦ Ἴνδρα τὸν Ναχούσσαν, ᾧ οὐκ ἤθελε συνεῖναι ἡ Σακὴ, ἡ γυνὴ τοῦ Ἴνδρα, γινώσκουσα, ὡς ὁ ἀνὴρ αὐτῆς ζῇ. Βιαζομένης δὲ ὑπὸ τοῦ Ναχούσσα, ὁ Βριχασπατὴς συνεβούλευσεν αὐτῇ εἰπεῖν τῷ Ναχούσσᾳ, ὡς τότε στέργει, ὅταν ἔλθῃ αὐτὸς ἐπὶ Βιμᾶνος, φερομένου ὑπὸ θεῶν καὶ βραχμάνων ὁσίων. Ὁ δὲ οὕτω καὶ ἐποίησεν, ἀγγαρεύσας θεοὺς καὶ βραχμᾶνας εἰς τὸ ἆραι τὸ φορεῖον· καὶ ἀρὰν λαβὼν παρὰ τοῦ Ἀγαστέου, κατέπεσεν ἐξ οὐρανοῦ, καὶ ἐγένετο ὄφις.

3. Ἐγενόμην δηλ. Ἴνδρας.

4. Βιμὰν λέγεται τὸ φορεῖον.

5. Τῇ γυναικὶ τοῦ Ἴνδρα.

6. Σάρπα δηλοῖ, ἕρπε, πορεύου, Σάρπα δὲ λέγεται καὶ ὁ ὄφις.

» ταχέως,» οὗτος θυμῷ κατασχεθείς, κατηράσατο, εἰπών, « Ἔσο ὄφις [7]. »

41. « Ἦν δὲ χάριν δέδωκέ μοι τότε ὁ ὅσιος Ἀγαστέας [2], ἱκε- » τευθεὶς ὑπ' ἐμοῦ, αὕτη ἐφάνη ἤδη ἐμπράκτως ἐκ τῶν » εἰς τὰς ἐμὰς ἐρωτήσεις ἀποκρίσεών σου, αἳ ἔδωκάν μοι » τὴν λύτρωσιν.

42. « Ὅθεν πορεύου, ὦ τέκνον, καὶ φρόντιζε τῶν πρακτέων καὶ » νίκα. » Ταῦτα εἰπὼν ὁ μορφὴν Θεοῦ ἔχων Ναχούσσας, ἀνῆλθεν εἰς τὸν οὐρανόν.

43. Οἱ μὲν οὖν Πανδοΐδαι, χαρέντες τῇ ἱστορίᾳ ἐκείνου τοῦ Ναχούσσα, ἐπορεύθησαν εἰς τὸ ἄλσος Καμεκὰν, ἔνθα καὶ ἐδεξιώθησαν [3] ὑπὸ τῶν Νυμφῶν.

44. Ὁ δὲ Κρισνᾶς, καὶ Ναράδας, καὶ Μαρκάνδας, καὶ ἄλλοι ὅσιοι, ἐλθόντες καὶ διεξελθόντες αὐτοῖς πολλὰς ἱστορίας, ἀπῆλθον ὅθεν ἦλθον.

45. Πεισθεὶς δὲ τῷ λόγῳ τοῦ Καρνᾶ ὁ Δουριοδάνας, λαβὼν ἄδειαν παρὰ τοῦ πατρὸς, ὡς δῆθεν ὀψόμενος τὰς ἐν τῇ ἐπαύλει βοῦς, ἐπορεύθη μετὰ στρατοῦ εἰς τὸ ἄλσος Δβαΐταν, πρὸς ἀναίρεσιν τῶν Πανδοϊδῶν.

46. Βουλόμενος δὲ καταλύσαι παρὰ τὸ χεῖλος τῆς λίμνης, τῆς ἐν τῷ ἄλσει Δβαΐτᾳ, ἐκωλύθη ὑπὸ τῶν ἀκολούθων τοῦ Σιτρασένα Γανδάρβα, τοῦ διατριβὰς ποιοῦντος ἐκεῖ τότε.

47. Ἐν δὲ τῷ πολέμῳ, τῷ συγκροτηθέντι ἐκ ταύτης τῆς

---

1. Ἐπειδὴ ἐκεῖνος εἶπε, «Σάρπα, σάρπα,» τουτέστιν πορεύου, πορεύου, διὰ τοῦτο καὶ οὗτος ἔφη «ἔσο Σάρπα, τουτέστιν ὄφις, κατηράσατο καταλλήλως τῇ λέξει ἐκείνου.

2. Αὕτη ἦν ἡ χάρις· ὅταν τις δῷ σοι κατάλληλον ἀπόκρισιν τῆς ἐρωτήσεώς σου, τότε λυτρωθείσῃ τῆς ἀρᾶς.

3. Αὐτολεξεὶ, ἠρωτήθησαν περὶ τῆς ὑγείας ἑαυτῶν.

αἰτίας, διαῤῥήξας ὁ Σιτρασένας τὰ ἅρματα τῶν προμάχων ἡρώων, ἥρπαξεν ἔμπροσθεν τοῦ στρατοῦ τὸν Δουριοδάναν σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

48. Αἱ δὲ γυναῖκες τῶν Καουραβῶν, προσελθοῦσαι τῷ Ἰνδιστίρᾳ, ὄντι ἐν τῷ ἄλσει Δβαΐτα, καὶ θύοντι ἐκείνην τὴν ἡμέραν θυσίαν μεγάλην, ὠδύροντο.

49. Μαθὼν δ' ὁ Ἰνδιστίρας τὰ περὶ αὐτῶν, καταπαύσας τὸν Βήμαν γελῶντα [1], ἔπεμψεν αὐτὸν, μετὰ τοῦ Ἀρζούνα καὶ Νακούλα καὶ Σαχαδέβα, εἰς λύτρωσιν τῶν συγγενῶν.

50. Βροχὴ δ' ἐγένετο εἰς τὸν αἰθέρα τοῖς βέλεσιν ὑπὸ τούτων τῶν ὀλεθρίων ἐχθρῶν, ὥςπερ ὑπὸ νεφῶν ἀντιστρόφων [2].

51. Ἐκ δὲ τοῦ φόβου τῶν βελῶν ὁ Ἥλιος ψυχρὸς ἐγένετο πολλῷ ῥέοντι ἱδρῶτι, καὶ ὁ ἡνίοχος τοῦ Ἡλίου [3], φοβηθεὶς, φυγεῖν ἤθελεν ἐκ τοῦ ἅρματος· ἄπους δ' ὢν [4]· οὐκ ἠδύνατο.

52. Ξυνάπαντα δὲ τὰ ἄστρα βουλὴν ἔθεντο ἀθρόα πορευθῆναι εἰς τὸ ἕτερον πλάγιον τοῦ ὄρους Μεροῦ, καὶ εἰπεῖν τῇ Σελήνῃ· « ὦ Κυρία, οἱ ἕλκοντες τὸ γένος ἐκ σοῦ ἀναιροῦσιν » ἡμᾶς. »

53. Στραφεὶς δ' ὁ Σιτρασένας, κατέκοπτε τὰ βέλη τῶν Πανδοϊδῶν, τὰ θλίβοντα τὴν στρατιὰν τῶν Γανδαρβῶν, τῶν πολλῷ θυμῷ ὁρμωμένων.

54. Διασκεδάσας δ' ὁ υἱὸς τοῦ Ἴνδρα τὸ τοῦ ἐχθροῦ μαγικὸν σκότος τῷ πυρίνῳ βέλει, ἐφόνευσεν ἑκατὸν μυριάδας Γανδαρβῶν.

---

1. Ἐγέλα, διότι οὕτω καὶ ὁ Δουριοδάνας ἐγέλα, ὅτε ἡ Δραουπαδὴ ὠδύρετο.

2. Οἱ περὶ τὸν Σιτρασέναν ἔφερον εἰς τὸν αἰθέρα τοὺς περὶ τὸν Δουριοδάναν· οἱ δὲ Πανδοΐδαι ἐτόξευον κάτωθεν.

3. Ἀρούνας λέγεται ὁ ἡνίοχος τοῦ Ἡλίου· ἔστι δ' ἄπους καὶ ἀσκελής· τοῦτο δ' ὑπαινίττεται, ὡς ᾖ ἡνιοχεῖ καὶ ἐλαύνει τὸ ἡλιακὸν ἅρμα.

4. Αὐτολεξεί, χωλός.

55. Τὸν δὲ Σιτρασέναν ὁ Ἀρζούνας, τὸν ἔμπειρον κορυνήτην, καίπερ ὄντα φίλον, ἀμήχανον ἐποίησεν [1], ὥσπερ ὁ Ἔρως τὸν ἐραστὴν τοῖς θέλεσι, καίπερ ἀνθίνοις.

56. Πρὸς ὃν ἔφησεν ὁ Σιτρασένας· « Μὴ παραφρόνει, ὦ Ἀρ-» ζούνα, ἐν τῷ οἰκείῳ ἀγαθῷ [2]· τίς γὰρ φρόνιμος ἐξάγει » ἐξ ἰλύος τὸν ὄφιν, τὸν ἄξιον θανάτου;

57. « Ὁ ἐχθρὸς οὗτος, ὁ Δουριοδάνας, ἦλθε στερήσων ὑμᾶς τῆς » βασιλικῆς δόξης, ὃς ἑάλω ὑπ' ἐμοῦ τῇ προσταγῇ τοῦ Ἰν-» δρα· διὰ τί οὖν σὺ ἀγωνίζῃ τοσοῦτον εἰς λύτρωσιν αὐτοῦ;

58. « Ὁ δὲ Καρνᾶς, ὅς ἐστιν ἡ ῥίζα, ἐξ ἧς ἔφυσαν τὰ πρὸς ὑμᾶς » κακὰ, οὐχ ἑάλω ὑπ' ἐμοῦ τότε, ἐπείπερ ἔφυγε ταχέως. »

59. Ἀπεκρίνατο δ' αὐτῷ ὁ Ἀρζούνας· « Οἱ ἥρωες οὐκ ἀνέχον-» ται νικηθῆναι τὸν ἐχθρὸν ὑπ' ἄλλων· τίς γὰρ ἀνάσχοι-» το οἰκεῖον ῥῶμα ῥωθῆναι ὑπ' ἄλλων;

60. « Ἐν ταῖς πρὸς ἀλλήλους διαφοραῖς ἡμεῖς οἱ πέντε καὶ » ἐκεῖνοι οἱ ἑκατὸν διῃρημένοι ἐσμέν· καταδιωκόμενοι » δ' ὑπ' ἄλλων, ἐνούμεθα, ὡς δεῖ.

61. « Τίς ἔτι χρεία πολλῶν λόγων; ἐγὼ γνώμης ἐγενόμην » τοῦτον λυτρῶσαι, κατὰ προσταγὴν τοῦ βασιλέως Ἰνδι-» στίρα, ὅς ἐστι τὸ πέλαγος τοῦ ἐλέους. »

62. Ἀφεθεὶς δ' ὁ Δουριοδάνας μετὰ τῶν ἀδελφῶν ὑπὸ τοῦ Σιτρασένα, καὶ ἀχθεὶς πρὸς τὸν Ἰνδιστίραν, ἦν κεκυφὼς [3] ἐν τῷ θυσιαστηρίῳ [4], ὥσπερ παρακαλῶν τὴν αἰσχύνην μένειν ἀεὶ ἐν αὐτῷ.

---

1. Δηλ. καίτοι οὐκ ἔτρωσεν αὐτὸν, ἀλλ' ἐποίησεν ἐν ἀμηχανίᾳ.

2. Οἱονεὶ ἔλεγε· ἐγὼ μὲν τὸν ἐχθρόν σου ἥρπαξα· σὺ δ' ἀνελεῖν βούλει ἐμέ;

3. Αὐτολεξεὶ, κύπτων τὸ πρόσωπον.

4. Ἐν τῷ θυσιαστηρίῳ τοῦ Ἰνδιστίρα, ὃς ἐποίει καὶ τότε θυσίαν, ὡς προείρηται.

63. Εἰπόντος δὲ τοῦ Ἰνδιστίρα· « Μὴ ποίει [1] εἰς τὸ ἑξῆς » τοιοῦτον, ὦ οὗτος, » ὁ Δουριοδάνας, δακεὶς τὴν καρδίαν αἰσχύνῃ, ἀνεχώρησεν ἐκεῖθεν.

64. Ὑπερόφρων δ' ὢν, ἐκάθησε καθ' ὁδὸν ἐπὶ στρώματος ἐκ Κούσσης, ἀφεὶς τὴν ἔφεσιν τοῦ πολέμου, θανεῖν θέλων, ὅτι ἐλυτρώθη διὰ βοηθείας ἐχθρῶν.

65. Καίπερ δὲ νουθετούμενος ὑπὸ τοῦ Καρνᾶ, ὃς ἦλθέ ποθεν, μαθὼν τὰ συμβεβηκότα, καὶ ὑπὸ τοῦ Δουσσασάνα καὶ Σακουνῆ, καὶ ἄλλων, οὐκ ἀνίστατο.

66. Οἱ δὲ Σουβραδανάβαι [2], οἱ μεγαλοσθενεῖς καὶ ἀπαλλάττοντες τὴν ἀπόνοιαν τῶν ἀνθρώπων, ἐλθόντες νύκτωρ, κατέπεισαν αὐτὸν μαγείᾳ, εἰπόντες·

67. « Σὺ μεγαλόψυχος ὢν καὶ γενναῖος ἐν πολέμοις, μὴ ἔσο μι- » κρόψυχος καὶ ταπεινὸς ἐν δεινοῖς· ἡμεῖς γὰρ ἐπικουρίαν » σοι ποιήσομεν εἰς πόλεμον. »

68. Οὕτω συμβουλευθείς τε καὶ ἀποπεμφθεὶς ὑπὸ τῶν μεγαλουργῶν ἀντιθέων Τιτάνων, ἐπορεύθη εἰς τὴν οἰκείαν πόλιν, ἐλπίζων ἐπ' αὐτοὺς ἐν πολέμῳ.

69. Πρὸς ὃν ἔφησεν ὁ Βήσμας ἐπὶ συνόδου· « Ὦ βασιλεῦ, » εὐθύμως ἔχεις καὶ ὑγιῶς; ὡράθη σοι τοιοῦτον ἀνδραγά- » θημα τοῦ Καρνᾶ καὶ τοῦ Ἀρζούνα;

70. « Νῦν μέντοι διαλλαγὴν ποίησον καὶ εἰρήνην, καὶ δὸς » τὸ ἐπιβάλλον μέρος τοῖς προσήκουσι, μηδ' ἀφάνιζε τὸ » γένος μίσει καὶ θυμῷ, ὡς πυρί. »

71. Καταφρονηθέντος δὲ τοῦ Βήσμα ἐπὶ τῷ εἰπεῖν τοιαῦτα, καὶ ἀναχωρήσαντος, ὁ Δουριοδάνας ἔφη τῷ Καρνᾷ, μᾶλλον ἐξαφθεὶς εἰς ἔχθραν τῇ ἀναμνήσει τοῦ λόγου τῶν Τιτάνων [3].

---

1. Μὴ ποίει δηλ. πόλεμον κατὰ τῶν Γανδαρβῶν, οἵ εἰσι θεοί.
2. Εἶδος Τιτάνων.
3. Ὅτε ὑπέσχοντο, ὅτι συμμαχήσουσιν αὐτῷ.

72. « Ὁ Ἰνδιστίρας ἐνικήθη μὲν πρότερον ἐν κυβείᾳ· νικηθή-
» σεται δ' ἔπειτα καὶν πολέμῳ· νῦν δὲ νικητέος ἐστὶ καὶ
» κατὰ τὴν τελετὴν τῆς Ῥαζασουΐας θυσίας, τῆς προστατ-
» τομένης ὑπὸ τοῦ νόμου.

73. « Ἐγὼ γὰρ τελέσω Ῥαζασουΐαν θυσίαν, ἀνωτέραν τῆς τοῦ
» Ἰνδιστίρα· ἴθι οὖν ἐπὶ νίκῃ κατὰ πάντων τῶν με-
» ρῶν τῆς γῆς, καθὼς ὁ Βήμας, Ἀρζούνας, Νακούλας,
» καὶ Σαχαδέβας. »

74. Ἐπιβαλλομένου δὲ ποιῆσαι τοῦ Καρνᾶ τὸ μέγα τοῦτο
ἔργον τῆς κατὰ τῶν μερῶν τῆς γῆς νίκης, ὁ *Πουροχίτας* [1]
ἔφη τῷ Δουριοδάνᾳ, τῷ ἐφιεμένῳ Ῥαζασουΐας·

75. « Ἑνὸς ὄντος τοῦ αὐτοκράτορος, ἕτερος αὐτοκράτωρ οὐ
» γίνεται· ὅθεν μὴ ἔσο, ὦ βασιλεῦ, τελεσιουργὸς τῆς ῥαζα-
» σουΐας θυσίας. »

76. Ἐτέλεσεν οὖν θυσίαν οὗτος ὁμοίαν τῇ Ῥαζασουΐᾳ, ἐν ᾗ ἦν
πολλὰ θύματα πρόσφορα τῷ Ἴνδρᾳ, καὶ εἰς ἣν οἱ Παν-
δοΐδαι οὐκ ἦλθον, κληθέντες.

77. Μετὰ δὲ τὴν θυσίαν ἔφη ὁ Καρνᾶς τῷ Δουριοδάνᾳ·
« Τοῦ Ἰνδιστίρα ἀναιρεθησομένου ἐν πολέμῳ, καὶ τῆς Ῥα-
» ζασουΐας τελεσθησομένης σοι, χαρὰν μεγάλην ἐν καρδίᾳ
» λήψομαι. »

78. Ἀκούσας δὲ τοῦ Καρνᾶ, εἰπόντος καὶ τοῦτο, « Ἐγὼ τοὺς
» ἐμαυτοῦ πόδας οὐ νίψω, ἐὰν μὴ ἀποκτείνω ἐν πολέμῳ
» τὸν Ἀρζούναν, » ὁ μωρὸς Δουριοδάνας ἐνόμισε τὴν νί-
κην ἐν χειρί.

79. Ὁ δ' εὔσπλαγχνος Ἰνδιστίρας, παρακληθεὶς ὑπὸ τῶν ζώων,
ἃ ἀπεκτάνθησαν ἐν θήρᾳ, καὶ ἐνεφανίσθησαν αὐτῷ κατ'
ὄναρ κατὰ τὸ ἅλσος Δβαΐταν, ἀνεχώρησε κατὰ τὸ

---

1. Ὁ Ἱερεύς.

ἅλσος Καμεκὰν, κατὰ τὴν λίμνην τοῦ Τριναβινδοῦ.

80. Ἀφέντες δ' οἱ Πανδοΐδαι ἐν τῇ μονῇ τοῦ Τριναβινδοῦ τὴν Κρισνὰν, ἀπήεσαν θηρεύσοντες, εἰς τὸ εἶναι γεγυμνασμένοι ἐν καιρῷ πολέμου [1].

81. Πορευόμενος δ' ὁ βασιλεὺς Ζαϊατράτας [2] διὰ ταύτης τῆς ὁδοῦ εἰς τὴν χώραν Σάλβαν ἐπὶ γάμῳ, ἥρπαξε τὴν Κρισνὰν, καὶ ἀπώλεσε τὸ μέγα κλέος, ὃ εἶχεν, ὡς λευκὸν ὅρμον ἐκ μαργάρων.

82. Ἀπολέσας δ' οὗτος ὁ ἀνὴρ τῆς θυγατρὸς τοῦ Δρυταράστρα πολὺν στρατὸν ὑπὸ τῶν Πανδοϊδῶν, ἐρχομένων κατόπιν, στρέψας τὸ ἅρμα ὥρμησε κατ' αὐτῶν θυμ

83. Οἱ μὲν οὖν στρατιῶται τούτου ἔπιπτον ὑπὸ τῶν συνεχῶν βελῶν τοῦ Ἀρζούνα, καθὼς τὰ ζῶα ὑπὸ τοῦ ῥαγδαίου ὑετοῦ, μὴ ὄντα ὑπὸ σκέπην·

84. Ὁ δὲ Βήμας, συντρίψας τὸ ἅρμα τοῦ Ζαϊατράτα τῇ πληγῇ τῆς θαυμαστῆς κορύνης, ἀπέλυσεν αὐτὸν, εἰπόντα· « Ἐγώ εἰμι δοῦλος σός. »

85. Ἀναλαβόντες δ' οὗτοι τὴν ἑαυτῶν γυναῖκα λίαν ἀγαλλομένην ἐπὶ τῇ ἀνδρείᾳ τῶν ἑαυτῆς ἐνδόξων ἀνδρῶν [3], ἐπανέστρεψαν εἰς τὸ οἰκεῖον κατάλυμα.

86. Ποιῶν δ' ἐγκράτειαν καὶ ἄσκησιν ἐν τῇ ὄχθῃ τῆς Γαγγᾶς ὁ Ζαϊατράτας, ἐμφανέντος τοῦ Σίβα, ἠτήσατο παρ' αὐτοῦ νίκην κατὰ τῶν Πανδοϊδῶν.

87. Πρὸς ὃν ἀπεκρίνατο ὁ Σίβας· « Σὺ ἐν πολέμῳ νικήσεις » τοὺς τέσσαρας μόνον Πανδοΐδας· ὁ γὰρ Ἀρζούνας, ὁ

---

1. Οὐχὶ διὰ κρέας δηλ. ζώων. ἀλλὰ διὰ γύμνασιν τοῦ σώματος.

2. Νικόδιφρος.

3. Αὐτολεξεὶ, στεφανουμένην τῇ φρίκῃ ἐπὶ τῇ ἀνδρείᾳ τῶν ἑαυτῆς ἀνδρῶν.

» φίλος τοῦ Κρισνᾶ, ὑπὸ τίνος νικηθείη ἂν, ὑφ' οὗ καὶ » ἐγὼ ἐνικήθην [1]; »

88. Τοῦ μὲν οὖν κορυφαίου πάντων τῶν θεῶν ἀφάντου γενομένου μετὰ τὸ ἐπαγγείλασθαι ταῦτα, ὁ Ζαϊατράτας ἐπορεύθη εἰς τὴν ἑαυτοῦ πόλιν, ὥς περ ἀπολαύσας οὗ ἐπεθύμει.

89. Βραχμὰν δέ τις προσελθὼν, ἔφη τῷ Ἰνδιστίρᾳ, ὄντι ἐν τῷ ἄλσει Δβαΐτα· « Ἐλαφός τις ἀφείλετό μου τὴν Ἀρα- » νὴν [2], συμπλεχθεῖσαν τοῖς κέρασιν αὐτῆς. »

90. Δραξάμενοι δ' οἱ Πανδοΐδαι παραυτίκα τῶν δεινῶν τόξων, καὶ δραμόντες κατόπιν τῆς ἐλάφου, οὐκ εἶδον αὐτὴν, καθὼς οἱ θεράποντες κακοῦ κυρίου ἄνεσιν οὐ βλέπουσι.

91. Καθισάντων δ' εἰς ἀνάπαυσιν ὑπὸ δένδρον Βάταν, ἐν ὑπωρείᾳ τινι, ἐπορεύθη ὁ Νακούλας εἰς κομιδὴν ὕδατος· μὴ ἐπιστρέψαντος δὲ διὰ πολλοῦ, ἐπορεύθη ἕκαστος τῶν ἀδελφῶν κατὰ διαδοχὴν [3] εἰς ἀναζήτησιν.

92. Πορευθεὶς δὲ τελευταῖον καὶ ὁ Ἰνδιστίρας, εἶδεν ἀθρόους τοὺς ἀδελφοὺς παρά τινι λίμνῃ πεπτωκότας, ὡς μεγάλους ἐλέφαντας.

93. Διαλογιζομένῳ δὲ τούτῳ ἐν καρδίᾳ, τί ἄρα εἴη τοῦτο, φωνὴ ἐγένετο αὖτη οὐρανόθεν, εἰς ἀπορίαν αὐτὸν ἄγουσα·

94. « Ἐγὼ, ὦ βασιλεῦ, Ἰάξας εἰμί· τοῖς δὲ βουλομένοις » πιεῖν ὕδωρ, θάνατος ἐπιγίνεται, ἂν μὴ διαλύωσι τἀμὰ » προβλήματα· διάλυσον δὴ ταῦτα, καὶ πίε ὕδωρ ὅσον » βούλει. »

---

1. Ὅτ' ἐν σχήματι Κιράτα ἦλθε κατ' αὐτοῦ.
2. Ἀρανὴ, εἶδος ξύλου, ἐξ οὗ συντριβομένου ἐξάγουσι πῦρ εἰς θυσίαν.
3. Τουτέστιν εἷς κατόπιν τοῦ ἄλλου ἐπορεύετο.

95. «Θανόντων τῶν ἐμῶν ἀδελφῶν, ἔφη ὁ βασιλεὺς, τί δεῖ-
» μοι τούτου τοῦ ὕδατος; ἀλλὰ καὶ οὕτως ἐγὼ διαλύσω
» τὰ ἀγαπητά σοι προβλήματα· πρότεινε οὖν ὅ,τι βούλει.»

96. Τοιαῦτα φαμένου τοῦ Βασιλέως, ἐκ μὲν τοῦ οὐρανοῦ ἐρωτήσεως λόγοι ἐγίνοντο, ὁ δὲ βασιλεὺς ἐδίδω εὐθέως τὴν ἀπόκρισιν εἰς ἑκάστην ἐρώτησιν.

97. «Τίς Θεός [1]; — «Ἡ ψυχὴ αὐτὴ, ἥτις γινώσκεται τῇ ἐρ-
» μηνείᾳ τοῦ καλοῦ διδασκάλου.» — «Τίς εἱμαρμένη; —
«Τὸ προγεγονὸς ἔργον [2], ὃ οὐ δύναταί τις ἀποφυγεῖν,
» οὔτε Θεὸς, οὔτε Δαίμων.—

98. «Τίς ὄλβιος;» — «Ὁ ἐγκρατὴς τῶν αἰσθήσεων [3].» — «Τίς
» καθαρός; — «Ὁ λουόμενος ἀεὶ ἀληθολογίᾳ (ἀληθοε-
» πία), ὡς ὕδατι τῆς Γαγγᾶς.»

99. «Τίς εὐδαιμονία;» — «Ἡ πρὸς πάντα ὀλιγάρκεια (αὐ-
» τάρκεια).» — «Τίς κακοδαιμονία;» — «Ἡ πλεονεξία.»
— «Τίς λύτρωσις [4];» — «Ἡ διάξευξις τοῦ νοὸς ἀπὸ πά-
» σης μερίμνης βιωτικῆς [5].»

100. Πάλιν δ' οὐρανόθεν αὖτη ἡ φωνὴ ἐγένετο· «Ἐγὼ ἐχάρην
» ἐπὶ ταῖς σαῖς ἀποκρίσεσιν εἰς τὰς ἐμὰς ἐρωτήσεις· ὅθεν
» χάριτι ἐμῇ ζήτω εἷς τῶν ἀδελφῶν σου, ὃν θέλεις.»

101. Ὁ δὲ Ἰνδιστίρας, μελετῶν μὲν θάνατον ἑαυτοῦ ἐπὶ τῇ ὑπὲρ τῶν ἀδελφῶν ἀνίᾳ, ἐφιέμενος δὲ διαμονῆς τοῦ γένους, ἔφη· «Ζήτω ὁ ἀγαπητός μοι ἀδελφὸς, ὁ υἱὸς τῆς
» Μαδρῆς [6].»

---

1. Ἐν τοῖς ἑξῆς ἐστιν ἐν ταὐτῷ ἑκάστη τῶν ἐρωτήσεων καὶ ἀποκρίσεων.

2. Ὅπερ ἔπραξεν ὁ ἄνθρωπος ἐν τῇ προτέρᾳ ζωῇ.

3. Ὁ κρείττων καὶ χαλιναγωγὸς τῶν παθῶν, ᾧ δουλεία οὐ γίνεται ὑπὸ τῶν αἰσθήσεων ἐπὶ τῶν αἰσθητῶν.

4. Πρώτη μετάφρασις· «Τίς ἡ πρὸς τὸν Θεὸν ἕνωσις;» (Σ. ἐκδ.)

5. Πρώτη μετάφρ. «ἡ τοῦ νοὸς ἀμεριμνία πάντων.» (Σ. ἐκδ.)

6. Ὁ Νακούλας ἐννοεῖται, ὃς ἦν ἑτερομήτριος καὶ νεώτερος.

102. Χαρεὶς δ' ὁ Δάρμας ἐπὶ τῇ πρὸς ἑτερομήτριον ἀδελφὸν πλείονι ἀγάπῃ τοῦ Ινδιστίρα, ἢ πρὸς ὁμομήτριον, ἐμφανὴς αὐτῷ γενόμενος, ἔλεξε λόγον εἰλικρινῶς [1].

103. « Ἐγώ εἰμι ὁ Δάρμας· τῇ δὲ λαμπρότητι τοῦ σελη» νιαίου [2] προσώπου σοῦ τοῦ ἐμοῦ υἱοῦ, ἀπηλλάγη τὸ πολὺ » ἄχθος καὶ τὸ σκότος τὸ ἐκ τῆς πρὸς ἐμὲ ἀρᾶς τοῦ Μαν» δαβέα [3].

104. « Ὑπ' ἐμοῦ μεταμορφωθέντος εἰς ἔλαφον, ἀφῃρέθη ἡ Ἀρανὴ, » εἰς τὸ ἰδεῖν σε· ἀλλὰ καὶ οὗτοι οἱ ἔνδοξοι ἀδελφοί σου » ὑπ' ἐμοῦ ἐθανατώθησαν, βουλόμενοι ὕδωρ ποιεῖν, τεθλιμ» μένοι τῇ δίψῃ.

105. « Ἰδὼν δ' ἔγωγε τὴν ὁσιότητά σου καὶ τὴν ἀγαθότητά » σου, ἐχάρην· νῦν οὖν λάβε τὰ βραβεῖα τῆς ἀρετῆς, καὶ » ζήτωσαν οἱ ἀδελφοί σου. »

106. Εἰπὼν μὲν οὖν ὁ Δάρμας τῷ Ἰνδιστίρᾳ καὶ τοῦτο· « Διά» τριψον ἓν ἔτος ἐν τῷ οἴκῳ τοῦ Βασιλέως Βιράτα ἀγνώ» ριστος, τῇ ἐμοὶ χάριτι, » καὶ δοὺς αὐτῷ ἐκείνην τὴν Ἀρανὴν, ἄφαντος ἐγένετο.

107. Ὁ δ' ἐπανέκαμψεν εἰς τὸ οἰκεῖον κατάλυμα μετὰ τῶν ἀδελφῶν ἀναστάντων, καὶ ἐνεχείρισεν ἐκείνῳ τῷ Βραχμᾶνι τὴν Ἀρανὴν, ὡς ζωήν.

108. Εἰδὼς δὲ πεπληρωμένην τὴν δωδεκαετίαν ὁ βασιλεὺς [4] Ἰνδιστίρας, εἰπὼν τῷ μὲν Δαουμέα, λαβόντι τὸ ἄσβεστον, οἰκῆσαι ἐν τῇ πόλει τοῦ βασιλέως Δρουπάδα, μέχρι ἑνὸς ἔτους, τοῖς δὲ ἀκολούθοις ἥρωσι, τῷ τε Ἰνδρασένα

---

1. Πρότερον ψευδῶς εἶπεν, ὡς Ἰάξας ἐστίν.

2. Καὶ ἡ Σελήνη χαράν τε δίδωσι, καὶ τὸ σκότος ἀποπέμπει.

3. Εἰς τὸ περιθώριον τοῦ χειρογράφου ἐσημείωσεν ὁ Μεταφραστής· « Ῥισσής· οὗτος ἠράσατο τῷ Δάρμα. » (Σημ. τ. ἐκδ.)

4. Αὐτολεξεί, ὁ ἡγεμὼν τῆς γῆς.

καὶ τοῖς λοιποῖς, πορευθῆναι εἰς τὴν Δοαραβατὴν, ἐμελέτα τὴν ἀπόκρυφον διατριβήν.

109. Σεβέσθω, ὡς ἄλλος βομβύλιος, τὸν λώτιον πόδα τοῦ Ζηναδάτα, τοῦ σοφοῦ καὶ καλοῦ διδασκάλου, καὶ ὀρθοδόξου, ὁ λίαν ἐγκρατὴς καὶ ἀγαθὸς Ἀμάρας, οὗ τοῦ μεγάλου ποιήματος τῆς Βαλαβαράτας τὸ τρίτον Βιβλίον τέλος εἴληφε, τὸ ἀποβάλλον τῇ ἡδύτητι τὴν λύπην τῆς καρδίας.

110. Ἐν τούτῳ τῷ Βιβλίῳ, τῷ ὀνομαζομένῳ *Ἀρανεκᾷ*, τέτταρα μέν εἰσι κεφάλαια, τετρακόσιοι δὲ καὶ ἑβδομήκοντα ἑπτὰ στίχοι, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Τετάρτου Κεφαλαίου,
τοῦ Τρίτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει τὴν ἀπόκρυψιν τῶν Πανδοϊδῶν.

1. Εἷη ὁ υἱὸς τῆς Σατεβατῆς εἰς ἀγαθὸν ὑμῶν, ὃς ἐξευρεξάμενος τὴν Μαχαβαράταν, τὴν εὐφροσύνην τοῦ κόσμου, ὡς ἀμβροσίαν, ἀπαλλάττει τὰ, ὡς φάρμακα, ἁμαρτήματα τοῦ κόσμου.
2. Θεὶς δ' ὁ Ἀρζούνας ἐπὶ τῆς κεφαλῆς ἡνωμένας τὰς χεῖρας, ἠρώτησε τὸν Ἰνδιστίραν· « Τίσι τρόποις, ὦ κύριε, ἔσῃ » κεκρυμμένος ἐπὶ γῆς, καθὼς ὁ Ἥλιος τοῖς νέφεσιν ἐν οὐ» ρανῷ ; »
3. Πρὸς ὃν ἔφη ὁ Ἰνδιστίρας· « Ἐγὼ ἔσομαι εἷς τῶν συνέ» δρων τῆς Ματσέας χώρας », εἰπὼν αὐτῷ ταῦτα· « Γίνω» σκε ἐμὲ Βραχμᾶνα, Κάγκαν τοὔνομα, ὄντα ἕνα τῶν » συνέδρων τοῦ Ἰνδιστίρα. »
4. « Ἐγὼ δὲ, ἔφη ὁ Βήμας, ἔσομαι μάγειρος ἐκείνου τοῦ » βασιλέως, Βαλλαβᾶς τοὔνομα. « Ἐγὼ δὲ, ἔφη ὁ Ἀρζού» νας, ἔσομαι χοροδιδάσκαλος τῆς θυγατρὸς τοῦ βασι» λέως, Βριχανναδὰ τοὔνομα. »
5. « Ἐγὼ δὲ, ἔφη ὁ Σαχαδέβας, ἔσομαι ἐπιστάτης τῶν » βοῶν, Ταντραπάλας τοὔνομα. » « Ἐγὼ δὲ, ἔφη ὁ Να» κούλας, ἔσομαι ἐπιστάτης τῶν ἵππων, Γραντίκας » τοὔνομα. »

6. « Ἐγὼ δὲ, ἔφη ἡ Κρισνὰ, ἔσομαι θεράπαινα τῆς γυναικὸς » τοῦ βασιλέως, Μαλινὴ τὸ ὄνομα· ἡ δὲ θεραπεία μου αὕ- » τη ἔσται ἐπὶ ἀψόγου καὶ εὐπρεποῦς ἔργου [1]. »

7. Τοιαῦτα τούτων πρὸς ἀλλήλους εἰπόντων μυστικῶς, προσκυνησάντων τε τοὺς ὁσίους, καὶ ἑτοιμασθέντων ἀναχωρῆσαι, ὁ Δαουμέας, τὸ δοχεῖον τῆς φρονήσεως, ἔλεξε λόγον συμβουλευτικὸν, ἀμβροσίας πλήρη·

8. « Ἡ πρὸς τὸν βασιλέα θεραπεία γενέσθω ὑφ' ὑμῶν εὐ- » λαβῶς, νουνεχῶς καὶ προσεκτικῶς· ἡ γὰρ βασιλικὴ θε- » ραπεία ταχεῖα ὁδός ἐστιν ἐπὶ θάνατον τοῖς ἐξολισθή- » σασι τοῦ ὀρθοῦ, καθὼς τοῖς ἀναβᾶσιν εἰς ὄρος ὑψηλὸν, » καὶ ἐξολισθήσασιν.

9. « Ὦ ! ἡ πρὸς τὸν βασιλέα θεραπεία πλέον ἐπικίνδυνός » ἐστι τῆς μετὰ τῶν ὄφεων ὁμιλίας· ὁ μὲν γὰρ δειχθεὶς » ὑπὸ τοῦ ὄφεως, μόνος αὐτὸς θνήσκει· ὁ δὲ δειχθεὶς ὑπὸ » τοῦ βασιλέως, καὶ αὐτὸς, καὶ πάντες οἱ οἰκεῖοι αὐτοῦ » καὶ φίλοι θνήσκουσι.

10. « Μὴ θιγέσθω ὁ βασιλεὺς μηδὲ τῷ ἄκρῳ τοῦ δακτύλου » σου· καὶ ὁ λύχνος γὰρ, θιγεὶς κατακαύσει σε, ἂν νομί- » σῃς, ὅτι ὑπὸ σοῦ ἐν ἀρχῇ ἤφθη, καὶ διὰ τοῦτο οὐ κα- » τακαύσει σε, κἂν καταφρονηθῇ [2].

11. « Τὸ μὲν δένδρον Σάνδανον ἐγένετο εἰς εὐφροσύνην ἀεὶ τῶν » ἐπὶ γῆς, τῇ ἢ ἔχει εὐωδία· οὐδεὶς δ' ὅμως ἔσαι ἀεὶ ὁπω- » σοῦν εἰς εὐφροσύνην τῶν βασιλέων, ᾧ τινι ποτ' ἂν ἔχῃ » προτερήματι.

---

1. Οὐχὶ εἰς τὸ σαροῦν δηλ. τὴν οἰκίαν, ἢ εἰς τὸ νίπτειν τοὺς πόδας τῆς βασιλίσσης, ἢ εἰς τὸ ἐσθίειν τὰ λείψανα τῆς τραπέζης.

2. Μὴ νομίσῃς δηλ. ὅτι ἀγαπᾷ σε ὁ βασιλεὺς, καὶ διὰ τοῦτο οὐδὲν κακὸν πείσῃ, ἐὰν καταφρονήσῃς αὐτοῦ. Καὶ τὸν λύχνον γὰρ σὺ ἅπτεις· ἀλλ' ἐὰν θίξῃς αὐτοῦ, κατακαυθήσῃ.

12. « Καθὼς τὸ εἰς φρέαρ πήδημα ἴδιόν ἐστι τοῦ μὴ εὑρί-
» σκοντος ὕδωρ, καὶ δίψαν μεγάλην ἔχοντος, καὶ ῥιψοκίν-
» δύνου ὄντος, οὕτω καὶ ἡ πρὸς τὸν βασιλέα θεραπεία
» ἴδιόν ἐστι τοῦ μὴ εὑρίσκοντος τὰ πρὸς ζωάρκειαν ἐν μη-
» δενὶ ἄλλῳ τόπῳ, καὶ λίαν ὄντος πλεονεκτικοῦ καὶ ῥιψο-
» κινδύνου [1]. »

13. « Πονηρὸς δέ τις καὶ δόλιος, μηδόλως φροντίζων εἴ τι
» μέγα ἀγαθὸν, ἢ κακὸν γένοιτο τῷ βασιλεῖ, καὶ μὴ ἔχων
» μήτε ἄμιλλαν, μήτε μέγα φρόνημα [2], ἴσως ποτ' ἀπο-
» λαύσειεν ἂν καρποῦ τινος βασιλικῆς ὑπηρεσίας. »

14. Ὁ μὲν οὖν Δαουμέας, τοιαῦτα εἰπὼν, λαβὼν τὰ τῆς πυ-
ρολατρείας ὄργανα, ἐπορεύετο ἀγνώριστος τῇ προσταγῇ
τοῦ Ἰνδιστίρα εἰς τὴν πόλιν τοῦ Πανσάλα [3]· ὁ δ' Ἰνδρα-
σένας καὶ οἱ λοιποὶ, μετὰ τῶν ἐπίπλων, εἰς τὴν πόλιν
τοῦ Κρισνᾶ.

15. Αὐτοὶ δ' υἱοὶ τοῦ Πανδοῦ, παραλαβόντες τὴν Κρισνὰν,
ἐπορεύοντο ἀγνώριστοι εἰς τὴν πόλιν τοῦ Βιράτα, χαρα-
κτηρίζοντες ἐπὶ τῆς ὁδοῦ λωτοὺς πολλοὺς τοῖς ἴχνεσι τῶν
καθημαγμένων ποδῶν.

16. Παρακαταθέντες δὲ πάντα τὰ ὅπλα αὐτῶν αὐτοὶ ἐπὶ
δένδρου Σαμῆ, ἐν νεκρικῷ τόπῳ [4], φυλαττόμενα κρεμα-
μένῳ νεκρῷ [5], ἐφαίνοντο ὡς ὁ Ἥλιος ἄνευ ἀκτίνων [6].

---

1. Τὸ πρωτότυπον πάνυ χαριέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

2. Ὁ μικροπρεπὴς καὶ μικρόφρων.

3. Ὁ Μεταφραστὴς ἐσημείωσεν εἰς τὸ περιθώριον τοῦ Δρυπάδα. (Σημ. τ. ἐκδ.).

4. Οὐδεὶς γὰρ ἐπορεύετο ἐκεῖ, διότι ἦν τόπος νεκρῶν.

5. Ἐκρέμασαν ἓν νεκρὸν σῶμα, εὑρεθὲν ἐν τῷ νεκρικῷ τόπῳ, εἰς φόβον.

6. Τὰ ὅπλα ὡς ἀκτῖνες.

17. Κἄπειτα ἐπορεύοντο χωρὶς, τήν τε στολὴν ἀλλάξαντες, καὶ μυστικὰ θέντες ἐν ἑαυτοῖς ὀνόματα [1] τοιαῦτα· Ζαΐας, Ζαϊάντας, Βιζαΐας, Ζαϊατσένας, καὶ Ζαϊατβάλας [2].

18. Ὁ μὲν οὖν Ἰνδιστίρας, ἔχων σχῆμα βραχμανικὸν καὶ κύβους ἐκ πολυτίμων λίθων, εἰσδὺς τὸ συνέδριον τοῦ βασιλέως τῆς Ματσέας, καὶ ἐρωτηθεὶς ὑπ' αὐτοῦ, τίς εἴη, ἀπεκρίνατο λόγοις πλήρεσιν ἀμβροσίας·

19. «Ἐγὼ Βραχμάν εἰμι, Κάγκας τοὔνομα, ἀγαπητὸς τῷ » Ἰνδιστίρᾳ, καὶ ὀνομαστὸς ἐπὶ κυβείᾳ· ἐκ δὲ τῆς πτώ- » σεως τῆς βασιλείας ἐκείνου παρεγενόμην πρὸς σέ, ὦ » ἄριστε βασιλεῦ.»

20. Πρὸς ὃν ἔφη χαίρων ὁ Βιράτας· «Σήμερον μετὰ πολὺν » χρόνον ὡράθη μοι ὁ Ἰνδιστίρας, ἐπειδὴ σὺ ὡράθης, ὁ » φίλος ἐκείνου· ἡ δὲ μορφή σου ἀξία ἐστὶ φιλίας.

21. «Ὦ ἀξιοθέατε, ἡ ὅρασίς μου χαρὰν ἔχει, ὁρωμένου σου, » καθὼς ἡ Κουμούδα, φαινομένης τῆς Σελήνης· ὅθεν συνέ- » ριθος κἀμοὶ γινόμενος ἐν κυβείᾳ, καὶ συμπαίζων μοι, » τρύφα ἡδέως ταύτης τῆς ἐμῆς δόξης.»

22. Οὕτω δὴ δεξιωθέντος τοῦ Ἰνδιστίρα ὑπὸ τοῦ βασιλέως Βιράτα, καὶ μείναντος ἐκεῖ, τῇ ἐπιούσῃ ἡμέρᾳ παρέστη καὶ ὁ Βήμας, σχῆμα μαγείρου ἔχων, διακρινόμενος ἐκ τοῦ οὗ εἶχε δίδοικος ἀνὰ χεῖρας.

23. Εἰπὼν δὲ, ὡς τὸ μὲν ὄνομα Βαλλαβᾶς, τὸ δὲ ἐπάγγελμα μάγειρος καὶ παλαιστὴς, ἐψηφίσθη ὑπὸ τοῦ βασιλέως καὶ μάγειρος καὶ παλαιστής. Προσελθοῦσα δὲ καὶ ἡ Κρισνὰ τῇ γυναικὶ τοῦ βασιλέως, ᾐτήσατο ἔργον θεραπαίνης.

24. Ἰδοῦσα δ' ἡ βασίλισσα Σουδεσνὰ ταύτην τὴν Κρισνὰν,

---

1. Τῶν μὲν πρώτων τριῶν ὀνομάτων ἕκαστον σημαίνει, Νικητής· τῶν δ' ὑστέρων δύω ἕκαστον, Νικόστρατος.

2. Γνωστὰ μὲν ἑαυτοῖς, ἄγνωστα δὲ τοῖς ἄλλοις.

ἔφη, θαυμάζουσα· «Τοῦτο τὸ σῶμά σου, ὦ γύναι, τὸ πά-
» νυ ἀγλαὸν, ἀνοίκειόν ἐστι ποιεῖν ἔργον δούλης.

25. «Ὁ χαρακτὴρ οὗτος τῆς μορφῆς σου, ὁ εὐτυχὴς ὅρος ἐστὶ
» τῶν ὀφθαλμῶν τοῦ κόσμου [1], καὶ ὁ ἄρτιος ὅρος τῆς
» ποιήσεως τοῦ ποιητοῦ Βραχμᾶ [2], ὑπερβαίνων πᾶσαν σύγ-
» κρισιν ταῖς κατὰ μέρος καλλοναῖς [3].

26. «Πάντως γε ὁ Ὠκεανὸς, ποιήσας τὴν καλὴν Λαξμὴν, καὶ
» λίαν γυμνασθεὶς, ἐποίησε μετὰ πολλῆς τέχνης σὲ αὐτὴν,
» ἣ ἔχεις μορφὴν κεχαριτωμένην ἅπασι τοῖς ἐκλεκτοῖς χα-
» ρακτηρίσμασι τοῦ θήλεος, τοῖς θεωρουμένοις ἐν τῷ φυ-
» σιογνωμικῷ βιβλίῳ.

27. «Τοῦτό σου τὸ σῶμα, κοσμούμενόν ποτε, κοσμεῖ τὰ κο-
» σμήματα [4], λίαν ἀνοίκειον ὄν, ὡς πολύλαμπρον, τοῖς
» λιθοκολλήτοις κοσμήμασιν, ὡς ὀλιγολάμπροις.

28. «Καὶ αἱ γυναῖκες, ὦ γύναι, βλέπουσαι σὲ, ἀνδρικῆς φύ-
» σεως ἐφίενται. Ἐγὼ νομίζω, ὡς ἡ θεὰ Σακτὴ [5] διὰ τῆς
» σῆς θεωρίας ἐν τῷ νοὶ ἐγένετο μὲν Κρισνᾶς, οὐκ ἔτυχε
» δὲ γενέσθαι σοῦ ἀνήρ· ποῦ γὰρ τοιαύτη τύχη;

29. «Ἡ μὲν δὴ εὐμορφία οὐκ ἔστιν εἰς ἐγκράτειαν [6]· σὺ δ' ἡ
» τοιαύτη, εὔμορφος καὶ εὐφυὴς, πῶς μενεῖς ἐν τῷ ἐμῷ οἴκῳ,
» ἄνανδρος οὖσα, τοῦ ἐμοῦ ἀνδρὸς ὄντος ἐμμανοῦς τῇ δόξῃ;»

---

1. Δηλ. ὡραιότερον ἄλλο τούτου οὐκ ἔχουσιν ἰδεῖν.

2. Δηλ. ἄλλο κάλλιον οὐκ ἔχει ποιῆσαι.

3. Πᾶν μέλος οὐκ ἔχει σύγκρισιν, ὁ ὀφθαλμὸς δηλ. τῷ λωτῷ, τὸ πρόσωπον τῇ σελήνῃ, κ.τ.λ.

4. Κόσμος ἐστὶ τοῖς κοσμήμασι τὸ σῶμά σου.

5. Παράδειγμα μυθικὸν φέρει ὁ ποιητής. Οἱ δοξάζοντες τὴν φύσιν καὶ φρονοῦντες ἄκρον ἀγαθὸν τὴν ἡδονὴν, μάλιστα οἱ λεγόμενοι Καουλίκαι μυθολογοῦσιν, ὡς ἡ θεὰ Σακτὴ (Δύναμις) ἔλαβε φύσιν ἀνδρικὴν ἐπὶ τοῦ Κρισνᾶ, εἰς τὸ ἐντρυφῆσαι ταῖς βουκολικαῖς γυναιξί.

6. Δηλαδὴ, οὐ δύναται ποιῆσαι ἐγκράτειαν ἡ εὐμορφία.

30. Ἡ δ' ἔφη· «Πέντε θεοὶ Γανδάρβαι, ἄνδρες ἐμοῦ, ἐπισκέ-
» πτονταί με, ὦ βασίλισσα, ἀόρατοι καθ' ἑκάστην· ὅθεν
» οὐδεὶς ἂν βλάψειέ με, τούτων παρόντων, καθὼς οὐδὲ ἡ
» Σελήνη τὴν ἀγλαΐαν τοῦ λωτοῦ, παρόντος τοῦ Ἡλίου.»

31. Τοιαῦτα εἰπούσῃ αὐτῇ, καὶ ὅτι ὄνομα αὐτῇ ἐστι Μαλινὴ, ἔδωκεν ἡ βασίλισσα ἐπιστασίαν τῶν ἀρωματικῶν ἐλαίων, ἐπὶ συμφωνίᾳ, ὡς οὔτε τοὺς πόδας νίψει, οὔτε τὰ λείψανα τῶν βρωμάτων φαγεῖται.

32. Τῇ δ' ἐφεξῆς ἡμέρᾳ παρεγένετο ὁ πρεσβύτερος τοῦ Νακούλα, Σαχαδέβας, καὶ ἔφη, ὡς ὀνομάζεται Ταντραπάλας, ὃς καὶ ἐψηφίσθη πρὸς τοῦ βασιλέως ἐπιστάτης τῶν βοῶν, ἀφ' οὗ ἔδειξε τὴν ἣν εἶχεν ἐπιτηδειότητα.

33. Τῇ δ' ὑστεραίᾳ ἀφίκετο εἰς τὴν βουλὴν τοῦ Βιράτα ὁ Ἀρ-
ζούνας ἐν σχήματι εὐνούχου, κεκοσμημένος γυναικείοις κοσμήμασιν, ἔχων πεπλεγμένην τὴν κόμην [1] καὶ ποδήρη χιτῶνα.

34. Εἰπὼν δὲ, «Ἐμοὶ μὲν ὄνομά ἐστι Βριχανναδὰ, ἐκ δὲ τῆς
» πρὸς τοὺς οὐρανίους Γανδάρβας ὁμιλίας, ἔμαθον τὴν
» μουσικὴν καὶ χορευτικὴν τέχνην,» ἐψηφίσθη τῷ βασιλεῖ διδάσκαλος τῆς θυγατρὸς Οὐτταρᾶς, περὶ τὴν μουσικὴν καὶ ὀρχηστικήν.

35. Ἐλθὼν δὲ πρὸς ἐκεῖνον τὸν βασιλέα καὶ ὁ Νακούλας, καὶ εἰπὼν, ὡς ὄνομα αὐτῷ ἐστι Γραντίκας, καὶ ἔμπειρος τῆς ἱππικῆς καὶ τῆς ἁρματηλατικῆς, ἐγένετο ἐπιστάτης τῶν ἵππων καὶ τῶν ἁρμάτων.

36. Ἡδέως δὲ τούτων διατριβόντων ἀγνωρίστων περίπου τέτταρας μῆνας, ἦλθον πανταχόθεν εἰς τὴν πόλιν ἐκείνην παλαισταὶ, πανηγύρεως οὔσης.

37. Ὁ δ' ἐν ἐκείνοις ἀρχιπαλαιστὴς Ζιμούτας ἐκομπάζετο·

---

1. Ὡς αἱ γυναῖκες εἰώθασιν.

βοῶν βροντοειδῶς [1], καὶ αἴτιος γινόμενος τῆς ἀποκρύψεως τῆς λαμπρότητος τοῦ βασιλέως [2], ὡς Ἡλίου, καὶ τῆς εὐκλείας αὐτοῦ, ὡς Σελήνης, καὶ τῶν προτερημάτων αὐτοῦ, ὡς ἄστρων.

38. Πολλῶν γὰρ παλαιστῶν καταβληθέντων εὐμαρῶς, οὐδεὶς ἀντίπαλος στῆναι ἐτόλμα πρὸ τούτου, τοῦ ὑπερβαίνοντος πάντων τὴν λαμπρότητα, δίκην Ἡλίου.

39. Μὴ εὑρίσκοντος μὲν οὖν τὸν ἀντίπαλον τοῦ παλαιστοῦ ἐκείνου, καὶ ἐκ τούτου λίαν γαυριωμένου, καὶ σοβαρῶς περιπατοῦντος ἐν τῇ παλαίστρᾳ, ἔφη ὁ Βιράτας τῷ Βήμᾳ, αἰσχυνόμενος [3]· «Παυσάσθω, ὦ Βαλλαβᾶ, οὗτος ὁ θρασὺς παλαιστής.»

40. Ὁ δὲ Βήμας, ἐρεθιζόμενος τριχῇ, τῇ τε προσταγῇ τοῦ βασιλέως, καὶ τῇ θεωρίᾳ τῶν θεωρῶν, καὶ τῷ γαργαλισμῷ τῶν βραχιόνων αὐτοῦ, θαῤῥήσας ἐπορεύθη εἰς καθαίρεσιν τῆς ἐπάρσεως ἐκείνου.

41. Τότε ὁ ἦχος, ὁ ἐκ τοῦ κρουομένου μυῶνος τοῦ Βήμα [4] διέῤῥηξε τὰς κορυφὰς τῶν ὀρέων· τί θαυμαστὸν τοῦτο, ὅτε διὰ τοῦ ἤχου ἐκείνου κατεβλήθη διαῤῥαγεῖσα καὶ ἡ ὡς ὄρος μεγάλη ἔπαρσις τοῦ Ζιμούτα;

42. Ῥίψας δ' αὐτὸν τὸν ἀρχιπαλαιστὴν, τὸν μέγα βοῶντα, καὶ δεινὸν ὄντα ἐν πάλαις, ἔθλιβεν ὁ Βήμας διὰ τῶν χειρῶν, καθὼς τὸ ὄρος τὸν μέγαν ἐλέφαντα διὰ τῆς διαῤῥαγείσης καὶ πεσούσης πέτρας ἐκ τῆς πληγῆς τῶν μεγάλων αὐτοῦ ὀδόντων.

---

1. Δηλ. καλῶν μεγαλοφώνως τὸν παλαίοντα, ὡς ἔθος.

2. Ἐνταῦθα παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· Ζιμούτα γὰρ λέγεται καὶ τὸ νέφος.

3. Αἰσχύνη γὰρ νομίζεται τῷ βασιλεῖ καὶ ἀτιμία, ἐὰν μή τις εὑρεθῇ καταβαλεῖν ἐν πάλῃ τὸν ἐξ ἀλλοδαπῆς ἐλθόντα.

4. Οἱ παλαισταὶ, ὡς προείρηται, ἐν Ἰνδίᾳ κρούουσι ταῖς χερσὶ τοὺς μυῶνας, ἐξ ὧν ἦχος ἀποτελεῖται σφοδρός.

43. Ἠσχύνετο δ' ὅμως οὗτος ὁ υἱὸς τοῦ Ἀέρος, ὑμνούμενος ὑπὸ τῶν ἀνθρώπων ἐπὶ τῇ νίκῃ κατὰ τοῦ ἑνὸς Ζιμούτα, οὗ ὁ πατὴρ διασκεδάζει ἐν τῷ αὐτῷ χρόνῳ πλήθει νεφῶν [1].

44. Ὑπερησθεὶς δ' ὁ βασιλεὺς, ἔῤῥιπτε βροχηδὸν κατὰ τοῦ Βήμα ἄνθη χρυσᾶ. Τίς οἶδεν, εἰ οἱ θεοὶ ἐξ αἰσχύνης ἐποίησαν τότε βροχὴν ἐξ ἀνθέων, ἢ οὐχί [2];

45. Οἱ δ' ἐν τῇ βασιλείῳ αὐλῇ ἐλέφαντες καὶ λέοντες, οἱ διωρισμένοι ὑπὸ τοῦ βασιλέως εἰς μάχην ἐπὶ θεωρίᾳ, ἐφοβήθησαν, τοῦ Βήμα φωνοῦντος λεοντίως, καὶ λάμποντος τὰ ὄμματα, δίκην τοῦ ἐν ὕλῃ πυρός.

46. Τούτοις μὲν δὴ τοῖς Πανδοΐδαις, τοῖς εὐφραίνουσι τὸν βασιλέα τοιαύταις ἡδείαις καὶ σπουδαίαις διατριβαῖς, καὶ ταῖς παρ' αὐτοῦ πολλαῖς τιμαῖς ἀντευφραινομένοις, δέκα μῆνες ἐγένοντο, ἀφ' οὗ παρεγένοντο.

47. Γυναικάδελφος δέ τις καὶ στρατηγὸς τοῦ βασιλέως τῆς Ματσέας, Κησάκας τοὔνομα, ὢν πρεσβύτερος ἑκατὸν καὶ ἓξ ἀδελφῶν, ἦν ἐν τῇ πόλει ἐκείνῃ.

48. Καί ποτε οὗτος εἶδεν, ἐν τῷ οἴκῳ τῆς ἀδελφῆς Σουδεσνᾶς, τὴν θυγατέρα τοῦ Δρουπάδα, οὖσαν ὡς φυτὸν Σάνδανον, καὶ περιπεπλεγμένην ἔχουσαν τὴν κόμην τῆς κεφαλῆς, ὡς μέλανα ὄφιν [3].

---

1. Παίζει κἀνταῦθα ὁ ποιητὴς πρὸς τὴν λέξιν· Ζιμούτα γὰρ λέγεται καὶ τὸ Νέφος, ὡς ἐν τῷ ἀνωτέρῳ σχολίῳ. — Ὁ πατὴρ τοῦ Βήμα ὁ Ἄνεμός ἐστιν.

2. Εἰς πλείονα ἔπαινον ὑποτίθησιν ἐνταῦθα ὁ ποιητὴς, ὅτι ἴσως οἱ θεοὶ ἠσχύνοντο, διότι ὁ βασιλεὺς ἔῤῥιπτεν ἄνθη χρυσᾶ, καὶ διὰ τοῦτο οὐκ ἔῤῥιψαν τότε ἄνθη ἐκ λειμῶνος. Σημείωσαι, ὅτι μέχρι τοῦδε ῥίπτουσιν ἄνθη πεποιημένα ἐκ χρυσοῦ κατὰ τῶν νεκρῶν, τῶν ἐν δόξῃ καὶ τιμῇ καὶ πλούτῳ γεγηρακότων, ἅπερ ἁρπάζουσιν οἱ ἐνδεεῖς· ῥίπτουσι δὲ καὶ ἐπὶ τῶν ἡρώων καὶ ἐπὶ τῶν θεῶν.

3. Ἐπὶ γὰρ τοῦ δένδρου Σανδάνου ὄφεις οἰκοῦσιν.

49. Ἰδὼν τοίνυν τὴν ἀσύγκριτον ταύτης εὐμορφίαν, ἔσεισε τὴν κεφαλὴν ἑαυτοῦ, ὥσπερ βληθεὶς ἐν τῷ στήθει τοῖς βαλλομένοις βέλεσι τοῦ ἐμμανοῦς Ἔρωτος.

50. Βλέπων δὲ ταύτην ἀσκαρδαμυκτὶ, ἐπλήγη τὴν καρδίαν ὑπὸ τοῦ Ἔρωτος τοῖς πέντε βέλεσιν, ὡς ὑφ' ἑκάστου τῶν ἐν τῇ καρδίᾳ αὐτῆς ἀνδρῶν ἑκάστῳ βέλει.

51. Ἐκ δὲ τῆς πρώτης θεωρίας αὐτῆς ἡ ἐν καρδίᾳ αὐτοῦ ἐπιθυμία, ἐξελθοῦσα ἀνεφάνη, ἥ ἐστιν ἡ ἐξ ὀφθαλμῶν αὐτοῦ ἔκχυσις τῶν δακρύων.

52. « Τίς αὕτη ἐνταῦθα, ἡ εὐπάρειος, καὶ εὐόφθαλμος, καὶ » ἀπαλὴ τὰς χεῖρας καὶ τοὺς πόδας, ἡ, ὡς κινητὴ οὐρα- » νία ἀναδενδρὰς, διαταράττει τὴν ἐμὴν καρδίαν, ὡς βομ- » βύλιον; »

53. Ταῦτα ἐρωτήσας τὴν Σουδεσνὰν, καὶ χαρεὶς, μαθὼν τὰ περὶ αὐτὴν, ἐγένετο λίαν διατεταραγμένος τὴν ψυχὴν ἐκ τοῦ γεννηθέντος Ἔρωτος.

54. Φλεγόμενος δὲ τῷ πυρὶ τοῦ Ἔρωτος, ἔφη τῇ θυγατρὶ τοῦ Δρουπάδα, τῇ μόνῃ ἀμβροσίᾳ τῶν ὀφθαλμῶν τοῦ κόσμου, τῇ εὐειδεῖ καὶ εὐφυεῖ·

55. « Σὺ, ὦ γύναι, οὖσα ἀμβροσιοστάλακτος, σεληνοπρόσω- » πος, λωτόφθαλμος, λωτόχειρ, λωτόπους [1], καὶ μηρὸς » ἔχουσα ὡς Ῥαμβὰς [2], διὰ τί εἰσδῦσα, κατακαίεις τὴν » ἐμὴν καρδίαν;

56. « Πῶς δὲ σὲ, ὦ ἀπαράμιλλε καὶ ἀγαθὴ, ὁμοιώσω τῇ » ἐμαυτοῦ ζωτικῇ ψυχῇ; ἡ μὲν γὰρ ζωτικὴ ψυχὴ, ἐλθοῦσα » πρὸς τῷ λαιμῷ, θάνατον δίδωσι· σὺ δὲ, προσελθοῦσα

---

1. Ταῦτα πάντα ψυχρά εἰσι.

2. Τὸ φυτὸν ἡ Ῥαμβὰ, ἣ καὶ Καδαλὴ λέγεται, περὶ μὲν τὰ κάτω παχυτέρα ἐστὶ, περὶ δὲ τὰ ἄνω λεπτοτέρα ἀναλόγως, καὶ διὰ τοῦτο εἰκάζεται τῷ μηρῷ.

» τῷ λαιμῷ, ζωοποιεῖς [1]. Ὡς πρὸς σὲ ἄρα ζωτικὴ ψυχὴ
» οὐδέν ἐστιν.

57. « Ὦ γύναι, ἐγὼ ἐπιθυμῶ θεῖναι σὲ αὐτὴν ἔξω τοῦ στή-
» θους μου [2]· ἔνδον γὰρ οὖσα θλίβεις με σφόδρα, ὡς
» ἧλος.

58. « Εἰ δ' οὐ περίπτυξιν σφοδρὰν ποιήσεις τοῦ ἐμοῦ σώ-
» ματος, ὦ εὐσώματε, τῷ ζεύγει τῶν χειρῶν σου, ἐγὼ
» ὑπερπληρούμενος ἐκ τῆς ἐπιθυμίας διαῤῥαγήσομαι.

59. « Ποίησον τοιγάρ τοι, ὦ νέα, ἔλεος τῇ ἐμῇ πνοῇ· δέξαι με
» κατακαιόμενον τῷ Ἔρωτι· οὐ γὰρ διαπρέπει ἡ γυνὴ ἄνευ
» ἀνδρὸς, καθὼς οὐδ' ἡ νὺξ ἄνευ σελήνης. »

60. Ἡ δὲ θυγάτηρ τοῦ Δρουπάδα ἔλεξε λόγον σκληρὸν ἐκ
θυμοῦ· « Ὁ νοῦς σου ἐπιβαίνει ἀδίκων· ἐπικατάρατος σὺ,
» καθὼς καὶ ὁ Ῥαβάνας.

61. « Οἱ πέντε κρύφιοι ἄνδρες μου Γανδάρβαι, οἱ μὴ κατα-
» βαλλόμενοι τὴν δύναμιν μηδ' ὑπὸ τῶν θεῶν, θανάτῳ
» παραδώσουσι σὲ τὸν ἐμμανῆ. »

62. Ὁ δὲ ἀποβαλὼν τὴν αἰσχύνην ἐκ τῆς κατὰ τὴν καρδίαν
νύξεως τοῦ βέλους τοῦ Ἔρωτος, ἐξήγγειλεν αὐτίκα τῇ
Σουδεσνᾷ τὴν πρὸς τὴν Δραουπαδὴν κλίσιν αὐτοῦ.

63. Ἰδοῦσα δ' ἡ Σουδεσνὰ τὸν ἀδελφὸν μὴ ἀνεχόμενον τοῦ
Ἔρωτος, ἔφη αὐτῷ· « Αὕτη πεμφθήσεται [3] εἰς τὸν σὸν
» οἶκον, εἰς κομιδὴν οἴνου, ἐπὶ προφάσει μεγάλης εὐωχίας.

64. « Ἵνα δὲ μὴ αὕτη ἡ εὐπρόσωπος τὸ πρόσωπον ἀποστρέψῃ
» ἀπὸ σοῦ, ὡς ὁ λωτὸς ἀπὸ τοῦ βομβυλίου, κολακευτέα
» λόγοις εὐπρεπέσι, πολυειδέσι καὶ μελιειδέσι. »

65. Παρηγορηθεὶς οὗτος οὕτωσὶ ὑπὸ τῆς ἀδελφῆς, ἀπῆλθεν

---

1. Ἐὰν περιπτύξῃ με δηλονότι.
2. Τουτέστιν ἀγκαλίσασθαί σε.
3. Αὐτολεξεί, πεμπτέα ἐστί.

οἴκαδε, καί περ δεδεμένος, ὡς ὑποζύγιον, σχοινίῳ δυνατῷ, τῷ κάλλει τῆς Δραουπαδῆς.

66. Καὶ ὑπὸ μὲν τοῦ Κησάκα προσηλώθη ἐκείνῃ τῇ κεχαριτωμένῃ ἡ διάνοια· ἐκ δὲ τῆς προσηλωθείσης διανοίας ἐφαίνετο ἕκαστον τῶν ὑπ' ὄψιν αὐτοῦ πιπτόντων, ὡς ἐκείνη [1].

67. Ἀνάψυξις δ' οὐκ ἐγίνετο τῷ κατακαιομένῳ τούτου στήθει ἅπασι τοῖς ἐντιθεμένοις ἀναψυκτικοῖς εἴδεσι· τοὐναντίον δὲ τὰ ψυχρὰ, θερμὰ καθίσταντο ἐκ τῆς θερμότητος τοῦ στήθους.

68. Πρὸς δὲ τοὺς δούλους, τοὺς παρασκευάζοντας ταχέως τὰ ψυκτήρια, ἔλεγε τότε ὀλίγους, ἐλεεινοὺς, σχετλιαστικοὺς καὶ συγκεχυμένους λόγους, πάσχων ὑπὸ τοῦ μεμηνότος Ἔρωτος·

69. « Ἡ ἐξωτερικὴ αὕτη θεραπεία ἀνάρμοστός ἐστι καὶ ἄχρη» στος εἰς ἀπαλλαγὴν ἐσωτερικοῦ πάθους [2]· δότε μοι τὸ » κυρίως φάρμακον, τὸν χυμὸν τῶν γλυκέων καὶ ἀμβρο» σίων χειλέων ἐκείνης.

70. « Διὰ τί κινεῖτε ταῦτα τὰ φύλλα τῆς Ῥαμβᾶς [3]; ἐκ γὰρ » τούτου τοῦ ἀέρος τὸ πάθος μου τὸ ἐν τῇ καρδίᾳ οὐκ » ἀποσβέννυται, ὡς λύχνος, ἀλλ' αὐξάνει μάλιστα, ὡς » τὸ ἐν ὕλῃ πῦρ.

71. « Θερμότητα μᾶλλον προξενεῖ τὸ ἔμπλαστρον [4] τοῦ Σαν» δάνου ἐν τοῖς τραύμασι, τοῖς ἐκ τῶν βελῶν τοῦ Ἔρωτος

---

1. Δηλ. πᾶν ὅ,τι ἔβλεπεν ἐνόμιζεν ὡς ἐκείνη ἐστί.

2. Οἱ γὰρ ὑπηρέται ἐπὶ τοῦ στήθους ἔῤῥαινον ψυχρὰ ὑγρὰ, ἐτίθεσαν ψυχρὰ ἔμπλαστρα.

3. Ἐῤῥίπιζον αὐτὸν φύλλοις τῆς Ῥαμβᾶς, ἣ λέγεται καὶ Καδαλή· αὕτη ψυχρά ἐστι φύσει καὶ κατὰ τὰ φύλλα, ἃ πλατύτατά εἰσι, καὶ κατὰ τὸν καρπόν. Τοῦτο τὸ φυτὸν φύει καὶ ἐν Αἰγύπτῳ, ὅ περ λέγεται Μούζα.

4. Τὸ ἐξ ὕλης ὑγρᾶς τοῦ Σανδάνου ἔμπλαστρον, ὃ ψυχρόν ἐστι.

» κατὰ τὴν ἐμὴν καρδίαν, τὴν ἔχουσαν τοὺς μαστοὺς ἐκεί-
» νης ἐντετυπωμένους [1], καὶ τὸ πῦρ τῆς διαζεύξεως ὑπερ-
» φλέγον πνεύματι τεταραγμένῳ.»

72. Τοιούτοις τούτου ἐλεεινοῖς λόγοις αἱ οἰκοι γυναῖκες ἐξή-
λειψαν τὴν ἣν εἶχον ἐντετυπωμένην οἴησιν [2], θρηνοῦσαι,
καὶ δάκρυα χέουσαι ἐξ ὀφθαλμῶν.

73. Παρὰ δὲ τῶν θεραπόντων, τῶν ἀχθομένων τὴν καρδίαν
ἐπὶ τῷ πάθει τοῦ ἑαυτῶν δεσπότου, ἐπέμφθη εὐθέως μία
τις ἀγγελιαφόρος, ἡ ἐλθοῦσα, ἔφη τῇ Κρισνᾷ·

74. «Ἀφ' οὗ ὡράθης, ὦ καλὴ, τοῖς ὀφθαλμοῖς τοῦ Κησάκα [3],
» ἀπ' ἐκείνου ἐκεῖνος τοῦ χρόνου φερώνυμος ἐγένετο, δια-
» παρεὶς τοῖς βέλεσι τοῦ Ἔρωτος [4].

75. «Τῆς δὲ καρδίας ἐκείνου, ὦ εὐόδου, πεπαρμένης βέλεσι
» πολλοῖς τοῦ Ἔρωτος, καὶ γεγενημένης δίκην κοσκίνου,
» τὸ πνεῦμα οὐκ ἐξῆλθεν εἰσέτι διὰ τῶν ὀπῶν, ἐπισχεθὲν
» τῆς ἐξόδου τῇ πρὸς σὲ ἐλπίδι.

76. «Καί τοι δὲ σὺ ἀδύνατος, καθὸ γυνὴ, δυνατὴ ὅμως εἶ
» σῶσαι τὸν πρόσφυγα, ἧς ὑπὸ τὴν σκέπην καὶ ἀντίληψιν
» καταφυγὴν ἐφίεται καὶ ὁ Κησάκας, διὰ τὸν φόβον τοῦ
» βροτολοιγοῦ Ἔρωτος.

77. «Ὧν περὶ τὴν λίμνην ἐκεῖνος, φιλεῖ τὸν λωτὸν, ὡς πρό-
» σωπόν σου, ἅπτεται τῶν χηναλωπέκων, ὡς μαστῶν σου,
» καὶ τίθησι τὴν Κουμούδαν ἐπὶ τοῦ στήθους, ὡς χεῖρά
» σου, διατεταραγμένος τὸν νοῦν.

---

1. Διὰ τῆς ἀναπολήσεως.

2. Τὴν ἣν εἶχον οἴησιν, ὅτι αὗται ὡραῖαί εἰσιν, ἀκούουσαι ἤδη, ὅτι ἄλλη ὡραιοτέρα ἐστὶν, ἧς ὁ ἀνὴρ αὐτῶν ἐρᾷ.

3. Κησάκα λέγεται καὶ ὁ διάτρητος κάλαμος, ὃς ἠχεῖ πνέοντος ἀνέμου.

4. Διαπαρεὶς τοῖς βέλεσι τοῦ Ἔρωτος, διάτρητος ἐγένετο, ὡς ὁ διά-
τρητος κάλαμος, ὃς λέγεται Κησάκας.

78. « Ἄφες, ὦ ἀγαθὴ, εὐθέως τὸ ταπεινὸν τοῦτο ἔργον τῆς » δούλης, ἵνα καὶ αἱ σεληνοπρόσωποι ἐκείνου γυναῖκες » προσκυνήσωσι τοὺς σοὺς λωτίους πόδας.

79. « Γεῦσαι ζακόρως τῆς ἐραστῆς ἀμβροσίας μετ' ἐκείνου, » τουτέστι τῆς περιπτύξεως, ἐξ ἧς ῥέουσι σταγόνες [1], αἵ » εἰσιν οἱ πίπτοντες μαργαρίται ἐκ τοῦ διαῤῥηγνυμένου » λαμπροῦ ὅρμου [2].

80. « Σὺ ἡ δυναμένη ἐξαλεῖψαι τὸ ἐν τῷ ϛήθει μέγα ἐκείνου καὶ » καυστικὸν πάθος τοῦ Ἔρωτος διὰ μόνης τῆς ἁφῆς, τὸ μὴ » ἐξαλειφθὲν διὰ τῶν ἐπιτεθέντων λωτῶν πολλῶν, καὶ » φύλλων νεογνῶν, διὰ τί οὐ γίνῃ ἡ ἀπαράμιλλος χείρ;

81. « Νεῦσον, ὦ ἐλαφόφθαλμε· πάντα δὲ ταῦτα, ἅπερ εἶπον, » πληρωθήσεται καὶ ἐκ τῶν λόγων τοῦ Κησάκα, καὶ ἐκ » τῶν λόγων προσέτι τῆς Σουδεσνᾶς, τῶν ῥηθέντων διὰ » τὴν ἐξάλειψιν τοῦ πάθους τοῦ ἀδελφοῦ.

82. « Εἰ ζωὴ ἔσται ἐκείνῳ τῷ καταπιεζομένῳ ἐκ τῶν ἀθρόως » βαλλόντων βελῶν τοῦ Ἔρωτος, ἔσται αὕτη οὐκ ἄλλως » πως, ἀλλ' ἢ διὰ τῆς ἀναβάσεως εἰς τοὺς δυσβάτους » σου μαστοὺς, ὡς εἰς φρούρια.

83. « Ἀγλαϊζέσθω, ὦ ἀγλαόμορφε, τὸ στῆθος ἐκείνου, ὡς ἐξ » ἀλείμματος τοῦ καλοῦ Σανδάνου, ἐκ τῆς προστριβῆς » τῶν ἐν ὅρμῳ ἀνθέων, ὑποβεβρεγμένων τῷ ὑδρῶτι, ἐν » τῇ σφοδρᾷ περιπτύξει.

84. « Ἔνθες τὸ ζεῦγος τῶν μαστῶν ἐν τῷ στήθει ἐκείνου, ὦ » εὔμορφε καὶ ὀλβία, ὡς ἔμπλαστρον, εἰς θεραπείαν τοῦ » πάθους τοῦ Ἔρωτος, καὶ δῆσον περισφίγξασα, ὡς ταινίαν, τὸ ζεῦγος τῶν χειρῶν σου ἐπὶ τοῦ νώτου ἐκείνου.

---

1. Πίνοντος γάρ τινος πίπτουσι σταγόνες.

2. Ἐκ γὰρ τῆς σφοδρᾶς περιπτύξεως διακόπτεται ὁ ἐκ μαργαριτῶν ὅρμος.

85. «Μηδὲ φοβηθῇς ἐκ τοιούτου καυστικοῦ πάθους ἐκείνου » ἐν τῇ περιπτύξει, ὦ εὔοφρυ· ἐκ μόνης γὰρ τῆς σῆς θέας » ψυχρὸς ἱδρὼς αὐτῷ ἔσεται.

86. «Ποίησον οὖν τοῦτο ἑκουσίως· ἐκεῖνος γὰρ, δυνατὸς ὢν, » βίᾳ λήψεταί σε, καὶ εἰς οὐδὲν μετρήσει, οὔτε τὴν Σου- » δεσνὰν, οὔτε τὸν Βιράταν, οὐδὲ μὴν τὴν σὴν ἀπο- » ποίησιν [1].

87. «Διάῤῥηξον, ὦ ἐρωτικὴ, τὸν ἐν τῷ στήθει ἐκείνου κα- » θειμένον ὅρμον, τὸν ἐμποδίζοντα τὴν περίπτυξιν [2], διὰ » τῆς σφοδρᾶς προστριβῆς τῶν μαστῶν, τῶν ἐντὸς ὄντων » σκληρῶν.

88. «Νῦν, ὦ εὐόδους, ἡ ζωὴ ἐκείνου μέχρι τοῦ λαιμοῦ ἦλθε· » σὺ δὲ προσεγγίσασα τῷ λαιμῷ, γενοῦ ζωὴ ἐκείνῳ τα- » χέως.

89. «Καὶ πρότερον διὰ τῆς σῆς εἰς τὰ ἐντὸς ἐκείνου εἰσδύ- » σεως ἡ καρδία αὐτοῦ ἐθλίβη· καὶ νῦν πάλιν διὰ τῆς » περιπτύξεως θλίψον ἔξω αὐτοῦ τοὺς βραχίονας.»

90. Παυσάσης λέγειν ταύτης τῆς μαστρωποῦ, ἔφη ἡ ἄρωμος καὶ καθαρὰ τοῖς ἔργοις· «Φοβοῦμαι, μήπου αὐτὸς ἀναι- » ρεθῇ πρὸς τῶν πέντε Γανδαρβῶν, τῶν ἀνδρῶν μου.»

91. Τὸ πλῆθος τῶν λόγων ἐκείνης τῆς μαστρωποῦ ἀνωφελὲς ἐγένετο διὰ τοῦ ἑνὸς ταύτης λόγου, καθὼς τὸ πολὺ καὶ βαθὺ σκότος διὰ τοῦ λαμπροῦ λύχνου.

92. Ῥηθέντος δὴ τοῦ λόγου τῆς Δραουπαδῆς, ὡς εἶχεν, ὑπὸ τῆς ἀγγελιαφόρου, ἐλθούσης, ὁ Κησάκας μεγάλως ἐξε- καύθη, καί περ καθήμενος ἐπὶ στρώματος λωτῶν.

93. Ἔφη δὲ φανείσῃ τῇ Σελήνῃ, νομίζων τὸ πρόσωπον τῆς Μα- λινῆς, ἐλθούσης· «Ἐλθὲ, ἐλθὲ, ἐρασμία, ταχέως· ἀπόμα-

---

1. Ἐνταῦθα φόβον αὐτῇ δίδωσιν, ἐὰν μὴ νεύσῃ.
2. Τὸν ὄντα μεσότοιχον τῆς περιπτύξεως.

» ξον τὰ δάκρυα ἐκ τῆς παρειᾶς, τὰ συμμιγέντα τῇ » στίμμει [1]. »

94. Ἰδὼν δ' αὐτὴν ἐν ὕπνῳ κατὰ τύχην ἅπαξ, ἀφυπνώσας, οὐκ εἶδεν αὐτήν· πολλάκις οὖν καμμύσας τὰ ὄμματα, ὑπνώσας τε καὶ ἀφυπνώσας, οὐκ εἶδεν αὐτὴν καὶ τὸ δεύτερον.

95. Καὶ, « Ὦ ποιητά, ἔφασκεν, ὦ Πάτερ Βραχμᾶ, αὕτη ἡ » Σελήνη [2] αἰτία γίνεται τῆς συστολῆς τοῦ λωτοῦ, ἐφ' οὗ » κάθησαι· ποίησον τέλειον τὸ σῶμα τοῦ Ῥαχοῦ [3], ἵνα » καταποθεῖσα ὑπ' αὐτοῦ, μὴ ἀνατείλῃ ἐς αὖθις αὕτη.

96, « Ὦ Σίβα, τί ποιεῖς ; σὺ, ὡς θεὸς, ἀεὶ τιμᾷ ὑπ' ἐμοῦ· « Διὰ τί φέρεις τὴν Σελήνην ἐπὶ τῆς κεφαλῆς ; διὰ τί » πάλιν οὐ κατακαίεις τοῦτον τὸν Ἔρωτα ; »

97. Τοιαύταις πολλαῖς μεμψιμοιρίαις καὶ δεινολογίαις τοὺς οἰκείους πάντας ταλαιπωρῶν, δεινῶς διήνυσε τὴν νύχθ' ὅλην, ἐοικυῖαν ἑκατὸν αἰῶσιν.

98. Ἐπέμφθη δ' ἡ Μαλινὴ βιαίως πρὸς τὸν Κησάκαν ἐπὶ προφάσει οἴνου παρὰ τῆς Σουδεσνᾶς, ἐλεησάσης αὐτὸν, καί περ ἀντιτείνουσα καὶ προτείνουσα τὴν δυστροπίαν ἐκείνου.

99. Καὶ ἡ μὲν Κρισνὰ ἐβάδιζεν εἰς τὸν οἶκον τοῦ Κησάκα

---

1. Διὰ τῶν μελάνων δακρύων σημαίνει ὁ ποιητὴς τὰ ἐν τῇ Σελήνῃ μελανίσματα· ὁ δὲ Κησάκας νομίζει, ὅτι κλαίει ἐκείνη ἐκ τῆς διαζεύξεως αὐτοῦ.

2. Δεινοπαθοῦσι κατὰ τῆς Σελήνης οἱ πάσχοντες τῷ ἔρωτι, καὶ μὴ τυγχάνοντες τῆς ἐρωμένης· βλέποντες γὰρ τὴν Σελήνην, ἀναπολοῦσι τὸ πρόσωπον τῆς ἐρωμένης, καὶ διὰ τοῦτο τήκονται.

3. Καρατομηθέντος τοῦ Ῥαχοῦ ὑπὸ τοῦ Βισνοῦ, ἡ μὲν κάρα λέγεται Ῥαχοῦς, τὸ δὲ λοιπὸν σῶμα Κετοῦς. Διὰ τοῦτο, καταπινομένη ἡ Σελήνη ὑπὸ τοῦ στόματος τοῦ Ῥαχοῦ, ἐξέρχεται ἐκ τοῦ τετμημένου λάρυγγος.

περὶ δείλην ἑσπέρας, ἐπικαλουμένη τὸν Ἥλιον [1]· ὁ δ' Ἥλιος ἐξαπέστειλεν ἕνα Δαίμονα εἰς φυλακὴν αὐτῆς.

100. Ἰδὼν δ' ἐκεῖνος τὸ λαμπρὸν καὶ σεληνιαῖον πρόσωπον αὐτῆς, ἐλθούσης, ἀνέστη εὐθέως ἀπειροπλασίῳ χαρᾷ, καθὼς ὁ ὠκεανὸς ἀνίσταται ἀλλεπαλλήλοις κύμασιν, ἀναφανείσης τῆς Σελήνης.

101. Τότε οἱ βραχίονες ἐκείνου ἐκ τῆς ὑπερβολικῆς φρίκης διέρρηξαν ἐν τῷ ἅμα τὰ βραχιόνια [2], ἵνα μήπου εἴη ἐμποδὼν τῇ περιπτύξει τῆς ἐρωμένης.

102. Θλιβόμενος δὲ τῷ ἔρωτι, ἔφησε πρὸς αὐτὴν τὴν σώφρονα, τείνουσαν τὰ ὄρματα κατὰ γῆς· « Πρόσιθι, πρόσιθι, » ἀγλαόμορφε, ἄφες τὴν αἰδὼ, περίπτυξαί με.

103. « Κατάδεξαι ταῦτα πάντα εἰς χαρὰν τῆς ἐμῆς καρδίας, » ἐμὲ αὐτὸν, ταύτην τὴν περουσίαν, ταύτην τὴν πολλὴν » θεραπείαν, καὶ τοῦτόν μου τὸν οἶκον. »

104. Ἡ δὲ ἀποβλέψασα πρὸς ἐκεῖνον, τοιαῦτα λέγοντα, ἀδημονοῦντα εἰς τὴν μέλλουσαν συνουσίαν, καὶ ἐρυθρὸν λίαν ὄντα ἐκ τῶν λιθοκολλήτων χρυσῶν κοσμημάτων, ἐνόμισεν αὐτὸν, ὡς τὸ ἐν ὕλῃ πῦρ, ἡ οὖσα ὡς ἀναδενδρὰς σωφροσύνης.

105. Ἕλκων δ' ὁ Κησάκας τὸ ἱμάτιον αὐτῆς, πέπτωκε κατὰ γῆς ὑπὸ τοῦ ἑαυτοῦ ἁμαρτήματος, ὡς κάλαμος ὑπ' ἐλέφαντος [3]· τότε ἡ Κρισνὰ ἔθεεν ἐπὶ τὴν βασίλειον αὐλήν.

106. Ὁ δὲ ἐκκαυθεὶς διπλασίως, τῷ τε ἔρωτι καὶ τῷ θυμῷ, ἐπιδραμὼν εἵλκεν αὐτὴν τῆς κόμης καὶ ἔπαιεν αὐτὴν λὰξ, (ἄθλιος!) ὡςπερεὶ τὴν ἑαυτοῦ εὐδαιμονίαν.

---

1. Ὁ γὰρ Ἥλιος ἦν προστάτης, ὃς ἔδωκε καὶ τὴν ἀκένωτον ἐκείνην λοπάδα, ὡς ἐῤῥέθη πρότερον.

2. Ψέλλια, βραχιόνια.

3. Παίζει κἀνταῦθα πρὸς τὴν λέξιν ὁ ποιητής· Κησάκας γὰρ λέγεται ὁ κάλαμος.

107. Τηνικαῦτα ἐξελθὼν ἐξαίφνης ὁ φύλαξ ἐκεῖνος Δαίμων ἐκ τοῦ σώματος τῆς Δραουπαδῆς, ἔῤῥιψεν αὐτὸν κατὰ γῆς ἀναίσθητον, ὡς ἀμπλάκημα ἔνσωμον.

108. Παρὼν δ' ὁ γενναῖος Βήμας ἐν τῇ συνόδῳ τοῦ βασιλέως, ἐθεάσατο τὴν ἀτιμίαν τῆς οἰκείας γυναικός· ἀφεὶς δὲ τὴν ἐν καιρῷ ὑπόκρισιν, καὶ δηλώσας τὸν πυροειδῆ αὐτοῦ θυμὸν, ἐκωλύθη νεύματι ὑπὸ τοῦ Ἰνδιστίρα.

Τέλος τοῦ Πρώτου Κεφαλαίου,
τοῦ Τετάρτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

ὃ διαλαμβάνει τὸν θάνατον τοῦ Κησάκα.

1. Ἔστω εἰς χαρὰν ἡμῶν ὁ υἱὸς τοῦ Παρασσάρα, ὃς τιμᾶται ὑπὸ τοῦ ξίφους, ὅ ἐστιν ἡ μελανότης [1], τοῦ καταφαγόντος τὴν στίμμιν τῶν ὀφθαλμῶν τῶν γυναικῶν τῶν ἐχθρῶν, ὥςπερ νικηθέντος τῇ ὀξείᾳ αὐτοῦ ἐγκρατείᾳ.

2. Ἀναστᾶσα μὲν οὖν εὐθέως ἡ γυνὴ τῶν Πανδοϊδῶν, κεκονιαμένη τὸ σῶμα, θρηνῳδοῦσα, παρέστη τῇ συνόδῳ τοῦ βασιλέως, ἐν ᾗ παρῆσαν καὶ οἱ ἄνδρες αὐτῆς.

---

1. Ἡ μελανότης τοῦ Βεάσα μελαντέρα ἐστὶ τοῦ σιδηροῦ ξίφους, ὃ κατέφαγε τὴν στίμμιν, τὴν ἐν τοῖς ὀφθαλμοῖς τῶν γυναικῶν τῶν ἐχθρῶν, ἐξήλειψε δηλ. τὴν μέλαιναν βαφὴν τῶν ὀφθαλμῶν τῶν γυναικῶν τῶν ἐχθρῶν, ἀναιρεθέντων· ἡ δ' ἐγκράτεια τοῦ Βεάσα σκληροτέρα καὶ ὀξυτέρα ἐστὶ τοῦ ξίφους.

3. Καὶ « Ὦ βασιλεῦ » ἔκραξε φωνῇ ἐλεεινῇ καὶ θυμοειδεῖ, ἀποβλέπουσα πρὸς τὸν Βήμαν ἀγρίῳ ὄμματι, « Σὺ βλέ-» πεις ἐμὲ τετυμμένην· σήμερον βλέπω καὶ ἐγὼ τὴν δι-» καιοσύνην σου. »

4. Εἰπόντος δὲ τοῦ βασιλέως, « Ἡ μάχη ὑμῶν, Μαλινὴ, » κατ' ἰδίαν ἐγένετο [1]. ὅθεν εἰπὲ, τίς ἡ αἰτία ; » πάλιν ἡ Δραουπαδὴ ἔλεξε τάδε·

5. « Εἰ ὁ πρῶτος [2] τῶν πέντε μου θεοειδῶν ἀνδρῶν, καὶ » κρυφίων ἐν τῷ κόσμῳ, οὐκ ἦν ἥσυχος, τίς τολμηρὸς » ἔπραξεν ἂν τοιοῦτον ;

6. « Ὦ ἄνερ Βήμα [3], σὲ οἱ ἀδελφοὶ λέγουσι νικητὴν μέγαν » ἐν πολέμῳ· καταφρονήσας οὖν τοῦ λόγου τοῦ ἀρχηγοῦ [4], » ἄνελε ταχέως τὸν θλίψαντά με ἐχθρόν. »

7. Τοιαῦτα ἀκατάληπτα λεγούσῃ ἐκείνῃ θυμοειδῶς καὶ ὀργῶς, ἀπεκρίνατο ὁ Ἰνδιστίρας ὑποκριτικῷ θυμῷ·

8. « Εἴ τις ἀνήρ σοι τυγχάνει Βήμας, περιφανὴς ἐν πολέμῳ, » πληρωσάτω σοι ἐκεῖνος ταύτην τὴν ἔφεσιν· νῦν δ' ἄπιθι, » μηδὲ θορύβει ἐν τῇ κυβείᾳ [5]. »

9. Ἡ δὲ πεισθεῖσα τῷ λόγῳ τοῦ Ἰνδιστίρα, ἀνεχώρησε τελευταῖον, λίαν μηνιῶσα, καὶ ἐλθοῦσα ἀνήγγειλε τῇ γυναικὶ τοῦ βασιλέως τὴν ῥαδιουργίαν τοῦ Κησάκα.

10. Πλύνασα δ' ὕδατι τὰ ἱμάτια αὐτῆς, τὰ μολυνθέντα χειρὶ ἀλλοτρίου ἀνδρὸς, καὶ λουσαμένη, ἐπορεύθη νύκτωρ πρὸς τὸν Βήμαν εἰς τὸ μαγειρεῖον.

---

1. Μὴ ὄντος ἐμοῦ δηλ. αὐτόπτου.

2. Τὸν Ἰνδιστίραν ἐννοεῖ.

3. Τοῦ βασιλέως ἀσχολουμένου περὶ τὴν κυβείαν, καὶ μὴ προσέχοντος, ἡ Δραουπαδὴ ἀγανακτοῦσα λέγει λόγους, ἐξ ὧν οὐ δύνανται κατανοῆσαι οἱ παρεστῶτες περὶ τίνος λέγει.

4. Τοῦ Ἰνδιστίρα δηλ.

5. Ὁ Ἰνδιστίρας συνεκύβευε τῷ βασιλεῖ.

11. Κοιμώμενος δ' ὁ Βήμας ἠδέως κατὰ γῆς τοῦ μαγειρείου, ἐνηγκαλίσθη ὑπ' ἐκείνης, ὡς ἀνὴρ, καὶ ἐπιέσθη κατὰ τὸ στῆθος.

12. Ἀνοίξας δὲ τοὺς ὀφθαλμοὺς, καὶ ἰδὼν τὴν ἠγαπημένην, μετὰ πολὺν χρόνον ἐλθοῦσαν οἴκοθεν, ἀπέβαλε τὸ ἐν τῇ καρδίᾳ ἄλγος τῇ συμπλοκῇ τῶν βραχιόνων.

13. Τότε ἡ θυγάτηρ τοῦ βασιλέως Δρουπάδα ἐξηρεύξατο πρὸς τὸν Βήμαν λόγον ἀδιάρθρωτον καὶ ἀσαφῆ, καταπνιγομένη τῇ ἐκ τῆς ὀδύνης δακρυρροΐᾳ·

14. «Εἰ σὺ ὁ θυμοειδὴς [1] παρέβλεψας πρότερον τὸν Δουσσα-» σάναν, ἰδὲ γοῦν νῦν τὰς ἐμὰς χεῖρας, ὄζους ἐχούσας ἐκ » τῆς τριβῆς τοῦ Σανδάνου.

15. «Ἄρτι δὲ καὶ ὁ Κησάκας εἶλκέ με ἐκ τῆς κόμης, καὶ λὰξ » ἔπαιέ με· ἆρα τὸ στῆθός σου οὐ διερράγη, παρόντος, » καὶ μηδαμῶς ἀμυνομένου;

16. Ἀκούσας ταῦτα παρὰ τῆς συζύγου, ἀχθεσθεὶς καὶ τῇ ἀναμνήσει τῆς πολλῆς ταλαιπωρίας τῶν ἀδελφῶν, ἔφη, ἀναστενάζων, καὶ τείνων συνεχῶς τοὺς ὀφθαλμοὺς εἰς τοὺς βραχίονας [2]·

17. «Ἡμεῖς, ὦ φιλτάτη, τί ποιήσωμεν ἐν ταύτῃ τῇ ἀτιμίᾳ, » οἱ ἀπειργόμενοι ὑπὸ τοῦ φιλησύχου Ἰνδιστίρα, ὡς ἀγάλ-» ματα λίθινά [3] ἐσμεν, καί περ ὄντες ὁπλικοί [4];

18. «Δὸς, ὦ ἐλαφόφθαλμε, ἐκείνῳ τῷ Κησάκᾳ λόγον ψευδῆ » ἐπὶ συνουσίᾳ νύκτωρ ἐν τῇ ὀρχήστρᾳ [5], ἵν' ἐμβάλω αὐ-» τὸν, ὡς ψωμὸν, βίᾳ ἐν τῷ στόματι τοῦ Ἰάμα.

---

1. Ὁ μέγας ἀναιρέτης, αὐτολεξεί.
2. Ὅτι τοιούτους βραχίονας ἔχει στιβαρούς.
3. Ὡς ἄψυχοι δηλονότι καὶ ἀναίσθητοι.
4. Ὁπλικοὶ, φιλοπόλεμοι.
5. Ἐν τῷ θεάτρῳ, ἐν τῇ ὀρχήστρᾳ.

19. Ἡ δὲ Δραουπαδὴ, ἐξακεσαμένη τὴν φαρμακώδη ὀδύνην τοῖς ἀμβροσίοις λόγοις τοῦ Βήμα, ἐπανῆλθεν εὐθέως καὶ κρυφίως, ὡς ἦλθεν, εἰς τὸν οἶκον τῆς γυναικὸς τοῦ Βιράτα μετὰ χαρᾶς.

20. Τῇ δ' ἑφεξῆς ἡμέρᾳ, ὥςπερ ἐρῶσα, ἔφη κατ' ἰδίαν λόγοις μελιειδέσι τῷ Κησάκᾳ, ἐλθόντι εἰς τὸν οἶκον τῆς Σουδεσνᾶς·

21. «Πῶς σὺ, ὦ ὡραιότατε τῶν ἐπὶ γῆς, εἶπές μοι τότε τοιαῦτα ἐν παῤῥουσίᾳ ἀνθρώπων; ἐλθὲ διὰ νυκτὸς, κατὰ τὴν »ἐμὴν ἐπιθυμίαν, εἰς τὸ θέατρον, ἔνθα οὐκ εἰσιν ἄν»θρωποι.»

22. Χαρεὶς δὲ ὁ γυναικάδελφος τοῦ βασιλέως τοῖς λόγοις τῆς Δραουπαδῆς, ἔλεξε λόγον ἡδὺν καὶ τρανὸν, ἐξιόντα ἐκ λάρυγγος, οὗ ἡ ζωὴ ἦλθεν ἐν τῇ ἑαυτῆς στάσει καὶ σωτηρίᾳ [1].

23. «Σήμερον τοῖς μὲν καλοῖς μου ἔργοις ὕψωσις ἐγένετο, τοῖς »δὲ κακοῖς ταπείνωσις [2]· καθὸ ἐγὼ ὁρῶμαι ὑπὸ σοῦ ὄμ»ματι ἱλαρῷ, πρὸς δὲ ἡ βασιλεία τῶν τριῶν κόσμων χόρ»τος ἐστιν.

24. «Ἐγὼ τοὺς λωτοὺς ποιοῦμαι κατωτέρους τῶν σῶν ὀφθαλ»μῶν, ὦ εὐόφθαλμε, τῶν λαμπρῶς καὶ διαυγῶς κινου»μένων τῇ πρὸς ἐμὲ ἐνατενίσει.

25. . . . . [3]

26. «Βαβαί! τοῦτο τὸ ἀγλαὸν στόμα σου, ὦ εὐπρόσωπε, τὸ

---

1. Πρότερον μὲν γὰρ ἦν τεθνεώς πως, διότι ἀπέτυχεν· ἤδη δὲ ἔμβιος καὶ εὐτυχὴς, διότι τυγχάνει τοῦ ποθουμένου.

2. Ἡ ἀρετή μου τὰ πρωτεῖα ἔλαβεν, ὑπερίσχυσεν· ἡ δὲ κακία ἐταπεινώθη, παρεχώρησε.

3. Οὗτος ὁ στίχος παραλέλειπται, ὃς καὶ συμπεραίνεται, ὡς περιττός ἐστι.

» λαλοῦν, ἐν μὲν τῇ παρωχηκυίᾳ ἡμέρᾳ ἦν ἀδελφόν πως τοῦ ἰοῦ, σήμερον δ' ἀδελφὸν τῆς ἀμβροσίας.

27. «Ἡ γέννησίς μου, ἡ ζωή μου, ἡ δόξα μου, ἡ εὐμορφία » μου καὶ ἡ ὑπερηφάνειά μου ἐπικερδὴς ἐγένετο, καθότι » ὁ λόγος σου καὶ ὁ ὀφθαλμός σου ἐβάπτισέ με εἰς χαρᾶς » ἀμβροσίαν.

28. «Διὰ μόνου τοῦ λόγου τῆς περιπτύξεως ἡ μὲν καρδία » μου ἐγανώθη, τὸ δ' ἄλγος μου ἀπηλλάγη, καὶ ἡ χαρά » μου ἐξετάθη· τί δ' ἄρα γενήσεται ἐξ αὐτοῦ τοῦ ἔργου » τῆς περιπτύξεως;

29. «Λαμπρὰ ἡδονὴ ἐγένετο ταῖς καρδίαις ἡμῶν ἀμοιβαίως » διὰ τῆς ἡδείας ὁμιλίας· ὅτε δ' αὖτη ἐμπράκτως καὶ » τοῖς σώμασι γένοιτο, ὁποία ἄρα ἔσται ἐκείνη ἡ ὥρα;»

30. Ταῦτα εἰπὼν ὁ Κησάκας, ἀποπεμφθεὶς σπουδαίως [1] ὑπὸ τῆς εὐοφθάλμου Δραουπαδῆς, ἐπορεύετο οἴκαδε σχολαίως, δεδεμένος τὴν καρδίαν, ὡς σχοινίοις, ταῖς χάρισιν ἐκείνης.

31. Περὶ δὲ πρωΐαν ἠρώτα ὁ ἄφρων συνεχῶς λόγοις, λύπην παρέχουσι τῷ ζεύγει τῶν χηναλωπέκων, τῶν ἐνδιαιτωμένων τῷ κατὰ τὸν οἶκον χαρίεντι λιμνίσκῳ· «Ἐγένετο » λῆξις τῆς ἡμέρας;»

32. Καὶ ὁ μὲν Ἥλιος, ἐννοῶν τὸν θάνατον τοῦ Κησάκα, γενησόμενον ἐν νυκτὶ, ἐλέει κινούμενος, ἐποίει τὴν ἡμέραν μακράν· ὁ δὲ ἐνόμιζεν αὐτὸν ἀνελεήμονα.

33. Ὑπὸ δὲ τοῦ θανάτου ἐκείνου, τοῦ γενησομένου ἐν τῷ καιρῷ τῆς νυκτὸς, βιαίως ἐκρημνίσθη ἀπὸ τοῦ οὐρανοῦ ὁ Ἥλιος, ὁ πατὴρ τῶν φώτων, εἰς τὸν ὠκεανόν.

34. Σὺν δὲ τῇ χαρᾷ τοῦ Κησάκα, τοῦ κοσμοῦντος ἑαυτὸν

---

1. Σπουδαίως ἀπεπέμφθη, ἵνα μὴ ἐκκεντούμενος τότε τῷ ἔρωτι, ποιήσῃ τι ἀπαίσιον.

κοσμήμασιν ἀπαραμίλλοις, καὶ μηδὲν ἕτερον, ἢ τοῦτο, διανοουμένου, ηὔξανε καὶ ἡ νὺξ, λαμπρυνομένη λαμπρᾷ σελήνῃ.

35. Περὶ δέ που τὸ μεσονύκτιον ἐπορεύθη εἰς ἐκείνην τὴν διωμολογημένην ὀρχήστραν, ἥτις ἦν τόπος φοβερὸς ἐκ τῆς παρουσίας τοῦ φοβεροῦ Βήμα, ἐλθόντος ἐκεῖ ἐπὶ μάχῃ, ὡς εἴρηκε τῇ Δραουπαδῇ.

36. Τὰ δὲ καθ' ὁδὸν ἀπαίσια πολλὰ σημεῖα εἰς οὐδὲν ἐλογίσθησαν αὐτῷ, καὶ ἡ τῶν φρονίμων συμβουλὴ οὐκ εἰσηκούσθη, ἔκ τε τῆς προτροπῆς τῶν πορνοβοσκῶν, καὶ τῆς ἐξ ἔρωτος τυφλότητος.

37. Εἰσέδυ οὖν τὸ θέατρον μόνος, ἀποπέμψας πάντας τοὺς περὶ ἑαυτὸν, ὀλισθαίνων ἐκ πολλῆς τῆς ἀδημονίας, καὶ ἐκφωνῶν· «Ποῦ ἐλαφόφθαλμε εἶ;»

38. Ψηλαφῶν δ' ὡς τυφλὸς, ἥψατο ἄκρᾳ χειρὶ τοῦ Βήμα ἐκείνου, καὶ ἔφη· «Ἐγὼ, λωτόφθαλμε, ἐκ τῆς πολ-» λῆς ἀδημονίας οὐκ ἐφόρεσα κοσμήματα τοσαῦτα, ὅσα » ἔδει. »

39. «Σὺ δ' ἄρα σῶμα σκληρὸν τὴν ἀφὴν ἔσχες, ἐπειδὴ ἡ » διάνοιά σου ἦν ἐμβεβυθισμένη εἰς ἐπίτευξιν ἐμοῦ· τὸ » ἐμὸν μέν τοι σῶμα σκληρὸν πέφυκεν ἐκ τῶν πόνων τοῦ » ἀναιρεῖν δεινοὺς ἐχθροὺς ἐν πολέμῳ.»

40. Τότε τὸ θερμοειδὲς τοῦ θυμοῦ τοῦ Βήμα ἐξήφθη τριχῶς, τῇ τε πρὸς τὴν γυναῖκα ἀτιμίᾳ [1] τοῦ Κησάκα, τῇ τε εὐωδίᾳ τῶν μύρων, ὧν εἶχεν εἰς ἡδονὴν τῆς ἐρωμένης, καὶ τῇ περὶ πολέμου ἀφηγήσει [2].

41. Θεὶς δ' ὁ Βήμας τὴν χεῖρα ἐπὶ τοῦ ὤμου αὐτοῦ, ἔφη

---

1. Ὅτε ἔλκων αὐτὴν ἐκ τῆς κόμης, ἔπαιε λάξ.

2. Ὅτε εἶπεν ὅτι, ἐκ τῶν πόνων τοῦ πολέμου τὸ σῶμα αὐτοῦ σκληρόν ἐστι.

χθαμαλῇ τῇ φωνῇ· «Ἐγνώσθη τὸ θαυμαστόν σου σῶμα » καὶ ἡ δύναμίς σου· νῦν δ' ἄρξαι μάχης».

42. Τότε χειρομαχία αὐτοῖν ἐγένετο, καθ' ἣν ἡ μὲν γῆ ἔτρεμεν ἐκ τῆς τῶν ποδῶν βάσεως, ὁ δ' οὐρανὸς ἤχει ἐκ τῆς τῶν χειρῶν συγκρούσεως, οἱ δὲ νυκτοποροῦντες δαίμονες ἐφοβοῦντο.

43. Ὁ δὲ Κησάκας ἤμει αἷμα, ὅ ἐστι τὸ ἐν τῇ καρδίᾳ αὐτοῦ φίλτρον [1] πρὸς τὴν Δραουπαδὴν, ἐκ τῶν πολλῶν καὶ σφοδρῶν πληγῶν τῆς τοῦ Βήμα χειρὸς, ἣ ἦν ὡς μοχλὸς μέγας.

44. Πάντα δὲ τὰ μέλη τοῦ Κησάκα εἰσέδυσαν εἰς τὸ ἐντὸς [2], ἐκ τῶν πληγῶν τῆς χειρὸς τοῦ Βήμα, ἐπὶ τῷ τυχεῖν τῆς ἐρωμένης, ἧς οὐκ ἠδύναντο τυχεῖν ἔξωθεν [3].

45. Τοῦ δὲ Κησάκα ἐπιλαθομένου τῶν χαρίτων τῆς Δραουπαδῆς, διὰ τὸ συνήδεσθαι ταῖς θεαίναις [4], ἀναγγείλας, χαίρων, τὰ κατ' αὐτὸν τῇ Δραουπαδῇ ὁ Βήμας, ἐπανελθὼν ἐκοιμᾶτο ἐν τῷ μαγειρείῳ.

46. Περὶ δὲ τὴν ἕω, ἰδόντες ἅπας ὁ λαὸς τὸν Κησάκαν τεθνεῶτα, ἀγγελθέντα ὑπὸ τῆς Δραουπαδῆς, χαιρούσης, ἐφοβήθησαν, ἐλυπήθησαν καὶ κατεπλάγησαν.

47. Αἵ τε γυναῖκες τούτου καὶ οἱ ἀδελφοὶ μετὰ τῆς Σουδεσνᾶς, οἰμώζοντες καὶ ἐλεεινῶς θρηνοῦντες, ἐπορεύθησαν ταχέως εἰς τὸν οἶκον τῆς ὀρχήσεως.

48. Ἐκ δὲ τῆς ἠχοῦς τοῦ κλαυθμοῦ τῶν ἀνθρώπων, ὀδυρομένων λίαν ἐν παντὶ τόπῳ, ἐδόκει, ὅτι ἔκλαιον καὶ ὠδύροντο οἵ τε πύργοι, καὶ τὰ ὄρη, καὶ οἱ βω-

---

1. Ἐρυθρὸν εἰκονίζεται τὸ φίλτρον, καὶ τὸ ἐπιθυμητικόν.
2. Τουτέστι συνεστάλθησαν, συνεθλάσθησαν.
3. Ἐν τῇ καρδίᾳ ἦν ἡ ἐρωμένη Δραουπαδή.
4. Τουτέστιν, ἀποθανόντος.

μοί· αἱ δὲ γαμεταὶ αὐτοῦ τάδε ἔλεγον, ὀδυρόμεναι·

49. «Ὦ νικητὰ τοῦ δυνατοῦ Σουσσάρμα [1], καὶ ὡραιότερε τοῦ » Ἔρωτος, ἆρα αἱ ἀκοίμητοι τοὺς ὀφθαλμούς θέαιναι κα- » λαί σοι ἔδοξαν σήμερον;

50. «Εἰ παρὰ τοῦ Ἴνδρα ἐζητήθης εἰς τὸ νικῆσαι τοὺς Τιτᾶ- » νας ἐν τῷ οὐρανῷ, πῶς σὺ, ὦ ἀγαπητὲ, ἐπορεύθης ἄνευ » τοῦ ἐξερεύξασθαι λόγον πρὸς ἡμᾶς, καὶ ἄνευ τοῦ περι- » πτύξασθαι λίαν ἡμᾶς;

51. «Αἱ γυναῖκες ἐπὶ γῆς ἐνόμιζον σὲ αὐτὸν, τὸν ἀσώματον » Ἔρωτα ἐν σώματι· νῦν δὲ καὶ αἱ θεαὶ τοιοῦτόν σε νομί- » ζουσιν, οὗ ἀπήλαυσαν διὰ τῆς ἑαυτῶν ἀγαθῆς τύχης.

52. «Βαβαί! ἴδιον τοῦτο τῶν θεῶν, τὸ τυχεῖν τοῦ ποθου- » μένου διὰ τοῦ νοός [2]· πῶς γὰρ ἂν ἄλλως σὺ, ὦ ἀγα- » πητὲ, περίπτυξιν ἐλάμβανες αὐτομάτως ἤδη παρὰ τῶν » θεαινῶν [3];

53. «Εἰ δὲ ἐπιθυμία ἦν σοι τῶν θεαινῶν, τῶν μὴ καμμυου- » σῶν τὰ ὄμματα, ἐλθὲ, ὦ μεγαλόψυχε, ταχέως ἐνθάδε· » καὶ ἡμῶν γὰρ αὐτῶν τοῖς ὄμμασι κάμμυσις οὐ γίνεται » ἐκ λύπης.»

54. Τηνικαῦτα ἐκ τῶν μεγάλων θλιβερῶν κλαυθμῶν τῶν γυναικῶν τούτου, ὅτε αἰθὴρ διῃρέθη πως εἰς δύω, καὶ τὰ μέρη τοῦ κόσμου διερράγησαν.

55. Τὸ δ' ἐν ἐκείνῳ τῷ θεάτρῳ αἷμα ἐξεπλύθη ἐκ τῶν ποταμηδὸν χυθέντων δακρύων πάντων τῶν περιεστώτων οἰκείων, ὀδυρομένων.

56. Ἰδόντες δ' οἱ ἑκατὸν καὶ πέντε ἀδελφοὶ τοῦ Κησάκα πα-

---

1. Βασιλεὺς ἦν οὗτος ὁ Σουσσάρμας.

2. Ὅτι οἱ θεοὶ ἐν νῷ λαμβάνουσι, τοῦτο καὶ ἀπολαμβάνουσι.

3. Τουτέστιν ἔλαβον ἐν νῷ αἱ θεαὶ μιγῆναί σοι, καὶ διὰ τοῦτο ἀπῆλθες πρὸς αὐτάς.

ροῦσαν τὴν Μαλινὴν, καὶ κρύπτουσαν τὴν ῥίνα ἐν τοῖς δακτύλοις [1], βουλὴν ἔθεντο κατακαῦσαι αὐτὴν μετὰ τοῦ νεκροῦ ἐν τῇ αὐτῇ πυρᾷ.

57. Εἶλκον οὖν αὐτὴν ἀθρόοι θυμῷ, εἰς τὸ κατακαῦσαι ἐν τῇ πυρᾷ τοῦ Κησάκα, ἐννοοῦντες, ὡς αὕτη ἀνελοῦσα αὐτὸν διὰ τῶν πέντε αὐτῆς ἀνδρῶν, ἦλθεν ἐνταῦθα, ὀψομένη, χαίρουσα.

58. Ἤχθη δὲ πρὸ τῆς πυρᾶς ὑπὸ τῶν ἀδελφῶν τοῦ Κησάκα, κλαιόντων, ἀναβοώντων, καὶ ταραττομένων, δίκην θαλασσίων κυμάτων, κλαίουσα καὶ αὐτὴ, καὶ ἐπικαλουμένη τοὺς οἰκείους ἄνδρας τοῖς ἀγνώστοις ὀνόμασιν.

59. Ὥρμησε δὲ τότε εὐθέως ὁ Βήμας ἐπ' ἐκείνην τὴν πυρὰν, πηδήσας ἀφ' ὑψηλοῦ τόπου, κρατῶν ἐν χειρὶ ἀνθ' ὅπλου δένδρον, ὃ ἀνέσπασεν, εὑρεθέν που καθ' ὁδόν· ἐκ δὲ τῆς ἀπὸ τῶν ποδῶν αὐτοῦ κόνιος σκότος ἐγένετο.

60. Οἱ δὲ, ἰδόντες τὸν Βήμαν, φοβερὸν ὄντα, ὡς Ἴαμαν, νομίσαντες αὐτὸν μέγαν Γανδάρβαν [2], ἀφῆκαν καὶ τὴν θυγατέρα τοῦ Δρουπάδα, καὶ τὴν ἐλπίδα τῆς ζωῆς ἑαυτῶν.

61. Ἀνελὼν δ' ὁ υἱὸς τοῦ Ἀέρος τοὺς περὶ τὸν Κησάκαν βιαίως δεκαοργυίῳ δένδρῳ, παρηγορήσας τὴν γυναῖκα αὐτοῦ, ἀπῆλθεν, ὅθεν ἦλθεν.

62. Ὁ μὲν οὖν βασιλεὺς, φοβηθεὶς, οὐδέν τι εἶπε τῇ Δραουπαδῇ αὐτὸς, γνοὺς ἐκείνους φονευθέντας ὑπὸ Γανδάρβα· ἐξοικιζομένη δ' ὑπὸ τῆς Σουδεσνᾶς τῇ προσταγῇ τοῦ βασιλέως, ἔφη τάδε·

63. « Ὑπομενέτω, ὦ βασίλισσα, ὁ βασιλεὺς μέχρι δεκατριῶν

---

1. Ὡσπερεὶ ὦζεν.

2. Ὁ Βήμας ἤλλαξε τὴν μορφὴν αὐτοῦ καὶ στολὴν, καὶ διὰ τοῦτο οὐκ ἐγνωρίσθη.

» ἡμερῶν· τότε γὰρ οἱ ἐμοὶ γενναῖοι ἄνδρες, τυχόντες
» τῆς ἑαυτῶν δόξης, ἐξάξουσί με ἐντεῦθεν, χαίροντες· σὺν
» δὲ τούτοις ὁ βασιλεὺς οὗτος Βιράτας νίκης τεύξεται·
» ὑπόμεινον οὖν καὶ σύ.» Ἡ δὲ Σουδεσνὰ ἔστη ἄφωνος [1]
ἐν τῷ λόγῳ αὐτῆς.

Τέλος τοῦ Δευτέρου Κεφαλαίου,

τοῦ Τετάρτου Βιβλίου

τῆς

Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ,

ὃ διαλαμβάνει τὴν νίκην τῶν Πανδοϊδῶν κατὰ τῶν συλησάντων τὰς ἐκ βορρᾶ καὶ νότου βοῦς τοῦ Βιράτα.

1. Προσκυνήσατε, ὦ ἄνθρωποι, τὸν μέλανα ἐκεῖνον ὅσιον, οὗ ἡ ἐπὶ τῆς γλώσσης ἀμβροσία, ἡ ἡδεῖα, καὶ δροσερὰ, καὶ διειδὴς, καὶ εὐώδης, ἐγένετο ἐραστὴ καὶ τοῖς ὠσὶ, διὰ τῆς ἐξιστορήσεως τῆς Μαχαβαράτας.
2. Μαθὼν δὲ παρὰ τῶν κατασκόπων ὁ Δουριοδάνας, ὡς οὐδέ που φαίνονται ἐκεῖνοι οἱ Πανδοΐδαι, θορυβηθεὶς τὸν νοῦν, ἠρώτησεν ἐν βουλῇ τὸν Βήσμαν καὶ ἄλλους, ποῦ εὕροι αὐτούς.
3. Πρὸς ὃν ἀπεκρίνατο ὁ Βήσμας· «Εὔκτητός ἐστιν ὁ Ἰνδι-
» στὶρας, τὸ τῆς ἀγαθότητος δοχεῖον, καὶ τῆς γῆς ὁ πο-
» λύτιμος λίθος καὶ κόσμος· ἀνιχνεύθη δ' ὅμως ὑπὸ κα-

---

1. Οὐδὲν ἀπεκρίνατο, σιωπὴν ἔσχεν· διάφοροι γραφαὶ τοῦ μεταφραστοῦ. (Σημ. τ. ἐκδ.)

» τασκόπων ἀνοήτων ἐν ὄρεσιν, ἐν ὄχθαις ποταμῶν, καὶ » ἐν ἄλσεσιν.

4. « Εὔκτητός ἐστιν, ὅπου ὁ δυνατὸς Ἥλιος, ἡδόμενος τῇ » ἀναγινωσκομένῃ Βέδᾳ ὑπὸ Βραχμάνων ἀγνῶν καὶ ἐννό- » μων, δίδωσιν ἐν καιρῷ ὑετὸν, ψύχος, καὶ καῦμα, μὴ » παρέχοντα θλίψιν τοῖς ἀνθρώποις [1].

5. « Εὑρεθήσεται ἐν γῇ, ποτιζομένη ἐς βάθος ὑπὸ γαλάτων, » χεομένων αὐτομάτως ἐκ τῶν οὐθάτων τῶν βοῶν, καὶ » ἐν πηγαῖς, ἔνθα ὕδωρ ἀναβρύει ὅμοιον τῇ ἀμβροσίᾳ, τῇ » ἀναβρυούσῃ ἐν τῇ Πατάλα [2].

6. « Ἐκεῖ ἐστιν ὁ υἱὸς τοῦ Νόμου, ἔνθα ἐστὶν ὁ Νόμος [3], ὁ » ἔχων σῶμα μὲν τὴν ἀγαθουργίαν, χαρακτῆρα δὲ τὴν » πολλὴν εὐτυχίαν, φύσιν δὲ τὴν φιλοστοργίαν, καὶ πό- » δας τὴν ἀλήθειαν καὶ καθαρότητα. »

7. Ὁ δὲ Σουσσάρμας, ὁ Βασιλεὺς τῆς Τριγάρτας, ἔφησε πρὸς τὸν Δουριοδάναν, ἠνωμένας ἔχων τὰς παλάμας· « Ὑπὸ » τῶν ἐμῶν κατασκόπων διηγγέλθη, ὡς ἡ Ματσέα χώρα » ἐπαινεῖται νῦν, ὡς κρείττων πασῶν τῶν χωρῶν τῆς γῆς.

8. « Πάντως γε ἐκεῖ ὁ Ἰνδιστίρας αὐτὸς σὺν τοῖς αὐτοῦ » ἀδελφοῖς διάγει ἐν ἀποκρύφῳ τρόπῳ· οὐδενί που δὲ » θεατός ἐστι κατ' οὐδένα τρόπον, καθὼς ὁ Βισνοῦς τοῖς » μὴ θεωρητικοῖς.

9. « Ἁρπάξωμεν τὴν ἀγέλην τῶν βοῶν ἐκ τῆς πόλεως τοῦ » βασιλέως τῆς Ματσέας· καὶ εἰ μὲν οἱ ἐχθροί σου πάρει- » σιν ἐκεῖ, ὁ Ἀρζούνας ἐλεύσεται εἰς τὸ φανερὸν παρὰ » καιρὸν, θυμούμενος τῇ τῶν βοῶν ἁρπαγῇ·

10. « Εἰ δ' οὗτοι, ὦ γενναιότατε, οὐκ εἰσιν ἐνταῦθα, ὁ κό-

---

1. Μέτρια δηλ.
2. Πατάλα λέγεται ὁ καταχθόνιος κόσμος.
3. Ἔνθα φυλάττεται ὁ Νόμος, ἐκεῖ ἐστιν ἡ ἀγαθουργία, κ.τ.λ.

» σμος ἐστὶν ἀναμφιβόλως ἄνευ τῶν Πανδοϊδῶν [1]. ἂν » δὲ πολεμήσῃ ὁ βασιλεὺς τῆς Ματσέας, καὶ αὐτὸς ὑπὸ » χεῖρα ἡμῶν ἔσεται, καὶ ἡ πολύολβος αὐτοῦ πόλις.

11. «Ὃς γὰρ ἦν στρατηγὸς τῷ βασιλεῖ ἐκείνῳ, ὁ πολύλαμ- » προς καὶ ἀήττητος ἐν κόσμῳ Κησάκας, οὗτος, κακῇ » αὐτοῦ τύχῃ, ἐγένετο ἐν τῷ θυμῷ τοῦ Γανδάρβα, ὡς πυ- » ραλλὶς ἐν τῷ πυρί [2].

12. «Ὧν δ' ἄνευ τοῦ Κησάκα ὁ Βασιλεὺς τῆς Ματσέας, ἔσται » ἡμῖν ὡς σάκχαρον ἄνευ κάρφους· τοῦτο δὲ τὸ σάκχαρον » πίε, ὦ γενναῖε, σὺν τῷ ἐγκωμίῳ, ὡς γάλακτι, ποιήσας » θερμὸν διὰ τῆς οἰκείας θερμουργίας [3].

13. «Ἐγὼ μὲν συλήσας τὰς βοῦς, ἐφελκύσω τὸν Βιράταν καὶ » τὸν στρατὸν αὐτοῦ κατ' ἐκεῖνο τὸ μέρος, πόρρω τῆς » πόλεως· σὺ δ' ἐκ θατέρου μέρους, παρασκευασάμενος, » παράλαβε τὴν πολύολβον ἐκείνου πόλιν.»

14. Ἀποδεξάμενος δ' ὁ Δουριοδάνας τὴν γνώμην ταύτην τοῦ Σουσσάρμα, προτραπεὶς καὶ ὑπὸ τοῦ Καρνᾶ καὶ ἄλλων ὁμοῦ, ἥψατο τῆς ὁδοῦ, ἐπὶ σκοπῷ τοῦ συλῆσαι τὰς βοῦς, μετὰ στρατοῦ δυσκλεοῦς, ὡς ποταμοῦ θολεροῦ.

15. Ὁ μὲν δὴ βασιλεὺς τῆς Τριγάρτας ἐσύλησε τὰς βοῦς, τὰς νεμομένας κατὰ τὸ μεσημβρινὸν μέρος τῆς πόλεως τοῦ Βιράτα, ὡσπερεὶ ἐσύλησε τὴν ἑαυτοῦ ἀπανταχοῦ μεγάλην φήμην καὶ ἀρετήν.

16. Τοῦτο δ' ἐγένετο, πληρωθέντος τοῦ τῆς ἀποκρύψεως ἔτους τοῦ Ἰνδιστίρα. Ἐλθὼν δ' ὁ ἀρχιβουκόλος εἰς τὸ βουλευτήριον ἠλλοιωμένος τὸ πρόσωπον [4], ἀναβοῶν ἔφη

---

1. Οὐδαμοῦ δηλ. εὑρεθήσονται.

2. Ἠκούσθη γὰρ ὅτι οὗτος ἐγένετο παρανάλωμα τοῦ Γανδάρβα.

3. Καθὼς τὸ γάλα θερμαίνοντες πίνουσι, συμμιγνύοντες αὐτῷ καὶ σάκχαρον.

4. «Τεταραγμένος τὴν ὄψιν» πρώτη μετάφρ. (Σ. τ. ἐκδ.).

τῷ βασιλεῖ, γλώσσῃ συγκεχυμένῃ πολλῷ τῷ ἄσθματι·

17. « Ὁ βασιλεὺς, ὦ βασιλεῦ, τῆς Τριγάρτας, ὃς ἀπεδείχθη » πρότερον δυσκλεὴς ὑπὸ τοῦ Κησάκα, ὡς λίμνη θολερὰ » ὑπ' ἐλέφαντος, ἐσύλησεν ἄφοβος τὰς βοῦς τῆς πόλεώς » σου. »

18. Θυμῷ δὲ μεγάλῳ κατάσχετος γενόμενος ὁ βασιλεὺς Βιράτας, ἐξεστράτευσε, συνὼν τοῖς κεκρυμμένοις Πανδοΐδαις, κατάφρακτον καὶ δυσφόρητον ἄγων στρατιὰν, καὶ πληρῶν τὸν αἰθέρα ἤχου τῶν τόξων [1].

19. Συνὼν δὲ καὶ τοῖς τρισὶν υἱοῖς αὐτοῦ, τῷ τε Σουρίᾳ, καὶ Σάγχᾳ, καὶ Μαδηράσβᾳ, ἐπέσῃ τῷ πολεμίῳ στρατῷ, καθὼς ὁ Ἥλιος μετὰ τῆς Σελήνης καὶ τῶν ἀστέρων, τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ, περὶ τὸν ὄρθρον, ἐν τῇ πρώτῃ ἡμέρᾳ τῆς μειουμένης Σελήνης.

20. Ἕλκοντες δ' οὗτοι τὰ τέσσαρα τόξα, ἐφαίνοντο ὡς Ἰάμας τετράστομος, εἰς τὸ καταφαγεῖν ἐν τῷ αὐτῷ χρόνῳ τὸ τετραειδὲς στράτευμα τοῦ βασιλέως Σουσσάρμα [2].

21. Τῶν μὲν οὖν ἡρώων πάντων ἱσταμένων ἐπὶ γῆς, τῶν δὲ θεαινῶν ἐν οὐρανῷ, οἱ τέσσαρες οὗτοι κατεσκεύασαν καταπέτασμα [3] ἐν τῷ αἰθέρι διὰ τῶν συνεχῶν βελῶν, εἰς τελετὴν τοῦ γάμου αὐτῶν [4].

---

1. Τουτέστι μέχρι τοῦ οὐρανοῦ διῆκεν ἡ κλαγγὴ τῆς χορδῆς τῶν τόξων. Ὅτε ἐντείνουσι τὸ τόξον, ἕλκουσι τὴν χορδὴν καὶ ἀφιᾶσιν αὐτὴν, καὶ οὕτω ἦχος ἀποτελεῖται.

2. Τὸ συνιστάμενον ὑπὸ πεζῶν, ἱππέων, ἐλεφάντων καὶ ἁρμάτων.

3. Ἐν τῷ νυμφῶνι ἵστᾶσι καταπέτασμα ἐξ ὀθόνης, καὶ ἔνθεν μὲν ἵσταται ὁ νυμφίος, ἔνθεν δὲ ἡ νύμφη· ὅταν δ' ὁ ὡροσκόπος εἴπῃ ὡς αἰσία ἐστὶν ἡ ὥρα, τότε αἴρουσι τὴν ὀθόνην· ὁ δὲ νυμφίος καὶ ἡ νύμφη βλέπουσιν ἀλλήλους· κἄπειτα τελεῖται τὰ τοῦ γάμου.

4. Τῶν ἡρώων καὶ τῶν θεαινῶν· ὅταν γὰρ ἐν πολέμῳ θνήσκουσιν οἱ ἥρωες, συζεύγνυνται ταῖς θεαῖς.

22. Ἀπείρους οὖν τὸν ἀριθμὸν ἥρωας ἔκτεινεν οὗτος ὁ βασιλεὺς τῆς Ματσέας θυμῷ, ἐμπείρους λίαν τῶν πολεμικῶν ἔργων, ὥστε ἐνεγκεῖν τὸ ἑαυτοῦ κλέος ἐπ' ἄπειρα στόματα κατ' ἔριν τῆς Γαγγᾶς [1].

23. Ἰδὼν δ' ὁ πολύλαμπρος Ἥλιος τὸν βασιλέα τῆς Ματσέας, πολύλαμπρον γενόμενον ἐκ τῆς ἀναιρέσεως τοσούτων πολλῶν ἡρώων, ἐπήδησεν εἰς τὸν ὠκεανὸν [2] ἐξ αἰσχύνης.

24. Εἶτα δ' ὁ βασιλεὺς τῆς Τριγάρτας ἔδραμεν εὐθέως κατὰ τοῦ βασιλέως τῆς Ματσέας θυμῷ, περικυκλώσας βέλεσιν ὀξέσι τοὺς ἐχθρούς, φοβερὸν ποιῶν τὸ πρόσωπον τῇ ἀνακάμψει τῶν ὀφρύων, καὶ ἄγριόν τι βλέπων.

25. Ὦ! πολλάκις οἱ ἱππεῖς, ῥίπτοντες μακρόθεν τὸν κοντὸν κατὰ τοῦ στήθους τῶν ἐχθρῶν, ἐλάμβανον πάλιν αὐτὸν ἐν χειρὶ τῷ δρόμῳ τῶν ἵππων, ἐξελθόντα ὄπισθεν τῆς ῥάχιος [3].

26. Οἱ δ' ἐφ' ἁρμάτων ῥίπτοντες θυμῷ τὸ βέλος κατὰ τοῦ ἐχθροῦ, πρόσω καὶ πόρρω ἱσταμένου, ἔβλεπον τῇ ταχυδρομίᾳ τῶν ἵππων, καὶ τὸ ἀφεθὲν βέλος, καὶ τὸν ἐχθρὸν τεθνεῶτα, εἰ ἔστρεφον τὸ πρόσωπον [4].

27. Τότε ἡ μὲν ἑσπέρα αὐτὴ ἠφανίσθη, ὥσπερ νικηθεῖσα ὑπὸ τῶν ποταμηδὸν ῥεόντων αἱμάτων τῶν ἡρώων [5]· ἠφανίσθη δ' εὐθέως καὶ ἡ πολλὴ κόνις, ἡ ἐκ τοῦ πολέμου, ὥσπερ νικηθεῖσα ἐκ τοῦ πολλοῦ σκότους.

---

1. Καθὼς ἡ Γαγγὰ ὑποδιαιρεῖται εἰς πολλὰ στόματα καὶ ῥύακας.

2. Ἐγένετο δηλ. νύξ.

3. Τουτέστι, ὁ ἵππος ἔθεε ταχύτερον τοῦ κοντοῦ.

4. Τουτέστι, τὸ ἅρμα ἔτρεχε ταχύτερον τοῦ βέλους· διεπέρα τὸ ἅρμα τὸν ἐχθρὸν καὶ ἔπειτα διῆκε τὸ ἀφεθὲν βέλος εἰς αὐτόν.

5. Ἐρυθρὸν γὰρ τὸ αἷμα, ὡς καὶ ἡ ἑσπέρα· τὸ αἷμα ἐρυθρότερον ἦν τῆς ἐρυθρᾶς ἑσπέρας.

28. Ἀγλαΐα δ' ἐγένετο ἐκ τῶν ἄστρων, ὥσπερεὶ ἐκ σταγόνων ἱδρῶτος τοῦ οὐρανοῦ, θλιβομένου ἐκ τῶν ἀλλομένων κεφαλῶν τῶν ἡρώων, τεμνομένων, καὶ ἐκ τῶν μαργαριτῶν, τῶν ἐξερχομένων ἐκ τῶν κροτάφων τῶν ἐλεφάντων, κοπτομένων τοῖς ξίφεσι τῶν ἡρώων.

29. Οἱ δὲ γενναῖοι μαχηταὶ, διαῤῥαγέντων τῶν ξιφῶν, ἐμάχοντο ξιφιδίοις· τούτων δὲ διαῤῥαγέντων, σφοδραῖς ταῖς πυγμαῖς· ἀδυνάτων δὲ καὶ τῶν χειρῶν γενομένων, τοῖς ὀδοῦσιν ἐπολέμουν, ὡς ἐλέφαντες.

30. Τοῦ μέν τοι στρατοῦ τοῦ Βιράτα λαβόντος εὐθέως φόβον [1] ἐκ τῆς ἐφόδου τοῦ ἰσχυροῦ Σουσσάρμα, μόνος ἔστη ὁ βασιλεὺς Βιράτας, καθὼς ἡ Σελήνη ἐν τῷ ὄρθρῳ [2], ἄνευ τῶν ἀστέρων.

31. Τότε οἱ δύω βασιλεῖς τῆς Ματσέας καὶ Τριγάρτας συνεκρότησαν μανιωδῶς πόλεμον θανάσιμον [3], ἐν ᾧ καὶ τὸ βαθὺ σκότος τῆς νυκτὸς διεσκεδάσθη ἐκ τῶν ἐν τοῖς σώμασιν αὐτῶν πολυτίμων λίθων, καὶ λαμπρῶν κοσμημάτων.

32. Τοῦ μὲν οὖν ἐριστικοῦ βασιλέως τῆς Τριγάρτας ῥίπτοντος βέλη βροχηδὸν μετὰ θυμοῦ, ὁ βασιλεὺς τῆς Ματσέας, διαταραχθεὶς καὶ συσταλεὶς, ὥσπερ ὁ ὄρνις θλιβόμενος τῷ ὑετῷ, ἦν ἐν κακῇ καταστάσει.

33. Ἡ δὲ Σελήνη ἀνέτειλεν, ὥσπερ εἰπεῖν βουλομένη ταῦτα τοῖς Πανδοΐδαις, τοῖς ἀρίστοις τῶν ἐξ αὐτῆς καταγομένων· « Οὗ ἐν τῷ οἴκῳ ἐμείνατε ἓν ἔτος, καὶ τὰ σι-
» τία ἐφάγετε, διὰ τί οὗτος παραβλέπεται ὑφ' ὑμῶν ἐν
» πολέμῳ; »

---

1. Τρέψαντος τὰ νῶτα.
2. Ἐν τῷ ὄρθρῳ· τότε γὰρ οὐ λάμπει τὰ ἄστρα.
3. Αὐτολεξεί· ἔνθα ἐστιν ὁ φοβερὸς ποῦς τοῦ θανάτου.

34. Ἡ Σελήνη ἀνέτειλεν ὥσπερ εὐφημία σωματικὴ τοῦ Σουσσάρμα, τοῦ κορυφαίου τῶν ἡρώων· ἡ δὲ δυσφημία τοῦ Βιράτα, ἥ ἐστιν ἡ ἐν τῇ Σελήνῃ μελανότης, ἐνηγκαλίσατο αὐτὴν τὴν Σελήνην ἐκ φίλτρου [1].

35. Ὁ μὲν δὴ βασιλεὺς τῆς Ματσέας, στερηθεὶς τοῦ ἅρματος, κατεαγότος πολλοῖς βέλεσιν, ἡττηθείς τε τῇ ξιφομαχίᾳ, καὶ ἄλλῃ ὁπλομαχίᾳ, καταβληθεὶς ἐν πάλῃ, παλαιστικῇ τῇ τέχνῃ, ἐλήφθη ζῶν καὶ ἐδέθη ὑπὸ τοῦ Σουσσάρμα.

36. Τοῦ δ' ἐχθροῦ Σουσσάρμα ἀπιόντος, ἀφ' οὗ δήσας, ἔθετο τὸν Βιράταν ἐπὶ τοῦ ἅρματος, ἔφη ὁ Ἰνδιστίρας τῷ Βήμᾳ· «Ὦ! ἐπειδὴ οὗτος ἐνικήθη ὑπὸ τοῦ ἐχθροῦ, παρόντων » ἡμῶν, διὰ τοῦτο ὁ οὐρανὸς γελᾷ διὰ τῆς λαμπρότητος » τῆς Σελήνης [2].

37. Οὕτως εἰπὼν ὁ Ἰνδιστίρας, χιλίους ἥρωας τοῦ Σουσσάρμα διὰ τῆς τῶν βελῶν ὁδοῦ ἔπεμψεν εἰς τὸν οὐρανόν· ὁ δὲ Βήμας ἐν ταυτῷ ἑπτακοσίους, τῷ δ' υἱῷ τῆς Μαδρῆς, χιλίους.

38. Ἀνελὼν δ' ὁ Βήμας τοὺς ἵππους καὶ τὸν ἡνίοχον, καὶ τὸ ἅρμα συντρίψας τοῦ Σουσσάρμα, ὃς ἐπέδραμεν, ἔπαισε λὰξ τὴν κεφαλὴν αὐτοῦ, πεσόντος δίκην ἡμιθνήτου ἐλέφαντος.

39. Ἀπολύσας δὲ τὸν βασιλέα τῆς Ματσέας, ἀφῆκεν ἐλεύθερον ὁ ἐχθρὸς καὶ τὸν ἐχθρὸν ἐκεῖνον Σουσσάρμαν, προσταγῇ τοῦ εὐσπλάχνου καὶ καλοκἀγάθου Ἰνδιστίρα, εἰπόντα ταπεινῶς· «Ἐγώ εἰμι δοῦλος σός.»

---

1. Ἡ εὐφημία καὶ ἡ δυσφημία ὡς δύω ἀδελφαὶ ἐνηγκαλίσαντο ἀλλήλαις.

2. Ἡ λάμψις τῆς Σελήνης ὡς γέλως ἐστὶ καθ' ἡμῶν.

40. Χαίρων δ' ὁ βασιλεὺς τῆς Ματσέας, ἔφη τοῖς περὶ τὸν Κάγκαν· «Λάβετε τὴν ἐμὴν ταύτην βασιλείαν· ἔγω γε » γὰρ ἐκ τῆς δυνάμεως ὑμῶν καὶ ἐν φήμῃ διάγω καὶ ἐν » ἀνθρώποις [1].»

41. Οὕτως ὁ βασιλεὺς Βιράτας ἐλύτρωσε τὰς βοῦς· ἐξαγγείλας δὲ δι' ἀγγέλων τὴν χαροποιὰν νίκην τῇ πόλει, ἔμεινεν ἐκεῖ ἐκείνῃ τῇ νυκτὶ, ἔχων φήμην πραγματικὴν, ἣ ἐστιν ἡ φαιδρότης καὶ ἡ χαρὰ τοῦ στρατοῦ.

42. Περὶ δὲ τὴν ἕω, ἐλθὼν ἕτερος ἀρχιβουκόλος εἰς τὴν πόλιν, ἔλεξε λόγον συγκεχυμένον πρὸς τὸν ἐν τῇ γυναικωνίτιδι υἱὸν τοῦ Βασιλέως Οὐτσαρᾶν, τρέμων ἐκ θυμοῦ καὶ φόβου πολλοῦ·

43. «Ὁ Δουριοδάνας διὰ πολλοῦ στρατοῦ ἐνώσας τὴν γῆν » τῇ θαλάσσῃ [2], ἥρπαξε τὰς βοῦς ἐκ τοῦ βορείου μέρους, » ὦ Κύριε, διπλασιάσας τὴν μελανότητα, τὴν ἐν τῇ προ- » γεννητρίᾳ αὐτοῦ Σελήνῃ.

44. «Καὶ ὁ μὲν βασιλεὺς, ὁ πατήρ σου, ἐφώρμησεν, ὡς λέων, » εἰς πόλεμον κατ' ἐκεῖνο τὸ μεσημβρινὸν μέρος· οὗτος » δ' ὁ Δουριοδάνας ἀνεφάνη, ὡς ἐλέφας ἄφοβος, κατὰ » τοῦτο τὸ βόρειον [3]· ἀγνοεῖ δή που ὄντα ἐνταῦθα σὲ τὸν » κολοφῶνα τοῦ γένους, ὦ σκύμνε λέοντος.»

45. Ὁ δ' υἱὸς τοῦ βασιλέως τῆς Ματσέας Οὐτταρᾶς, τεἰνων τοὺς ὀφθαλμοὺς πολλάκις εἰς τοὺς βραχίονας ἑαυτοῦ,

---

1. Τουτέστιν οὐτ' ἀκλεὴς ἐγενόμην, καὶ ἔζησα.

2. Τοτέστι ποιήσας τὰ ἄνω κάτω· τοῦτο λέγεται ἐπὶ τῆς ταραχῆς καὶ ἀνωμαλίας, καὶ ἐπὶ τῆς συντελείας, ὅτε ἡ γῆ ἑνοῦται τῇ θαλάσσῃ.

3 Τὸ στρατεύμα τῶν Καουραβῶν ἦν διηρημένον εἰς δύω σώματα· καὶ τὸ μὲν ἥρπαξε τὰς βοῦς ἐκ τοῦ μεσημβρινοῦ μέρους, ὃν ὑπὸ τὴν ὁδηγίαν τοῦ Σουσσάρμα βασιλέως, τὸ δὲ ἥρπαξε τὰς βοῦς ἐκ τοῦ βορείου μέρους, ὃν ὑπὸ τὴν ὁδηγίαν τοῦ Δουριοδάνα.

ἔφησε πρὸς τὴν μητέρα καὶ τὰς λοιπὰς γυναῖκας, λαμπρύνων τὴν ὁμήγυριν τῇ αἴγλῃ τῶν ὀδόντων·

46. «Τέως οἱ ἐχθροὶ ἐξεγερθείησαν ἂν, παροξυνόμενοι εἰς πό»λεμον, ἕως τὰ βέλη μου οὐκ ἐνεργοῦσι· καὶ εἴ μοι σή»μερον ἦν κατάλληλος ἡνίοχος, ἐποίησα ἂν ἐκείνους τοὺς »περὶ τὸν Δουριοδάναν νομίσαι, ὅτι ὁ Ἀρζούνας ἀνεφάνη.»

47. Τοιούτων εἰρημένων λόγων ἔμπροσθεν τῶν γυναικῶν ὑπὸ τοῦ υἱοῦ τοῦ βασιλέως, κατὰ σύγκρισιν τοῦ Ἀρζούνα [1], ἡ σώφρων καὶ μεγαλόφρων Δραουπαδὴ ἀπεκρίνατο, γεγανωμένη τὴν καρδίαν·

48. «Ὅστις ἐχρημάτισεν ὀνομαστὸς διδάσκαλος τῆς ἀδελφῆς »σου περὶ τὴν ὀρχηστικὴν, οὗτος, ἡ Βριχαναδὰ [2], ἐπεῖχε »πρότερον τὸν τόπον τοῦ ἡνιόχου παρὰ τῷ υἱῷ τοῦ Ἴν»δρα, ἐν τῇ πυρπολήσει τοῦ δάσους Κανδάβα.

49. «Ὅστις οὖν ἐγένετο ἡνίοχος τοῦ υἱοῦ τοῦ Ἴνδρα, τοῦ δια»πείραντος τοὺς ἐχθροὺς τοῖς βέλεσιν, ἆρα οὗτος οὐκ ἂν »εἴη ἄξιος ἡνίοχος σοῦ αὐτοῦ; Αἴτησον ἐκεῖνον ἡνίοχον, »ἐξαποστείλας τὴν Οὐτταρὰν, ἧς ὁ λόγος ἀναμφιβόλως »εἰσακουσθήσεται.»

50. Ἀκούσας ὁ Οὐτταρᾶς τοῦ λόγου αὐτῆς, ἐξαπέστειλε τὴν ἀδελφὴν αὐτοῦ, ἥτις καὶ ἤγαγε τὴν Βριχαναδὰν ταχέως· παρακληθεὶς δὲ ὁ Ἀρζούνας πάσῃ μηχανῇ, ἀνεδέξατο τὴν ἡνιοχίαν.

51. Πᾶσαι δ' αἱ ἐν τῷ βασιλικῷ οἴκῳ νεάνιδες ἐγέλων λίαν, διότι ὁ υἱὸς τοῦ Ἴνδρα ἐτίθη τὸν χρυσοῦν θώρακα ἄλλην καὶ ἄλλην [3], ὑποκρινόμενος ὅτι οὐ γινώσκει.

---

1. Συγκρίνοντος δηλ. ἑαυτὸν τῷ Ἀρζούνᾳ.

2. Θηλυκῷ μὲν γένει χρῆται ὁ ποιητὴς, ὅτι γυναικείαν εἶχε στολὴν ἀρσενικῷ δὲ, ὅτι ἀῤῥὴν ἦν, εὐνοῦχος δοκῶν.

3. Ποτὲ μὲν ἐπὶ τῆς κεφαλῆς δηλ., ποτὲ δὲ ἐπὶ τοῦ ὤμου, κτλ.

52. Πρὸς ὃν ἔφη ἡ Οὐτταρὰ, καθήσαντα ἐπὶ τοῦ σημαιοφόρου ἅρματος, μειδιῶντα ἔχουσα τὰ χείλη· «Σκύλευσον, ὦ Βρι-» χαναδὰ, τὰ ἱμάτια τῶν πολεμίων ἐν πολέμῳ, διὰ τὰ » ἐμὰ εἰδωλικὰ παίγνια.»

53. Ὁ δ' υἱὸς τοῦ Πανδοῦ, νεύσας εἰς τὸν λόγον τῆς Οὐτταρᾶς, ἀναβάντος τοῦ Οὐτταρᾶ ἐπὶ τὸ ἅρμα, οὕτως ἤλασε τοὺς ταχεῖς ἵππους, ὥστε τρέχειν, ὡς μὴ θίγοντας τῆς γῆς.

54. Ὁ δὴ Οὐτταρᾶς, καί τοι αὐτὸς οὐκ ἐπλησίασε τοῖς πολεμίοις, ἐπλησίασεν ὅμως διὰ τῆς ἐκ τῶν ποδῶν τῶν ἵππων πολλῆς κόνιος, τῆς προπεμπομένης ὑπὸ τοῦ ὄπισθεν πνέοντος σφοδροῦ ἀνέμου.

55. Ἐλθὼν δ' ὁ υἱὸς τοῦ βασιλέως τῆς Ματσέας ἔξω τῆς πόλεως, πλησίον δένδρου Σαμῆ, κατὰ τὴν γῆν τῶν νεκρῶν, εἶδε τὸ στράτευμα τῶν πολεμίων, ἄπειρον ὄν, ὡς πέλαγος, καὶ ἐκφοβοῦν τὸν κόσμον τῇ βοῇ.

56. Εἶδε δ' εἰς τὸ πρόσω ὁ Οὐτταρᾶς τὸ στράτευμα, ὅμοιον ὂν τῷ ἐν τῷ κόσμῳ ἐκτεταμένῳ σκότει τῆς νυκτὸς, διὰ τῶν μελάνων μετώπων τῶν ἐλεφάντων [1], ἔχον τὸν ὁρίζοντα ὡς περιβόλαιον, κόνιος πλήρη τῆς ἐκ τῶν ποδῶν τῶν ἵππων, θεόντων,

57. Ἔχον ὡς πῦρ τὴν ἀνδρείαν ἐξαπτομένην ταῖς κινουμέναις σημαίαις [2] πολλῶν καὶ καλῶν ἁρμάτων, καὶ τόξα καμπύλα, ὡς στόματα ἠνεῳγμένα τῶν διακόνων τοῦ δυνατοῦ καὶ ἐμμανοῦς Ἰάμα,

58. Ἐπαιρόμενον τῇ παρουσίᾳ τοῦ Βήσμα, καὶ Κριπᾶ, καὶ Δρόνα, καὶ Ἀσβατάμα, καὶ Καρνᾶ, καὶ τῶν Καουραβῶν. Ἰδὼν ὁ Οὐτταρᾶς τὸ στράτευμα εἰς τὸ πρόσω, φύβῳ κατασχεθεὶς, ἔφη τῷ υἱῷ τοῦ Ἴνδρα·

---

1. Τὸ μέτωπον τοῦ ἐλέφαντος μελάντερόν ἐστι τοῦ λοιποῦ σώματος.
2. Αἱ σημαῖαι ἦσαν ὡς ῥιπίδες.

59. «Ὦ Βριχαναδὰ, βλέποντος ταύτην τὴν στρατιὰν, τὴν » πλήρη οὖσαν ξιφῶν, λαμπόντων δίκην ἀκτίνων τοῦ » Ἡλίου, τρέμει ἐκ φόβου ἡ καρδία μου· ἐπανάγαγε » τὸ ἅρμα ἐξ ὁδοῦ, ἀγούσης εἰς τὴν πόλιν τοῦ θα- » νάτου. »

60. Ἀκούσας ὁ Ἀρζούνας τοῦ λόγου τοῦ Οὐτταρᾶ, ἔφη αὐτῷ τεταραγμένῳ τὴν ὄψιν· «Ὦ υἱὲ βασιλέως, ἐγὼ » αἰσχύνομαι φυγεῖν ἐκ πολέμου, τοῦ θεάτρου τῶν » ἡρώων.

61. « Τὸ μὲν κλέος τῶν ἀνθρώπων διαμένει εἰς ἀπείρους » αἰῶνας· τὸ δὲ σῶμα ἄστατόν ἐστι, καθὼς τὸ εὐκίνητον » οὖς τοῦ μεμηνότος ἐλέφαντος· ἐγκαρτέρει τῷ πολέμῳ, « μηδὲ ποίει τὸ οἰκεῖον γένος κατάστικτον φυγῇ.

62. «Ἐὰν γὰρ μὴ καθαρθῇ ἄνθρωπος ὅπλοις ἐν πολέμῳ, οὐκ » ἂν γεύσαιτο οὔτε τῆς ἀμβροσίας τῆς Σελήνης, οὔτε » τῶν χειλέων τῶν θεαινῶν, τῶν διδομένων ἐκ φίλτρου » περὶ τὰς διατριβὰς ἐν τῷ οὐρανίῳ παραδείσῳ [1].

63. «Φεῦ! σὺ μὲν γὰρ τότε καυχήματα μεγάλα ἔλεγες πρὸ » τῆς μητρὸς, καὶ τῆς ἀδελφῆς, καὶ τῶν λοιπῶν γυναι- » κῶν! νῦν δὲ φυγεῖν βούλει· ἀλλ' ἡ φιλοζωΐα τῶν ἀψύ- » χων ἐπονείδιστός ἐστι. »

64. Τούτων ἀκούσας ὁ υἱὸς τοῦ βασιλέως, ὃς ἀπώλεσε τὸ τόξον, πεσὸν ἐκ τῆς χειρὸς τῇ ταραχῇ τοῦ νοὸς, σκοπῶν ἐνώπιον τὴν στρατιὰν τοῦ Δουριοδάνα, πλήρη βοῆς φο- βερᾶς ἡρώων μεγάλων, ἔφη.

65. « Ἡ εὐκλεια προέρχεται ἐκ τῆς φθορᾶς τοῦ σώματος [2], » ταύτης τίς ἐφίεται, φθοροποιᾶς οὔσης τοῦ αἰτίου [3], καὶ

---

1. Αὐτολεξεί, ἐν τῷ τῷ οὐρανίῳ λειμῶνι.
2. Τὸ θανεῖν καὶ κλέος λαβεῖν.
3. Αἴτιον γὰρ ἦν τὸ σῶμα τῆς εὐκλείας.

» ὁμοίας τῷ πεπείρῳ καρπῷ τῆς Ῥαμβᾶς [1], καὶ ἀδελφῆς
» τοῦ πώλου τῆς ἡμιόνου [2];

66. « Τί ὄφελος ἐκ τῆς εὐκλείας τῷ ἀποθανόντι [3], ἢ οὐκ εἰσ-
» δύει τὴν ὀπὴν τοῦ ὠτὸς αὐτοῦ; ἆρα ὁ ἀπὸ τοῦ τρα-
» χήλου ἐπικαθειμένος ἐκ μαργάρων ὅρμος ἡδονὴν ποιεῖ
» τῷ ἐκπνεύσαντι ἀνθρώπῳ;

67. « Τίνες δ' οὐ καυχῶνται πρὸ τῶν γυναικῶν τὴν δύναμιν
» τῶν βραχιόνων αὐτῶν [4]; τὸ ἔργον ὅμως τοῦ πολέμου
» δυσκατέργαστόν [5] ἐστι, τὸ αἴτιον τῆς ἐκπνεύσεως τοῦ
» ἀνθρώπου ἐκ τοῦ νηλεῶς παίοντος ξίφους.

68. « Ἅπαντες, ὅ,τε Δρόνας, ὁ Βήσμας, ὁ Κριπᾶς, ὁ Καρνᾶς,
» καὶ ὁ Δουριοδάνας, παρίστανται πληρώσαντες βελῶν τὸν
» οὐρανόν· τούτων δ' ἑνός γε τίς ἀνάσχοιτ' ἂν ἐν πολέ-
» μῳ, ὧν πρὸ προσώπου καὶ ὁ Ἴνδρας γένοιτ' ἂν κατα-
» πλὴξ καὶ μικρόψυχος; »

69. Τοιαῦτα λέγων, στυγνὸν πρόσωπον ἔχων καὶ ξηρὸν χεῖ-
λος, ἐπήδησεν εὐθέως ἀπὸ τοῦ ἅρματος, καὶ ἔτρεχε φεύ-
γων· καὶ ἐνόμιζεν ὡς τιτρώσκεται τὰ νῶτα βέλεσι, πι-
πτόντων ἀνθέων ἐκ τῆς διαλελυμένης αὐτοῦ κόμης [6].

70. Ἔτρεχε δὲ κατόπιν αὐτοῦ ὁ υἱὸς τοῦ Πανδοῦ, ἀναπε-
πταμένην τὴν κόμην ἔχων, καὶ τὸ ἐρυθρὸν περιβόλαιον.

---

1. Πεπείρου τοῦ καρποῦ γενομένου τῆς Ραμβᾶς, αὕτη ξηραίνεται.

2. Λέγουσιν, ὡς ἄνποτε ἡ ἡμίονος κυοφορήσῃ, ὁ πῶλος διαῤῥήγνυσι τὴν κοιλίαν αὐτῆς, καὶ οὕτως ἐξέρχεται.

3. Θανὼν οὐκ ἀκούει τῆς εὐκλείας, καὶ εἰ οὐκ ἀκούει, τίς ἡ χρεία ἀποθανεῖν ὑπὲρ αὐτῆς;

4. Τοῦτο λέγει πρὸς ὃ εἶπεν ἀνωτέρω ὁ Ἀρζούνας· « φεῦ τῶν λόγων,
» ὧν εἶπας πρὸ τῆς μητρός, κ. τ. λ.

5. Αὐτολεξεί, οὐ δυνατὸν τελεσθῆναι.

6. Οἱ ἐκ τοῦ βασιλικοῦ γένους οὐ κείρουσι τὰς τρίχας τῆς κεφαλῆς, ἀλλὰ κομῶσι.

Τοιοῦτο θέαμα παράδοξον καὶ ἀκατανόητον θεώμενοι οἱ Καουραβαὶ, ἐγέλων μεγάλως.

71. Ἀλλ' ὁ Δρόνας καὶ ὁ Κριπᾶς καὶ ὁ Βήσμας ἔλεγον πρὸς ἀλλήλους· «Πάντως γε οὗτος ὁ κρυπτόμενος ὑπὸ γυναι-» κείαν στολὴν, ὁ Ἀρζούνας ἐστίν· μεγαλοβραχίων γάρ » ἐστι καὶ βαδίζει ὡς ἐλέφας· οὗτος ἐπαφήσει τὸν θυμὸν » αὐτοῦ καθ' ἡμῶν πολλοῖς τοῖς βέλεσι.»

72. Ἀπηθεὶς δ' ὁ Οὐτταρᾶς ἐκ τῆς κόμης ὑπὸ τοῦ Ἀρζούνα, τρέχοντος ὄπισθεν, ἔλεγεν ἐλεεινῶς· «Ἄφες με, ἄφες· ἐγὼ » δέ σοι δώσω ἐλέφαντας, ἅρματα, ἵππους, χρυσίον, καὶ » λίθους πολυτίμους πολλούς.»

73. Ἀκούων δ' ὁ υἱὸς τοῦ Ἴνδρα τῶν ἐλεεινῶν φωνῶν αὐτοῦ, ἔφη μειδιῶντι προσώπῳ· «Μὴ φόβον ἔχε· κυβέρνα αὐτὸς » τοὺς ἵππους· ἐγὼ δέ σοι πόλεμον ποιήσω ὀλέθριον τοῖς » πολεμίοις.

74. « Ἐπὶ τῆς κορυφῆς τούτου τοῦ δένδρου Σαμῆ κείμενά μοι » ἐστι τὰ ὅπλα πάντα τῶν Πανδοϊδῶν· δός μοι ἐκ τού-» των τὸ καλὸν τόξον τοῦ υἱοῦ τοῦ Ἴνδρα, τὴν *Γαρδή-*» *βαν*[1], τὸ ἁρμόδιον τῇ ἐμῇ χειρί.

75. « Τὰ γὰρ ὅπλα ταῦτα ἐτέθησαν ὑπ' ἐμοῦ αὐτοῦ κρυφίως· » νεκροῦ δὲ κρεμαμένου ἐνταῦθα, μὴ φόβον ἔχε. Ἀλλὰ μὴ » πορεύου· ἐγὼ γὰρ οὐ πέμψω σὲ τὸν υἱὸν τοῦ βασιλέως » εἰς ἔργον ἀπρεπές[2].»

76. Ὑπακούσας δ' ὅμως τῷ λόγῳ τοῦ Ἀρζούνα ὁ υἱὸς τοῦ βασιλέως τῆς Ματσέας[3], ἀνέβη προθύμως εἰς τὸ δένδρον,

---

1. Ὄνομα τοῦ τόξου τοῦ Ἀρζούνα.

2. Εἰς ἔργον δουλικὸν δηλαδή.

3. Καίτοι ὁ Ἀρζούνας, μεταμεληθεὶς, ἀπηγόρευσε τὸν Οὐτταρᾶν τοῦ πορευθῆναι, ἵνα μὴ δόξῃ πέμπειν αὐτὸν εἰς ἔργον δουλικὸν, ὁ Οὐτταρᾶς ὅμως ὑπακοὴν καὶ προθυμίαν δεῖξαι βουλόμενος, ἐπορεύθη.

ἔνθα εἶδε, λίαν θαυμάζων, θαυμαστὰ τῇ αἴγλῃ ξίφη, βέλη, καὶ τόξα.

77. Διαγνοὺς δ' ἐξ ὧν γνωρισμάτων εἴρηκεν ὁ Ἀρζούνας, ἔλαβεν ἐκεῖθεν τὴν Γανδήβαν μετὰ τῆς φαρέτρας, τῆς ἀκενώτου βελῶν ἐν πολέμῳ. Καταβάντι δ' ἐκ τοῦ δένδρου, καὶ ἐρωτήσαντι, « Ποῦ τυγχάνουσιν ὄντες οἱ πέντε ἐκεῖ-» νοι ; » ἀπεκρίνατο ὁ Ἀρζούνας·

78. « Ὁ μὲν Βραχμὰν Κάγκας, ὁ Ἰνδιστίρας ἐστί· ὁ δὲ μά-» γειρος, ὁ Βήμας· οἱ δ' ἐπιστάται τῶν ἵππων τε καὶ » βοῶν, ὁ Σαχαδέβας καὶ ὁ Νακούλας· ἐγὼ δὲ ὁ Ἀρζούνας. » ἓν δ' ἔτος παρῴχηκεν, ἀφ' οὗ ἐσμεν κεκρυμμένοι ἐκ συμ-» φωνίας.

79. « Ἐμοὶ δέκα ὀνόματα ἀποδιδόασιν ἐν κόσμῳ, ἅ εἰσι τά-» δε· Βηββατσοῦς, Φαλγούνας, Κυρήτης (Στεφανίτης), » Ζισνοῦς (Νικητὴς), Κρισνᾶς (Μέλας), Ἀρζούνας, Βιζα-» γὴς (Καλλίνικος), Σαβεσακὴς (Ἀμφιδέξιος), Δανα-» ζαΐας (Πλουτονίκης), καὶ Βαλαξαβαχὰν (Λεύκιππος).

80. « Ἔχε σταθερότητα· κυβέρνα τοὺς ἵππους· ὅρα τὴν στρα-» τιὰν τῶν Κουαραβῶν, καταπιεζομένην τοῖς ἐμοῖς ὀϊ-» στοῖς. » Τοιαῦτα εἰπόντος τοῦ Ἀρζούνα, καὶ ἀναβάν-τος ἐφ' ἅρματος, ὁ υἱὸς τοῦ βασιλέως ἤλαυνε τοὺς ἵπ-πους χαίρων.

81. Ἐπὶ δὲ τῆς σημαίας ἐπεκάθισεν ὁ Χανουμὰν, ὥσπερ ἐρυθρὸς πολύτιμος λίθος [1], μετὰ πολλῶν ἀκολούθων δαι-μόνων, οὗ ταῖς λαμπρότησι, λαμπροῦ ὄντος τῇ νίκῃ καὶ τῷ κλέει, ὁ οὐρανὸς ἐφαίνετο, ὡσπερεὶ εἶχε Τιλακὰν [2] ἐρυθράν.

82. Κἄτα διεφύσησε τὴν κόγχον ὁ Ἀρζούνας, καὶ ἐποίησε

---

1. Ἐρυθρόχρους γὰρ ὁ Πίθηξ.

2. Τιλακὰ λέγεται τὸ ἐπὶ τοῦ μετώπου χρίσμα.

τοὺς μὲν ἐλέφαντας τῶν μερῶν τοῦ κόσμου διασαλεύειν λίαν τὰ ὦτα, τὰ δ' ὄρη καὶ τοὺς συνδένδρους τόπους ἀντηχεῖν· τοὺς δ' ὄφεις ἄχθεσθαι τοὺς ὀφθαλμούς [1].

83. Ἀναψύξας δὲ τὸν Οὐτταρᾶν, λειποθυμήσαντα ἐκ τῆς φωνῆς τοῦ κόγχου, καὶ ἐν νῷ λαβὼν εὐλαβῶς πάντας τοὺς θεοὺς, τοὺς ἐφόρους τῶν θείων ὅπλων, δραξάμενος τοῦ μεγάλου τόξου, ἐνέτεινεν αὐτό.

84. Καὶ ἐκ μὲν τοῦ δεινοῦ ἤχου τῆς χορδῆς τοῦ τόξου τοῦ Ἀρζούνα μέγας τρόμος ἐπέπεσε τῷ κόσμῳ· ἐκ δὲ τῶν πολλῶν ἀναφανέντων ἀπαισίων σαμείων, φοβηθεὶς ὁ Δρόνας, ἔφη τῷ Δουριοδάνᾳ·

85. « Ἐπειδὴ νῦν, ὦ ἄριστε τῶν Καουραβῶν, πολλὰ κακὰ σημεῖα ἐν κόσμῳ συμβαίνει, διὰ τοῦτο ἐγὼ προβλέπω » πόλεμον φοβερὸν, ἐν ᾧ περιελεύσονται πλήθη δαιμόνων » εἰς βρῶσιν σαρκῶν ἀναριθμήτων ἡρώων.

86. Οὗτος ἐκεῖνος ὁ Ἀρζούνας ὁρᾶται, ὦ Δουριοδάνα, ὁ ἔχων » τὸν Πίθηκα ἐπὶ σημαίας, ὁ φιλοπόλεμος· οὗτος διὰ τῆς » ὁπλικῆς τέχνης ποιήσει τοὺς ἀρίστους τῶν Καουραβῶν » ἐν τῷ ἀπλέτῳ αὐτοῦ θυμῷ, ὡς ἄχυρα ἐν πυρὶ φλογερῷ.

87. « Ἐκεῖνα τὰ βέλη ἔρχονται τοῦ Ἀρζούνα κατὰ σοῦ, ἃ » συνήργησαν ἐν τῇ μάχῃ κατὰ τοῦ Κιράτα, καὶ ἀνεῖλε » τοὺς ἐμμανεῖς Νιβατακαβάσας καὶ τοὺς ὑπέρφρονας Τι» τᾶνας, τοὺς ἐν τῇ Χειρανεπούρᾳ [2].

88. Ἀκούσας τῶν τοῦ Δρόνα λόγων ὁ Δουριοδάνας, ἔφη τῷ Βήσμᾳ λίαν θυμούμενος· « Πόλεμός ἐστι σήμερον ἡμῖν » μετὰ τοῦ βασιλέως τῆς Ματσέας· διὰ τί δὲ ὁ Ἀρζού» νας οὐτοσὶ ἔρχεται μαχεσόμενος ;

---

1. Οἱονεὶ τὰ ὦτα· διὰ τῶν ὀφθαλμῶν γὰρ ἀκούουσιν οἱ ὄφεις.

2. Περὶ ὧν ἔφη πρότερον.

89. « Ἀλλ' εἰ μὲν ὁ Ἀρζούνας, ἐπιλαθόμενος τῆς συνθήκης » ἔρχεται, ὁποία ζημία ἡμῖν; πάλιν γὰρ ἀπελεύσεται εἰς » ἔρημον. Οὗτος δὲ ὁ διδάσκαλος διὰ τί λέγει ἔπαινον » εἰς ἐχθρὸν ἐν πολέμῳ συγκροτουμένῳ; »

90. Τοιαῦτα εἰρηκότος τοῦ Δουριοδάνα, ἀκούων ὁ Βήσμας τοῦ τόξου τοῦ Ἀρζούνα, ἔφη· « Ὁ χρόνος, ὦ βασιλεῦ, ὡς ὥρι- » σται, διήνυται ὑπὸ τῶν Πανδοϊδῶν, καί τινες μῆνες » πρός [1].

91. « Οὗτός ἐστιν ἐκεῖνος ὁ Ἀρζούνας, ἕτοιμος ὢν εἰς πόλε- » μον, καὶ ἦχον φοβερὸν ποιῶν διὰ τῆς ἀνεμιζομένης θαυ- » μαστῆς σημαίας, τῆς φερούσης τὸν πίθηκα. Ποίησόν γε » νῦν εἰρήνην, ἐξ ἧς τὸ πᾶν τοῦτο χαρήσεται. »

92. Εἰπόντος δὲ τοῦ Δουριοδάνα, « Οὐχ οὕτως ἔσεται, » ὁ υἱὸς τῆς Γαγγᾶς ἐννοήσας τὴν τύχην ἐναντίαν, ἔφη· « Παρα- » σκευασάσθωσαν οἱ στρατιῶται, ἵν' ἀντιπαραταχθῶμεν » τούτῳ τῷ Ἀρζούνᾳ.

93. « Νῦν δὲ πᾶσα ἡ ἀγέλη τῶν βοῶν ἀγέτω εἰς τὴν Χα- » στανιπούραν, φυλαττομένη τεταρτημορίῳ τοῦ στρατοῦ· » οἱ γὰρ φρόνιμοι προνοοῦνται κατὰ πρῶτον τῆς φυλακῆς » τοῦ πράγματος ἐκείνου, ὑπὲρ οὗ πόλεμος γίνεται.

94. « Ἀγέτω δὲ καὶ ὁ βασιλεὺς εἰς τὴν Ἐλεφαντόπολιν, παρεπεπόμενος ὑφ' ἑτέρου τεταρτημορίου τοῦ στρατοῦ· αὕτη » καὶ γὰρ νίκη ἐστὶν ἐν πολέμῳ, ἡ κατὰ πάντα τρόπον » διατήρησις τοῦ βασιλέως.

95. « Ἐγὼ δὲ σὺν τῷ Δρόνᾳ καὶ τοῖς λοιποῖς ἥρωσιν ἀντέχω » πρὸς τὸν Ἀρζούναν, ὡς ποταμὸν ἐπιφερόμενον. » Τοιαῦτα εἰπόντος τοῦ Βήσμα, ὁ Δουριοδάνας φόβῳ συνεχό- μενος, ἐποίησεν οὕτως εὐθέως.

---

1. Τοῦτο θεωρεῖται κατὰ τὸ Σεληνιακὸν μέτρον.

96. Ἰδὼν δ' ἐκεῖνον ὁ Ἀρζούνας, ταχέως ἀποχωριζόμενον, γελάσας μεγάλως, ἔφη τῷ Οὐτταρᾷ· « Αὐτὸς, παραλα-» βὼν τὰς βοῦς ἀποδιδράσκει περίφοβος· τούτου δ' ἀπο-» δράσαντος μετὰ τῶν βοῶν, τίμοι ὄφελος ἐκ τοῦ πολέμου;

97. « Εὔθυνον ταχέως τοὺς ἵππους ἐπ' αὐτὸν, ἵνα μὴ φύγῃ » μακρὰν, ὡς ἔλαφος. » Ἀκούσας τούτου ὁ Οὐτταρᾶς, ἤλαυνε τοὺς ἵππους, τοὺς ὄντας πτερωτοὺς, κατὰ τοῦ ἐχθροῦ, φεύγοντος δρομαίως.

98. Προσπελάσαντος δὲ τοῦ ἅρματος τῇ ταχύτητι τῶν ταχυπόδων ἵππων, τάδε ἔφησεν ὁ τοξικὸς Ἀρζούνας πρὸς τὸν Δουριοδάναν καταπλαγέντα·

99. « Ὦ, στῆθι, στῆθι· ἐκ τοιούτων, οἷος σὺ, ἀπογόνων ἡ Σε-» λήνη πάνυ κατάστικτος ἐγένετο· τέως μὲν ἥρπαξας τὰς » βοῦς· νῦν δ' ἐπικαταληφθεὶς ὑπ' ἐμοῦ, φεύγεις, ἐλάχιστε.

100. « Ἄψαι τοῦ τόξου, πολεμιστὰ, καὶ πολέμησον ἐμοί· δυ-» σεύρετος γὰρ οὗτος ὁ καιρός· ἔγωγε μὲν εἷς εἰμι, ὃς εἰς » πόλεμον ἕτοιμός εἰμι· ὑμεῖς δὲ τοξοφόροι ἀνάριθμοι. «

101. Τοιούτοις πολλοῖς λόγοις καὶ ὀνειδιστικοῖς ὁ Δουριοδάνας οὐ παρωξύνθη εἰς πόλεμον· θυμωθεὶς δ' ὁ Ἀρζούνας ἐκ τούτου, ἐπέστη ἀντιπρόσωπος αὐτῷ ὁρμῇ τοῦ ἅρματος.

102. Ἰδόντες δ' οἱ περὶ τὸν Βήσμαν τὸν Ἀρζούναν ἀφέντα ἐν ἀριστερᾷ τὴν στρατιὰν, καὶ ἐφορμήσαντα κατὰ τοῦ Δουριοδάνα, περιεκύκλωσαν εὐθέως τὸν βασιλέα τοῖς ταχέσιν αὐτῶν ἅρμασι.

103. Χαρεὶς δ' ὁ Ἀρζούνας τὴν καρδίαν, ἐπειδὴ εἶδεν ἀθρόαν τὴν στρατιὰν ἐν ἑνὶ τόπῳ, διεφύσησε παραυτίκα τὴν *Δε-βαδάταν* [1], καταπλήττουσάν τε καὶ καταταράττουσαν θεοὺς ὁμοῦ καὶ δαίμονας.

---

1. Δεβαδάττα ὀνομάζεται ἡ κόγχος τοῦ Ἀρζούνα, κατὰ σημασίαν Θεόδοτος.

104. Ὁ γὰρ κόσμος ἐφοβήθη, μήπου διερράγη ἡ *Βραχμάνδα* [1], ἔκτε τοῦ ἤχου τῆς Δεβαδάτας, καὶ ἐκ τῶν φωνῶν τοῦ Χανουμᾶνος καὶ τῶν λοιπῶν ἐνόντων τῇ σημαίᾳ πολλῶν δαιμόνων.

105. Ἐντείνας δὲ τὸ τόξον ὁ Ἀρζούνας, τοσοῦτον ἦχον ἐποίησε διὰ τῆς χορδῆς, ὥστε τὰς βοῦς εὐθέως, ἄρασαι τὰς οὐρὰς, ἐπαναδραμεῖν χαρᾷ εἰς τὴν πόλιν Ματσέαν.

106. Τῆς μὲν οὖν ἀγέλης τῶν βοῶν ἀπελθούσης, πλῆθος βελῶν ὁ Ἀρζούνας ἐπαφῆκεν εἰς τοὺς στρατοὺς τῶν ἐχθρῶν, ὡςπερεὶ ἔβρεχε θυμὸν, γεγενημένον ἐκ τῆς πρὸς τὴν Κρισνὰν ἀτιμίας ἐκείνης.

107. Ὅσα δὲ βέλη ἐρρίφθησαν, ἀποκρύψαντα τὸν Ἥλιον, ὑπὸ τοῦ Ἀρζούνα, ἑνὸς ὄντος, καὶ κατατιτρώσκοντος ἄγαν τοὺς ἐχθροὺς, τοσαῦτα οὐκ ἐρρίφθησαν ὑπὸ των ἐχθρῶν, πολλῶν ὄντων, καὶ μὴ κατατιτρωσκόντων τὸν ἐχθρόν.

108. Ὁ γὰρ Ἀρζούνας, κόπτων διὰ τοῦ μηνοειδοῦς βέλους, τοῦ καλουμένου *Ἀρδδασάνδρα*, ἐποίει ἄχρηστα τὰ παμπληθῆ βέλη τῶν ἐχθρῶν, τὰ ἐπερχόμενα πάνυ ὀξέως καὶ κατ' εὐθεῖαν. Πῶς ἂν ὑμνηθείη οὗτος ὁ κορυφαῖος τοῦ γένους ἑαυτοῦ;

109. Οὐκ ἦν ἵππος τις, οὐκ ἦν ἐλέφας τις, οὐκ ἦν στρατιώτης τις, οὐκ ἦν ἅρματι, οὐκ ἦν μέλος τι ἐκείνων τῶν πολεμίων, ᾧ τὰ τοῦ Ἀρζούνα βέλη οὐκ ἐδίδοσαν ἄλγος καὶ τραῦμα.

110. Τότε τὸ μέγα ἅρμα τοῦ Ἀρζούνα, καὶ ἓν ὂν, ἦν ὥςπερ λέων, ἔχων ὡς οὐρὰν ὀρθὴν τὴν σημαίαν, καὶ ξηραῖνον τὴν οἴησιν τῶν πολεμίων βασιλέων, ὡς ὁ λέων τὸν ἐκ μανίας ῥέοντα χυμὸν τῶν ἐλεφάντων [2].

---

1. Βραχμάνδα λέγεται ἡ ἐπίγειος καὶ οὐράνιος σφαῖρα, ὅ ἐστι, κατ' ἐτυμολογίαν, θεῖον ᾠόν.

2. Παίζει πρὸς τὴν λέξιν ὁ Ποιητής· μάδα γὰρ λέγεται ἡ μανία καὶ

111. Διέτεμε δὲ βέλεσιν ὁ Ἀρζούνας τὴν κεφαλὴν ἐχθροῦ, λιθοκόλλητον στέφανον ἔχουσαν, ἄγριόν τι βλέπουσαν, τάς τε ὀφρῦς ἐπαίρουσαν, καὶ τὰ χείλη ἐκ θυμοῦ δάκνουσαν [1].

112. Διαπαρεὶς οὖν ὁ Σαγκραμαζίτης (Πολεμονίκης) πολλοῖς βέλεσι τοῦ Ἀρζούνα, πεσὼν, ἐλήφθη ἐν ἀγκάλαις ἀδεῶς [2] ὑπὸ τοῦ Ἡλίου, διότι ἦν υἱὸς τοῦ Σούτα, τοῦ θετοῦ πατρὸς τοῦ ἡλιογενοῦς Καρνᾶ.

113. Ἡ δ' εὔκλεια τῆς στρατιᾶς ἐκείνης, ἡ οὖσα ὡς λευκὸς λωτὸς ἐν τῷ ὡτὶ καλῆς καὶ εὐοφθάλμου γυναικὸς, ἐγένετο λίαν μέλαινα ἐκ τῶν ἀπὸ τῶν χειρῶν τοῦ Ἀρζούνα ἀφιεμένων βελῶν, ὡς ὁ λευκὸς λωτὸς μέλας γίνεται ἐκ τῶν ἐπικαθημένων βομβυλίων.

114. Ὁ δὲ Δρόνας, ὁ διδάσκαλος, ἦν ἱστάμενος ἐν πολέμῳ πρὸ τοῦ μαθητοῦ ἑαυτοῦ, τοῦ υἱοῦ τοῦ Ἴνδρα· ἡ δὲ νίκη, ὡς γυνὴ, καί περ ἐφιεμένη συνεῖναι τῷ Δρόνᾳ, οὐ συνῆν ὅμως ἐξ αἰσχύνης, παρόντος τοῦ μαθητοῦ.

115. Τί δ' ὅμως ἠδύνατο ποιῆσαι ὁ Δρόνας [3], καταθλιβεὶς ὑπὸ τοῦ ἀνταγωνιστοῦ, σκοτισθεὶς ἐκ τῆς στερήσεως τῆς λαμπρότητος αὐτοῦ, καθὼς τὸ πᾶν σκοτίζεται ἐκ τῆς στερήσεως τοῦ Ἡλίου, καὶ ὑπὸ τῶν ἐπικούρων ἐγκαταλειφθείς;

ἡ οἴησις, καὶ ὁ ἐκχεόμενος χυμὸς τοῦ ἐλέφαντος, ὅτε μαίνεται.

1. Οὗτός ἐστιν ὁ Σαγκραμαζίτης.

2. Ἀδεῶς λέγει, διότι ἦν νεκρὸς, ὃς νομίζεται ἀκάθαρτος.

3. Τὸ πρωτότυπον πάνυ χαρίεν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ Ποιητής· Δρόνας λέγεται καὶ ὁ Κόραξ. Πάξα δὲ λέγεται καὶ ἡ πτέρυξ καὶ ὁ βοηθὸς καὶ ἐπίκουρος. Καθὼς δηλ. ὁ Κόραξ ἐν νυκτὶ στερηθεὶς τῆς ὀπτικῆς δυνάμεως, διὰ τὴν ἔλλειψιν τοῦ ἡλίου, τίλλεται τὰ πτερὰ τῶν πτερύγων ὑπὸ τῆς γλαυκὸς, ἣ φύσει ἀντίμαχός ἐστι, καὶ καταβάλλεται, οὕτω καὶ ὁ Δρόνας, κ.τ.λ.

116. Καὶ τὸν υἱὸν δὲ τοῦ Δρόνα, τὸν ὄντα ὡς μόνον ὀφθαλμὸν τοῦ πατρὸς [1] ἐταλαιπώρει ὁ τοξικὸς Ἀρζούνας· τὸν υἱὸν τοῦ Δρόνα, τοῦ μηδαμῶς φοβουμένου καὶ ἀγαπῶντος τὸν θάνατον ἐν τῷ σταδίῳ τοῦ πολέμου, εἰς κτῆσιν φήμης.

117. Τότε οἱ ἄνθρωποι ἔβλεπον τὸν υἱὸν τῆς Γαγγᾶς Βήσμαν, τὸν ὄντα ὡς ἐγκόσμημα λαμπρὸν τῆς στρατιᾶς [2], καὶ ὡς μέγα κῦμα διαυγὲς, ἀμαυρὸν γεγονότα, ἀφαιρεθείσης τῆς ἀνδρείας αὐτοῦ ὑπὸ τοῦ Ἀρζούνα, καθὼς τὸ χρυσοῦν κόσμημα τῆς γυναικὸς ἀμαυρὸν καὶ ἄχαρι φαίνεται, ἀφαιρεθείσης τῆς πολιτίμου λίθου.

118. Βρέξας δ' ὁ Ἀρζούνας βέλη πάμπολλα εἰς τὴν γῆν τοῦ πολέμου, καὶ ἀποδείξας ἐπηρμένον τὸν Οὐτταρᾶν, ἐποίησε τὸν Δουριοδάναν ἄπορον καὶ ἔμφοβον, καθὼς τὸ μέγα νέφος τὸ ἐκ τοῦ βορείου ἐπιφερόμενον, βρέχον βροχὴν ραγδαίαν εἰς λίμνην, καταπλήττει καὶ ἀναταράττει τὸν χῆνα [3].

119. Ὁ μὲν οὖν υἱὸς τοῦ Ἴνδρα διὰ τῶν ἀντιπεμφθέντων βελῶν ἐνίκησεν εἰς μάχην ἕνα ἕκαστον, καὶ πολλοὺς ὁμοῦ ἀθρόους, πληρώσαντας τὸν αἰθέρα πολλῶν βελῶν θαυμασίων.

120. Πολλαὶ κεφαλαὶ βασιλέων ἡρωϊκῶν, πεσοῦσαι ἐκ τῶν

---

1. Παίζει κἀνταῦθα πρὸς τὴν λέξιν ὁ Ποιητής· ὁ γὰρ Κόραξ, ὃς λέγεται Δρόνας, διὰ τοῦ ἑτέρου ὀφθαλμοῦ βλέπει, λέγουσιν.

2. Παίζει πρὸς τὴν λέξιν· Γαγγεία γὰρ λέγεται καὶ ὁ Βήσμας καὶ ὁ χρυσός.

3. Κἀνταῦθα παίζει πρὸς τὰς λέξεις· Δαρταράστρας γὰρ λέγεται ὁ υἱὸς τοῦ Δρυταράστρα, ὁ Δουριοδάνας, καὶ ὁ χήν· Οὐτταρὰ δὲ λέγεται καὶ τὸ βόρειον μέρος.

ἐπιπιπτόντων βελῶν τοῦ Ἀρζούνα ἐν τῇ γῇ τοῦ πολέμου, ἔνθα παίζει ἡ ἀνδρεία, ἠγλαΐζοντο, ὡς πολλοὶ λωτοὶ ἐν λίμνῃ, ἔνθα παίζει ἡ ὡραία.

121. Οἱ ἐξερχόμενοι μαργαρίται ἐκ τῆς πληγείσης κάρας τῶν ἐλεφάντων, ἐφαίνοντο ὥςπερ σταγόνες τοῦ τῆς νίκης ἱδρῶτος, τοῦ συμβάντος ἐκ τῆς πρὸς τὸν Ἀρζούναν περιπτύξεως [1].

122. Οἱ δὲ περὶ τὸν Δουσσασάναν ἀπέδειξαν τὸν Ἀρζούναν τοῖς φερομένοις πανταχόθεν περιχρύσοις τὴν γλυφίδα πολλοῖς βέλεσιν, ὡς ὄρος μέλαν ἐκ στίμμιος, ἀγλαϊζόμενον ταῖς φωτειναῖς βοτάναις ἐν νυκτί [2].

123. Εἷς δ' ὁ Ἀρζούνας, ἐποίησεν αὐτίκα τοὺς περὶ τὸν Δουσασάναν ἀμοίρους λαμπρότητος τοῖς πολλοῖς βέλεσι, καθὼς ὁ Ἥλιος περὶ τὴν ἕω τοὺς ἀστέρας ταῖς πολλαῖς καὶ λαμπραῖς αὐτοῦ ἀκτίσιν.

124. Αἱ δὲ πεσοῦσαι ἐν πολέμῳ λευκαὶ βόειαι οὐραὶ, καὶ σημαῖαι, καὶ οὐρανίσκοι, ἃ ἀπεκόπησαν τῷ πλήθει τῶν βελῶν τοῦ Ἀρζούνα, ὡς γέλως ἦν λαμπρὸς τῶν δαιμόνων, χαιρόντων μεγάλως, ὅτι τραφήσονται σαρκοφαγίᾳ.

125. Εἷς δ' ὁ Ἀρζούνας, ἕνα ποταμὸν ἐκ στρατοῦ, κυματίζοντα ταῖς φάλαγξι τῶν ἵππων, ἐξήρανε τῷ πλήθει τῶν βελῶν, καὶ ἕτερον ποταμὸν ἐξ αἵματος ἀνέβλυσεν ἐν πολέμῳ, ἔχοντα, ὡς λωτοὺς, τὰς τετμημένας κάρας τῶν ἐχθρῶν.

126. Ἅπαντες δ' οἱ περὶ τὸν Βήσμαν, οἱ νικῶντες καὶ τὸν Ἴνδραν τῇ ἀνδρείᾳ, ἀγανακτήσαντες μεγάλως ἐπὶ τῇ ἥττῃ, περιεκύκλωσαν ἀθρόοι τὸν Ἀρζούναν, τοξοφοροῦντες.

---

1. Δηλαδὴ ἡ Νίκη περιεπτύξατο σφοδρῶς τὸν Ἀρζούναν, καὶ διὰ τοῦτο εἶχεν ὡς σταγόνας ἱδρῶτος τοὺς ἐκπίπτοντας μαργαρίτας.

2. Μέλας γὰρ ἦν ὁ Ἀρζούνας.

127. Ἡ δ' ἀνδραγαθία τοῦ Ἀρζούνα, ὃς βλέπων πάλιν ἐκείνους ἀθρόους, ἐφώρμα ἐν ταὐτῷ πρὸς ἕνα ἕκαστον, ὥσπερ μερίσας ἑαυτὸν εἰς πολλοὺς, ἐτιμᾶτο θαυμασίως ὑπὸ τῶν λογάδων θεῶν πολλῇ ἀνθοβολίᾳ.

128. Εἷς μὲν οὗτος ὁ φοβερὸς, βάλλων δ' ἐν ταὐτῷ βέλη πολλὰ, καὶ τέμνων κεφαλὰς πολλὰς βασιλέων, ὥσπερ εἰ ἦσαν πολλοὶ οἱ βάλλοντες, ἐνομίζετο ὑπὸ τῶν πολεμίων, ὡς ἔχει χιλίους βραχίονας, καὶ ὀφθαλμοὺς ἀθεάτους τοῖς ἀνθρώποις.

129. Τῶν δὲ βασιλέων ἐκείνων ἐπιθυμούντων ἑνὸς μόνου, τοῦ θανάτου, ὁ Ἀρζούνας, ἑλέει κινούμενος, προσήρμοσε τῇ χορδῇ τοῦ τόξου τὸ ἐραστὸν βέλος τῷ Κάμᾳ [1], ᾧ ὄνομα *Σαμμοχάνα* [2].

130. Ἐπιπεσοῦσα δ' ἡ χάσμη, ἡ προάγγελος καὶ πρόξενος τῆς ἐλεύσεως τοῦ ὕπνου, τοῖς στόμασι τῶν ἐχθρῶν, ἐπλήρωσεν εὐθέως τὰ ὄμματα αὐτῶν δακρύων [3], γινομένων ἐξ ἀκηδείας.

131. Καὶ ποτὲ μὲν οἱ ἐχθροὶ ἔκλειον τοὺς ὀφθαλμοὺς ἐκ τῆς ἐλεύσεως τοῦ θεοῦ Ὕπνου, ποτὲ δὲ ἠνέῳγον αὐτοὺς, βλέποντες καὶ αἰσθανόμενοι [4]· τοῦτο δ' ἐποίουν πολλάκις μέχρι μιᾶς ὥρας.

132. Ῥιφθέντος οὖν τοῦ ὑπνωτικοῦ βέλους ὑπὸ τοῦ Ἀρζούνα, οἱ ἐχθροὶ εὐθέως ἠσπάζοντο τὸν ὕπνον ἐν πολέμῳ. Οἱ

---

1. Κάμας, ὁ θεὸς Ἔρως.

2. Ὅ, ἐστι παρανοητικὸν, νυστακτικὸν, ὑπνωτικόν· διὰ τοιούτου γὰρ βέλους βάλλει ὁ Ἔρως.

3. Ἐν γὰρ τῇ ἐλεύσει τοῦ ὕπνου πρῶτον μὲν χάσμη συμβαίνει τῷ στόματι, ἔπειτα πλήρωσις τοῖς ὀφθαλμοῖς δακρύων.

4. Οὕτω γὰρ ὁ νυστάζων ποιεῖ· ποτὲ μὲν κλείει τοὺς ὀφθαλμοὺς ποτὲ δ' ἀνοίγει.

δὲ Πρέται [1], οἱ συνελθόντες ἐπὶ τῇ συνήθει σαρκοφαγίᾳ, ἔφευγον ἐκ τῶν μεγάλων ῥόγχων τῶν ὑπνούντων.

133. Οἱ μὲν ἐλέφαντες ἐκοιμῶντο ἡδέως, ἐρείδοντες ἀλλεπάλληλα τὰ σώματα· οἱ δὲ ἐλεφαντηλάται ἀνεκλίνοντο ἐπὶ τῶν δύο ἐξοχῶν τοῦ μετώπου τῶν ἐλεφάντων, νομίζοντες ὅτι ἔτυχον τῶν δύο μαστῶν τῶν ἑαυτῶν γυναικῶν.

134. Τότε ὕπνος τις ἡδὺς ἐγένετο καὶ τοῖς ἵπποις ἐκ τοῦ βέλους τοῦ Ἀρζούνα, ἐξ οὗ μέχρι τῆς σήμερον καὶ ἐν τῷ περιπατεῖν οἱ ἵπποι ὑποκλείουσι τοὺς ὀφθαλμούς, ὥσπερ νυστάζοντες [2].

135. Οἱ δ' ἱππεῖς ἔκλινον ἐξ ὕπνου τὰ πρόσωπα ἑαυτῶν ἐπὶ τῶν τραχήλων τῶν ἵππων, εἰς τὸ διαφυλάξαι τὸ τῆς νίκης ἐγκόλπιον, ὥσπερ ἑλκόμενον βίᾳ ὑπὸ τοῦ Ἀρζούνα.

136. Τὰ μὲν τόξα ἐντεινόμενα τὴν χορδὴν μέχρι τοῦ ὠτὸς, ἔπιπτον ἐξ ὕπνου ἀπὸ τῶν χειρῶν τῶν ἁρματηλατῶν· τὰ δὲ βέλη ἐφέροντο κατὰ τὴν νύσσαν εὐστόχως [3].

137. Στρατιωτῶν ἡρωϊκῶν, ὧν τὰ σώματα ἦν ὡς ὄρη μεγάλα, πιπτόντων τότε ἐξ ὕπνου ἐν τῷ αὐτῷ χρόνῳ, ὁ Σέσσας δράκων τοξοειδὴς ἐγένετο, ἐπικαμφθεὶς [4] ἐκ τῆς ὑποκλινούσης γῆς βάρει δυσφόρῳ.

138. Μνημονεύσας δ' ὁ Ἀρζούνας τοῦ λόγου τῆς Οὐτταρᾶς, ἔφη τῷ Οὐτταρᾷ, τῷ υἱῷ τοῦ βασιλέως, χαίρων· «Σκύ» λευσον τὰ ἁβρὰ καὶ μαλακὰ, ὡς τὰ φύλλα τῆς Ῥαμβᾶς, » ἅμφια τοῦ Δουριοδάνα, καὶ τὰ χρυσοειδῆ τοῦ Καρνᾶ.

139. « Τούτων δὲ τῶν βασιλέων μόνος ὁ υἱὸς τῆς Γαγγᾶς οὐχ

---

1. Πρέται, εἶδος δαιμόνων· ὅσοι τῶν τεθνεώτων οὐ τυγχάνουσι τῶν νομίμων, Πρέται γίνονται.

2. Ὑποκλείουσι γὰρ ἀεὶ τοὺς ὀφθαλμοὺς οἱ ἵπποι, ὥς περ νυστάζοντες.

3. Τουτέστιν ἐν ταὐτῷ τὸ βέλος ἐρρίφθη, καὶ τὸ τόξον ἔπεσεν ἐκ τῆς χειρὸς, ἐλθόντος τοῦ ὕπνου.

4. Δίκην χελώνης, αὐτολεξεί.

» ὑπνώττει· ἀφεὶς οὖν τοῦτον, πάντων τῶν ἄλλων βασι-
» λέων τὰ πολυποίκιλα ἱμάτια σκύλευσον τοῖς ὅπλοις. »
Ὁ δὲ ἐποίησεν οὕτως εὐθέως, κατὰ τὸν λόγον τοῦ Ἀρζούνα.

140. Ἀφελὼν μὲν οὖν τὰ ἱμάτια, ἀναβὰς ἐφ' ἅρματος, ἤλαυνεν ὀπίσω τάχιστα τοὺς ἵππους τῇ προσταγῇ τοῦ Ἀρζούνα. Τοῦ δὲ Βήσμα τοξεύοντος ὄπισθεν, ἀναστρέψας ὁ Ἀρζούνας ἀνεῖλε τοὺς ἵππους αὐτοῦ, καὶ ἀπῆλθε νικητής.

141. Ἐξεγερθεὶς δὲ τοῦ ὕπνου ὁ Δουριοδάνας, μὴ εἰδὼς τὰ γεγενημένα, ἔφη· « Διὰ τί ἀφεθεὶς ἀπέφυγεν ὁ ἐχθρός; » Μαθὼν δὲ παρὰ τοῦ Βήσμα συληθέντα τὰ ἄμφια, φοβηθεὶς ἔφευγεν ἅμα τῇ στρατιᾷ.

142. Φεύγοντος δὲ, ἀπεκόπη ἡ κορυφὴ τοῦ διαδήματος αὐτοῦ βέλεσι τοῦ Ἀρζούνα. Τεθέντων δ' ἔπειτα τῶν ὅπλων πάντων ἐπ' ἐκείνου τοῦ δένδρου Σαμῆ, ὡς ἦν τέως, ἦρχετο εἰς τὴν πόλιν ὁ Ἀρζούνας.

143. Ἐπαναστρέψας δ' ὁ βασιλεὺς Βιράτας εἰς τὴν πόλιν, ἀφ' οὗ τοὺς ἐχθροὺς ἐνίκησε, μαθὼν ὅτι ὁ υἱὸς αὐτοῦ ἐπορεύθη εἰς πόλεμον κατὰ τῶν περὶ τὸν Βήσμαν, ἡνίοχον ἔχων τὸν εὐνοῦχον, περίλυπος ἐγένετο· οὐχὶ δὲ καὶ ὁ Ἰνδιστίρας [1].

144. Ἕως δ' ἂν ὁ βασιλεὺς συναγάγῃ τὰ στρατεύματα, βεβαιωθεὶς δι' ἀγγέλων τὴν νίκην τοῦ υἱοῦ, χαρὰν μεγάλην ἐν τῇ πόλει γενέσθαι ἐπιτάξας, συνεκύβευε τῷ Κάγκα.

145. Κυβεύων δ' ὁ βασιλεὺς ἔφη τῷ Κάγκα· « Ἰδὲ, ὁ ἐμὸς
» υἱὸς ἐνίκησεν ἐν πολέμῳ ἐκεῖνον τὸν Δουριοδάναν. » Ὁ
δ' ἀπεκρίνατο· « Πάντως γ' ἀπονητὶ ἐνίκησεν, ἐπεὶ ἦν
» τοιοῦτος ἡνίοχος, ἡ Βριχαναδά. »

---

1. Ἐλυπήθη, ὅτι ὁ υἱὸς αὐτοῦ νικηθήσεται, ἀλλ' οὐχὶ καὶ ὁ Ἰνδιστίρας, γινώσκων τὴν φύσιν τοῦ Ἀρζούνα.

146. Εἰπὼν οὖν ὁ Βραχμὰν Κάγκας αἰτίαν τῆς νίκης τὴν ἡνιοχίαν τοῦ εὐνούχου, ἐπλήγη κατὰ τὸ μέτωπον κύβῳ ὑπὸ τοῦ βασιλέως, δυσφορήσαντος, καὶ ἐφαίνετο ἐρυθρὸς τὸ μέτωπον τῷ καθημαγμένῳ τραύματι, ὡς ὁ Σίβας τῷ πυρίνῳ ὄμματι.

147. Δεχόμενος δ' ὁ Ἰνδιστίρας τὸ αἷμα ἐπὶ τῆς χειρὸς ἑαυτοῦ, ἵνα μὴ συμμιγέντος τῇ γῇ, κακόν τι γένοιτο τῇ χώρᾳ ἐκείνῃ, ἐφαίνετο ὡσπερεὶ εἶχε κρόκον [1] διὰ τὴν ἐλευσομένην Λαξμήν [2].

148. Τὸ δ' ἐκῤῥεῦσαν ἐκ τοῦ τραύματος αἷμα ἐκεῖνο ἔχυσεν ἄσμενος, ὥσπερ πραγματικὸν τῆς ψυχῆς αὐτοῦ φίλτρον μετὰ πολὺν χρόνον, εἰς χρυσοκατασκεύαστον ἀγγεῖον, κρατούμενον ὑπὸ τῆς θυγατρὸς τοῦ Δρουπάδα, ἐλθούσης ταχέως.

149. Ἀναβιβάσας δ' ὁ Ἀρζούνας τὸν Οὐτταρᾶν ἐπὶ τοῦ δίφρου, ἐκέλευσε μὴ δῆλον ποιῆσαι αὐτὸν πρότερον, ἀλλ' ἢ μετὰ τρεῖς ἡμέρας, καὶ ἡνιοχῶν αὐτὸς, εὔθυνε ταχέως τὸ ἅρμα ἐπὶ τὰ βασίλεια [3].

150. Τοῦ δὲ θυρωροῦ ἀγγείλαντος τῷ βασιλεῖ ἐπὶ συνόδου τὴν ἔλευσιν τοῦ Οὐτταρᾶ μετὰ τοῦ εὐνούχου, ἡσθεὶς ἐς τὰ μάλιστα ὁ βασιλεὺς, ἐκέλευσεν αὐτοὺς εἰσελθεῖν.

151. Ὁ δὲ Ἰνδιστίρας ἔφη τῷ ἐγγέλῳ· « Μὴ ἀφεθήτω εἰσελ-» θεῖν ὁ εὐνοῦχος ἐκεῖνος· ὃς γὰρ ποιεῖ τραῦμα ἐν τῷ » ἐμῷ σώματι, τοῦτον ἐκεῖνος εἰς τὸν οὐρανὸν ἐξαποστέλ-» λει σὺν πᾶσι τοῖς περὶ αὐτόν.»

---

1. Ξανθός ἐστιν ὁ κρόκος, ὡς καὶ τὸ αἷμα.

2. Ὡς ὁ ἐρωτομανὴς ἔχει κρόκον ἐν χειρὶ ἕτοιμον, εἰς τὸ ἀλεῖψαι τὴν προσδοκωμένην ἐρωμένην.

3. Ὁ μὲν Οὐταρᾶς ἐκάθησεν ἐπὶ τοῦ δίφρου, ὡς πρότερον, ὁ δ' Ἀρζούνας ἐδέξατο τὰς ἡνίας.

152. Πεισθεὶς δὲ τῷ λόγῳ τοῦ ἀγγέλου, εἰσέδυ μόνος τὸ βουλευτήριον ὁ Οὐτταρᾶς, καὶ εἶδε τὸν Ἰνδιστίραν, ὡς ἐλέφαντα, ἔχοντα προβοσκίδα, ἥ ἐστιν ἡ καταῤῥοὴ τοῦ αἵματος ἀπὸ τοῦ μετώπου.

153. Μαθὼν δ' ὁ Οὐτταρᾶς τὸ συμβὰν τοῦ Ἰνδιστίρα, ἔφησε πρὸς τὸν πατέρα· «Διὰ τί ὁ Βραχμὰν παροργίζεται; κα-» θιλεούσθω οὗτος.» Ἐκ δὴ τοῦ λόγου τοῦ υἱοῦ συγγνώμην ᾔτησε παρὰ τοῦ Κάγκα ὁ βασιλεύς.

154. Καί τοι δ' ἠδύνατο τὸν κόσμον ὅλον ἀποτεφρῶσαι ὁ Πανδοΐδης διὰ μόνου τοῦ θυμοειδοῦς βλέμματος, θεὶς ὅμως κατάδεσμον εἰς τὸ τραῦμα ἐφάνη κολοφὼν τῶν ἀνεζικάκων.

155. Καλυφθέντος, δὲ τοῦ τραύματος εἰσῆλθεν εἰς τὸ βουλευτήριον ὁ εὐνοῦχος τῇ προσταγῇ τοῦ βασιλέως, κατακαίων μὲν τοὺς ἐχθροὺς, ὡς πῦρ τοῦ δάσους τὰ δένδρα, ἠδύνων δ', ὡς ἀὴρ, τὸν υἱὸν τοῦ βασιλέως.

156. Κἄπειτα ἠρώτησε τὸν υἱὸν αὐτοῦ ὁ βασιλεὺς, «Ὦ τέκνον, » πῶς οἱ περὶ τὸν Βήσμαν, οἱ ὄντες ἱκανοὶ τοὺς τρεῖς » κόσμους νικῆσαι, ἐνικήθησαν ἐν πολέμῳ ὑπὸ σοῦ, κα-» θὼς τὸ βαθὺ σκότος ὑπὸ τοῦ Ἡλίου;»

157. Ἐγέλασε δὲ, ἀκούσας ταύτης τῆς ἀποκρίσεως τοῦ υἱοῦ· «Οἱ ἐχθροὶ ἐνικήθησαν ὑπότινος οὐρανίου ἀνδρὸς ἀνδρείου, » παραστάντος διὰ τὴν ἐμὴν ἀρετήν· δῆλος δὲ γενήσεται » οὗτος μετὰ παρέλευσιν ἡμερῶν τριῶν.»

158. Ὁ Κάμας [1] αὐτὸς ἀκορέστως ἐποίει παιδιὰς ἡδείας μετὰ μόνης τῆς Ῥατῆς [2]· πεμφθεῖσα δ' ἡ Πριτὴ [3] ὑπὸ τῆς κατὰ τῶν γενναίων ἀγαθῆς νίκης τοῦ γενναίου νέου Οὐτταρᾶ,

---

1. Κάμας, ὁ Ἔρως.
2. Ῥατή, ἡ Ἐπιθυμία.
3. Πριτὴ, ἡ Ἀγάπη, ἀμφότεραι γαμεταὶ τοῦ Ἔρωτος.

ἀποδιώξασα τὸν Κάμαν καὶ τὴν Ῥατὴν, λίαν ζηλοτυποῦσα, ᾤκησεν αὐτὴ τότε ἐν τῇ καρδίᾳ τῶν πολιτῶν [1].

Τέλος τοῦ Τρίτου Κεφαλαίου
τοῦ Τετάρτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ,

ὃ διαλαμβάνει τὸν γάμον τοῦ Ἀβημαριοῦ.

1. Ἔστω ἡμῖν εἰς χαρὰν ὁ μέλας ὅσιος, οὗ ταῖς λαμπρότησι τοῦ ἀγλαοῦ σώματος καὶ τῶν ὀνύχων, καὶ τῶν ὀδόντων κεκοσμημένοι, ὡς πολυειδέσι κοσμήμασιν ἐκ πολυτίμων λίθων, τίνες οὐκ ἂν γένοιντο ἀρεστοὶ τῇ καλῇ ἀθανασίᾳ [2];
2. Κατὰ δὲ τὴν τρίτην ἡμέραν περὶ τὸ πρωΐ, ὁ βασιλεὺς Ἰνδιστίρας λουσάμενος, ἱμάτιά τε λευκὰ ἐνδυσάμενος, καὶ ἀνθίνους στεφάνους περιθέμενος, ἐκαθίσθη ἐπὶ τοῦ θρόνου τοῦ βασιλέως τῆς Ματσέας ὑπὸ τῶν τεσσάρων αὐτοῦ ἀδελφῶν [3].

---

1. Ἐν τούτῳ τῷ στίχῳ ἀποδεικνύει ὅτι, οἱ ἐν τῇ Ματσέᾳ πόλει ἐν οὐδενὶ ἄλλῳ ἠσχολοῦντο, ἀλλ' ἢ ἐν τῷ ἀγαπᾶν τὸν Οὐτταρᾶν καὶ τοῦ ἐπαινεῖν αὐτόν.

2. Θεωροῦντες δηλ. αὐτὸν, τυγχάνουσι τῆς ἀθανασίας. — Ὡς οἱ λαμπρῶς κεκοσμημένοι ἀρεστοὶ φαίνονται τῇ γυναικί.

3. Διὰ τῆς προσταγῆς τοῦ βασιλέως Βιράτα τοῦτο ἐγένετο.

3. Μαθὼν γὰρ ὁ βασιλεὺς Βιράτας τὰ περὶ τοὺς Πανδοΐδας, ἐξιστορηθέντα ὑπὸ τοῦ Οὐτταρᾶ, ἀπείρως ἠγαλλιάσατο, καὶ ἐλθὼν προσέπεσε τοῖς ποσὶ τοῦ Ἰνδιστίρα, λέγων πολλάκις· «Σύγγνωθι.»

4. Ἐμβυθισθεὶς δὲ τότε ὁ βασιλεὺς Βιράτας, καθάπερ ἐν ὕδασι, ταῖς λαμπρότησι τῶν ὀνύχων τῶν ποδῶν τοῦ Ἰνδιστίρα, ἀνηγέρθη ὑπὸ τῶν λαμπρῶν καὶ στιβαρῶν τοὺς βραχίονας τεσσάρων Πανδοϊδῶν.

5. Θεὶς δὲ τὰς χρυσοειδεῖς χεῖρας ἐπὶ τοῦ διαδήματος αὐτοῦ, τὰς ὄνυχας ἐχούσας, ὡς ἀδάμαντας, ἔφη τῷ Ἰνδιστίρα, ποιήσας ἐπὶ τοῦ στήθους, ὡς ὅρμον ἐκ μαργάρων, τῇ αἴγλῃ τῶν ὀδόντων·

6. «Καὶ ἐγὼ, καὶ ἡ χώρα, καὶ ἡ πόλις, περιφανεῖς ἐγενό-» μεθα ἐν τοῖς τρισὶ κόσμοις ἐκ τῆς σῆς παρουσίας· ποίη-» σον νυνὶ λαμπρὸν καὶ τὸ γένος μου· ἐγὼ ἐκδίδωμι τῷ » Ἀρζούνᾳ τὴν ἐμαυτοῦ θυγατέρα.»

7. Ἀπείρου δὲ χαρᾶς ἔμπλεως γενόμενος ὁ Ἰνδιστίρας ἐκ τοιούτων λόγων τοῦ βασιλέως Βιράτα, ἔτεινε πολλάκις εἰς τὸ λώτιον πρόσωπον τοῦ Ἀρζούνα, τὸν ὡς βομβύλιον χαρίεντα ὀφθαλμὸν ἑαυτοῦ.

8. Ὁ δὲ κριτικὸς Ἀρζούνας ἔφη, ἐκφήνας τῷ χείλει τοὺς ὀδόντας, τοὺς ποιοῦντας διὰ τῆς αἴγλης χάριν ἀντὶ χάριτος τῷ ἔρκει τῶν ὀδόντων [1].

9. «Οἱ φρόνιμοι τὴν μαθήτριαν ὡς θυγατέρα λογίζονται· εἰ » δ' ἔστιν ἀπαραίτητος αὕτη ἡ ἐπιγαμία ἐν τῷ νοὶ τοῦ » Βιράτα, εἰς αὔξησιν τῆς ἀγάπης, δότω τὴν θυγατέρα » ἑαυτοῦ τῷ ἐμῷ υἱῷ Ἀβημανιοῦ, τῷ ὄντι ὁμοίῳ κατὰ » τὴν ἡλικίαν καὶ κατὰ τὴν εὐμορφίαν.

---

1. Ἔρκος τῶν ὀδόντων ἐστὶ τὸ χεῖλος, ὃ χάριν ποιεῖ τοῖς ὀδοῦσι, ὃν ὡς περιβόλαιον αὐτῶν.

10. Θεωρήσας τε καὶ κρίνας ὀρθὸν τοῦτο ὁ Ἰνδιστίρας, ἐξαπέστειλεν εὐθέως ἀπόστολον εἰς τὴν πόλιν τοῦ Κρισνᾶ, ἐπὶ κομιδῇ τοῦ υἱοῦ τῆς Σουβδαδρᾶς, τοῦ ἔχοντος μορφὴν τοῦ Ἔρωτος.

11. Μαθὼν δ' ὁ Κρισνᾶς παρὰ τοῦ θυρωροῦ [1] τὴν ἔλευσιν τούτου τοῦ ἀποστόλου, ἐλθόντος ταχύτερον ταχυπόρου νηὸς καὶ βέλους, ἐκέλευσεν αὐτὸν εἰσελθεῖν εἰς τὸ βουλευτήριον.

12. Ὁ δὲ, προσκυνήσας ἔφη, ποιήσας χρίσματα ἐν τῇ συνόδῳ διὰ τῆς αἴγλης τῶν ὀδόντων, ὡς διὰ Σανδάνου, συμμιγέντα τῇ ἀγλαᾷ μελανότητι τοῦ Κρισνᾶ, ὡς εὐώδει μόσκῳ [2].

13. «Ὁ λαμπρὸς, ὡς ὁ Ἥλιος, Ἰνδιστίρας, ὦ εὔβουλε, πλη-» ρώσας τὸν χρόνον τῆς ἀποκρύψεως, καὶ ἐμφανὴς γενό-» μενος, ἀπέσταλκεν ἐμὲ ἐνθάδε, ἅμα τῇ βουλῇ τῶν » ἀδελφῶν.

14. «Ὁ γὰρ Βιράτας σὺν τῷ υἱῷ αὐτοῦ προσέπεσε τοῖς ποσὶ » τοῦ Ἰνδιστίρα, εἰς τὸ ἐκδοῦναι τὴν θυγατέρα αὐτοῦ τῷ » Ἀρζούνᾳ, τῷ δοξασθέντι ἐπὶ τῇ νίκῃ κατὰ τοῦ Δουριο-» δάνα, τοῦ γαυριωμένου διὰ τὴν ἁρπαγὴν τῶν βοῶν.

15. «Ἀλλ' ὁ Ἀρζούνας οὐκ ἔνευσε λαβεῖν ταύτην τὴν βασι-» λικὴν κόρην, προτείνων, ὅτι ἡ μαθήτρια ὡς θυγάτηρ » ἐστίν· ἤτησε δὲ ταύτην τῷ υἱῷ αὐτοῦ· ἡ γὰρ γυνὴ τοῦ » υἱοῦ, ὡς θυγάτηρ κρίνεται παρὰ τοῖς ἀγαθοῖς.

16. «Πέμψον τοίνυν παραυτίκα τὸν οἰκεῖον ἀδελφιδοῦν, τὸν » υἱὸν τῆς Σουβδαδρᾶς, ὦ μόνε Κύριε τοῦ κόσμου, καὶ » ἄξιε κυβερνῆτα, οὗ εἰς κομιδὴν ἐγὼ ἐλήλυθα.»

17. «Ἐκείνη ἡ κόρη, αἰσχυνομένη ἐν ἑαυτῇ ἰδεῖν τὸ πρόσω-

---

1. Τουτέστι παρὰ τοῦ εἰσαγγελέως.

2. Μέλας καὶ ὁ μόσκος.

» πον ἐν τῷ κατόπτρῳ κατ' ὄψιν τῆς τροφοῦ, ἀποτείνει » πολλάκις τὸ ἀγλαὸν αὐτῆς ὄμμα εἰς τὰ λιθοκόλλητα » ψέλλια [1].

18. « Οἱ δύο ὀφθαλμοὶ τῆς κόρης, ὡς ἔλαφοι, αἰσθόμενοι τὸ » στρατόπεδον τοῦ βασιλέως Ἔρωτος ἐν τῷ στήθει [2], ὅπερ » διαγινώσκεται ἐκ τῶν ἐξογκωμένων μαστῶν [3], ὡς ὑψη- » λῶν σκηνῶν, ἀφέντες τὸ σχολαῖον κίνημα, ἦλθον ὀξέως » εἰς τὸ οὖς, ὡς εἰς προκάλυμμα [3].

19. « Οὖσα δὲ μέσον τῆς παιδικῆς καὶ νεανικῆς ἡλικίας, θλι- » βομένη τε λίαν ἐν μέσῳ τούτων, καὶ διαταραττομένη » τὸν νοῦν καὶ τὴν ὅρασιν, ζητεῖ ἅψασθαι χειρὸς [4] οὔτι- « νος ἂν τύχῃ.

20. « Καὶ ποτὲ μὲν πρὸς διατριβὴν καὶ παιδιὰν ἐκτείνει τὴν » χεῖρα εἰς τὴν χρυσῆν παιδικὴν σφαῖραν καὶ εἰς τὸ στρογ-

---

1. Ἐν μὲν τῇ παιδικῇ ἡλικίᾳ ἡ θήλεια καὶ αἰδῶ οὐκ ἔχει, καὶ εἰς παιδιὰς κλίνει· ἐν δὲ τῇ νεανικῇ καὶ αἰδῶ ἔχει, καὶ εἰς κοσμήματα ἀφορᾷ.

2. Ὅταν ἐκφύσωσιν οἱ μαστοὶ, τότε ἡ γυνὴ ἀνδρομανεῖ.

3. Οἱ ἐξωγκωμένοι μαστοὶ, ὡς δύω σκηναί εἰσι τοῦ Ἔρωτος, ὃς στρατοπεδεύει ἐν τῷ στέρνει τῆς καλῆς, ὡς βασιλεὺς ἐν πεδίῳ, ὃς διαγινώσκεται ἐκ τῶν ὑψηλῶν σκηνῶν ἐξελθὼν εἰς θήραν. Καθὼς δ' αἱ ἔλαφοι, αἰσθόμεναι τὸν τοξοφόρον θηρευτὴν, ἀφεῖσαι τὸ σχολαῖον βάδισμα, θέουσαι φεύγουσιν εἰς τὸ δάσος, ὡς εἰς προκάλυμμα, οὕτω καὶ οἱ ὀφθαλμοὶ τῆς κόρης, αἰσθόμενοι τὸν τοξοφόρον Ἔρωτα, ἔδραμον εἰς τὸ οὖς, ὡς εἰς προκάλυμμα· ἐκ δὲ τούτου ὑπαινίττεται τὸ ὀξύῤῥοπον τοῦ ὀφθαλμοῦ, ὃ ἴδιόν ἐστι τῆς νεότητος, ἡ ὀργᾷ πρὸς ὁμιλίαν, πρὸς δὲ καὶ τὸ μακροειδὲς τοῦ ὄμματος, ὡς τὸ τῆς ἐλάφου, ὅπερ ἐπαινεῖται παρὰ τοῖς Ἰνδοῖς· διὰ τοῦτο ὑπερβολικῶς λέγουσιν, ὡς ἐξετάθη μέχρι τοῦ ὠτός.

4. Πανιγραχανὰ, κράτησις χειρός· μεταφορικῶς δὲ καὶ ὁ γάμος· Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· καθὼς δηλονότι ὁ πιεζόμενος ζητεῖ χεῖρα βοηθείας, οὕτω καὶ ἡ σφριγῶσα θήλεια ζητεῖ ὁμιλίαν οὑτινος ἂν τύχῃ.

» γύλον ἐνώτιον [1]· πολλάκις δὲ τείνει τὸ ὄμμα εἰς τὸν » οἶκον καὶ εἰς τὸ σῶμα, τὰ λαμπρῶς κεκοσμημένα [2].

21. « Ἐκείνην τὴν νέαν ὁ νέος οὗτος γήμας, ἀγλαΐζέσθω ἐν » κόσμῳ, ἔχων αὐτὴν ἐπὶ τοῦ γένους ἑαυτοῦ, ὡς σημαίαν » ἀγλαὰν ἐπὶ τοῦ ὑπερώου, καὶ ὢν μετέωρος, ὡς ἡ ὑψηλὴ » σημαία [3]. »

22. Τούτων ἀκούσας ὁ Κρισνᾶς, καὶ συναινέσας, τὸν μὲν ἀπόστολον ἀπέπεμψε, δωρησάμενος αὐτῷ τὰ ἃ ἐφόρει κοσμήματα· τῷ δὲ βουλευτῇ Οὐδδάβᾳ, τῷ τῆς φρονήσεως δοχείῳ, ἐπέταξε διδάξαι τὸν Ἀβημανιοῦν τὰ καθήκοντα.

23. Λαβὼν δ' ἄδειαν παρὰ τοῦ βασιλέως ὁ εὔβουλος καὶ κολοφὼν τῶν βουλευτῶν Οὐδδάβας, ἔλεξε λόγους ἀμβροσίους, θέλων διδάξαι τὸν υἱὸν τῆς Σουβδαδρᾶς τὰ τῆς πολιτικῆς καὶ οἰκονομικῆς φιλοσοφίας·

24. « Μὴ πίστευε τῇ Λαξμῇ, ἢ τῇ γυναικὶ, ταῖς ἐχούσαις » δύναμιν ἐπὶ πάντων τῶν ἀνθρώπων, καὶ λίαν ἀστάτοις » οὔσαις [4]· αὗται καὶ γὰρ διδόασι τοῖς ἀνθρώποις με- » γάλα δεινὰ, καὶ ἀγαπῶσαι καὶ μὴ ἀγαπῶσαι.

25. « Καὶ τῷ μεγαλόφρονι ἀκολασία γίνεται ἐκ τῆς μετὰ » ἀκολάστου ὁμιλίας, ὦ τέκνον· καὶ ἡ Σελήνη γὰρ ἀκα- » τάστατος φαίνεται, μέσον οὖσα τῶν νεφῶν, τῶν φερο- » μένων ὑπὸ τοῦ ἀνέμου.

26. « Ἡ βασιλικὴ διοίκησις μένει στερεὰ ἐπὶ πολὺ, ὦ ἀγαθὲ, » παλαιῶν ὄντων τῶν βουλευτῶν [5]· καὶ τὸ ὕδωρ γὰρ,

---

1. Ἴδιον τῆς παιδικῆς ἡλικίας.
2. Ἴδιον τῆς νεανικῆς ἡλικίας.
3. Μεγαλόφρων ὃς τοιαύτην ἔχει γυναῖκα.
4. Τῇ βασιλεία, δηλ. τῇ δόξῃ, ἢ τῷ πλούτῳ.
5. Ἐγγεγυμνασμένων τοῖς πράγμασι.

» τιθέμενον ἐν καινοῖς σταμνίοις, εἰς παντελῆ ἔρχεται » φθοράν [1].

27. «Μὴ ἔσο ἄεργος, ἢ ἄφροντις [2], ὦ ἐξαίρετε τῶν ἡρώων, » νομίζων ὅτι οἱ ἐχθροί σου πάντες ἠφανίσθησαν· καὶ τοῦ » ἡλίου γὰρ δύσαντος, πάλιν τὸ προαφανισθὲν σκότος » ἐπεισέρχεταί ποθεν πολύ.

28. «Οἱ γενναῖοι, ὦ τέκνον, καρτερίᾳ χρῶνται εἰς αὔξησιν » τῆς οἰκείας δόξης, ἀλλ' οὐκ εἰς συλλογὴν χρημάτων· » καὶ ὁ λέων γὰρ ἀναιρεῖ πολλοὺς ἐλέφαντας τοῖς ὄνυξιν, » οὐ διὰ τοὺς μαργαρίτας, ἀλλὰ διὰ τὴν ἔκτασιν τῆς » οἰκείας φήμης καὶ δόξης.

29. «Οἱ ἀγαθοὶ ἄνδρες οὐ ποιοῦσιν ὁπωσδήποτε κυβείαν, » οὐδ' ἐν παρέργῳ. Ἰδὲ, οἱ σοὶ πατέρες εἰς ὠκεανὸν ἀτυ- » χίας ἐμπεπτώκασι, διὰ τὴν εἰς κυβείαν κλίσιν.

30. «Ὁ λαὸς διάγει καλῶς ἢ κακῶς (σκολιῶς), κατὰ τὴν » φύσιν τοῦ βασιλέως [3]. Ἰδοὺ, κατὰ τὸν καιρὸν, οἱ μὲν » ἡλιόλιθοι πῦρ ἐξάγουσιν, οἱ δὲ σεληνόλιθοι ὕδωρ.

31. «Ἄτοπον [4], λέγουσιν οἱ σοφοὶ, τὸ ὑπὲρ τὸ μέτρον γινό- » μενον, καίπερ ὂν ἐπαινετὸν ἔργον· αὐτίκα καὶ γὰρ ὁ μὲν » Ῥάμας εἰς ἐρημίαν ἀπῆλθε, ποιήσας τὸν παράλογον » λόγον τοῦ πατρός· ὁ δὲ Βαλὴς τῆς βασιλείας ἐκπέ- » πτωκεν ἐκ τῶν ἀμέτρων δωρεῶν.»

32. Γνοὺς δ' ὁ Κρισνᾶς τὸν ἀδελφιδοῦν εἰδήμονα ἐπὶ γῆς ἐκ τοιούτων παραινέσεων τοῦ ἀρχιβουλευτοῦ, γυμνάσας δὲ καὶ αὐτὸς αὐτὸν εἰς πολλὰ καὶ καλὰ ὅπλα, ἐξαπέ- στειλεν εἰς τὸν οἶκον τοῦ πατρός.

---

1. Ξηραίνεται.
2. Ἀπαράσκευος, αὐτολεξεί.
3. Τουτέστι βαδίζει ὀρθῶς ἢ σκολιῶς, κατὰ τὰ ἔργα τοῦ βασιλέως.
4. Αὐτολεξεὶ, ἀλγεινὸν κακόν.

33. Μετὰ δέ τινων ἡμερῶν ὁδὸν, ἐν ᾗ ἀπεκρύπτετο ὁ Ἥλιος ἐκ τῆς κόνεως τῆς ἀπὸ τῶν καταπατούντων τὴν γῆν ἵππων, ἀφίκετο ὁ νεανίας πλησίον τῆς τοῦ βασιλέως Βιράτα πόλεως.

34. Ὁ μὲν οὖν στρατὸς τοῦ βασιλέως Βιράτα συνήντησεν ἐπὶ τῶν ὁρίων, ἐρχομένῳ τῷ στρατῷ τούτου τοῦ νεανίου, ὡς ὁ Ὠκεανὸς τῷ εἰσβάλλοντι ποταμῷ [1].

35. Ἰδὼν δ' ὁ διάπυρος νεανίσκος τὸν Ἰνδιστίραν, καταβὰς ἀφ' ἵππου, κλίνας τὴν κεφαλὴν μέχρις ἐδάφους τῆς γῆς, προσεκύνησεν αὐτὸν, ὡσαύτως δὲ καὶ τὸν Βήμαν καὶ τοὺς λοιποὺς κατὰ τάξιν.

36. Τὸν δὲ Βιράταν περιεπτύξατο ὁ φρόνιμος οὗτος καὶ πολιτικὸς Ἀβημανιοῦς, ὑποκλίνας τὸ σῶμα αὐτοῦ, καὶ θεὶς τὰς χεῖρας περὶ τὴν ὀσφὺν ἐκείνου, ἔχοντος τὸ σῶμα ἀκλινές [2].

37. Ποιήσας δ' ἀσπασμὸν καὶ περίπτυξιν καὶ μετὰ τοῦ Οὐτταρᾶ ἐν ὁμοίᾳ στάσει [3] ὁ νεανίας, ἀνέβη πάλιν ἐπὶ τὸν ὑψηλὸν ἵππον, τῇ προσταγῇ τοῦ Ἰνδιστίρα.

38. Ἡ δὲ πόλις, ὡς γυνὴ, λίαν εὐφραινομένη καὶ ἀγαλλομένη, σταγόνας εἶχεν ἱδρῶτος ἐν τοῖς μέλεσιν [4], αἵ εἰσιν οἱ λευκοὶ μαργαρίται, ἐξ ὧν πεποιημένη ἦν ἡ Σβαστικὰ [5] πρὸ τῶν θυρῶν πάντων τῶν οἰκων.

---

1. Ὁ γὰρ Ὠκεανὸς ἐπὶ τῶν ὁρίων αὐτοῦ συμμίγνυται τῷ εἰσβάλλοντι ποταμῷ.

2. Ὁ ἥττων ὑποκλίνει τὸ σῶμα ἐν τῇ περιπτύξει τοῦ κρείττονος.

3. Ἄνευ τοῦ ὑποκλίναι τὸ σῶμα· ὁμήλικες γὰρ ἦσαν.

4. Ὡς ἡ εὐφραινομένη γυνὴ ἱδρῶτα ἔχει ἐπὶ τῇ ἐντεύξει τοῦ ἐρωμένου.

5. Ἐν γάμοις πρὸ τῆς θύρας σχηματίζουσι τὸ ἑξῆς μυστηριῶδες σχῆμα ἐξ ἀλεύρου ἢ ὀρύζης, ὅπερ νομίζεται αἴσιον· ἀντὶ δὲ τούτων ἐνταῦθα μαργαρίται ἦσαν· ἡ Σβαστικὰ ┌┘└┐ ἑφερμηνεύεται εὐεξία, σωτηρία.

39. Ἠλλοιωμένη δὲ τὴν μορφὴν ἐγένετο [1] καὶ πιναρὰ ἐκ τῆς πολλῆς κόνεως, τῆς ἐξανισταμένης διὰ τοῦ ἀέρος ἐκ τῆς κοπτομένης γῆς τοῖς ποσὶ τῶν ἀναριθμήτων ἵππων.

40. Ἔτρεμέ τε σφόδρα, τῆς γῆς περισειομένης τῷ βαρεῖ βαδίσματι τῶν ὑπερόγκων ἐμμανῶν ἐλεφάντων, συλλήβδην ἐρχομένων.

41. Καὶ φρίκην πολλὴν ἔσχεν, ἥ ἐστιν ἡ μαρμαρυγὴ τῶν σαπφείρων καὶ ὑακίνθων λίθων, τῶν ἐν ταῖς παραστάσι καὶ ἀνωφλίοις τῶν θυρῶν.

42. Πρὸς δὲ καὶ δάκρυα ἔῤῥαινεν ἐκ τῶν ὀδῶν, ὡς ὀφθαλμῶν, ἅ εἰσιν οἱ μαργαρίται, οἱ πίπτοντες ἐκ τῶν διαῤῥηγνυμένων ὅρμων τῶν συνειλεγμένων ἀνθρώπων, ἀλλήλους ὠθούντων, καὶ ὑψούντων τὰς κεφαλὰς εἰς θεωρίαν.

43. Εἰσδύντος δὲ τοῦ εὐειδεστάτου τούτου νεανίου, ἐξέτεινεν ἡ πόλις, ὡς γυνὴ, τὰς δύο χεῖρας, αἵ εἰσιν αἱ δύο σειραὶ τῶν καθ' ἑκάτερον μέρος τῆς ὁδοῦ θεωρούντων ἀνθρώπων.

44. Οὗτος μὲν οὖν, ὁ ὢν ἄλλος Ἔρως κατὰ τὴν μορφὴν, καὶ πολλοῖς κοσμήμασι κοσμούμενος, εἰσέδυ τὴν καρδίαν τῆς πόλεως, ὡς γυναικὸς, διὰ τῶν καλῶν ὁδῶν, ὡς δι' ὀφθαλμῶν.

45. Αἱ δὲ γυναῖκες, κληθεῖσαι ὑπὸ τῶν ἤχων τῶν διαφόρων μουσικῶν ὀργάνων, ἀφῆκαν τὴν πρὸς τὰ οἰκεῖα ἔργα ἀσχολίαν, καὶ δραμοῦσαι, ἦλθον ἐπὶ τὰς θυρίδας, ὀψόμεναι τὸν νεανίσκον.

46. Καί τις γυνὴ ἐκ τῆς πολλῆς σπουδῆς ἔθετο τὸν μόσκον [2] ὃν ἔλαβεν ἐν χειρὶ εἰς τὸ ποιῆσαι τὸ ἐν μετώπῳ χρίσμα, ἐν τοῖς ὀφθαλμοῖς, νομίσασα στίμμιν, καὶ ἔδωκεν ἐκείνοις τὴν φύσιν τῆς ἐλάφου [3].

---

1. Ἡ γυνὴ ἐκ τῆς ἐντεύξεως ἐρωμένου ἀλλοιοῦται τὴν μορφήν.
2. Μέλας γὰρ καὶ ὁ μόσκος.
3. Καθὸ ὁ μόσκος ἐξ ὀμφαλοῦ γεννᾶται ζώου ἐλαφοειδοῦς ἐν τῷ ὄρει Ἰμαῷ.

47. Ἄλλη δέ τις εὐπρόσωπος, φέρουσα ἐν χειρὶ ἐν κυκλοειδὲς ἐνώτιον, ἔτρεχε μετὰ σπουδῆς, ὡς στρατιὰ ὁπλοφόρος τοῦ βασιλέως Ἔρωτος, τοῦ νικητοῦ τῶν τριῶν κόσμων [1].

48. Ἑτέρας τὸ πρόσωπον ἠγλαΐζετο μεθ' ἑνὸς ἀπηωρημένου ἐνωτίου ἐπὶ τοῦ ὠτὸς, ὡςπερεὶ ἦλθεν ἡ Σελήνη μετὰ τοῦ Ἡλίου [2] ἐπὶ τῷ ἰδεῖν τὸν χαριέστατον νέον.

49. Καὶ ἄλλη ἐβάδιζε, θεῖσα ἐκ σπουδῆς περὶ τὸν λαιμὸν, ἀντὶ τοῦ ὅρμου τὴν χρυσῆν ζώνην, ἠχοῦσαν τοῖς κωδωνίσκοις· ταύτην δὲ φέρουσα, ἠγλαΐζετο ὡς ἄλλος ἐλέφας τοῦ Ἔρωτος [3].

50. Ὁ Ἔρως, ἕνεκα διατριβῆς καὶ θεωρίας, ἀνέβη εἰς τὸν ὀφθαλμὸν τῶν γυναικῶν, ὡς εἰς θυρίδα τῶν ἑαυτοῦ οἴκων, ὅπερ συμπεραίνεται ἐκ τῆς ἀντιλαμπούσης μορφῆς τοῦ Ἀρζούνα ἐν τοῖς ὄμμασι τῶν γυναικῶν, ὃς ἐβλέπετο ἀσκαρδαμυκτί.

51. Ἡ ἀγλαῶπις Σελήνη, πολλὰς μορφὰς λαβοῦσα, αἵ εἰσι τὰ πρόσωπα τῶν σεληνοπροσώπων γυναικῶν, εἰς τὸ θεάσασθαι τοῦτον τὸν νεανίαν, τὸν ἑαυτῆς ἀπόγονον, οὐκ ἐκορέσθη χαρᾶς.

52. Ὁ μὲν οὖν νεανίας αὐτὸς, καταποθεὶς ὑπὸ τῶν εὐκόμων καὶ ἐρωτολήπτων γυναικῶν, εἰσδὺς εἰς τὰ ἐντὸς [4] ἀφανὴς ἐγένετο, συλήσας τὴν καρδίαν αὐτῶν ἐφεξῆς.

53. Αἱ δὲ γυναῖκες, πιοῦσαι διὰ πολλοῦ τοῖς ὀφθαλμοῖς, ὡς κοίλαις χερσὶ, τὸν χυμὸν τῆς καλλονῆς, ὥςπερ μὴ κο-

---

1. Ἦν δηλ. ὡς τροχίσκος, ἢ δίσκος, τὸ πολεμικὸν ὅπλον.

2. Τὸ μὲν πρόσωπον ἡ Σελήνη, τὸ δὲ χρυσοῦν ἐνώτιον ὁ Ἥλιος.

3. Καὶ γὰρ ὅρμον χρυσοῦν ἢ ἀργυροῦν τιθέασι περὶ τὸν λαιμὸν τοῦ ἐλέφαντος μετὰ κωδώνων.

4. Τουτέστιν εἰς τὰ βασίλεια, ὡςπερεὶ εἰς τὰς καρδίας τῶν γυναικῶν, διὰ τῶν ὀφθαλμῶν.

ρεσθεῖσαι, οὐκ ἀνεχώρησαν ἐκεῖθεν, ἔνθα ἦσαν, καί περ τοῦ νεανίου ἀπελθόντος.

54. Εἰσέδυ τοίνυν εἰς τὰ ἐκ πολυτίμων λίθων βασίλεια προσκυνούμενος τὸν πόδα ὑπὸ τοῦ Ἔρωτος, ὅς ἐστιν ἡ ἐν τῷ λαμπρῷ ἐδάφει ἀντιλάμπουσα αὐτοῦ μορφή, ἐπειδὴ ἐνικήθη κάλλει τοῦ σώματος αὐτοῦ.

55. Τῶν δὲ Βραχμάνων, τῶν εἰδημόνων ὡροσκόπων (ἀστρολόγων) [1], θεωρούντων τὴν αἰσίαν ὥραν, εἰς ἔναρξιν τῆς τελετῆς τοῦ γάμου, οἱ βασιλεῖς, ὅ,τε Ἰνδιστίρας καὶ ὁ Βιράτας, ἐν ἀγωνίᾳ ἦσαν καὶ ἀδημονίᾳ [2].

56. Τάχιστα δὲ τότε συνῆλθον εἰς τὴν πόλιν τοῦ βασιλέως τῆς Ματσέας οἱ βασιλεῖς τῆς γῆς, χαίροντες, ὅ,τε Κρισνᾶς καὶ ἄλλοι, σὺν πᾶσι τοῖς οἰκείοις.

57. Ἐν τούτῳ τῷ γάμῳ καὶ ἡ καλῶς κεκοσμημένη βασιλικὴ οἰκία ἐχόρευεν [3], ἔχουσα ὀφρύας μὲν κινουμένας τὰς ἐπὶ τῶν θυρῶν σειράς, χεῖρας δὲ σαλευομένας τὰς ὑψηλὰς σημαίας.

58. Τὰ μὲν δὴ εἰς θεραπείαν καὶ εὐπρέπειαν τῆς Οὐτταρᾶς ἐγίνοντο ἐν αἰσίᾳ ἡμέρᾳ ὑπὸ γυναικῶν, αἳ ἠγαπῶντο ὑπὸ τῶν οἰκείων υἱῶν, ὡς ἡ Γαγγὰ ὑπὸ τῶν χηνῶν, καὶ προσηλωμέναι ἦσαν τοῖς ποσὶ τῶν ἑαυτῶν ἀνδρῶν, ὡς ὁ βομβύλιος τοῖς λωτοῖς [4].

59. Ἀληλιμμένη δὲ τὸ σῶμα ἡ καλὴ Οὐτταρὰ ἐλαίῳ, καὶ σινήπει καὶ ἀγρώστει, καὶ βέλος κρατοῦσα [5], ἐφαίνετο ὡς οἰκία τοῦ Ἔρωτος, ἔχουσα σημαίαν καὶ σκεύη ἐκ χρυσοῦ καὶ σαπφείρων.

---

1. Οἱ ἀςρολόγοι γράφοντες φέρουσιν ἐν χάρτῃ, ὅτι ἡ δεῖνα ὥρα αἰσία ἐςίν.
2. Ἐν ἀδημονίᾳ ἦσαν πότε ἐλεύσεται ἡ ὥρα.
3. Ὡς γυνή.
4. Αἳ εἶχον δηλ. καὶ υἱοὺς καὶ ἄνδρας ζῶντας.
5. Βέλος κρατεῖ ἢ μαχαιρίδιον, ὡς φυλακτήριον, κατὰ πονηρῶν πνευμάτων, ἢ κατὰ βασκανίας.

60. Ἔχουσα δὲ τὸ σῶμα ἀπεσμηγμένον καὶ κεκαθαρμένον τοῦ ἐλαίου διὰ τοῦ *Ῥαούδρα*[1], ἐν τῷ λούσασθαι, καὶ ἀληλιμμένον ἔπειτα κρόκῳ, ἐφαίνετο αὐτόχρημα φίλτρον, ἐξελθὸν εἰς τὸ φανερὸν διὰ τῶν χαρμοσύνων μουσικῶν ὀργάνων.

61. Ταύτην τὴν καλὴν νεάνιδα, ἣ ἦν ἐρυθρὰ ἐκ τοῦ χρίσματος τοῦ κρόκου, ἔχουσαν τὸ φῦλον τῶν γυναικῶν ὕδατι, ἐκχεομένῳ ἐξ ἀργυροῦ στάμνου, καθὼς ὁ οὐρανὸς λούει τὴν ἐρυθρὰν ἑσπέραν τῇ ἐκ τῆς Σελήνης διαχεομένῃ αἴγλῃ[2].

62. Φορέσασα δὲ φορέματα λαμπρὰ καὶ λευκὰ αὕτη ἡ σεληνοπρόσωπος, εἰσέδυ τὸν τετράστυλον λαμπρὸν νυμφῶνα[3], ὡς ἡ ἐνσέληνος νὺξ τὸν τετραμερῆ αἰθέρα[4].

63. Ὃς δὲ πολυειδὴς κόσμος ἐτέθη γηθοσύνως ὑπὸ τῶν συγγενικῶν γυναικῶν ἐπὶ ταύτης τῆς σεληνομόρφου, καθημένης καὶ βλεπούσης κατὰ ἀνατολὰς, οὗτος ἔλαβε κόσμον τὸ σῶμα αὐτῆς[5].

64. Κοσμηθεῖσα δὴ τὸ σῶμα ἡ εὐσώματος, καὶ ἰδοῦσα ἑαυτὴν ἐν λιθοκολλήτῳ κατόπτρῳ, ἠύξατο τότε περιχαρῶς ἀγάπην (ἀρέσκειαν) τοῦ Ἀβημανιοῦ πρὸς ἑαυτὴν, καὶ ἑαυτῆς ἀγάπην (ἀρέσκειαν) πρὸς τὸν Ἀβημανιοῦν.

βασκανίας. — Τὸ μὲν βέλος ἀναφέρεται εἰς τὴν σημαίαν, τὰ δὲ ἐκ χρυσοῦ κοσμήματα εἰς τὸ ὑπέρυθρον ἔλαιον, τὰ δ' ἐκ σαπφείρων εἰς τὸ πρασινόχρουν τῆς ἀγρώστεως.

1. Εἶδος σμηκτικοῦ, (εἶδος σινήπεως) δι' οὗ ἀποσμήχεται τὸ ἔλαιον. Λέγουσιν, ὡς τὸ τὸ βόειόν ἐςι γάλα, ὃ σμηκτικόν ἐςι τοῦ ἐλαιώδους χρίσματος.

2. Ἡ μὲν σεληναία αἴγλη τὸ ὕδωρ, ἡ δὲ Σελήνη τὸ ἀργυροῦν ἀγγεῖον.

3. Ἐν τῇ αὐλῇ τοῦ οἴκου ἐπὶ γῆς κατασκευάζεται ὁ νυμφὼν, ἐπὶ δὲ τοῦ νυμφῶνος ὀθόνη ἐκτετεταμένη ἐστὶν ἐπὶ τεσσάρων στύλων.

4. Ἡ μὲν Σελήνη τὸ πρόσωπον, ἡ δὲ νὺξ τὸ σῶμα τῆς Οὐτταρᾶς.

5. Δηλ. ὁ κόσμος ἐκοσμήθη ὑπὸ τοῦ σώματος αὐτῆς.

65. Ὅτε δ' ἡ μήτηρ ἐποίησε τὴν ἐπὶ γάμῳ Τιλακὰν ἐν τῷ προσώπῳ αὐτῆς, τῷ κρείττονι καὶ αὐτῆς τῆς Σελήνης, τότε ὁ Ἔρως προσελθὼν μετὰ τῆς Ῥατῆς, ἀνεπαύετο ἡδέως, καθάπερ ἐν κλίνῃ, ἐν ἐκείνῳ τῷ προσώπῳ.

66. Ἡνίκα δ' ὑπὸ τῆς μητρὸς ἐτέθη περὶ τὸν καρπὸν τῆς χειρὸς αὐτῆς καὶ τὸ μάλλινον νῆμα τοῦ γάμου [1], ὡς ἐθίζεται ἐν τῇ ἀρχῇ, τηνικαῦτα τὰ λιθοκόλλητα ψέλλια οὐδεμίαν εἶχον σύγκρισιν ἐκείνῳ.

67. Τῇ προσταγῇ τῆς μητρὸς προσεκύνησεν ἡ Οὐτταρὰ κατ' ἀξίαν τὰς συγγενικὰς γυναῖκας, αἳ ἠγκαλίσαντο αὐτήν· ἀλλὰ καὶ αἱ θεαὶ αὐταὶ αὐτὴν ἠγκαλίσαντο, ὅπερ συμπεραίνεται ἐκ τῆς ἀντιλαμπούσης αὐτῆς μορφῆς ἐν τοῖς ἐκ πολυτίμων λίθων ἀγάλμασι τῶν θεαινῶν.

68. Ἐκοσμεῖτο δὲ μετὰ χαρᾶς καὶ ὁ Ἀβημανιοῦς, ὁ ὢν ὅμοιος κατὰ τὴν λαμπρότητα τῷ Ἴνδρᾳ, ὑπὸ τῆς θυγατρὸς τοῦ Δρουπάδα, κοσμήμασι πολλοῖς καινοῖς, προσήκουσι τῷ γάμῳ.

69. Οὗτος ὁ ἥρως, οὗ τὸ μὲν πρόσωπον ἦν ἀκάλυπτον, τὸ δὲ λοιπὸν σῶμα κεκαλυμμένον λευκοῖς ἱματίοις, ἠγλαΐζετο, ὡς τὸ ἀνατολικὸν ὄρος, τὸ λαμπρυνόμενον τῇ σεληνιαίᾳ λάμψει, καὶ τὴν Σελήνην ἔχον ἐπιλάμπουσαν.

70. Τότε τὸ πρόσωπον τούτου, οὗ ἐπὶ τοῦ μετώπου ἐτέθη ἡ ἐκ λευκοῦ Σανδάνου Τιλακὰ [2] ὑπὸ τῆς μητρὸς, ἐφαίνετο ὑπέρτερον τῆς λαμπρᾶς Σελήνης μιᾷ μοίρᾳ.

71. Τότε καὶ ὁ ἀστερόεις κυάνεος οὐρανὸς, νικηθεὶς κατὰ τὴν ὑπεροχὴν, ἐποίει θεραπείαν ἐκείνῳ τῷ νέῳ, γενόμενος

---

1. Τῆς μὲν νύμφης περὶ τὸν καρπὸν τῆς ἀριστερᾶς χειρὸς τιθέασι τὸ μάλλινον νῆμα, τοῦ δὲ νυμφίου, περὶ τὸν καρπὸν τῆς δεξιᾶς.

2. Ἔχον τὴν Τιλακὰν, τὸ χρίσμα τὸ λευκὸν, ὑπέρτερον ἦν τῆς Σελήνης μιᾷ μοίρᾳ.

μικρὸς, ὃς ἐστιν ἡ δεδεμένη κόμη μετὰ τῶν ἀνθέων [1].

72. Ὁ δ' ἐπὶ τοῦ λαιμοῦ ἐκείνου καθειμένος πολύστιχος ὅρμος ἐκ μαργάρων, καὶ λευκὸς ὡς ἡ Καφούρα, ἐφαίνετο ὡς ἀμβροσία ῥέουσα ἐκ τῶν, ὡς σεληνολίθων, πολυτίμων λίθων, τῶν ἐν τοῖς ἐνωτίοις, τῇ παρουσίᾳ τοῦ ὡς Σελήνης προσώπου αὐτοῦ.

73. Καὶ ἐν μὲν τῷ προσώπῳ αὐτοῦ παρῆν ἡ Σελήνη ἐκ τῆς εἰς τὸ γένος εὐμενείας· ἐν δὲ τῇ δόξῃ αὐτοῦ ὁ Ἴνδρας, ἐκ τῆς πρὸς τὸν υἱωνὸν φιλοστοργίας, ἐν δὲ τῷ σώματι αὐτοῦ ὁ Ἔρως, ἐκ τῆς πρὸς τὸν ἀδελφιδοῦν τοῦ πατρὸς ἀγάπης [2].

74. Ὑπὸ δὲ τοῦ πρὸς μητρὸς θείου [3] ἐστάλθη συνεσταλμένος καὶ ὑπήκοος πρὸς ἐκεῖνον τὸν Ἀβημανιοῦν ὁ Ὠκεανὸς μετὰ τοῦ Σέσσα ὄφεως, ὃς ἐστιν ὁ λιθοκόλλητος οὐρανίσκος μετὰ τοῦ στυλεοῦ.

75. Ἀναβὰς δ' ἐπὶ τὸν ἐλέφαντα, ὃς, ἐπειδὴ ἦν λευκὸς ἐκ τῶν μαργάρων, καὶ ἐφαίνετο ὅτι τέσσαρας εἶχεν ὀδόντας ἐκ τῆς ἀλλήλων ἀντανακλάσεως, διὰ τοῦτο ἐνομίζετο, ὡς αὐτός ἐστιν ὁ Ἀϊραβάτας [4], δοθεὶς παρὰ τοῦ Ἴνδρα χάριν τοῦ υἱωνοῦ.

76. Καὶ ἐπόμπευε, βλεπόμενος συνεχῶς συγγενικῇ στοργῇ ὑπὸ τῆς Σελήνης, ἥ ἐστι τὸ λευκὸν στόμα τῆς αἰσίας στάμνου [5], τῆς φερομένης καὶ περιφερομένης ὑπὸ παρθένου.

---

1. Ἡ μὲν μέλαινα κόμη ὁ κυάνεός ἐστιν οὐρανὸς, τὰ δὲ λευκὰ ἄνθη, τὰ ἄστρα. Ἔθος ἐστὶ κοσμεῖν τὴν κόμην ἄνθεσι.

2. Ὁ γὰρ Ἔρως υἱός ἐστι τοῦ Βισνοῦ, ὃς ἐστιν ὁ Κρισνᾶς, οὗ ἀδελφιδοῦς ἐστιν ὁ Ἀβημανιοῦς.

3. Τοῦ Κρινᾶ, ὃς ἐστι Θεός.

4. Ὁ Ἀϊραβάτας τέσσαρας ἔχει ὀδόντας.

5. Στάμνος πλήρης ὕδατος φέρεται ὑπὸ νεάνιδος, καὶ περιφέρεται πρὸ προσώπου τοῦ νυμφίου· αἴσιον δὲ τοῦτο κρίνεται.

77. Προαγγελθείσης δὲ τῆς ἐλεύσεως τοῦ καλοῦ τούτου νυμφίου ὑπὸ τοῦ ἤχου τῶν μουσικῶν ὀργάνων, ὡς ὑπ' ἀγγέλου, μεγάλη χαρὰ ἐγένετο ἁπάσαις ταῖς ἀβραῖς γυναιξὶ τῆς γενεᾶς τοῦ Βιράτα.

78. Καταβὰς δ' οὗτος ὁ ἔκλαμπρος ἀπὸ τοῦ ὑψηλοῦ ἐλέφαντος, ὡς ὁ ἥλιος ἀπὸ τοῦ ἀνατολικοῦ ὄρους, εἰσῆλθε πεζὸς εἰς τὸν οἶκον τοῦ Βιράτα, καθὼς ὁ ἥλιος ἀπὸ τοῦ ἀνατολικοῦ ὄρους εἰς τὸν αἰθέρα.

79. Ἦχθη δὲ ὁ Ἀβημανιοῦς πρὸς τὴν νύμφην ὑπὸ τῶν συνελθόντων ἐνδοξοτέρων, ὡς ὁ βομβύλιος πρὸς τὸν λωτὸν ὑπὸ τοῦ εὐώδους ἀέρος.

80. Πάντων δὲ τῶν παρεστώτων ἐν ἀφασίᾳ ὄντων, δίκην ἀψύχων ἀγαλμάτων, τῶν δὲ ὡροσκόπων ἐκφωνούντων ἐκ διαλείμματος τὰ ἐλλείποντα λεπτὰ τῆς ὡρισμένης ὥρας,

81. Ὁ ἱερεὺς, γνοὺς τὴν αἰσίαν ὥραν, πάντων κροτούντων τὰς χεῖρας, καὶ κυμβαλιζόντων, συνέζευξε [1] τὰς δύο χεῖρας τοῦ νυμφίου καὶ τῆς νύμφης, κρατουμένας ταῖς χερσὶ τοῦ Βιράτα [2].

82. Τότε τὰ ὄμματα αὐτῶν ἐκ τῆς διὰ πολλοῦ δίψης ἔπινον τὴν ἀγλαΐαν ἀλλήλων ἀκορέστως, ἐκ διαλειμμάτων πολλάκις ἐνατενίζοντα, καὶ πολλάκις ἐξ αἰδοῦς κάτω νεύοντα.

83. Κἄπειτα τὸ ζεῦγος (τὸ ἀνδρόγυνον) λευκοφοροῦν, ἠγλαϊ-

---

1. Τῆς κόρης ὁ πατὴρ συζεύγνυσι τὰς χεῖρας τῇ προσταγῇ τοῦ ἱερέως.

2. Ὁ νυμφίος καὶ ἡ νύμφη τῆς Βραχμανικῆς φυλῆς, κρατοῦντες ἀλλήλων τὰς δεξιὰς χεῖρας, περιέρχονται τὸ τοῦ γάμου πῦρ· οἱ δὲ τῆς πολεμικῆς, κρατοῦντες βέλος ἐξ ἑκατέρου μέρους· οἱ δὲ τῆς γεωργικῆς, κρατοῦντες βούκεντρον· οἱ δὲ τῆς δουλικῆς, συνδεδεμένα ἔχοντες τὰ κράσπεδα τῶν ἑαυτῶν περιβολαίων.

ζετο ἐκ δεξιοῦ περιερχόμενον τὸ πῦρ, καθὼς τὸ ζεῦγος τῶν λευκῶν χηνῶν περιερχόμενον τὸν ἐρυθρὸν λωτόν.

84. Τῇ δὲ προσταγῇ τοῦ ἱερέως ἔῤῥιψεν ἡ κόρη δράκα ὀρύζης [1] πεφρυγμένης εἰς τὸ καῖον πῦρ· ὃν δὲ καπνὸν ἐλάμβανεν ἀναδιδόμενον, οὗτος ἦν ἐν τῷ προσώπῳ αὐτῆς, ὡς ἡ μελανότης ἐν τῇ Σελήνῃ.

85. Εἶτα δ' ὁ υἱὸς τῆς Σουβαδρᾶς, ὁ ὢν χαροποιὸς ἐν τῷ γένει αὐτοῦ, ὡς ἡ νεφέλη τοῖς φυτοῖς, καὶ φήμης ὑπερπλήρης ἐν γῇ καὶ ἐν οὐρανῷ [2], ὡς ὁ Ὠκεανὸς ὑδάτων, καὶ θησαυρὸς ἀρετῶν, προσεκύνησε μετὰ τῆς κόρης τοὺς γεραιτέρους καὶ ἐνδοξοτέρους, προσταγῇ τοῦ ἱερέως.

86. Σέβοιτο, ὡς Βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ Ζηναδάτα, τοῦ καλοῦ καὶ ὀρθοδόξου διδασκάλου, ὁ λίαν ἐγκρατὴς καὶ ἀγαθὸς Ἀμάρας, ἐξ οὗ τῆς γνώσεως, ὡς ἐκ τῆς Γαγγᾶς, ἐξέῤῥευσε τὸ μέγα ποίημα, ἡ Βαλαβαράτα, ἧς τὸ τέταρτον Βιβλίον, ὃ ὀνομάζεται *Βιράτα*, πέρας εἴληφε,

87. Ἐν τούτῳ τῷ Βιβλίῳ, τῷ ὀνομαζομένῳ Βιράτα, τέσσαρα μέν εἰσι κεφάλαια, πεντακόσιοι δὲ καὶ ὀγδοήκοντα ἓξ στίχοι, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Τετάρτου Κεφαλαίου,

τοῦ Τετάρτου Βιβλίου

τῆς

Βαλαβαράτας.

---

1. Orija (ὀρύϊα) λέγουσιν οἱ Βραχμᾶνες τὴν ὄρυζαν, καὶ Κοὺρ τὴν κόρην οἱ Κασμήριοι.

2. Δηλ. πανταχοῦ ἡ φήμη αὐτοῦ διῆκε.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

δ διαλαμβάνει τὸν σύλλογον τῶν στρατῶν.

1. Ἔστω εἰς χαρὰν ὁ Βεάσας, ὁ ὢν ὡς νῆσος ἐν τῷ ὡς πελάγει κόσμῳ, ὃς, καίπερ ὢν ἀδιάφορος καὶ πρὸς ἐχθροὺς καὶ πρὸς φίλους, εὐφραίνει ὅμως τοῖς συγγράμμασι, τοῖς ὁμοίοις τῇ ἀμβροσίᾳ, τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.
2. Εἰς νοῦν λαβὼν ὁ Ἰνδιστίρας συμβούλιον ποιῆσαι [1] περὶ τῶν ἐχθρῶν, εἰσέδυ τὸ βουλευτήριον μετὰ τῶν τεσσάρων ἀδελφῶν, τοῦ τε Βαλαράμα, Κρισνᾶ καὶ Σατεκῆ.
3. Τοῦτο δὲ τὸ βουλευτήριον ἠγλαΐζετο τούτοις τοῖς πανευφήμοις βασιλεῦσι τῆς γῆς, ὡς ἡ γῆ τοῖς συνέχουσιν αὐτὴν ὀκτὼ μεγάλοις καὶ ὑψηλοῖς ὄρεσιν.
4. Ὁ μὲν οὖν Ἰνδιστίρας, ὁ γινώσκων τὰ τοῦ δικαίου, ἐξηρεύξατο λόγον, φέροντα κλέος λευκότερον τῆς ἀμβροσίας, ὅ ἐστιν ἡ αἴγλη τῶν ὀδόντων·
5. « Ὅ,τι εἴπω πρὸ τοῦ Κρισνᾶ, τοῦ εἰδότος πᾶσαν μάθησιν » καὶ πᾶσαν ἐπιστήμην, τοῦτο ὅμοιον ἂν εἴη, εἰ παρα- » θείη τις ὀλίγον ὕαλον τῷ ἐκ πολυτίμων λίθων ὄρει.
6. « Ἀλλ' ἐξ ἀγάπης λέγω τι πρὸ τοῦ κυρίου τῶν τριῶν » κόσμων· τίς γὰρ εἰς τιμὴν ὕδωρ οὐ προσφέρει τῷ

---

1. Σκέψασθαι τὸ ποιητέον.

» Σίβᾳ, τῷ ἔχοντι τὴν Γαγγὰν ἐπὶ τῆς κορυφῆς [1];

7. « Πόλεμος κατὰ συγγενῶν οὐ δοκεῖ μοι εὔλογος· εἰ γὰρ » νίκη ἔσοιτο ἢ ἧττα, φθορὰ ἔσεται τῆς ἐκ Σελήνης κα- » ταγομένοις ἡμῖν [2].

8. « Οὐ γὰρ ἂν εἴη εἰς καλὸν ἡμῖν ὁ πόλεμος μετὰ τῶν » ἡμετέρων τούτων συγγενῶν, καθὼς οὐδ' ἂν τοῖς λέουσι » μετὰ τῶν ἑαυτῶν σκιῶν.

9. « Οὐκ ἀναίρετέοι εἰσὶν οἱ συγενεῖς, καί περ ἁμαρτόντες » τοῖς συγγενέσι· τίς γὰρ ἐξορύττει τὸν ὄνυχα ἑαυτοῦ, τὸν » ἐξορύξαντα ἐξ ἀπροόπτου τὸν ὀφθαλμόν;

10. « Ἡ δυσφημία τῶν συγγενῶν ἐκείνων, ἡττηθέντων, καὶ » ἡμῶν καθάπτεται, καθὼς τὸ ἐν ὕδατι ἢ κατόπτρῳ » ἀπαύγασμα τοῦ σώματος, τοῦ ἀληλιμμένου βορβόρῳ, » καίπερ αὐτὸ μὴ ἀληλιμμένον, ὡς ἀληλιμμένον ὅμως » φαίνεται.

11. « Δικαιοσύνη ἐστὶ, τὸ μὴ πολεμεῖν καὶ τῷ ἐχθρῷ, μηδὲ » μὴν ἄνθεσι· πῶς οὖν ἡμεῖς πολεμήσωμεν συγγενέσιν » ὅπλοις δυσφορήτοις;

12. « Αὐτίκα καὶ γὰρ ὁ Ἔρως ἄνθεσιν [3] ἐπολέμησε τῷ Σίβᾳ· » ἀλλ' ἐγένετο ἀμελής. Ἡ ἐμὴ ἄρα γνώμη κλίνει εἰς διαλλαγὴν, εἰ καὶ ἀδιάλλακτός ἐστιν ἐκεῖνος.

13. « Δότω ὁ καλὸς συγγενὴς ἡμῖν τοῖς πέντε, πέντε κώμας· » καὶ τῷ βασιλεῖ γὰρ ἀρκεῖ ὀλίγον μόνον εἰς ἄνεσιν· τὰ » δὲ περιττὰ ἄχθος ἐστί· (Τὸ δὲ πλέον τούτου ἄχθος ἐσί.)

14. « Τίς δ' ἔφεσις τῆς πολλοὺς ἐρωμένους ἐχούσης γῆς

---

1. Δηλονότι, καθὼς τῷ Σίβᾳ χέουσιν ὕδωρ εἰς τιμὴν ἐξ ἀγάπης, καί τοι φέρει τὸν Γάγγην, οὕτω κἀγὼ λέγω λόγον πρὸ σοῦ, τοῦ εἰδότος πᾶσαν μάθησιν.

2. Αὐτολεξεὶ, τὸ σεληνιακὸν γένος.

3. Παράδειγμα φέρει, ὅτι καὶ ὁ πόλεμος διὰ τῶν ἀνθέων βλάβην ἐπιφέρει.

» δίκην πόρνης, ἡ ἀφεῖσα τὸν δυστυχῆ ἄνδρα, ἥδεται τῷ » εὐτυχεῖ;

15. « Εὐτυχείησαν ἀεὶ ἐκεῖνοι οἱ συγγενεῖς ἐμοῦ καὶ φίλοι » τῆς γῆς· ἔστωσαν ἐκεῖνοι οἱ ἑκατὸν ἐν ἀνέσει ἐκ τῆς » ταλαιπωρίας ἡμῶν τῶν πέντε. »

16. Βουλομένων δὲ λέγειν τοῦ τε Κρισνᾶ καὶ τοῦ Βαλαράμα, ὑπολαβὼν ὁ Σατεκὴς, ἔφη, γενόμενος ἐρυθρὸς τὸ χρῶμα, ὡς σπινθὴρ, ἐκ θυμοῦ, ὡς πυρός·

17. « Ὁ γενναῖος ἐκπέμπει λόγους εἰς ἔκκαυσιν μόνην τῶν » δεδεμένων τὰ ὄμματα τῇ δικαιοσύνῃ, ὡς ταινίᾳ, κα- » θὼς ὁ Ἥλιος ἐκπέμπει ἀκτῖνας εἰς θερμότητα μόνην » τῶν τυφλῶν, καὶ οὐκ εἰς φῶς τῶν ὀμμάτων αὐτῶν [1].

18. « Ἀλλὰ καὶ οὕτω λέγω [2]. Τίς ὢν ἐν δικαιοσύνῃ, ὡς ἐν « ὕλῃ, οὐ καίεται ὑπὸ τοῦ ἐχθροῦ, ὡς ὑπὸ πυρὸς τῆς ὕλης, » ἡσυχος ὢν, καὶ μηδέν τι ἐνεργῶν [3];

19. « Ἐν μὲν τῇ εὐταξίᾳ ἔστω δικαιοσύνη καὶ εὐθύτης, ἐν » δὲ τῇ ἀταξίᾳ ἔστω ἀνδρεία [4]· αὐτίκα γὰρ καὶ ὁ ὄφις, » ὁ σχολαίως καὶ ἡσύχως ἕρπων, ἀνίσταται εὐθέως εἰς » ἄμυναν, καὶ φυσίγναθος γίνεται, θιγόμενος τῇ ἄκρᾳ τῆς » χειρός.

20. « Τὸ ἄψυχον ξύλον καλόν ἐστι καὶ τίμιον, διότι πῦρ » ἐξάγει προστριβόμενον [5]· τοὺς δὲ μὴ κατεξανισταμένους

---

1. Παίζει πρὸς τὰς λέξεις· Σούρα γὰρ λέγεται ὁ ἥρως καὶ ὁ Ἥλιος, Γὰ δὲ ὁ λόγος καὶ ἡ ἀκτίς.

2. Δηλ. εἰ καὶ ὁ λόγος τοῦ ἀνδρείου δάκνει, ἀλλὰ καὶ οὕτω λέγω.

3. Μὴ ποιῶν δηλ. τρόπον εἰς τὸ ἀποσβέσαι τὴν φλόγα.

4. Ὅταν δηλ. ᾖ τις ἥσυχος καὶ εὔτακτος, ἔστω δικαιοσύνη, ὅταν δ' ὑπέρφρων καὶ ἄτακτος, ἔστω ἀνδρεία.

5. Τὸ ξύλον προστριβόμενον, ὥς περ θυμούμενον, πῦρ ἐξάγει, καὶ διὰ τοῦτο καλόν ἐστι καὶ τιμᾶται.

» ἐν τῇ καταφρονήσει, καὶ ἰδόντες οἱ ἀγαθοὶ, λούονται [1].

21. « Οἷς δὲ, οὗσιν ἡσύχοις, οὔτε δύναμίς ἐστιν, οὔτε φρόνη-
» μα, τούτοις καταφρονουμένοις ὑπὸ τῶν ἐχθρῶν, λίαν
» καλή ἐστιν ἡ δικαιοσύνη, καὶ ἡ εὐθύτης [2].

22. « Εἰ δικαιοσύνη στέργεται ὑπὸ σοῦ, καὶ εἰ ἐχθρός ἐστι
» φύσει ὁ συγγενὴς [3], οὗτος ὁ Δουριοδάνας, ἀναφανεὶς
» πραγματικῶς ἐχθρὸς, παραδοτέος ἐστὶ τῷ θανάτῳ.

23. « Ὁ γὰρ φιλοδίκαιος, καὶ ἐκείνους αὐτοὺς, οὓς σέβεται,
» ἀναιρεῖ, γενομένους ἐναντίους ἐξάπινα. Οἱ πυρολάτραι
» οὐ σβεννύουσι τὸ πῦρ, καῖον τὸ σῶμα αὐτῶν ;

24. « Ἐγὼ τοῦτο οἶδα· ἡ γνώμη μου οὐ κλίνει εἰς διαλλαγὴν
» πρὸς τοιούτους διαστρόφους ἐχθροὺς, τοὺς μόνῃ τῇ κο-
» ρύνῃ τοῦ Βήμα εὐθεῖς ἐσομένους. »

25. Τοῦ μὲν οὖν Σατεκῆ παύσαντος λέγειν, ὡς νέφους παύ-
σαντος βρέχειν, ὁ Κρισνᾶς ἐξηρεύξατο φωνὴν ἡδεῖαν,
ὡς χήν [5].

26. « Ποῦ τόπος τοῦ ἐμοῦ λόγου ; τά τε γὰρ περὶ τοῦ δι-
» καίου εἴρηκεν ὁ Βασιλεὺς Ἰνδιστίρας, τά τε περὶ τῆς
» ἀνδρείας ὁ Σατεκής· ἀλλὰ καὶ οὕτω λέγω, μήπως ἀδιά-
» φορος φανῷ.

27. « Ἡ μὲν δικαιοσύνη ἄνευ ἀνδρείας, χήρα ἐστίν· ἡ δ' ἀν-
» δρεία ἄνευ δικαιοσύνης, ἀλυσιτελής (ἀτελής)· συναμφότε-
» ρον δὲ, ἥτε δικαιοσύνη καὶ ἡ ἀνδρεία, γεννᾷ φήμην λευκήν.

---

1. Ὡς οἱ ἁπτόμενοι ἀκαθάρτου τινος, καὶ ἀπαίσιόν τι βλέποντες, λούονται ἀποτροπιαζόμενοι.

2. Τὸ μηδὲν τι ποιῆσαι εἰς ἄμυναν, τὸ ἡσυχίαν ἔχειν.

3. Ἅπας συγγενὴς λέγεται φύσει (ἄνευ αἰτίας) ἐχθρὸς, διὰ τὴν κληρονομίαν.

4. Ὁ γινώσκων τὰ τοῦ νόμου.

5. Ἀγαλλόμενος γὰρ ἡδέως φωνεῖ ὁ χὴν μετὰ τὴν ὥραν τῶν ὄμβρων, ὅτε εὐδία ἐστί.

28. «Καθὼς ὁ ποῦς, θέων ἐπ' ὄρους μεγάλου ἐν σκότει,
» ἄνευ λύχνου, προσκρούει καὶ συντρίβεται [1], οὕτω καὶ ἡ
» ἀνδρεία, θέουσα ἐν θυμῷ, ἄνευ δικαιοσύνης, ἐπὶ βασι-
» λέως μεγάλου.

29. «Ἡ δικαιοσύνη ἀγλαΐζεται τῇ ἀνδρείᾳ, καθὼς ὁ λωτὸς
» τῷ Ἡλίῳ, ἐφ' ἑαυτὴν ἐπάγουσα πάντας τοὺς βασιλεῖς,
» ὡς ὁ λωτὸς τοὺς χῆνας.

30. «Ἡ ἀνδρεία ἐστὶν ἐν τῇ χειρὶ ἡμῶν· συζευγνύσθω ταύτῃ
» καὶ ἡ δικαιοσύνη, εἰ οἱ υἱοὶ τοῦ τυφλοῦ βασιλέως θέ-
» λουσι διαλλαγήν.»

31. Τοιαῦτα εἰρηκότος τοῦ Κρισνᾶ, ἡ Δραουπαδὴ, προσκα-
θημένη τῷ ὑποποδίῳ τοῦ βασιλέως Ἰνδιστίρα, ἔφη θυ-
μοειδῶς, ἐρυθρὰ γενομένη τὸν κανθὸν τοῦ ὀφθαλμοῦ·

32. «Ἡ δικαιοσύνη πεσέτω κατὰ τῆς κεφαλῆς ὑμῶν· ἡ φρό-
» νησις ὑμῶν ἴτω εἰς ἀπώλειαν· ἡ βουλὴ ὑμῶν ἐς Πατά-
» λαν [2] χωρείτω· ἡ μάθησις ὑμῶν ἐῤῥέτω.

33. «Εἰ ἀνδρεία ὑμῖν οὐκ ἦν τότε, ὅτε εἴδετέ με ἐν συνόδῳ
» ἑλκομένην ἐκ τῆς κόμης καὶ τῶν ἱματίων ὑπ' ἐκείνων
» τῶν περὶ τὸν Δουριοδάναν, πῶς ἡ καρδία ὑμῶν οὐ διερ-
» ῥάγη αἰσχύνῃ;

34. «Ὢν ὁ βασιλεὺς Ἰνδιστίρας ἄνευ φρονήματος, διαλλαττ-
» έσθω τοῖς ἐχθροῖς ἐκείνοις· ἐγὼ δ' ἀνελεῖν ἐμαυτὴν
» βούλομαι σήμερον ἐν πυρί.»

35. Ἐξάψας δ' ὁ Βήμας θυμὸν ἐκ τῶν ἀναστεναγμῶν τῆς
Δραουπαδῆς, τοιαῦτα εἰπούσης, ὡς τὸ πῦρ φλόγα ἐκ τοῦ
ἀέρος, ἐφλογίζετο λίαν.

36. Φλογεροὺς δ' ἔχων τοὺς ὀφθαλμοὺς, ὡς τὸν πύρινον ὀφ-
θαλμὸν τοῦ Σίβα, καὶ τὸ ἐν τῇ θαλάσσῃ πῦρ ἐν τῇ συν-

---

1. Αὐτολεξεὶ, διαῤῥήγνυται.
2. Ἐς κόρακας

τελείᾳ τοῦ αἰῶνος, ἔφη, δάκνων τὸ χεῖλος τοῖς ὀδοῦσι, καὶ τὸ μέτωπον ταῖς ὀφρύσι·

37. «Μέχρι τῆς σήμερον ἄλγος μοι ἐστὶν ἐκ τοῦ ἰοῦ, τοῦ » δοθέντος παρ' ἐκείνων ἐν τῇ παιδικῇ ἡλικίᾳ· μέχρι τῆς » σήμερον τὸ ἐμὸν σῶμα κατακαίει τὸ πῦρ τὸ ἐκ τοῦ » οἴκου, τοῦ κατασκευασθέντος ἐκ λακκίου.

38. «Μέχρι τῆς σήμερον ὕπνος μοι οὐ γίνεται ἐκ τοῦ ἤχου » τῶν δολίων ἐκείνων κύβων· μέχρι τοῦ νῦν ἐγὼ βλέπω » τὴν ἐμαυτοῦ γυναῖκα θλιβομένην ἐξ αἰτίας τῶν ἐχθρῶν.

39. « Μὴ πίω νῦν γε τὸ αἷμα τῆς καρδίας τοῦ Δουσσασάνα; » μὴ συντρίψω τὸν μηρὸν τοῦ Δουριοδάνα τῇ κορύνῃ τή- » μερον;

40. « Ἕως ἂν ὁ βασιλεὺς οὗτος, ὁ ἀπόλεμος, ποιήσῃ διαλ- » λαγὴν, εἰς λεπτὰ ἔγωγε ποιήσω τοὺς ἐχθροὺς ἐπὶ γῆς, » ἐπίκουρον ἔχων τὴν κορύνην.»

41. Διαταράξας δὲ τὸν Σέσσαν ὄφιν ὁ Βήμας τῇ τῆς χειρὸς διαράξει κατὰ γῆς, καὶ ἦχον φοβερὸν ποιήσας τῇ περι- δινήσει τῆς κορύνης, ἀνέστη ὑπερπλήρης θυμοῦ.

42. Ἐκράτησε δὲ τοῦτον ταῖς χερσὶν ὁ Βαλαδέβας, τὸν δυ- νατὸν ἀναταράξαι ἀπείρους ἐθχροὺς, καθὼς ὁ Βισνοῦς τὸν Μανδάραν, τὸ ὄρος, τὸ ἀνακυκῆσαν τὸν Ὠκεανόν.

43. Ὃς καὶ ἔλεξε λόγον ἀμβρόσιον τοῖς ὡσὶ τῶν ἐπὶ συνόδου, ἀποδείξας τοὺς ὀδόντας ἐν τοῖς χείλεσιν, ὡς ἄνθη ἐν νεογνοῖς φύλλοις [1].

44. « Σὺ ὢν καὶ ὀνόματι καὶ πράγματι Βήμας [2], τὸν κόσμον » ὅλον νικᾷς· ὁ λόγος ὅμως τοῦ μεγάλου καὶ σεβαστοῦ » ἀθετούμενος, ἐπ' ἀτιμίᾳ σοί ἐστι [3].

---

1. Τὰ νεογνὰ φύλλα ὑπέρυθρά εἰσι.
2. Τουτέστι, φοβερός.
3. Τουτέστιν ἐπὶ σμικρότητι.

45. «Ἐπειδὴ ἐκεῖνοι καὶ δύναμιν ἔχουσι, καὶ στρατηγήματα
» οἴδασι, διὰ τοῦτο οὐκ ἂν νικηθείησαν ἁπλῶς καὶ ὡς
» ἔτυχεν [1]· ὅθεν δεῖ ἡμῖν, τοῖς ἔχουσι καὶ δύναμιν καὶ
» στρατεύματα, καὶ διαλλαγὴν προτείνουσι, διαίρεσίν
» τινα ποιῆσαι ἐν ἐκείνοις, καὶ διχόνοιαν.

46. «Ὁ Βήσμας ὁ αὐτός ἐστι [2] καὶ πρὸς ἐκείνους τοὺς Καου-
» ραβὰς καὶ πρὸς ἡμᾶς τοὺς Πανδοΐδας, ὡσαύτως δὲ καὶ
» ὁ Δρόνας, ὁ διδάσκαλος, καὶ ὁ υἱὸς τοῦ Δρόνα· εἰδέ γε
» οὗτοι ἀδιαφορίαν ἔξουσιν,

47. «Οἱ περὶ τὸν Καρνᾶν διασκορπισθήσονται ὑπὸ τῶν βε-
» λῶν τοῦ Ἀρζούνα, ὡς ἄχυρα ὑπ' ἀνέμου· τηνικαῦτα οἱ
» Καουραβαὶ οὗτοι παρανάλωμα γενήσονται τῆς σῆς κο-
» ρύνης.

48. «Νῦν μὲν οὖν στέρξον τῷ λόγῳ τοῦ ἀρχηγοῦ Ἰνδιστίρα,
» εἶτα δὲ ποίησον ὅ,τι ἀρέσκει σοι· κἀκεῖνοι γὰρ οἱ Καου-
» ραβαὶ, ὡς σύ, οὐκ ἔχουσι γνώμην περὶ εἰρήνης, φρονη-
» ματίαι ὄντες.»

49. Ἅπο θυμοῦ δὲ γενομένου τοῦ Βήμα τῷ λόγῳ τοῦ Βα-
λαράμα [3], καὶ καθίσαντος, ὁ Ἀρζούνας ἔλεξε λόγον πο-
λεμικὸν καὶ διαλλακτικόν·

50. « Στρατὸς ἰσχυρὸς καὶ δεινὸς εἰς πόλεμον καταλεχθήτω,
» καὶ ἀπόστολος πρὸς τοὺς ἐχθροὺς σταλθήτω, ἄξιος εἰ-
» πεῖν ἃ δεῖ.

51. « Εἰ μὲν οὖν ἐκεῖνοι οἱ μωρόφρονες διαλλαγὴν οὐ ποιήσου-
» σιν, ἀναιρετέοι εἰσὶ τότε παραχρῆμα· καὶ ὁ σαλευόμε-
» νος γὰρ ὁδοὺς, ἐὰν μὴ ἐκριζωθῇ, ἄνεσιν οὐ δίδωσι τῷ
» ἀνθρώπῳ.

---

1. Εὐμαρῶς δηλ.
2. Αὐτολεξεί, ἰσοστάσιος, τουτέστι φιλόφρων.
3. Ὁ Βαλαδέβας λέγεται καὶ Βαλαράμας, ἀδελφὸς ὢν τοῦ Κρισνᾶ.

52. « Εἰ δὲ ἐκεῖνοι σέβονται τὸν πρεσβύτερον ἡμῶν, πνοαί » εἰσιν ἡμῶν· καὶ ἡ πνοὴ γὰρ, σεβομένη τὴν θύραν τοῦ » στόματος [1], καίπερ ἀφιεμένη, πάλιν ἀναλαμβάνεται.

53. « Ἡ ταχύτης ἐνταῦθα μέγα ἐστὶν ἔργον· ὁ γὰρ Ῥαχοῦς, » ὁ μὴ ἔχων πλῆρες τὸ σῶμα, νικᾷ τὴν ἐν οὐρανῷ πλήρη » Σελήνην [2], διὰ τὴν βραδύτητα καὶ ἀκηδείαν. »

54. Αὕτη ἡ γνώμη τοῦ Ἀρζούνα, ἀκουσθεῖσα ἀσμένως ὑπό τε τοῦ Ἰνδιστίρα, τῆς Δραουπαδῆς, τοῦ Βήμα, τοῦ Νακούλα, τοῦ Σαχαδέβα, τοῦ Κρισνᾶ, καὶ τῶν λοιπῶν, ἐπηνέθη.

55. Ἀπεστάλη δ' ὑπὸ τῶν Πανδοϊδῶν ὁ Πουροχύτας τοῦ Δρουπάδα πρὸς τοὺς ἐχθροὺς, εἰς βεβαίωσιν τῆς γνώμης αὐτῶν, ἤτοι περὶ εἰρήνης ἢ περὶ πολέμου.

56. Τοῦ δὲ Κρισνᾶ ἀποφηναμένου τὸ πρακτέον, καὶ ἀναχωρήσαντος εἰς τὴν οἰκείαν πόλιν, οἱ Πανδοΐδαι οὗτοι μετεπέμποντο πολλοὺς βασιλεῖς εἰς συμμαχίαν.

57. Καὶ ὁ μὲν Δρουπάδας μετὰ τῶν πέντε υἱῶν αὐτοῦ, ἦλθεν εἰς βοήθειαν τῶν πέντε γαμβρῶν κατὰ τῶν ἐχθρῶν, ὡς λέων κατὰ τῶν ἐλεφάντων.

58. Ταῖς δὲ δύο Ἀξαουχιναῖς [3] τῶν βασιλέων, τοῦτε Δρουπάδα καὶ τοῦ Βιράτα, ἑνωθεῖσα καὶ ἑτέρα Ἀξαουχινὴ τοῦ Σατεκῆ βασιλέως, ἐποίησε τριποταμίαν [4].

59. Πρὸς δὲ τούτοις συνῆλθον πρὸς τοὺς Πανδοΐδας, ὅ,τε

---

1. Εἰ γὰρ ἐξέλθῃ τοῦ στόματος καὶ περάσῃ τὰ ὅρια, ἀπόλλυται.

2. Ἡ μὲν Σελήνη πλήρης οὖσα βραδικίνητός ἐστιν· ὁ δὲ Ῥαχοῦς, ἀπλήρης, ταχυκίνητος, καὶ διὰ τοῦτο καταλαμβάνει τὴν Σελήνην. Ὁ Ῥαχοῦς, καίτοι ἀπλήρης, νικᾷ, ὡς θερμουργὸς, τὴν Σελήνην, καίπερ οὖσαν πλήρη· διότι ψυχρά ἐστι καὶ ἀκηδής.

3. Ἀξαουχινὴ, ὄνομα στρατιᾶς, ἡ συνίσταται ὑπὸ πεζῶν 109, 350, ἱππέων 65,610, ἁρματηλατῶν 21,870, καὶ ἐλεφαντηλατῶν 21,870.

4. Ὅπου γὰρ συμμίγνυνται τρεῖς ποταμοὶ, τὸ λούεσθαι ἐκεῖ ἁγιαστικὸν καὶ ἐπωφελές ἐστι.

Δριστακετοῦς, ὁ βασιλεὺς τῆς Σέδης, καὶ ὁ Σαχαδέβας, ὁ υἱὸς τοῦ Ζαρασάνδα· ἀμφοῖν δὲ τούτοιν ἕκαστος εἶχε μίαν Ἀξαουχινήν.

60. Ὅτε βασιλεὺς τῆς Μαχισματῆς, ὁ Νεῖλας, καὶ οἱ πέντε ἀδελφοὶ, οἱ βασιλεῖς τῆς χώρας Κεκαΐας, ὧν τὰ ὀνόματα, Βαρδαξεμὴς, Κουντηβόζας, Σρενημὰν, Σιβὴς, καὶ Παουράβας.

61. Οὗτοι αὐτοὶ, καὶ οἱ ἄλλοι ὁμοῦ βασιλεῖς ὀρεινῶν καὶ ἐπιπέδων τόπων, συνελθόντες ἀπέδειξαν τὸν Ἰνδιστίραν ἡγεμόνα ἑπτὰ Ἀξαουχινῶν.

62. Ἐν ταὐτῷ δὲ ὅ,τε Δουριοδάνας καὶ ὁ Ἀρζούνας παρεγένοντο πρὸς τὸν Κρισνᾶν, καλέσοντες αὐτόν· ὃν καὶ εὗρον κοιμώμενον ἐντὸς τοῦ οἴκου.

63. Καὶ ὁ μὲν Δουριοδάνας κατεκλίθη πρὸς τῇ κεφαλῇ αὐτοῦ, ὁ δ' Ἀρζούνας πρὸς τοῖς ποσί· πρῶτος δ' ὁ Ἀρζούνας ὡράθη ὑπ' αὐτοῦ, ἐξεγερθέντος.

64. Ἐρωτήσας δ' ἄσμενος (περιχαρῶς) τὸν Ἀρζούναν ὁ Κρισνᾶς, εἰ καλῶς ἔχοι, εἶδεν ἔπειτα τὸν Δουριοδάναν, ἐρρισμένον ἐπὶ τοῦ προσκεφαλαίου τῆς κλίνης [1].

65. Παρακληθεὶς δ' ὑπ' ἀμφοτέρων εἰς τὸ γενέσθαι ἐπίκουρος ἐν πολέμῳ, ἐπιστραφεὶς ἔφη τῷ Δουριοδάνα·

66. «Εἰ καὶ σὺ πρῶτος μὲν ἐλήλυθας, ὕστερος δ' ὁ Ἀρζούνας, οὗτος ὅμως ἔχει ἐμὲ σύμμαχον, διότι πρῶτον εἶδον αὐτόν.

67. «Ἐκ μὲν τοῦ ἑνὸς μέρους εἰμὶ ἐγὼ μόνος καὶ ἄοπλος· «ἐκ δὲ τοῦ θατέρου, ἡ ἐμὴ Ἀξαουχινή· ὄντος οὖν ὁμοίου «τοῦ μερισμοῦ, λάβε τὴν Ἀξαουχινήν [2].»

---

1. Ἴδιον τοῦτο ὑπερηφανίας, τὸ ἐπερείδεσθαι.

2. Οἱονεὶ ἔλεγεν· ἐπειδὴ ἐγὼ οὐ πολεμήσω ὅπλοις, ἀλλὰ μόνον θεωρὸς ἔσομαι τοῦ πολέμου, διὰ τοῦτο λάβε σὺ τὴν Ἀξαουχινὴν, ἥ ἔσται σοι πρὸς πλεῖω βοήθειαν. Εἷς ἥρως στρατηγὸς ἰσοστάσιός πως ἐστὶ τῷ ὅλῳ στρατεύματι.

68. Ἀκούσας ὁ Δουριοδάνας, παρέλαβε χαίρων τὴν Ἀξουχινὴν τοῦ Κρισνᾶ, ἧς ἡγεμὼν ἦν ὁ Κριταβάρμας, καὶ ἀνεχώρησεν.

69. Ἐπανέστρεψε δὲ καὶ ὁ Ἀρζούνας πρὸς τὸν Ἰνδιστίραν, εἰδὼς τοὺς ἐχθροὺς νικηθησομένους, παρόντος τοῦ Κρισνᾶ, ὃς ὑπέσχετο ἔσεσθαι αὐτῷ ἡνίοχος.

70. Ἐρχομένου δὲ τοῦ Σαλέα πρὸς τοὺς Πανδοΐδας, ἀπαντήσας αὐτῷ καθ' ὁδὸν ὁ Δουριοδάνας, ἤτησεν αὐτοῦ τὴν βοήθειαν ἡδέσι λόγοις καὶ θωπικοῖς.

71. Προσελθὼν δ' ὁ βασιλεὺς τῆς Μάδρας οὗτος Σαλέας [1] τῷ Ἰνδιστίρᾳ, εἰς τὸ δηλῶσαι ταῦτα, ἤκουσε παρ' αὐτοῦ, «Πορεύθητι ᾗ ἀγαπᾷς [2].

72. «Ἵν' ὅμως χάριν ἡμῖν ποιήσῃς, καί τοι σύμμαχος εἶ τοῖς » Καουραβαῖς, γενέσθω τὸ φρόνημα τοῦ Καρνᾶ ταπεινὸν » ἐν πολέμῳ λόγοις ὀνειδιστικοῖς.»

73. Ὁ δὲ, ταῦτα ἐπαγγειλάμενος, ἐπορεύθη πρὸς τὸν Δουριοδάναν, πρὸς ὃν πόσοι φίλοι βασιλεῖς οὐκ ἦλθον παντα-χόθεν [3];

74. Ἦλθον ὅ,τε Βαγαδάτας, ὁ ὢν φίλος τοῦ Ἴνδρα καὶ τὸ καταφύγιον τοῦ κόσμου, ὁ Ζαϊατράτας, ὁ βασιλεὺς τῆς χώρας Σινδοῦ, ὁ ὢν ὀλέτωρ τῶν ἐχθρῶν, ὡς ὁ ἐλέφας τῶν δένδρων.

75. Ὁ Βίνδας, ὁ πρεσβύτερος ἀδελφὸς τοῦ Ἀνουβίνδα, ὁ βασιλεὺς τῆς Ἀβαντῆς, καὶ εἰδήμων τῆς ὁπλικῆς· ὁ Σαλέας [4], ὁ βασιλεὺς τῆς Μάδρας, ὁ ὢν ὡς ἦλος τῇ καρδίᾳ τῶν ἐχθρῶν.

---

1. Ὁ Σαλέας ἀδελφὸς ἦν τῆς Μαδρῆς.
2. Ποίησον ὡς βούλει.
3. Πολλοὶ δηλ.
4. Σαλέας ἑρμηνεύεται ἦλος.

76. Ὁ Κριταβάρμας, ὁ ἄριστος ἐν τῇ γενεᾷ Βρισνῇ, ὁ Σουδεξινᾶς, ὁ βασιλεὺς τῆς Καμβόζας, ὁ Βουρισράβας, ὁ υἱὸς τοῦ Σομαδάττα, καὶ ὁ Σάλας, ὁ ὑπερδύναμος.

77. Οὗτοι οἱ εἰρημένοι βασιλεῖς συνῆλθον, ἡγεμόνες ὄντες ἕκαστος μιᾶς Ἀξαουχινῆς· καὶ ἄλλαι δὲ τρεῖς Ἀξαουχιναὶ συνηριθμήθησαν ὑπὸ τὴν ἡγεμονίαν ἄλλων βασιλέων.

78. Ταύταις ταῖς ἕνδεκα Ἀξαουχιναῖς ὁ βασιλεὺς Δουριοδάνας ἐβρενθύετο [1], οἰόμενος τόν τε ἑαυτοῦ τόπον διαφυλάζειν, καὶ πάντα τὰ τοῦ κόσμου μέρη ὑποτάξειν.

79. Ὁ δὲ Πουροχύτας, ὁ σταλθεὶς ὑπὸ τοῦ Ἰνδιστίρα, εἴρηκε προσήκοντα τῷ Δρυταράστρᾳ, παρόντι μετὰ πολλῶν βασιλέων ἐν τῷ βουλευτηρίῳ·

80. «Ὁ βασιλεὺς Ἰνδιστίρας, προσφέρων τὰς ἑαυτοῦ προσκυ-
» νήσεις καὶ προσαγορεύσεις τοῖς συγγενέσι κατ' ἀξίαν, τά
» δε λέγει περὶ εἰρήνης·

81. «Ὄλβιος ἐγώ εἰμι, λέγει, ὃς διὰ τῆς θεωρίας τῶν ἁγίων
« τόπων ἁγιασμὸν ἐκτησάμην ἐξ αἰτίας τῶν συγγενῶν,
« οἳ ἀνεδέξαντο τὸ μέγα βάρος τῆς γῆς.

82. «Αἱ ὁρισθεῖσαι ἡμέραι ἐν τῇ κυβείᾳ ἐπληρώθησαν [2] ὑπ'
» ἐμοῦ· νῦν οὖν δοθήτω μοι τὸ ἐπιβάλλον μέρος τῆς γῆς [3].

83. «Ἐγὼ οἶδα, ὡς βασιλεύσω τῆς καλῆς καὶ μεγάλης γῆς
» μετὰ τῶν ἑκατὸν καὶ τεσσάρων οἰκείων [4], ὑποκλινεῖς
» ἔχων τοὺς ἐχθρούς.

84. «Εἷς γὰρ οὐ δύναται μόνος τρυφῆσαι τῆς γῆς ἁπάσης·

---

1. Ἠγλαΐζετο, ἠλαζονεύετο.

2. Ἐπληρώθησαν, ἠνύσθησαν.

3. Αὐτολεξεὶ, τῆς ἐχούσης περιβόλαιον τὴν θάλασσαν, τῆς γῆς.

4. Ἐννοεῖ τοὺς ἑκατὸν υἱοὺς τοῦ Δρυταράστρα, καὶ τοὺς τέσσαρας αὐτοῦ ἀδελφούς.

» ὄντων δὲ συγγενῶν, τίς ἀνέξεται ἀλλοτρίου, τρυφῶντος
» τοῦ ἐπιβάλλοντος τοῖς συγγενέσι μέρους;

85. «Ταῦτα λογισάμενος ἐν σεαυτῷ μετὰ τῶν σεαυτοῦ φί-
» λων, τῶν γινωσκόντων τὸ ὀρθὸν, μήνυσόν μοι τὸ ὀρθὸν
» καὶ τὸ δίκαιον, τὸ πᾶσι τοῖς ἀνθρώποις ἀρέσκον.»

86. Οὕτως ἀγγείλας τὴν παραγγελίαν τοῦ ἑαυτοῦ βασιλέως
ὁ ἐν λόγοις δεινὸς Πουροχύτας, ἔτεινε τὰ ὄμματα αὐτοῦ
πρὸς πάντας, εἰς τὸ κρῖναι τὰ ἐν τῇ καρδίᾳ αὐτῶν.

87. Ὁ δ' υἱὸς τῆς Γαγγᾶς ἔλεξε λόγον ὅμοιον τῷ λευκῷ κύ-
ματι τῆς Γαγγᾶς, δηλῶν διὰ τούτου, ὅτι ἅπαντες γί-
νονται κατὰ τὴν φύσιν τῶν ἑαυτῶν γεννητόρων·

88. «Χαίρω, ὅτι ἐκεῖνοι οἱ κορυφαῖοι ἥρωες, καταβαλόντες
» τῇ δυνάμει τῶν βραχιόνων τὰ ἀντιπίπτοντα πολλὰ
» κύματα, ἐξῆλθον εἰς τὴν ἀκτὴν τῆς θαλάσσης τῶν
» δεινῶν.

89. «Χαίρω προσέτι, ὅτι εἰρήνην αἰτοῦσιν ἐκεῖνοι, οἱ ὄντες
» ἀκαταμάχητοι ἕνεκα τῶν βραχιόνων τοῦ Ἀρζούνα· πλέον
» δὲ χαίρω, ὅτι οἱ βασιλεῖς οὐκ ἔπεσον εἰς τὸν θυμὸν
» ἐκείνων, ὡς εἰς πῦρ.»

90. Τοιαῦτα εἰρηκότος τοῦ υἱοῦ τῆς Γαγγᾶς, ὁ υἱὸς τοῦ
ἡλίου [1] ἐξηρεύξατο λόγον ἰταμὸν, ἀγριωπῶς βλέπων, καὶ
τὰς ὀφρῦς ἀνασπῶν·

91. «Τίνος ἕνεκεν, ὦ Βήσμα, λέγεις πρὸς ἡμᾶς τοὺς Παν-
» δοΐδας φοβερούς τινας, τοὺς φοβουμένους ἐν καρδίᾳ τὸν
» πόλεμον, καὶ διὰ τοῦτο ταπεινῶς αἰτοῦντας ὀλίγην
» γῆν;

92. «Δεινότεροι τούτων εἰσὶν ἥρωες, καὶ ἔξοχοι πολλαῖς ταῖς
» ἀρεταῖς· διὰ τί οὖν, ὦ πολιὲ, οὐκ αἰσχύνῃ, ἐπαινῶν
» τοὺς Πανδοΐδας;

---

1. Ὁ Καρνᾶς.

93. « Ἢ τοὺς μὲν Καουραβὰς κακῶς λέγεις, τοὺς δὲ Παν-
» δοΐδας ἐπαινεῖς, ἐπειδὴ, ὅστις τῶν υἱῶν ἀδύνατός ἐστιν,
» οὗτος περισπούδαστός ἐστι τῷ πατρὶ, καὶ προστατεύε-
» ται ὑπ' αὐτοῦ [1]; »

94. Ὁ δὲ Βήσμας ἔλεξε λόγον ἀνθηρὸν τῷ μειδιάματι [2].
« Διὰ τί, ὦ Καρνᾶ [3], ἄχθος σοι ἐπιγίγνεται ἐκ τῶν πρὸς
» τοὺς Πανδοΐδας ἐπαίνων ;

95. « Ἃς ψυχὰς (πνοὰς) εἰς οὐδὲν λογίζονται οἱ μεγάλοι
» ἥρωες ἐν τῷ σταδίῳ τοῦ πολέμου, ταύτας οἱ Πανδοΐδαι
» διασκεδάζουσι τοῖς ὀϊστοῖς, ὡς ἀνέμοις σφοδροῖς.

96. « Ἰδὼν ἔγωγε τὴν δύναμίν σου ἐν τῷ κατὰ τὴν ἔπαυλιν
» τῶν βοῶν πολέμῳ, καὶ ἐν τῇ τῶν βοῶν ἁρπαγῇ [4], οὐκ
» οἶδα νῦν, εἰ ἐκεῖνοι φόβον ἔχουσι, ταπεινωθέντες [5]. »

97. Τοιαῦτα σκωπτικὰ εἰρηκότος τοῦ Βήσμα, καὶ πάντων
μὲν τῶν ἐπὶ συνόδου γελασάντων ἐντὸς [6] τοῦ δὲ Καρνᾶ
ἀλλοιωθέντος τὴν μορφὴν, ὁ Δρυταράστρας ἔφη·

98. « Ὃν λόγον εἶπεν ὁ Βήσμας, οὗτος ὕδωρ ἐστὶ τῷ πυρὶ τοῦ
» γένους, καὶ ὠφέλιμος ἁπαξάπασι τοῖς βασιλεῦσι, τοῖς
» ἐν συννοίᾳ [7] τυγχάνουσιν.

---

1. Ἢ ἐπειδὴ ὅστις τῶν υἱῶν ἀδύνατός ἐστιν, οὗτος προστατεύεται ὑπὸ τοῦ πατρὸς, διὰ τοῦτο τοὺς μὲν δυνατοὺς Καουραβὰς κακῶς λέγεις, τοὺς δ' ἀδυνάτους Πανδοΐδας ἐπαινεῖς ; — Ὁ Βήσμας πατὴρ ἐκαλεῖτο καὶ ἐνομίζετο ὑπὸ τῶν Καουραβῶν καὶ Πανδοΐδων.

2. Εἶπε μειδιῶν.

3. Ὦ υἱὲ τῆς Ῥαδᾶς, αὐτολεξεί.

4. Ὅτε ὁ Σιτραράτας Γανδάρβας ἔδησε τὸν Δουριοδάναν, καὶ ὅτε ἐξε-
στράτευσεν εἰς τὸ ἁρπάσαι τὰς βοῦς τοῦ Βιράτα.

5. Εἰρωνία ταῦτα.

6. Ἐγέλασαν ἐπὶ τῇ εἰρωνίᾳ κρυφίως, ἵνα μὴ ἄχθος εἴη πλεῖον τῷ τε Καρνᾷ καὶ τῷ Δουριοδάνᾳ.

7. Ἐν φροντίδι περὶ τοῦ πολέμου.

99. « Οἳ, καίπερ ἔχοντες δύναμιν ζωῆς καὶ θανάτου παντὸς
» τοῦ κόσμου, οὐκ ἐφίενται πολέμου φθοροποιοῦ τῷ γένει,
» διᾶ κτῆσιν δόξης καὶ βασιλείας.

100. « Οὗτοι οἱ Πανδοΐδαι μὴ παροξυνέσθωσαν εἰς ὄλεθρον τοῦ
» κόσμου, καθὼς ἡ γαλακτικὴ θάλασσα, δινηθεῖσα καὶ
» παροξυνθεῖσα, ἐξήγαγεν ἰόν.

101. « Ἀπίτω δὴ ὁ Σανζαΐας ἐκεῖσε, καὶ ἱλαρυνάτω τοὺς
» Πανδοΐδας, τοὺς φύσει ὄντας ἱλαροὺς, καθὼς τὰ νέφη,
» ἀπιόντα [1], ἱλαρύνει τὰς ἀκτίνας τῆς Σελήνης. »

102. Τοιούτοις λόγοις εὐφράνας τὰς καρδίας τῶν ἐπὶ τῆς συνό-
δου ὁ Δρυταράστρας, ἐξαπέστειλε πρὸς τοὺς Πανδοΐδας
ὑπὲρ εἰρήνης τὸν Σανζαΐαν, οὗ πρότερον ἀπέπεμψε τὸν
Πουροχύταν.

103. Ἐλθὼν δ' ὁ Σανζαΐας εἰς τὴν πόλιν Οὐπαπλαβέαν [2],
προσεκύνησε κατὰ πρῶτον τὸν βασιλέα Ἰνδιστίραν, συ-
νόντα φίλοις καὶ συμβούλοις.

104. Ὃς καὶ ἐρωτηθεὶς πρὸς τοῦ βασιλέως, εἰ εὖ ἔχοιεν οἱ ἐν
τῷ γένει προσήκοντες, καὶ εἴ ἔχοι τι εἰπεῖν, λόγον ἔλε-
ξεν ἡδύτερον τῆς ἀμβροσίας·

105. « Πῶς οὐκ ἂν εἴη, ὦ Βασιλεῦ, εὐεξία τῷ γένει, ὅτε δι-
» καιοσύνη καλὴ λάμπει ἐκ σοῦ, τοῦ ἄπειρα ἔχοντος
» πλεονεκτήματα ;

106. « Ταῦτα ἀγγέλλει σοι ὁ βασιλεὺς, ὁ πρεσβύτερος ἀδελ-
» φὸς τοῦ Πανδοῦ, ὃς ἄχθεται ἐφ' υἱῷ λίαν δυστρόπῳ
» καὶ ῥαδιούργῳ [3].

107. « Οἱ ὅμοιοί σοι, οἱ γινώσκοντες τὸ χρῆμα τῆς δικαιοσύ-

---

1. Ἐν ὥρᾳ Σαράδᾳ μετὰ τοὺς ὄμβρους, ὅτε ἀνέφελός ἐστιν ὁ οὐρανός.
2. Ἐν ταύτῃ ἦσαν οἱ περὶ τὸν Ἰνδιστίραν.
3. Ἐννοεῖ τὸν Δουριοδάναν.

» νης [1], καὶ ὄντες κρείττονες τῆς ἐπιθυμίας τῆς βασιλι-
» κῆς δόξης [2], τῆς ἀνατρεψάσης πολλοὺς ἄλλους [3], προ-
» σκυνητοί εἰσι τοῖς ἐν κόσμῳ.

108. « Σὺ ὁ μιμητὴς τοῦ Σίβα, παρὰ τίνος προσκύνησιν οὐ
» λαμβάνεις, οὗ ἡ δόξα, καὶ ἐν ἐρημίᾳ διάγοντος, οὐ
» κατεφρονήθη ὑπ' οὐδενός ;

109. « Τίς ἀνελεῖν βουλόμενος συγγενεῖς, ἐπιθυμῶν γῆς ἀστά-
» του, καὶ ἐκ χοὸς συνισταμένης, οὐκ ἐγκατελείφθη ὑπὸ
» τῆς εὐκλείας, τῆς λευκῆς δίκην σελήνης, καὶ ἀεννάου ;

110. « Οἱ λελουμένοι ἐν ἀγαθοεργίαις, ὥς περ ἐν ὕδασι, καὶ
» κεκαθαρμένοι, οὐκ ἐπιθυμοῦσι δόξης νίκης, κεχραμμένης
» παρουσίᾳ τῶν δαιμόνων [4].

111. « Οἱ μὲν αὐτάρκεις ἀγαπῶσι τὴ αὐταρκείᾳ, ἥ ἐστιν εὖ-
» κτητος βασιλεία παντὸς τοῦ κόσμου [5]· οἱ δὲ πλεονέ-
» κται ἐπιθυμοῦσι δεσποτείας ὀλίγης γῆς, κινδύνῳ τῆς
» ἑαυτῶν ζωῆς.

112. « Ταῦτ' ἄρα οὐ δεῖ ἐπερείδεσθαι καὶ ἐλπίζειν εἰς πόλε-
» μον κατὰ συγγενῶν, διὰ κτῆσιν δόξης· τίς γὰρ γνώ-
» μην ποιήσει περὶ πολέμου, τῆς γῆς οὔσης ἐκ τύχης [6];»

113. Ταυτὶ τούτου εἰπόντος, καὶ σιωπὴν σχόντος (σιωπήσαν-
τος), ὁ βασιλεὺς Ἰνδιστίρας ἐξηρεύξατο λόγον, ὃς ἦν

---

1. Κολακεύει αὐτὸν ἀπατηλῶς, ὅτι οὐκ ἔστι πλεονέκτης, ἵνα μὴ αἰ-
τήσῃ γῆν.

2. Οἱ μὴ ἐφιέμενοι δηλ. τῆς Λαξμῆς, τῆς βασιλείας.

3. Ἄλλους μὲν ἀνάγει, ἄλλους δὲ κατάγει.

4. Ἐν πολέμῳ, ἔνθα νίκη γίνεται, Δαίμονες πάρεισιν εἰς πόσιν αἱμά-
των καὶ βρῶσιν σαρκῶν.

5. Ὁ κόσμος διὰ μὲν πολέμου δύσκτητός ἐστι· διὰ δὲ τῆς αὐταρκείας εὔκτητος· ὁ γὰρ αὐτάρκης νομίζει ὡς παντὸς τοῦ κόσμου κύριός ἐστι.

6. Τουτέστι ἡ βασιλεία τῆς γῆς ἐκ τύχης ἐστίν· ὁ γὰρ πολεμῶν ὑπὲρ γῆς, δύναται καὶ ἀποθανεῖν ἐν πολέμῳ, ἄνευ τοῦ κτήσασθαι γῆν.

ἡδὺς τῇ ἀκοῇ τῆς ὁμηγύρεως [1], ὡς τὸ ἄνθος ἀγλαόν ἐστι κόσμημα τῷ ὠτὶ τῆς θηλείας·

114. «Πότε λόγοι ἐρρέθησαν ὑπ' ἐμοῦ περὶ πολέμου κατὰ τῶν » υἱῶν τοῦ Δρυταράστρα, ὅτε αὐτὸς ὁ πατήρ μου τοιαῦτα » πολλὰ ἀπαγγέλλει ἐμοὶ περὶ ἱλαρότητος καὶ εἰρήνης;

115. «Οὐδέ γε διὰ λόγου ἐστί μοι νῦν ὑπόθεσις (παρασκευὴ) » πολέμου· καθὸ αὐτὸς ὁ πατήρ μου πρότερον [2] ἐπηγγεί- » λατό μοι δώσειν τὴν ἐμὴν γῆν.

116. «Ἐὰν δὲ μὴ δῶ τὴν γῆν ὁ γέρων, νικώμενος τῇ πρὸς » τοὺς υἱοὺς φιλοστοργίᾳ, ὁ παλαιὸς οὗτος ἄνθρωπος [3] γνώ- » μην δότω ἡμῖν περὶ τοῦ πρακτέου.»

117. Ὁ δὲ Κρισνᾶς ἔλεξε λόγον ἡδὺν τοῖς ἐν ὁμηγύρει, λέξεσιν ἀνθηραῖς τοῦ νοὸς, καθὼς ὁ στεφανοπλόκος πλέκει στέφανον ἄνθεσι λαμπροῖς τοῦ φυτοῦ [4].

118. «Ἐὰν δοθῇ σοι τὸ ἐπιβάλλον μέρος τῆς γῆς, ἐγὼ πολ- » λῶν παραπτωμάτων τοῦ Δουριοδάνα ἀνέξομαι, ὧν πρῶ- » τόν ἐστιν ἡ ἕλκυσις τῆς Δραουπαδῆς ἀπὸ τῆς κόμης.

119. «Δοθήτωσαν αὗται αἱ πέντε πόλεις, ἡ Ἰνδραπράσθα, ἡ » Ἰαβαπράσθα, ἡ Μακανδὰ, ἡ Βαραναβάτα [5], καὶ ἡ Παν- » σάμα προσέτι.

120. «Μὴ δόντων δ' ἐκείνων μηδὲ ταῦτα, σκέψις καὶ γνώμη » περὶ τοῦ πρακτέου ἔσεται τῇ τε κορύνῃ τοῦ Βήμα, καὶ » τῷ τόξῳ τοῦ Ἀρζούνα [6].»

---

1. Ἡ ὁμήγυρις ὡς γυνή.

2. Πρὶν τῆς ἀποδημίας, πρὶν τῆς ὑπερορίας.

3. Ὁ Κρισνᾶς δηλ. καθὸ Θεός· τοῦτο γὰρ τὸ ὄνομα εἰς Θεὸν ἀναφέρεται.

4. Τὸ πρωτότυπον ἔχει χάριν μεγάλην, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

5. Χαστιναπούρα.

6. Πόλεμος δηλαδὴ ἔσεται.

121. Ὁ μὲν οὖν Σανζαΐας, ἀκούσας τῶν λόγων τοῦ Κρισνᾶ καὶ τῶν περὶ τὸν Ἰνδιστίραν, ἀνεχώρησεν ἐφ' ἅρματος ταχυτέρου καὶ τοῦ νοός.

122. Ὁ δὲ Δρυταράστρας ἀπέπεμψε τοῦτον, ἐλθόντα περὶ τὴν ἑσπέραν, εἰπών· « Πάντων παράντων ἐπὶ συνόδου, εἰρήσθω σοι τὰ περὶ τῆς πρεσβείας. »

123. Σκεψάμενος δ' ὁ Δρυταράστρας τὸ δίκαιον τῶν Πανδοϊδῶν, καὶ τὸ τοῦ πολέμου αὐτῶν κράτος, θλιβεὶς ἐπορεύθη πρὸς τὸν Βιδούραν, τὸν γνώστην τῶν ὄντων (φιλόσοφον).

124. « Ὅς ἐστι δίκαιος, ἔφη, οὗτος ἔσται καὶ νικητὴς, οἷον » ὁ Ἰνδιστίρας· τοὐναντίον δὲ, ὁ ἐμὸς υἱὸς Δουριοδάνας.

125. « Τί ποιήσω; ποῖ πορευθῶ; ὁ υἱός μου ἄδικός ἐστι· τὸ » δεινὸν τοῦτο τοῦ γένους ταράττει μου τὸν νοῦν. »

126. Ὁ δ' εὕφρων Βιδούρας, εἰς τὸ παραμυθήσασθαι τὸν βασιλέα, ἐν ἀθυμίᾳ ὄντα, ἐποίησε τὸ στόμα ἑαυτοῦ τῇ εὐγλωτίᾳ δεκάτην πηγὴν ἀμβροσίας [1].

127. « Μὴ παρανόει, ὦ βασιλεῦ, ἐκ τοῦ ἰοῦ τῶν δεινῶν· ἔχε » καρτερίαν [2]· ἐκεῖνοι δ' εἰσὶ καρτερικοὶ ἐν γῇ, οἳ οὐ δεδίττονται τὰ δεινά.

128. « Οἱ καρτερικοὶ ἄνδρες οὐδενὶ γνωρίζουσιν, ὡς ἐν θλίψει » εἰσι καὶ περιστάσει· οἱ ἵπποι, καίπερ κεκομμένοι τὰς » πτέρυγας [3], ὡς πτηνοὶ θέουσιν.

129. « Ὅστις ἰσοστάσιός ἐστιν ἐν εὐτυχήματι καὶ ἐν δυστυχή- » ματι, καθὼς ὁ βλέπων τῷ νοΐ ἰσοστάσιός ἐστιν ἐν φωτὶ » καὶ ἐν σκότει, κατὰ τοῦτου οὐκ ἰσχύουσι τὰ ὑπὸ τὴν » αἴσθησιν, ἃ θέλουσιν αὐτὸν καταβαλεῖν.

130. « Ὅστις διαφορὰν οὐκ οἶδε τῆς εὐτυχίας καὶ ἀτυχίας, κα-

---

1. Ἐννέα πηγαὶ ἀμβροσίας ὑπὸ γῆν μυθολογοῦνται.
2. Φιλοσοφεῖ ἐν τοῖς ἑξῆς ὁ Βιδούρας.
3. Μυθολογοῦσιν, ὡς οἱ ἵπποι πρότερον πτέρυγας εἶχον.

» θὼς οὐδὲ τοῦ οἰκείου καὶ ἀλλοτρίου, οὗτός ἐστι σεβα-
» στὸς, προσκυνητὸς, ὑμνητὸς, ἐγκρατὴς, καὶ ἁγνός.

131. « Ἆρα χαίρει ἐπ' ὀλίγῃ εὐτυχίᾳ, ἢ λυπεῖται ἐπ' ὀλίγῃ
» ἀτυχίᾳ ἑαυτοῦ ἐκεῖνος, ὃς βλέπει τὸν κόσμον ἐν εὐτυ-
» χίᾳ ἢ ἀτυχίᾳ ὄντα, ὡς ἑαυτόν;

132. « Ἐκεῖνοι ἥρωές εἰσιν, οἳ ἐρχομένου μακρόθεν τοῦ ἐχθροῦ,
» τοῦ πάθους· γελῶντες καὶ χαίροντες κατὰ πρόσωπον αὐ-
» τοῦ χωροῦσιν.

133. « Ἐκεῖνοί εἰσι σοφοὶ, ὦ Δρυταράστα, οἳ οὐ καταπονοῦνται [1]
» τοῖς πάθεσι, καὶ ἰσοστάσιοί εἰσιν ἔντε χαρᾷ καὶ ἐν λύπῃ.

134. « Ἐκεῖνός ἐστι σοφὸς καὶ τὴν ψυχὴν ἁγνὸς, ὃς τὴν μὲν
» εὐτυχίαν νομίζει ἀτυχίαν, τὴν δ' ἀτυχίαν εὐτυχίαν,
» τὴν γενομένην ἐκ τῶν πρώην καλῶν ἢ κακῶν ἔργων.

135. « Οὐδενὸς μέν ἐστιν ἡ ψυχή· τῆς δὲ ψυχῆς οὐδείς ἐστι·
» μάταιον ἄρα τοῦτο, « Οὗτός ἐστιν ἐμοῦ, » καὶ, « ἐγώ
» εἰμι ἐκείνου. » Αὕτη ἐστὶν ἡ γνώμη τῶν φιλοσόφων.

136. « Ἡ γὰρ ψυχὴ αὐτὴ ἑαυτῆς ἐστιν [2]. Εὖ φρόνει δὴ, ὦ
» βασιλεῦ, ἀλλὰ μὴ παραφρόνει, ὅτι ὁ υἱός σου νικητέος
» ἐστὶν ὑπὸ τοῦ υἱοῦ τοῦ Πανδοῦ. »

137. Τοιαῦτα εἰπόντος τοῦ Βιδούρα, ἐμφανισθεὶς ὁ ὅσιος
Σανατσουζάτης ἐκ τῆς διὰ τοῦ νοὸς ἐπικλήσεως τοῦ Βιδού-
ρα, ἐμύησε τὸν βασιλέα τὰ τῆς θείας γνώσεως.

138. Τὴν μὲν οὖν νύχθ' ὅλην διήνυσεν εὐφρόνως ὁ βασιλεὺς
Δρυταράστρας, κατασβέσας, ὡς τὸ πῦρ, τὸ ἐντὸς πολὺ
ἄχθος τοῖς περὶ θείας γνώσεως λόγοις, τοῖς ἐκ τοῦ στό-
ματος τοῦ ὁσίου ἐκρεύσασι.

139. Περὶ δὲ τὸ πρωΐ, περικυκλωθέντος τούτου τοῦ βασιλέως
ὑπὸ πάντων τῶν βασιλέων ἐν συνόδῳ, ὁ Σανζαΐας, ὡς

---

1. Οὐ νικῶνται.
2. Οὐκ ἔστιν ἄλλος κύριος αὐτῆς, ἀλλ' αὐτὴ ἑαυτῆς, αὐτοδέσποτος.

προσετάγη, ἀπήγγειλε τὰ παρὰ τοῦ Ἰνδιστίρα καὶ Κρισνᾶ.

140. Ἀπήγγειλε δὲ καὶ τῷ Δουριοδάνᾳ, ὃς ἦν ἐνσώματος τύφος, ἓν ἕκαστον τῶν ῥηθέντων ὑφ' ἑνὸς ἑκάστου τῶν Πανδοϊδῶν·

141. « Ὁ μὲν Ἰνδιστίρας τάδε λέγει πρὸς σὲ, χαίρων· « Τοῦ « φορτίου τῆς γῆς ἀναδεχθέντος ὑπὸ σοῦ, ἡμεῖς περιήγη- « σιν ἐποιησάμεθα τῶν ἁγίων τόπων· ὅθεν σὺ ἐραστὸς εἶ « ἡμῖν, ὡς αὐτὸς σεαυτῷ.

142. « Εἴτις σοι, ἀδελφὲ, πόνος ἐγένετο ἐν τοσούτῳ χρόνῳ, « τούτου τὸ βάρος ἀφεθὲν, ἀναδέξασθαι ἕτοιμοί ἐσμεν « ἡμεῖς οἱ πέντε. »

143. « Ὁ δὲ Βήμας τάδε λέγει· « Εἰ οὐ δύνασαι ἀφεῖναι τὸ « φερόμενον φορτίον, εἰπέ· ἔγωγε γὰρ καταβιβάσω αὐτὸ « ἀπὸ σοῦ τῇ δυνάμει τῶν βραχιόνων. »

144. « Τάδε λέγει καὶ ὁ Ἀρζούνας· « Εἴ σοι ἔφεσίς ἐστι τὸ « φορτίον φέρειν τῆς γῆς μέχρι τέλους εἰς ἄνεσιν ἡμῶν, « ἡμεῖς ἐν ἀνέσει καὶ ἡσυχίᾳ ἐσόμεθα μετὰ τὸν θάνατον « τοῦ Καρνᾶ. »

145. Ἐπαινῶν δὲ τὸν Ἰνδιστίραν ὁ υἱὸς τῆς Γαγγᾶς, περιέσειε τὴν κεφαλὴν αὐτοῦ [1], ἵν' ὑπερπληρώσειε τὰ ὦτα τῶν θαυμαστῶν λόγων ἐκείνου.

146. Πρὸς δὲ τὸν Δρυταράστραν ἐξεφώνησε λόγους χαλεποὺς, περιβλέπων ἅπαντας τοὺς βασιλεῖς ταυρηδόν·

147. « Οἱ μὲν Πανδοΐδαι ἐν τῇ κατὰ τὴν κυβείαν καταφρονή- » σει βίᾳ οὐκ ἐχρήσαντο, ἕνεκα τῆς πρὸς σὲ αἰδοῦς· σοὶ » δ' ὅμως, ἀναίσχυντε, ἄλγος οὐκ ἐγένετο ἐπ' ἐκείνους, » ἀπιοῦσιν εἰς ἔρημον.

---

1. Ὅτε γὰρ θαυμάζει τις, σείει τὴν κεφαλὴν αὐτοῦ· καὶ ἵνα πληρωθῇ καλῶς τὸ ἀγγεῖον, περισείεται καὶ περισαλεύεται.

148. «Ἀλλὰ καὶ μέχρι τοῦδε ἐκεῖνοι οὐκ ἀφιᾶσι τὸν ὅρον
» ἐκ τῆς πρὸς σὲ μεγάλης τιμῆς· λογίζονται γὰρ σὲ μὲν
» τὸν Πανδοῦν, τὸν δὲ Πανδοῦν σέ.

149. «Πάντως προσήκουσά ἐστιν ἡ εἰρήνη μετ' ἐκείνων τῶν
» μεινάντων ἡσύχων καὶ δικαίων μέχρι τοῦ νῦν· ἐκεῖνοι
» γὰρ οἱ ἔνδοξοι νικηταί, ὡς αἱ πέντε αἰσθήσεις, ὑπὸ τί-
» νος ἂν νικηθείησαν;

150. «Οἱ υἱοί σου ἀναιρεθέντες ὑπὸ τοῦ Βήμα, καὶ ἀτιμασθέν-
» τες, πῶς ἂν σωθείησαν (λυτρωθείησαν) ὑπὸ τῶν περὶ τὸν
» Καρνᾶν, οἳ παρανάλωμα γενήσονται τῇ χορδῇ τοῦ Ἀρ-
» ζούνα, καθὼς τὰ στυπεῖα [1] τῇ φλογὶ τοῦ πυρός;»

151. Τοιαῦτα εἰπόντος τοῦ Βήσμα, ἀπεκρίνατο ὁ Καρνᾶς· «Οἱ
» Καουραβαὶ οὗτοι ἀξιοί εἰσι διαφυλάττεσθαι ὑπὸ σοῦ ἐν
» πολέμῳ [2]· σοῦ δὲ κοιμηθέντος [3] ἐπὶ τῶν βελῶν τοῦ
» Ἀρζούνα, ὡς ἐπὶ κλίνης, τότε ἐγὼ πόλεμον ποιήσω.»
καὶ ἔῤῥιψε τὸ τόξον καιόμενος φθόνῳ [4].

Τέλος τοῦ Πρώτου Κεφαλαίου,
τοῦ Πέμπτου Βιβλίου
τῆς
Βαλαβαράτας.

---

1. Αὐτολεξεί, ὁ Βάμβαξ.

2. Οἱονεὶ ἔλεγεν· εἰ ἐγὼ οὐδέν εἰμι ἐν πολέμῳ, σὺ διαφύλαξον τούτους τοὺς Καουραβάς· εἰρωνία δὲ τοῦτο.

3. Δηλ. ἀναιρεθέντος.

4. Διότι ἐπῄνει τοὺς Πανδοΐδας ὁ Βήσμας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

δ διαλαμβάνει τὸ δυσθιάθετον τοῦ Δουριοδάνα.

1. Ἔστω ἐπ' ἀγαθῷ ὁ υἱὸς τοῦ Παρασάρα, οὗ ἡ φωνὴ διεχύθη ἀπανταχοῦ, ὡς ἡ ἔνδοξος Γαγγὰ, ἡ ἐκ τοῦ Ἰμαοῦ, ἀμέτρητος οὖσα τὴν δύναμιν, καὶ μόνη καθαίρουσα τὸν κόσμον.
2. Ὑπὸ δὲ τοῦ δικαίου καὶ λίαν εὐσπλάγχνου Ἰνδιστίρα ἐπέμφθη ὁ μελίφρων Κρισνᾶς πρὸς τοὺς συγγενεῖς, τοὺς ἀμοίρους φρονήσεως, ἐπὶ σκοπῷ τοῦ ποιῆσαι διαλλαγήν.
3. Ἔχων δὲ δεκαεξακισχιλίους καὶ δέκα πεζοὺς, ἱππεῖς, καὶ ἁρματηλάτας, καταλύσας τῇ νυκτὶ ἐν τῇ πόλει Βριχασθάλα, τῇ ἑξῆς εἰσέδυ τὴν πόλιν τῶν Καουραβῶν.
4. Καὶ ἐν ἐκείνῃ μὲν τῇ ἡμέρᾳ εἱστιάθη ὁ ἀνὴρ τῆς Λαξμῆς Κρισνᾶς ἐν τῷ οἴκῳ τοῦ Βιδούρα, λίαν εὐλαβῶς καὶ προθύμως, διανοουμένου ταῦτα· « Ἐγώ εἰμι μακάριος· ἐγώ » εἰμι ἔνδοξος.»
5. Ἡσθέντος δὲ τὴν καρδίαν ἐπὶ τῇ προθυμίᾳ τοῦ Βιδούρα, καὶ εἰπόντος αὐτῷ αἰτῆσαι χάριν, ὁ Βιδούρας ἔφη ἄσμενος· «Ἔστω μοι ἀγάπη πρὸς σὲ, καὶ παιδία πολλὰ θλί- » βοντά με ἐπὶ τραπέζης, καὶ ὁ οἶκός μου πλήρης ξένων.»
6. Περὶ δὲ τὴν ἐπιοῦσαν εἰσέδυ τὸ βουλευτήριον ὁ Κρισνᾶς, τὸ ἀγλαϊζόμενον ὑπὸ τοῦ Δρυταράστρα, δεξιωθεὶς πρὸς τῶν περὶ τὸν Βήσμαν, ἀναστάντων εὐθέως μετὰ χαρᾶς ἅμα τῷ ἰδεῖν αὐτόν.
7. Εἶδε δὲ πάντας τοὺς βασιλεῖς ὑπεροπτικῶς, τοὺς ἀσυγκρίτους τῇ δυνάμει, ὡς ἐλέφαντας, καὶ ἐκάθισεν ἔπειτ' ἐπὶ θρόνου, ὡς λέων ἐπ' ὄρους κορυφῆς (ἀκρωρείας).
8. Προσέχοντος δὴ τοῦ Δρυταράστρα σὺν πᾶσι τοῖς συνελληλυθόσι μεγάλοις βασιλεῦσιν, ἤρξατο λέγειν ὁ Κρισνᾶς

περὶ τῆς ὑποθέσεως ὑπὲρ τῶν Πανδοϊδῶν, ἀμβροσίαν ῥέων ἀπὸ γλώττης·

9. «Πόσοι ἄνδρες τῆς γῆς [1] πρότερον οὐκ ἐγένοντο; ἀλλ' οὐ» δενὶ ἐκείνων ἡ γῆ αὕτη ἠκολούθησε [2]· τοῦ γὰρ πρώην » ἀνδρὸς ἀποιχομένου, ἡ γῆ, μὴ ἔχουσα αἰσχύνην, ἄλλον » καὶ ἄλλον λαμβάνει [3].

10. «Πόσοι δ' ἄνδρες οὐκ ἐθανατώθησαν ὑπὸ ταύτης τῆς » γῆς, ἐρώσης ἄλλων; καὶ πόσους οὐκ ἐγκατέλιπεν αὐτὴ » ἀνελπίστως, ἐραστὰς ὄντας, πλήρεις τε πολλῶν ἀρετῶν, » καὶ ζῶντας ἔτι;

11. «Ὅστις βουλόμενος ὀλίγον ὕμνον [4], θλίβει καὶ τοὺς ἐχ» θροὺς ἐπὶ τούτῳ, οὗτος οὐκ ἄξιός ἐστιν ὑμνεῖσθαι [5] » πάντως· ὃς μέν τοι θλίβει τὸ γένος αὐτοῦ, οὗτός ἐστιν » ἀποφρὰς καὶ ἀποτρόπαιος.

12. «Καὶ δεσποτείας οὔσης ἁπάσης τῆς γῆς, ὁ ἄνθρωπος » ἔχει γῆν εἰς ἀνάπαυσιν ἴσην τῇ κλίνῃ [6]· καὶ πλούτου » ὄντος πολλοῦ, οὐδὲν ὄφελος γίνεται τῷ ἀνθρώπῳ πλεῖον » τῆς βρώσεως τῆς συστατικῆς τῆς ζωῆς [7].

13. «Εἰ δὲ ἔπαρσις γίνεται τῷ ἀνθρώπῳ, διότι ἔχει κτή» ματα πλείω πρὸς ζωάρκειαν, καὶ νομίζει, ὅτι οἰ» κεῖά ἐστι ταῦτα, καὶ ὁ πάμπτωχος [8] ἐπαίροιτο ἂν,

---

1. Δηλ. βασιλεῖς τῆς γῆς.

2. Ὡς ἡ σώφρων γυνὴ τῷ ἀνδρὶ ἀκολουθεῖ μετὰ θάνατον.

3. Νέον βασιλέα δηλ. λαμβάνει, ὡς ἀναίσχυντος γυνὴ ἕτερον ἄνδρα λαμβάνει μετὰ θάνατον τοῦ πρώτου ἀνδρός.

4. Βούλεται κτήσασθαί τι ἐπὶ τῷ δοξασθῆναι καὶ ὑμνηθῆναι.

5. Αὐτολεξεί, ὑμνητὸς, τουτέστιν ἀποφρὰς, κατ' εὐφημολογίαν, μακρόθεν δηλ. προσκυνητέος, ἀλλὰ μὴ προσιτέος. Ἰδιωτισμός.

6. Δηλ. κοιμᾶται ἐπὶ γῆς, ὅσην περιέχει ἡ κλίνη.

7. Δύναται δηλ. τρώγειν καὶ πίνειν καλῶς, καὶ οὐδὲν πλέον τούτου.

8. Ἄπορος, ἐνδεής.

» λέγων, « Ἡ γῆ αὕτη πᾶσα κτῆμά ἐστιν ἐμόν. »

14. « Ὁ βασιλεὺς Ἰνδιστίρας, προσφέρων καὶ ἐκ στόματος » ἐμοῦ σοὶ μὲν αὐτῷ προσκυνήσεις, τοῖς δὲ λοιποῖς συγ- » γενέσι περιπτύξεις, ἀπαιτεῖ πέντε κώμας πρὸς ζωάρ- » κειαν ἑαυτοῦ τε καὶ τῶν τεσσάρων ἀδελφῶν.

15. « Πόσον μέρος τῆς γῆς ἄχρηστον οὐκ ἔστιν ἐξ αἰτίας » τῶν ποταμῶν, τῶν δρυμῶν, καὶ τῶν θαλασσῶν; Καὶ » τοῦτο ἄρα τὸ αἰτούμενον ὀλίγον μέρος τῆς γῆς λογι- » σθήτω, ὡς ἐκεῖνο τὸ ἄχρηστον πολὺ μέρος, καὶ ἀφε- » θήτω ὁ ἐμφύλιος πόλεμος.

16. « Ὁ ἐμφύλιος πόλεμος ἀνοίκειός ἐστιν, ὃν πᾶσι τοῖς ἐχ- » θροῖς, ὡς πάνδωρον δένδρον [1]· ποῖον γὰρ τῶν ζώων, » τῶν ἐν ὕλῃ βιούντων, οὐ χαίρει ἐπὶ τῇ διὰ πολλοῦ δει- » νῇ μάχῃ δύω λεόντων;

17. « Ἡ γνώμη αὕτη, ὅτι ὁ συγγενὴς φύσει ἐχθρός ἐστιν [2], » ἔστω παρὰ τοῖς ἐκ πλεονεξίας κακὰ φρονοῦσιν· ὁ γὰρ » κόσμος, ὁ συνιστάμενος ὑπ' ἀνθρώπων μειζόνων, ἰσο- » στασίων, καὶ ἐλαττόνων, κρίνεται παρὰ τῷ εὖ φρονοῦντι, » ὡς πατὴρ [3], φίλος, καὶ συγγενής [4].

18. « Πρὸς μὲν τοὺς ἔχοντας γνώμην πλεονεκτικὴν καὶ οἱ » ὁμογενεῖς μεγάλην ἔχθραν ἔχουσι· πρὸς δὲ τὸν ὀλιγαρκῆ » καὶ φρόνιμον, καὶ οἱ ἑτερογενεῖς οἰκειότητα [5] δεικνύουσι.

---

1. Τουτέστι ὅ,τι ἤθελον οἱ ἐχθροὶ ἀπέλαβον, τὴν φθορὰν ὑμῶν.

2. Ἄνευ πολέμου ἐχθρὸς ὁ συγγενὴς πέφυκεν, ἕνεκα κληρονομίας.

3. Τοὺς μεγάλους ὡς πατέρας, τοὺς ἰσοστασίους ὡς φίλους, καὶ τοὺς μικροὺς ὡς συγγενεῖς.

4. Νόημα τοῦ ἑτέρου ἡμίσεος στίχου, τοῦ δοκοῦντος περιττοῦ, ἔχοντος δὲ τὴν αὐτὴν ἔννοιαν·

« Παρὰ τοῖς εὔφροσι, τοῖς μὴ ἔχουσι πλεονεξίαν, ὅμοιον δοκεῖ τοῦτο » τὸ πᾶν, τὸ ἔχον ἀνθρώπους μείζους, ἰσοστασίους, καὶ ἐλάττους. »

5. Οἰκειότητα, συγγένειαν.

19. «Οὐδεὶς γὰρ ἄλλος ἐχθρὸς ἐπὶ γῆς τοῖς ἀνθρώποις πέ-
» φυκε κρείττων τῆς πλεονεξίας, ἡ ἐπάγουσα εὐθέως πρὸς
» ἑαυτὴν, ἐχθροὺς ποιεῖ καὶ αὐτοὺς τοὺς συγγενεῖς.

20. «Μὴ τοίνυν διϊσχυρίζεσθε εἰς πόλεμον πρὸς συγγενεῖς
» ἐπὶ κτήσει ὀλίγης γῆς, οἰόμενοι ὅτι βασιλεῖς ἐστε,
» καὶ ὑπὸ πολλῶν βασιλέων βοηθούμενοι [1]· ἡ γὰρ νίκη
» ἀμφίβολος.

21. «Οἵ τε ἐχέφρονες ἄνδρες τὸν ὑπὸ πολλῶν περιεπόμενον,
» ὡς ἕνα ἐν πολέμῳ μετροῦσιν [2], ὑποκείμενον ἑνὶ τῶν
» πολλῶν βελῶν τῶν ἐναντίων, τῶν πληρούντων τὸν
» αἰθέρα.

22. «Οἵ τε φρόνιμοι στρατιῶται, καὶ πολλοὶ ὄντες, οὐ κα-
» ταφρονοῦσιν [3] ἐν πολέμῳ τοῦ ἐχθροῦ, καὶ ἑνὸς ὄντος.
» Ἆρα ἡ Σελήνη οὐ καταπίνεται ὑπὸ μόνου τοῦ Ῥαχοῦ,
» πολλῶν παρόντων ἀστέρων;

23. «Καὶ ἁπάσης τῆς γῆς ἡ βασιλεία στάσιμος οὐκ ἔστιν·
» εἰ δέ που καὶ εἴη στάσιμος, στάσιμος ἂν εἴη μέχρι
» ζωῆς· ἡ ζωὴ δ' ὅμως τῶν πολεμικῶν ἄστατός ἐστι,
» παρομοίως τῷ βέλει, τῷ ἐκ τοῦ τόξου ἀφεθέντι.

24. «Τοιγάρ τοι μὴ γνώμην ἔχε περὶ πολέμου, βασίλευε δὲ
» τῆς γῆς [4] ἅμα τοῖς συγγενέσιν· οἱ γὰρ φρόνιμοι καὶ
» τοὺς ἐχθροὺς ἑστιῶσιν [5], ἀφιγμένους εἰς τὸν οἶκον
» περὶ τὴν ὥραν τοῦ ἀρίστου.

25. «Ὅστις σκληρὸς τὴν καρδίαν, καὶ τυφλὸς τὸν νοῦν, κα-
» ταφρονῶν τῶν συγγενῶν, μόνος αὐτὸς καταπίνει τὸν

---

1. Αὐτολεξεὶ, περιεπόμενοι.
2. Μετροῦσι λογίζονται.
3. Εἰς οὐδὲν μετροῦσι, καταφρονοῦσι.
4. Ἡ γῆ βασιλευέσθω.
5. Ἑστιῶσι σιτίζουσι.

» κλῆρον ὅλον, οὗτος κατακαίνεται ὑπὸ τῶν οἰκείων, κα-
» θὼς ὁ κολοιὸς, ὁ θέλων μόνος καταφαγεῖν τὸ ῥιπτόμενον
» βρῶμα, κατακαίνεται ὑπὸ τῶν λοιπῶν κολοιῶν, παρο-
» ξυνομένων καὶ ἐκμαινομένων [1].

26. « Οἵτινες ἔχθραν ἔχοντες πρὸς τοὺς οἰκείους, ὦ βασιλεῦ,
» διάγουσιν ἐν γῇ ὡς σοφοὶ, οὗτοι ἄσοφοί εἰσιν ἐν παντὶ
» τόπῳ, καὶ ὑπὸ τῶν νηπιοφρόνων κατηγορούμενοι, καὶ
» πάσης δόξης στερούμενοι.

27. « Ἡ γῆ, καθάπερ σώφρων γυνὴ, ἐκεῖνον τὸν σπουδαῖον
» περὶ τὰ ἔργα σέβεται, καὶ ἐκείνου ἐπὶ τῇ ἐν ὀλίγῳ
» ἀπουσίᾳ θλίβεται, ὃς ἐπὶ μὲν τὴν τρυφὴν ὕστερος ἔρ-
» χεται τῶν συγγενῶν ἑαυτοῦ, ἐπὶ δὲ τὸν πόλεμον πρῶτος.

28. « Ὅστις θλίβει τοὺς οἰκείους, τούτῳ τίς γίνεται οἰκεῖος;
» ὁ γὰρ ἀλλότριος, ἀλλότριός ἐστιν. Οἱ μὲν χῆνες ἀνα-
» χωροῦσί που ἐν τῷ θέρει [2]· ὁ δὲ χλοάζων εὐρὺς ἅμα
» τῷ ὕδατι ξηραίναιται [3].

29. « Οἵτινες οὐχ ἥδονται τῷ ἀσπασμῷ καὶ τῇ ὁμιλίᾳ
» τῶν συγγενῶν [4], ὑπέρογκοι ὄντες τῷ ὀλίγῳ πλού-
» τῳ, οὗτοι ὡς σκοτεινότατά εἰσι νέφη, ἐν οἷς οὐ δια-
» λάμπει οὐθ' ἡ Σελήνη, οὐθ' ὁ Ἥλιος, ἀλλὰ μόνη ἡ πυ-
» γολαμπὶς [5].

---

1. Ὁ Ποιητὴς παίζει πρὸς τὴν λέξιν.

2. Οἱ χῆνες δηλ., οἱ ἐν ὕδασι διαιτώμενοι, ἀναχωροῦσί που ἐκ τῶν λι-
μνῶν, ἀνίκμων γινομένων ἐν θέρει· οὗτοι δὲ λέγονται ὡς οἰκεῖοι τοῦ ὕδατος.

3. Ὁ δ' εὐρὺς ξηραίνεται· οὗτος δ' ἐκλαμβάνεται ὡς ἀλλότριος, κα-
θότι γίνεται ἐκ τῆς βροχῆς ἐν ταῖς ἄκραις τῶν ὑδατωδῶν τόπων, ἐφ' οὗ
ὁ ποὺς πατῶν ὀλισθαίνει· ξηραίνεται δὲ μετὰ τὴν παῦσιν τῆς βροχῆς. Δη-
λονότι ὁ ἀλλότριος, ὅσον καὶ ἂν γίνεται οἰκεῖος, πάλιν ἀλλότριος λέγεται.

4. Δηλ. οὐκ ἀγαπῶνται ὑπὸ τῶν συγγενῶν.

5. Ἐν τοῖς θερινοῖς ὄμβροις πολλαὶ πυγολαμπίδες γίνονται καὶ ἀνί-
πτανται εἰς τὸν αἰθέρα.

30. « Οἵαν ἡδονὴν ποιεῖ ἡ μετὰ συγγενοῦς ὁμιλία [1], καὶ » λίαν δυσκόλου [2] ὄντος, τοιαύτην οὐ ποιεῖ οὐδ' ἡ ἀμβρο- » σία· καὶ ὁ λωτὸς [3] γὰρ οὐχ ἥδεται τοῦ μὲν Ἡλίου » δύοντος [4], τῆς δὲ Σελήνης ἀνατελλούσης, τῆς ἀμβρο- » σίας ἀκτίνας ἐχούσης.

31. « Ταῦτ' ἄρα δὸς τοῖς σεαυτοῦ συγγενέσι πέντε γοῦν κώ- » μας ὑπὲρ εἰρήνης· εἰ δὲ μὴ, καὶ ἐγὼ αὐτὸς ὁ μεσίτης » ἐναντίος ἔσομαι ἐξ ἀνάγκης τῷ δοκοῦντί σοι ἀγαθῷ. »

32. Ὁ δὲ Δουριοδάνας, καίπερ συμβουλευθεὶς πρότερον ὑπὸ τῶν περὶ τὸν Ναράδαν, ἐξ ἀπροόπτου ἐλθόντων, ἀπε- κρίνατο πρὸς τὸν Κρισνᾶν ὀργίλως, τετυφλωμένος τὸν νοῦν·

33. « Διὰ τί, ὦ Κρισνᾶ, χάριν τῆς πρὸς τὸν Ἀρζούναν φι- » λίας, τοσαῦτα σοφὰ [5] προτείνεις περὶ εἰρήνης; Παρα- » σκεύασαι εἰς τὸν ἀγῶνα τοῦ πολέμου αὐτοὺς τοὺς θαυ- » μαστοὺς ἐν ὅπλοις, καὶ ἀγαθοὺς ἐν νίκῃ.

34. « Οὗτοι οἱ σοφοὶ, οἱ κρύφιον ἔχοντες καὶ δεινὸν φθόνον, » σήμερον αἰτοῦσιν ὀλίγην γῆν, ἔνθα στερεὸν θέντες τὸν » πόδα, στρατὸν συλλέξουσιν εἰς τὸ ἀνατρέψαι καὶ κατα- » στρέψαι τὸν ἐμόν.

35. « Πῶς ἔπειτ' ἔγωγε νῦν εἰς μέγαν βαθμὸν ἀναβιβάσω » τούτους τοὺς ἐχθροὺς, τοὺς λεγομένους συγγενεῖς; Τίς » αὐξάνεται καὶ ἐκτρέφει τὸ ἐπισυμβὰν δεινὸν πάθος τοῦ » ἑαυτοῦ σώματος, τὸ θανάτου πρόξενον; »

36. Τοιαῦτα εἰπόντος τοῦ Δουριοδάνα, ὁ Κρισνᾶς, χαλεπή-

---

1. Συναστροφή.
2. Λίαν πικροῦ, δυσκόλου, σκληροῦ.
3. Ὁ λωτὸς, ὁ ἀνθῶν ἐν ἡμέρᾳ.
4. Ὅς ἐστιν ὀξὺς τὰς ἀκτίνας καὶ φλογερός.
5. Σοφὰ καὶ χαρίεντα.

νας, λόγον ἔλεξε πικρὸν, χειρονομῶν καὶ ἔχων τὸν σελη-
νιαῖον αὐτοῦ ὀφθαλμὸν ὅμοιον τῷ Ἡλίῳ·

37. «Ἄριστος φίλος ἐμοί ἐστιν ὁ Ἀρζούνας, οὗ χάριν καὶ αὐ-
» τὴ ἡ ζωὴ καταφρονηθείη ἂν ὑπ' ἐμοῦ· καὶ ὁ ὕψιστος γὰρ
» τόπος τοῦ Ἴνδρα ἀλυσιτελής [1] ἐστιν ἐκείνῳ, ᾧ φίλος
» οὐκ ἔστι τοιοῦτος.

38. «Οἱ μὲν εὐγνώμονες λέγουσιν, ὡς ἡ ἀμβροσία οὐδέν ἐστι
» πρὸς τὴν μετὰ φίλου ὁμιλίαν, οὗ τῆς ἡδονῆς γευσαμέ-
» νοις τοῖς φρονίμοις, ἔφεσις οὐ γίνεται τοῦ χυμοῦ τοῦ χεί-
» λους τῆς γυναικός.

39. «Ἔγω γε δὲ λέγω, ὡς ἡ ἀμβροσία, ἣ ποθεῖσα, ἀκοιμή-
» τους ἀποτελεῖ τοὺς ὀφθαλμοὺς [2], ἥκιστα ὑπερτέρα ἐστὶ
» τῆς μετὰ φίλου ὁμιλίας.

40. «Ἐκ τοιαύτης οὖν φιλίας πρὸς τὸν υἱὸν τοῦ Ἴνδρα, πάν-
» τα ἂν ποιήσαιμι, ἐκτὸς ἐπαίνων [3]· ὁ γὰρ φρόνιμος ἐπαί-
» νους οὐ λέγει· τὸ γὰρ ἀγαθὸν ἢ κακὸν, ὑποκείμενόν ἐστὶ
» τῷ προτέρῳ ἔργῳ.

41. «Ἔγωγε δὲ ταῦτα εἶπον περὶ εἰρήνης, χάριν ὑμῶν· ἀλλ'
» ἐὰν ὑμῖν ἐφετὴ ᾖ ἐν πολέμῳ ἡ ἐν χειρὶ κορύνη τοῦ Βή-
» μα, ἡ τῶν ἐχθρῶν ὀλεθρία, ἔστω οὕτως.

42. «Ὁποῖος φθόνος δ' ἂν εἴη τοῖς υἱοῖς τοῦ Πανδοῦ, ὑμῶν
» ὄντων ἐναντίων; ὁ γὰρ λέων οὐκ ἄν ποτε παροργισθείη
» μυιῶν ἐπικαθημένων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

43. «Τίς δὲ συλλογὴ στρατοῦ γένοιτ' ἂν ὑπὸ τῶν Πανδοϊ-
» δῶν εἰς ἦτταν ὑμῶν; πόσον στράτευμα ἄξει ὁ λέων
» εἰς τὸ καταβαλεῖν τὴν ἔπαρσιν τῆς ἀγέλης τῶν σκιρ-
» τώντων ἐλάφων;

---

1. Ἀηδής.
2. Θεοὺς δηλ. ποιεῖ τοὺς πεπωκότας.
3. Ἐγὼ δηλ. καὶ τὴν ψυχὴν αὐτὴν θύσαι ἕτοιμός εἰμι· ἐπαίνους δὲ οὐ λέγω.

44. «Ὁποῖον στράτευμα συνέλεξεν ὁ Ἀρζούνας ἐν τῇ ἁρπαγῇ
» τῶν βοῶν, εἰς νίκην καθ' ὑμῶν τῶν πολὺ στράτευμα
» ἐχόντων; αὐτὸς τυχὼν καιροῦ, μόνον τὸ διάδημά σου
» ἐσκύλευσε, μεγάλῳ ἐλέει [1], καὶ τοῦτο χάριν τῆς Οὐτ-
» ταρᾶς.

45. «Βλεπόντων δὲ πάντων τῶν περὶ σὲ γενναίων βασιλέων,
» τοῦ τε Κριπᾶ, τοῦ Δρόνα, τοῦ υἱοῦ αὐτοῦ, καὶ τοῦ Καρ-
» νᾶ, ὁ Ἀρζούνας ἠλευθέρωσέ σε ἰσχύϊ, ἁρπαγέντα εἰς τὸν
» αἰθέρα· οὐδέ γε τοῦτο μνημονεύεταί σοι;

46. «Ὅστις κακότροπος ὢν, ὡς σὺ, τοῖς μὲν κακοτρόποις
» σύνεστι καὶ συνήδεται, τοῖς δὲ λόγοις τῶν καλοκἀγά-
» θων συγγενῶν δυσχεραίνει, οὗτος πάντως γε θυμωδῶς
» καὶ ἀγριωπῶς ἐλέπεται ὑπὸ τῆς κακῆς τύχης.

47. «Ὅ,τι λέγουσιν, ὅτι μεταβολὴ τῆς φύσεως γίνεται ἐν
» ὥρᾳ θανάτου, τοῦτο ψευδές ἐστιν ἐπὶ σοί [2]· ἡ γὰρ κακή
» σου φύσις, ὦ θανατόβλεπτε [3], ἀπὸ γενέσεως μέχρι τοῦ
» νῦν οὐδεμιᾶς ἀγαθότητος εἴληχε.

48. «Ἆρα οἱ Πανδοΐδαι οὗτοι ἐφίενται προβιβασθῆναι ὑπὸ
» σοῦ, καὶ ὑψίστου βαθμοῦ τυχεῖν διὰ σοῦ; τίς βουλόμενος
» ἀναβῆναι εἰς δένδρον, ἅπτεται ἀράχνης εἰς ἔρεισμα [4];

49. «Ὁ μωρὸς τυχὼν τῆς Λαξμῆς [5], τῆς θυγατρὸς τοῦ Ὠκεα-
» νοῦ, τοῦ κυρίου τοῦ ὕδατος, ὃ φύσιν ἔχει ῥέειν εἰς τὰ

---

1. Καὶ οὐκ ἔκοψε δηλ. τὴν κεφαλήν σου· τοῦτο δηλοῖ τὸ, μεγάλῳ ἐλέει.

2. Λέγουσιν, ὡς ὁ ἄνθρωπος μεταβάλλει τὴν φύσιν αὐτοῦ, ἐκ καλοῦ δηλ. γίνεται κακὸς, ἢ ἐκ κακοῦ καλὸς, ὅπερ σημεῖόν ἐστι θανάτου.

3. Θανατόβλεπτος, ὁ ὢν ἐγγὺς θανάτου, ἐν ὥρᾳ θανάτου.

4. Δηλονότι οὗτοι εὐκόλως δύνανται τυχεῖν βασιλείας, διὰ τῆς ἑαυτῶν δυνάμεως, καὶ οὐχὶ διὰ τῆς σῆς βοηθείας.

5. Ἡ Λαξμὴ λαμβάνεται καὶ ἐπὶ πλούτου, καὶ ἐπὶ ἀξίας καὶ ἐξουσίας.

» κάτω, πῶς ἂν ἀναβιβάσειεν εἰς ἀνώτατον βαθμὸν
» τοὺς οἰκείους, ὅστις ἐνεχθήσεται αὐτὸς ταχέως εἰς τὰ
» κάτω [1];

50. « Ὁ ἀγαθὸς τὴν φύσιν ὢν, καὶ ἐφ' ὑψηλοῦ βαθμοῦ ἑδρεύων,
» συνεδρεύων κακοτρόποις, κακότροπος γίνεται καὶ δυσ-
» μένειαν δεικνύει πρὸς τοὺς οἰκείους, καθὼς τὸ ἐκ φύ-
» σεως καθαρὸν καὶ λευκὸν νέφος [2], τὸ ὑψοῦ ἱστάμενον
» μέλαν γίνεται διὰ τῆς ἐντεύξεως τοῦ ὕδατος [3], καὶ
» βρέχον ὕδωρ, κατασβεννύει τὸ πῦρ, οὗ ἐκ τοῦ καπνοῦ
» τὸ εἶναι ἔχει [4].

51. « Ὦ! τὸ πῦρ, τὸ ἐκ τοῦ πρὸς τοὺς οἰκείους θυμοῦ γινό-
» μενον, οὐκ ἀποσβέννυται, ἐὰν μὴ καταναλώσῃ ὅλον τὸ
» γένος [5], καθὼς τὸ πῦρ, τὸ ἐξαπτόμενον ἐκ δύο προσ-
» τριβομένων καλάμων, καταπίμπρησι τὸ δάσος ὅλον.

52. « Τηνάλλως δ' ἔγωγε λέγω τοιαύτην συμβουλὴν πρὸς
» τοιοῦτον, οἷος σὺ, περὶ εἰρήνης· ἡ ἐν χειρὶ κορύνη τοῦ
» Βήμα, ὡς ἔχιδνα ἐν κλάδῳ δένδρου, κατεδεῖται ὅλον
» τοῦτό σου τὸ γένος. »

53. Τοιαῦτα πολλὰ σκληρὰ εἰρηκότος τοῦ Κρισνᾶ, ἡ σύνοδος

---

1. Ἐκ προγόνων δηλ. φύσιν ἔχει ῥέειν εἰς τὰ κάτω, ἐπιῤῥεπὴς, ἄστατός ἐστι.

2. Δύω παραδείγματα ἐννοοῦνται ἐνταῦθα τῆς πρὸς τοὺς οἰκείους ἔχθρας· ἓν μὲν τὸ νέφος, ὃ βρέχων σβεννύει τὸ πῦρ, ἐξ οὗ τοῦ καπνοῦ ἐγένετο (ἐκ τοῦ καπνοῦ γὰρ γίνεται τὸ νέφος, λέγουσιν οἱ Ἰνδοί· ὅθεν πρὸς τοῖς ἄλλοις ὀνόμασιν ἔχει καὶ τοῦτο· Δουμαϊονὴ, τουτέστι, καπνογενές)· ἕτερον δὲ, ἡ βροχὴ, ἣ γινομένη ἐκ τοῦ καύματος (ἐκ τοῦ καύματος γὰρ γίνεται βροχὴ, λέγουσιν οἱ Ἰνδοὶ, ὅθεν καὶ μετὰ τὴν ὥραν τοῦ καύματος τοῦ θέρους ἐν Ἰνδίᾳ ὑετοὶ πίπτουσι) παύει τὸ καῦμα πίπτουσα.

3. Τὸ ὑδροφόρον νέφος μέλαν γίνεται.

4. Παίζει πρὸς τὴν λέξιν ὁ Ποιητής.

5. Τουτέστι τὸ πῦρ, τὸ ἐκ τοῦ πρὸς τὸν Ἰνδιστίραν φθόνου κατακαύσει ὅλον τὸ γένος.

πότε ἐκείνη ἐγίνετο πελιδνὴ ἐκ θυμοῦ, ὥσπερ φιληθεῖσα ὑπὸ θανασίμου αἴσης (ὑπὸ κηρός).

54. Τὸ δὲ ἐρυθρὸν πρόσωπον τοῦ Δουριοδάνα, τὸ ἐξάψαν ἐκ τοῦ δεινοῦ θυμοῦ, ἐφαίνετο ὡς πῦρ, τὰ δὲ ἐπῃρμένα ὀφρύδια, ὡς τόξα δεινά.

55. Τοσοῦτον δ' ἐπλατάγησεν ἡ παλάμη τοῦ Δουριοδάνα, ἡ κρούσασα τὸν μηρὸν θυμῷ, ὥστε τὸν Κρισνᾶν νομίσαι, ὡς ὁ μηρὸς αὐτοῦ οὐ συντριβήσεται οὐδέ γε αὐτῇ τῇ κορύνῃ τοῦ Βήμα [1].

56. Τοσαύτη δὲ φρίκη ἐκ θυμοῦ ἐγένετο τοῖς βραχίοσι τοῦ ἀδελφοῦ τοῦ Δουριοδάνα, ὥστε διαῤῥαγέντων τῶν βραχιονίων, πεσεῖν τοὺς πολυτίμους λίθους, καὶ ἐκ τούτου φανῆναι, ὡς σπηνθῆρες ἐξῆλθον δεινοῦ πυρός.

57. Ὁ δ' υἱὸς τῆς Κριπῆς [2], ὁ ὢν ἀπόῤῥοια τοῦ ἐχθροῦ τοῦ Ἔρωτος [3], ἀναλογιζόμενος τὸν πατέρα τοῦ Ἔρωτος [4], ἀγανακτήσας φρικτὸν ἔσχε τὸν ἐν μετώπῳ πύρινον ὀφθαλμὸν αὐτοῦ [5].

58. Ὁ δὲ υἱὸς τοῦ Καρνᾶ., σπινθῆρας πολλοὺς ἐκπέμπων ἀπὸ στόματος, ἀναδιδομένους ἐκ τοῦ μετὰ θυμοῦ τριγμοῦ τῶν ὀδόντων, ἐφαίνετο ὅτι βροχὴν πυρὸς ἐξαίσιον βρέχει ἐκ τοῦ, ὡς Σελήνης, προσώπου αὐτοῦ [6].

59. Ἡ μέντοι σύνοδος, ἣ διεταράττετο ταῖς ἐκ θυμοῦ ἀγρίαις

---

1. Τουτέστι σκληρὸς καὶ δυνατὸς μηρός.

2. Ὁ Ἀσβατάμας ἦν οὗτος.

3. Ἐχθρὸς τοῦ Ἔρωτός ἐστιν ὁ Σίβας, ὃς κατέκαυσεν αὐτόν.

4. Πατὴρ τοῦ Ἔρωτός ἐστιν ὁ Βισνοῦς, ὅς ἐστιν ὁ Κρισνᾶς.

5. Τὸ ἐρυθρὸν χρίσμα ἐννοεῖ, ὃ εἶχεν ἐν μετώπῳ. — Ἴσως ἐστὶν ἡ Τιλακά.

6. Τό πρόσωπον ἐκλαμβάνεται ὡς Σελήνη· ἀπαίσιον δὲ ἐκ τῆς Σελήνης πῦρ ἐξιέναι, ἢ ἀμβροσίαν ῥέει.

φωναῖς πολλῶν βασιλέων, καθάπερ ὀγκηθμοῖς ὄνων, ἐθεωρεῖτο ὑπὸ τοῦ Κρισνᾶ ὄμματι ἱλαρῷ.

60. Γνοὺς δὲ ὁ Κρισνᾶς, ὡς ὁ βαρύμηνις Δουριοδάνας συλλαβεῖν αὐτὸν βούλεται, ἔχων βρόχον ἀνὰ χεῖρας, τοῦ Σατεκῆ τοῦτο ἐκδηλώσαντος, θείαν μορφὴν ἔλαβεν ἐξάπινα.

61. Φέρων δὴ ἐπὶ μὲν τοῦ μετώπου τὸν Βραχμᾶν καὶ τὸν λαμπρὸν οὐρανόν, ἐπὶ δὲ τῆς κορυφῆς ἀκάματον πῦρ φλέγον, εἰς ἔκπληξιν καὶ φόβον ἤγαγε τοὺς ἐν συνόδῳ.

62. Φοβερὸς ἦν ἓξ ὄφεων πολλῶν, περιπεπλεγμένων δίκην ὅρμων περὶ τὸν τράχηλον τοῦ Σίβα [1], ὃν ἔφερεν ἐπὶ τοῦ στήθους, οἳ ἀπεδείκνυον πλείονας τοὺς πολλοὺς αὐτοῦ βραχίονας [2].

63. Ἐν ἑκάστῃ δὲ χειρὶ πολυειδῆ εἶχεν ὅπλα, λαμπρὰ καὶ δειμαλέα, ὥσπερ βουλόμενος ἀνελεῖν καθάπαξ ἁπαξάπαντας τοὺς ἐχθροὺς τοῖς παντοειδέσιν ὅπλοις.

64. Ἐκ δὲ τοῦ στόματος ἐξῆγε πολλάκις πολλοὺς ἀπογόνους τοῦ Βρισνῆ [3] καὶ τοῦ Πανδοῦ, πυροειδεῖς καὶ πλήρεις δυνάμεως δυσανασχέτου, εἰς ἐξολόθρευσιν τῆς στρατιᾶς τῶν ἀπηνῶν Καουραβῶν.

65. Ἰδόντες τοῦτον οἱ Καουραβαὶ, οὗ διὰ τοῦ ἠνεῳγμένου στόματος καὶ φαραγγώδους λάρυγγος ἐφαίνοντο ἐν τοῖς ἐντοσθίοις οἱ τρεῖς κόσμοι, καταπλαγέντες, δεινὰς φωνὰς ἐξηρεύγοντο.

66. Καὶ ὑπὸ μὲν τοῦ Δρόνα, καὶ Βήσμα, καὶ Βιδούρα, καὶ Σανζαΐα ἐωρᾶτο χαρᾷ· ὑπὸ δὲ τοῦ Ἴνδρα καὶ τῶν λοιπῶν οὐρανίων θεῶν ὑμνεῖτο, εἰς ἐξιλέωσιν τοῦ θυμοῦ αὐτοῦ.

67. «Σοῦ ἐκ τῆς κοιλίας ἐξῆλθεν ὁ Βραχμᾶς, οὗ θυγάτηρ

---

1. Τὸν μὲν Βραχμᾶν εἶχεν ἐπὶ τοῦ μετώπου, τὸν δὲ Σίβαν ἐπὶ τοῦ στήθους.

2. Πολλοὺς βραχίονας εἶχεν, ὡς μορφὴν θείαν λαβών· ὁ γὰρ θεὸς λέγεται χιλιοβραχίων καὶ χιλιόχειρ, διὰ τὸ παντοδύναμον· ὅθεν περὶ τὸν τράχηλον τοῦ Σίβα μακροειδεῖς ὄφεις ἐφαίνοντο, ὡς ἄλλοι βραχίονες.

3. Βρισνὴς, ὄνομα προγόνου τῆς γενεᾶς τοῦ Κρισνᾶ.

» ἐστὶν ἡ ἔφορος τοῦ λόγου Σαρασβατή· ταύτης τῇ ὀλίγῃ
» χάριτι ὁ ὢν σοφὸς, πῶς δύναται ὑμνῆσαί σε κατ' ἀξίαν ;

68. « Καθὼς, καί τοι ὁ τριττὸς κόσμος ἐν τῇ σῇ ἐστι κοιλίᾳ,
» οἰκεῖς ὅμως ἐν ταῖς καρδίαις ἡμῶν, αἵ εἰσιν ὡς ἄτο-
» μα [1], οὕτω γίνῃ, ὅταν δοκῇ σοι, ὑποκείμενον καὶ τῇ
» ἡμετέρᾳ γλώττῃ [2], καὶ ὑμνοῦμέν σε, χαίροντες [3].

69. « Τίς ἀγαθὸς αὐτὸς ἑαυτὸν ἐπαινεῖ, ὅτε καὶ ὁ παρ' ἄλ-
» λων γινόμενος ἔπαινος οὐκ ἀρεστὸς δοκεῖ τοῖς ἀγαθοῖς;
» διὰ τοῦτο, σὺ ὁ ὢν αὐτὸς ὁ τριττὸς κόσμος, οὐ δίδως
» γνῶσιν εἰς ἔπαινόν σου κατ' ἀξίαν [4].

70. « Τί γὰρ σοὶ ἐκ τοῦ πρὸς σὲ ἐπαίνου; ἵλεως οὖν γενοῦ σὺ
» ὁ φιλευσεβὴς, ὁ ἔχων τὴν Λαξμὴν, ὡς τὸ νέφος τὴν
» ἀστραπήν [5]· ἄφες τὸν θυμὸν τοῦτον σὺ, ὁ ὢν ἡ ἀναψυ-
» χὴ τοῦ κόσμου.

71. « Τί ὀργίζῃ ἐναντίον τῶν Καουραβῶν σὺ, ὁ διατεμὼν εἰς
» λεπτὰ τῇ ἀξίνῃ τὰς χεῖρας τοῦ Τιτᾶνος Βάνα [6]; τί
» ὀργίζῃ σὺ, οὗ ἐκ τοῦ προσώπου φυγοπόλεμος ἐγένετο ὁ
» Σίβας [7], ἰδὼν διὰ τοῦ ἐν τῷ μετώπῳ ὀφθαλμοῦ τὰ ἐν
τῷ μετώπῳ γεγραμμένα [8];

---

1. Ἡ διάνοια, λέγουσιν, λεπτή ἐστιν, ὡς ἄτομον.

2. Τουτέστι σὺ δύναμιν δίδως ἡμῖν λόγου, χαριζόμενος, ὅταν εὐδοκῇς.

3. Δηλ. ὑμνεῖν σε τολμῶμεν.

4. Ἐπειδὴ σὺ εἶ τὸ πᾶν, διὰ τοῦτο οὐ δίδως δύναμιν λόγου, ἵνα μὴ δοκῇς, ὅτι σὺ αὐτὸς σεαυτὸν ἐπαινεῖς.

5. Μέλας ὁ Κρισνᾶς, καθὼς τὸ νέφος· καθὼς τὸ νέφος λαμπρύνεται τῇ ἀστραπῇ, οὕτω καὶ σὺ τῇ λαμπρᾷ Λαξμῇ.

6. Βάνας, Τιτὰν πολυδύναμος, ὃς ἐν πολέμῳ χιλίας χεῖρας εἶχε, καὶ λατρευτὴς ἦν τοῦ Σίβα.

7. Τούτῳ (τῷ Βάνᾳ) ἐβοήθησεν ὁ Σίβας ἐν πολέμῳ ἐναντίον τοῦ Κρισνᾶ, ἀλλὰ φυγοπόλεμος ἐγένετο, γνοὺς, ὡς ἐκεῖνος νικηθήσεται ὑπὸ τοῦ Κρισνᾶ.

8. Ἔγνω δηλ. ὅτι γεγραμμένον ἦν, ὡς ὑπ' ἐκείνου νικηθήσεται ἐκεῖνος ὁ Βάνας.

72. « Σὺ ὀργίζῃ κατὰ τῶν Καουραβῶν, καὶ ἡμεῖς οἱ θεοὶ » λίαν φοβούμεθα· μὴ δὴ ὀργίζου· ἕνα γὰρ οἶκον καῖον τὸ » πῦρ, φόβον δίδωσιν ἁπάσῃ τῇ πόλει. »

73. Οὕτως ἐξιλεωθεὶς ὑπὸ τῶν περὶ τὸν Ἴνδραν θεῶν, καὶ τιμηθεὶς ὑπό τε τοῦ Δρόνα καὶ Βήσμα καὶ Βιδούρα, ἀπῆλθεν ἐκ τῆς συνόδου ὁ Κρισνᾶς.

74. Ἐξελθὼν δὲ τῆς συνόδου, καὶ λαβὼν ἄδειαν παρὰ τῆς Πριτᾶς, ἐξῆλθε καὶ τῆς πόλεως· ἔνθα καλέσας τὸν Καρνᾶν, ἔφη αὐτῷ, ὅτι ἡ γέννησις αὐτοῦ ἐγένετο, ὡς ἄδεται, ἐξ ἐκείνης τῆς Πριτᾶς.

75. Μαθὼν δὲ τὰ τῆς ἑαυτοῦ γεννήσεως ἐκ τῆς Πριτᾶς ὁ Καρνᾶς, ἔφη δεινοπαθῶς· « Οὐαί μοι! ὅτι ὑπ' ἐμοῦ το- » σαύτη θλῖψις ἐγένετο τοῖς ἀδελφοῖς μου ἐκείνοις, ἀγνο- » οῦντος.

76. « Οἴμοι! ὅτι ὑπ' ἐμοῦ, χαίροντος, ἐωρᾶτο τότε ἡ Δραου- » παδὴ θλιβομένη! Οἴμοι! ὅτι ἐγκαταλιπὼν τοὺς ἀδελ- » φοὺς, ᾠκειώθην τοῖς ἐκείνων ἐχθροῖς! »

77. Πρὸς ὃν, ἠλλοιωμένον τὴν ὄψιν ἐκ τῆς ἀναπολήσεως τοιούτων ἀμπλακημάτων [1], καὶ τεθλιμμένον μεταμε- λείᾳ, λόγια ἔλεξεν ὁ Κρισνᾶς [2] λευκὰ, ὡς τὰ κύματα τῆς Γαγγᾶς, τῆς ῥεούσης εἰς τοὺς τρεῖς κόσμους, οἵ εἰσιν ἐν τῇ γαστρὶ αὐτοῦ·

78. « Μὴ ἐγκάλει αὐτὸς σεαυτῷ, Καρνᾶ· ἔγκλημα γὰρ ἔστι » σοι οὐδέν· ἀγάπα δέγε νῦν τοὺς οἰκείους ἀδελφούς· οἱ » γὰρ περὶ τὸν Ἰνδιστίραν πρυσκυνήσουσί σε, ὡς πρεσβύ- » τερον ἀδελφὸν, καὶ ἁρμόζοντα βασιλείᾳ.

79. « Καὶ ἐκεῖνοι μὲν οἱ ἀδελφοί σου δυσνίκητοι ἔσονται τοῖς » ἐχθροῖς, ὦ γενναῖε, συνόντες σοὶ τῷ πρεσβυτέρῳ ἰσχυρῷ

---

1. Αὐτολεξεὶ, ἀναπωλοῦντα τοιούτων ἐγκλημάτων, στιγμάτων.
2. Αὐτολεξεὶ, ὁ ἐπὶ τῆς θαλάσσης κοιμώμενος.

» ἀδελφῷ· ἡ δὲ Πριττὰ ἡ μήτηρ σου χαρὰν ἕξει, ὅτι
» ἅπαντες οἱ υἱοὶ αὐτῆς ζήσονται [1].

80. « Πρὸς δὲ τούτοις σοῦτε καὶ τοῦ Ἀρζούνα ἀπεχόντων
» τῆς ἀλληλομαχίας καὶ τοῦ ἀλλήλων ὀλέθρου, ὡς γνώ-
» μην ἐποιήσατε, φιλία ἔσεται, ὦ γενναῖε, καὶ τῷ χι-
» λιοφθάλμῳ Ἴνδρᾳ, καὶ τῷ χιλιάκτινι Ἡλίῳ [2].»

81. Τοιαῦτα εἰρηκότος τοῦ ἐχθροῦ τῶν Τιτάνων Κρισνᾶ, ὁ
βασιλεὺς τῆς Ἄγγας λόγον ἐξηρεύξατο στένων· « Πῶς ἐγὼ
» νῦν, εἰπέμοι, βοηθήσω τοῖς ἀδελφοῖς ἐν καιρῷ ἀναφα-
» νέντος πολέμου [3];

82. « Ἐὰν ἐγκαταλίπω ἤδη ἐν καιρῷ ἀνάγκης τοῦτον τὸν
» Δουριοδάναν, ὃς ἔχθραν ἔχει πρὸς ἐκείνους τοὺς νικητὰς,
» λογιζόμενος ἐμὲ ἄριστον ἐν πολέμῳ, καὶ εὐμενῆ ἐκ
» παιδικῆς ἡλικίας, ἡ καρδία μου διαῤῥήγνυται αἰσχύνῃ.

83. « Οἱ γινώσκοντες τὸ ὀρθὸν καὶ τὸ δίκαιον, ἰδόντες ἐμὲ,
» τὸν ἄκρον φίλον καὶ πιστὸν ἑταῖρον, ἐγκαταλιπόντα τὴν
» φιλίαν τοῦ Δουριοδάνα, καὶ προσελθόντα τῷ Ἰνδιστίρᾳ,
» παράδειγμα ἕξουσιν ἐμὲ τῆς ἀπιστίας, ὡς γυναῖκα [4].

84. « Καὶ οἱ ἀδελφοὶ γίνονται ἐχθροὶ, ἐξ ἐπιθυμίας ὀλίγου
» πλούτου· μόνος δ' ὁ φίλος ἔχει τὰ πρωτεῖα [5], ἐξ οὗ ἡ
» ζωὴ τοῦ κόσμου ἀπῃωρημένη ἐστίν [6].

85. « Ὤ! εἰ ἐγὼ ἐγκαταλίποιμοι τὸν Δουριοδάναν, τίς ἐξε-

---

1. Εἰ γὰρ σὺ εἶ ἐκ τοῦ ἐναντίου μέρους, ἢ σὺ θνήξῃ ὑπό τινος τούτων, ἢ ὑπὸ σοῦ τις τούτων θνήξεται.

2. Οἱονεὶ ἔλεγεν· εἰ ὑμεῖς ἐπὶ γῆς πολεμήσετε, καὶ οἱ πατέρες ἡμῶν ἐν οὐρανῷ πολεμήσουσιν, ὅ,τε Ἴνδρας καὶ ὁ Ἥλιος.

3. Δηλ. ἔσομαι ἀχάριστος τῷ Δουριοδάνᾳ.

4. Ὅσην ἀγάπην δεικνύει ἡ γυνὴ, οὐ δεῖ πιστεύειν αὐτῇ.

5. Δηλ. ὑπέρτερός ἐστιν ὁ φίλος καὶ τῶν συγγενῶν.

6. Ἐξ οὗ ἡ ζωὴ τοῦ κόσμου ἀπῃωρημένη ἐστί· ἐκ φιλίας γὰρ ἵσταται ὁ κόσμος.

» λάσει τὴν ἐν καρδίᾳ μεγάλην λύπην τοῦ ἀνθρώπου, » τοῦ κόσμου ἀποστρέψαντος τὸ πρόσωπον ἀπὸ τῆς φι- » λίας[1];»

86. Τοιαῦτα φαμένου τοῦ γενναίου Καρνᾶ, καὶ ἐπαινεθέντος ὡς ὀρθῶς εἰρηκεν, ἀσπασάμενος αὐτὸν ὁ Κρισνᾶς ἀνεχώρησε· καὶ σπεύσας πρὸς τὸν Ἰνδιστίραν, ἐγένετο αἴτιος τῆς ἐκστρατείας, εἰς πόλεμον ὀλέθριον τῆς δόξης τῶν Καουραβῶν.

Τέλος τοῦ Δευτέρου Κεφαλαίου,
τοῦ Πέμπτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ,

ὃ διαλαμβάνει τὴν ἐκστρατείαν τῶν Πανδοϋδῶν.

1. Διαφυλάττοι τὸν κόσμον ὁ Θεὸς, ὁ ἐνανθρωπήσας ὑπὸ τὸ σῶμα τοῦ ὁσίου Βεάσα, ὃς, πονήσας λίαν διὰ πῶν πολλῶν ἐπὶ γῆς παρουσιῶν ἑαυτοῦ εἰς ἀναίρεσιν τῶν Τιτάνων, εἰσέδυ τὴν ἀμβροσίαν γαλήνην[2] γαλήνην καὶ ἄνεσιν ἑαυτῷ ποιῆσαι βουλόμενος.

2. Προετοιμασθεὶς οὖν κατὰ τὸν νόμον ὁ βασιλεὺς Ἰνδιστίρας ὑπὸ τοῦ Κρισνᾶ εἰς πόλεμον καὶ ὄλεθρον τῶν ἐχθρῶν,

1. Οὐδεὶς ἔπειτα φιλίαν σέβεσθαι μέλλει.

2. Ἡ ἀμβροσία γαλήνη ἐστὶν ὁ Βεάσας· ὑπὸ γὰρ τούτου τὴν μορφὴν ἡ τοῦ θεοῦ παρουσία οὐδένα ἀνεῖλεν· φιλόσοφος γὰρ ἦν ὁ Βεάσας καὶ οὐχὶ πολεμικὸς, ὡς ὁ Κρισνᾶς, καὶ ὁ Ῥάμας.

ἀνέβη ἐπὶ τὸ ἅρμα, ἐκστρατεῦσαι σκοπῶν εἰς Κουρουξέτραν.

3. Περιεῖπον δὲ τοῦτον ἅμα οἱ τέσσαρες εὔψυχοι ἀδελφοὶ, καθὼς τὴν τοὺς πολεμίους πλήττουσαν προβοσκίδα τοῦ οὐρανίου ἐλέφαντος οἱ τέσσαρες ὀδόντες, οἱ νίκην ποιοῦντες ἐν πολέμῳ.

4. Παρείποντο δ' αὐτῷ καὶ ὁ Βιράτας, ὁ Πανδέας, ὁ Δρουπάδας, καὶ ἄλλοι ὁμοῦ βασιλεῖς κραταιοὶ, φοβεροὶ ὄντες ταῖς χερσὶν, αἳ εἶχον τόξα, ὡς ὀφρύας [1], ἐπηρμένας δεινῶς ἐκ θυμοῦ, εἰς ἀπώλειαν τῶν πολεμίων στρατῶν.

5. Συνῆλθον δ' οὗτοι, ἔχοντες στράτευμα τετραειδὲς [2] μίξαντες τὴν ἰδίαν εὔκλειαν, τὴν ἀβρὰν, ὡς τὴν νεογενῆ Σελήνην, τοῖς ῥείθροις τῆς ἐν οὐρανῷ Γαγγᾶς, ἥ ἐστιν ἡ ἀναπεπταμένη ἑκάστου σημαία [3].

6. Ὁ δὲ Κρισνᾶς ἐωρᾶτο πρὸς τῶν θεῶν ἀσμένως προηγούμενος, ἔχων τὴν πολεμικὸν δίσκον ἀνὰ χεῖρα, ἐννοῶν τὸν θάνατον τῶν ἐχθρῶν, καὶ ἔκλαμπρος ὢν ὑπὲρ πάντας.

7. Οὗτος ὁ πολὺς στρατὸς τίνι ἄλλῳ σύγκρισιν λάβοι ἂν κατὰ τὸν πρὸς τοὺς ἐχθροὺς ἐμπρησμὸν καὶ κατὰ τὸ βάθος [4], οὗ προεπορεύετο καὶ τὸ πῦρ τοῦ Ὠκεανοῦ [5], καὶ αὐτὸς ὁ Ὠκεανὸς, τουτέστιν ὁ Κρισνᾶς [6] καὶ ὁ ἐκείνου πολεμικὸς δίσκος [7];

---

1. Τὰ τόξα ἦσαν ὡς ὀφρύες ἐπηρμέναι τῶν χειρῶν.

2. Ἐλεφαντικὸν, ἁρματικὸν, ἱππικὸν, καὶ πεζικόν.

3. Λευκὴ ἡ σημαία, ὡς τὸ ὕδωρ τῆς Γαγγᾶς.

4. Ἀσύγκριτος δηλ. ἦν τῇ δυνάμει τὸ στράτευμα τοῦ Ἰνδιστίρα, ἔχον τοιοῦτον ἡγούμενον, τὸν Κρισνᾶν, μετὰ τοῦ θαυμαστοῦ ὅπλου, τοῦ τροχοῦ.

5. Αὐτολεξεὶ, τὸ πῦρ τῆς θαλάσσης.

6. Κυανόχρους γὰρ ἦν ὁ Κρισνᾶς, ὡς ὁ Ὠκεανός.

7. Κατέκαιε γὰρ τοὺς ἐχθροὺς ῥιπτόμενος ὁ τοῦ Κρισνᾶ πολεμικὸς δίσκος.

8. Τοῦ μὲν οὖν Ἡλίου ὄντος εἰς τοὐπίσω [1], ὥσπερ νικηθέντος τῇ λαμπρότητι τοῦ Ἰνδιστίρα, τῆς δὲ Σελήνης εἰς τὸ πρόσω, ἐκ τῆς χαρᾶς πως τῆς ἐξόδου τῶν ἑαυτῆς ἀπογόνων, τοῦ δὲ Ῥαχοῦ καὶ τῆς Ἰογινῆς [2] ἀφέντων τὸ πρόσω ἐκ φόβου πως, τοῦ μὲν Ῥαχοῦ ὄντος ἐκ δεξιῶν, τῆς δὲ Ἰογινῆς ἐξ ἀριστερῶν,

9. Ὁ μὲν κόγχος ἐνεπνέετο ὑπὸ τοῦ Κρισνᾶ εἰς ἀγαθὸν καὶ αἴσιμον τέλος [3], αἰσθομένου τὸν ἀριστερὸν μυκτῆρα καθαρῶς εἰσπνέοντα [4], τὸ δ' ἅρμα τοῦ βασιλέως Ἰνδιστίρα ἠλαύνετο ὑπὸ τοῦ ἡνιόχου.

10. Φερώνυμος δὲ τότε ἐγένετο ὁ Τραγιτανοῦς [5] Ἥλιος, οὗ ἐν ἅρματι ἠχὼ ἐγένετο τῆς φωνῆς τῶν τριῶν Βεδῶν, ἃς ἀνεγίνωσκον μεγαλοφώνως πολλοὶ Βραχμᾶνες, χαίροντες, ἅτε πολλὰ δωρήματα λαβόντες.

11. Ὁ δ' ἦχος τῶν τυμπάνων [6] ἐν τῇ κινήσει τοῦ στρατοῦ, ἐμβαίνων τοῖς ὠσὶ τῶν στρατιωτῶν, ἐξήρχετο διπλασίως ἐκ τῶν στομάτων αὐτῶν, ὅπερ συμπεραίνεται ἐκ τοῦ ἐνθουσιαστικοῦ ἀλαλαγμοῦ.

12. Ἡ μὲν δὴ στρατιὰ, ἡ ἀγαπῶσα τὸν βασιλέα, ὡς ἀγαθὴ γυνὴ τὸν ἑαυτῆς ἄνδρα, ἥψατο τῆς ὁδοῦ, ἔχουσα τὰς

---

1. Ἐν τοῖς ἑξῆς λέγει, ὅτι αἴσια ἦν πάντα, ὅτε ἐξῆλθεν ὁ στρατός.

2. Ἄστρα ἀπαίσια παρὰ τοῖς ἀστρολόγοις· ὁ Ῥαχοῦς καὶ ἡ Ἰογινὴ δαίμονες ἀπαίσιοί εἰσιν.

3. Ἡ ἔμπνευσις τοῦ Κόγχου αἰσία· ἔστι δὲ σημεῖον τῆς κινήσεως τοῦ στρατοῦ.

4. Ὁ μὲν Ἥλιος ἐν τῷ δεξιῷ μυκτῆρι, ἡ δὲ Σελήνη ἐν τῷ ἀριστερῷ· μυκτηροπνοησκοπία τοῦτο. Ἀγαθὸν σημεῖον ὅτε εἰσπνέει ὁ ἀριστερὸς μυκτήρ· ὁτὲ μὲν γὰρ ὁ δεξιὸς, ὁτὲ δὲ ὁ ἀριστὸς εἰσπνέει.

5. Τραγιτανοῦς, ἐτυμολογικῶς, Τρισώματος, διότι ἐν ταῖς τρισὶ Βέδαις ὑμνεῖται.

6. Ἡ τῶν ἁρμάτων πάντων.

μὲν ἐπὶ τοῦ μετώπου κούμβας τῶν ἐλεφάντων, ὡς μαστοὺς, τοὺς δὲ περιφερομένους τροχοὺς τῶν ἁρμάτων, ὡς ἐνώτια, τοὺς δὲ ταχεῖς ἵππους, ὡς ὀφθαλμούς [1].

13. Οἱ δὲ πολῖται τῆς Οὐπαπλαβέας [2] ἦσαν ἱστάμενοι ἐπὶ τῶν θυρῶν, καὶ θυρίδων, καὶ στεγῶν τῶν οἴκων, καὶ ἐν ἑκατέροις μέρεσι τῶν ἀγυιῶν, θεωροῦντες τὸν βασιλέα λίαν ἀτενῶς, μὴ καμμύοντες τοὺς ὀφθαλμοὺς, ὡς θεοί.

14. Ἠγλαΐζετο δ' ὁ ἀγαθὸς καὶ λαμπρὸς βασιλεὺς κόκκοις ὀρύζης πεφρυγμένης, ῥιπτομένοις ἐκ τῶν χειρῶν τῶν ἐπὶ τῶν ὑψηλῶν δωμάτων γυναικῶν, ὡσπερεὶ ἐῤῥιπίζετο ὑπὸ θεαινῶν οὐρανίαις βοείαις οὐραῖς [3].

15. Ἡ μεγάλη στρατιὰ ἐν μὲν τοῖς στενωποῖς ἦν συνημμένη καὶ συνεσταλμένη· ἐξελθοῦσα δὲ τοῦ τείχους τῆς πόλεως [4], ἦν ἐκτεταμένη καὶ πλατεῖα, καθὼς τὸ συνιστάμενον πολὺ ὕδωρ, διαλυθέντος τοῦ φραγμοῦ.

16. Πορευομένη ἡ στρατιὰ ἐφαίνετο, ὡς ἀκόντιον [5], ἀναιρετικὸν τῆς ζωῆς τῶν ἐχθρῶν, παχεῖα μὲν οὖσα ἔμπροσθεν καὶ ὄπισθεν, λεπτὴ δὲ ἐν τῷ μέσῳ, κατὰ τὴν πύλην τῆς πόλεως.

17. Ἔχων δ' ὁ στρατὸς ἐν μέσῳ τὸν δίκαιον Ἰνδιστίραν, καθὼς ὁ θεωρητικὸς [6] ἐντὸς (ἐν ἑαυτῷ) τὴν θείαν γνῶσιν, ἐβάδιζεν ἡσύχως, ἄνευ τοῦ κόπτειν ἐκ τῶν δένδρων βλαστόν τινα ἢ κλάδον.

18. Πολὺς δ' ἐγένετο ὁ στρατὸς ἐκ πολλῶν πολυαρίθμων

---

1. Προσωποποιεῖ τὴν στρατιὰν, ὡς γυναῖκα.
2. Οὐπαπλαβέα, ἡ πόλις ἐξ ἧς ἐξῆλθεν ὁ βασιλεύς.
3. Λευκὴ ἡ πεφρυγμένη ὄρυζα, λευκὴ καὶ ἡ ῥιπίς.
4. Τὸ τεῖχος ἦν ὡς φραγμός.
5. Τὸ ἀκόντιον λεπτότερόν ἐστι κατὰ τὸ μέσον, ἔνθα ἐστὶν ἡ λαβή.
6. Οἱ θεωρητικοὶ καὶ ἀπαθεῖς ἐν Ἰνδίᾳ, οὔτε κλάδον ἢ βλαστὸν δένδρου κόπτουσιν, οὔτε βοτάνην, φρονοῦντες ὅτι ζωτικὴν ψυχὴν ἔχει ταῦτα.

ἄλλων στρατῶν βασιλέων, ἐξελθόντων ἐκ τῶν ἀγυιῶν τῶν πόλεων, καθὼς ὁ Ὠκεανὸς πολὺς γίνεται ἐκ πολλῶν πολυῤῥείθρων ποταμῶν, ἐκρεόντων ἐκ τῶν φαράγγων τῶν ὀρέων.

19. Πόῤῥω δὲ γεγονότος τῆς ὄψεως τῶν πολιτῶν τοῦ βασιλέως Ἰνδιστίρα, ἡ πόλις [1] ἐρήμη πως ἐγένετο ἐκ τῆς διαζεύξεως αὐτοῦ, καὶ γυμνή πως τὴν κεφαλὴν ἐφαίνετο ἐκ τῆς καταβάσεως πάντων τῶν θεατῶν ἀπὸ τοῦ ὑψηλοῦ τείχους.

20. Ὁ δὲ στρατὸς ἐβάδιζε σχολαίως, καὶ ἀνακάμπτων συνεχῶς τὸν τράχηλον, ἔτεινε τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν πόλιν, σκοπῶν πόσην ὁδὸν διήνυσεν.

21. Οἱ ἐλέφαντες [2] ἠγλαΐζοντο δίκην τοῦ Ἀϊραβάτα ἐν τῷ στρατῷ, ὃς ἦν ἄπειρος καὶ βαθὺς, ὡς ὁ Ὠκεανὸς, καὶ οὐκ ἐφοβεῖτο οὔτε θεοὺς, οὔτε δαίμονας [3], λίαν προμήκεις ἔχοντες ὀδόντας δύω, διπλασίους γεγενημένους τῶ ἐν τοῖς χρυσοῖς κοσμήμασι ἀνταυγάσματι [4].

22. Πορευομένου δὲ τοῦ στρατεύματος, οἱ μὲν ἐλέφαντες τῶν μερῶν τοῦ κόσμου [5] ἐφοβήθησαν ἐκ τῶν φωνῶν τῶν

---

1. Ἡ πόλις ἐστὶν, ὡς γυνὴ, τὸ δὲ ὑψηλὸν τεῖχος, ὡς κεφαλὴ, οἱ δ' ἐπὶ τοῦ τείχους θεωροὶ, ὡς κάλυμμα τῆς κεφαλῆς· ἡ γὰρ γυνὴ, ἀποδημοῦντος τοῦ ἀνδρὸς ἐρήμη γίνεται, ἕνεκα τῆς διαζεύξεως, καὶ ἀσκεπὴς τὴν κεφαλὴν, τοῦ καλύμματος πίπτοντος ἐκ λύπης καὶ μελαγχολίας.

2. Ἐν τοῖς ἑξῆς περιγράφει ὁ Ποιητὴς τὴν φύσιν καὶ τὸ ἦθος τῶν ἐλεφάντων.

3. Οὐκ ἐφοβεῖτο μὴ ἀναταραχθείη ὑπὸ θεῶν καὶ ὑπὸ Δαιμόνων, ὡς ὁ Ὠκεανὸς περιεδινήθη πρότερον.

4. Ἔθος γάρ ἐστι περιτιθέναι ψέλλια χρυσᾶ ἢ ἀργυρᾶ περὶ τοὺς ὀδόντας τοῦ ἐλέφαντος.

5. Μυθολογοῦσιν ὡς ἐπὶ τῶν τεσσάρων μερῶν τοῦ κόσμου τέσσαρας ἐλέφαντας ἡ γῆ ἔχει, εἰς τὸ μένειν ἐν ἰσορροπίᾳ· φυγόντων δὲ τῶν ἐλεφάντων ἡ γῆ οὐκ εἶχε τὸ ἰσόῤῥοπον, καὶ διὰ τοῦτο ἐσείετο, ἱσταμένη, ὡς ἐφ' ἅλου, ἐπὶ τῆς κορυφῆς τοῦ Δράκοντος Σέσσα.

ὀρωρύχων ἐλεφάντων τοῦ στρατοῦ, καὶ ἔφυγον· ἡ δὲ σφαίροειδὴς γῆ, ἡ ἱσταμένη, ὡς ἐφ' ἅλου, ἐπὶ τῆς κορυφῆς τοῦ βασιλέως τῶν ὄφεων, ἐσείετο.

23. Ἡ γῆ, ἡ λειποθυμήσασα πρὸ πολλοῦ τοῖς ὠμοῖς ἔργοις τοῦ Δουριοδάνα, τυχοῦσα ἤδη ραντίσματος ἐκ τοῦ χυμοῦ τῶν ἐλεφάντων, ὡς ὕδατος, καὶ ἀέρος ἐκ τῶν σαλευομένων ὤτων, ὡς ριπίδων, ἐκίνησεν ὀλίγον τὸ σῶμα [1].

24. Εἷς τῶν ἐν τῷ στρατῷ εὔφρων, κρατηθεὶς ὑπ' ἐλέφαντος, πάντων λεγόντων, ὡς ὁ ἄνθρωπος ἀπώλετο, ἐλύτρωσεν ἑαυτὸν εἰς θαῦμα παντὸς τοῦ στρατοῦ, δακὼν τὸν δάκτυλον τῆς προβοσκίδος τοῦ ἐλέφαντος· ἄοπλος γὰρ ἦν [2].

25. Ἕτερος δέ τις, ληφθεὶς ἀπρὶξ ἐκ τῆς κόμης τῇ προβοσκίδι τοῦ ἐλέφαντος, ἐρχομένου ὄπισθεν ἡσύχως, σπασάμενος τὴν μάχαιραν, καὶ διακόψας τὴν κόμην, ἐλυτρώθη εὐθέως.

26. Ἄλλος, λίαν ἰσχυρὸς, ἐλύτρωσε τὴν χεῖρα τῇ ἑτέρᾳ χειρὶ ἐκ τῆς χειρὸς τοῦ ἐλέφαντος, κρατηθεῖσαν ὑπ' αὐτῆς [3]· τῆς γὰρ χειρὸς τοῦ ἐλέφαντος κρατηθείσης στερεῶς ὑπ' ἐκείνου, ὁ ταλαίπωρος ἐλέφας τί ἠδύνατο ποιῆσαι, μίαν μόνην ἔχων χεῖρα [4];

---

1. Ἀνέλαβεν ὀλίγον καὶ ἀνέπνευσε, καθὼς ὁ λειποθυμήσας, ἀναψυχόμενος ὕδατι καὶ ριπίδι, κινεῖ τὸ σῶμα καὶ ἀναλαμβάνει.

2. Τοσοῦτον ἁπαλός ἐστιν ὁ δάκτυλος τῆς προβοσκίδος τοῦ ἐλέφαντος, ὥστε οὐδὲ μύρμηκος, ἐὰν δάκῃ, ἀνέχεται· διὰ τοῦτο λέγουσιν ὡς, ὅταν κοιμᾶται, τίθησιν ἐν τῷ στόματι τὸν δάκτυλον τῆς προβοσκίδος. Ἐν τῷ ἄκρῳ τοῦ δακτύλου δύω ῥώθωνές εἰσι, δι' ὧν ἕλκει τὸ ὕδωρ ἐν τῇ προβοσκίδι, καὶ ἔπειτα ἐγχέει αὐτὸ τῷ στόματι.

3. Διὰ τῆς μιᾶς χειρὸς, κρατήσας τὴν προβοσκίδα, ἐλύτρωσε τὴν ἑτέραν, ἣ ἐκρατήθη.

4. Παίζει πρὸς τὴν λέξιν ὁ Ποιητής· κάρα γὰρ λέγεται καὶ ἡ χεὶρ καὶ ἡ προβοσκίς.

27. Ἄλλος δέ τις ἄφοβος, ἱστάμενος πρὸ ἐλέφαντος ἐπερχομένου, ἀπεσόβει τὴν προβοσκίδα δι' ἱματίου, καὶ οὕτω ἥλλετο εἰς τὰ πλάγια καὶ ὀπίσθια τοῦ ἐλέφαντος, ταχὺς ὢν τοὺς πόδας, καὶ εὔστροφος καὶ ὀξὺς τὸ σῶμα.

28. Ἵνα δ' ἡ γῆ μὴ καταβυθισθείη εἰς τὸν καταχθόνιον κόσμον, βαρυνομένη τοῖς ἐλέφασιν, οἱ ἐν τῷ στρατῷ ἵπποι ἐποίησαν αὐτὴν ἐλαφρὰν τῇ ἐκ τῶν ποδῶν ἀνισταμένῃ κόνει [1].

29. Ἐν δὲ τοῖ θεοῖς, βλέπουσι τὴν πολλὴν κόνιν, τὴν ἀνισταμένην ἐκ τῆς κοπτομένης γῆς τοῖς ποσὶ τῶν θεόντων ἵππων, λόγος ἐγίνετο τοιοῦτος, ὡς ἡ θάλασσα ξηρὰ γῆ γενήσεται.

30. Ἵππου τινος θέοντος ἐν ἁμίλλῃ, ὁ ἕτερος ἵππος, ὑπερβὰς αὐτὸν δρόμῳ, ἐπήδησεν ἄνθρωπόν τινα, τυχόντα εἰς τὸ πρόσω, μηδέν τι παθόντα τὴν κεφαλὴν, ἢ ὅλως βλαφθέντα.

31. Ἵππος ἕτερος, ὑπερπηδήσας ταχεῖ δρόμῳ φρέαρ ἀπήδητον, καί περ τυφθεὶς μάστιγι, οὐκ ἐδάκη τὴν καρδίαν, θαυμάζων τὴν καρτερίαν τοῦ ἱππέως [2].

32. Ἄλλος τις ἵππος οὕτως ἔθεε τοῖς τρισὶ ποσὶν, ἔχων τὸν ἕνα ὑψοῦ, ὥστε θαῦμα γενέσθαι καὶ ἐν τῇ διανοίᾳ τῶν ζωγράφων περὶ τῆς γραφῆς τοῦ τοιούτου [3].

33. Ἄλλος ἵππος, εἰπὼν τοῖς ὄμμασι τῶν θεατῶν, «Δράμετε σὺν ἐμοὶ», τάχιον τοῦ ἀνέμου ἔδραμεν, ἀποκλείσας ὄπισθεν τὰ ὄμματα αὐτῶν τῶν θεατῶν τῇ ἐκ τῶν ποδῶν αὐτοῦ πολλῇ κόνει.

---

1. Ἐν τοῖς ἑξῆς περιγράφονται αἱ ἀρεταὶ καὶ ἅμιλαι ἵππων καὶ ἱππέων.

2. Ἐτύφθη εἰς τὸ πηδῆσαι, καὶ διὰ τοῦτο ἐθαύμασε τὴν καρτερίαν τοῦ ἱππέως, μηδαμῶς δυσχεράνας.

3. Οἱ ζωγράφοι ἠπόρουν πῶς ἂν γραφείη τοιοῦτος ἵππος οὕτω θέων.

34. Ἵππος τις, ὑπερβὰς ἕτερον ἵππον ἐν ἁμίλλῃ δρόμου, καίπερ ἀναχαιτιζόμενος, οὐκ ἀφῆκε τὸν δρόμον· ἔστη δέ ποτε, θλιβεὶς τὴν κοιλίαν τοῖς ποσὶ τοῦ γενναίου ἱππέως.

35. Δύω ἀγαθοὶ καὶ εὐφυεῖς ἵπποι ἁμιλλώμενοι ἀλλήλοις ἐπ' ἀγῶνος δρόμου, συνθέοντες ἐκ παραλλήλου εἰς τὸ πρόσω [1], ἐφαίνοντο ὡς ὀξυῤῥεπεῖς ὀφθαλμοὶ τῆς στρατιᾶς, ὡς εὐοφθάλμου γυναικός.

36. Ἑνὸς ἵππου, καίπερ μείναντος ὀπίσω ἐν ἁμίλλῃ δρόμου, ὁ ἕτερος, θυμοειδὴς ὢν, οὐκ ἀφῆκε τὸν δρόμον, βλέπων τὴν ἑαυτοῦ σκιὰν ἐπὶ γῆς, καὶ ἀκούων τοῦ ἐκ τῶν ποδῶν αὐτοῦ πατάγου [2].

37. Τὰ δ' ἅρματα [3], ἵππους ἀκαμάτους ἔχοντα, ἔτρεχον ἀκαταπαύστως, ἄνευ τοῦ προσπταίειν ποι τοὺς τροχοὺς, τῶν κατὰ τὴν ὁδὸν κοιλοτήτων πληρωθεισῶν τῆς ἐξανισταμένης κόνιος τῆς κοπτομένης γῆς, ὡς ἀξίναις, ταῖς ὁπλαῖς τῶν ἵππων.

38. Ἐρωτικῶν δ' ἔργα ἐποίουν τὰ ἅρματα, τὴν μὲν γῆν [4] κοσμοῦντα ταῖς τροχαλιαῖς, ὡς νεοφανέσιν ἀγλαοῖς στεφάνοις· ἐν δὲ τῇ ἀγλαΐᾳ τοῦ αἰθέρος [5] ποιοῦντά πως τιλακὰς [6], αἵ εἰσιν αἱ σημαῖαι.

39. Παραβάτης τις, κόψας μακρόθεν ὀπώραν πέπειρον ἀπὸ δένδρου δι' ὀξέος βέλους, ἔλαβεν αὐτὴν ἐν χειρὶ πίπτουσαν, ἐλθὼν δρόμῳ τῶν ἐζευγμένων ἵππων.

40. Ἡνίοχός τις παρέδραμε τὸ ἅρμα τοῦ ἀνταγωνιστοῦ, πα-

---

1. Οὐθ' ὁ εἷς δηλ. οὐθ' ὁ ἕτερος ὑπερέβαινε.

2. Ἐνόμιζεν ὅτι ὁ ἀνταγωνιστὴς συντρέχει περὶ τὸ πλάγιον.

3. Ἐν τοῖς ἑξῆς περιγράφονται αἱ ἀρεταὶ καὶ ἅμιλλαι ἁρμάτων καὶ ἁρματηλατῶν.

4. Ἡ γῆ ὡς γυνή.

5. Ἡ ἀγλαΐα τοῦ αἰθέρος ὡς γυνή.

6. Τιλακὰ λέγεται τὸ ἐπὶ τοῦ μετώπου χρίσμα.

ροτρύνας τοὺς ἐζευγμένους ἵππους· ἐκ δὲ τῆς ταχύτητος ἀπολέσας τὰς ἡνίας, ἀναβὰς ἐπὶ τὸν ῥυμὸν, ἤλαυνεν ἀδιακόπως.

41. Ἕτερος ἡνίοχος, ἐλαύνων τοὺς ἵππους, καί περ ἐξελθόντος ἑνὸς τροχοῦ, καταβὰς ἀνέλαβε τὸ ἄκρον τοῦ ἄξονος, καὶ κρατῶν αὐτὸ τῇ χειρὶ, παρήλασε τὸν ἀνταγωνιστὴν, ὢν ὠκύπους, ὡς ἄνεμος.

42. Καί τις λίαν δυνατὸς ἡνίοχος, ἀποκαμόντων τῶν ἵππων αὐτοῦ, καὶ στάντων ἐν ὁδῷ, κρατήσας τὸ ἅρμα τοῦ ἀνταγωνιστοῦ θέον ὁρμῇ, ἔστησεν αὐτὸ ἰσχυρῶς.

43. Ἄλλος ἡνίοχος, ἐλάσας τοὺς ἵππους ταχύτητι δίκην ἀνέμου, καὶ παρελάσας τὸν ἀνταγωνιστὴν, διεφύλαξε τὸν παραβάτην ἀπὸ τῶν κλάδων προκειμένου δένδρου, τῇ περὶ τὴν ἡνιοχίαν ἐπιδεξιότητι.

44. Ἄλλος ἡνίοχος, ἐκ τοῦ μεγάλου πατάγου τοῦ θέοντος ἅρματος, μὴ ἀκούων τῆς φωνῆς τοῦ παραβάτου, οὗ τὸ ἱμάτιον συνεπλάκη τῷ τροχῷ, καὶ τὸ σῶμα αὐτοῦ πεσόντος εἱλκύετο, ἔλαβεν εἴδησιν παρ' ἄλλου ἀνθρώπου.

45. Δυσπόρου οὔσης τῆς πορείας ἐκ τῶν συνεχῶν ἁρμάτων, φιλονεικούντων δύω ἁρματηλατῶν, καὶ δεινὰς φωνὰς θυμῷ ἐκπεμπόντων καὶ ξιφουλκούντων, ὡς εἰς μάχην, ἐλθὼν εἰς τὸ μέσον ὁ ταξίαρχος, ἐπέσχεν αὐτοὺς πραέσι λόγοις.

46. Οἱ δὲ πεζοὶ στρατιῶται [1] προηγοῦντο θέοντες, ὡς ἅρματα, ὧν οἱ μὲν τρέχοντες πόδες ἦσαν ὡς ἵπποι, αἱ δ' ὄρθιαι ῥομφαῖαι ἐν χερσὶν, ὡς σημαῖαι [2].

47. Ἀνασκιρτῶντες δὲ, καὶ γυμνὰς μαχαίρας ἐν χερσὶν ἀνέχοντες, ἐφαίνοντο, ὡςπερεὶ ἔτεμνον εἰς τμήματα τὸν

---

1. Ἐν τοῖς ἑξῆς περιγράφει τὰ ἤθη καὶ ἀρετὰς τοῦ πεζικοῦ στρατοῦ.

2. Ἐπὶ τοῦ ἅρματος καὶ σημαία ἐστί.

αἰθέρα εἰς ἔκτασιν τοῦ κλέους τοῦ ἑαυτῶν δεσπότου [1].

48. Ἐν οὐδενὶ δ' ἐτίθεντο τοὺς τρεῖς κόσμους, γαύρως βαδίζοντες, στεντορίως ἀναβοῶντες, καὶ ἀλαλάζοντες, καὶ τὸν αἰθέρα ταῖς μαχαίραις κόπτοντες.

49. Καὶ αὐτὸς ὁ πάντολμος καὶ παντολέτωρ Ἰάμας, φοβηθεὶς ἐν καρδίᾳ, ἐλάβετο τῆς δεξιᾶς τῶν στρατιωτῶν [2], εἰς τὸ γενέσθαι σύμμαχος ἐν πολέμῳ, ὅπερ εἰκάζεται ἐκ τῆς ἀνὰ χεῖρας αὐτῶν μαχαίρας [3].

50. Ὁ στρατὸς, ἔχων ἐκ τῆς πολλῆς βίας ἓν ἐνώτιον καὶ μέλανα ἱμάτια ἐκ τῶν ἀπαυγασμάτων τοῦ περὶ τὴν ὀσφὺν ἀκινάκου, ἐφαίνετο ὡς Βαλαδέβας [4], ἕλκων τὴν Ἰαμουνὰν, ἥ ἐστιν ἡ μάχαιρα [5].

51. Καί τις στρατιώτης, ἀναρρίπτων ἐν ταὐτῷ πολλάκις τὸ ξίφος καὶ τὴν ἀσπίδα διὰ τῆς δεξιᾶς καὶ ἀριστερᾶς χειρὸς, ἐδέχετο αὐτὰ ἐναλλὰξ [6], καὶ ἐπηνεῖτο, ὡς λίαν ἔμπειρος καὶ γεγυμνασμένος.

52. Βουλόμενός τις καταπτοῆσαι εἰς ἀστειότητα παῖδα μαχαιροφόρον, ὃς ἐπεῖχε τὸν τόπον τοῦ τεθνεῶτος πατρὸς ἑαυτοῦ, ἐλθὼν ὄπισθεν ἀνεβόησεν ἐξαίφνης φοβερῶς· ὁ δὲ

---

1. Ἔτεμνον τὸν αἰθέρα, εἰς τὸ ἔχειν χώραν τὸ κλέος καὶ ἐν τῷ αἰθέρι.

2. Φοβηθεὶς δηλ. φιλίαν ἐποίησε μετ' αὐτῶν.

3. Μέλας γὰρ ὁ σίδηρος, ἐξ οὗ ἡ μάχαιρα, ὡς καὶ ὁ Ἰάμας, ὁ ἔχων σύμβολον τὸν Βούβαλον, καὶ θανατηφόρος ἡ μάχαιρα, ὡς καὶ ὁ Ἰάμας.

4. Ὁ Βαλαδέβας ἕνα εἶχεν ἐνώτιον καὶ μέλανα ἄμφια· καί ποτε, καρηβαρῶν ἐξ οἴνου, ὑπὸ δένδρον ἔκειτο· διψήσας δὲ εἵλκυσε διὰ τοῦ ἀρότρου τὴν Ἰαμουνὰν εἰς τὸ πιεῖν ὕδωρ. Ὅπλον αὐτοῦ ἦν τὸ ἄροτρον.

5. Μέλαινα γὰρ ἡ Ἰαμουνὰ, ὡς καὶ ὁ σίδηρος τῆς μαχαίρας.

6. Τὸ μὲν διὰ τῆς δεξιᾶς ῥιφθὲν ἐδέχετο διὰ τῆς ἀριστερᾶς· τὸ δὲ διὰ τῆς ἀριστερᾶς, ἐδέχετο διὰ τῆς δεξιᾶς.

παῖς, μηδαμῶς φοβηθεὶς, εἰς θάμβος ἤγαγε τοὺς στρατιώτας [1].

53. Ἕτερος στρατιώτης γενναῖος, ῥίψας εἰς ὕψος τὸ δόρυ, ἀναπηδήσας εὐθὺς, ἔλαβεν αὐτὸ τῇ χειρὶ, ἀναφερόμενον [2], θεωρούμενος μετὰ θαύματος ὑπὸ πάντων τῶν στρατιωτῶν.

54. Ἄλλος, κατασημήνας τοῖς εἰς τὸ πρόσω πορευομένοις ἀνθρώποις, ἔῤῥιψε τὸ ἀκόντιον, καὶ δραμὼν, ἔλαβεν αὐτὸ ἔμπροσθεν ἐν χειρὶ, ὡςπερεὶ ἐῤῥίφθη παρ' ἄλλου, διαφυλάττων τὸ πρόσωπον αὐτοῦ.

55. Τοῦ μὲν δὴ νικητοῦ βασιλέως πορευομένου, ὁ κόσμος ἐφαίνετο, ὅτι εἶχεν ἓν σκιάδιον ἐκ τῆς ἐξανισταμένης πολλῆς κόνιος ἀπὸ τοῦ πολλοῦ στρατοῦ, ἐπικαλυψάσης τὰς ἀκτίνας τοῦ Ἡλίου.

56. Ἡ γῆ, ἀποτιναχθεῖσα ὑπὸ τοῦ ὄφεως, ὑπὸ τῆς χελώνης, καὶ ὑπὸ τοῦ συὸς [3], ἐπειδὴ κατεπιέσθησαν τῷ βάρει τοῦ πολλοῦ στρατοῦ, ἀνέβη ἐπὶ τὴν κορυφὴν τῶν μεγάλων ὀρέων, ὅπερ συμπεραίνεται ἀπὸ τῆς ἐν αὐτοῖς πολλῆς κόνιος.

57. Τὰ ὄρη τριπλασίως ὑψηλὰ ἐγένοντο, τῶν μὲν ὑπωρειῶν διορυχθεισῶν εἰς βάθος ταῖς ὁπλαῖς τῶν πολλῶν ἵππων, τῶν δ' ἀκρωρειῶν ὑψωθεισῶν τῇ ἐπισωρευθείσῃ κόνει.

58. Οἱ ἵπποι τοῦ Ἡλίου, ὧν οἱ πόδες ἔρεισμα εἶχον τὴν βαθεῖαν καὶ παχεῖαν κόνιν, τὴν ἀνισταμένην μέχρι τοῦ οὐ-

---

1. Ἐκ τούτου δηλοῦται, ὡς καὶ οἱ παῖδες, οἱ ἐν τῷ στρατῷ, ἀνδρεῖοι ἦσαν.

2. Οὐχὶ ὅτε κατεφέρετο τὸ δόρυ, ἀλλ' ὅτε ἀνεφέρετο ἐλάμβανεν αὐτό· τὴν ὀξύτητα δὲ δηλοῖ καὶ κουφότητα τοῦ σώματος.

3. Οἱ μὲν λέγουσιν, ὅτι ἐπὶ τῇ κεφαλῇ δράκοντος ἵσταται ἡ γῆ· οἱ δὲ ἐπὶ τῶν νώτων χελώνης, οἱ δὲ ἐπὶ τοῦ ὀδόντος χοίρου.

ρανοῦ ἀπὸ τῆς πορείας τοῦ πολυαρίθμου στρατοῦ, ἤδοντο, νομίζοντες, ὅτι πατοῦσι κατὰ γῆς.

59. Καὶ ὁ νάνος ἄνθρωπος, διήκων ἐδράττετο τῶν ὀπωρῶν τῶν λίαν ὑψηλῶν δένδρων, πληρωθέντων ἀπὸ ῥίζης μέχρι τῶν κλάδων κόνιος, ἐξανισταμένης ἐκ τοῦ στρατοῦ.

60. Ἡ γῆ, καίπερ εἰς τὸν αἰθέρα ἀνελθοῦσα διὰ τῆς ἀνισταμένης κόνιος, ἆρα οὐκ ἦν Ῥατναγάρβα [1] διὰ τοῦ Ἡλίου καὶ διὰ τῆς Σελήνης, ἅ εἰσιν ὡς πολύτιμα κειμήλια; οὐδαμῶς γὰρ ἂν γένοιτο ψευδὲς τὸ ὄνομα τοῦ Βραχμᾶ, ὅπερ ἔθετο αὐτῇ [2].

61. Ἡ κατὰ πρῶτον ἀνεγερθεῖσα κόνις εἰς τὸν αἰθέρα ἐφαίνετο ὡς νέφος, ὃ ἔβρεξε βροχὴν, τῆς γῆς πηλώδους γεγενημένης τοῖς ἐκρέουσι χυμοῖς τῶν ἐλεφάντων.

62. Ὁ μὲν οὖν βασιλικὸς στρατὸς ἠγλαΐζετο ἐν τῷ κονιορτῷ, ὥσπερ ἐν οἴκῳ κινητῷ, ἔχοντι σημαίαν [3] τὴν ἐν οὐρανῷ Γαγγὰν, (ἢ τὸν γαλαξίαν), καὶ λόφον χρυσοῦν, τὸν δίσκον τοῦ Ἡλίου.

63. Ἐλαύνων δὲ ἠρέμα τοὺς εὐηνίους ἵππους, ἔχων ἅρμα ὁ ἡνίοχος ἐν ὁδῷ εὐθείᾳ καὶ ἐξισωμένῃ [4], ἔλεγεν ἐπὶ διατριβῇ πρὸς τὸν βασιλέα, θεωροῦντα γηθοσύνως τὸν στρατόν·

---

1. Ῥατναγάρβα λέγεται ἡ γῆ· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἔχειν ἐν κοιλίᾳ πολυτίμους λίθους. Οἱονεὶ ἔλεγεν· εἰ καὶ ἀνῆλθεν εἰς τὸν αἰθέρα ἡ γῆ, ἐν δὲ τῇ γῇ εὑρίσκονται πολύτιμα λιθάρια, τὸ ὄνομα ὅμως Ῥατναγάρβα, ὅπερ ἔλαβε παρὰ τοῦ ὀνοματοθέτου Βραχμᾶ, οὐκ ἀπώλεσεν· εἶχε γὰρ πάλιν πολύτιμα πράγματα, ἅ ἐστιν ὁ Ἥλιος καὶ ἡ Σελήνη, καὶ τὰ ἄστρα.

2. Ὁ Βραχμᾶς, καθὸ ποιητὴς, ἔστι καὶ ὀνοματοθέτης.

3. Ἐπὶ τοῦ οἴκου σημαίαν τιθέασι, καὶ ἐν τῷ μέσῳ τῆς στέγης μίαν σφαῖραν, ὡς κόσμημα.

4. Ὑπὸ τῶν ἀνθρώπων ἐξισώθη πρότερον.

64. « Ἰδὲ, ὦ βασιλεῦ [1], τοῦ ἵππου ἐκείνου ἐφορμῶντος ὅπι-
» σθεν δρομαίως, ἡ γυνὴ αὕτη, στρέψασα τὸ πρόσωπον
» ἐκ φόβου, τοσοῦτον ἐκίνησε τὸν ὀφθαλμὸν, ὥστε τὸν
» ἵππον πλησιάσαντα στῆναι αἰδοῖ πως [2].

65. Οὗτος ὁ ἐλέφας, ἀκούσας φωνῆς καμήλου, ὄπισθεν ἐρχο-
» μένης, ἔστρεψεν ἐπ' αὐτὴν θυμῷ· ἰδὼν δ' ἐποχουμένης
» γυναικὸς τοὺς δύο μαστοὺς, ἐφοβήθη, νομίσας αὐτοὺς
» ὡς προμετωπίους ἐξοχὰς ἄλλου ἐλέφαντος [3].

66. « Ἰδὲ, οὗτος καθήμενος ὑπὸ δένδρου κεκμηκὼς, οὐκ ἐπεί-
» σθη τῷ λόγῳ τοῦ φίλου ἀναστῆναι, ἐρχομένου μανικοῦ
» ἐλέφαντος· βλέπων δὲ τὸν ἐλέφαντα μανικῶς ἐπερχό-
» μενον, καὶ μὴ βλέπων τὸν φίλον ἀπέναντι, ἐφοβήθη καὶ
« ἔφυγε.

67. » Τῶν ἀνθρώπων λεγόντων ἐλεεινῶς, « Οὐκ ἔστιν ὅλως
« ἔγκλημα φόνου τῷ ἐλέφαντι, ἀλλὰ τῷ κακῷ ἐλεφαντη-
« λάτῃ, » ἡ γυνὴ αὕτη ἐσώθη ἀπὸ τοῦ ἐλέφαντος ὑπὸ
» τοῦ ἐλεφαντηλάτου, πλήξαντος αὐτὸν τῷ ἐλεφαντοπλή-
» κτρῳ [4].

68. « Ἀστεῖός τις, περισείων κλόνον δένδρου πρὸ προσώπου
» ἐλέφαντος, καὶ παροξύνων αὐτὸν εἰς θυμὸν, ἀποφεύγει
» πολλάκις τὴν ἐκτεινομένην προβοσκίδα, διαβαίνων διὰ
» τῶν τεσσάρων ποδῶν αὐτοῦ.

69. « Οὗτος, ὑπερπηδῶν ταχυτῆτι πολλὰ ἅρματα θέοντα, καὶ
» ἐκ τούτου ἐπαιρόμενος καὶ καυχώμενος, τυχὼν εἰς τὸ

---

1. Ἐν τοῖς ἑξῆς λέγει ἀστεῖα συμβάματα ἐν τῇ στρατιᾷ.

2. Τὸ ὀξύῤῥοπον ἐννοεῖ τοῦ ὀφθαλμοῦ, ταχυτέρου ὄντος καὶ αὐτοῦ τοῦ ταχέος ἵππου, ὃς, αἰδεσθεὶς ἔστη.

3. Ἐνόμισεν ὡς ἄλλος ἐλέφας ἐστὶ, καὶ διὰ τοῦτο ἐφοβήθη.

4. Φαίνεται ὅτι ἡ γυνὴ αὕτη ἐκρατήθη ὑπ' ἐλέφαντος· ὁ δ' ἐλεφαντη-
λάτης ἔσωσεν αὐτὴν, νύξας τὸν ἐλέφαντα τῷ σιδηρῷ πλήκτρῳ.

» πρόσω δύω καμήλων, στρεφομένων φόβῳ ἐλέφαντος,
» ὁρᾶται ὑπὸ τῶν στρατιωτῶν μετὰ κραυγῆς καὶ γέλωτος [1].

70. « Ὁ παραβάτης οὗτος, ἰδὼν τὴν τρίβον διοχλουμένην
» πολλαῖς ἁμάξαις, ἐλαύνει εἰς γῆν ἀνωφερῆ καὶ κατωφερῆ,
» καὶ χαίρει, περιλαμβάνων πολλάκις τὴν γυναῖκα, τα-
» ραττομένην, προσκρούοντος τοῦ τροχοῦ [2].

71. « Ὦ! οὗτος ὁ μέγας ἐλέφας ἔδραμε θυμῷ κατ' ἐλέφαν-
» τος θήλεος, ὄντος μακρὰν, νομίσας αὐτὸν ἄῤῥενα· αἰ-
» σθόμενος δ' ἐκ τοῦ πλησίον, ὅτι θήλυς ἐστὶν, ψαύει
» αὐτοῦ προσηνῶς τῇ προβοσκίδι.

72. « Οὗτος ὁ ἡμίονος, ὁ βαρεῖ φορτίῳ πεφορτισμένος, ὁ φο-
» νεύων τὴν μητέρα κἄπειτα γεννώμενος, ἰδὼν ὄνον καὶ
» ἵππον ὁμογενεῖς τοῖς ἑαυτοῦ γονεῦσι, φωνεῖ ὁμοιοφώ-
» νως αὐτοῖς. »

73. Ἡδύνων μὲν οὖν τὸν στρατὸν ὁ Ἰνδιστίρας βλέμματι ἱλαρῷ καὶ χαριέντι, ἑωρᾶτο ἡδέως πανταχοῦ ὑπὸ πάντων ἀθρόων, καίτοι πλειστάκις [3] ὡράθη.

74. Ἦκε δὲ ὁ στρατὸς πλησίον κώμης, δι' ὁδοῦ ἐχούσης ἑκατέρωθεν ἀρούρας, αἷς τὰ ἐνεσπαρμένα ἠρδεύοντο ἀφθόνως τοῖς ῥέουσι χυμοῖς τῶν ἐλεφάντων.

75. Οἱ δ' ἐν ταῖς ἀρούραις φύλακες, ἰδόντες ἵππους καὶ ἐλέφαντας, ἐφοβήθησαν καὶ κατεπλάγησαν, λέγοντες· « Ὦ! ποῦ τοσαύτη δύναμις, ὥστε διαφυλάξαι ταῦτα
» τὰ σπαρτὰ ἐκ τοιούτων μεγάλων χοίρων καὶ δορ-
» κάδων [4]· »

---

1. Οἱονεὶ ἔλεγον· « Πήδησον καὶ ταύτας, εἰ δύνασαι. »
2. Φαίνεται ὅτι καὶ γυνὴ ἦν ἐπὶ τῆς ἁμάξης πρὸς τῷ παραβάτῃ.
3. Αὐτολεξεὶ, ἑκατοντάκις καὶ μεταφορικῶς, πλειστάκις.
4. Μὴ ἰδόντες πώποτε, ἐνόμισαν τοὺς μὲν ἐλέφαντας χοίρους μεγάλους, τοὺς δὲ ἵππους δορκάδας.

76. Ὁ Κρισνᾶς, καίπερ νῦν ὢν βασιλεὺς, ἰδὼν κοράσια εὐειδῆ ἄνευ κοσμημάτων, ὄντα ἐν τοῖς ληΐοις, ἐπεθύμησε τῆς παιδικῆς ἡλικίας, ἐν ᾗ παιδιαὶ ἐν ἁπλότητι ἤθους γίνονται.

77. Τῶν δὲ γυναικῶν καὶ παίδων ἐρωτώντων πολλάκις περὶ τῶν ἐλεφάντων καὶ ἵππων, τί ἄρα εἴη ταῦτα, οὐδ' ὁ γέρων τῆς κώμης ἔδωκέ τινα ἀπόκρισιν, ἀγνοῶν καὶ ἐνασχολούμενος ἀεὶ πράσει βοῶν.

78. Ὁ στρατὸς ἅπας ἦν θεωρούμενος ἡδέως ὑπὸ τῶν ἐγκατοίκων ἀνθρώπων τῆς κώμης, ὄμμασιν ἀτενέσιν· ἡ δὲ ἐκτεταμένη γῆ, ἐν ᾗ κατεσκήνωσεν ὁ στρατὸς, ἐγένετο ἐξαίφνης κόσμος τῆς γῆς ἐρήμου.

79. Οἱ θήλυες πίθηκες, περιφέροντες πόαν [1] πρὸ τῶν τέκνων αὐτῶν, συμπεπλεγμένων τοῖς λαιμοῖς [2], ἔῤῥιπτον αὐτήν· ἡ δὲ πόα ἐκείνη ἦλος ἐγίνετο εἰς τὴν καρδίαν τῶν ἐν τῷ στρατῷ ἀτέκνων γυναικῶν.

80. Σκύμνοι λεαίνης, βαθὺν ὕπνον ὑπνούσης, ἐξανιστάμενοι ἐκ τῶν μαστῶν αὐτῆς, ἔτρεχον πολλάκις κατὰ τῶν ἐλεφάντων, καὶ ἤγοντο πρὸς τὴν μητέρα αὐτῶν ἀσμένως ὑπὸ τῶν παίδων τῶν στρατιωτῶν [3].

81. Ὁ μὲν ἔποχος [4] τῆς καμήλου ἦγε πολλάκις τὴν κάμηλον ἐπὶ τὴν Ἄμραν, βουλόμενος δράξασθαι ὀπωρῶν· ἡ δ' ἐπορεύετο εἰς τὴν Νίμβαν [5]· πόθεν δ' ἄρα ἓν

---

1. Περιέφερον τὴν πόαν εἰς ἀπαλλαγὴν τῆς βασκανίας, ὡς ἔθος ἐστὶ ταῖς γυναιξὶ περιφέρειν ἅλας ἢ σίνηπι πρὸ τῶν παιδίων.

2. Αὐτολεξεὶ, ἀπηωρημένων ἐκ τῶν λαιμῶν.

3. Ἐκ τούτου συμπεραίνεται, ὅτι καὶ οἱ παῖδες τῶν στρατιωτῶν γενναῖοι ἦσαν καὶ ἄφοβοι.

4. Αὐτολεξεὶ, ἀναβάτης καμήλου.

5. Δένδρον πικρόφυλλον, οὗ τῇ γεύσει χαίρει λίαν ἡ κάμηλος.

ἔργον ἐκτελεσθείη ὑπὸ δύω διαφερόντων τῇ γνώμῃ;

82. Τὰ δ' ὄρη διέβαινεν ὁ στρατὸς ἐν ἀνέσει καὶ εὐρυχωρίᾳ, ἐξισωθέντα ἐν τοῖς ἀνίσοις μέρεσιν ἐκ τῆς πολλῆς κόνεως, τῆς ἐκ τῶν ποδῶν τῶν ἵππων.

83. Ἀκουσθὲν δ' ἐν ὁδῷ, ὅτι τὸν δεῖνα ποταμὸν διαβάντες, ἐπὶ τὴν δεῖνα πόλιν ἀφίξεσθε, αἱ προκείμεναι μόνον πόλεις ἐβλέποντο ὑπὸ τοῦ στρατοῦ, οὐχὶ δὲ καὶ οἱ ποταμοί, οἳ ἐγένοντο ξηρὰ γῇ ἐκ τῆς πολλῆς κόνεως.

84. Πολλῶν δ' ὀρυγμάτων γεγενημένων πλησίον πόλεως ἐκ τῶν ποδῶν τῶν ἵππων, ἡ περὶ τὴν πόλιν τάφρος οὐ διεκρίνετο [1] ἀκριβῶς τοῖς ὀφθαλμοῖς τοῦ στρατοῦ ἐκ τῆς πεσούσης κόνεως.

85. Νέος τις ἐλεφαντηλάτης, ὁραθεὶς ἐρωτικῶς ὑπὸ γυναικὸς τῆς πόλεως, θεωρούσης τὸν στρατὸν, περιέλαβε τὰς προμετωπίους δύο ἐξοχὰς [2] τοῦ ἐλέφαντος, ἐμβλέψας αὐτῇ· ἡ δὲ φρίκην ἔσχεν [3].

86. Ἱππεύς τις νέος καὶ εὐειδὴς, ἐλαύνων τὸν ἵππον βάδην καὶ σοβαρῶς, ἐωρᾶτο ἐρωτικῶς ὑπὸ τῶν γυναικῶν τῆς πόλεως, ζηλοτυπίαν ἐχουσῶν πρὸς ἀλλήλας ἐν τῇ καρδίᾳ.

87. Ἕτερός τις ἦν βαδίζων σχολαίως καὶ σοβαρῶς, καὶ ἐμβλέπων γυναιξὶ τῆς πόλεως, αἳ ἵσταντο ἔνθα καὶ ἔνθα, θεωροῦσαι τὸν στρατὸν, λαμπρῶς κεκοσμημέναι.

88. Διαβὰς δ' ὁ ἀνδιστίρας κώμας, δάση, ὄρη, ποταμοὺς,

---

1. Οὐ διεκρίνετο δηλονότι πότερον, τάφρος ἐστὶν ἢ ὄρυγμα, ἐπειδὴ καὶ ἡ τάφρος ξηρὰ ἐφαίνετο ἐκ τῆς πεσούσης κόνεως.

2. Ὡς μαστούς.

3. Ἡ φρίκη πάθος ἔρωτος.

καὶ πόλεις, καὶ ἐν ἑκάστῳ τόπῳ συμμιγεὶς ἀπαραβλήτοις ἡγεμόσι μαχίμων στρατιωτῶν, ἀφίκετο μετ' ὀλίγας ἡμέρας εἰς τὴν Κουρουξέτραν, παρὰ τὴν ὄχθην τῆς θυγατρὸς τοῦ Βραχμᾶ [1].

Τέλος τοῦ Τρίτου Κεφαλαίου,
τοῦ Πέμπτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ,

ὃ διαλαμβάνει τὴν κατασκήνωσιν τῆς στρατιᾶς τῶν Παρδοϊδῶν.

1. Ὁ υἱὸς τῆς Σατεβατῆς, ὁ ὢν μέλας, ὡς νέφος, πῶς οὐκ ἂν γένοιτο εἰς ἀπαλλαγὴν τῆς θλίψεως τοῦ πυρὸς τοῦ κόσμου, οὗ τὰ χαροποιὰ ἀρχαιογονικὰ βιβλία ἐγένοντο ὡς ὑετοὶ ἀμβροσίας τῷ κόσμῳ;
2. Ἡ μὲν οὖν στρατιὰ τοῦ βασιλέως Ἰνδιστίρα, ἡ ἐπιθυμοῦσα καταλύσαι παρὰ τῇ Σαρασβατῇ, ἐμιμεῖτο πως αὐτήν [2]· ἐλέφαντας γὰρ εἶχε, καὶ πολεμικοὺς ἄνδρας, καὶ ἅρματα, καὶ ἵππους, ὡς ἡ Σαρασβατὴ ἀγλαὰ ὕδατα, καὶ ὄρνεις, καὶ ταχέα ῥεῖθρα [3].
3. Ἐπέμφθη δ' ὁ ἀὴρ εἰς τιμὴν καὶ ὑποδοχὴν [4] τοῦ Ἰνδι-

---

1. Δηλαδὴ τῆς Σαρασβατῆς, τοῦ ποταμοῦ.
2. Ὅστις συνοικεῖ τινι, μιμεῖται τοῦτον κατὰ πάντα.
3. Τὸ πρωτότυπον πάνυ χάριέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.
4. Εἰς προαπάντησιν.

στίρα καὶ τοῦ στρατοῦ παρὰ τῆς Σαρασβατῆς, δοῦλός πως αὐτῆς γενόμενος, ὡς νικηθεὶς τῇ ταχυτῆτι [1], δροσερὸν πνέων ἐκ τῶν ὑδάτων, καὶ εὐῶδες ἐκ τῶν λωτῶν.

4. Ἐξικμάσας δ' ὁ ἀὴρ εὐθέως τὸν ἐν τοῖς σώμασι τῶν βασιλέων καὶ τοῦ στρατοῦ πολὺν ἱδρῶτα, τὸν ἐκ τοῦ κάματος, ἔπνεε ῥαίνων ψεκάδας ἐκ τῶν ὑδάτων τῆς Σαρασβατῆς.

5. Ἀγαπητὸς [2] δ' ἦν ταῖς γυναιξὶ τοῦ στρατοῦ ὁ ἐκ τοῦ ποταμοῦ ἀὴρ, πνέων ἡδὺ καὶ δροσερὸν, χρυσοειδὴς ὢν τῷ ἐκ τῶν λωτῶν χνοΐ, καὶ ἄδων διὰ τῶν περιϊπταμένων βομβυλίων.

6. Ἡ στρατιὰ [3], περιλαμβάνουσα τὸν ἀέρα, δροσοφόρον ὄντα, διὰ τὸ πνέειν ἐκ τοῦ ποταμοῦ, ὑπέκλειε τοὺς ὀφθαλμοὺς [4] ἡδομένη· ἡ γὰρ θήλεια ἐρᾷ τοῦ ἐρῶντος ἄῤῥενος.

7. Ὁ μὲν οὖν στρατὸς τοῦ βασιλέως ἐφήδετο τῇ χλοαζούσῃ καὶ εὐδένδρῳ ὄχθῃ τῆς Σαρασβατῆς [5], τρεμούσῃ τῇ ἡδείᾳ αὔρᾳ, καὶ ἱδρῶτος σταγόσι περιρεομένῃ, αἵ εἰσι τὰ ἄνθη.

8. Τὰ δὲ σώματα τοῦ στρατοῦ [6] ἐφαίνοντο, ὅτι ἦσαν τὰ ἑπτὰ ὄρη [7], δυσωποῦντα τὴν θυγατέρα τοῦ Βραχμᾶ οὑτωσί· « Τὸ ἱππόμορφον πῦρ, ὦ θεὰ, ἐῤῥίφθη ὑπὸ σοῦ εἰς τὸν » ὠκεανὸν [8], ῥίψον καὶ τὸν κεραυνὸν εἰς χαρὰν ἡμῶν [9].

---

1. Δηλονότι τὸ ῥεῦμα τῆς Σαρασβατῆς ταχύτερον θέει τοῦ ἀέρος.

2. Καθὼς ὁ ἀνὴρ ἀγαπητός ἐστι ταῖς γυναιξὶν, ὁ εὐόσμοις ἀρώμασι κεχρισμένος, καὶ κεκοσμημένος χρυσῷ, καὶ ἄδων λιγυρῶς.

3. Ἡ μὲν στρατιὰ ὡς γυνὴ, ὁ δὲ ἀὴρ, ὡς ἀνήρ.

4. Ὁ ἡδόμενος ὑποκλείει τοὺς ὀφθαλμούς.

5. Ὡς γυναῖκα ποιεῖται τὴν ὄχθην, τὸν δὲ στρατὸν, ὡς ἄνδρα. Τὰ φυτὰ ἐσαλεύοντο τῇ πνεούσῃ αὔρᾳ· τὰ δὲ ἄνθη ἦσαν, ὡς ἱδρῶτες.

6. Αἱ ἑπτὰ Ἀξαουχιναὶ δηλ.

7. Τὰ συνέχοντα τὴν γῆν.

8. Ἡ Σαρασβατὴ ἔῤῥιψε τὸ πῦρ εἰς τὴν θάλασσαν.

9. Εἰς ἄνεσιν ἡμῶν, αὐτολεξεί.

9. Ὡράθησαν δ' ἔμπροσθεν ἀσμένως ὑπὸ τῶν βασιλέων πάντων πάντα τὰ σκηνώματα, ὡσπερεὶ ἔπεσον ἐξ οὐρανοῦ [1] ἀνορθωθέντα ἀνεπαισθήτως καὶ καταλλήλως.

10. Εἰσῆλθον δ' ἐχομένως ἕκαστος τῶν βασιλέων εἰς τὰ εὐτρεπισθέντα [2] ἴδια σκηνώματα, ὥσπερ καλοῦντα αὐτοὺς, καθάπερ χειρὶ, τῇ ἐπὶ τοῦ καστηνώματος τοῦ Ἰνδισίρα σημαίᾳ.

11. Ἐν ὅσῳ δ' ἐρωτήσῃ ὁ ἡνίοχος ἐν ὁδῷ, ἀγνοῶν τίς εἴη ἡ σκηνὴ τοῦ δεσπότου αὐτοῦ, ἐν τοσούτῳ εὐθέως ἤγετο τὸ ἅρμα ὑπὸ τῶν ἵππων, μὴ ἀγνοούντων, εἰς τὴν αὐλὴν τοῦ οἰκείου καταλύματος.

12. Τά γε μὴν κατασκηνώματα τῶν βασιλέων, ἅπερ εἶχον πολλὰ ἰδιαίτερα, ἀποκεκληρωμένα τοῖς ἐλέφασι, τοῖς ἵπποις, τοῖς θεράπουσι, καὶ αὐτοῖς τοῖς δεσπόταις, ἐφαίνετο ὥσπερ θεῖα οἰκήματα τῆς θεᾶς Νίκης.

13. Ὁ μὲν δὴ ἐλέφας, καθὼς ὀκλάζων ἀνεβίβαζε τὸν ἀναβάτην, καί περ παιόμενος κατὰ τῆς κεφαλῆς, οὕτω πάλιν καὶ κατεβίβαζεν αὐτὸν εὐθέως. Ἐπαινετόν ἐστι τὸ ἔργον τῶν μεγαλοπρεπῶν [3].

14. Ὁ δ' ἵππος, καθὼς ταχὺς ἦν ἐν ὁδῷ, φέρων τὸ φορτίον, οὐχ' οὕτως ἦν ἐκφορτισθείς· οἱ γὰρ μεγαλόφρονες καὶ μελοφυεῖς ἐν καιρῷ μεγαλουργίας τὸ μέγα αὑτῶν φρόνημα δεικνύουσι.

15. Οἱ δ' ὑπὸ τὸ ἅρμα ἵπποι, οἱ μὴ καμόντες ἐν ὁδῷ μακρᾷ, ἀλλὰ νομίσαντες ὡς ἤδη ὑπεζεύχθησαν, ἀκίνητοι τότε τοὺς πόδας ἐγένοντο τῷ σημείῳ τοῦ ἑαυτῶν ἡνιόχου, τοῦ παραβάτου πλησιάσαντος τῇ σκηνῇ.

---

1. Τὸ ταχὺ δηλοῖ τῆς σκηνοπηγίας, παρευθὺς δηλ. καὶ αἱ σκηναὶ ἕτοιμοι ἐγένοντο.

2. Αὐτολεξεί, εἰς τὰ κατασκευασθέντα.

3. Οἱ γὰρ μεγαλοπρεπεῖς ἀνέχονται.

16. Αἱ δὲ κάμηλοι, καθὼς πολλὰς καὶ ἀγρίας φωνὰς ἐξέπεμπον, ἀνατιθεμένου τοῦ φορτίου, οὕτω καὶ ἀποτιθεμένου· ποῦ γὰρ γνῶσις τῷ δολειχοδείρῳ ὄντι, καὶ εἰς τὸν αἰθέρα ἀναβλέποντι [1];

17. Ὑπὸ δὲ τῶν ἀνδρῶν, φριττόντων [2], κατεβιβάζοντο ἐν ἀγκάλαις ἐκ τῶν ὀχημάτων αἱ γυναῖκες, ὑποκλείουσαι τοὺς ὀφθαλμοὺς, ὧν οἱ μαστοὶ ἐκρέμαντο εἰς τοὺς λαιμοὺς αὐτῶν.

18. Καὶ ἡ μὲν γῆ αὕτη ἐδέχετο τὸν στρατόν· τὰ δὲ φοβούμενα καὶ φεύγοντα ἄγρια ζῶα οὐκ ἐκτείνοντο ὑπὸ τῶν στρατιωτῶν, λογιζομένων, ὅτι ἐν πολέμῳ ἀνοίκειός ἐστιν ὁ φόνος τοῖς φοβουμένοις.

19. Οἱ δ' ἔμποροι, στήσαντες τὰς σκηνὰς, καὶ εὐτρεπίσαντες τὰ ὤνια, ἦσαν φροντίζοντες τοῦ ἀρέσασθαι τῷ ἐλευσομένῳ ὠνητῇ, καθὼς αἱ πόρναι ἵστανται πρὸ τῶν θυρῶν κεκοσμημέναι καλοῖς ψελλίοις καὶ ἐνωτίοις, εἰς τὸ ἀρεστὰς φανῆναι τῷ ἐρχομένῳ.

20. Τῶν δὲ δούλων πάντων πορευθέντων εἰς κομιδὴν σιτίων, ὕδατος, ξύλων, καὶ πυρὸς, οἱ ἄνδρες εὐθέως φιλότητι συνεμίγνυντο ταῖς ἑαυτῶν γυναιξὶν ἐν ταῖς σκηναῖς [4].

21. Ἕως δ' ὁ αἰθὴρ καθαρισθῇ τῆς ἐκ τοῦ στρατοῦ πολλῆς κόνεως, καὶ λαμπρὸν σχῇ τὸν Ἥλιον, κατεζοφώθη εὐθέως ἐκ τοῦ πυκνοῦ καπνοῦ, ἀπὸ τῶν μαγειρείων.

22. Λουόμενοι δ' οἱ στρατιῶται ἐν τοῖς ὕδασι τῆς θυγατρὸς

---

1. Τουτέστιν ὁ ὑψηλόσωμος ἄνους.

2. Ἔρωτι κατεσχέθησαν καὶ οἱ ἄνδρες καὶ αἱ γυναῖκες.

3. Καθὼς ἐν πολέμῳ οὐ κτείνεται ὁ φοβούμενος καὶ φεύγων πολέμιος, οὕτω καὶ οὗτοι ἐν τῷ περὶ τὴν ὄχθην δάσει, ἔνθα ἐσκήνωσαν, οὐκ ἔκτεινον τὰ φοβούμενα καὶ φεύγοντα ζῶα, ἀλλὰ τὰ ἀμυνόμενα.

4. Αὐτολεξεὶ, ἐν τοῖς ἐξ ὀθόνης οἴκοις.

τοῦ Βραχμᾶ, εἰς τὸ ἀποσμῆξαι τὸν ἐκτὸς τοῦ σώματος πολὺν ῥύπον, ἀπέσμηχον ἐν ταὐτῷ καὶ τὸν ἐντός· ἡ γὰρ πρὸς τὸν ἀγαθὸν δεσπότην θεραπεία, ἀπόλαυσις γίνεται πλειόνων, ὧν ἐφίεται ὁ ἄνθρωπος [1].

23. Πίνοντες δ' οἱ στρατιῶται ὕδωρ ἡδὺ καὶ ψυχρόν, ηὔχοντο τὴν μὲν φύσιν τοῦ ποταμοῦ πολύϋδριν, ὡς τὴν τοῦ ὠκεανοῦ, τὴν δ' ἑαυτῶν, ὡς τὴν τοῦ Ἀγαστέα [2].

24. Ἡ δ' ἀγέλη τῶν ἐλεφάντων ἐφώρμα, ὡς θάλασσα, εἰς τὸν ποταμὸν, μέλανες ὄντες τὰ σώματα, ῥηγνύντες φωνὴν, καὶ τὸ περιέχον ὕδατος πληροῦντες ταῖς ἀναπεμπομέναις ψεκάσιν ἐκ τῶν σαλευομένων προβοσκίδων, ὡς κυμάτων.

25. Πολλαὶ δ' ὄχθαι διερῥήγνυντο θυμῷ ὑπὸ τῶν ἐλεφάντων, νομιζόμεναι ὡς ἄλλοι ἐλέφαντες, τῷ τε μεγέθει, καὶ τῇ ὀσμῇ τοῦ μανικοῦ χυμοῦ, τῇ προσκολληθείσῃ ἐκ τοῖς προστρίψεως τῶν κροτάφων τῶν ἀγρίων ἐλεφάντων, καὶ τῷ ἤχῳ τῶν κυμάτων τοῦ ποταμοῦ, ὡς φωνῇ ἐλέφαντων.

26. Καίπερ δὲ κεκμηκότες ἐκ τῆς ὁδοῦ οἱ ἐλέφαντες, διερῥήγνυον τὰ δένδρα θυμῷ, νομίζοντες, ὡς ἐλέφαντές εἰσι τοῦ δάσους, ἀπόγε τῆς ὀσμῆς τοῦ προσκεκολλημένου χυμοῦ ἀγρίων ἐλεφάντων· ἐπὶ δὲ τὰς κεφαλὰς αὐτῶν, ἀριστευσάντων [3], ἄνθη βροχηδὸν ἔπιπτον ἄνωθεν τῶν δένδρων.

27. Τὰ δ' ἴχνη τῶν ποδῶν τῶν ἐλεφάντων ἐπὶ τῆς μαργαροειδοῦς λευκῆς ἄμμου ἠγλαΐζοντο ὡσπερεὶ πολλαὶ σελῆ-

---

1. Δηλαδὴ μετὰ τοῦ ἀγαθοῦ καὶ δικαίου Ἰνδιστίρα ἦσαν, καὶ διὰ τοῦτο ἠξιώθησαν λούσασθαι ἐν τοῖς ἁγίοις ὕδασι.

2. Ὁ Ἀγαστέας ἔπιεν ὅλην τὴν θάλασσαν· δηλ. οὐκ ἐκορέννυντο πίνοντες.

3. Ἠρίστευσαν διαῤῥήξαντες τὰ δένδρα, καὶ διὰ τοῦτο ἄνθεσιν ἐβάλλοντο ἄνωθεν, καθὼς οἱ ἀριστεύσαντες ἄνδρες, ἄνθεσι βάλλονται.

ναι, ἐλθοῦσαι, πρὸς τὴν Σαρασβατὴν, αἰτήσουσαι ὁμοιωθῆναι τῇ εὐκλείᾳ τοῦ Ἰνδιστίρα [1].

28. Οἱ δ' ἐν τῷ ποταμῷ χῆνες, φοβηθέντες ὅτε εἶδον τοὺς ἐλέφαντας, νομίσαντες αὐτοὺς νέφη, ἢ ἠττηθέντες αὐτῶν τῷ σοβαρῷ βαδίσματι, ἐπετάσθησαν εἰς τὸν οὐρανὸν, ὡς εἰς λίμνην, πλήρη ἀνθ' ὕδατος, τῆς φήμης τοῦ Ἰνδιστίρα [2].

29. Οἱ ἐλέφαντες, εἰσδύντες εἰς τὸν ποταμὸν ἀνακινουμένοις τοῖς ὠσὶ, καὶ στερηθέντες τοῦ μανικοῦ χυμοῦ, ἐφαίνοντο ὡς μικρὰ ὄρη, εἰσδύντα ἀναπεπταμέναις ταῖς πτέρυξι, φοβηθέντα τὸν Ἴνδραν, καὶ στερηθέντα τῆς ἐπάρσεως. [3].

30. Καταδυόμενοι δ' εἰς τὸ ὕδωρ, εἶχον τὸ ἄκρον τῆς προβοσκίδος ἔξω τοῦ ὕδατος, ᾧ ἐπεφοίτων βομβύλιοι, νομίζοντες λωτόν [4]· ἀναδυόμενοι δὲ, περιέσειον τὴν προβοσκίδα, καὶ φωνὴν ἐρρήγνυον [5].

31. Ὁ ἐλέφας καὶ ἡ καλὴ Σαρασβατὴ ἀπέβαλον τὸ πολὺ, ὃ εἶχον καῦμα, καὶ ἀνεψυγμένοι ἐγένοντο ταῖς πρὸς ἀλλήλους παιδιαῖς, καὶ ταῖς ἀλλήλων συνεχέσι περιπτύξεσιν [6].

32. Ἐπειδὴ δ' ὁ ἐλέφας ἀφείλετο τοὺς λωτοὺς τοῦ ὕδατος,

---

1. Ὡσπερεὶ πρὸς τὴν θεὰν ἐπορεύθησαν, αἰτήσουσαι ταύτην τὴν χάριν.

2. Μέχρι τοῦ οὐρανοῦ διῆλθεν ἡ φήμη αὐτοῦ.

3. Τὸ πρωτότυπον ἔχει πάνυ χαριέντως· ἡ γὰρ λέξις μάδα σημαίνει καὶ τὴν ἔπαρσιν, καὶ τὸν χυμὸν τοῦ ἐλέφαντος· ὁ δὲ ἐλέφας στερεῖται τοῦ χυμοῦ ἐν τῷ ὕδατι.

4. Τὸ ἄκρον τῆς προβοσκίδος ἐνόμιζον λωτὸν οἱ βομβύλιοι.

5. Ὁ ἐλέφας ἥδεται ἐν τοῖς ὕδασι καὶ καταδυόμενος ἔχει τὸ ἄκρον τῆς προβοσκίδος ἄνω τοῦ ὕδατος.

6. Ὁ μὲν ἐλέφας ὡς ἀνὴρ, ἡ δὲ Σαρασβατὴ ὡς γυνή. Ὅταν ὁ Ἥλιος βάλῃ θερμὰς τὰς ἀκτίνας, τὸ ὕδωρ ἄνωθεν μὲν θερμόν ἐστι, κάτωθεν δὲ ψυχρόν.

τοὺς ἀδομένους ὑπὸ τῶν βομβυλίων, διὰ τοῦτο καὶ τοῦτο τὸ ὕδωρ ἀφείλετο τοῖς συνεχέσι κύμασι τὸν εὐώδη χυμὸν τούτου τοῦ ἐλέφαντος.

33. Τῷ δ' εὐώδει χυμῷ, ὡς μόσκῳ, ἐποίει ὁ ἐλέφας γραφὰς εἰς τοὺς μαστοὺς [1], οἵ εἰσιν αἱ ἀντιλάμπουσαι δύω κοῦμβαι τῆς Σαρασβατῆς, τῆς ἐχούσης ὀφθαλμοὺς τοὺς κινουμένους ἰχθύας.

34. Ἀπολαύσας δ' ἡδέως τῆς Σαρασβατῆς ὁ ἐλέφας, ἧς τὸ μὲν πρόσωπον ἦν ὁ λωτὸς, αἱ δὲ σταγόνες τοῦ ἱδρῶτος [2], οἱ πομφόλυγες, ἐξῆλθε περιειλημμένος βομβυλίοις, ἐπιφοιτῶσι τῷ εὐώδει αὐτοῦ χυμῷ.

35. Ἀπελθόντων δὲ τῶν ἐλεφάντων, ἡ Σαρασβατὴ διηγήσατο τὰ κατ' αὐτοὺς πρὸς τὰς χῆνας [3], ὡς πρὸς φίλας ἐλθούσας ποθεν εὐθέως διὰ τῆς φωνῆς τῶν βομβυλίων, τῶν ἐκβεβακχευμένων τῷ ἐν ὕδατι χυμῷ τῶν ἐλεφάντων.

36. Ἐδέθησαν δ' ὑπὸ τῶν ἐλεφαντοκόμων οἱ ἐλέφαντες μακράν που τῶν ἀνθρώπων, τῶν καθημένων ὑπὸ δένδρα καὶ ἀσθμαινόντων, καὶ ἐντεῦθεν μὴ δυναμένων ἀναστῆναι, ὡς κεκμηκότων τῇ ὁδοιπορίᾳ.

37. Ἠγλαΐζοντο δ' οἱ ἐλέφαντες ὑπὸ τὰ δένδρα, ἔχοντες βομβυλίους ἐπικαθημένους ἐπὶ τῶν νώτων, ἕνεκα τῆς γλυκυτάτης ὀσμῆς τῶν πιπτόντων πολλῶν ἀνθέων, καὶ ἐκ τούτου φαινόμενοι ὡσπερεὶ εἶχον ἐπισάγματα, καίπερ ὄντες ἄνευ ἐπισαγμάτων [4].

---

1. Ὡς ἀνὴρ ποιεῖ διὰ τοῦ μόσκου γραφὰς εἰς τοὺς μαστοὺς τῆς γυναικὸς, παίζων. Ἐνταῦθα δὲ ὁ μὲν ἐλέφας ὡς ἀνὴρ, ἡ δὲ Σαρασβατὴ ὡς γυνή.

2. Ἴδιον τῆς ὁμιλίας τοῦ ἄρρενος καὶ τοῦ θήλεος ὁ ἱδρώς.

3. Ὡς ἔθος ἐστὶ τῇ γυναικὶ λέγειν ταῖς φίλαις τὰ συμβάντα. Οἱ μὲν ἐλέφαντες, ὡς ἄνδρες· ἡ δὲ Σαρασβατή, ὡς γυνή.

4. Οἱ ἐπικαθήμενοι βομβύλιοι ἐπὶ τῶν νώτων, εἰς ἐκμύζησιν τῶν ἀνθέων, ἐφαίνοντο ὡς ἐπισάγματα.

38. Τὰ δένδρα πάντα ἐποτίζοντο ὑπὸ τῶν ἐλεφάντων διὰ τοῦ καταῤῥέοντος χυμοῦ, ὥςπερ ὑπὸ νεφῶν [1], κατειλθόντων παρὰ τὴν ῥίζαν· εἰ γὰρ ἔβρεχον ἄνωθεν, οὐκ ἂν ἤρχετο ἡ βροχὴ εἰς τὴν ῥίζαν τῶν δένδρων, ἕνεκα τῶν συνεχῶν καὶ πυκνῶν φύλλων.

39. Οἱ μὲν ἐλέφαντες, ὑποκλείσαντες ἡδέως τοὺς ὀφθαλμούς, ὡς οἱ θεωρητικοί, τό τε ἄκρον τῆς γλώττης προσαρμόσαντες τῷ οὐρανίσκῳ, καὶ τὸ σῶμα χαυνώσαντες, ἵσταντο ὑπὸ τὰ δένδρα, καταφρονοῦντες τοῦ προσφερομένου ψωμοῦ [2].

40. Οἱ δ' ἐλεφαντοκόμοι, ῥαπίζοντες τὸν ἐλέφαντα, ῥαθύμως ἔχοντα, ἐσίτιζον καὶ μὴ θέλοντα, ὡς παιδίον μικρὸν, ψωμίοις διαβρόχοις βουτύρῳ, φερομένοις ἐν χερσίν [3].

41. Οἱ δ' ἵπποι ἀνέσκαπτον ταῖς ὁπλαῖς τὴν ὄχθην τῆς Σαρασβατῆς, τὴν ἐξισωθεῖσαν τοῖς πατήμασι τῶν ἐλεφάντων· οἱ γὰρ ἄτακτοι ἀνατρέπουσι τὸ κατορθωθὲν ὑπὸ τῶν φρονίμων.

42. Οἱ ἵπποι ἔνυττον ταῖς ὁπλαῖς τὴν γῆν· ἡ δ' ἔτρεμε καὶ ἴδρου, ὅπερ συμπεραίνεται ἀπὸ τῆς ἀνισταμένης κόνιος

---

1. Ὁ ἐλέφας εἰκάζεται τῷ νέφει, διὰ τὸ μέλαν, καὶ τῷ ὄρει, διὰ τὸ μέγεθος.

2. Ὁ ἐλέφας σοβαρός ἐστι καὶ τὸ ἦθος καὶ τὸ βάδισμα· ὁ δὲ ὀφθαλμὸς αὐτοῦ πάνυ μικρός ἐστιν ὡς πρὸς τὸ σῶμα καὶ θολερὸς, καὶ εἰς τὰ ἄνω ἔχει τὴν γλῶσσαν. Καὶ ὁ θεωρίαν δὲ ποιῶν, τῷ οὐρανίσκῳ προσαρμόζει τὴν γλῶσσαν, καὶ ὑποκλείει τοὺς ὀφθαλμοὺς, ἵνα μὴ βλέπῃ τὰ ὑπὸ τὴν ὅρασιν.

3. Ἄρτους ποιοῦσι, καὶ διατέμνοντες αὐτοὺς, διδόασι τοῖς ἐλέφασι διὰ τῶν χειρῶν· καὶ οἱ μὲν ἐλέφαντες, ὑπονυστάζοντες, καὶ τὴν προβοσκίδα διασαλεύοντες, ὑποκρίνονται, ὡς οὐκ ἐθέλουσιν· οἱ δ' ἐλεφαντοκόμοι, τῇ μὲν παίοντες, τῇ δὲ κολακεύοντες, σιτίζουσιν αὐτούς.

καὶ ἐκ τοῦ μετ' ἀφροῦ φρυάγματος, καὶ περίπτυξιν αὐτῆς ἐποιοῦντο, ἥ ἐστιν ἡ κύλισις [1].

43. Στρέφοντες δ' εἰς τὸ ἄνω τοὺς πόδας καὶ τὸ πρόσωπον οἱ ταχεῖς ἵπποι, καὶ κυλιόμενοι ἐπ' ἄμμου λευκῆς, ὥς περ κρυσταλλοστρώτου γῆς, ἐφαίνοντο ὡς περεὶ ἦσαν ἀπαυγάσματα τῶν ἵππων τοῦ Ἡλίου.

44. Ἡ δὲ Σαρασβατὴ αὐτὴ ἔλουεν εὐθέως τὸν ἵππον, προσελθόντα, καὶ περ υἱὸν ὄντα τῆς Σρῆς [2], ῥερυπωμένον ἐκ τῆς περὶ τὴν κόνιν κυλίσεως· ὁ γὰρ προσερχόμενος τοῖς ἀγαθοῖς, εἰ καὶ ἀλλότριος, ὡς οἰκεῖος κρίνεται.

45. Οἱ μὲν οὖν ἵπποι καὶ τὰ κύματα περιεπτύσσοντο ἀλλήλους, μηδεμίαν διαφορὰν δεικνύοντες τοῦ ἑαυτῶν σώματος [3] τῇ τε ταχύτητι, ἣν εἶχον, καὶ τῇ ἡδείᾳ καὶ γενναίᾳ, καὶ βαθείᾳ φωνῇ, ἣν ἐποίουν.

46. Ἰδοῦσα δ' ἡ στρατιὰ μακρόθεν ταύτην τὴν ἀγέλην τῶν ἵππων, ἐξελθοῦσαν ἐξαίφνης τοῦ ποταμοῦ, καὶ ὑπερβᾶσαν τὴν ὄχθην, ἐφοβήθη, νομίσασα πληθὺν κυμάτων, ἐκρεύσασαν.

47. Ἐδέθησαν δ' ἔπειτα οἱ ἵπποι πάντες ὑπὸ τῶν ἱπποκόμων ἱμάσιν ἐν παττάλοις ὀργυιαίοις, παγεῖσιν ἐπὶ γῆς, ἀπέχοντες ἀλλήλων δύω πήχεις.

---

1. Τὸν μὲν ἵππον ποιεῖ ὡς ἄνδρα, τὴν δὲ γῆν ὡς γυναῖκα, ἡ δὲ κύλισίς ἐστιν ἡ περίπτυξις· τρόμος δὲ ἡ ἐξανισταμένη κόνις· τὸ δὲ φρύαγμα, τὸ ἄσθμα· ὁ δ' ἀφρὸς, ὁ ἱδρώς· τὸ δὲ πλήττειν τὴν γῆν ταῖς ὁπλαῖς, ἡ ὀνυχονυξία, ἃ ἴδιά ἐστι τῆς μετὰ γυναικὸς τοῦ ἀνδρὸς περιπτύξεως καὶ συνουσίας.

2. Τῆς ἐχθρᾶς δηλαδή· ἔχθραν γὰρ ἔχουσιν ἡ Σαρασβατὴ (ἥ ἐστιν ἡ μάθησις) καὶ ἡ Σρὴ, (ἥ ἐστιν ὁ Πλοῦτος)· ὅπου γὰρ μάθησις, οὐκ ἔστι πλοῦτος, καὶ ὅπου πλοῦτος, οὐκ ἔστι μάθησις· υἱὸς δὲ λέγεται τῆς Σρῆς ὁ ἵππος, καθὸ ὁ ἔχων Σρὴν, δηλ. πλοῦτον, ἔχει καὶ ἵππον.

3. Ὁ ἵππος εἰκάζεται τῷ κύματι, διὰ τὴν ταχύτητα.

48. Ἥρα δὲ ἔρωσίμου ἐτέθη εὐθέως ἐν τοῖς στόμασι τῶν ἵππων [1], μὴ ἐσθιόντων πόαν, στρεφομένων ἔνθεν κἀκεῖθεν, χρεμετιζόντων καὶ τὴν γῆν ἀνορυττόντων ταῖς ὁπλαῖς [2].

49. Αἱ δὲ κάμηλοι, καταφαγοῦσαι τὰ φύλλα τῆς κορυφῆς τῶν δένδρων, ἀπέδειξαν αὐτὰ ὥσπερ εἰ ἦσαν ἐν χαρᾷ τῆς κατὰ πρῶτον κουρείας [3], τῶν διαστάσεων τοῦ τόπου ᾀδουσῶν διὰ τῶν φωνῶν τῶν ὀρνέων.

50. Καὶ ὁ ἐλεφαντοκτόνος λέων, κάμηλον ἰδὼν ἐν τῷ δάσει, φοβηθεὶς, ἔφυγε μακρὰν, λογιζόμενος ἐν ἑαυτῷ· « Τί » τοῦτο τὸ ζῶον; τί βλέπει εἰς τὰ ἄνω, δολιχόδειρον ὄν, » μαινόμενον, καὶ μεγάλους ἔχον ὀδόντας; »

51. Οἱ δὲ νέοι ταῦροι, χαίροντες ἐφίλουν [4] τὴν περὶ τὴν ὄχθην τοῦ ποταμοῦ γῆν [5], φρίκην ἔχουσαν καὶ ἱδρῶτα, τουτέστι χλόην κατάβροχον τῷ ὕδατι.

52. Οἱ δ' ἀγαθοὶ ἄνδρες, παραβλέποντες τὴν ἑαυτῶν πεῖναν, ἐσίτιζον μέχρις ἑσπέρας διὰ τοῦ βρώματος, ὃ κατεσκεύασαν ἑαυτοῖς, τοὺς ἐρχομένους κατόπιν, κεκμηκότας ἐκ τῆς ὁδοῦ· τούτοις ἐπέσηκε λαμπρὰ Σελήνη [6], ὡς φήμη γαλακτώδης [7].

Τέλος τοῦ Τετάρτου Κεφαλαίου τοῦ Πέμπτου Βιβλίου τῆς Βαλαβαράτας.

---

1. Ἐν Ἰνδίᾳ οὐ κριθὴν, ἀλλ' ἐρέβινθον διδόασι τοῖς ἵπποις.

2. Ἀτακτούντων, δάκνειν βουλομένων.

3. Μετὰ τρία ἔτη ἀπὸ γεννήσεως χαρὰ μεγάλη γίνεται, ὅτε κατὰ πρῶτον ξυρᾶται τὸ παιδίον τὴν κεφαλήν· ἀντὶ δὲ γυναικῶν ᾀδουσῶν, αἱ διαστάσεις τοῦ τόπου ἦδον διὰ τῶν ὀρνέων.

4. Ἔβοσκον δηλ.

5. Οἱ ταῦροι ὡς ἄνδρες· ἡ δὲ γῆ, ὡς γυνή.

6. Νὺξ δηλ. ἐγένετο.

7. Τουτέστι λευκή.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ,

Διαλαμβάνον τὴν ἔναρξιν τοῦ πολέμου.

1. Διαφυλάττοι ἡμᾶς ὁ υἱὸς τῆς Σατεβατῆς, ὁ γενόμενος μέλας ἐκ τῆς μελανότητος τοῦ Βισνοῦ [1], τοῦ ὄντος ἀεὶ ἐν τῇ καρδίᾳ αὐτοῦ, διεξιούσης πως διὰ τῶν πόρων, ὡς διεξόδων.

2. Ὁ δὲ Δουριοδάνας, καί περ ἐκωλύετο τῆς ἐξόδου ὑπὸ τῶν περὶ τὸν Βήσμαν, οὐκ εἰσήκουεν· ἆρα ὁ μέγας ἐλέφας, ὁ πίπτων ἐκ κορυφῆς ὑψηλοῦ ὄρους, ἐπέχεται ὑπὸ θάμνων;

3. Εἰπόντος δὲ τοῦ Βιδούρα, « Οὗτος ὁ σκληρὸς καὶ ἀπει-» θὴς Δουριοδάνας οὐκ ἀκούει τοῦ καλοῦ ἡμῶν λόγου, ὡς » παιδίον, διὰ τοῦτο ἐν τῷ συγκροτηθησομένῳ πολέμῳ » τῶν Καουραβῶν καὶ Πανδοϊδῶν ἅπασα ἡ γῆ αὕτη ἀπο-» λεσθήσεται,»

4. Τούτου τοῦ λόγου τοῦ Βιδούρα ἀκούσασα ἡ Πριτὰ [2], λίαν σύννους ἐγένετο, καὶ ἀναστᾶσα ἐπορεύθη εἰς τὴν ὄχθην τῆς Γαγγᾶς, πρὸς τὸν υἱὸν τοῦ Ἡλίου Καρνᾶν, ποιοῦντα εὐχὰς ἐκεῖ τῷ Ἡλίῳ.

5. Ἵστατο δ' ἐκεῖ αὕτη ἡ φιλόστοργος, καιομένη τὸ σῶμα ὑπὸ τοῦ Ἡλίου, βλέπουσα τὸν Καρνᾶν ἐνασχολούμενον τῇ πρὸς τὸν ἀνατείλαντα Ἥλιον λατρείᾳ, μέχρις οὗ ἔλθῃ ὄπισθεν τῶν νώτων [3].

6. Ἐν δὲ τῷ τέλει τῆς εὐχῆς ἔφη αὐτῷ τῷ Καρνᾷ ἡ Πρι-

---

1. Μέλας γὰρ καὶ ὁ Βισνοῦς, ὅς ἐστιν ὁ Κρισνᾶς.

2. Ἐν τῷ οἴκῳ γὰρ ἦν τοῦ Βιδούρα.

3. Ἀρχόμενος τῆς λατρείας ἀπὸ τῆς ἀνατολῆς τοῦ Ἡλίου, ἐπαύετο μετὰ τὴν μεσημβρίαν.

τά· «Σὺ υἱὸς εἶ ἐμός, γεννηθεὶς ἐξ ἐμοῦ, οὔσης παρθένου· » πατὴρ δὲ σός ἐστιν τοῦ πολυλάμπρου, ὁ χιλιάκτιν » οὗτος Ἥλιος, καὶ οὐχὶ ὁ Σούτας [1].»

7. Βεβαιωθέντος δὲ τούτου τοῦ λόγου καὶ ὑπ' αὐτοῦ τοῦ θεοῦ Ἡλίου ἐκ μέσου τοῦ οὐρανοῦ, ὁ Καρνᾶς φρίκῃ συσχεθεὶς, προσεκύνησε τοὺς πόδας τῆς μητρὸς, νομίσας αὐτοὺς ὡς ἑκατὸν ἁγίους τόπους [2].

8. Τοῦ δὴ Καρνᾶ ἔχοντος κεκλιμένην τὴν κεφαλὴν ἐν τοῖς ποσὶ τῆς μητρὸς, ἡ Πριτὰ ἐκρεύσασα παραχρῆμα γάλα ἐκ τῶν μαστῶν [3], ἔφη δακρυρροοῦσα ἐκ χαρᾶς· «Ὦ τέκνον, » ἀνάστησον ἐντεῦθεν τὴν κεφαλήν. »

9. Ὁ δ' ἔφη· «Διὰ τί, ὦ μῆτερ, ἀναστήσω ἐντεῦθεν τὴν » ἐμαυτοῦ κεφαλὴν, ἐφ' ἧς ῥέει τὸ γάλα σου, τὸ ὂν μᾶλ- » λον ἁγνιστικὸν τῆς ἐν οὐρανῷ Γαγγᾶς, τὸ ἀπαράμιλλον » τοῖς ἐν τρισὶ κόσμοις, καὶ ἀπαλλακτικὸν πάντων τῶν » ἁμαρτημάτων;

10. « Οἱ ἀδελφοί μου, οἱ πιόντες τὸ γάλα σου, μακάριοι ἐγέ- » νοντο καὶ νικηταὶ τοῦ κόσμου· μακάριος δὲ κἀγὼ σή- » μερον καὶ νικητὴς, διότι νῦν ἐν τῷ καιρῷ τῆς ἐξόδου » καταβρέχομαι ὑπὸ τούτου τοῦ γάλακτος.

11. « Εἰ ἅπαξ γε ἔπιον τὸ γάλα σου, ὦ μῆτερ, ὑπό τίνος ἂν » ἐνικώμην ἐν γῇ; ἐπεὶ δ' οὐκ ἔπιον, νικάτωσαν ἐν πο- » λέμῳ, διὰ τοῦ ἐμοῦ θανάτου, ἐκεῖνοι οἱ πέντε νεώτεροι » ἀδελφοί.»

12. Τοιαῦτα εἰπόντα τὸν Καρνᾶν, κεκλιμένην ἔχοντα τὴν

---

1. Ὁ Σούτας, ὃς ἦν ἡνίοχος τοῦ Δρυταράστρα, υἱὸν θετὸν ἐποίησε τὸν Καρνᾶν.

2. Ἡ προσκύνησις τῶν ποδῶν τῆς μητρὸς ἀνωτέρα ἐστὶ τῆς προσκυνήσεως χιλίων ἁγίων τόπων.

3. Λέγουσιν, ὡς ἡ μήτηρ ἐκ φιλοστοργίας ῥέει γάλα αὐτόματον.

κεφαλὴν, ἀναστήσασα εὐθέως ταῖς χερσὶν ἡ Πριτὰ, καταφιλήσασα τὴν κεφαλὴν περιῤῥεομένην δάκρυσιν, ἔφη αὐτῷ τῷ υἱῷ, στυγνάζουσα·

13. «Κατάπτυστος οὗτος ὁ λόγος, ὃν εἶπας [1]· ὃς γὰρ ἐχθρός » ἐστιν ὑμῶν τῶν ἓξ, οὗτος θανάτω τυχέτω· ἐκεῖνοι γὰρ » οἱ νεώτεροι ἀδελφοὶ, δοῦλοί εἰσι σοῦ τοῦ πρεσβυτέρου » ἀδελφοῦ καὶ βασιλέως.

14. « Σοῦ δὲ ἐλθόντος πρὸς ἡμᾶς, τίνος δυνάμει πεποιθὼς ὁ » Δουριοδάνας, πόλεμον ποιήσει; σὺ οὖν αὐτὸς, καὶ οἱ » πέντε ἐκεῖνοι, καὶ οἱ ἑκατὸν υἱοὶ τοῦ Δρυταράστρα, » ποιήσαντες διαλλαγὴν, κυβερνᾶτε τὴν γῆν.»

15. Πρὸς ἣν ἔφη ὁ Καρνᾶς· «Μὴ λέγε, ὦ μῆτερ, τοιαύτην » κακὴν βουλήν· ἐμοῦ γὰρ ἀφέντος σήμερον τὴν φιλίαν » τοῦ Δουριοδάνα, τοιοῦτος λόγος τοῦ κόσμου ἔσεται εἰς » σὸν στίγμα· «Οὗτος δυσγενής ἐστιν.»

16. « Ἐγκαταλιπόντος δ' ἐμοῦ τοῦ υἱοῦ σου ἤδη τὸν Δουριο» δάναν, τὸν ἄριστον ὄντα ἐν πολέμοις, καὶ ἐμοὶ μόνῳ » πεποιθότα, καὶ ἐχθροῦ γενομένου, ἆρα, οὐκ ἔσεται στιγ» ματίας καὶ αὐτὸς ὁ Ἥλιος, καθὼς καὶ ἡ Σελήνη;

17. « Ὦ γενναίου μήτηρ, μὴ ἔσο ἀγενοῦς μήτηρ ἐκ τοιούτων » λόγων τῶν πολυπραγμόνων ἀνθρώπων, ὅτι ὁ Καρνᾶς » ἐκ φόβου τοῦ πολέμου ηὐτομόλησε πρὸς τοὺς Παιδοί» δας, προτείνων ἤδη ἀδελφικὴν συγγένειαν [2].

18. « Αὐτομολήσας ἔγωγε πρὸς τὸν Ἰνδιστίραν, τὸν ἀληθοε» πῆ, καὶ πρὸς τοὺς λοιποὺς ἀδελφοὺς, τοὺς πληροῦντας » τὴν ἑαυτῶν ὑπόσχεσιν, αἰσχυνοίμην ἂν ψεύστης φανείς,

---

1. Δηλ. «Νικάτωσαν ἐκεῖνοι διὰ τοῦ ἐμοῦ θανάτου.»

2. Δηλ. ἂν εἴπω, ἀδελφοί μου εἰσὶν, οὐδεὶς πιστεύσει, ἀλλ' ἐρεῖ, ὅτι προκάλυμμά ἐστι τοῦτο καὶ πρότασις ψευδής· ὁ γὰρ κόσμος οἶδεν, ὅτι οὐκ εἰσὶν ἀδελφοί μου οἱ περὶ τὸν Ἰνδιστίραν.

» καθ' ὃ ἐπηγγειλάμην, ὅτι βοήθειαν δώσω τοῖς Καου-
» ραβαῖς ἐν πολέμῳ.

19. « Ἐκεῖνος ὁ γενναῖος Δουριοδάνας, ὁ μεγαλόφρων [1] καὶ
» καρτερόφρων, μεγάλους ἔχων ἐπικούρους, τόν τε Κρι-
» πᾶν, καὶ τὸν Δρόναν, καὶ τὸν Βήσμαν, καὶ τὸν Ἀσβα-
» τάμαν, καὶ χωρὶς ἐμοῦ δυνατός ἐστιν ἀπολέσαι ἀμφό-
» τερα τὰ μέρη [2].

20. « Ἡμεῖς μόνοι οἱ ἓξ, ὦ μῆτερ, υἱοί σου ἐσμέν; ἐκεῖνοι
» δ' ἆρα οἱ ἑκατόν, ὦ θεσπεσία, οὐκ εἰσιν υἱοί σου;
» Ἐὰν οὖν ἀφεὶς τοὺς ἑκατὸν ἐκείνους, βοηθήσω τοῖς
» πέντε ἐν τοῖς δεινοῖς τοῦ γένους ἡμῶν, ὁποία αὕτη
» κρίσις;»

21. Ἡ δὲ σώφρων αὕτη ἔφη τῷ υἱῷ αὐτῆς, χαίρουσα· « Ὀρθὰ
» εἴρηκας, καὶ ἴδια ἀνδρείων καὶ γενναίων· ἀνθ' ὧν ἔστω
» σοι ἵλεως καὶ εὐμενὴς ὁ γεννήτωρ σου Ἥλιος, ὁ αὐτό-
» πτης παντὸς ἔργου, καὶ ὀρθαλμὸς τοῦ κόσμου.

22. « Αἰτῶ δ' ἔγωγέ τινα χάριν παρὰ σοῦ, τοῦ μένοντος ἐπὶ
» τῶν ἐπηγγελμένων, καὶ ποιοῦντος τὸ ἔργον τῶν ἡρώων.
» Ἔσο μὲν ἐπὶ πολὺ στερεὸς ἐν τοῖς φίλοις σου, τέκνον·
» δὸς δ' ὅμως σωτηρίαν τινα καὶ ἀσφάλειαν τοῖς νεωτέ-
» ροις σου ἀδελφοῖς [3]. »

23. Πρὸς ἣν ἀπεκρίνατο ὁ υἱὸς τοῦ Ἡλίου· « Διὰ τί, ὦ μῆ-
» τερ, ματαίως παρακαλεῖς με; Τοῖς μὲν υἱοῖς σου σω-
» τηρία, ἡμῖν δὲ κίνδυνος ἐν πολέμῳ παρὰ τῆς εἱμαρμέ-
» νης πάλαι δέδοται.

24. « Ἐν τῇ πόλει ἡμῶν, ὦ μῆτερ, ἀλλεπάλληλα σημεῖα

---

1. Αὐτολεξεί, ὑψηλόφρων.

2. Καὶ τοὺς ἑαυτοῦ δηλ. καὶ τοὺς περὶ τὸν Ἰνδιστίραν πάντας δύ-
ναται ἀπολέσαι, ὡς βασιλεύς.

3. Μὴ θανατώσῃς δηλ. αὐτούς.

» φοβερὰ ἐπισυμβαίνει τοῖς Καουραβαῖς καθ' ὥραν [1]. Ἡ
» πρόγονος τῶν ἐκ τοῦ Κουροῦ Σελήνη, εἰρήνης ἐφιεμένη,
» θερμὴ γίνεται ἐν νυκτὶ, ὡς περ θυμουμένη [2].

25. « Οἱ κύνες τρέχουσι πόρρωθεν κατὰ τῶν κακούργων Καου-
» ραβῶν, ὑλακτοῦντες, ὡς κατὰ κυνοφάγων [3]· οἱ λύκοι
» ἐφορμῶσι κατ' αὐτῶν, ὡς κατὰ θνησιμαίων, δεινὰς
» φωνὰς ἐξερευγόμενοι.

26. « Ἡμεῖς βλέπομεν ἐν λαμπροῖς κατόπτροις τὸ ἑαυτῶν
» σῶμα ἀκέφαλον, μὴ δυνάμενοι δεῖξαι μηδέγ' ἑαυτοῖς
» τὸ ἑαυτὸν πρόσωπον, ὥςπερ οἱ αἰσχυνόμενοι ἐπὶ ταῖς
» κακουργίαις, οὐ δεικνύουσι πρὸς ἄλλους τὸ οἰκεῖον πρό-
» σωπον.

27. « Αἱ ἐν τοῖς ναοῖς εἰκόνες τῶν θεῶν, ὥςπερ πνεύματι
» πονηρῷ κατεχόμεναι, ἐκ τῆς κακῆς ἡμῶν τύχης, ἱδροῦ-
» σι, τρέμουσι, γελῶσιν, αἷμα ἐμοῦσι, καὶ κατὰ γῆς
» πίπτουσιν.

28. « Ἡ πανσέληνος τοῦ Καρτίκα [4] μηνὸς ἐγένετο ὁμοία τῇ
» Ἀμαβασιᾷ [5], ὡς περ χρανθεῖσα ἐκ τῆς δυσφημίας ἡμῶν·
» καὶ διάττοντες ἀστέρες πίπτουσιν, ὡς φλόγες πυρὸς
» ἐκ φοβεροῦ στόματος τοῦ Δαίμονος, τοῦ καιροῦ τῆς
» ἀπωλείας ἡμῶν.

29. « Καὶ ὁ Βραχμᾶς δὲ, ὥςπερ μωρανθεὶς, ἄνθη ποιεῖ ἐν
» τοῖς δένδροις ἀντεστραμμένως [6] καὶ παρὰ καιρὸν, καὶ

---

1. Ἐν τοῖς ἑξῆς ὁ ποιητὴς σημεῖα ἀπαίσια διηγεῖται.

2. Κακὸν σημεῖον ἡ θερμότης τῆς Σελήνης ἐν νυκτί.

3. Οἱ Κυνοφάγοι ἐν Ἰνδίᾳ καταδιώκονται ὑπὸ τῶν κυνῶν, διακρινό-
μενοι τῇ ὀσφρήσει, ὡς ἔοικε.

4. Καρτίκας λέγεται ὁ Ὀκτώβριος· ἐν ἐκείνῳ γὰρ τῷ μηνὶ ἡ Σελήνη
λάμπει μᾶλλον ἢ ἐν τοῖς λοιποῖς.

5. Ἀμβασιὰ λέγεται ἡ ἕνη καὶ νέα, ὅτε σκοτομηνία ἐστί.

6. Ἐν ἑνὶ δένδρῳ ἑτεροειδοῦς δένδρου ἄνθη γίνονται.

» ἔμβρυα τῶν ἐγκύων περιττὰ καὶ ἐλλιπῆ τοῖς μέλεσι
» παρὰ φύσιν [1].

30. « Ἐκ μιᾶς γυναικὸς πολλὰ θήλεα παιδία γεννώμενα,
» χορεύουσιν εὐθέως, καὶ γελῶσιν, ὡς χορεύτριαι δρά-
» ματος, τῆς ἀπωλείας τῆς ζωῆς ἡμῶν, εἰσελθοῦσαι εἰς
» τὸν κόσμον, ὡς εἰς θέατρον.

31. « Πῦρ πολύφλογον, ἀναβὰν τὸν αἰθέρα, ὅ ἐστι τὸ πυ-
» ροειδὲς χρῶμα τοῦ οὐρανοῦ [2], βλέπει ἡμᾶς ἀεὶ ἐν ἑσπέ-
» ρᾳ καὶ πρωΐ, τοὺς ὄντας ἐγγὺς θανάτου, βουλόμενον
» καταναλῶσαι ἡμᾶς μετὰ θάνατον [3].

32. « Οἱ μὲν Καουραβαὶ οὗτοι ὡράθησαν ὑπ' ἐμοῦ ἐν ὕπνῳ,
» ἐρυθρὰ ἔχοντες κοσμήματα καὶ ἄμφια, ἐποχούμενοι ὑψη-
» λαῖς καμήλοις, καὶ πορευόμενοι μετὰ σπουδῆς εἰς τὸ νό-
» τιον μέρος, ὡς εἰς τὸν οἶκον τοῦ βασιλέως τῶν νεκύων.

33. « Οἱ δὲ νεώτεροί μου ἐκεῖνοι ἀδελφοὶ ὡράθησαν ὑπ' ἐμοῦ
» ἐν ὀνείρῳ, καθήμενοι, ὡς νικηφόροι, ἐπ' οἰκίας χιλιω-
» ρόφου [4], ὡς ἐπὶ πραγματικῆς ἑαυτῶν ἀρετῆς.

34. « Ὡράθησάν μοι ἐν ὕπνῳ, ὁ μὲν Ἰνδιστίρας, βασιλεὺς
» ὢν τῆς γῆς, ὁ δὲ Βήμας ἐπ' ὄρους, ὁ δ' Ἀρζούνας βού-
» τυρον καὶ ὀρυζόγαλα ἐσθίων, ὁ δὲ Νακούλας καὶ ὁ
» Σαχαδέβας ἐπ' ἐλεφάντων, ὁ δὲ Κρισνᾶς καὶ ὁ Σατε-
» κῆς ἐπὶ φορείων.

35. « Ἐν μὲν τῷ στρατῷ τῶν σῶν υἱῶν ἑπτὰ οὗτοι ὡράθησαν
» ὄναρ, ἔχοντες λευκὰ περιβόλαια, καὶ χρίσματα [5], καὶ

---

1. Ἔξω τοῦ γένους, παρὰ φύσιν· ἐκ μὲν βοὸς ὄνος, ἐξ ὄνου δὲ βοῦς.

2. Ἡ ἐν ἑσπέρᾳ καὶ πρωΐ ἐρυθρότης τοῦ οὐρανοῦ κατὰ τὸ ἀνατολικὸν καὶ δυτικὸν μέρος, σημεῖον κακόν.

3. Αὐτολεξεί, βουλόμενον καταφαγεῖν ἡμᾶς μετὰ θάνατον.

4. Χιλιωρόφου οἴκου, ὑψηλοῦ.

5. Ἐκ Σανδάνου λευκοῦ.

» στεφάνους ἐξ ἀνθέων, λευκῶν· ἐν δὲ τῷ στρατῷ τοῦ Δου-
» ριοδάνα τρεῖς [1], ὁ Κριπᾶς, ὁ υἱὸς τῆς Κριπῆς [2], καὶ
» ὁ γενναῖος Κριταβάρμας.

36. » Οὗτοι οἱ δέκα ἥρωες, οἱ ἐγκαλειφθέντες ὑπὸ τοῦ θανά-
» του, κορεσθέντος ἐξ ἀμφοτέρων τῶν στρατῶν, ζώπυρον
» ἔσονται ἐπὶ γῆς τῆς φθαρείσης φυλῆς τῶν Ξατρῶν [3].

37. « Τοιγάρ τοι μὴ φοβοῦ, μῆτερ· ὁ γὰρ θάνατος, φοβού-
» μενός πως, οὐκ ἐλεύσεται πρὸς τοὺς πέντε Πανδοΐδας·
» πορεύσεται δὲ μᾶλλον πρὸς τοὺς ἑκατὸν Καουραβάς·
» τίς γὰρ οὐκ ἔρχεται κατὰ τὸ μέρος τῶν πολλῶν ἐν πο-
» λέμῳ; »

38. « Εἰ καὶ τοῦτό ἐστιν, ἔφη ἡ Πριτὰ, δὸς ὅμως ἀσφάλειαν
» (ἀφοβίαν) τοῖς νεωτέροις σου ἀδελφοῖς· τοῦ γὰρ υἱοῦ,
» καίπερ ἐν ἀγαθοῖς ὄντος, ἡ καρδία τῶν γονέων ὑποψίαν
» ἔχει κακῶν.

39. « Ἐγὼ δεδεμένος εἰμὶ λόγῳ, ἔφη ὁ Καρνᾶς, εἰς ἀναίρεσιν
» τοῦ Ἀρζούνα, ὦ μῆτερ· ὅθεν ἐκτὸς τούτου, τοῖς λοιποῖς
» τέσσαρσιν, οὗσιν ἐν κινδύνῳ, ἀσφάλεια δίδοται παρ' ἐμοῦ.

40. « Αἰσχυνοίμην γὰρ ἂν παραβὰς ἐν πολέμῳ τὸν λόγον, ὃν
» ἐπηγγειλάμην [4] ἐνώπιον πολλῶν βασιλέων· ἀλλὰ μηδὲ
» μικρός τις φόβος ἔστω σοι πάλιν, ὦ μῆτερ· οὗτος γὰρ
» ὁ Ἀρζούνας οὐ τεθνήξεται ὑπ' ἐμοῦ.

41. « Πρότερον ἐν τῇ περὶ τὰ ὅπλα γυμνάσει [5] ἐκ τῆς ἧς εἶ-
» χον ἔριδος πρὸς τοῦτον τὸν Ἀρζούναν, ὡς οἰηματίας,
» ἤτησα πολλαῖς δεήσεσι τῷ διδασκάλῳ Δρόνᾳ τὴν

---

1. Ἔχοντες τὰ αὐτὰ λευκὰ ἄνθη καὶ κοσμήματα.
2. Ὁ Ἀσβατάμας.
3. Ἀναστήσουσι σπέρμα ἐν τῇ φυλῇ τῶν Ξατρῶν.
4. Ἐπηγγείλατο, ὡς ἀναιρέσει τὸν Ἀρζούναν.
5. Ἱστορίαν λέγει ὁ Καρνᾶς, εἰς πληροφίαν τῆς μητρός.

» Βραχμάστραν [1] τὴν διδαχθεῖσαν αὐτῷ τῷ Ἀρζούνᾳ.

42. «Καταφρονηθεὶς δ' ὑπὸ τοῦ διδασκάλου ἐκ τῆς πρὸς τὸν » Ἀρζούναν ἀγάπης, εἰπόντος, ὡς οὐ διδακτέα πως ἐστὶν » ἅπασα ἡ μάθησις τῷ μὴ γινώσκοντι τὸ ἑαυτοῦ γένος, » ἐπορεύθην εἰς τὸν Μαχένδραν, τὸ ὄρος, ἔνθα ἦν ὁ Πα- » ρασουράμας.

43. « Εἰδὼς δ' ἔγωγε, ὡς οὗτος οὐ διδάξει με τὴν Βραχμά- » στραν, ὡς μέγας ὢν ἐχθρὸς τῶν Ξατρῶν, ἔχων στολὴν » Βραχμανικὴν, καὶ ἡδύνων τὸν διδάσκαλον πολλῇ θερα- » πείᾳ, ποίαν τοξικὴν μάθησιν οὐκ ἔμαθον ;

44. » Καί ποτε βοῦς τις θήλεια ἀνηρέθη ὑπ' ἐμοῦ, περιερχο- » μένου τὸ δάσος, καὶ παραφρονοῦντος ἐξ ἄκρας οἰήσεως » τῆς πρὸς ἐμὲ χάριτος τοῦ διδασκάλου· ὁ δ' ἀρρὴν βοῦς, » φοβηθεὶς, ἔφυγε ταχέως.

45. « Εἶτα δὲ Βραχμάν τις, ὃς ἦν κύριος τῆς βοὸς, τρέμων » ἐκ δεινοῦ θυμοῦ, καὶ ταραττόμενος τὸν νοῦν, κατηρά- » σατό μου λέγων· « Ἐν τῷ πρὸς ἐκεῖνον [2] πολέμῳ, ὃν νι- » κῆσαι ἐπιθυμεῖς, εἰσδύτωσαν εἰς τὴν γῆν οἱ τροχοὶ τοῦ » ἅρματός σου. »

46. « Καί περ δ' ὑπ' ἐμοῦ ἱκετευόμενος ἐκεῖνος ὁ Βραχμὰν » λόγοις μειλιχίοις, οὐκ ἀφῆκεν ὅμως τὸν θυμόν· τὸ γὰρ » πῦρ, τὸ ἐξαφθὲν ἐν δάσει ὄρους, οὐ καταπαύεται ὕδα- » τος προσχύσεσιν, ἐὰν μὴ κατακαύσῃ.

47. « Καί τοι δ' ἡ ἐμὴ καρδία ἤλγει ἐκ τῆς ἐμπαγείσης ἐκεί- » νης ἀρᾶς, δίκην ἥλου, καὶ τεταραγμένος ἦν τὸν νοῦν, » πολλὰς ὅμως ὁπλικὰς μαθήσεις κατὰ τάξιν ἔμαθον πρὸς

---

1. Ἡ Βραχμάστρα ἐπῳδή ἐστιν, ἣ φερομένη μετὰ τοῦ ὅπλου, οὐδέ- ποτε ἀνεμιώλιος εἴη ἄν.

2. Δηλ. τὸν Ἀρζούναν.

» τῇ Βραχμάστρᾳ, χάριτι τοῦ διδασκάλου, ὥστε ὡς ἀ-
» θέρα νομίζειν τὸν Ἀρζούναν.

48. « Καί ποτε ὁ διδάσκαλος ὕπνωττεν ἡδέως, ἔχων τὴν ἑαυ-
» τοῦ κεφαλὴν τεθειμένην ἐπὶ τοῦ ἐμοῦ μηροῦ· ἐγένετο
» δέ μοι ἐξαίφνης ἄλγος κατὰ τὸν μηρὸν, ἀνώτερον τοῦ
» ἐν τῇ καρδίᾳ ἐκ τῆς ἀρᾶς.

49. « Ἕως οὖν σκέψωμαι τί εἴη τοῦτο τὸ ἄλγος, μηδαμῶς
» σαλευόμενος, ἵνα μὴ ἀφυπνώσῃ ὁ διδάσκαλος, ἐν το-
» σούτῳ ἐξῆλθεν εἷς σκώληξ ὀκτάπους, διατερῶν μου τὸν
» μηρὸν, Μανουκάξας τοὔνομα, στόμα ἔχων ὡς κεραυνόν.

50. « Ἀφυπνώσαντος δὲ τοῦ διδασκάλου, θυμωθέντος λίαν,
» διὰ τὸ εἶναι καθημαγμένος τῇ ἐκ τοῦ μηροῦ αἱμορροΐᾳ,
» καὶ πυθομένου τί εἴη τοῦτο, ἐδείχθη ὑπ' ἐμοῦ ὁ κερυ-
» νόστομος ἐκεῖνος σκώληξ, ὁ δακών με.

51. « Ἀποτεφρωθεὶς δ' ὁ σκώληξ ἐκεῖνος ὑπὸ τοῦ ὁσίου, ἐμ-
» βλέψαντος βλέμματι θυμώδει, ἔλαβε σῶμα καλὸν λυτρω-
» θεὶς τοῦ κακοῦ· καὶ προσκυνήσας τὸν διδάσκαλον, ἔφη
» αὐτῷ·

52. « Ἐγὼ, ὦ μέγα ὅσιε, δαίμων εἰμὶ, Βαρτσοῦς ὀνόματι [1],
» ὃς μέγα ἁμαρτὼν, ἀρὰν ἔλαβον παρὰ τοῦ Βριγοῦ· νῦν
» δὲ λυτρωθεὶς τῆς φύσεως τοῦ σκώληκος, χάριτι τῆς σῆς
» ὁράσεως, ἔχω τὴν πρώτην φύσιν. » Ταῦτ' εἰπὼν ἄφαν-
» τος ἐγένετο.

53. « Ἀπιδὼν δ' ἔπειτα εἰς ἐμὲ ὁ μέγας ὅσιος βλέματι θυμώ-
» δει καὶ ὀξεῖ, ἔφη· « Σὺ οὐκ εἶ Βραχμὰν, ἀλλὰ Ξατρῆς,
« ὃς καὶ δειχθεὶς, ἀκλόνητος ἔμεινας· ποῦ γὰρ τῷ Βραχ-
« μᾶνι τοσαύτη καρτερία ;

---

1. Ἔνιοι λέγουσιν, ὡς ὁ Ἴνδρας μετεμορφώθη εἰς τοῦτον τὸν σκώληκα, ἵνα καταράσηται ὁ Παρασσουράμας τοῦ Καρνᾶ, ὃς ἐμάνθανεν τὴν ὁπλικὴν εἰς ὄλεθρον τοῦ Ἀρζούνα, τοῦ υἱοῦ αὐτοῦ.

54. « Ὦ κάκιστε, αὕτη ἡ καλὴ καὶ ἄμωμος μάθησις, ἣν με-
« μάθηκας, ὡς ἠβούλου, ἀπάτῃ χρησάμενος, ἔστω σοι
« ἄχρηστος, καθὼς ἡ ὑπερλάμπουσα Σελήνη, τοῦ οὐρανοῦ
« ὄντος ἐπινεφέλου.

55. « Ἣν Βραχμάστραν βραχμανικῷ σχήματι ἐδιδάχθης, αὕτη
« ἐν καιρῷ μεγάλου πολέμου, καὶ ἐν τῇ ἡμέρᾳ τοῦ θανά-
« του σου ἀπολεσθήσεται, καὶ ἀσύμφορος ἔσεται εἰς ἀναίρε-
« σιν τῶν ἐχθρῶν. »

56. « Μετὰ τοσαύτην θεραπείαν πρὸς τὸν διδάσκαλον, ὦ μῆ-
» τερ, ἀρά μοι ἐγένετο εἰς θλῖψιν, ἀναιρετικὴ τῆς ὁπλι-
» κῆς μαθήσεως· τῶν γὰρ ἀτυχῶν, φασι, πᾶσα σπουδὴ
» καὶ ἐπιμέλεια εἰς μείζω ἀτυχίαν ἐπιγίνεται.

57. « Πρὸς δὲ τούτοις, τῶν Πανδοϊδῶν πορευομένων εἰς ἔρη-
» μον, καί περ κωλυθεὶς νύκτωρ ἐν ὀνείρῳ ὑπὸ τοῦ
» Ἡλίου, ἐν ἡμέρᾳ ὅμως ἔδωκα τῷ Ἴνδρᾳ, αἰτήσαντι ἐν
» σχήματι Βραχμᾶνος, ἄμφω τὰ ἐνώτια καὶ τὸν θώρακα [1].

58. « Ἐκ μὲν δὴ τῆς ἀρᾶς τοῦ Βραχμᾶνος ἡ γῆ καταπιεῖται
» τοὺς τροχοὺς τοῦ ἅρματός μου ἐν πολέμῳ· ἐκ δὲ τῆς
» ἀρᾶς τοῦ διδασκάλου, ἄχρηστος ἔσται μοι ἡ Βραχμά-
» στρα· τὸ δὲ ζεῦγός μου τῶν ἐνωτίων ἀπώλετο, τὸ λάμ-
» πον, ὡς Ἥλιος, ἀπέναντι τῶν ἐχθρῶν.

59. « Ἀπώλετο καὶ ὁ θώραξ, ὁ ἀδιάῤῥηκτος καὶ τῷ κεραυνῷ,
» τῷ ῥιπτομένῳ μετὰ θυμοῦ ὑπὸ τοῦ Ἴνδρα. Τίνι τοίνυν
» πλεονεκτήματί μου νικηθείη ἂν ἐν πολέμῳ ὁ Ἀρζούνας,
» ὑφ' οὗ ἐνικήθη καὶ αὐτὸς ὁ Ῥούδρας ;

60. « Χαρεὶς δ' ὅμως ἐπὶ τῇ ἐμῇ καρτερίᾳ ὁ Ἴνδρας, τοῦ τὰ

---

1. Μεγαλόδωρος γὰρ ἦν καὶ φιλόδωρος ὁ Καρνᾶς. Ὁ Ἴνδρας ἠπάτη-
σεν αὐτὸν εἰς νίκην τοῦ υἱοῦ Ἀρζούνα· ὁ μὲν γὰρ θώραξ ἦν ἀδιάῤῥηκτος,
τὰ δ' ἐνώτια, ὡς δύω ἥλιοι, εἰς ἀμβλυωπίαν φέροντες τοὺς ἀντιβλέ-
πoντας.

» μὲν ὦτα [1] διασχίσαντος, τὸ δὲ σῶμα ἐκδείραντος [2], » καὶ δόντος αὐτῷ τά τε ἐνώτια καὶ τὸν θώρακα, ἀντέ- » δωκέ μοι μίαν λόγχην, ἀναιρετικὴν ἑνὸς ἥρωος· αὕτη » ἐστὶν ἡ ἐμὴ ἐλπίς [3].

61. « Ἀλλὰ καὶ αὕτη ἡ λόγχη οὐκ ἰσχύει ἀπαραιτήτως (ἀναγ- » καίως) κατὰ τοῦ Ἀρζούνα, φυλαττομένου [4] τῇ συμβου- » λῇ τοῦ Ἴνδρα· ὅθεν οἱ νεώτεροί μου ἀδελφοὶ, νικήσαν- » τες πάντας παντοίως, πάντων τῶν μερῶν τῆς γῆς βα- » σιλεύσουσιν.

62. « Ἔγω γε μὲν οὖν γινώσκω τὸν ἐμαυτοῦ θάνατον, ὁραθέν- » τα ἐν ὀνείρῳ· ἀλλὰ καὶ οὕτως ὄλβιός εἰμι, μῆτερ, διότι » σὺ, ἡ οὖσα ἁγιωτέρα πάντων τῶν ἁγίων τόπων, ὁρᾷ » ὑπ' ἐμοῦ νῦν ἐν καιρῷ τῆς ἐξορμήσεως. »

63. Τοιαῦτα εἰπὼν ὁ Καρνᾶς, προσκυνήσας τοὺς πόδας τῆς μητρὸς, προσέταξεν ἔξοδον τῷ ἑαυτοῦ στρατῷ· ἡ δὲ Πριτὰ, λαβοῦσα ἐκ τοῦ λόγου τοῦ υἱοῦ καὶ χαρὰν, καὶ λύπην μεγάλην [5], ἀνεχώρησεν οἴκαδε.

64. Ἔχων δ' ὁ Πουροχύτας ἀνὰ χεῖρας στάμνον πλήρη ὕδα-

---

1. Τὼ ὦτε, ἐν δυϊκῷ ἀριθ. φέρει τὸ πρωτότυπον.

2. Σὺν τούτοις ἐγεννήθη, διὸ καὶ προσκολλημένα ἦσαν τῷ σώματι αὐτοῦ.

3. Ἵνα μὴ εἴπῃ, ἐπειδὴ τόν τε θώρακα καὶ τὰ ἐνώτια ἀπώλεσας, καὶ ἀρὰς ἔλαβες, διὰ τί βούλει πολεμεῖν; διὰ τοῦτο ἐπιφέρει, ὅτι μία μόνη μοι ἐλπὶς λείπεται, ἡ λόγχη, ἣν ἐχαρίσατό μοι ὁ Ἴνδρας, ἀναιρετικὴ οὖσα ἑνὸς ἥρωος.

4. Φυλαττομένου, προσέχοντος. Οἱονεὶ ἔλεγεν· ἐγὼ δι' ἐκεῖνον φυλάττω αὐτήν· ἀλλ' ἐνδέχεται μὴ τυχεῖν ἐκεῖνον ἐνώπιόν μου ἐν ἀνάγκῃ, ἀλλ' ἄλλον τινα ἥρωα· προσέχει γὰρ ἐκεῖνος, καὶ διὰ τοῦτο οὐκ ἔρχεται ἐνώπιόν μου ἁπλῶς, καὶ ὡς ἔτυχε.

5. Χαρὰν μὲν, ὅτι οἱ πέντε ζήσονται, λύπην δὲ, ὅτι ὁ Καρνᾶς τεθνήξεται.

τος [1], δ ἐμιάνθη τῇ δακρυῤῥοΐᾳ τῶν πασχόντων ὀφθαλμῶν ἐκ τῆς κόνεως, τῆς ἐξανισταμένης ὑπὸ σφοδροῦ ἀνέμου, ἔλουεν ἐν τῇ ἐξόδῳ τὸν βασιλέα Δουριοδάναν ἄνευ ἐπωδῆς· ἐπελάθετο γάρ [2].

65. Τῶν δὲ πρὸς τοῦτον σωτηριωδῶν εὐχῶν μὴ ἐξερχομένων ἐκ τῶν στομάτων τῶν Βραχμάνων, ἵνα μὴ φανεῖεν ψευδεῖς, οἱ Βραχμᾶνες, ἕλκοντες ταύτας βίᾳ, χθαμαλῇ τῇ φωνῇ ἐξεφώνουν, ὥςπερ πολὺ πονήσαντες [3].

66. «Σὺ μετὰ τοῦ στρατοῦ ἐν τούτῳ τῷ δεινῷ πολέμῳ, κα-» ταβαλὼν ἐχθροὺς ἀπείρους, καὶ ἀνελὼν γενναίους ἥρωας, » βασίλευε ἐπὶ μήκιστον μετὰ τῶν ἀδελφῶν τῆς γῆς » ἁπάσης [4].»

67. Ὁ δὲ Δουριοδάνας, ὢν ἐφ' ἅρματος, ὡς ἐπ' οἴκου θανάτου, ἔχαιρεν (ἄφρων!), ἀκούων τῶν εὐχολογιῶν τῶν εὐχολόγων [5], ἃς οἱ φρόνιμοι, ἐξηγουντες τοὐναντίον [6], ἤχθοντο.

68. Ἡ πρόγονος Σελήνη, ἥ ἐστι τὸ σκιάδιον τούτου τοῦ Δουριοδάνα, ἔπεσεν εἰς γῆν, ὥςπερ λέγουσα ἀριδήλως· «Ὅς » τις ποιεῖ πολλὰ κακά, οὗτος αἰτία γίνεται τῆς πτώ-» σεως τῶν προπατόρων [7].»

---

1. Ἐν τοῖς ἑξῆς λέγει ὁ ποιητὴς τὰ συμβάντα κακὰ σημεῖα ἐν τῇ ἐξόδῳ τοῦ στρατοῦ.

2. Σημεῖον κακὸν, τὸ μιανθῆναι τὸ ὕδωρ, καὶ ὁ σφοδρὸς ἄνεμος, καὶ τὸ ἐπιλαθέσθαι τῆς μυστικῆς εὐχῆς, τῆς ἐπῳδῆς.

3. Καὶ τοῦτο κακὸν σημεῖον, τὸ ἐκφωνεῖν φωνῇ χθαμαλῇ τὰς εὐχάς.

4. Αὕτη ἐστὶν ἡ εὐχή.

5. Ὑμνολόγων.

6. Ἐ τῆς συνθέσεως καὶ σημασίας τῶν λέξεων καὶ ἄλλη ἔννοια ἐννοεῖται· «Σὺ μετὰ τοῦ στρατοῦ, καταβληθεὶς ὑπ' ἐχθρῶν ἀπείρων, ἀπό-» λαυσον τοῦ οὐρανοῦ, διαβὰς τὸν θερμὸν Ἥλιον.»

7. Ὁ γὰρ υἱὸς, ποιῶν κακὰ, αἴτιος γίνεται τῆς πτώσεως τῶν πατέρων ἐξ οὐρανοῦ εἰς ᾅδην.

69. Ἡ δὲ παρθένος, ἡ ἤρχετο ἐνώπιον τοῦ Ἰνδιστίρα ἐπ' ἀγαθῷ, ὡς ἀγαθὴ νίκη, ἔχουσα ἐπὶ κεφαλῆς στάμνον πλήρη ὕδατος, προσκρούσασα καὶ πεσοῦσα, ἔκλαιε καὶ ἐθρήνει μεγαλοφώνως [1].

70. Ἔπεσε δὲ καὶ τὸ καλὸν διάδημα, ἐγκαταλιπὸν τὴν κεφαλὴν τούτου τοῦ βασιλέως ἐκ φόβου, διότι κακὸν ἔμελλεν ἔσεσθαι αὐτῷ ἐκ τῶν πληγῶν τῶν πολεμίων ἡρώων.

71. Ἔπεσε πρὸς τούτοις καὶ ὁ αἴσιος λαμπτὴρ [2], ὁ ὢν σύμβολον τῆς λαμπρότητος τοῦ βασιλέως, ἐκ τῆς τρεμούσης χειρὸς τοῦ λαμπαδούχου, φοβηθέντος ἐξ ἀγρίας φωνῆς δύω γαλῶν, σύνεγγυς μαχομένων [3].

72. Ὁ δ' ἦχος τοῦ τυμπάνου, ὁ σημαντικὸς τῆς ἐξόδου, ἀπηχὴς ἦν καὶ ἄχαρις, καὶ ὥςπερ κλαυθμὸς τῆς ἀγαθῆς νίκης, διαῤῥαγέντος τοῦ τυμπάνου ἐκ τοῦ Ἰσφοδροῦ κρούσματος τοῦ ὑπερηφάνου τυμπανιστοῦ.

73. Καί τοι δ' ἐκωλύετο οὗτος ὁ Δουριοδάνας, ὑπό τε τῶν συνεχῶν κακῶν οἰωνῶν καὶ ὑπὸ τῶν συμπορευομένων πολυνόων καὶ πολυόπλων, τοῦ τε Βήσμα, καὶ Δρόνα, καὶ Κριπᾶ, ἐπορεύετο ὅμως ὁ ἄφρων.

74. Τότε ἐκ τῶν θηλέων ἐλεφάντων πολὺς χυμὸς ἀνεφάνη [4], καὶ ἐφαίνετο, ὥς περ εἰ ἐδόθη αὐταῖς ὁ χυμὸς παρὰ τῶν ἀῤῥένων ἐλεφάντων, ἐξιόντων εἰς πόλεμον, ὡς παρὰ τοῦ ἀνδρὸς, ἀποδημοῦντος, δίδοται ἡ περιουσία τῇ γυναικί [5].

---

1. Καὶ τοῦτο κακὸν σημεῖον.

2. Ἡ ἐπτάφωτος λυχνία.

3. Δύω ἀπαίσια, καὶ ἡ πτῶσις τοῦ λαμπτῆρος, ὃς προηγεῖται, ὡς αἴσιος, καὶ ἡ μάχη παρουσῶν δύω γαλῶν· ἀπαίσιον γὰρ κρίνεται τὸ διϊέναι γαλῆν ἐν ἐξόδῳ τινός.

4. Ἐκ τούτου σημᾶναι βούλεται, ὅτι κακὸν σημεῖον καὶ τοῦτο ἦν· οἱ γὰρ θήλυες ἐλέφαντες οὐκ ἐκρέουσι χυμόν.

5. Καθὼς ὁ ἀποδημῶν ἀφίησι τὴν περιουσίαν παρὰ τῇ γυναικὶ αὐτοῦ.

75. Ἐκ δὲ τῶν συνεχῶν πυρκαϊῶν, αἳ συνέβησαν τότε, θερμότης μεγάλη ἐγένετ' ἂν ἐν γῇ, εἰ μὴ ὕδωρ ἔπιπτε πολὺ ἀπὸ τῶν ὀμμάτων τῶν βαδιζόντων ἵππων [1].

76. Ὑπὸ δὲ τῶν ἵππων, φοβηθέντων ἐκ δεινῶν φωνῶν δύω ἐλεφάντων μαχομένων, ἐφέροντο τὰ ἅρματα ἀτάκτως, ὧν οἱ μὲν τροχοὶ ἦσαν κατεαγότες, ἡ δ' ἡνίοχοι ἐμβρόντητοι, οἱ δὲ ζυγοὶ σεντετριμμένοι, οἱ δὲ χαλινοὶ διερρηγμένοι [2].

77. Ἐγὼ νομίζω, ὅτι πορευόμενοι οἱ στρατιῶται, οὑτωσὶ ἐδιδάσκοντο ὑπὸ τῶν σημαιῶν, τῶν σαλευομένων διὰ τοῦ ἀέρος, τοῦ πνέοντος ἔμπροσθεν [3]· « Μὴ πορεύεσθε εἰς » τὸ πρόσω, ἀλλὰ στρέψατε εἰς τοὐπίπω· ἀποθανεῖσθε » γὰρ πάντως. »

78. Ἀφίκετο δ' ὁ Βασιλεὺς Δουριοδάνας εἰς τὴν Κουρουξέτραν, ληψόμενος δόξαν, εὐφραινόμενος, καὶ λίαν ἐπαιρόμενος, μετὰ τοῦ στρατοῦ, ὃς ἐστρατοπέδευσεν ἐν γῇ πάντα ἐχούσῃ τὰ ἀγαθά.

79. Ἔστη οὖν ὁ ἀπέραντος, ὡς Ὠκεανὸς [4], στρατὸς τοῦ βασιλέως, βοὴν ποιῶν καὶ διακυμαινόμενος τοῖς πηδητικοῖς ἵπποις, καὶ ἀγλαϊζόμενος τοῖς ἐλέφασιν, ὡς νέφεσι, καὶ ταῖς σκηναῖς, ὡς ὄρεσι, καὶ λάμπων τοῖς ὅπλοις, ὡς πυρί.

80. Καὶ ὑπὸ μὲν τοῦ Δουριοδάνα ἐχειροτονήθη ἀρχιστράτηγος ὁ υἱὸς τῆς Γαγγᾶς, εἰπὼν τάδε· « Ἔγωγε τοὺς μὲν » Πανδοΐδας οὐκ ἀναιρέσω [5]· τῶν δὲ λοιπῶν πολεμικῶν ἐν » μιᾷ ἡμέρᾳ μίαν μυριάδα ὀλέσω. »

---

1. Καὶ τοῦτο κακὸν σημεῖον, τὸ δακρυβροεῖν ὑπὲρ τὸ μέτρον τοὺς ἵππους.

2. Κακὸν σημεῖον καὶ τοῦτο.

3. Κακὸν σημεῖον καὶ τὸ πνέειν ἐμπροσθεν τὸν ἀέρα.

4. Ἐπὶ γὰρ τοῦ Ὠκεανοῦ νέφη κατιᾶσιν, εἰς τὸ λαβεῖν ὕδωρ, καὶ ὄρη εἰσὶ, δηλ. νῆσοι, καὶ πῦρ ἐστι, καὶ τὰ κύματα ἦχον ποιοῦσι.

5. Δηλονότι τρώσω αὐτοὺς πολεμῶν, ἀλλ' οὐκ ἀφαιρέσω τὴν ζωὴν αὐτῶν.

81. Ὑπὸ δὲ τοῦ Ἰνδιστίρα ἑπτὰ στρατηγοὶ ἐχειροτονήθησαν, ὁ γενναῖος Σατεκὴς [1], ὁ βασιλεὺς τῆς Μαγάδας, ὁ Δρυσταδιούμνας, ὁ Βιράτας, ὁ Δρουπάδας, ὁ Σικανδὴς, καὶ ὁ βασιλεὺς τῆς Σέδης.

82. Τὴν δ' ἀρχιστρατηγίαν ἔλαβεν ὁ Ἀρζούνας, χαρεὶς ἐπὶ τῷ ὑποσχέσθαι τὸν Κρισνᾶν γενήσεσθαι ἡνίοχον. Τούτοις δὴ τοῖς ὀκτὼ στρατηγοῖς περιεπόμενος ὁ Ἰνδιστίρας, ἠγλαΐζετο, καθὼς ὁ Ἥλιος τοῖς ὀκτὼ πλάνησι.

83. Γνώμης δὲ περὶ πολέμου γεγενημένης ἐν ἀμφοτέροις τοῖς στρατοῖς, ὁ Βαλαράμας [2], ἀχθεσθεὶς ἐπὶ τοῖς δεινοῖς τοῦ οἰκείου γένους, λαβὼν ἄδειαν παρὰ τοῦ Ἰνδιστίρα, ἀνεχώρησεν εἰς προσκύνησιν ἁγίων τόπων, τῶν ὄντων ἐπὶ τῆς ὄχθης τῆς Σαρασβατῆς.

84. Ἐνταῦθα ὁ βασιλεὺς Ῥουκμὴς [3], ἔχων μίαν Ἀξαουχινὴν, ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ χώραν, ἀποδιωχθεὶς ὑπό τε τοῦ Ἰνδιστίρα καὶ τοῦ Δουριοδάνα, εἰπὼν ἑκατέρῳ· « Ὁμολό-» γησον ἐμὲ καταφύγιον [4], καὶ τότε βοηθήσω σοι. »

85. Ὁ μὲν οὖν Δουριοδάνας ἠρώτησε τοὺς λογάδας ἥρωας· « Διὰ πόσου χρόνου ἕκαστος ὑμῶν τῶν θυμοειδῶν οἷός τέ » ἐστι τὰς ἑπτὰ νικῆσαι Ἀξαουχινὰς τοῦ Ἰνδιστίρα ἐν τῷ » μεγάλῳ τούτῳ πολέμῳ; »

86. Ἀπεκρίναντο λέγοντες, ὁ μὲν Βήσμας καὶ ὁ Δρόνας, ἱκανοὶ εἶναι εἰς ὄλεθρον τοῦ ἐχθροῦ, ἐν τριάκοντα· ὁ δὲ Κριπᾶς, ἐν ἑξήκοντα· ὁ δὲ Ἀσβατάμας ἐν δέκα· ὁ δὲ Καρνᾶς ἐν πέντε ἡμέραις.

---

1. Ὁ υἱὸς τοῦ Ζαρασάνδα.

2. Ὁ Βαλαράμας ἀδελφὸς ἦν τοῦ Κρισνᾶ, καὶ διδάσκαλος τοῦ Δουριοδάνα εἰς τὴν ῥοπαλομαχίαν.

3. Ὁ Ῥουκμὴς ἀδελφὸς ἦν τῆς Ῥουκμινῆς, γυναικὸς τοῦ Κρισνᾶ.

4. Ὅτι δι' ἐμοῦ νικήσεις δηλ.

87. Διακριθέντων δὲ τῶν Μαχαρατῶν ὑπὸ τοῦ Βήσμα, τοῦ σιλέως ἐρωτήσαντος, ἀριθμηθεὶς ὁ Καρνᾶς ἐν τοῖς Ἀρδδαράταις, ἐβεβαίωσε πάλιν θυμῷ τὸν πρῶτον ἐκεῖνον λόγον [1].

88. Ἐξαποσταλεὶς δ' ἄγγελος, ᾧ ὄνομα Οὐλούκας, παρὰ τοῦ Δουριοδάνα, ἑτοίμου ὄντος εἰς πόλεμον, εἴρηκε τῷ Ἰνδιστίρα, ὄντι ἐν συνόδῳ, ῥήματα πικρὰ καὶ θυμοδακῆ·

89. « Τίνος δυνάμει πεποιθὼς, ὦ βασιλεῦ, βούλει πόλεμον » ποιῆσαι κατὰ τοῦ Δουριοδάνα, τοῦ ἐλέφαντος; οὐκ ἔστι » τοῦτο κυβεία· νικηθεὶς γὰρ ἤδη, οὐκ ἀπελεύσῃ ζῶν σὺν » τοῖς οἰκείοις ἀδελφοῖς.

90. « Ἄπιθι ἐν τάχει ζῶν· ἄφες τὴν περὶ πολέμου γνώμην· » ἔσθιε πάντοτε [2] ἡδέα βρώματα, διδόμενα παρὰ τῆς » χειρὸς τοῦ Βήμα, τοῦ ὄντος μαγείρου ἐν τῷ οἴκῳ τοῦ » βασιλέως Βιράτα.

91. « Διδότω ἡ καλὴ Δραουπαδὴ σοὶ τῷ ἐν σχήματι ὄντι Βραχ- » μᾶνος, καινὰ ἱμάτια λευκὰ, ὑφανθέντα ἐκ τῶν νημάτων » βάμβακος, τοῦ ξαινομένου τῇ χορδῇ τοῦ τόξου τοῦ Ἀρζούνα.

92. « Ἔχεις ἀφροντίστως ἱμάτια καὶ βρώματα ἀρκετά· μὴ » ἔχε φροντίδα βασιλείας, πρόξενον θανάτου. Διὰ τί, ὦ νή- » πιε, ποιεῖς παρανάλωμα θανάτου καὶ τούτους τοὺς περὶ » σὲ ἐνδόξους βασιλεῖς;

93. « Εἰ δέ σοι ἔφεσίς ἐστιν ἀναβῆναι ἐφ' ἅρμα, ἐφ' ἵππον, » ἐπ' ἐλέφαντα καὶ ἐπὶ φορεῖον, ποίησον δουλείαν τῷ Δου-

---

1. Ὃν εἶπεν, ὅτι τότε πολεμήσει, ὅταν ὁ Βήσμας ἀποθάνῃ. Ἐρωτήσαντος τοῦ βασιλέως, τίνες εἰσὶ Μαχαράται, καὶ τίνες Ἀρδδαράται, ὁ Βήσμας ἄλλους μὲν εἶπε Μαχαράτας· τὸν δὲ Καρνᾶν Ἀρδδαράταν. Μαχαράτας δ' ἐτυμολογεῖται, ὁ μέγας εἰς τὸ ἅρμα, τουτέστιν ὁ ἐντελὴς εἰς τὴν ἐφ' ἅρματος μάχην· Ἀρδδαράτας δὲ, ὁ ἥμισυς εἰς τὸ ἅρμα, τουτέστιν ὁ ἀτελὴς εἰς τὴν ἐφ' ἅρματος μάχην.

2. Αὐτολεξεὶ, ὅσον ἐφίῃ.

» ριοδάνα, ὃς ἐστιν ἡ Καμαδδενοῦ [1] πρὸς τοὺς ἑαυτοῦ » ὑπηρέτας. »

94. Ἐκ τοιούτων λόγων σκληρῶν ἡ ὄψις τῶν ὀμμάτων τῶν ἡρώων, θυμοῦ πληρωθέντων, ἐρυθρὰ ἐγένετο ἐν μέσῳ τοῦ κόσμου, ὡς ἑσπέρα τῆς νυκτὸς τοῦ θανάτου τῶν Καουραβῶν.

95. Τίνος δὲ τῆς κόρης τῶν ὀμμάτων ἡ γλήνη, μεμιγμένη τῷ πυρὶ τοῦ θυμοῦ, οὐκ ἔπεσεν εὐθέως ἐπὶ τὸν ἄγγελον ἐκεῖνον, ὡς ῥάβδος σιδηρᾶ τοῦ Ἰάμα, μεμιγμένη τῷ πυρὶ τῆς συντελείας;

96. Καὶ ὁ μὲν βασιλεὺς τῆς Σέδης ἥψατο θυμῷ τῆς Σαταγγνῆς [2], σημαίνων διὰ τούτου, ὡς οἱ ἑκατὸν Καουραβαὶ ἀναιρεθήσονται, καὶ ἐποίησε σημεῖον ἐπὶ γῆς πέντε δακτύλων τῷ κρούσματι τοῦ ποδὸς, σημαίνων ὡς οἱ πέντε Πανδοΐδαι στερεοὶ ἔσονται (σωθήσονται).

97. Ὁ δὲ Δρυστακετοῦς ἔδακνε θυμῷ τοῖς ὀδοῦσι τὸ ξίφος, σπινθῆρας ἐκπέμπων· τοῦτο δὲ ὑπό τινος τῶν ἐπὶ τῆς συνόδου οὐκ ἐνομίσθη ὡς στύλος καπνοῦ τοῦ πυρὸς τῆς ἀνδρείας, τοῦ ἁπτομένου ἐν καρδίᾳ [3];

98. Ὁ δὲ Δρυσταδιούμνας τοιοῦτον ἰταμὸν καὶ χαλεπὸν σχῆμα ἐποίησεν ἐκ θυμοῦ, ὥστε ἡ ἐν τῷ γυμνῷ ξίφει ἐμπεσοῦσα αὐτοῦ μορφὴ ἐφαίνετο, ὥσπερ εἰ ἦν ὁ Ἰάμας, τρέμων καὶ λέγων, « Τί ποιήσω; »

99. Ὁ δὲ θυμοειδὴς Ἀβημανιοῦς, τὴν μὲν κόρην τοῦ ὀφθαλμοῦ στρέφων ὡς Σελήνην, τὴν δὲ ὀφρὺν κυρτῶν, ὡς τόξον [4],

---

1. Καμαδδενοῦ, μυθευομένη δάμαλις, ἥ ἐστι πάνδωρος, ὡς τὸ τῆς Ἀμαλθείας κέρας.

2. Σαταγγνὴ, ἐπίθετον λόγχης· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἀναιρεῖν ἑκατόν. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

3. Μέλας ὁ σίδηρος, μέλας καὶ ὁ καπνός.

4. Τὸ μὲν σεληνοειδὲς τῆς κόρης ἀναφέρεται εἰς τὸν Κρισνᾶν, ὃς ἦν ἔμπειρος τοῦ πολεμικοῦ δίσκου, τὰ δὲ τοξοειδὲς τῆς ὀφρύος, εἰς τὸν Ἀρζούναν, ὃς ἦν ἔμπειρος τοῦ τόξου.

ἐγένετο ὅμοιος τῷ πρὸς μητρὸς θείῳ καὶ τῷ πατρί.

100. Οἱ δὲ πέντε υἱοὶ τῆς Κρισνᾶς εἶπον θυμῷ τάδε· « Οὔ-
» τοι οἱ ἑκατὸν ἐχθροὶ ἀναιρετέοι εἰσὶν ἐν πολέμῳ, οἱ μὲν
» ἐπιτετριμμένοι τοῖς δακτύλοις τῶν ποδῶν ἡμῶν, οἱ δὲ
» τοῖς τῶν χειρῶν [1] ».

101. Ὁ δὲ Κρισνᾶς ἐκίνει θυμῷ τάχιστα τὰ βλέφαρα τῶν ὀφθαλμῶν, τὰ πρωταίτια τῆς φορᾶς τῆς ἡμέρας καὶ τῆς νυκτὸς [2], βουλόμενος πλήρη ποιῆσαι ἐν ἀκαρεῖ τὴν μακρὰν ζωὴν τῶν ἐχθρῶν, ἣν αὐτὸς ἐποίησεν [3].

102. Ὁ δὲ Βήμας ᾗ παλάμῃ ἔκρουσε τὸν μέγαν μηρὸν αὐτοῦ θυμῷ, ταύτης ἐκ τοῦ ἤχου, εἰ παρῆσαν οἱ υἱοὶ τοῦ Δρυταράστρα, ἐτεθνήκεισαν ἂν τῷ φόβῳ.

103. Ἡ δὲ γλῶσσα τοῦ Σατεκῆ, διακινουμένη ἐν τῷ ἠνεφγμένῳ στόματι αὐτοῦ, εἰπεῖν τι βουλομένου, ἐφαίνετο ὡς πραγματικὸν πῦρ τοῦ θυμοῦ τῆς καρδίας, ἐξελθὸν εἰς τὸ κατακαῦσαι τὸ γένος τῶν ἐχθρῶν.

104. Ὁ δὲ Νακούλας καὶ ὁ Σαχαδέβας, οἱ δίδυμοι, ἐφάνησαν ὡς δύω χείλη τοῦ θανάτου, ὅς ἐστιν ὡς ὄφις, πίνοντα τὴν πνοὴν τοῦ κόσμου, καθὼς τὰ χείλη τοῦ ὄφεως τὸν ἀέρα· καὶ ἀπέδειξαν τὴν δυάδα τῶν ἑαυτῶν γυμνῶν ῥομ-

---

1. Τούτων γὰρ τῶν πέντε οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν ἑκατὸν συμποσοῦνται.

2. Ἡ ῥοπὴ τοῦ ὀφθαλμοῦ τὸ ἐλάχιστον καὶ πρώτιστόν ἐστι μέτρον τοῦ χρόνου, ᾧ μετρεῖται ἡ ζωὴ τοῦ ἀνθρώπου, ἥτις συμποσοῦται ἑκατὸν ἔτεσιν· ἐκ μὲν γὰρ τῶν ῥοπῶν τοῦ ὀφθαλμοῦ συνίσταται τὸ λεπτόν· ἐκ δὲ τῶν λεπτῶν, ἡ ὥρα· ἐκ δὲ τῶν ὡρῶν, τὸ ἡμερονύκτιον· ἐκ δὲ τοῦ ἡμερονυκτίου ὁ μήν· ἐκ δὲ τῶν μηνῶν, τὸ ἔτος· ἐκ δὲ τῶν ἐτῶν ὁ αἰών· οἱονεὶ ἔλεγε, διὰ τῆς ταχείας ἀνοιγοκλείσεως τῶν ὀφθαλμῶν ἐσήμαινε τὴν ταχείαν συμπλήρωσιν τῆς ζωῆς τῶν Καουραβῶν, τουτέστι, τὸν θάνατον αὐτῶν.

3. Ὁ Κρισνᾶς αὐτός ἐστιν ὁ Βισνοῦς, ὁ ὕπατος τῶν θεῶν.

φαιῶν, ὡς δίχηλον γλῶσσαν ὄφεως, λείχουσαν τὸν αἰθέρα.

105. Ἐξαίσιος δὲ θυμὸς ἐγένετο τῷ Ἀρζούνᾳ, οὗ ἡ μὲν ὀφρῦς ἐχόρευεν ἐπὶ τοῦ μετώπου, ὡς χορεύτρια ἐπὶ θεάτρου· δραματουργὸς δ' ἦν τὸ τόξον, ἡ Γανδίβα· δράμα δὲ, ἡ ἀπώλεια τῶν ἐχθρῶν.

106. Γνοὺς δ' ὁ Οὐλούκας πρῶτον ἑαυτὸν γεννησόμενον καὶ θῦμα καὶ σφάγιον εἰς τὸν μέγαν θυμὸν τούτων, ὡς εἰς πῦρ ἀνθρωποθυσίας, φοβηθεὶς, ὑπανεχώρησε, τῇ νεύσει τῶν ὀφρύων τοῦ Ἰνδιστίρα.

107. Ἀναστάντος δὲ τοῦ Ἀρζούνα εὐθέως, καὶ ἐπαπειλήσαντος πρὸ τοῦ Ἰνδιστίρα, οὑτωσὶ, « Ἐγὼ ἅπασαν τὴν πληθὺν » τῶν ἐχθρῶν ἐχθρικῶς ἐν ἀκαρεῖ ἀπολέσω, τυχὼν τῆς » βοηθείας μόνου τοῦ Κρισνᾶ, » οἱ ἡγεμόνες παρέτατον πάντα τὸν στρατὸν προθύμως.

108. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ καλοῦ διδασκάλου, τοῦ ὀρθοδόξου Ζηναδάττα, ὁ λίαν ἐγκρατὴς καὶ ἀγαθὸς Ἀμάρας, παρ' οὗ ἔλαβε τέλος τὸ πέμπτον Βιβλίον τοῦ μεγάλου Ποιήματος Βαλαβαράτας, ἥ ἐστιν ὡς σειρὰ μαργάρων, ἐξελθοῦσα ἐκ τοῦ νοὸς ἐκείνου, ὡς ἐξ ὠκεανοῦ, καὶ ἀναιρετικὴ τῆς ἀγνοίας.

109. Ἐν τούτῳ τῷ βιβλίῳ πέντε μέν εἰσι κεφάλαια, ἑξακόσιοι δὲ καὶ τριάκοντα πέντε στίχοι, κατὰ τὸ μέτρον τῆς Ἀνουστούπας [1].

Τέλος τοῦ Πέμπτου Κεφαλαίου, τοῦ Πέμπτου Βιβλίου τῆς Βαλαβαράτας, ἧ ἐμπεριέχονται ἀπ' ἀρχῆς μέχρι τοῦδε τριάκοντα Κεφάλαια.

---

1. Πάντοτε ὁ μεταφραστὴς ἐκφέρει ἀρσενικῶς τὴν λέξιν· τοῦ Ἀνουστούπα, ἢ ἀνάρθρως, Ἀνουστούπα· ἐνταῦθα δὲ κατὰ παραδρομὴν ἴσως, τὴν ἐκφέρει θηλυκῶς. (Σημ. τ. Ἐκδ.)

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

διαλαμβάνον τὸν πόλεμον τῆς πρώτης ἡμέρας.

1. Ἀγαθὰ ποιείτω ὁ ποιητὴς τῆς Μαχαβαράτας, ὁ ὢν κάτοπτρον τῆς γνώσεως τῶν ὄντων, ἐν ᾧ πάντα τὰ ἐν κόσμῳ, καί περ καλυπτόμενα ὑπό τε τοῦ χρόνου καὶ τοῦ τόπου, φαίνονται, ὡς ἔχουσι φύσεως.
2. Τῶν μὲν οὖν βασιλέων πάντων συνελθόντων μετὰ νέων καὶ γερόντων εἰς τὴν γῆν τοῦ Κουροῦ τὴν ἀγίαν, παραστὰς ὁ υἱὸς τοῦ Παρασάρα, ὁ Βεάσας, εἴρηκε τῷ Δρυταράστρᾳ·
3. « Θεῖον ὄμμα δίδωμί σοι, ἵνα βλέπῃς τὰ ἐν ἐν τῷ πολέ- » μῳ γινόμενα. » Τοιαῦτα εἰρηκότος τοῦ ὁσίου, « Οὐ δύ- » ναμαι πάντως γε, ἔφη ὁ Δρυταράστρας, τὴν φθορὰν τοῦ » γένους καθορᾶν. »
4. Δοὺς δ' ὁ μέγας ὅσιος ὄμμα θεῖον τῷ Σανζαΐᾳ [1], μέχρι τέλους τοῦ πολέμου, καὶ τῷ βασιλεῖ εἰπών, « Οὗτος ἀναγ- » γελεῖ σοι πάντα, » ἄφαντος εὐθέως ἐγένετο.
5. Ἐλθὼν δ' ὁ Σανζαΐας τῷ νοὶ εἰς τὴν γῆν τοῦ πολέμου, καὶ ἐπανελθὼν, ἤρξατο διηγεῖσθαι τὴν φθορὰν τῶν ἡρώων τῷ βασιλεῖ, ἔνδον ὄντι τοῦ οἴκου [2] καὶ μεγαλαυχοῦντι.

---

1. Ὁ Σανζαΐας ἀρχιβουλευτὴς ἦν τοῦ Δρυταράστρα.
2. Αὐτολεξεί, ὄντι ἐν τῇ κοιλίᾳ τοῦ οἴκου.

6. « Ἄκουσον, ὦ βασιλεῦ βασιλέων· οἱ βασιλεῖς συμφωνή-
» σαντες ἀλλήλοις, ὡς εἴ τις τρέψειε τὰ νῶτα ἐκ πολέ-
» μου, καὶ ἐν δεινῇ στάσει εἴη, οὗτος οὐκ ἀναιρετέος,
» ἠλάλαξαν τὸ πολεμικόν.

7. « Ἐκ μὲν οὖν τῶν στρατοπέδων ἀμφοτέρων τῶν στρατῶν
» ἐξήεσαν ἐπὶ μάχην, ὡς ἐνσώματοι ἀνδρεῖαι, ἄνδρες γεν-
» ναῖοι, θαῤῥαλέοι, καὶ εὔθυμοι.

8. « Ἰδὲ θαυμαστὴν γλυκύτητα τοῦ πολέμου, ἧς εἰς γεῦσιν
» πρόθυμοι ὄντες, οὐδ' ἅπαξ ἔπιον τὸ ἐφετὸν ποτὸν τῶν
» γυναικείων χειλέων, καί περ κρατούμενοι ὑπ' αὐτῶν!

9. « Ὁ μὲν γὰρ τῶν ἡρώων εἴλκετο ταχέως τῆς πολεμικῆς
» σάλπιγγος τῷ μεγάλῳ ἤχῳ, περὶ μηδενὸς ποιούμενος
» τὰ δάκρυα τῆς γυναικὸς, τοῦ τε ἔρωτος εὐθέως ἐπιλαν-
» θανόμενος, καὶ φοβερὸς εἰς πόλεμον γινόμενος.

10. « Ὁ δὲ γενναῖος ὢν, ἀγκαλισάμενος τὴν γυναῖκα αὐτοῦ,
» καὶ ἐκ τῆς θίξεως τῶν δύω μαστῶν εἰς νοῦν λαβὼν τὰς
» κούμβας τοῦ ἐλέφαντος ἐν πολέμῳ, ἀφῆκε τὸ ἐρωτι-
» κὸν, καὶ λαβὼν τὸ ἀνδρικὸν, ἐξῆλθε σπουδαίως.

11. « Ἕτερος ἀπῆει εὐθυμῶν καὶ ἀδημονῶν, ἐπειγόμενος τῇ
» σάλπιγγι· καὶ τῇ μὲν μητρὶ χαρὰν παρεῖχεν, ὅτι μήτηρ
» ἐστὶν ἥρως· τῇ δὲ γυναικὶ, ὅτι γυνή ἐστιν ἥρως.

12. « Ἄλλος ἐπορεύετο ἐπισπερχῶς ἐπὶ μάχην, προτρεπόμενος
» πρὸς τῆς γυναικὸς αὐτοῦ, λεγούσης· « Εἰ ἐγώ εἰμι φιλτά-
« τη σοι, συντρίψας τὰς κούμβας τοῦ ἐλέφαντος, τοὺς
« ὑπερόγκους ἐχθροὺς τῶν ἐμῶν μαστῶν, κόμισόν μοι
« πολλοὺς μαργαρίτας. »

13. « Ἄλλος δ' ἐπορεύετο γελῶν ἐπὶ τῇ γυναικὶ αὐτοῦ, λεγού-
» σῃ· « Σὺ, βαλλόμενος τῇ βολῇ τοῦ ὀφθαλμοῦ μου, φοβού-
« μενος, πίπτεις εἰς τοὺς πόδας μου, τρέμων· πῶς δ' ἆρα
« πολεμήσεις ἀντιπρόσωπος τοῖς βέλεσι; »

14. « Ἄλλος καὶ εἰς τὸν ἔρωτα καὶ εἰς τὸν πόλεμον ὢν ἐπιῤ-

» ρεπὴς, καὶ τὴν γνώμην ἀμφιῤῥεπὴς, ἔβλεπε καὶ τὴν γυ-
» ναῖκα, καὶ τὴν ῥομφαίαν, κρατουμένην τῇ χειρὶ, λάμ-
» πουσαν καὶ τρέμουσαν.

15. « Ἄλλος δ' ἐγέλα ἐπὶ τοιούτοις λόγοις τῆς γυναικός· « Ὦ
« ἄνερ, μὴ ποιῇς σεαυτὸν ματαίως κατεστιγμένον ἐν πο-
« λέμῳ, θεὶς ἐμὲ ἐν τῇ σαυτοῦ καρδίᾳ [1]· σὺ γὰρ εἶ τὸ
« ἐμὸν ἔρεισμα κἀν τούτῳ κἀν τῷ μέλλοντι βίῳ.»

16. «Καί τινος τὴν καρδίαν ἐτάραξεν ἐριστικῶς ἥ τε στρατιὰ
» τῶν πολεμίων, καὶ ἡ γυνή· ἡ μὲν φέρουσα πλόκαμον
» ἄβρὸν, ἡ δὲ ξίφος λαμπρόν· καὶ ἡ μὲν ἀγλαϊζομένη ταῖς
» κούμβαις τῶν ἐλεφάντων, ἡ δὲ τοῖς μαστοῖς· καὶ ἡ μὲν
» ἐκπέμπουσα βολὰς ἐξ ὀμμάτων, ἡ δὲ βέλη ἐκ τόξων.

17. « Ἑτέρῳ δέ τινι ταῦτα ἔλεγεν ἡ μήτηρ, θεῖσα πρότερον
» ἐπὶ τοῦ μετώπου αὐτοῦ Τιλακὰν [2] καὶ ὄρυζαν· «Ἐγώ εἰμι
« θυγάτηρ πατρὸς ἥρωος, καὶ γυνὴ ἀνδρὸς ἥρωος· ποίησόν
« με δὲ καὶ μητέρα ἥρωος, πολεμῶν ἐκ καρδίας.»

18. « Ἑτέρα δέ τις ἔλεγε τῷ υἱῷ πρὸ τοῦ ἀνδρὸς αὐτῆς, ὃς ἦν
» πάνυ ἀνδρεῖος· « Τοσαύτην ἀνδραγαθίαν, τέκνον, καὶ εὐ-
« τολμίαν δεῖξον ἐν πολέμῳ, ὥστε μηδεμίαν εἶναι διαφο-
« ρὰν σοῦ τε καὶ τοῦ πατρός.»

19. « Οὕτωσὶ δ' ἄλλη ἔφασκε πρὸς τὸν υἱόν· « Ἐν ἀδημονίᾳ
« εἰμὶ τοῦ δεῦσαι τὰς μὲν προσθίους σοι πληγὰς νέκταρι,
« τὰς δ' ὀπισθίους φαρμάκῳ, νὴ τρεπισμένοις τῇ δυνάμει
« τῆς ἐμῆς σωφροσύνης [3].»

20. « Ἄλλος ἐνόμισε τὴν εὐχὴν καὶ τὴν Τιλακὰν τῆς μη-
» τρὸς κρείττους τοῦ θώρακος, δι' ὧν οὗτος ἐν πολέμῳ ὑπε-

---

1. Κἂν θάνῃς δηλ. πρὸς σὲ ἐλεύσομαι.

2. Ἡ Τιλακὰ τῆς μητρὸς, ὡς εὐχή ἐστι καὶ ἀμυντήριον.

3. Ἡ γὰρ σωφροσύνη δυνατή ἐστι κτήσασθαι νέκταρ καὶ φάρμακον ἐν ἑκάστῳ.

» ράσπισιν ἐποίησε τοῖς συστρατιώταις ἀνδραγαθῶν.

21. « Καί τις παῖς, ἔχων ἐν χειρὶ ξυλίνην μάχαιραν, ἠκολού-
» θησε τῷ ἑαυτοῦ πατρὶ, δεικνύων τὴν πρὸς τὸν πατέρα
» φιλοστοργίαν, καὶ τὴν ἑαυτοῦ ἀνδρείαν, καὶ λέγων· « Ἀναι-
« ρέσω ἔγωγε τὰ παιδία τῶν ἐχθρῶν· » ἀλλ' ἐκρατήθη ὑπὸ
» τῆς μητρός.

22. « Πορευόμενοι δ' οἱ στρατιῶται, τὰ ἀπαίσια καὶ κακὰ ση-
» μεῖα αἴσια καὶ καλὰ ἐνόμιζον, λέγοντες· « Ζήσασι μὲν
« φῆμαι ἀτρεκέως ἔσονται ἡμῖν· τελευτήσασι δὲ, καὶ φῆ-
« μαι, καὶ θεαί. »

23. « Ἑκάτεραι δ' αἱ φάλαγγες, αἱ ταχθεῖσαι, ἡ μὲν ὑπὸ Βή-
» σμα εἰς σχῆμα κεραυνοῦ, ἡ δὲ ὑπὸ τοῦ Ἀρζούνα εἰς σχῆμα
» ὀβελίσκου, διέπρεπον τοῖς μαχηταῖς, τοῖς τε πεζοῖς, τοῖς
» ἐφ' ἁρμάτων, τοῖς ἐπ' ἐλεφάντων, καὶ τοῖς ἐφ' ἵππων.

24. « Ἀμφότεροι δ' οὗτοι οἱ στρατοὶ, οἱ τοιούτοις μαχίμοις
» συνταχθέντες, θαυμαστοὶ ἦσαν καὶ φοβεροὶ, καλοῦντες
» ἀλλήλους εἰς πόλεμον, καθάπερ χερσὶ, ταῖς σαλευομέναις
» σημαίαις.

25. « Φοινικόεντες δ' ὄντες οἱ στρατοὶ οὗτοι ἐκ τῶν χρυσῶν
» θωράκων, καὶ σημαίας ἔχοντες ἀναπεπταμένας, ἐφαί-
» νοντο, ὡς γλῶσσαι πυρὸς τοῦ Ὠκεανοῦ καὶ τοῦ Ῥούδρα [1],
» εἰς παρανάλωμα τοῦ παντός [2].

26. « Ἦν δὲ συμπαρακέλευσιν πολλάκις ἐποίουν οἱ στρατιῶ-
» ται, ταυρηδὸν βλέποντες, καὶ τὰ χείλη τρέμοντες, αὕτη
» ἦν πάντως, ὡς μία ἐπῳδὴ, εἰς ἔλκυσιν τῆς ἀγαθῆς νίκης
» τῶν ἀντικειμένων.

27. « Ἱσταμένων δ' ἄντικρυ τῶν πολεμίων, ὡς πολέμιοι ἐνο-

---

1. Ὁ Ῥούδρας, ὅς ἐστιν ὁ Σίβας, τὸν ἐπὶ τοῦ μετώπου ὀφθαλμὸν ἔχει πύρινον, ὃν ὅτε ἀνοίγει κατακαίει τὸ πᾶν.

2. Εἰς πανωλεθρίαν.

» μίζοντο οἱ ἡγεμόνες ὑπὸ τῶν στρατιωτῶν, ἐν θυμῷ ὄν-
» των, καὶ ἡρμένας ἐπὶ μάχῃ τὰς χεῖρας ἐχόντων, ὡς μὴ
» διδόντες τὸ σημεῖον τοῦ πολέμου.

28. « Ἐνταῦθα ὁ γεραίτατος ἐν τοῖς τοῦ Κουροῦ Βήσμας, κο-
» ρυφὴ ἦν τοῦ πολέμου, ἀργυροῦν μὲν ἅρμα ἔχων, λευκὸν
» δὲ διάδημα, λευκὸν θώρακα, καὶ λευκοὺς ἵππους, ση-
» μαίαν δὲ, ὡς Τάλαν [1], πέντε λευκοὺς λόφους ἔχουσαν
» χρυσοδέτους.

29. « Ὁ δ' Ἀρζούνας σκοπεύσας, ὡς ἐχθροὺς, ἱσταμένους εἰς
» μάχην τὸν διδάσκαλον, τὸν προπάτορα Βήσμαν, καὶ
» τοὺς λοιποὺς συγγενεῖς, ἀφῆκεν εὐθέως δάκρυα πολλὰ ἐξ
» ὀφθαλμῶν, καὶ τὰ ὅπλα ἐκ τῶν χειρῶν.

30. « Ἰδὼν δ' αὐτὸν ὁ Κρισνᾶς ἐξάπινα ἱλαρὸν, ἄμαχον, καὶ
» ἄτονον, ἀπορήσας [2], ἔφη· « Λάβε τὰ ὅπλα, ὦ γενναῖε,
« μνήσθητι τοῦ φιλοσοφικοῦ ἐκείνου δόγματος· « *Οὐδέν τι*
« *οὐδενός τινός ἐστιν ἴδιον.* »

31. « Ταῦτα εἰπὼν ὁ Χαρὴς, ἔδειξεν αὐτῷ τὴν μεγάλην ἑαυτοῦ
» φύσιν, τὴν φύσιν τοῦ παντὸς, πάντα τὰ ἔχοντα πνοὴν
» γινόμενα καὶ ἀπογινόμενα.

32. « Ἐλθὼν δ' εἰς ἑαυτὸν ὁ Ἀρζούνας τοῖς παραινετικοῖς λό-
» γοις τοῦ Κρισνᾶ, καὶ τῇ μεταμορφώσει, καὶ ἀναμνησθεὶς
» τῆς μεγάλης ἔχθρας τῶν ἐχθρῶν, ἥψατο τοῦ τόξου, φο-
» βερὸς γενόμενος, ὡς Ἰάμας.

33. « Ἡνίκα δ' οἱ μὲν Πανδοΐδαι ἠλάλαξαν, ὁ δ' Ἀρζούνας
» ἐπεβάλλετο πολεμεῖν, τηνικαῦτα ὁ Ἰνδιστίρας, ἀφεὶς τὸν
» θώρακα καὶ τὸ τόξον, κατέβη ἀπὸ τοῦ ἅρματος,

34. « Καὶ ἐπορεύθη πρὸς τὸν Βήσμαν σὺν τοῖς ἀδελφοῖς, εἰς
» ἀπορίαν βαλὼν τοὺς ἑαυτοῦ στρατιώτας, λέγοντας ὧδε·

---

1. Τάλα, δένδρον ὑψηλὸν, καὶ κλάδους ἔχον ὡς ὁ φοῖνιξ.
2. Φοβηθεὶς, διαταραχθεὶς, αὐτολεξεί.

« Ποῖ νῦν οὗτος ὁ βασιλεὺς πορεύεται, τῶν ἐχθρῶν τὰς « χεῖρας ἐκτεταμένας εἰς μάχην ἐχόντων, καὶ μηνιώντων; »

35. « Οἱ δὲ Καουραβαὶ φωνὰς νίκης ἐξηρεύγοντο, λέγοντες· » Ὁ ἐχθρὸς οὗτος κατέφυγε· εἰς τὸν Βήσμαν. » Ἔθετο δὲ » τὸν λώτιον πόδα τοῦ Βήσμα ἐπὶ τῆς κεφαλῆς ἑαυτοῦ ὁ » Ἰνδιστίρας, τὸν δίδοντα νίκην.

36. « Εἰπόντος δὲ τοῦ Ἰνδιστίρα, « Εἰ καὶ ἐγὼ, ὦ προπάτωρ, « πολεμῶ σοι, δός μοι ἐντολὴν εἰς νίκην [1]. » « Φρόντισον « τῶν τοῦ πολέμου, ἔφη ὁ Βήσμας, καὶ νίκησον ἡμᾶς.

37. « Ὦ ἄριστε βασιλέων, εἰ μὴ ἤρχου εἰς πόλεμον, ἐγὼ κα- « τηρώμην ἄν σου [2]! νῦν δὲ χαίρω, διότι φρονίμως τὰ « δέοντα πάντα πράττεις [3]. Τί ἄλλο ἐφετόν σοι ποιήσω; »

38. « Τοιαῦτα εἰρηκότι τῷ Βήσμᾳ, ἔφησεν ὁ ἐχέφρων Ἰνδιστί- » ρας, ἐνώσας τὰς παλάμας· « Εἰ φιλόφρων εἶ πρός με, « εἰπέ μοι τὸν κυρίως τρόπον τοῦ θανάτου σου. »

39. « Ἐγὼ οὐκ ἂν τεθναίην, ἔφη ὁ Βήσμας, οὐδ' ὑπὸ θεῶν, « πολεμούντων· ἐλθὲ ὅμως καὶ ἄλλοτε πάλιν πρὸς ἐμέ [4]. » » Τοιαῦτα εἰρηκότος τοῦ Βήσμα, ἐπορεύθη ὁ Ἰνδιστίρας » πρὸς τὸν Δρόναν, καὶ προσεκύνησεν αὐτόν.

40. « Εἰπόντος δὲ τοῦ Ἰνδιστίρα τὰ αὐτὰ, καὶ τὰ αὐτὰ ἐρω- » τήσαντος τὸν Δρόναν, ἅπερ καὶ εἶπε, καὶ ἠρώτησε τὸν » Βήσμαν, ὁ Δρόνας ἀνεκάλυψε τὸν τρόπον τοῦ θανάτου » αὐτοῦ. « Εἴ βούλεταί τις, ἔφη, θανατῶσαί με ἐν πολέμῳ, « θάνατός μοι ἔσεται ὅταν ἀφῶ τὰ ὅπλα.

---

1. Ἐπάγγειλαί μοι, ὅτι νικήσω, εἰ ἐγὼ πολεμήσω σοι.

2. Ἀγανακτήσω κατὰ σοῦ.

3. Οἱονεὶ ἔλεγε· μὴ νομίσῃς, ὅτι ἐγώ εἰμι σεβαστὸς καὶ αἰδέσιμος παρ' ὑμῖν, καὶ διὰ τοῦτο οὐ βούλει πολεμῆσαι· ἀλλὰ πολέμησον γεννα ίως, καὶ νικήσεις.

4. Καὶ τότε δηλ. λέξω σοι τὸν τρόπον.

41. « Τότε δ' ἔγω γε ἀφήσω τὰ ὅπλα ἐν πολέμῳ, ὅταν ἀ-
« κούσω ἄχαρί τι [1] ἐξ ὁμοίου σοι φιλαλήθους [2] ἀνδρός·
« φρόντισον οὖν τούτου, καὶ νίκησον τοὺς οἰκείους ἐχ-
« θρούς. »

42. « Μαθὼν οὖν ὁ Ἰνδιστίρας τὸν βέβαιον (ἀληθῆ) τρόπον
» τοῦ θανάτου τοῦ Δρόνα, ἐπορεύθη πρὸς τὸν Κριπᾶν· προ-
» σκυνήσας δ' αὐτὸν, καὶ λαβὼν παρ' αὐτοῦ εὐχὴν, ἐπο-
» ρεύθη ἀμέσως πρὸς τὸν Σαλέαν.

43. « Ἡσθέντος δὲ τοῦ Σαλέα ἐπὶ τῷ ταπεινῷ ἀσπασμῷ τοῦ
» βασιλέως Ἰνδιστίρα, καὶ προθύμου ὄντος διδόναι, εἴτι
» αἰτοίη, ὁ Ἰνδισίρας, βουλόμενος νίκην, ἀνέμνησεν αὐτὸν
» τοῦ λόγου ἐκείνου, ὃν εἶπε πρότερον [3].

44. Πρὸς δὲ τὸν Καρνᾶν ἐπορεύθη ὁ Κρισνᾶς, καὶ ἔφη αὐτῷ,
» χαρέντι· « Πάντως γε σὺ οὐ πολεμήσεις, ἐν ὅσῳ ζῇ ὁ
« Βήσμας· ἀφ' οὗ δ' ἐκεῖνος ἀποθάνῃ, ποίησον τὸ δο-
« κοῦν σοι. »

45. « Τοῦ δὲ Καρνᾶ ὁμολογήσαντος ταῦτα, ὁ Κρισνᾶς ἦλθε
» πρὸς τὸν Ἰνδιστίραν, ὃς καὶ διεκήρυξεν, εἰπών· « Ὅς τις
« φιλικῶς νῦν αὐτομολήσῃ πρὸς ἡμᾶς ἐκ τοῦ πολεμίου
« στρατοῦ, τοῦτον ἡμεῖς φιλικῶς δεχόμεθα. »

46. « Ἐνταῦθα ὁ εὔφρων Ἰουϊουτσοῦς, ὁ ἑτερομήτριος ἀδελφὸς
» τῶν κακοφρόνων υἱῶν τοῦ Δρυταράστρα, ἐκγαταλιπὼν
» τὸν στρατὸν τῶν ἑαυτοῦ ἀδελφῶν, αὐτομόλησε σὺν τῇ
» ἑαυτοῦ στρατιᾷ πρὸς τὸν Ἰνδιστίραν.

47. « Ἐλθὼν οὖν ὁ Ἰνδιστίρας εἰς τὸν οἰκεῖον στρατὸν, ἀνα-
» λαβὼν τὸν θώρακα, καὶ ἀναβὰς ἐφ' ἅρματος, ἕτοι-
» μος ἐγένετο εἰς πόλεμον, καὶ ὕμνησε τὸν ἐλεφαντοπρό-

---

1. Ἄχαρι, ἀηδές.
2. Αὐτολεξεὶ, ἀπαραβλήτου τὴν ἀλήθειαν.
3. Ποιῆσαι δηλ. ταπεινὴν τὴν οἴησιν τοῦ Καρνᾶ, λόγοις ὑβριστικοῖς.

» σωπον Γανέσσαν, εἰπὼν, «Νίκα, νίκα, θησαυρὲ νοός.»

48. «Τότε οἱ περὶ τὸν Ἀρζούναν, οἱ ἐφ' ἁρμάτων, ἐφύσησαν » τοὺς μεγαλοφώνους κόγχους· ὁ δ' αἰθὴρ ἐφαίνετο, ὅτι » ἔμελλε διαῤῥήγνυσθαι ἐκ τοῦ οἰκείου ἰδιώματος [1].

49. «Καὶ ὑπὸ τῶν Καουραβῶν δὲ ἄπληστοι φωναὶ τῶν κόγχων » ἐγίνοντο, καταπιέζουσαι τὸν αἰθέρα· ἐκ δὲ τοιούτου με- » γάλου ἤχου ἐφαίνετο, ὡς ἡ φωνὴ οὐκ ἔστιν ἴδιον τοῦ » αἰθέρος· τοὐναντίον δὲ ὁ αἰθὴρ ἴδιον τῆς φωνῆς [2].

50. «Ἡ δὲ μεγάλη καὶ ἐνθουσιαστικὴ βοὴ τῶν στρατιωτῶν » ἀμφοτέρων τῶν στρατῶν, τῶν ἐχόντων ἔχθραν καὶ » φιλίαν [3], συμμιγεῖσα ἐν αἰθέρι, οὐ διεκρίνετο ἐκ τίνος » ἐγίνετο, πότερον ; ἐκ θυμοῦ, ἢ ἐκ χαρᾶς ;

51. «Αὕτη δ' ἡ σύμμικτος βοὴ τῶν στρατιωτῶν ἐξ ἀμφοτέ- » ρων τῶν στρατῶν ἐβυθίσθη, ὡς ποταμὸς εἰς τὴν θάλασ- » σαν, εἰς τὴν βοὴν τοῦ Βήμα [4], ἐπιστάντος θυμῷ εἰς τὸ » στάδιον τοῦ πολέμου.

52. «Ἑκατέρωθεν ἔπειτα ἐξώρμησαν ἀνάριθμοι στρατιῶται, » ἐνθουσιαστικοὶ ὄντες εἰς ἀνδραγαθίαν, καὶ φιλοπόλεμοι, » ὥστε ἀγλαϊσθῆναι, καθάπερ ἀγλαΐαις, τοῖς αὐτῶν ὑψη- » λοῖς καὶ λαμπροῖς βραχίοσι.

53. «Μονομαχία δ' ἐγίνετο τούτοις, ἱππεὺς δηλονότι ἐμάχε- » το ἱππεῖ, καὶ ἁρματηλάτης ἁρματηλάτῃ, καὶ ἐλεφαν- » τηλάτης ἐλεφαντηλάτῃ, καὶ πεζὸς προσέτι πεζῷ.

54. «Καί τις ἐλέφας, ὡς ἐλέφας οὐράνιος ἐφαίνετο, φέρων πρὸς

---

1. Ὁ ἦχος μείζων ἐγένετο τοῦ αἰθέρος. — Ἴδιόν ἐστι τοῦ αἰθέρος, τοῦ κενοῦ, ἡ φωνή.

2. Τὸ μέγα τοῦ ἤχου δηλοῖ καὶ ἀπεριόριστον· ἡ φωνὴ δηλ. οὐ περιωρίζετο ἐν τῷ αἰθέρι, ἀλλὰ τοὐναντίον ὁ αἰθὴρ ἐν τῇ φωνῇ.

3. Φιλίαν μὲν πρὸς τοὺς οἰκείους, ἔχθραν δὲ πρὸς τοὺς ἐναντίους.

4. Δηλονότι ἡ βοὴ τῶν στρατῶν οὐδὲν ἦν ὡς πρὸς τὴν τοῦ Βήμα.

» τοῖς ἑαυτοῦ ὀδοῦσιν ἐμπεπηγμένους τοὺς ὀδόντας πολε-
» μίου ἐλέφαντος, οὓς ἀπέκοψε ῥιζόθεν ἡμισελήνοις βέλε-
» σιν ὁ ἀναβάτης.

55. « Ἕτερος ἐλέφας, μὴ ποιῶν πόλεμον ὡς ἔδει, προθύμως,
» ἐπαίετο κατὰ τῆς κεφαλῆς, ὥσπερ ἀγανακτοῦντι, τῷ ἑαυ-
» τοῦ ὀδόντι, ὃς ἐκριζωθεὶς, ἐκρατεῖτο τῇ προβοσκίδι πολε-
» μίου ἐλέφαντος [1].

56. « Τὰ βέλη ἁρματηλάτου τινος γενναίου οὐκ ἔτυχον πιεῖν
» ἡδὺ αἷμα τῶν ἐχθρῶν, προεκπνευσάντων τῇ δεινῇ κλαγ-
» γῇ τῆς χορδῆς τοῦ τόξου, ἐντεινομένης καὶ ἀνιεμένης.

57. « Ἄλλος τις, οὗ τὸ ἅρμα κατεάγη ἐν πολέμῳ, ἀνεῖλε τὸν
» ἐχθρὸν, ἀναβὰς εὐθέως ἕτερον ἅρμα ἐκ τῶν συμμάχων, ὃν
» ἄνευ ἀναβάτου, ἵππους τε ταχεῖς ἔχον, καὶ δεξιὸν ἡνίοχον.

58. « Δύω τινες ἱππεῖς, ὧν τὰ μακρὰ δόρατα ἐνεπάγησαν εἰς
» τὰ πρόσωπα ἀλλήλων, προσπελάσαντες καὶ συμπλακέν-
» τες θαῤῥαλέως, ἀλληλοκτονίαν ἐποίησαν τοῖς ξιφιδίοις.

59. « Ἱππεύς τις οὐκ ἔτυχε τῆς χαρᾶς τοῦ κατὰ τῶν ἐχθρῶν
» θανάτου τῇ οἰκείᾳ χειρὶ, τῶν ἐναντίων ἱππέων πιπτόντων
» ἐκ τῆς ὁρμῆς τοῦ ἵππου αὐτοῦ, θέοντος καὶ χρεμετίζοντος.

60. « Πεζός τις ἀνδρεῖος, οὗ ὁ πυὸς ἐτρήθη ἐν πολέμῳ, ἐρεί-
» δων τὰς χεῖρας ἐπὶ γῆς, ἔδραμε κατὰ τοῦ ἐχθροῦ ἀπιόν-
» τος, καὶ ἀνεῖλεν αὐτὸν λακτίσματι θατέρου τοῦ ποδός.

61. « Πολέμιόν τινα γενναῖον ἰδόντες οἱ στρατιῶται, εἰσπη-
» δήσαντα ξιφήρη ἀθρόον εἰς τὸ μέσον αὐτῶν, ἔμπληκτοι
» ἐγένοντο, νομίσαντες κεραυνὸν ἄνωθεν ἐπισκῆψαι [2].

62. « Εἰς φάλαγγα μεμηνότων ἐλεφάντων, ὡς εἰς ἀλληλουχίαν

---

1. Κεχαυνωμένος καὶ ἀπρόσεκτος ἦν ὁ ἐλέφας, καὶ διὰ τοῦτο ὁ ὀδοὺς αὐτοῦ ἐξερῥιζώθη ὑπὸ τῆς προβοσκίδος πολεμίου ἐλέφαντος, δι' οὗ καὶ ἐπαίετο.

2. Ὡς κεραυνὸν ἐνόμισαν τὸ λάμπον αὐτοῦ ξίφος.

» νεφῶν ἡ Σελήνη, εἰσδύς τις τῶν στρατιωτῶν ἐξαίφνης, » ἐποίησε τὴν ἑαυτοῦ φήμην περίλαμπρον, ὡς λάμψιν σε- » ληναίαν.

63. « Ἕτερός τις ἀνδρεῖος, ἐπιπεσὼν εἰς τὸ ἱππικὸν τῶν πολε- » μίων, ἀπέκτεινε πολλοὺς τῶν ἐφίππων, βαίνων ἐπὶ κεφα- » λῶν τῶν ἵππων, μὴ ὄντος κενοῦ τόπου ἐν γῇ [1].

64. « Ὑπὸ δέ τινος ἑτέρου πολεμικοῦ ἐν τῷ πολεμίῳ στρατῷ » ἐγένοντα τὰ ἅρματα ἔρημα τῶν παραβατῶν, ὥσπερ ἦσαν » πρὶν τοῦ πολέμου, ἐκτὸς τῶν ἡνιόχων καὶ τῶν ἵππων, » οὓς οὐκ ἀπέκτεινεν, ἐλεήσας, ὡς ὄντας ἀμάχους, καὶ » ἔπραξεν ὡς ἀληθὴς Ξατρής [2].

65. « Δύω θεαὶ ἐφιλονείκουν περὶ ἑνὸς στρατιώτου, πεσόντος » γενναίως ἐν πολέμῳ, ποτέρα τοῦτον ἄνδρα λάβοι· ἡ δὲ » γυνὴ ἐκείνου, προλαβοῦσα, διέλυσε τὴν φιλονεικίαν τῶν » θεαινῶν διὰ τῆς ὁδοῦ τοῦ πυρός [3].

66. « Γενναῖός τις στρατιώτης, ἰδὼν τὴν γυναῖκα αὐτοῦ ἀγ- » καλιζομένην τὸ ἀκέφαλον αὐτοῦ σῶμα, ἠγάπησε μᾶλ- » λον αὐτὴν, ἢ τὴν θεὰν, ἣν ἐν ἀγκάλῃ εἶχε τῆς ἀριστε- » ρᾶς χειρός.

67. « Ἑτέρα τις θεὰ, ταῦτα διαλογιζομένη ἐν τῇ καρδίᾳ αὐτῆς· « Τοῦτον λάβω, ἐπιδεξαμένη; ἢ ἐκεῖνον;» ἠπατήθη καὶ » ἀπέτυχε· οἳ γὰρ ἥρωες ἔπεσον, οὗτοι ἐλήφθησαν εὐθέως » ὑπ' ἄλλων θεαινῶν.

68. « Στρατιῶταί τινες δειλοὶ πόλεμον ἐποίησαν, ὡς ἀνδρεῖοι, » ἐξ αἰσχύνης τῶν ἑαυτῶν γυναικῶν, παρουσῶν, καὶ ἐξήλει-

---

1. Πυκνὴ ἦν ἡ ἱππικὴ φάλαγξ.

2. Τοὺς μὲν παραβάττας ἀπέκτεινεν, ὡς πολεμοῦντας· τοὺς δ' ἡνιόχους καὶ τοὺς ἵππους οὐκ ἀπέκτεινεν, ὡς μὴ πολεμοῦντας· νόμος γάρ ἐστι τοῖς Ξατραῖς, τουτέστι τοῖς πολεμικοῖς, μὴ ἀναιρεῖν τοὺς ἀπολέμους.

3. Δηλ. συγκατεκάη αὐτῷ, καὶ συνῆν αὐτῷ καὶ ἐν οὐρανῷ.

» ψαν τὸ ὃ εἶχον τέως στίγμα, διὰ τῆς καταφορᾶς τῆς
» ῥομφαίας.

69. «Ἕτερος γενναῖος ἐξεδειμάτωσε τὰ στίφη τῶν ἐχθρῶν,
» ἱστάμενος στερεὸς, ὡς σιδηροῦς στύλος, καὶ ἑαυτὸν μὲν
» διαφυλάττων, τὰ δὲ φερόμενα ὅπλα τῶν ἐναντίων ἀνε-
» νέργητα ποιῶν τῇ ταχείᾳ περιφορᾷ τῆς ῥομφαίας.

70. «Καί τις ὕπνωττε τὸν ἔσχατον ὕπνον ἐπὶ τοῦ ὀδόντος
» τοῦ ἐλεφαντος [1], ὡς ἐπὶ κλίνης, μὴ μείνας ὑπόχρεως τῷ
» κυρίῳ αὐτοῦ [2], ῥιπιζόμενος τοῖς ὠσὶ τοῦ ἐλέφαντος, καὶ
» ᾀδόμενος τοῖς βομβυλίοις, τοῖς ἐπιφοιτήσασι τῷ χυμῷ
» τοῦ ἐλέφαντος [3].

71. «Ὁ δ' Ἀβημανιοῦς [4] ἐκ τοῦ ἑτέρου μέρους, βάλλων ὡς ὁ
» ἥλιος ἀκτῖνας, καθεῖλε τὸ μέγα θράσος τῶν ἐχθρῶν, ὡς ὁ
» Ἥλιος τὸ σκότος [5] καὶ ἐποίησε λαμπρὸν τὸ ἑαυτοῦ ὄνομα.

72. «Μόνος δ' οὗτος ἀνετάραξε κατὰ τάχος τὸν ἁλαζόνα σρα-
» τὸν τῶν ἐχθρῶν, εἰς τὸ ἀναλαβεῖν τὴν νίκην, καθὼς ὁ
» Μανδάρας τὸ ὄρος ἀνετάραξε τὸν βαθὺν Ὠκεανὸν, εἰς
» τὸ ἐξαγαγεῖν τὴν Λαξμήν [6].

73. «Δύω δ' ἔνδοξοι τότε ἁρματηλάται, ὁ Βριχατβάλας, καὶ
» ὁ Κριπᾶς, ὁ μὲν Βραχμὰν, ὁ δὲ Ξατρὴς, ἐπέπεσον θυμῷ
» κατὰ τούτου τοῦ κραταιοτάτου, ὡς δύω ὀξεῖς ὀφθαλμοὶ
» τῆς στρατιᾶς τῶν Καουραβῶν.

---

1. Δηλ. ἔκειτο τεθνεὼς, διαπαρεὶς τῷ ὀδόντι τοῦ ἐλέφαντος.

2. Δηλ. ἐπλήρωσε τὸ ὃ εἶχε χρέος, τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κυρίου αὐτοῦ.

3. Καθὼς ὅστις ἐπὶ κλίνης ἀναπαύεται, ῥιπίζεται καὶ ᾄδεται, οὕτω κἀντούτῳ, τὰ μὲν ὦτα τοῦ ἐλέφαντος ἦσαν ὡς ῥιπίδες, οἱ δὲ βομβύλιοι ὡς ἀοιδοί.

4. Υἱὸς ἦν τοῦ Ἀρζούνα.

5. Τάμα, καὶ σκότος καὶ ὀργὴν σημαίνει.

6. Ὃς ἐξήγαγε τὴν Λαξμὴν, ἣν ἔλαβεν ὁ Βισνοῦς.

74. «Καὶ τῷ μὲν Βριχατβάλᾳ ἀντέστη ὁ μεγαλόθυμος καὶ
» μεγαλοσθενὴς Ἀβημανιοῦς, τῷ δὲ Κριπᾷ, ὁ βασιλεὺς τῆς
» Κεκαΐας χώρας, ἐλθὼν εἰς βοήθειαν τοῦ υἱοῦ τοῦ Ἀρ-
» ζούνα.

75. «Τότε τὰ στίφη τῶν θεῶν ἐθεώρουν τούτους τοὺς τέσσαρας
» πολεμικοὺς, ὡς τέσσαρας ὀδόντας τῶν, ὡς μεμηνότων
» ἐλεφάντων, δύω στρατῶν τῶν Καουραβῶν καὶ Πανδοϊδῶν.

76. «Καί τοι κατεάγησαν ἀμοιβαίως τὰ ἅρματα τοῦ τε βα-
» σιλέως τῆς Κεκαΐας χώρας καὶ τοῦ Κριπᾶ, οὗτοι ὅμως
» τοῖς ξίφεσι τοιοῦτόν τινα πόλεμον ἐποίουν, ὥστε ἐθεωροῦν-
» το ὑπὸ πάντων τῶν πολεμικῶν, τὸν πόλεμον ἀφέντων.

77. «Ἐπιστάντος δὲ τοῦ Δουρμούκα, τοῦ υἱοῦ τοῦ Δρυταρά-
» στρα, εἰς βοήθειαν τοῦ Βριχατβάλα, ὁ Σαχαδέβας ἀνεῖ-
» λε βέλει εὐθέως τὸν ἡνίοχον αὐτοῦ θυμῷ.

78. «Τοῦ δὲ Ἀβημανιοῦ βάλλοντος βέλη συνεχῆ, καὶ κατα-
» βάλλοντος τὰ τάγματα τῶν πολεμίων τῷ ἤχῳ τῆς χορ-
» δῆς, ὁ βασιλεὺς Βριχατβάλας διέτεμε τοῖς βέλεσιν ἐν
» ταὐτῷ καὶ τὸν ἡνίοχον αὐτοῦ καὶ τὴν σημαίαν.

79. «Ἀλλ' ὁ τοξικὸς Ἀβημανιοῦς τοιοῦτον ἀπαράμιλλον πό-
» λεμον ἐποίησεν, ἀμυνόμενος καὶ θυμούμενος, ὥστε ἐκάλυ-
» ψε τὸν οὐρανὸν, καθάπερ νέφεσι, τοῖς πυκνοῖς βέλεσιν.

80. «Οἱ δ' ἐχθροὶ ἐφαντάζοντο τὸν ἀπαράβλητον τὴν δύναμιν
» Ἀβημανιοῦν, πρὸ ἑκάστου ὄντα, καὶ ἕνα ὄντα, ὡς πολ-
» λοὺς, καὶ ὥσπερ μέλλοντα καταβαλεῖν τοῖς πολλοῖς βέ-
» λεσι τὸ μεθόριον τοῦ οὐρανοῦ καὶ τῆς γῆς.

81. «Κατασκευάσας δὲ κατάστρωμα ἐπὶ τοῦ αἰθέρος τοῖς βέ-
» λεσιν, ἀδιάῤῥηκτον καὶ ὑπὸ ῥαγδαίας χαλάζης, ἔῤῥιψε τὸν
» ἑαυτοῦ θυμὸν κατὰ τοῦ πολεμίου στρατοῦ, ὡς πῦρ κατὰ
» τοῦ δάσους, κατὰ μίμησιν τοῦ ἑαυτοῦ πατρὸς, καὶ τοῦ
» πρὸς μητρὸς θείου.

82. «Τοῦ μὲν οὖν στρατοῦ τῶν Πανδοϊδῶν χαίροντος ἐπὶ τῇ

» τροπῇ τοῦ στρατοῦ τῶν Καουραβῶν, ἐκ τῆς δυνάμεως
» τῶν συνεχῶν βελῶν τοῦ Ἀβημανιοῦ, ὃς ἦν ὥςπερ με-
» μηνὼς καὶ δειμαλέος ἐλέφας.

83. « Ἐπέστη τὸ ἅρμα τοῦ υἱοῦ τῆς Γαγγᾶς, φοβερὸν ἦχον
» ποιοῦν ἐν τῷ κόσμῳ, καὶ διαῤῥηγνύον τὰς καρδίας τῶν
» τε ζώντων καὶ τεθνεώτων τῇ φορᾷ τῶν τροχῶν [1].

84. « Ἐπεισπεσὼν δὲ μετὰ θορύβου ὁ ἀπαράμιλλος καὶ ῥωμα-
» λέος υἱὸς τῆς Γαγγᾶς, ἀνέστρεψε τοὺς βασιλεῖς καὶ τοὺς
» αὐτῶν στρατοὺς, καθὼς ὁ ἐπὶ τῆς συντελείας τοῦ αἰῶνος
» σφοδρὸς ἄνεμος ἀναστρέφει τὸν οὐρανὸν καὶ τὴν γῆν [2].

85. « Πόνος δ' οὐκ ἐγένετο τῷ Βήσμᾳ ἐκ κάμψεως τοῦ τόξου [3],
» ἢ βολῆς τῶν βελῶν, τῶν πολεμίων τρεψάντων τὰ νῶτα
» τῇ βολῇ τῶν ὀμμάτων αὐτοῦ, καὶ τῇ κάμψει τῶν ὀφρύων.

86. « Ἅπασα δ' ἡ στρατιὰ τοῦ Ἰνδιστίρα, ἀσταθὴς γεγενημένη
» ἐν πολέμῳ, καὶ τεταραγμένη καὶ τετρωμένη τοῖς δει-
» νοῖς βέλεσι τοῦ φοβεροῦ Βήσμα, θρῆνον ἐποίει.

87. « Τοῦ μὲν οὖν Βήσμα, τοῦ φοβεροῦ ἐν τοῖς τρισὶ κόσμοις,
» βάλλοντος βέλη φθοροποιὰ, ὁ Ἥλιος ἀνέβη εἰς τὸ ὕψιςον
» τοῦ οὐρανοῦ [4], θεωρὸς γενέσθαι βουλόμενος τοῦ πολέμου.

88. « Ὁ δ' Ἀβημανιοῦς, ἰδὼν τὰ τάγματα πάντα τεταραγμέ-
» να, ἐπέςη ἐφ' ἅρματος κατὰ τοῦ προπάππου Βήσμα, μὴ
» ἀγαπήσας μηδ' ὅλως τῷ πρὸς τοὺς ἄλλους ἥρωας πολέμῳ.

89. Τρωθεὶς δὲ τὸ στῆθος ὁ Βήσμας τῷ βέλει τοῦ ἐγγόνου [5]

---

1. Καὶ τῶν τεθνεώτων τὰς καρδίας διερῥήγνυε, φερόμενον ἐπὶ τῶν νεκρῶν σωμάτων.

2. Τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ Ποιητής.

3. Δηλονότι οὔτε τὸ τόξον ἐνέτεινεν, οὔτε βέλη ἔβαλε.

4. Εἰς τὸ μεσουράνημα.

5. Ὁ μεταφραστὴς ἐξηγῶν τὴν ἐν τῷ περιθωρίῳ τοῦ χειρογράφου ἰνδικοῖς γράμμασι γεγραμένην λέξιν, σημειοῦ διςέγγονον. (Σημ. τ. ἐκδ.)

» αὐτοῦ, περισείσας τὴν κεφαλὴν διὰ τὴν ἐπιδεξιότητα
» ἐκείνου, ἐνομίσθη ὑπὸ τοῦ στρατοῦ τῶν Καουραβῶν, ὡς
» καὶ αὐτὸς ἐπτοήθη ἐν τοιούτῳ πολέμῳ [1].

90. « Τρωθέντες δὲ καὶ οἱ περὶ τὸν Βήσμαν, ὅ,τε Κριπᾶς, ὁ
» Κριταβάρμας, ὁ Δουρμούκας, ὁ Βιμβισσατὴς, καὶ ὁ Σα-
» λέας, τοῖς βαλλομένοις βέλεσι τοῦ Ἀβημανιοῦ, φόβον
» μέγαν ἔλαβον.

91. « Βαλλόμενος δ' ὁ Ἀβημανιοῦς πανταχόθεν, ὑπερηκόντισε
» θυμῷ καὶ τὸν Ἰάμαν, τὸν ποιοῦντα τὸ τέλος τοῦ αἰῶνος,
» καὶ διέτεμεν ἐν ταὐτῷ τοῖς βέλεσι τόν τε ἡνίοχον τοῦ
» Δουρμούκα, τὴν σημαίαν τοῦ Βήσμα, καὶ τὸ τόξον τοῦ
» Κριπᾶ.

92. « Ἀγανακτοῦντος δὲ τοῦ Βήσμα ἐπὶ τῇ πτώσει τῆς ση-
» μαίας, καὶ βέλη βάλλοντος ὅμοια τῇ ῥάβδῳ τοῦ Ἰάμα [2],
» δέκα λαμπροὶ ἁρματηλάται ἐκ τοῦ στρατοῦ τῶν Πανδοϊ-
» δῶν συνῆλθον εἰς ὑπεράσπισιν τοῦ υἱοῦ τοῦ Ἀρζούνα.

93. « Ἐπιπεσὼν δ' ὁ Βήμας, ὡς ἀετὸς, καί τοι ἡ σημαία αὐτοῦ
» πέπτωκε τοῖς βέλεσι τοῦ Βήσμα, τοσαύτην ὅμως ἀνδρα-
» γαθίαν ἐποίησε πολεμῶν, ὥςτε ἐνομίσθη αὐτὸς ὁ ἔφορος
» τῆς ἀνδρείας Θεός.

94. « Θυμωθεὶς δ' ὁ Σαλέας, ἀφῆκε τὸ χρυσοῦν δόρυ κατὰ τοῦ
» Οὐτταρᾶ, υἱοῦ τοῦ Βιράτα, ὃς καθεῖλε διὰ τοῦ οἰκείου
» ἐλέφαντος τοὺς ἵππους καὶ τὸ ἅρμα, καὶ τὸν ἡνίοχον
» αὐτοῦ.

95. « Τῇ δὲ βολῇ τοῦ ὀξέος δόρατος τοῦ Σαλέα ἔπεσεν ὁ Οὐτ-
» ταρᾶς ἐξ ἐκείνου τοῦ ἐλέφαντος, ὡςπερ ἡ ἀκρώρεια ἐξ
» ὑψηλοῦ ὄρους τῷ κατασκήπτοντι κεραυνῷ.

---

1. Ὁ μὲν Βήσμας ἔσεισε τὴν κεφαλὴν, θαυμάζων τὴν ἐπιδεξιότητα τοῦ Ἀβημανιοῦ· οἱ δὲ στρατιῶται ἐνόμισαν ὅτι ἐφοβήθη.

2. Θανατηφόρα δηλαδή· ἡ γὰρ ῥάβδος τοῦ Ἰάμα θανατηφόρος ἐστί.

96. « Διατεμόντος δὲ τοῦ Σαλέα τῇ ῥομφαίᾳ καὶ τὴν προ-
» βοσκίδα τοῦ ἐλέφαντος τοῦ Οὐτταρᾶ, καὶ ἀναβάντος ἐπὶ
» τὸ ἅρμα τοῦ Κριταβάρμα, ἀχθεσθεὶς ὁ Σάγχας ἐπὶ τῷ
» θανάτῳ τοῦ αὐτοῦ ἀδελφοῦ, ἐπέδραμε κατ' αὐτοῦ· ἀλλ'
» ἐκωλύθη παρὰ τοῦ Βήσμα.

97. « Εἰς δ' ἀσφάλειαν καὶ σωτηρίαν τοῦ Σάγχα ἀντέστη εὐ-
» θέως ὁ Ἀρζούνας τῷ δυσφορήτῳ Βήσμᾳ· ἀμφοῖν δὲ τού-
» τοιν μάχη διὰ τῶν βελῶν συνεκροτεῖτο, παρεμφερὴς τῇ
» συντελείᾳ τοῦ αἰῶνος [1].

98. « Ἀπολέσας δ' ὁ Σάγχας τόν τε ἡνίοχον ἑαυτοῦ καὶ τοὺς
» ἵππους τῇ κορύνῃ τοῦ Σαλέα, ὃς ἦν πεζός, λαβὼν τὴν
» μάχαιραν αὐτοῦ. ὡς ζωὴν, ἀνέβη ἐπὶ τὸ ἅρμα τοῦ Ἀρ-
» ζούνα.

99. « Ἀφεὶς δὲ τὴν πρὸς τὸν Ἀρζούναν μάχην ὁ υἱὸς τῆς Γαγ-
» γᾶς, ἠλάλαξε πρὸς τὸν στρατὸν τῶν Πανδοϊδῶν, φέρων
» τόξον ἐντεταμένον, καὶ ὀϊστοὺς ὡς στόμα ἠνεῳγμένον,
» καὶ ὀδόντας τοῦ χαλεποῦ Ἰάμα.

100. « Ἦν δ' ὁ Βήσμας ἐν πολέμῳ κατὰ τῶν ἐχθρῶν, ὡς ὁ πί-
» πτων κεραυνὸς, τοὺς μὲν ἐλέφαντας διωθῶν, τοὺς δὲ πο-
» λεμικοὺς ἀναιρῶν, τὴν δὲ πορείαν τῶν ἁρμάτων ἐπέχων,
» τοὺς δ' ἵππους ἀνατρέπων.

101. « Τῶν μὲν οὖν βελῶν τῶν ἐκ τοῦ τόξου τοῦ τεθυμω-
» μένου Βήσμα καλυψάντων τὸν οὐρανὸν, καὶ αὐτὸς ὁ
» Ἥλιος, ὥςπερ φοβηθεὶς, εἰσέδυ τὸ σπήλαιον τοῦ δυτικοῦ
» ὄρους.

102. « Οὕτω τοῦ λίαν φοβεροῦ Βήσμα ἀποδείξαντος τοῖς βέ-
» λεσι τὸν αἰθέρα πλήρη φλογῶν πυρὸς, ὁμοίου τῷ ἐπὶ τῆς
» συντελείας τοῦ αἰῶνος, ἐν ᾧ ἀνέτειλεν ἡ Σελήνη ἐκ τοῦ

---

1. Πανώλεθρος ἤτοι.

» ἀνατολικοῦ ὄρους εἰς τὸ ἐπισχεῖν τοῦ πολέμου τοὺς ἀπο-
» τῆς γόνους, ἐν τούτῳ ἐκεῖνοι οἱ ἐνθουσιῶντες ἥρωες
» ἐπαύσαντο πολεμεῖν αἰσχύνῃ πως. »

Τέλος τοῦ Πρώτου Κεφαλαίου,
τοῦ Ἕκτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

Διαλαμβάνον τὰς ἀνδραγαθίας καὶ τὸν θάνατον τοῦ Βήσμα, μετὰ δέκα ἡμερῶν πόλεμον.

1. Ὁ Βεάσας, ἡ ἀπόῤῥοια τοῦ Θεοῦ Κρισνᾶ, ὁ διαδοὺς τὴν Μαχαβαράταν, τὴν οὖσαν ἀμβροσίαν, συλλεχθεῖσαν ἐκ τῆς διὰ πολλοῦ ὑπνώσεως ἐν τῇ γαλακτικῇ θαλάττῃ, ἕστωμοι ἐπ' ἀγαθῷ.
2. « Τὸν μὲν οὖν ἐν τῇ ἡμέρᾳ μαρανθέντα βασιλέα Ἰνδιστί-
» ραν ἐκ τῆς θερμότητος τοῦ, ὡς Ἡλίου, Βήσμα, κατέψυ-
» ξεν ὁ Κρισνᾶς ἐν νυκτὶ, καθά περ ὕδασι τοῖς λόγοις [1].
3. « Ἐν δὲ τῷ τέλει τῆς νυκτὸς, ἅμα Ἡλίῳ ἀνίσχοντι, ὅς
» ἐστι θύρα τῆς ἀθανασίας τῶν ἡρώων [2], οἱ Πανδοΐδαι
» καὶ οἱ Καουραβαὶ συνέμιξαν, στήσαντες τὰς φάλαγγας
» τῶν στρατῶν εἰς σχῆμα *Κραούνσης* [3].

---

1. Καθὼς ἐν μὲν τῇ ἡμέρᾳ διὰ τοῦ Ἡλίου ἡ χλόη μαραίνεται, ἐν δὲ τῇ νυκτὶ θάλλει διὰ τῆς δρόσου.

2. Οἱ θανόντες ἐν πολέμῳ γενναίως, εἰσδύουσιν εἰς τὸν οὐρανὸν διὰ τοῦ Ἡλίου, ὡς διὰ θύρας, ὡς προείρηται.

3. Κραούνσα, εἶδος ὀρνέου φιλύδρου.

4. « Ὁ μὲν οὖν υἱὸς τῆς Γαγγᾶς ἔῤῥιπτε ταῖς βολαῖς τῶν » βελῶν τὰς κάρας τῶν βασιλέων, ὡς ὀπώρας δένδρων » Ναλικερῶν.

5. « Ἀνεφέροντο δ' εἰς τὸν οὐρανὸν αἱ κεφαλαὶ τῶν τῷ πο- » λέμῳ χαιρόντων βασιλέων, κοπτόμεναι τοῖς βέλεσι τοῦ » Βήσμα, εἰς τὸ ἰδεῖν πως τὰς θεὰς, σὺν αἷς ἔμελλον » ζευχθήσεσθαι.

6. « Φρίττων [1] δ' ἔβλεπεν ὁ Βήσμας τὰ ἐκ θυμοῦ ἐρυθρὰ ὄμ- » ματα τῶν ἀλλομένων εἰς τὸν αἰθέρα κεφαλῶν τῶν βασι- » λέων, ἀποβλέποντα εἰς αὐτὸν ἐν τῷ πίπτειν.

7. « Ὁ δ' οὐρανὸς, ὁ ἔχων τὸν Ἥλιον καὶ τὴν Σελήνην ὡς » καρποὺς, ἐφαίνετο ὡς δένδρον πολύκαρπον, ἐκ τῶν ἀ- » γλαῶν κεφαλῶν τῶν βασιλέων, τῶν ἀλλομένων τοῖς βέ- » λεσι τοῦ Βήσμα.

8. « Ἰδὼν δ' ὁ Ἀρζούνας [2] τὴν στρατιὰν τεταραγμένην τοῖς » ἐμπίπτουσιν οἴστοῖς τοῦ Βήσμα, ὡς θάλασσαν τοῖς ἀνέ- » μοις, ἐπέδραμε θυμῷ.

9. « Ὃς, καί περ βαλλόμενος ἐκ τοῦ πρόσω τοῖς καιρίως βάλ- » λουσι βέλεσι τῶν ἐχθρῶν, ἐφόρμα χείρων, ὥςπερ εἰ ἐβάλ- » λετο βολαῖς ὀφθαλμῶν εὐοφθάλμου γυναικός.

10. « Τὸ δ' αἷμα, τὸ ῥέον ἐκ τῶν σωμάτων τῶν ἐχθρῶν, » βαλλομένων τοῖς βέλεσιν, ἐγίνετο ὡς χοὴ ὕδατος τῇ ἐκ » θυμοῦ θερμαινομένῃ καρδίᾳ αὐτοῦ [3].

11. « Ἐπέδραμε δὲ κατ' αὐτοῦ θυμῷ ὁ υἱὸς τῆς Γαγγᾶς, ῥίπτων οἴστοὺς ἀλλεπαλλήλους, ὡς ὄφεις ὀξεῖς καὶ δραστηρίους.

---

1. Φρίκη γίνεται ἐκ φόβου, ἐξ ἔρωτος, καὶ ἐξ ἀνδρείας.

2. Τὸ ἰνδικὸν κείμενον ἐκφέρει περιφραστικῶς· ὁ ἔχων σημαίαν τὸν Χανουμᾶνα, ὁ Ἀρζούνας δηλ. (Σημ. τ. ἐκδ.)

3. Δηλ. ἐδρόσιζεν, ὡς ὕδατι, τῷ αἵματι, τὴν ἐκ θυμοῦ φλέγουσαν αὐτοῦ καρδίαν.

12. « Ἐκ δὲ τοῦ τόξου τοῦ Ἀρζούνα φερόμενα διεσκεδάννυντο » τὰ βέλη, ὡς ἐκ τοῦ ὄρου τοῦ Ὠκεανοῦ τὰ κύματα, εἰς κα- » τακλυσμὸν τοῦ παντὸς [1], μηδαμῶς ἀνακοπτόμενα, πολ- » λοὺς δὲ καταβάλλοντα.

13. « Τοιοῦτόν τι δ' ἀποτέλεσμα ἀνδραγαθίας ἀμφοῖν τούτοιν » ἐγένετο, ὥστε καὶ τὸν οὐρανὸν φαίνεσθαι ἐκ τῶν πολλῶν » βελῶν, ὡς πεφρικότα.

14. « Καὶ οἱ μὲν ἄλλοι ἥρωες ἐγεύοντο τοῦ χυμοῦ τῆς μονομα- » χίας [2], τοῦ πινομένου διὰ μόνης τῆς ἀναιρέσεως, γλυκέος » ὄντος, καὶ ἀποτελοῦντος αὐτοὺς ἀθανάτους.

15. « Ὁ δὲ Βήμας ἔπαιζε μετὰ τῆς ἐνδόξου νίκης [3], ὡς ἐν πο- » ταμῷ, ἐν τῷ στρατῷ τοῦ βασιλέως τῆς Καλίγγας, τὴν » ὑδροπαιδιάν, ἧς ῥανίδες ἦσαν οἱ ἀναῤῥιπτόμενοι μαργα- » ρῖται [4] ἐκ τῆς πληττομένης κάρας τῶν ἐλεφάντων.

16. « Ἐνταῦθα οἱ τεθνεῶτες σωτηρίᾳ ἐγίνοντο τῆς ζωῆς τῶν » ζώντων, τῶν ἐμπιπτόντων τοῖς ποταμίοις αἵμασι πολ- » λῶν ἐλεφάντων, οἳ ἀνῃρέθησαν ὑπὸ τοῦ Βήμα [5].

17. » Οἱ ἀναιρούμενοι ἐλέφαντες ὑπὸ τοῦ Βήμα, καὶ ῥιπτόμε- » νοι εἰς τὸν αἰθέρα, ὡς νέφη, κακόν τινα οἰωνὸν ἐποίουν » τῆς ἐκ Καλίγγας χώρας ἐκ τῶν βροχηδὸν καταχεομέ- » νων αἱμάτων [6].

---

1. Τοῦτο ἐννοεῖται ἐπὶ τῆς συντελείας τοῦ αἰῶνος, ὅτε ὁ ὠκεανὸς ὑπερ- βαίνων τὰ ὅρια, κατακλύει τὸ πᾶν.

2. Δηλ. ἐμονομάχουν καὶ ἔθνησκον, θεοὶ ἀθάνατοι γινόμενοι.

3. Ὡς μετὰ γυναικὸς παίζει ὁ ἀνὴρ ἐν τῷ ποταμῷ.

4. Λευκοὶ οἱ μαργαρῖται, λευκαὶ καὶ αἱ σταγόνες τοῦ ὕδατος.

5. Καθὼς ὁ ἐμπίπτων τῷ ποταμῷ ἐπιστηριζόμενός τινι σώζεται, οὕτω οἱ ἐμπίπτοντες τοῖς ποταμηδὸν ῥέουσιν αἵμασιν, ἐσώζοντο ἐπιστηριζόμε- νοι τοῖς ἐπιφερομένοις νεκροῖς σώμασι· καὶ γὰρ τὸ νεκρὸν σῶμα ἐπιπολάζει τῷ ὕδατι.

6. Κακὸν γὰρ σημεῖον τὸ βρέχειν αἷμα.

18. « Φωνῆς δ' ἀρθείσης, ὅτι ὁ Βήμας ἀνεῖλε τὸν Σακραδέβαν
» καὶ τὸν Βανουμᾶνα [1], δύω βασιλεῖς, οἱ θεοὶ ἔτεινον τὰ
» ὄμματα αὐτῶν εἰς τὸν Ἴνδραν καὶ εἰς τὸν Ἥλιον.

19. « Βοὴν δ' ἐβόησεν ὁ Βήμας, ἐξ ἧς οἱ μὲν ἥρωες ἔπεσον
» λειποθυμήσαντες, οἱ δ' ἐλέφαντες τῶν μερῶν τοῦ κό-
» σμου ἐνητένησαν εἰς τὸν αἰθέρα, φοβηθέντες, μήπου
» διερράγη ἡ *Βραχμάνδα*.

20. « Ἐνταῦθα ὁ βασιλεὺς Κετουμὰν, ὁ ἀγλαὸς οἶκος τῆς ἀν-
» δρείας, πέπτωκεν ἐν τῷ σταδίῳ τοῦ πολέμου, ὡς ἐν
» κήπῳ τοῦ Ἰάμα [2], ὑπὸ τοῦ Βήμα, ὡς ὑπ' ἐλέφαντος
» μεγάλου.

21. « Συντριβεὶς δὲ τὸ ἅρμα ὁ Βήμας τοῖς ὅπλοις τοῦ Βήσμα,
» ὑπερέκαιεν ἐκείνην τὴν στρατιὰν, καθὼς ὁ Ἥλιος δια-
» σκεδασθέντος τοῦ νέφους ὑπ' ἀνέμου [3].

22. « Ὁ δὲ παῖς τοῦ βασιλέως Δρυταράστρα [4], κατεπιέζετο
» τῷ πλήθει τῶν βελῶν τοῦ υἱοῦ τῆς Σουβαδρᾶς, ὡς τὸ
» ἁπαλὸν φυτὸν τῷ ῥαγδαίῳ ὑετῷ.

23. « Ἱπτάμενα δ' ἔνθεν καὶ ἔνθεν τὰ βέλη τῶν περὶ τὸν Δου-
» ριοδάναν, ἐρρίπιζον, ὡς ῥιπίδια, τῷ ἐκ τῶν πτερῶν ἀέρι,
» τὸν υἱὸν τοῦ Ἀρζούνα, κεκμηκότα τῷ πολέμῳ.

24. « Ὡς ἀὴρ δὲ τάχιστα ἐπέστη ἐνταῦθα ὁ Ἀρζούνας, κατα-
» βάλλων τὰ τῶν βασιλέων κλέη, ὡς δένδρων ἄνθη.

25. « Τὰ μὲν οὖν βέλη τῶν ἐχθρῶν οὐδεμίαν ἐνέργειαν ἐποίουν
» κατὰ τούτου, καθὼς οὐδ' ἡ τῆς γυναικὸς βολὴ τῶν ὀμ-
» μάτων κατ' ἀνδρὸς μὴ ὄντος φιληδόνου.

---

1. Σακραδέβας λέγεται ὁ Ἴνδρας, καὶ Βανουμὰν ὁ Ἥλιος. διὸ οἱ θεοὶ ἐφοβήθησαν μήπως αὐτοὶ ἀνῃρέθησαν.

2. Ἐν τῷ λειμῶνι τοῦ Ἰάμα· ὁ γὰρ πόλεμος, ὡς λειμὼν ἐστι τοῦ Ἰάμα.

3. Μετὰ γὰρ τὸ νέφος θερμότερός ἐστιν ὁ Ἥλιος.

4. Ὁ Δουριοδάνας δηλ.

26. « Τὰ δὲ βέλη τοῦ Ἀρζούνα ἔπιπτον κατὰ πάντων τῶν πο-
» λεμίων, εἰς τὸ ἀναπαῦσαι τὰς ψυχὰς αὐτῶν ταῖς ὀξείαις
» ἀκίσιν, ὡς ὄνυξι χειρῶν τῶν ὑπηρετῶν τοῦ Ἰάμα.

27. « Ἐνοχλούμενος δὲ τότε συνεχῶς ὁ Ἥλιος [1] ὑπὸ τῶν ἐν-
» δόξων ἡρώων, τῶν ἀναιρουμένων ὑπὸ τοῦ Ἀρζούνα, εἰσέ-
» δυ τὰ σπήλαια τοῦ δυτικοῦ ὄρους [2], ὥσπερ πεπληγώς.

28. « Ἐπισημήναντες δὲ τοῦ Βήσμα τὸ ἀνακλητικὸν, οἱ ἥρωες,
» θερμότεροι τοῦ πυρὸς, ἀπῆλθον ἕκαστος εἰς τὰς ἑαυ-
» τῶν κατασκηνώσεις.

Δευτέρα ἡμέρα.

29. « Πρόθυμοι δ' ὄντες οἱ ἥρωες εἰς τὸν δειναλέον πόλεμον,
» καθοπλισθέντες περὶ τὸν ὄρθρον, ἀπεσκέδασαν τὸ λοιπὸν
» σκότος τῆς νυκτὸς ταῖς μαρμαρυγαῖς τῶν λιθοκολλήτων
» θωράκων.

30. « Καὶ ὁ μὲν Βήσμας ἔστησε τὸν στρατὸν εἰς σχῆμα *Γα-*
» *ρούδα*, ἐπ' ὀλέθρῳ τοῦ ὡς ὄφεως [3] κόμβου τῶν ἐχθρῶν·
» ὁ δὲ Ἀρζούνας εἰς σχῆμα ἡμισελήνου, εἰς τὸ ἐκτραχη-
» λίσαι ἐκείνην τὴν φάλαγγα.

31. « Συνεπλάκησαν δ' οἱ στρατιῶται ἀμφοτέρων τῶν στρα-
» τῶν χαίροντες, ἀλλήλους ἐπαινοῦντες, καὶ φιλοφρόνως
» πως πρὸς ἀλλήλους διακείμενοι ἐπὶ τῇ ἀμοιβαίᾳ χά-
» ριτι τοῦ ἐφετοῦ πολέμου [4].

32. « Τῶν δ' εἰς τὰ σώματα αὐτῶν τραυμάτων οὐκ ἠσθάνοντο,

---

1. Οἱ ἥρωες, διὰ τοῦ Ἡλίου, ὡς διὰ θύρας, εἰσδύουσιν εἰς τὸν οὐρανὸν, θανόντες ἐν πολέμῳ.

2. Νὺξ ἐγένετο.

3. Ὀφιοφάγος γάρ ἐστιν ὁ Γαρούδας.

4. Καθὼς οὗτος χάριν ἐνόμιζε καὶ μέγα δῶρον τὸν ἐφετὸν πόλεμον, οὕτω κἀκεῖνος ἀμοιβαίως· καὶ διὰ τοῦτο φιλοφρόνως πως πρὸς ἀλλήλους διέκειντο, ὡς ἀπολαμβάνοντες τὸ ἐφετόν.

» τοῦ αἵματος μὴ διακρινομένου, ἕνεκα τῶν προσβαλλου-
» σῶν ἐρυθρῶν ἀκτίνων τοῦ ἀνατείλαντος τότε Ἡλίου.

33. « Εἰσέδυσαν δ' ἅμα εἰς τὸ στράτευμα τῶν Καουραβῶν,
» ὅ,τε Βήμας καὶ ὁ Γατοτκάσας, ὡς ἀμφότεραι αἱ χεῖρες
» τοῦ παιδίου εἰς τὸ ἔδεσμα [1].

34. « Πόσοι δὲ ἐν πολλῇ οὐκ ἦσαν ἀγωνίᾳ τοῖς ἀπὸ τῶν τόξων
» τούτων ἐπιπίπτουσι συνεχῶς βέλεσιν, ὡς οἱ ἐμβλεπό-
» μενοι βλέμμασιν ὀξέσι τῶν ὀμμάτων τῆς νυκτὸς τοῦ
» θανάτου [2];

35. « Τὰ μέν τοι συνεχῆ βέλη τῶν πολεμίων βασιλέων ἔπι-
» πτον ἐπὶ τούτους ἀνωφελῆ, καθὼς ἡ βροχὴ τοῦ νέφους
» εἴς τε τὴν θάλασσαν, καὶ εἰς τὴν ἀμμώδη γῆν.

36. « Ἡ δὲ λειποθυμία τοῦ βασιλέως Δουριοδάνα ἐκ τοῦ βέ-
» λους τοῦ Βήμα, ἐμπαγέντος τῷ στήθει αὐτοῦ, ἐστάλη
» ὡς ἄγγελος τοῦ θανάτου.

37. « Τούτου δ' ἀπαχθέντος ἀπὸ τοῦ πολέμου ὑπὸ τοῦ ἡνιό-
» χου, λειποθυμοῦντος καὶ ἐκτάδην κειμένου ἐπὶ τοῦ ἅρ-
» ματος, ὁ στρατὸς ἐσώθη ὑπὸ τῶν περὶ τῶν Κριπᾶν πο-
» λεμικῶν.

38. « Παρακληθεὶς δ' ἔπειτα ὁ Βήσμας ὑπὸ τοῦ βασιλέως,
» ἀπαλλαγέντος τῆς λειποθυμίας, ἥψατο τοῦ δεινοῦ τό-
» ξου, τοῦ περιεκτικοῦ τῆς ἡρωϊκῆς ἀρετῆς [3].

39. « Τὸ μὲν δὴ τόξον τοῦ Βήσμα ἀνιέμενον καὶ ὑφιέμενον [4]

---

1. Τὸ γὰρ παιδίον ἀμφοτέρας τὰς χεῖρας ἐμβάπτει τῷ τρυβλίῳ, καὶ χανδὸν ἐσθίει· οἱ γὰρ Ἰνδοὶ διὰ τῆς δεξιᾶς χειρὸς ἐσθίουσι.

2. Νὺξ τοῦ θανάτου, περιφρατικῶς ὁ θάνατος, ὅς ἐστιν ὁ ἔσχατος καὶ αἰώνιος ὕπνος.

3. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

4. Ὅτε μὲν ἡ χορδὴ ἕλκεται, τὸ τόξον ἀνίεται, ὅτε δὲ τὸ βέλος ἀφίε-
ται, ὑφίεται, καθὼς καὶ ὁ ἄνθρωπος τῇ ἀνοίξει καὶ κλείσει τοῦ στόματος μασσᾶται.

» πολλάκις ταῖς βολαῖς τῶν βελῶν, ἐφαίνετο ὡς στόμα
» τοῦ Ἰάμα, μασσώμενον ἀλλεπαλλήλους ἥρωας.

40. « Καταβυθίσαι δ' ἠβούλετο ὁ Βήσμας τὸ ἱππικὸν, πεζι-
» κὸν καὶ ἁρματικὸν τοῦ Ἰνδιστίρα ἐν τῷ ὡς Ὠκεανῷ αἵ-
» ματι τῶν ἐλεφάντων, οἳ ἐκτείνοντο ἀνὰ τρεῖς ἑκάστῳ
» βέλει.

41. « Ἐν δὲ τούτῳ ἤλασε τὸ ἅρμα τοῦ Ἀρζούνα ὁ Κρισνᾶς
» ἐναντίον τοῦ ἅρματος τοῦ Βήσμα, ἐπικαλούμενος δεινο-
» παθῶς οὑτωσὶ ὑπὸ βασιλέων, ὄντων ἐν πολλοῖς δεινοῖς·

42. « Ὦ Κύριε τοῦ κόσμου, ὁ ὢν ἡ ναῦς τῆς διαπλεύσεως
« τοῦ πελάγους τοῦ κόσμου τούτου, διὰ τί οὐ γίνῃ ἡμῖν
« ναῦς, τοῖς κλυδωνιζομένοις ἐντὸς τῶν κυμάτων τῶν
« βελῶν τοῦ Βήσμα; »

43. « Ὁρμῶν μὲν οὖν ὁ Βήσμας εἰς τὸ πρόσω, ὡς πῦρ τῆς ὕλης,
» οὗ φλόγες ἦσαν τὰ διασπειρόμενα βέλη, ἀπειρχθη, κα-
» θάπερ πνοῇ σφοδροῦ ἀνέμου, τῇ φορᾷ τῶν ὀϊστῶν τοῦ
» Ἀρζούνα.

44. « Διεφυλάχθη δ' ἡ ζωὴ τοῦ στρατοῦ τῶν Πανδοϊδῶν, ὡς
» ἐν προτειχίσματι, ἐν τῷ πλήθει τῶν βελῶν τοῦ τοξο-
» φόρου Ἀρζούνα, βαλλόντων τοὺς ἐχθρούς.

45. « Καὶ τὰ μὲν βέλη τοῦ Βήσμα διαῤῥηγνύων, τοὺς δ' έναν-
» τίους τοῖς βέλεσι διαπείρων ὁ Ἀρζούνας, ἔδειξε καὶ
» τὸ πρὸς τὸν γέροντα σέβας, καὶ τὴν ἑαυτοῦ ἐπιδεξιό-
» τητα [1].

46. « Ὁ δὲ Βήσμας, ὃν καὶ αὐτὸς ὁ φόβος φοβεῖται, κατέκλει-
» σεν ἀμφοτέρους τοὺς μέλανας [2] ἐν τῷ πλήθει τῶν βελῶν

---

1. Οἱονεὶ ἔλεγεν· εἰ θέλω, καὶ σὲ ἀναιρῶ, ὡς τοὺς λοιποὺς, ἀλλὰ σέβομαί σε, ὡς γέροντα, καὶ διὰ τοῦτο μόνον τὰ βέλη σου διαῤῥηγνύω.

2. Μελάγχρους ἦν καὶ ὁ Ἀρζούνας, καὶ ὁ Κρισνᾶς· καὶ ὁ ψιττακὸς κυανόχρους ἐστί.

» αὐτοῦ, ὡς ψιττακοὺς ἐν κύρτῃ, εἰς παιδιὰν καὶ διατρι-
» βὴν τῆς ἑαυτοῦ καλῆς ἀνδρείας καὶ νίκης [1].

47. « Διάβροχοι δὲ γεγονότες αἵματι ἐκ τῶν παρὰ τοῦ Βή-
» σμα τραυμάτων οὗτοι οἱ δύω μέλανες, ἐφαίνοντο ὡς
» δύω βραχίονες τοῦ Κάλα [2], ἐρυθραινόμενοι τῷ ἐκ θυμοῦ
» ἐρυθρῷ ὀλέμματι τῆς Καλῆς.

48. « Τότε ἐκ τῆς ἀθρόας βολῆς τῶν βελῶν, τῶν ἀφιεμένων
» ὑπὸ τοῦ Βήσμα, ἡ στρατιὰ τῶν Πανδοϊδῶν ἔστρεψε
» τὸ πρόσωπον, ὡς ἡ πόρνη ἀπὸ τοῦ ἀχρημάτου [3].

49. « Τοῦ μὲν οὖν Ἀρζούνα ῥαθύμως πολεμοῦντος, διὰ τὸ
» πρὸς τὸν γέροντα σέβας, τοῦ δὲ στρατοῦ ἀχθομένου ἐκ
» τῶν χαλεπῶν τοξευμάτων τοῦ Βήσμα,

50. « Ἔφη ὁ Κρισνᾶς· « Μῶν ἔκλεισας ἐν πολέμῳ τοὺς ὀφθαλ-
« μοὺς, ὦ Ἀρζούνα, εἰς ἀπώλειαν τοῦ οἰκείου στρατοῦ,
« καὶ διὰ τοῦτο οὐκ ἐπέχεις τοῦτον τὸν οὕτω γαυρικῶς
« καὶ μανικῶς ἐπερχόμενον γέροντα ;

51. « Ἐγὼ τοῦτον σήμερον ἀναιρέσω· τί γίνεται παρὰ σοῦ [4] ;»
» Τοιαῦτα εἰπὼν ὁ Χαρὴς, φέρων τὸν ἡλιοειδῆ δίσκον, τὸν
» φλογίζοντα καὶ τὸν οὐρανὸν,

52 « Κατέβη θυμῷ τάχιστα ἀπὸ τοῦ ἅρματος, ὁρώμενος μετὰ φό-
» βου καὶ ὑπ' αὐτῶν τῶν θεῶν, ὑποκυψάντων τοὺς αὐχένας [5].

---

1. Καθὼς τις ἔχων δύω γυναῖκας, κλείει εἰς διατριβὴν αὐτῶν ἐν κύρτῃ δύω ψιττακούς· ἡ γὰρ ἀνδρεία καὶ ἡ νίκη, ὡς δύω γυναῖκες ἐκλαμβάνονται.

2. Μέλανες γὰρ οἱ βραχίονες τοῦ Κάλα, τοῦ θανάτου. — Κάλας, μέλας. Καλὴ δὲ, μέλαινα. Κάλας λέγεται καὶ ὁ Χρόνος, καὶ ὁ Θάνατος. Καλὴ δὲ, ἡ δύναμις τοῦ Θανάτου, ἣ ἀποδίδοται αὐτῷ, ὡς γυνὴ, συμβολικῶς.

3. Τὸ πρωτότυπον ἔχει μεγάλην χάριν· ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

4. Δηλ. οὐδὲν γίνεται.

5. Ὡς ὅταν τις βλέπῃ ἐξ ὕψους κάτω, κάμπτει τὸν αὐχένα ὀλίγον.

53. « Ἰδὼν δ' ὁ Βήσμας τοῦτον ἐπιόντα, μηδαμῶς διατα-
» ραχθεὶς, κρατῶν τὸ λαμπρὸν τόξον, μειδιῶν, χαίρων,
» χάριεν βλέπων, καὶ φρίττων [1],

54. « Ὦ Κύριε, ἔφη, ἐλθὲ, ἐλθέ· δότω μοι ταχέως τὴν λύ-
« τρωσιν ἡ Σουδαρσανά σου [2]. Μωροί εἰσιν οἱ χρονίῳ σκλη-
« ραγωγίᾳ χρώμενοι, ἐπιθυμοῦσιν ἰδεῖν διὰ τῆς θεωρίας
« τὴν σὴν ἄϋλον θέαν.

55. « Ὄλβιος ἐγώ! ὑπὸ μὲν γὰρ ἄλλων καὶ θεραπευόμενος
» διὰ τὴν ταχείαν λύτρωσιν, λίαν ὀργίζῃ [3] κατ' αὐτῶν·
» κατ' ἐμοῦ δὲ, καὶ πλημμελοῦντος [4], ὀλίγον τι ὀργίζῃ. »

56. « Τοιαῦτα εἰπόντος τοῦ Βήσμα μετ' εὐλαβείας καὶ φέ-
» σεως τῆς ἐπιτεύξεως τοῦ δίσκου, κλίνοντός τε τὴν κε-
» φαλὴν, καὶ ἀγαπῶντος τὴν καλὴν λύτρωσιν,

57. « Πηδήσας ὁ Ἀρζούνας ἐκ τοῦ ἅρματος καὶ δραμὼν, ἀνέ-
» λαβε τὸν Κρισνᾶν· καὶ ἐπαναβιβάσας αὐτὸν ἐπὶ τοῦ ἅρ-
» ματος, θέαμα ἄξιον ἔδειξε παντὶ τῷ κόσμῳ [5].

58. « Καὶ, « Ὦ Κύριε τοῦ κόσμου, ἔφη, τί τοῦτο τὸ ἐγχείρημα;
« ἄφες τὸν τοιοῦτον θυμὸν, καὶ ἰδὲ μετὰ ταῦτα τὴν δύ-
« ναμίν σου, ἥτις ἀντιστρέφει εἰς ἐμέ [6]. »

---

1. Ἡ φρίκη ἴδιον τῆς χαρᾶς καὶ τῆς ἀνδρείας.

2. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· Σουδαρσανὰ γὰρ λέγεται ἡ καλὴ θέα καὶ ὁ τροχίσκος τοῦ Κρισνᾶ· τουτέστιν ἄνελέ με διὰ τοῦ τροχίσκου σου, ἵνα λυτρωθῶ τοῦ σώματος· ὁ γὰρ Κρισνᾶς αὐτὸς, ὡς Θεὸς δοξάζεται, σαρκωθεὶς ἐπὶ γῆς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων.

3. Ὡς ὅτε τις ἐνοχλούμενος παροργίζεται.

4. Πολεμοῦντος δηλ.

5. Πρότερον ὁ Κρισνᾶς ὑπέσχετο ὡς οὐ πολεμήσει, ἀλλὰ μόνον ἡνίοχος ἔσεται· ὁ δὲ Βήσμας εἶπεν, ὡς ἀναγκάσει αὐτὸν πολεμῆσαι· νῦν δ' ὁ Ἀρζούνας ἐπέχει αὐτὸν, εἰς τήρησιν ἐκείνου τοῦ λόγου.

6. Τουτέστιν ἐγὼ διὰ τῆς σῆς δυνάμεως, συνόντος μοι, ποιήσω ὅ,τι βούλει, δηλ. ἀφανίσω τοὺς ἐχθρούς· ἔχε δὲ μόνον ὑπομονήν.

59. « Ταῦτα εἰπόντος τοῦ Ἀρζούνα, αἱ θεαὶ ἀπηλπίσθησαν » τῆς ἐπιτεύξεως τοῦ ἀρίστου ἥρωος [1]. Καὶ ὁ μὲν Κρισνᾶς » ἐνέπνευσε τῇ κόγχῳ χαίρων· ὁ δὲ Ἀρζούνας ἔκλαγξε διὰ » τῆς νευρᾶς τοῦ τόξου.

60. « Ἡ οὖν χειρ τούτου, οὖσα ἐν τῷ ἐντεταμένῳ τόξῳ, ὡς » ἔχιδνα ἐν τρώγλῃ, ἐγέννησεν ὄφεις, ὀϊστοὺς δυσφορήτους » καὶ τοῖς μεγάλοις ἥρωσιν.

61. « Ἐπεσχέθη δ' ὅμως αὐτὸς ὑπὸ πολλῶν βασιλέων, συνελ- » θόντων μετὰ θυμοῦ, καθὼς ὁ Ἴνδρας ὑπὸ τῶν δαιμό- » νων [2], βαλλόντων βέλη ἐν ταὐτῷ.

62. « Ἔβαλε δ' ἔπειτα τὸν ὀϊστὸν *Μαγένδραν* τοὔνομα, τὸν » δυνατὸν ὀλέσαι τὸν κόσμον, κατακόπτοντα σώματα » ἐχθρῶν, ὑποζύγια, ὅπλα, καὶ σημαίας.

63. « Φωνὴ δέ τις [3] ἐγίνετο τῶν ἐχθρῶν, βαλλομένων τοῖς » βέλεσι τοῦ Πανδοΐδου, ὡς φωνὴ κόγχων, ἐμπνεομένων » ὑπὸ τεχνιτῶν.

64. « Οἱ δὲ Πισσάκαι ἦλθον χαίροντες εἰς τοὺς ποταμοὺς τῶν » αἱμάτων, καταβρωσόμενοι, ὡς ἰχθύες, τὰ πεπτωκότα » σώματα τοῦ στρατοῦ.

65. « Ἀφῆκαν δὲ οἱ ἥρωες τὴν ἣν εἶχον οἴησιν ἐπὶ τῇ περὶ τὰ » ὅπλα γυμνάσει τῶν χειρῶν ἐν τῇ νίκῃ τοῦ Ἀρζούνα, κα- » θὼς οἱ κολυμβηταὶ ἐν τῇ διαβάσει τοῦ Ὠκεανοῦ.

66. « Τότε ὁ Ἥλιος, ἐρυθρὸς γεγενημένος, ὥσπερ κατακεχραμ- » μένος τοῖς αἵμασι τῶν ἀναιρεθέντων πολλῶν ἡρώων τοῖς

---

1. Ἀφ' οὗ εἶδον αἱ θεαὶ, ὅτι ὁ Κρισνᾶς ἀνέβη εἰς τὸ ἅρμα, ἀπηλπίσθησαν τῆς συνουσίας τοῦ Βήσμα, ὃς ἦν πρόθυμος ἀναιρεθῆναι ὑπὸ τοῦ Κρισνᾶ.

2. Οἱ γὰρ δαίμονες καὶ Γίγαντες πολλάκις ἀντέστησαν τῷ Ἴνδρᾳ πολεμοῦντες.

3. Ἀσαφὴς καὶ ἄναρθρος, οἰμωγαὶ δηλονότι καὶ κλαυθμοί.

» ὅπλοις τοῦ Ἀρζούνα, εἰσέδυ τὸν ὠκεανὸν [1], λούσασθαι
» βουλόμενος.

67. « Ἐπιστάσης δὲ τῆς νυκτὸς τῷ ὠκεανῷ τοῦ πολέμου, τὸ
» ζεῦγος τῶν στρατῶν [2], ἀχθεσθὲν διεζεύχθη μέχρι τῆς
» ἑώας, καθὼς τὸ ζεῦγος τῶν χηναλωπέκων. »

Τρίτη ἡμέρα.

68. « Ἐξελθόντες [3] δ' ἐκ τοῦ πολέμου, ὃν ἔβλεπον ἐν νυκτ
» καθ' ὕπνους, οἱ μὲν Καουραβαὶ ἔταξαν τὸν στρατὸν εἰς
» φάλαγγα βαθεῖαν, οἱ δὲ Πανδοΐδαι εἰς ἡμισέληνον.

69. « Οἱ μὲν οὖν περὶ τὸν Βήσμαν καὶ Ἀβημανιοῦν πόλεμον
» μέγαν συνεκρότησαν, γενόμενον τοῖς Πισσάκαις εἰς χρείαν
» ἑωθινὴν [4], τοῖς ποταμηδὸν ῥέουσιν αἵμασιν.

70. « Ὁ δὲ Βήσμας ἐπολέμει τῷ Ἀρζούνα [5], καθὼς ὁ ὄχλος
» τῶν περισπασμῶν τῇ ψυχῇ [6], διδοὺς ἑωθινὸν ἄριστον,
» ὡς παιδίῳ [7], τῷ Κάλα, ἐκ τῶν σωμάτων τῶν βασιλέων.

71. « Ἥδοντο δ' οὗτοι ἐπὶ πολὺ, ὥςπερ παίζοντες, τοῖς ἀμοι-
» βαίοις πλεονασμοῖς [8] τῆς μάχης, καθὼς δύω φίλοι τῇ
» ἀμοιβαίᾳ πλεονάσει τῆς φιλίας.

72. « Καὶ ὁ μὲν Ἀβημανιοῦς κατεκάλυψε τοῖς βαλλομένοις
» ὀϊστοῖς τὰ στίφη τῶν ἐχθρῶν, εἷς ὢν, καθὼς τὰ πλήθη

---

1. Νὺξ ἐγένετο.

2. Δηλ. ἀμφότεροι οἱ στρατοὶ, καθὼς τὸ ζεῦγος τῶν χηναλωπέκων διαζεύγνυται ἐπιστάσης τῆς νυκτὸς τῷ ποταμῷ ἢ τῇ λίμνῃ.

3. Τουτέστιν ἀφυπνώσαντες· παίζει δὲ πρὸς τὴν λέξιν ὁ ποιητής.

4. Χρεία ἑωθινή ἐστι, τὸ νίπτειν τὰς χεῖρας καὶ τὸ πρόσωπον ὕδατι· τοῖς δὲ Πισσάκαις ἀνθ' ὕδατος αἷμά ἐστιν, ᾧ καὶ χαίρουσι· δηλολονότι αἱματοχυσία πολλὴ ἐγένετο.

5. Ὁ Ἀρζούνας ἦλθεν εἰς βοήθειαν τοῦ υἱοῦ αὐτοῦ Ἀβημανιοῦ.

6. Πολέμια γὰρ τὰ ἔργα τῇ ψυχῇ.

7. Τὸ γὰρ παιδίον περὶ τὴν ἕω ἐσθίειν φιλεῖ.

8. Ποτὲ μὲν ὁ εἷς ἀντέπεμπε πλείω βέλη, ποτὲ δὲ ὁ ἕτερος.

» τῶν ἀστέρων ἀφανῆ ποιεῖ ὁ Ἥλιος ταῖς ἀκτῖσι.

73. « Ὁ δὲ Δρυσταδιούμνας ἀνεῖλε τὸν Δαμάναν, τὸν υἱὸν » τοῦ Παουραβέα, καὶ τὸν βασιλέα Σανγεμινὴν, καθὼς ὁ » γνωστικὸς τὸν χρόνον καὶ τὸ ἔργον [1].

74. » Χαρὰν δ' ἔσχεν ὁ Βήμας ἐπὶ τοῖς μεγάλοις ἐλέφασι » τοῦ βασιλέως τῆς Μαγάδας, ἐπιδραμοῦσι κατ' αὐτοῦ, » καθὼς ὁ ὄφις ἐπὶ τοῖς βατράχοις.

75. « Καὶ οἱ τῶν μερῶν τοῦ κόσμου ἐλέφαντες [2] καὶ ὁ ὑπὸ » γῆν Σέσσας ἔτρεμον ἐκ τοῦ βαδίσματος αὐτοῦ, πεζῇ πο- » ρευομένου, καὶ κορύνην ἐν χειρὶ φέροντος.

76. « Ἡ δὲ φήμη, ἡ γεγενημένη ἐκ τῆς νίκης κατὰ τῶν ἐλε- » φάντων τῶν μερῶν τοῦ κόσμου, ἔπιπτε τότε ἀπὸ τῶν » ἐλεφάντων τούτων [3], διατεμνομένη τῇ παιούσῃ κορύνῃ, » ὃ συμπεραίνεται ἐκ τῶν πιπτόντων μαργαριτῶν [4].

77. « Ὅση δὲ θλῖψις ἐγίνετο τῷ ὑπὸ γῆν ὀφιοβασιλεῖ ἐκ τοῦ » βαδίσματος τοῦ Βήμα, τοσαύτη οὐκ ἐγίνετο ἐκ τῆς » πτώσεως τῶν ἐλεφάντων, ὡς ὀρέων, ἀναιρουμένων τῇ » κορύνῃ τοῦ Βήμα.

78. « Τούτου δὲ κτείνοντος ἀφειδῶς, βλέποντες οἱ θεοὶ τοὺς » ἐλέφαντας καταβυθιζομένους εἰς τὰ ποταμηδὸν ῥέοντα » αἵματα, ἐνεθυμήθησαν τὸν Ἴνδραν, ῥίπτοντα τὰ ὄρη εἰς » τὴν θάλασσαν [5].

---

1. Τουτέστι τὸν θάνατον καὶ πᾶσαν πρᾶξιν κατὰ τὸν νόμον, δηλ. τὸ λούεσθαι καὶ τότε ἐσθίειν, καὶ ἄλλα τοιαῦτα· ὁ γὰρ θεόφρων τότε θνήσκει, ὅταν θέλῃ (ἴσ. ὅτε θέλει), οὐδὲ θεωρεῖ ὅσα ἀπαγορεύει ὁ νόμος.

2. Οἱ ἐλέφαντες οἱ βαστάζοντες τὴν γῆν.

3. Δηλ. καὶ ἐκείνους ἐνίκησαν οὗτοι οἱ ἐλέφαντες, οὓς ἀπέκτεινεν ὁ Βήμας.

4. Λευκὴ ἡ φήμη, λευκοὶ καὶ οἱ μαργαρῖται.

5. Τὰ ὄρη φεύγοντα τὸν Ἴνδραν, κόπτοντα τὰ πτερὰ αὐτῶν, ἔπιπτον εἰς τὴν θάλασσαν, ὡς εἰς καταφυφήν· ἐκ δ' ἐκείνων ἐγένοντο αἱ νῆσοι.

79. « Ὥρμησαν δὲ κατὰ τοῦ Βήμα οἱ περὶ τὸν Δουριοδάναν,
» μαινομένου δίκην τοῦ Ἰάμα, καὶ ἐπαπειλοῦντος ἀναιρέ-
» σειν πάντας τοὺς ἐλέφαντας.

80. « Βληθεὶς δὲ βέλει ὁ Βήμας ὑπὸ τοῦ Δουριοδάνα, καὶ ἀλ-
» γήσας, ἦν ἐστὼς ἐν ὀλίγῳ, ὥςπερ ἐννοῶν τὸν τρόπον τοῦ
» θανάτου ἐκείνου.

81. « Τρωθεὶς δὲ καὶ ὁ Δουριοδάνας βέλει τὸ στῆθος ὑπὸ τοῦ
» Βήμα, ἀναβάντος εἰς τὸ ἅρμα, λειποθυμίαν ἔσχεν, ὡς
» μηνύτριαν τοῦ θανάτου.

82. « Τὸν δὲ Σεναπατὴν, τὸν Σουέναν, τὸν Ζαλασάνδαν, τὸν
» Σουλοσάναν, τὸν Βήμαν, τὸν Οὔγραν, τὸν Βημαράταν,
» τὸν Βημαβαχοῦν, τὸν Ἀλολούπαν,

83. » Τὸν Σάμαν, τὸν Βιβιτσοῦν, τὸν Βικάταν, τὸν Δουρ-
» μούκαν, καὶ τὸν Δουπραδαρσσάναν, τούτους τοὺς δεκα-
» τέσσαρας ἐξαποστείλας, ξενισθησομένους παρὰ τῷ ἄδῃ,
» ἅμα τοῖς δεκατέσσαρσιν υἱοῖς αὐτῶν,

84. « Φωνὰς λεοντίους [1] ἐξέπεμψεν ὁ Βήμας, διηκούσας μετὰ
» τῶν φημῶν [2] εἰς τοὺς δεκατέσσαρας κόσμους.

85. « Ἐφορμήσαντος δὲ τοῦ Βαγαδάτα, τοῦ πεῖραν ἔχοντος
» δεινῶν ὅπλων, ἡ στρατιὰ τοῦ Βήμα συνεστάλη, ὡς ἡ
» ἄπειρος καὶ πρωτόπειρος γυνὴ συστέλλεται ἐξ ἀνδρὸς,
» ἔρωτι μαινομένου [3].

86. « Τούτου τῷ βέλει βληθεὶς τὸ σῆθος ὁ Βήμας, ἐλειποθύμη-
» σε· καὶ ἐπερειδόμενος τῇ σημαίᾳ [4], καὶ παράφορον ἔχων τὸ
» σῶμα, ἐφαίνετο ὡς μεμηνὼς ἐλέφας, δεδεμένος ἐν ςύλῳ.

---

1. Ἀλαλαγμὸν ἐπινίκειον.

2. Ὡς ἔλαβεν ἐν τῷ κτεῖναι τοσούτους βασιλεῖς.

3. Τὸ προτότυπον χάριέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

4. Ἡ σημαία ἐτίθετο ὄπιθεν τοῦ ἅρματος.

87. «Ἀγανακτήσας δ' ὁ Γατοτκάσας ἐπὶ τῷ πατρὶ, ἀντέστη » τῷ Βαγαδάτᾳ ἐποχουμένῳ ἐλέφαντι, ἐποχούμενος θείῳ » ἐλέφαντι, καὶ τοὺς περὶ ἑαυτὸν ἔχων ἐποχουμένους τοῖς » ἐλέφασι τῶν μερῶν τοῦ κόσμου, ὡς μάγος.

88. «Τούτου ἐκ τῶν βροχηδὸν πιπτόντων βελῶν ὁ Βαγαδά- » τας, καὶ ὁ ἐλέφας αὐτοῦ Σουπρατίκας, ὁ κλάδος καὶ ἡ » ῥίζα τῆς ἀνδρείας, ὑπερήκμαζον καὶ ὑπερέθαλλον [1] (ἐπί- » δοσιν ἐλάμβανον).

89. «Τότε οἱ μὲν βασιλεῖς καὶ οἱ ἐλέφαντες ἄψυχοι ἐγένοντο » ταῖς ὑπερφυέσι (ἀλλοκότοις) φωναῖς τοῦ τε Βαγαδάτα » καὶ τοῦ Σουπρατίκα.

90. «Ἡ δὲ γῆ ζόφου τῆς νυκτὸς πληρωθεῖσα, ἐφαίνετο ὅτι » ἐβυθίσθη εἰς τὸν Ὠκεανὸν, ὥςπερ ἀφεθεῖσα ὑπὸ τῶν ἐλε- » φάντων, τῶν βασταζόντων αὐτὴν, βαλλομένων ὑπὸ τοῦ » Γατοτκάσα.

91. «Ἐπαύσατο δ' εὐθέως ὁ Βήσμας τοῦ πολέμου, φοβηθεὶς » τὸν Γατοτκάσαν, τὸν υἱὸν τοῦ Βήμα· ἡ γὰρ νὺξ, ὡς ἡμέ- » ρα ἐστὶν εἰς νίκην ἐν πολέμῳ τοῖς μαγικοῖς δαίμοσι [2].

92. «Καὶ οἱ μὲν Καουραβαὶ ᾤχοντο ἀπιόντες, ἐννοοῦντες, ὅτι » οἱ ἐχθροὶ οὐκ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπεκτάνθησαν, οἱ δὲ » Πανδοΐδαι, ὅτι τῇ ἐπιούσῃ ἐκείνους ἀποκτενοῦσι.

Τετάρτη ἡμέρα.

93. «Περὶ δὲ τὴν νύκτα ἐρωτηθεὶς ὁ Βήσμας ὑπὸ τοῦ υἱοῦ

---

1. Ὁμοιοῖ μεταφορικῶς καὶ πάνυ ἀστείως ὁ ποιητὴς τὸν μὲν Βαγαδάταν τῷ κλάδῳ τοῦ δένδρου, τὸν δὲ Σουπρατίκαν, τὸν ἐλέφαντα αὐτοῦ, τῇ ῥίζῃ· καὶ καθὼς τὸ δένδρον ὑπερακμάζει ἐκ τῆς βροχῆς, οὕτω καὶ οὗτοι ἐκ τῶν βροχηδὸν πιπτόντων βελῶν. Ὁ ἐλέφας τοῦ Βαγαδάτα, ὁ ὀνομαζόμενος Σουπρατίκας, ὑπερεῖχε πάντων τῶν ἐν τοῖς στρατοῖς τῇ τε δυνάμει, καὶ τῷ κάλλει, καὶ τῇ πολεμικῇ ἀρετῇ.

2. Βλέπουσι γὰρ ἐν νυκτὶ οἱ δαίμονες.

» σοῦ [1], « Ἆρα ἐκεῖνοι νικήσουσιν; » ἔλεξε λόγον λευκὸν,
» τουτέστι καθαρὸν, ὡς τὸ τῆς Γαγγᾶς ὕδωρ·

94. « Πάλαι ὁ Βισνοῦς, ληφθεὶς ἐν τῷ νοὶ παρὰ τοῦ Βραχμᾶ,
« ὥστε ἀνελεῖν τὸ τῆς γῆς ἄχθος, ἐνεφανίσθη αὐτῷ, ὃν
« καὶ ὕμνησεν, εἰπών·

95. « Ὦ Κύριε τοῦ παντὸς, ἡ ψυχὴ τοῦ παντὸς, ὁ ὢν αὐτὸς
» τὰ πάντα, ὁ γινώσκων τὰ πάντα, ἡ γένεσις, ἡ ὕπαρξις,
» καὶ ἡ φθορὰ τοῦ παντὸς, νίκα.

96. « Δόξα σοι ὁ Θεὸς, ὁ Κύριος τῶν νοητῶν καὶ αἰσθητῶν,
» ὁ πάσης γνώσεως δοτὴρ, ἡ τρυφὴ τῶν τρυφώντων καὶ
» ὁ τρυφῶν τῆς τρυφῆς, δόξα σοι!

97. « Οἱ δαίμονες ἀνῃρέθησαν ὑπὸ σοῦ, Κύριε, εἰς ἄνεσιν τοῦ οὐ-
» ρανοῦ· οὗτοι ἐνανθρωπήσαντες, ἄχθουσι νῦν τὴν θεὰν γῆν.

98. « Ἐνανθρώπησον, ὦ Θεὲ, εἰς τὸ ἀνελεῖν τὸ ἄχθος ταύτης
» τῆς γῆς, ἧς τὸ μὲν ὄρος, ἡ Μερόη, ὦμός ἐστιν, ὁ δ' οὐ-
» ρανὸς κεφαλὴ, ἡ δὲ Πατάλα [2] ποῦς. »

99. « Τοιαῦτα εἰρηκότος αὐτοῦ τοῦ Βραχμᾶ, αὐτὸς ὁ Ναραϊά-
« νας [3] ἐγένετο μετὰ τοῦ φίλου αὐτοῦ Νάρα [4] κόσμημα
« τῆς γῆς [5].

100. « Τούτοις οὖν, τῷ τε Ναραϊάνᾳ καὶ τῷ Νάρᾳ, οἵ εἰσιν
« ὑπὸ τὴν μορφὴν τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα, βοηθού-
« μενος ὁ Ἰουδιστίρας [6], νικήσει· ὅθεν ἡ μετὰ τούτου εἰρήνη
« οἰκεία ἐστί. »

---

1. Ὁ Σανζαίας λέγει πρὸς τὸν Δουριοδάναν.
2. Πατάλα λέγεται ὁ καταχθόνιος κόσμος.
3. Ναραϊάνας ἐστὶν ἡ γενικὴ ψυχὴ, τουτέστιν ὁ Θεός.
4. Νάρας δὲ ἡ μερικὴ ψυχὴ, ἡ ἐν πᾶσι τοῖς ἐμψύχοις.
5. Ἐνηνθρώπησε δηλ.
6. Ἡ ὀρθὴ γραφὴ εἶναι Ἰουδιστίρας καὶ οὐχὶ Ἰνδιστίρας, ὡς μέχρι τοῦδε ἐσφαλμένως ἐτυπώθη, ἕνεκα τῆς οὐ διφθόγγου, τὴν ὁποίαν ὁ μεταφραστὴς γράφει ἀπαράλλακτον μὲ τὸ ν. (Σ. τ. ἐκδ.)

101. « Ἐννοήσας δ' ὁ βασιλεὺς Δουριοδάνας ἐκ τούτου τοῦ λόγου
» τοῦ Βήσμα τὴν δύναμιν τοῦ Κρισνᾶ, ἐλθὼν οἴκαδε, διήνυσε
» τὴν νύχθ' ὅλην ἐπαινῶν καὶ παραθαῤῥύνων τοὺς ἥρωας.

102. « Κατὰ δὲ τὴν ἕω, ὦ βασιλεῦ, ἐξελθὼν ἑκάτερος ὁ ἡρωϊ-
» κὸς στρατὸς, ἐτάχθη ὁ μὲν εἰς σχῆμα ἱέρακος, ὁ δὲ εἰς
» σχῆμα κροκοδείλου, τῇ ἐπιταγῇ τοῦ Βήμα καὶ Βήσμα.

103. « Τότε ἐν τῷ σταδίῳ τοῦ πολέμου, ὃ ἦν ὡς ἄλσος ἡδὺ
» τοῦ θανάτου, βέλη ἔπιπτον ἀμοιβαίως (ἑκατέρωθεν) κατὰ
» τῶν ἡρώων, οἳ ἦσαν ὡς δένδρα, ἔχοντες τὰ κλέη ὡς
» λευκὰ ἄνθη.

104. « Ἐκ δὲ τῶν ῥεόντων πολλῶν αἱμάτων ἀπὸ τῶν μετώπων
» τῶν ἐλεφάντων, νυττομένων τοῖς βέλεσιν, ἡ γῆ ἐδόκει ὡς
» ποτισήριον τοῦ Ἰάμα, ψυχαγωγίαν παρέχον τοῖς Πραΐταις[1].

105. « Οἱ δ' ὀλιγόψυχοι στρατιῶται, νυττόμενοι τοῖς ὀδοῦσι
» τῶν ἐλεφάντων, ἠνδρίζοντο ὑπὸ τῶν μεγαλοψύχων, λε-
» γόντων· « Τοῦτο οὐκ ἔστιν αἷμα ἀπὸ τῆς νύξεως τῶν
» ἐλεφάντων, ἀλλὰ φῶς ἐρυθρὸν τοῦ Ἡλίου[2].»

106. « Ἑκάτερον δὲ τὸ στράτευμα ἀνετρέπετο ὑπὸ τῶν περὶ
» τὸν Βήμαν καὶ Βήσμαν, βέλη βαλλόντων, καὶ τεμνόν-
» των τὰς κάρας τῶν βασιλέων, καθὼς ὁ ποταμὸς ανα-
» τρέπεται ὑπ' ἐλεφάντων, κοπτόντων τοὺς λωτούς.

107. « Ὁ δὲ Σατεκὴς ἔπεμψε πρὸς τὰς θεὰς μίαν μυριάδα
» ἁρματηλατῶν εὐτόξων, ὀϊστοβόλων, καὶ μεγαλοψύχων.

108. « Τοῦτον δ' ἐπέσχε τῆς ὁρμῆς ὁ Βουρισραβᾶς, ὁ ἔμπει-
» ρος τῶν τοῦ πολέμου, κατακαλύπτων τοὺς ἐχθροὺς
» τοῖς βέλεσι, καὶ πᾶν μέρος, καθ' ὃ φυγεῖν ἤθελον.

---

1. Ἐν καιρῷ θέρους, πίθους ὕδατος πληροῦντες κατὰ τόπους, ὕδωρ διανέμουσιν εἰς ἔλεος τοῖς διψῶσιν ὁδοιπόροις· οἱ δὲ Πραΐται, καθὸ δαίμονες, αἱματοχαρεῖς καὶ αἱμοπόται εἰσί.

2. Καὶ γὰρ περὶ τὴν ἕω ἐρυθραί εἰσιν αἱ ἀκτῖνες τοῦ Ἡλίου.

109. « Δέκα δὲ υἱοὺς τοῦ Σατεκῆ, ἐπιδραμόντας εἰς μάχην,
» ἐποίησεν ὁ Βουρισραβᾶς τοῖς βέλεσι προσφοράς πως
» καὶ σπονδὰς τοῖς ἐφόροις τῶν δέκα διαστάσεων τοῦ
» τόπου θεοῖς.

110. « Ἀμφότεροι δ' οὗτοι οἱ ἥρωες ἐπῆσαν πεζῇ κατ' ἀλ-
» λήλων ξιφήρεις, μετὰ μεγάλης ὁρμῆς καὶ ὀργῆς, κα-
» τεαγότων τῶν ἁρμάτων αὐτῶν.

111. « Τούτων δ' ἐκ τοῦ βάρους κατακαμφθέντων τῶν τὴν γῆν
» βασταζόντων ἐλεφάντων, τῆς χελώνης, τοῦ ὄφεως, τοῦ
» χοίρου καὶ τῶν ὀρέων, ἡ γῆ ἐβυθίζετο ἂν, εἰ μὴ ἐρεί-
» δετο ἐπὶ τῆς δυνάμεως τῆς ἀληθείας αὐτῶν [1].

112. « Ἀναληφθέντες δ' ἑκάτεροι εὐθέως ἐπὶ τῶν ἁρμάτων
» ὑπὸ τοῦ Βήμα καὶ Δουριοδάνα, ἐνόμιζον τὴν ζωὴν ἐπαχ-
» θεστέραν τοῦ θανάτου [2].

113. « Ἀγανακτήσας δ' ὁ Ἀρζούνας ἐπὶ τῷ θανάτῳ τῶν
» υἱῶν τοῦ Σατεκῆ, ἐπέστη, ὡς πῦρ δεινόν, εἰς τὸ κατα-
» καῦσαι, ὡς δένδρα, τοὺς Καουραβάς.

114. « Ἐκ δὲ τοῦ Ἀρζούνα, τοῦ ἔχοντος τόξον δεινὸν, καὶ
» ἠχητικὸν, οἵστοὶ ἔπιπτον ἐπὶ τὰς κεφαλὰς τῶν βασι-
» λέων, ὡς σκηπτοὶ ἐκ νέφους, τοῦ ἔχοντος τὴν Ἶριν, καὶ
» βροντῶντος ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων.

115. « Τηνικαῦτα ἡ στρατιά σου [3], βαλλομένη τοῖς βέλεσι
» τοῦ Ἀρζούνα, καὶ καταθλιβομένη, συνεστάλθη [4], καὶ
» ἐγένετο ὡς ἔνθεσις βρώματος τοῦ θανάτου.

116. « Δισμύριοι γὰρ καὶ πεντακισχίλιοι τῶν βασιλέων ἀνῃρέ-

---

1. Ἐπὶ τῆς ἀληθείας ἐρείδεται ἡ γῆ.

2. Ἠσχύνοντο δηλ.

3. Ὁ Σανζαίας λέγει πρὸς τὸν Δρυταράστραν.

4. Καθὼς ἡ ὄρυζα συστέλλεται καὶ συνάγεται, ὡς βῶλος, διὰ τῶν δακτύλων, καὶ οὕτως ἐντίθεται τῷ στόματι.

» θησαν τότε ὑπὸ τοῦ υἱοῦ τοῦ Ἴνδρα, μαχομένου ἐκ » καρδίας.

117. « Τότε ἡ κακοβουλία σου [1] τὰ μὲν χεόμενα αἵματα τῶν » βασιλέων ἔσχεν, ὡς φύλλα νεογνά, τοὺς δ' ἐκ τῶν ὄρ- » μων μαργαρίτας, ὡς ἄνθη, τὰς δὲ κάρας, ὡς ὀπώ- » ρας.

118. « Οὕτω μὲν δὴ τοῦ Ἀρζούνα ἀναιροῦντος πλήθη δεινῶν » ἡρώων, ὁ Ἥλιος φοβηθεὶς κατέφυγεν εἰς τὸν Ὠκεανόν, » ὡς εἰς φρούριον ἐρυμνόν [2].

119. « Οἱ δ' ἥρωες ἀπῆλθον εἰς τὰ ἴδια βραδέως, καίπερ » σπεύδοντες, δεινὰ παθόντες πλείω ἐν τῷ λύθρῳ τοῦ » αἵματος, ἢ ἐν τῷ πολέμῳ [3]»

Πέμπτη ἡμέρα.

120. « Πάλιν δὲ περὶ τὴν ἕω καθοπλισθέντες οἱ Πανδοΐδαι » καὶ οἱ Καουραβαὶ, ἐπολέμουν πλείονι θυμῷ, τάξαντες » ἑκάτερον τὸν στρατὸν εἰς σχῆμα *Κραούνσης* καὶ κροκο- » δείλου.

121. « Φιλοκίνδυνοι δ' ὄντες, ἐδίδοσαν τὰ αὐτῶν σώματα, » οἱονεὶ ἄχυρα [4], τοῖς ὀξέσι στόμασι τῶν βελῶν, τοῖς » παρὰ τῶν ἐχθρῶν ἐρχομένοις, καθὼς οἱ φιλόδωροι δι- » δόασι καὶ τὸ σῶμα ἑαυτῶν τοῖς αἰτοῦσιν, εἰ καὶ παρ' ἐχ- » θρῶν ἔρχονται, καὶ σκληρὰ λέγουσι [5].

---

1. Ὁ Σανζαΐας λέγει πρὸς τὸν Δρυταράστραν· δηλονότι εἰ καλῶς συνεβούλευες, πόλεμος οὐκ ἐγίνετο, οὐδὲ τοσοῦτος φόνος.

2. Νὺξ δηλ. ἐγένετο. — Τὸ πρωτότυπον χάριν ἔχει, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

3. Οὐκ ἠδύναντο πορεύεσθαι εὐμαρῶς, διὰ τὴν ἐπισυμβᾶσαν ἰλὺν ἐκ τῶν αἱμάτων.

4. Εἰς οὐδὲν δηλ. αὐτὰ τιθέμενοι.

5. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

122. « Τίνων δὲ παιζόντων ἐν ταύτῃ τῇ γῇ τοῦ πολέμου, ὡς » ἐν λίμνῃ παιδιᾶς τοῦ Ἰάμα, τὸ αἷμα οὐκ ἐξεμύζησαν » τὰ βέλη, ὡς βδέλλαι;

123. « Ἐπῆσαν δὲ κατὰ τῶν Καουραβῶν ὅ,τε Βήμας καὶ ὁ » Δρουπάδας, ἐρυθροὶ ὄντες ἐκ πολλοῦ θυμοῦ, καὶ ἐφαί- » νοντο αὐτοὶ μὲν, ὡς δύω ὀφθαλμοὶ, τὰ δὲ τόξα αὐτῶν, » ὡς δύω ὀφρύες τοῦ Ἰάμα.

124. « Ἡ δὲ στρατιὰ ἐκείνη, θλιβομένη σφόδρα ὑπὸ τῶν δύω » τούτων, ὡς γυνὴ ὑπὸ τῶν χειρῶν τοῦ ἀνδρὸς, ἔδρου, » ἔτρεμε, καὶ ἐν ἀγωνίᾳ ἦν [1].

125. « Περιεκύκλωσε δ' ὁ Δουριοδάνας πολλοῖς ἐλέφασι τὸν » Βήμαν, τὸν ὀλλύοντα τὸν στρατὸν, καθὼς ὁ καιρὸς τῆς » ὀροχῆς τὸν Ἥλιον νέφεσι, τὸν ξηραίνοντα τὸν ποτα- » μόν [2].

126. « Ὁ δὲ, πλήττων σφοδρῶς τοὺς ἐλέφαντας κατὰ τὰ μέ- » τωπα τῇ κορύνῃ, ἐνεπήγνυεν αὐτοὺς τῇ γῇ, ἵνα συνοι- » κήσαιεν τοῖς ὄφεσιν [3].

127. « Ἀναῤῥιπτομένων δὲ τῶν ἐλεφάντων ὑπὸ τούτου, φόβος » ἐγένετο τοῖς θεοῖς, ἀφεῖσι τὴν θεωρίαν, καὶ φυγοῦσι τῇ » δε κακεῖσε, μήπου τὰ φορεῖα αὐτῶν συντριβεῖεν.

128. « Ζῶντες δ' οἱ ἐλέφαντες ἀνεῤῥίπτοντο εἰς πᾶν μέρος » ὑπὸ τῆς κρατούσης χειρὸς τούτου, ὥσπερ δοθησόμενοι » τοῖς ἐφόροις τῶν μερῶν θεοῖς, εἰς ἄνεσιν τῶν ἐλεφάν- » των αὐτῶν [4].

129. « Ὁ δὲ Δουριοδάνας, ἐξάψας θυμῷ, ὡς πυρὶ, μετὰ τῶν

---

1. Ταῦτα ἀκολουθεῖ καὶ τῇ γυναικὶ ἐν περιπτύξει.

2. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

3. Παίζει πρὸς τὴν λίξιν ὁ ποιητής· ἡ γὰρ ἰνδικὴ λέξεις τοῦ κειμένου σημαίνει τόν τε ἐλέφαντα καὶ τὸν ὄφιν.

4. Ἵνα ἐποχούμενοι τούτοις, ἄνεσιν δοῖεν τοῖς ἑαυτῶν ἐλέφασιν.

» ἑαυτοῦ ἀδελφῶν, ἔβαλλε βέλη πολλὰ κατὰ τοῦ Βήμα, » τοῦ ἀναρρίπτοντος πολλοὺς ἐλέφαντας.

130. « Νενυγμένος δ' ὁ Βήμας κατὰ πᾶν μέρος τοῖς παρὰ τοῦ » Δουριοδάνα βέλεσιν, ἐφαίνετο ὥςπερ Ἴνδρας, ἔχων χι- » λίους ὀφθαλμοὺς ἐρυθροὺς ἐκ θυμοῦ [1].

131. « Ὁ δὲ Δρουπάδας ἐσκότισε τοὺς Καουραβὰς τῇ *Μοχα-* » *νάστρᾳ* [2], καθὼς ὁ Ἥλιος τῇ ἀκτινοβολίᾳ τοὺς νυκτε- » ρινοὺς λωτούς [3].

132. « Ἐκ δὲ τούτου οἱ Καουραβαὶ συνωθοῦντο [4] ἀλλήλοις » καὶ συνεθλίβοντο, καθὼς οἱ ἀναφυόμενοι ὀξεῖς ὀδόντες » τοῦ παιδίου [5].

133. « Τότε ὁ διδάσκαλος Δρόνας, ὁ ποιῶν ἀπαλλαγὴν τῆς » μωρίας, ἤνεγκεν εἰς τὸ λογικὸν ταχέως τοὺς Καουρα- » βὰς, διὰ τῆς ἀφέσεως τοῦ νοητικοῦ (γνωστικοῦ) βέλους.

134. « Διαθρύψας δ' ὁ Βήμας τὸ ἅρμα τοῦ βασιλέως τῶν » Καουραβῶν, λυποθυμῆσαι ἐποίησεν αὐτὸν τοῖς βέλεσι, » λέγων· « Ἐγὼ οὐκ ἀφήσω τοῦτον σήμερον ζῶντα. »

135. « Τοῦ μὲν οὖν Δουριοδάνα ἀναχθέντος ὑπὸ τοῦ Κριπᾶ ἐπὶ » τὸ ἅρμα, τοῦ δὲ Βήμα ἀναβοήσαντος χαρᾷ, ἡ μὲν γῆ » ἔτρεμεν, ὥςπερ φοβηθεῖσα, τὰ δ' ὄρη διερρήγνυντο [6].

136. « Παραστάντος (ἀναφανέντος) δὲ τοῦ γέροντος Βήσμα, » ἡ χαρίεσσα στρατιὰ τῶν Πανδοϊδῶν λυσιμελής πως ἐγέ-

---

1. Χιλιόφθαλμος γάρ ἐστιν ὁ Ἴνδρας.

2. Μοχανάστρα, μωραντικὸν ὅπλον.

3. Ἐμώρανε δηλ. τῷ τῆς μωρίας βέλει τοὺς Καουραβὰς, καθὼς ὁ Ἥλιος τῇ ἀκτινοβολίᾳ σκοτίζει, τουτέστει κατακλείει τοὺς λωτοὺς, τοὺς ἀνθοῦντας ἐν νυκτί.

4. Ἐπειδὴ ἐμωράνθησαν, διὰ τοῦτο συνωθοῦντο ἀλλήλοις.

5. Συσφίγγει γὰρ αὐτοὺς τὸ παιδίον, ἐκ τῆς ἀναφύσεως κναιόμενον.

6. Ἐκ τῆς βοῆς τοῦ Βήμα ἡ γῆ ἐσείετο καὶ τὰ ὄρη διερρήγνυντο.

» νετο ἐκ τῶν βελῶν αὐτοῦ, διαπειρόντων τὰς κάρας.

137. « Ὁ μὲν οὖν Βήσμας, ὃν ὁ κόσμος ἐφοβεῖτο, τοσαύτην » σφαγὴν ἐποίησε τῶν βασιλέων, πτοηθέντων, ὥστε ἐπλή- » ρωσε τὸν οἶκον τοῦ Ἰάμα [1].

138. « Τοσοῦτος γεμὴν πόλεμος τῶν υἱῶν τῆς Δραουπαδῆς » κατὰ τῶν Καουραβῶν ἐγένετο, ὥστε τοὺς ὀφθαλμοὺς » τῶν θεῶν ἑλκυσθῆναι εὐθέως ἀπὸ τῶν περὶ τὸν Βήσμαν » ἐπ' αὐτούς [2].

139. « Κρυβέντος δὲ τότε ὑπὸ τὸ δυτικὸν ὄρος τοῦ Ἡλίου, » ὥσπερ μὴ δυναμένου βλέπειν τὴν πολλὴν σφαγὴν (ἀν- » δροκτασίαν) τῶν τῆς Δραουπαδῆς, οἱ Μαχαράται [3] ἐπαύ- » σαντο πολεμοῦντες. »

Ἕκτη ἡμέρα.

140. « Παρηγορήσας δ' ὁ Βήσμας, τὸν Δουριοδάναν, νικηθέντα » ὑπὸ τοῦ Βήμα, περὶ τὴν ἀνατολὴν τοῦ Ἡλίου ἔταξε τὸν » στρατὸν εἰς σχῆμα κύκλου, ὁ δ' Ἰουδιστίρας εἰς σχῆμα » κεραυνοῦ.

141. « Τὸ φῶς τοῦ Ἡλίου, ὥσπερ τεμνόμενον τοῖς ῥιπτομένοις » ὀξέσι βέλεσι τῶν ἡρώων, διεχέετο κατὰ γῆς, ῥέον τῇδε » κακεῖσε, ὅ ἐστι τὸ αἷμα [4].

142. « Πόλεμος δὲ συνεκροτήθη τῷ Βήσμᾳ καὶ τῷ Ἀρζούνᾳ,

---

1. Πολλὰς ψυχὰς ᾅδὶ προΐαψε.

2. Ἀφῆκαν δηλ. βλέπειν τὸν Βήσμαν ἀνδραγαθοῦντα, καὶ ἔτρεψαν τὰ ὄμματα πρὸς τοὺς Πανδοΐδας, ἀνδραγαθοῦντας μᾶλλον.

3. Μαχαράτας ἑφερμηνεύεται, Μεγαλόδιφρος· ἐπίθετον δ' ἔστιν ἥρωος.

4. Τὸ χεόμενον δηλ. αἷμα, οὐκ ἦν αἷμα, ἀλλὰ φῶς τοῦ Ἡλίου, τεμνόμενον τοῖς ὀξέσι βέλεσι· καὶ γὰρ τὸ φῶς τοῦ Ἡλίου περὶ τὴν ἕω ἐρυθρόν ἐστι.

» τῷ μέλανι καὶ τῷ λευκῷ, ὥσπερ τῷ Ἡλίῳ καὶ τῷ Ῥα-
» χοῦ [1].

143. « Τὰ δὲ χρυσᾶ βέλη τοῦ Βήσμα καὶ τοῦ Ἀρζούνα, ὡς
» περ λυποθυμοῦντα ἐκ τῆς πολλῆς αὐτῶν θερμότητος,
» πίπτοντα ἐξ οὐρανοῦ κατὰ γῆς ἐφαίνοντο, ὡς ἀκτῖνες
» τοῦ Ἡλίου [2].

144. « Ὁ δὲ Βιράτας, οὗ τὸ ὄχημα κατεάγη τοῖς βέλεσι τοῦ
» Δρόνα, καὶ ἐβυθίσθη, ὡς ἐν ὠκεανῷ, ἐν τῷ πολέμῳ,
» κατέφυγεν (ἄφρων!) πρὸς τὸν υἱὸν αὐτοῦ Σάγχαν [3]
» ἐπὶ ζωῇ.

145. « Ὁ δὲ διδάσκαλος Δρόνας ἐπολέμει τούτοις ἐν ἑνὶ ἅρ-
» ματι οὖσι, τῷ τε Βιράτᾳ καὶ τῷ Σάγχᾳ, τῷ υἱῷ καὶ τῷ
» πατρὶ, καθὼς ὁ Διδάσκαλος τῆς θεωρητικῆς τῇ ἀγνοίᾳ
» καὶ τῷ ἔργῳ τοῦ μαθητοῦ.

146. « Κατεβύθισε δ' εὐχερῶς τὸν Σάγχαν [4] ὁ Δρόνας εἰς τὸ
» μὴ ὄν, τῇ τε ἑαυτοῦ εὐκλείᾳ, τῇ οὔσῃ λευκῇ, ὡς Καφού-
» ρα, καὶ τῷ βέλει [5].

---

1. Ὁ μὲν λευκὸς ὢν, ὡς Ἥλιος, ὁ Βήσμας· ὁ δὲ μέλας, ὡς ὁ Ῥα-
χοῦς, ὁ Ἀρζούνας. Ῥαχοῦς ἐστιν ὁ μυθευόμενος δαίμων, ὁ ἐχθρὸς τοῦ
Ἡλίου, ὃς ὁρμᾷ καταπιεῖν τὸν Ἥλιον, καὶ ἐκ τούτου γίνεται ἔκλειψις.

2. Περὶ γὰρ τὸ πρωῒ ἐρυθραί εἰσιν αἱ ἀκτῖνες τοῦ Ἡλίου.

3. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής. Σάγχας γὰρ λέγεται καὶ ὁ μέ-
γας κόγχος. Ταλανίζει δὲ αὐτὸν, διότι πρὸς τὸν οὐ δυνάμενον σῶσαι ἑαυ-
τὸν κατέφυγε· αὐτὸς γὰρ ὁ Σάγχας μετ' ὀλίγον ἀναιρεθήσεται ὑπὸ τοῦ
Δρόνα.

4. Παίζει πρὸς τὴν λέξιν· Σάγχας γὰρ λέγεται, ὡς προείρηται, ὁ μέ-
γας κόγχος. Τουτέστι τὸ κλέος τοῦ Δρόνα ἦν λευκότερον, δηλ. ὑπέρτερον
τοῦ Σάγχα· λευκὸς γάρ ἐστι καὶ ὁ κόγχος· κατεπόντισε δὲ οὐχὶ εἰς τὸν
πόντον, ἔνθα γεννᾶται καὶ ζῇ ὁ κόγχος, ἀλλ' εἰς τὸ μὴ ὄν, εἰς τὸν θά-
νατον.

5. Δηλονότι τῇ ἐπιδεξιότητι.

147. « Ὁ δὲ Σικανδὴς, οὗ τὸ ὄχημα κατεάγη ὑπὸ τοῦ υἱοῦ » τοῦ Δρόνα, κατέφυγε πεζὸς εἰς τὸν πολύϊδριν περὶ τὰ » ὅπλα Σατεκὴν, καθὼς ὁ ὄρνις, οὗ τὸ πτερύγιον κα- » τεάγη ὑπὸ κόρακος, καταφεύγει πεζὸς εἰς πολύκλαδον » θάμνον [1].

148. « Ὁ δὲ Σατεκὴς ἐνίκησε τῷ ἰνδρικῷ ὅπλῳ [2] τὸν δαίμονα » Ἀλαμβοῦσαν, ἐπιόντα μετ' ὀργῆς, καὶ μαγικῶς ἔχοντα » ὅρος ἀνθ' ὅπλου.

149. « Ὁ δὲ Ἰραβὰν [3], ὁ υἱὸς τοῦ Ἀρζούνα καὶ τῆς Πανναγῆς, » ἐνίκησε τὸν Βίνδαν, καὶ τὸν Ἀνουβίνδαν, τοὺς βασιλεῖς » τῆς Ἀβαντῆς, καθὼς ὁ θεωρητικὸς νικᾷ τὸ καλὸν καὶ » κακὸν ἔργον [4].

150. « Ὁ δὲ Βαγαδάτας καὶ ὁ Γατοτκάσας, συγκροτήσαντες » πρὸς ἀλλήλους μέγαν πόλεμον, ἐξ οὗ καὶ ὁ θάνατος » αὐτὸς, μεγάλως φοβηθεὶς, ἔφυγεν, ὥρμησεν ἑκάτερος » ἐφ' ἑκάτερον τὸν πολέμιον στρατόν [5].

151. « Ὁ δὲ βασιλεὺς τῆς Μάδρας, συντρίψας τὸ ἅρμα τοῦ » Νακούλα, ἔδραμε φεύγων, συντριβεὶς τὸ ἑαυτοῦ ἅρμα » ὑπὸ τοῦ Σαχαδέβα· οὐκ ἀνῃρέθη δὲ, διότι ἦν ἀδελφὸς » τῆς μητρός [6].

152. « Ὁ δὲ Ἰουδιστίρας, νικήσας τὸν Σαταϊούσσαν, ἐκράτησε

---

1. Παίζει κἀνταῦθα πρὸς τὰς λέξεις ὁ ποιητής. Σικανδὴς γὰρ λέγεται καὶ ὁ ὄρνις· Δρόνας λέγεται καὶ ὁ Κόραξ· Πάτρα δὲ λέγεται τὸ ὄχημα καὶ τὸ πτερὸν, καὶ ἡ πτέρυξ.

2. Ἰνδρικὸν ὅπλον ἐστὶν ὁ κεραυνός.

3. Ὁ Ἰραβὰν ἐγεννήθη ἐν τῷ Γάγγῃ, ὡς πρότερον εἴρηται.

4. Οὐδὲν ποιεῖ, οὔτε καλὸν, οὔτε κακὸν ἔργον.

5. Ἐφοβήθη ὁ θάνατος, καὶ διὰ τοῦτο οὐκ ἦλθεν, οὔτε πρὸς τοῦτον, οὔτε πρὸς ἐκεῖνον· καὶ ὁ μὲν Γατοτκάσας ὥρμησεν ἐπὶ τὸν στρατὸν τοῦ Δουριοδάνα, ὁ δὲ Βαγαδάτας ἐπὶ τὸν τοῦ Ἰουδιστίρα.

6. Ἡ ὠνομάζετο Μαδρή.

» τὸν θυμὸν αὐτοῦ, καθὼς ὁ Ὠκεανὸς τὴν ὁρμὴν αὐτοῦ,
» μήπως ἀπολεσθῇ ὁ κόσμος.

153. « Καὶ αἱ μὲν χεῖρες καὶ αἱ κοιλίαι τῶν βασιλέων, αἱ
» κοπεῖσαι ταῖς βολαῖς τῶν ὅπλων τοῦ Βήσμα, ἐγένοντο
» δοίδικες καὶ πίνακες [1] ἐν τῇ τραπέζῃ [2] τοῦ Ἰάμα.

154. « Τὸ δ' ἐκχεόμενον αἷμα τῶν βασιλέων τοῖς βέλεσι τοῦ
» Ἀρζούνα, ἐγένετο πόμα τοῦ Ἰάμα, ἀρυόμενον μὲν τῇ
» ἀκίδι τοῦ βέλους, ψυχραινόμενον δὲ τῷ ὑπὸ τὴν γλυ-
» φίδα πτερῷ [3].

155. « Τότε τοῦ Ἡλίου θερμανθέντος πως ταῖς ἐκ τούτων τῶν
» δύω στρατῶν ὀξείαις θερμότησι, καὶ εἰς θάλασσαν κα-
» καταδύσαντος, οἱ βασιλεῖς παῦσιν τοῦ πολέμου ἐποιή-
» σαντο. »

Ἑβδόμη ἡμέρα.

156. « Κατὰ δὲ τὴν ἕω, τάξαντος τοῦ υἱοῦ τῆς Γαγγᾶς τὸν
» στρατὸν εἰς σχῆμα θαλάσσης, ὁ υἱὸς τοῦ Δρουπάδα [4]
» ἔταξε τὸν οἰκεῖον στρατὸν εἰς σχῆμα τρίγωνον.

157. « Καὶ τὰ μὲν τόξα πληρωθέντα κατὰ τὸ ἐν μέσῳ κενὸν
» τῆς λαμπρότητος τοῦ σώματος τῶν ἡρώων, τρυβλία
» ἐγένοντο τοῖς ἀκολούθοις τοῦ Ἰάμα [5], οἳ ἐκλήθησαν εἰς
» ἑστίασιν.

158. « Οἱ δ' ἥρωες προὐχώρουν ἐν ἀνέσει, καταστορεσθείσης

---

1. Αἱ μὲν χεῖρες, ὡς δοίδικες, αἱ δὲ γαστέρες, ὡς τρυβλία.

2. Αὐτολεξεὶ, ἐν τῷ οἴκῳ τῆς ἑστιάσεως.

3. Τὸ δ' αἷμα τῶν βασιλέων, τὸ ἀρυόμενον μὲν τῇ ἀκίδι τῶν βελῶν τοῦ Ἀρζούνα, ψυχραινόμενον δὲ τῷ ὑπὸ τὴν γλυφίδα πτερῷ, ἐγένετο πόμα τοῦ Ἰάμα· θερμὸν γὰρ τὸ αἷμα.

4. Ὁ Δρυσταδιούμνας.

5. Τὸ τόξον ἑλκόμενον στρογγυλοειδές πως γίνεται, ὡς τρυβλίον.

» τῆς κόνιος τῆς γῆς, ἡ ἐβράχη τοῖς ποταμηδὸν χεομέ-
» νοις αἵμασιν ἐκ τῶν βελῶν ἑκατέρου τοῦ στρατοῦ.

159. « Ἐκ δὲ τῶν οἱστῶν τοῦ Βήσμα, τῶν καταβαλλόντων
» κάρας βασιλέων, ὡς ὀπώρας Ναλικερῶν, ἡ στρατιὰ τῶν
» ἐναντίων ἤρξατο ὀκλάζειν.

160. « Οἱ δὲ διάκονοι τοῦ Ἰάμα ἔπαιζον, καθάπερ σφαίραις
» καὶ κογχυλίοις, ταῖς κεκομμέναις κάραις ὑπὸ τοῦ Βή-
» σμα, καὶ τοῖς διερρηγμένοις κατὰ τὴν γαστέρα ἀκεφά-
» λοις σώμασιν [1].

161. « Ἀπέστρεψε δὴ τὸ πρόσωπον ἡ στρατιὰ τῶν Πανδοϊδῶν
» ἀπὸ τούτου τοῦ γέροντος, καμπύλον τὸ τόξον ποιοῦντος,
» καὶ φρικτὸν πόλεμον ἀποτελοῦντος.

162. « Φυγόντος μὲν οὖν ἐκείνου τοῦ στρατοῦ, τερπόμενος ὁ
» Βήσμας ἐν τῷ ἑαυτοῦ κλέει, ὡς ἐν ἀπεράντῳ πελάγει,
» μόνον τὸν Βήμαν εἶδεν ἀπέναντι, ὡς ἀνταύγασμα
» ἑαυτοῦ [2].

163. « Πληγέντος δὲ τοῦ στήθους τοῦ Βήμα βέλει τοῦ Βή-
» σμα, αἱ ἀναχύσεις τοῦ αἵματος ἐφαίνοντο ὡς φλόγες
» θυμικοῦ πυρὸς, ἀναδιδόμεναι εἰς πυρπόλησιν τῶν
» ἐχθρῶν.

164. « Τὸ δ' ἅρμα τοῦ Βήσμα, οὗ ὁ ἡνίοχος παρανάλωμα ἐγέ-
» νετο τῷ βέλει τοῦ Βήμα, εἱλκύσθη ἀπὸ τοῦ πολέμου
» ὑπὸ τῶν ἵππων, δόντων κλέος τοῖς πολεμίοις.

165. « Τότε [3] τὸ πῦρ τῆς ἀνδρείας τοῦ Βήμα, τοῦ ἀνελόντος

---

1. Αἱ μὲν κάραι, ὡς σφαῖραι παιδιᾶς· τὰ δὲ ἀκέφαλα σώματα, ὡς κογχύλια, διερρηγμένα κατὰ τὴν κοιλίαν· καὶ τὸ κογχύλιον γὰρ διερρηγμένον ἐστὶ κατὰ τὸ μέσον θατέρου μέρους. Ἐν Ἰνδίᾳ παίζουσι καὶ τοῖς κογχυλίοις, ῥίπτοντες αὐτὰ ὡς κύβους.

2. Ὥςπερ ἐν ὕδατι βλέπει τις τὴν σκιὰν ἑαυτοῦ.

3. Ὁ Σανζαίας λέγει πρὸς τὸν Δρυταράστραν.

» ἑπτά σου παῖδας, τὸν Βαχβασσὴν [1], τὸν Κουνδαδάραν,
166 » τὸν Βισσαλάξαν, τὸν Ἀπαραζίταν, τὸν Μαχοδάραν,
» τὸν Πανδιτάκαν, καὶ τὸν Σουνάβαν, ἐξήφθη ὡς ἑπτά-
» φλογον πῦρ, τοῖς ἐκχεομένοις ἐκείνων αἵμασιν.
167. « Εἶτα ὁ θρασύμαχος υἱός σου Ἀδιτεκετοῦς, ἀγανακτή-
» σας λίαν ἐπὶ τῷ θανάτῳ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἐλθὼν
» ἐναντίον, ἐπέμφθη καὶ αὐτὸς πρὸς τὸν Ἥλιον ὑπὸ τοῦ
» Βήμα [2].
168. « Φοβήσας δ' ὁ φοβερὸς Βήμας τὸν πολέμιον στρατὸν,
» ἀνεβόησεν ἐπὶ μέγα, ἐπάρας τὸν πύρινον αὐτοῦ ὀφθαλμὸν
» ἄχρι τοῦ μετώπου [3], καὶ ἐφαίνετο ὡς ὁ Σίβας ἐπὶ τῆς
» πανωλεθρίας.
169. « Ἀνεφάνη δ' ἐν τῷ αἰθέρι ὁ Ἰραβὰν, ὁ υἱὸς τῆς Οὐλου-
» πῆς, τοῦ θήλεος ὄφεως, ὃς ἐκλήθη εἰς συμμαχίαν ὑπὸ
» τοῦ πατρὸς Ἀρζούνα.
170. « Λάμπων δ' οὗτος ἐκ τῶν ἐπὶ τῆς κορυφῆς πολυτίμων
» λίθων, καὶ ἱππεῖς ἔχων καταχθονίους, εἰσέδυ τὴν πο-
» λεμίαν στρατιὰν, ὡς τὸ πῦρ τὴν ὕλην,
171. « Καὶ κατέκαιε τοῖς πίπτουσι φλογεροῖς ὅπλοις τὸν
» στρατὸν τοῦ Σακουνῆ, βασιλέως τῆς Γανδάρας, τὸν
» ἔχοντα τάγματα ἵππων, ὡς κύματα, καθὼς τὸ πῦρ
» ταῖς φλοξὶ κατακαίει καὶ καταξηραίνει τὸν ὠκεανὸν ἐν
» τῇ πανωλεθρίᾳ.
172. « Ἀνελὼν δ' ἑπτὰ υἱοὺς τοῦ Σακουνῆ, βοῶν ἐπὶ μέ-
» γα, ὑπό τίνων οὐχ ὡράθη ὀκτάμορφος ἐκ τῆς ἀντι-

---

1. Πολυφάγον. (Τὰ λοιπὰ ὀνόματα δὲν μεθηρμήνευσεν ὁ μεταφραστής. (Σ. Τ. ἐκδ.).

2. Ἀνῃρέθη δηλ. διὰ γὰρ τοῦ Ἡλίου, ὡς διὰ θύρας, εἰσέρχονται εἰς τὸν οὐρανὸν οἱ θανόντες ἐν πολέμῳ γενναίως.

3. Σημεῖον θυμοῦ.

» λαμπούσης αὐτοῦ μορφῆς εἰς τὸ ἐκχεόμενον ἐκείνων
» αἷμα [1];

173. « Περιφεὶς δ' ὁ Ἀλαμβούσας παρὰ τοῦ Δουριοδάνα, ἀντέ-
» στη αὐτῷ περιεπόμενος πολλοῖς δαίμοσι μαχηταῖς,
» ἀναβάταις ἵππων μαγικῶν.

174. « Φθορὰ δ' ἐγένετο τοῖς ὄφεσι καὶ τοῖς δαίμοσιν, ἀλλήλοις πολεμοῦσιν ὅπλοις δεινοῖς, φαρμάκῳ καὶ πυρὶ, ἐξερ-
» χομένοις ἐκ τῶν στομάτων αὐτῶν.

175. « Διατεμὼν δ' ὁ Ἰραβὰν τῷ ξίφει τὸ τόξον τοῦ πρω-
» τοστάτου τῶν δαιμόνων, ἀγαλλόμενος, φωνὰς ἐξέπεμ-
» πε, φόβον ποιῶν.

176. « Ἀναπηδήσαντος δὲ τοῦ Ἀλαμβούσα ἐκ φόβου, καὶ
» αἰθεροβατήσαντος δίκην ὀρνέου, ἐπετάσθη καὶ ὁ Ἰρα-
» βὰν κατόπιν ἐκείνου, δίκην ἱέρακος, ἔχων ξίφος ἀντὶ
» ῥάμφους.

177. « Καίτοι διχότμητος ἐγένετο ἐκεῖνος ὁ ἐν αἰθέρι δαίμων
» τῷ ξίφει τοῦ Ἰραβᾶνος, ὡς ὁ Ἥλιος τῷ νέφει, πάλιν
» ὁλομελὴς ἑωρᾶτο [2].

178. « Ἀκατατροπώτου οὖν ὄντος καὶ θρασυμάχου αὐτοῦ τοῦ
» μάγου, ὁ υἱὸς τοῦ Ἀρζούνα ἐκάλεσε τοὺς ὄφεις,
» τοὺς ὄντας ὡς δεινοὺς βραχίονας τῶν ὑπουργῶν τοῦ
» Ἰάμα [3].

179. « Οἱ δ' ὄφεις, οἱ ἔχοντες ἐπὶ κορυφῆς λαμπροὺς λίθους [4],
» ὡς ἀστέρας, ἔβρεχον κατ' ἐκείνου φάρμακον δεινὸν εἰς

---

1. Μία μορφὴ ἦν εἶχε, καὶ ἑπτὰ ἕτεραι, αἱ φαινόμεναι ἐν τοῖς ἑπτὰ ἐκείνων αἵμασι, καὶ οὕτως ἐφαίνετο ὀκτάμορφος, ὡς ὁ Σίβας.

2. Ὡς ὁ Ἥλιος διχότομος γίνεται ἐμπεσόντος ἐν τῷ μέσῳ νέφους· παρελθόντος δὲ τοῦ νέφους, ὁ Ἥλιος ὁλομελὴς ὁρᾶται.

3. Μακροειδὴς γὰρ ὁ βραχίων, ὡς ὄφις.

4. Ἡ λάμψις τῶν λίθων ἦν ὡς ἡ ἀστραπὴ τοῦ νέφους.

» ἀποτέφρωσιν [1], ὡς τὰ νέφη λάβρον ὑετὸν καὶ κατακλυ-
» στικὸν ἐπὶ τῆς συντελείας τοῦ αἰῶνος.

180. « Εἶδε δ' ὁ Ἰραβὰν πίπτοντας βροχηδὸν, ὡς ἀστέρας
» ἐν ἡμέρᾳ [2], τοὺς λίθους τῶν ὄφεων, καταβιβρωσκομένων
» ὑπὸ τοῦ Ἀλαμβούσα, γενομένου Γαρούδα [3].

181. « Καταφαγὼν δ' ὁ σαρκοφάγος δαίμων πολλοὺς ὄφεις,
» ὁ φοβερὰν ποιήσας τὴν ἑαυτοῦ μορφὴν, ἀνέκραξεν εὐθέως,
« φόβον ποιῶν τοῖς τρισὶ κόσμοις.

182. « Κᾷτα μετατρεψάμενος ἑαυτὸν μαγικῶς εἰς πολλὰς πο-
« λεμικὰς μορφὰς, διατεμὼν μαχαίρᾳ τὴν κεφαλὴν τοῦ
» Ἰραβάνος, ἔῤῥιψεν αὐτὴν μετὰ τῶν ἐνωτίων.

183. « Ἰδὼν δὲ ὁ Γατοτκάσσας ἀναιρεθέντα τὸν Ἰραβᾶνα,
» ῥήξας φωνὴν ἀναταράξασαν τοὺς τὴν γῆν βαστάζοντας
» ἐλέφαντας, ὥρμησε μετὰ θυμοῦ εἰς ἀναίρεσιν τοῦ πολε-
» μίου στρατοῦ.

184. « Ὃς καὶ ἀνέτρεψε τὴν πολεμίαν στρατιὰν, τέρπων τοὺς
» οἰκείους σαρξὶ τῶν βασιλέων, αἳ ἦσαν ἡδεῖαι καὶ εὔχυ-
» μοι, ἐκ τῶν πολυειδῶν βρωμάτων, ὧν ἤσθιον.

185. « Ἔδραμε δὲ κατ' αὐτοῦ ὁ βασιλεὺς Δουριοδάνας, καθὼς
» ὁ Ἰάμας κατὰ τοῦ θανάτου, πολλοὺς ἔχων ἐλέφαντας,
» φωνὰς ἐκπέμποντας, γαυριῶν καὶ τοὺς ὀφθαλμοὺς ἐρυ-
» θροὺς ἔχων ἐκ θυμοῦ.

186. « Τέσσαρας δὲ γενναίους ἄνδρας τοῦ Γατοτκάσσα, ὄντας
» ὡς στύλους τοῦ λαμπροῦ οἴκου τῆς ἀνδρείας, ἔκτεινεν
» οὗτος ὁ μεγαλουργὸς, ὡς Ἴνδρας.

187. « Δόρυ δὲ ῥιφθὲν βίᾳ ὑπὸ τοῦ Γατοτκάσσα κατὰ τοῦ

---

1. Ὁ γὰρ φαρμακωθεὶς μελάγχρους φαίνεται καὶ κατακεκαυμένος.

2. Ἀπαίσιον τοῦτο, τὸ πίπτειν ἄστρα ἐν ἡμέρᾳ.

3. Ὀφιοφάγος γὰρ ὁ Γαρούδας. — Ὅτε καταβιβρώσκεται τὸ σαρκῶδες, ἀποῤῥίπτεται τὸ ὀστῶδες.

» Δουριοδάνα, ἀνεῖλεν ἐλέφαντα, ἀφεθέντα εἰς τὸ μέσον,
» ὡς ἀποτείχισμα, ὑπὸ τοῦ βασιλέως τῆς Βάγκας Βαγα-
» δάτα.

188. « Ἐπιδραμούσης δὲ τῆς πολυπληθοῦς στρατιᾶς τοῦ Γα-
» τοτκάσσα, ἡ ἐναντία στρατιὰ ἔτρεψε τὰ νῶτα, ὡς ἡ ῥοὴ
» τοῦ ποταμοῦ ἀναστρέφει, τῆς κυματώδους θαλάσσης
» ὑπερβαινούσης τὰ ὅρια [1].

189. « Τότε ἡ μάχη φρικτὴ ἐγένετο ὑπὸ τοῦ δαίμονος Γα-
» τοτκάσσα καὶ τοῦ βασιλέως Βαγαδάτα, ἣ ἐποίησε
» τὴν μὲν γῆν καταβυθίζεσθαι, τὴν δὲ θάλασσαν κλυ-
» δωνίζεσθαι, τὰ δ' ὄρη διαῤῥηγνύεσθαι, τὸν δὲ κόσμον
» δεδίττεσθαι.

190. « Ἀκούσας δ' ὁ Ἀρζούνας τὸν θάνατον τοῦ υἱοῦ αὐτοῦ
» Ἰραβᾶνος, καλέσας τὸν Ἰάμαν εἰς εὐωχίαν, ἐποίησε τὴν
» γῆν πλήρη κρανίων βασιλέων, ὡς στρογγύλων γλυκα-
» σμάτων [2].

191. « Ὀργισθεὶς δὲ καὶ ὁ Βήμας ἐπὶ τῷ θανάτῳ τοῦ υἱοῦ
» τοῦ ἀδελφοῦ ἑαυτοῦ, ἀνελὼν ἐννέα σου υἱούς, ὦ μέγα
» βασιλεῦ, τὸν Αὐαβριστὴν, τὸν Κουνδαλὴν, τὸν Βιουδό-
» ραν [3], τὸν Δουργαλοσάναν, τὸν Κουνδαβέδαν, τὸν Δουρ-
» γαβαχοῦν, τὸν Σουβαχοῦν, τὸν Κανακαδβάζαν, καὶ τὸν
» Βιράζαν, κατέστρεψε τὴν στρατιάν σου.

192. « Τοῦ δ' Ἡλίου καταδύντος εἰς τὸν ὠκεανὸν, ὦ βασιλεῦ,
» ἐκ τοῦ πρὸς τοὺς υἱούς σου οἴκτου, ἀναιρουμένους ὑπὸ
» τῶν Πανδοϊδῶν, οἱ βασιλεῖς ἐπαύσαντο πολεμοῦντες.

---

1. Τοῦτο θεωρεῖται ἐπὶ τῆς ἀμπώτιδος τῆς θαλάσσης.

2. Ἐν Ἰνδίᾳ κατασκευάζουσι γλυκάσματα σφαιροειδῆ.

3. Εὐρύστερνον. Τὰ λοιπὰ κύρια ὀνόματα δὲν μεθηρμήνευσεν ὁ μεταφραστής. (Σημ. τ. ἐκδ.)

Ὀγδόη Ἡμέρα.

194. «Κληθεὶς δὲ νύκτωρ ὁ Καρνᾶς ὑπὸ τοῦ βασιλέως Δου-
» ριοδάνα, καὶ ἐρωτηθεὶς περὶ τῆς ἥττης τῶν Πανδοϊ-
» δῶν, ἀπεκρίνατο· «Ἐγὼ μόνος ἀναιρέσω τοὺς ἐχθρούς,
« ἐὰν ἀφῇ τὰ ὅπλα ὁ Βήσμας.»

195. «Λαμπρυνόμενος δ' ὁ βασιλεὺς κοσμήμασι καὶ πυρσοῖς
» πολλοῖς, ἐπορεύθη σὺν βασιλεῦσι πρὸς τὸν Βήσμαν, καὶ
» ἐτιμήθη πρὸς αὐτοῦ βασιλικῶς.

196. «Πρὸς ὃν καὶ ἔφη· «Ὦ πάτερ, ὁ τῶν Ξατρῶν ὀλέτωρ
« Παρασσουράμας, ὁ ὢν ἀπόῤῥοια τοῦ Βισνοῦ, ὑπὸ τοῦ
« βραχίονός σου τούτου κατεβλήθη.

197. «Εἰ οὖν σὺ, καὶ δυνάμενος, τοὺς ὑπὸ τοῦ Κρισνᾶ βοη-
« θουμένους Πανδοΐδας οὐκ ἀναιρεῖς εὐμενείᾳ, ὁ Καρνᾶς
« ἀνέλοι ἂν τούτους τῇ προσταγῇ σου.»

198. «Τοιούτων λόγων ἀκούσας παρὰ τοῦ βασιλέως ὁ Βήσμας,
» καταβαλὼν τὴν ἔξαψιν τοῦ θυμοῦ, ἔφη· «Τίνι νικητός
« ἐστιν ὁ Ἀρζούνας; τὰ ἐμὰ βέλη ὅμως ὁρατὰ ἔσονται
« περὶ τὸ πρωΐ [1].»

199. «Ἀναχωρήσαντος δὲ τοῦ βασιλέως μετὰ χαρᾶς, ὁ μὲν
» Βήσμας περὶ τὸ πρωῒ ἔταξε τὸν στρατὸν εἰς σχῆμα, ὃ
» καλεῖται *Σαρβατοβάδρα*, ὁ δὲ Ἰουδιστίρας εἰς σχῆμα,
» ὃ καλεῖται *Πρατιβιούχα*.

200. «Τότε τὸ ἐκχεόμενον αἷμα, ὡς λάμψις ἔλαμπε τῶν
» λαμπρῶν λίθων, τῶν ἐν τῇ γῇ κρυπτομένων [2], ἀνο-
» ρυττομένη ὑπὸ τῶν πατούντων στρατῶν.

---

1. Οἱονεὶ ἔλεγεν· ἐγὼ πολεμῶ πάντως γε ἐκ καρδίας, ὡς ὄψει αὔριον τὸ πρωΐ· ἀλλ' ὁ Ἀρζούνας ἀήττητός ἐστιν.

2. Τὸ πρωτότυπον ἔχει πάνυ ἀστείως καὶ ἀραρότως· Ρατναγάρβα γὰρ λέγεται ἡ γῆ· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἔχειν λίθους πολυτίμους ἐν τῇ κοιλίᾳ. Ἐρυθρόν ἐστι τὸ αἷμα καὶ λαμπρόν, ὡς καὶ ἡ πολύτιμος λίθος.

201. « Ὁ γεμὴν στρατὸς τοῦ Δουριοδάνα [1], καταπλαγεὶς,
» ἐφέρετο τῇ δε κἀκεῖσε ἐκ τῆς ἐπιφορᾶς τῶν ἀλλεπαλ-
» λήλων ὀϊστῶν τοῦ Ἀϐημανιοῦ, καθὼς ὁ ἐσμὸς τῶν χη-
» νῶν ἐκ τοῦ ῥαγδαίου ὑετοῦ τοῦ νέφους.

202. « Πεμφθεὶς δ' ὁ Τιτὰν Ἀλαμϐούσας παρὰ τοῦ Δουριο-
» δάνα, μετὰ θυμοῦ ἔδραμεν ἐπ' αὐτὸν τὸν Ἀϐημανιοῦν,
« ἀφαιρῶν πνοὰς ϐασιλέων μόνῃ τῇ φωνῇ.

203. « Ἐπισχεθεὶς δὲ μικρόν τι ὑπὸ τῶν μεγαλοφρόνων υἱῶν
» τῆς Δραουπαδῆς, ἐποίησε τὸ ἅρμα τοῦ Ἀϐημανιοῦ τοῖς
» ἐμπεπηγόσι ϐέλεσιν, ὡς ἀκανθόχοιρον.

204. « Καταστὰς δὲ τοῖς ἐμπεπηγόσι ϐέλεσι τοῦ Ἀϐημανιοῦ,
» ὡς κορυφὴ ὄρους [2] πλήρης μεγάλων ῥιπῶν, ἐποίησεν ἐκ
» φόϐου σκότος μαγικόν.

205. « Ἐξαπλωθὲν δὲ λίαν τότ' ἐκεῖνο τὸ σκότος, καὶ ἀπο-
» σκιάσαν τὸν Ἥλιον, ἐφαίνετο ὡς καπνὸς ϐαθὺς (ἀναθυ-
» μίασις) τοῦ πυρὸς ἐκ τοῦ στόματος τῶν δαιμόνων.

206. « Διαταραχθείσης δὲ τῆς στρατιᾶς ἐκ τῶν δαιμόνων, ὧν
» τὰ ὄμματα ἤστραπτεν ἐν τῷ ϐαθεῖ σκότει, ὁ υἱὸς τοῦ
» Ἀρζούνα ἔϐαλε τὸ ἡλιακὸν ϐέλος.

207. « Τότε τὸ ϐαθὺ ἐπὶ γῆς σκότος κατεϐρώθη ὑπὸ πολλῶν
» ἡλίων, ἀνατειλάντων πανταχόθεν, ὥςπερ λεγόντων μετὰ
» γέλωτος· « Ποῖ τοῦτο πορεύσεται; »

208. « Τοῦ μὲν οὖν σκότους καταϐρωθέντος ὑπὸ πολλῶν ἡλίων,
» ἰδὼν τὸ ἑαυτοῦ σῶμα ὁ δαίμων Ἀλαμϐούτας σκοτει-
» νὸν καὶ μέλαν, φόϐῳ κατασχεθεὶς, ἔφυγεν [3].

---

1. Τὸ Ἰνδικὸν κείμενον ἔχει λέξιν σημαίνουσαν τὸν υἱὸν τοῦ Δρυταράστρα καὶ τὸν χῆνα· ὅθεν ὁ ποιητὴς παίζει πρὸς τὴν λέξιν. (Σ. ἐκδ.)

2. Γιγαντιαῖος γὰρ ἦν καὶ πελώριος, ὡς ὄρος ὑψηλόν.

3. Ἐφοϐήθη, μήπως καὶ αὐτὸς, ὡς σκοτεινὸς καὶ μέλας, καταϐρωθείη ὑπὸ τῶν ἡλίων, καθὼς τὸ σκότος.

209. « Ὁ δ' Ἀδημανιοῦς, καί περ καταθλιβόμενος ὑπὸ τῶν » περὶ τὸν Βήσμαν μαχίμων, ἔμενεν ἀκλόνητος, καθὼς » τὸ ὄρος, καταπατούμενον ὑπὸ μεγάλων ἐλεφάντων.

210. « Ἀγανακτήσας δ' ὁ Ἀρζούνας ἐπὶ τῷ υἱῷ, οὕτω κα- » ταπιεζομένῳ, ἔρριψε τὸ ἀνεμοβόλον ὅπλον, εἰς φθορὰν » τῶν σωμάτων τῶν ἐχθρῶν.

211. « Οἱ δ' ἄνεμοι, μεμιγμένοι κονιορτῷ, ἀναβρίπτοντες τὰ » σκιάδια, ὡς κλέη [1], τῶν ἀνατρεπομένων βασιλέων, » ἐποίουν αὐτὰ ῥυπαρὰ καὶ ἀκάθαρτα.

212. « Ὄρη δὲ, ῥιπτόμενα ὑπὸ τοῦ Δούνα ἀπὸ τοῦ ὀροβόλου » ὅπλου, ἀποτειχίζοντα τὸν ἄνεμον, ἔθεσαν εἰς τὸ κατα- » χῶσαι τὸν υἱὸν τοῦ Ἴνδρα, διὰ τὴν πρὸς τὸν Ἴνδραν δυσ- » μένειαν.

213. « Ἐκ δὲ τῶν συνεχῶν κεραυνίων βελῶν τοῦ Ἀρζούνα, » ἐξ ὧν τὰ ῥιπτόμενα ἐνεῖνα ὄρη κατεθραύοντο, καὶ ἔπι- » πτον κατὰ τῶν ἐχθρῶν, ἡ ἀντικειμένη στρατιὰ ἔπασχε, » καὶ ἐφθείρετο.

214. « Ποταμοὶ δ' αἵματος ἔῤῥεον ἐνταῦθα ἀπὸ τῶν ἐλεφάν- » των, τῶν πληττομένων τῇ κορύνῃ τοῦ Βήμα, ἀφρὸν » ἔχοντες τὸν πολὺν γέλωτα τῶν Πραιτῶν [2].

215. « Ὁ δὲ Βήσμας ἐποίησε τὴν γῆν τοῦ πολέμου, κῆπον λα- » χάνων τοῦ Ἰάμα· αἱ μὲν γὰρ ἀποκεκομμέναι κάραι τῶν » βασιλέων ἦσαν ἀντὶ ὑδροπεπόνων, αἱ δὲ κοιλίαι ἀντὶ » κολοκυνθῶν, οἱ δὲ βραχίονες ἀντὶ σικυῶν.

216. « Ἡ δὲ γῆ ἐπληρώθη σκιαδίων καὶ βοείων οὐρῶν τῶν » Βασιλέων, ἃ ἔπιπτον ἐκ τῶν βελῶν τοῦ Βήσμα,

---

1. Λευκὸν τὸ βασιλικὸν σκιάδιον, λευκὸν καὶ τὸ κλέος.

2. Λευκὸς ὁ ἀφρὸς, λευκὸς καὶ ὁ γέλως, ὃν ἐποίουν οἱ Πραῖται ἐπὶ τῇ σαρκοφαγίᾳ καὶ αἱμοποσίᾳ.

» ὥςπερ κεφαλαὶ καὶ κόμαι τῶν εὐφημιῶν ἐκείνων [1].

217. « Ἀποκτείνων τοίνυν ὁ Βήσμας τὸν στρατὸν τῶν ἐχθρῶν,
» εὐλογίας ἐλάμβανε παρὰ τῶν γυναικῶν τῶν γερόντων *Βε-*
» *τάλων* [2], θεμένων τὰς χεῖρας αὐτῶν ἐπὶ τοῦ μετώπου.

218. « Ἀναμιμνήσκων δ' ὁ Κρισνᾶς τὸν Ἀρζούναν τοῦ οὗ εἶ-
» πε λόγου [3], ἤγαγεν αὐτὸν ταχέως ἐναντίον τοῦ Βήσμα,
» ἀναιροῦντος τοὺς ἥρωας.

219. « Ὅμοιος δ' ἐφαίνετο ὁ Ἀρζούνας τῷ δένδρῳ Σανδάνῳ,
» τῷ περιπεπλεγμένῳ ὄφεσιν, ἐκ τῶν πολλῶν ϐελῶν τοῦ
» Βήσμα, τῶν κατὰ πᾶν μέρος τοῦ σώματος αὐτοῦ ἐμ-
» πεπηγότων.

220. « Τοῦ μὲν οὖν Ἀρζούνα ἀτονήσαντος, τοῦ δὲ Βήσμα
» μᾶλλον ἐντονήσαντος, ἀφεὶς τὸ ἅρμα ὁ Κρισνᾶς, ἔδρα-
» μεν, ἔχων ἐν χειρὶ τὴν μάστιγα.

221. « Ἰδὼν δ' ὁ Βήσμας τοῦτον, ἐπιόντα θυμῷ εἰς ἀναίρεσιν,
» φρίκην ἔσχεν ἐν τῷ σώματι, καὶ τινάσσων τὸ τόξον, ἔφη·

222. « Ἐλθὲ, ἐλθὲ, Κύριε, παίδευσον ἐμὲ τῇ μάστιγι, τὸν
« ἀργῶς ϐιοῦντα ἐν κόσμῳ, ὡς ϐοῦν ἐν δάσει. »

223. « Τοιαῦτα εἰπόντος τοῦ Βήσμα, προσελθὼν παραυτίκα
» ὁ Ἀρζούνας, καὶ προσκυνήσας, ἀνήγαγε τὸν Κρισνᾶν
» εἰς τὸ ἅρμα, ὑπισχνούμενος πολεμήσειν.

224. « Χορευόντων δὲ τῶν ἀκεφάλων σωμάτων, κεφαλαὶ
» πολλαὶ ϐασιλέων τεμνόμεναι ϐέλεσι τοῦ Ἀρζούνα, ἔπι-
» πτον ἐπ' αὐτά, ὡς λωτοί [4].

225. « Τοῦ δὲ Ἡλίου ἰδόντος πολλὰς κεφαλὰς ϐασιλέων, ἀ-

---

1. Τὰ σκιάδια ἦσαν ὡς κεφαλαὶ, τὰ δὲ ἐξ οὐρῶν ῥιπίδια, ὡς κόμαι.

2. Βετάλαι, εἶδος δαιμόνων σαρκοφάγων.

3. « Ἔχε ὑπομονήν· ἐγὼ ποιήσω ὅ,τι ϐούλει, » τὴν ἀναίρεσιν τοῦ Βήσμα δηλ.

4. Καθὼς ἄνθη ῥίπτονται ἐπὶ τοὺς χορεύοντας, ἢ ἡρωϊκῶς θνήσκοντας.

» ναῤῥιπτομένας τοῖς βέλεσι τοῦ Βήσμα, καὶ ἐκ τούτου » δύσαντος φόβῳ πολλῶν Ῥαχούων, ἔληξαν οἱ βασιλεῖς » τοῦ πολέμου. »

Ἐννάτη ἡμέρα.

226. » Ἐν δὲ τῇ νυκτὶ, ἐννοῶν ὁ βασιλεὺς Ἰουδιστίρας τὴν κα- » ταστροφὴν τῆς στρατιᾶς, ἔφη, δυσθυμῶν, τῷ Κρισνᾷ·

227. « Ἂν καὶ πᾶσα ψυχὴ ζῶσα τῶν τριῶν κόσμων, ἑνωθεῖσα, « πολεμήσῃ ὁλοψύχως, οὐδέγε μία θρὶξ τοῦ υἱοῦ τῆς « Γαγγᾶς ὄλεθρον ἔξει.

228. « Αὕτη ἡ περὶ τῆς κατὰ τοῦ Βήσμα νίκης ἡμῶν τῶν « ματαιοφρόνων γνώμη εἰς ἀπώλειαν ἡμῶν ἐστι, καθὼς ἡ « τῷ λύχνῳ προσφοίτησις τῶν πυραλλίδων, νομιζουσῶν πο- « λύτιμον λίθον. »

229. « Πρὸς ὃν ἔφη ὁ Κρισνᾶς· « Τί, δεινοπαθῶν, ταῦτα λέ- » γεις ; αὔριον τὸ πρωῒ ἀποκτενῶ ἔγωγε τὸν υἱὸν τῆς » Γαγγᾶς· ὁποία γὰρ διαφορὰ τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρ- » ζούνα [1] ;»

230. « Ἐγὼ οὐ ψευδῆ λέγω [2] πρὸς σὲ, ἔφη ὁ Ἰουδιστίρας· » ὅθεν ἐρωτητέος ἐστὶν ὁ Βήσμας περὶ τοῦ τρόπου τῆς » κατ' αὐτοῦ τοῦ ἀνικήτου νίκης. »

231. « Οὕτως ἐγνωκὼς ὁ βασιλεὺς, πορευθεὶς κρυφίως μετὰ » τοῦ Κρισνᾶ καὶ τῶν ἀδελφῶν, ἠρώτησε τὸν Βήσμαν τὸν » τρόπον τῆς κατ' αὐτοῦ νίκης.

232. « Ὁ δὲ ἀπεκρίνατο· « Ἐμὲ οὐκ ἄν τις νικήσειεν ἐν με-

---

1. Ἵνα μὴ λογίσηται ὁ Ἰουδιστίρας, τί ἂν εἴη μέγα, εἰ ὁ Βήσμας νικηθήσεται ὑπὸ τοῦ Κρισνᾶ καὶ οὐχὶ ὑπό τινος τῶν Πανδοϊδῶν, διὰ τοῦτο λέγει τοῦτο.

2. Τουτέστιν ἀληθῆ λέγω, ὅτι ἀνίκητός ἐστιν ὁ Βήσμας.

« γάλῳ πολέμῳ [1]· νικηθήσομαι δὲ ὑπὸ τοῦ Σικανδῆ [2],
« τοῦ γυναικείαν φύσιν ἔχοντος πρότερον, καὶ διὰ τοῦτο
« ἀναξίου ὄντος ἀναιρεθῆναι. »

233. « Ἀκούσας ὁ βασιλεὺς κατηχύνθη [3], καὶ προσκυνήσας
» τὸν Βήσμαν, ἐπανέστρεψεν εἰς τὸ στρατόπεδον. Περὶ
» δὲ τὸ λυκόφως, παραταχθέντες οἱ ἥρωες, ἵσταντο
» ἕτοιμοι εἰς μάχην.

234. « Οἱ μὲν γὰρ σπινθῆρες ἐκ τῶν ἀφιεμένων ἀθρόων βελῶν
» ὑπὸ τῶν ἡρώων ἑκατέρου τοῦ στρατοῦ, καὶ προστριβο-
» μένων ἀλλήλοις ἐν αἰθέρι, ἐφαίνοντο ὡς ἀκτῖνες τοῦ
» Ἡλίου.

235. « Αἱ δὲ ἐπὶ τῆς γῆς σκιαὶ τῶν βελῶν, τῶν φερομένων
» ἑκατέρωθεν διὰ τοῦ αἰθέρος ὑπὸ τῶν ἡρώων, ἦσαν ὡς
» χεῖρες τῶν ὑπηρετῶν τοῦ Ἰάμα.

236. Τὰ δὲ χεόμενα αἵματα εἰς τὴν γῆν, τὴν ἀνωρορυγμένην
» ἐπὶ τοῦ κινουμένου στρατοῦ, ἐφαίνοντο ὡς λαμπρότητες
» πολυτίμων λίθων τοῦ βασιλέως τῶν ὄφεων.

237. « Βέλους πολεμίου πλήξαντος τὸ σῶμα στρατιώτου, ἐξ
» οὗ αἷμα ἔῤῥει, οἱ ἐκ τοῦ πλησίον ὄντες, βλέποντες τὴν
» ἐπὶ τῶν σωμάτων ἑαυτῶν ἐρυθρὰν λάμψιν τοῦ Ἡλίου [4],
» ἐνόμισαν, ὅτι καὶ αὐτοὶ ἐπλήγησαν.

238. « Τὸ δὲ στράτευμα τῶν Καουραβῶν, τρέψαν τὰ νῶτα ἐκ
» τῶν περὶ τὸν Σικανδὴν καὶ Ἀρζούναν, παραθαῤῥύνας ὁ
» Βήσμας, ἀντέστη γενναίως κατὰ τῶν ἐχθρῶν.

---

1. Οὐδεὶς δηλ. ἥρως δύναταί με καταβαλεῖν.

2. Οὗτος γυνὴ ἦν ἐν τῇ προτέρᾳ γεννήσει, ὡς ἐῤῥέθη πρότερον· ἡ δὲ γυνὴ οὐκ ἀναιρεῖται κατὰ τὸν νόμον.

3. Ἠσχύνθη ἀκούσας, ὅτι ὁ Βήσμας νικηθήσεται ὑπ' ἀνάνδρου τὴν φύσιν, καὶ οὐχὶ ὑπό τινος τῶν Πανδοϊδῶν.

4. Ἐρυθρὸς γὰρ ὁ Ἥλιος περὶ τὸ πρωΐ.

239. « Οἱ ἐπιφερόμενοι ἀλλεπάλληλοι ὀϊστοὶ αὐτοῦ εἰσέδυον
» εἰς τὰ σώματα τῶν ἡρώων, καθὼς οἱ καταφερόμενοι
» ὑετοὶ ἐκ τῶν νεφῶν εἰσδύουσιν εἰς τὴν ἀμμώδη γῆν.
240. « Ἔπληττε δὲ ὁ Βήσμας τὸ στράτευμα τῶν ἐχθρῶν ταῖς
» ἐκ τῶν βελῶν [1] πιπτούσαις κεφαλαῖς τῶν βασιλέων,
» ὡς στρογγύλαις ἐκ σφενδόνης.
241. « Ἦλθε δὲ ὁ Σικανδὴς, ὡς σαύρα [2], κατέναντι τούτου,
» ὃς ἦν λαμπρὸς, ὡς ὁ Ἥλιος, καὶ κατέθλιβε τὸν κόσμον
» τοῖς ὄξέσιν αὐτοῦ ἕλεσιν, ὡς ὁ Ἥλιος ταῖς ὀξέσιν αὐ-
» τοῦ ἀκτίσι [3].
242. « Πρὸς ὃν ἔφη ὁ Βήσμας· « Ἄνελέ με, ὡς βούλει· οἱ ἐμοὶ
« ὀϊστοὶ οὐκ ἔρχονται πρὸς σὲ, καθὼς οὐδ' ὁ πλοῦτος τοῦ
« ἀγαθοῦ πρὸς κακόν [4]. »
243. « Ὁ δὲ » Πολέμει μοι, ὦ Βήσμα, ἔφη, ἕως οὗ ζῇς· οὐ
» γὰρ ἀπελεύσῃ σήμερον ἀπ' ἐμοῦ ζῶν. » Οὕτως εἰπὼν,
» ἔβαλε βέλεσιν αὐτὸν, προτραπεὶς πρὸς τοῦ Ἀρζούνα.
244. « Ἀλλ' ὁ Βήσμας πολλοὺς ἀνῄρει τῶν ἡρώων, θυμοῦ
» πληρῶν ἀμφοτέρους τοὺς μέλανας, τόν τε Κρισνᾶν καὶ
» τὸν Ἀρζούναν, διότι τὰ βέλη τοῦ Σικανδῆ κατεθραύον-
» το ἐκ τῆς ἄκρας τῶν τριχῶν τοῦ σώματος τοῦ Βήσμα.
245. « Μάχη δὲ δεινὴ ἐγίνετο ἐξ ἑκατέρων τῶν μερῶν· ἡ
» δὲ κόνις, ἣ περιέλαβε τὸ περιέχον, ἐφαίνετο, ὡς βαθὺ
» σκότος χάους τῆς γῆς, καμφθείσης ἐκ τοῦ βάρους καὶ
» σχισθείσης.
246. « Τῇ δὲ προσταγῇ τοῦ Δρόνα, ὃς ἐφοβήθη ἐκ τῶν ἀπαι-

---

1. Βέλη ἦσαν εἰς σχῆμα ἡμισελήνου, καὶ ὀξέος μαχαιριδίου.

2. Ἡ σαύρα ἀντιβλέπει εἰς τὸν Ἥλιον.

3. Τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

4. Ὅστις δωρεῖται, δωρεῖται τῷ ἀγαθῷ καὶ ἀξίῳ.

» σίων φανέντων σημείων, σπεύσαντες οἱ Καουραβαὶ ἐγέ-
» νοντο περὶ τὸν Βήσμαν, ὡς περιτείχισμα.

247. « Οἱ δὲ σωροὶ τῶν σωμάτων τῶν λαμπρῶς κεκοσμημέ-
» νων βασιλέων, καὶ ἀνηρημένων τοῖς βέλεσι τοῦ Βήσμα,
» ἐφαίνοντο ὡς λαμπραὶ ἀκρώρειαι, πεμφθεῖσαι παρὰ τοῦ
» ὄρους τῆς Μερόης, καλέσουσαι αὐτόν.

248. « Προσελθὼν δὲ μακρόθεν ὁ Βήσμας τῷ Ἰουδιστίρᾳ, ἔφη
» ἐλεεινῶς· « Θλίβομαι, ὦ τέκνον, ἐκ ταύτης τῆς σφαγῆς·
» ἄνελέ με σύ [1]. »

249. « Τοιαῦτα εἰπὼν, καίπερ κεχαυνωμένος βάλλων, ὅλε-
» θρος ἐγίνετο πολλοῖς, καθὼς ὁ ἐλέφας, καὶ παίζων,
» ἐκρίζωσιν ποιεῖ ὅλων δένδρων.

250. « Φρικτὰ δ' ἦν τὰ ἀλλεπάλληλα βέλη τοῦ Ἀρζούνα, ἐξ
» ὧν ἐν τῷ αἵματι ἐβυθίσθησαν ἐλέφαντες μεγάλοι, ὡς
» ὄρη ἐν ὠκεανῷ.

251. « Φέρων δ' ὁ Βήσμας θεῖα ὅπλα, δραμὼν εἰς ἀναίρεσιν τοῦ
» Ἀρζούνα, ἀπείρχθη ὑπὸ τοῦ Σικανδῆ, ἐλθόντος εἰς τὸ
» μέσον, καθὼς ὁ σπεύδων εἰς πόσιν ἀμβροσίας ἀπείρ-
» γεται ὑπὸ τοῦ οἴνου, ὄντος ἐν τῷ μέσῳ.

252. « Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἔφασαν αὐτῷ ἡδέως οἱ Βασα-
» βαί [2], ἐλθόντες· « Ὁ καιρὸς οὗτος, μακάριε, ὁ ἐφετὸς
« ἡμῖν καιρός ἐστι τῆς ἀφέσεως τοῦ πολέμου καὶ παντὸς
« ἄλλου ἔργου. »

253. « Χαυνωθεὶς τοιγαροῦν ὁ Βήσμας ἐβάλλετο βέλεσι πολ-
» λοῖς τοῦ Σικανδῆ, καθὼς ὁ κηπουρὸς βάλλεται πολ-
» λοῖς ἄνθεσι, πίπτουσιν ἐξ ἀέρος.

254. « Ὁ δ' Ἀρζούνας, οὗ ἡ ἀνδραγαθία ἐχόρευεν, ἥ ἐστι τὸ

---

1. Ἄχθομαι δηλονότι, πολλοὺς ἀνελών· λίαν πεπόνηκα, καὶ ἐχαυνώθην.
2. Οἱ ἑπτὰ Ξασαβαὶ θεοὶ, οἱ ἀδελφοὶ τοῦ Βήσμα.

» ἀναχεόμενον αἷμα ἐκ τῶν πιπτουσῶν κεφαλῶν[1], θρηνεῖν
» ἐποίει τὴν τῶν πολεμίων στρατιὰν τοῖς ἀλλεπαλλήλοις
» βέλεσιν.

255. « Ὅ,τι δ' ὅπλον ἐκρατεῖτο ὑπὸ τοῦ Βήσμα, τοῦτο ἀπέ-
« κοπτεν ὁ Ἀρζούνας, καθὼς ὁ πεπαιδευμένος ἀναιρεῖ
» τὸ δόγμα, τὸ δοξαζόμενον ὑπὸ τοῦ ἐναντίου.

256. « Τὰ βέλη τοῦ Ἀρζούνα, τὰ μὲν ὅπλα τοῦ Βήσμα κό-
» πτοντα, τοὺς δὲ πολεμίους βασιλεῖς τιτρώσκοντα, καὶ
» τοῦ κεραυνοῦ ὑπερέχοντα, ἐπηνοῦντο ὑπὸ τῶν θεῶν.

257. « Τὰ βέλη τοῦ Ἀρζούνα ἔπιπτον κατὰ τοῦ Βήσμα, συμ-
» μιγνύμενα λεληθότως τοῖς τοῦ Σικανδῆ, καθὼς τὰ βέ-
» λη τοῦ Ἔρωτος κατὰ τοῦ ἀπόντος τῆς γυναικὸς ἑαυ-
» τοῦ, συμμιγνύμενα ταῖς ἀκτινοβολίαις τῆς Σελήνης.

258. « Τὰ ἀφιέμενα βέλη τοῦ Ἀρζούνα κατὰ τῶν περὶ τὸν
» Δρόναν, ἔπιπτον λεληθότως ἐπὶ τὸν Βήσμαν, καθὼς τὰ
» ἐρωτικὰ βλέμματα τῆς γυναικὸς, τῆς βλεπούσης τὸν ἑαυ-
» τῆς ἄνδρα, ἀποτείνεται λεληθότος ἐπὶ τὸν ἐρωμένον.

259. « Βαλλόμενος δ' ὁ Βήσμας τοῖς βέλεσιν ἐκείνου, καθὼς
» τὸ ὄρος ταῖς βολαῖς τοῦ κεραυνοῦ, ἔφη, γελῶν, τῷ
» Δουσσασάνᾳ, παρισταμένῳ·

260. « Ταῦτα τὰ βέλη, ἃ εἰσδύουσιν εἰς τὰ καίρια μέρη τοῦ
« σώματός μου, καθὼς οἱ ὄφεις καὶ αἱ ἀκτῖνες τοῦ Ἡλίου
« εἰς τὰς ὀπὰς, οὔκ εἰσι βέλη τοῦ Σικανδῆ[2].

261. « Ταῦτα βέλη εἰσὶ τοῦ Ἀρζούνα, ὅμοια ὄντα τοῖς ἐν τῷ
« πολέμῳ κατὰ τοῦ *Κιράτα* καὶ τοῖς σκηπτοῖς, δο-
« θέντα, ὡς δοκεῖ, παρὰ τοῦ Ἴνδρα ἐκ φιλοστοργίας. »

---

1. Ἡ ἀνδραγαθία εἰκονίζεται ἐρυθρὰ, ὡς καὶ τὸ αἷμα ἐρυθρόν ἐστι.

2. Ἢ, οὐκ εἰσὶ ταῦτα βέλη τοῦ Σικανδῆ, ἃ εἰσδύουσιν εἰς τὰ καίρια μέρη τοῦ σώματός μου, καθὼς οἱ ὄφεις καὶ αἱ ἀκτῖνες τοῦ Ἡλίου εἰς τὰς ὀπάς.

262. « Θυμωθεὶς δ' ὁ υἱὸς τῆς Γαγγᾶς, ἔῤῥιψε τὸ δόρυ κατὰ » τοῦ ἐγγόνου, ὥςπερ διδάξειν αὐτὸν τοῦτο· « Διὰ τί ἡ « βολὴ τῶν βελῶν σου ὑφειμένη ἐστί ; »

263. Διατεμὼν δ' αὐτὸ τριχῇ ὁ Ἀρζούνας, ἐπλήρωσε βελῶν » ἑκάστην τῶν τριχῶν τοῦ σώματος τοῦ Βήσμα, ἐπειγό- » μενος πολλάκις ὑπὸ τοῦ Κρισνᾶ.

264. « Τότε τῶν μὲν βασιλέων μὴ αἰσθανομένων τοῦ ἑαυτῶν » σώματος, πλήρους ὄντος τραυμάτων, καὶ παρακελευόν- » των ἀλλήλους ἐπὶ μάχην μεγαλοφώνως καὶ ἐνθουσια- » στικῶς, ὥςπερ εἰ εἶχον ἐν ἑαυτοῖς εἰσδύσαντα τὸν Ἰά- » μαν [1].

265. « Τοῦ δὲ θεοῦ Ἡλίου δεικνύοντος ἐν ἑαυτῷ ὀπήν τινα » περὶ δείλην ἑσπέραν, ὡς εἴσοδον τῶν θανόντων πολλῶν » ἡρώων ἐν τῷ δεινῷ πολέμῳ·

266. « Τετρωμένος τὸ σῶμα ὁ Βήσμας βέλεσι τοῦ Ἀρζούνα, » ἔπεσε κατὰ γῆς ἐν τῷ τέλει τῆς ἡμέρας, καθὼς ὁ Ἥλιος, » ἀδρανεῖς ἔχων τὰς ἀκτίνας.

267. « Τούτου δὲ τοῦ ἥρωος ἀναπαυομένου ἡδέως, ὡς ἐπὶ κλί- » νης, ἐπὶ τῶν εἰς τὰ νῶτα ἐξελθόντων πολλῶν βελῶν, » οἰμωγὴ ἐγίνετο, κατατέρπουσα τὰς καρδίας πάντων » τῶν ἡρώων.

268. « Τῶν μὲν οὖν βασιλέων τρυχομένων φόβῳ καὶ λύπῃ, δά- » κρυα ἐξ ὀφθαλμῶν ραινόντων, εἰς ἀμηχανίαν τε μεγά- » λην ἐμβυθιζομένων, καὶ τρεμόντων,

269. « Τοῦ δὲ Βήσμα ἐμπνέοντος ἔτι, καὶ φαιδροῦ ὄντος, » φωνὴ ἐγένετο ἐξ οὐρανοῦ, λέγουσα· « Ὦ μέγα θεωρητι- « κὲ, ἔχε πονὴν μέχρι τῆς εἰς θερινὰς τροπὰς τοῦ Ἡλίου. »

270. « Τοιούτων δὲ ῥηθέντων, καὶ ὑπὸ μεγάλων ὁσίων χηνο-

---

1. Ὡςπερεὶ δαιμονόληπτοι.

» μόρφων [1], πεμφθέντων παρὰ τῆς Γαγγᾶς, ὁ θεωρητι-
» τικὸς Βήσμας ἔφη· « Μένω μέχρι τῆς εἰς θερινὰς τροπὰς
« τοῦ Ἡλίου [2]. »

271. « Παρηγορήσας δ' ὁ Βήσμας τοὺς Καουραβὰς καὶ Παν-
» δοΐδας θλιβομένους, ἔφη· « Ἡ κεφαλή μου κλίνει δεινῶς
« εἰς τὰ κάτω· ὄθεν στερεώσατε αὐτήν. »

272. « Δραμόντων δὲ τῶν βασιλέων εἰς κομιδὴν προσκεφα-
» λαίου, ὁ σοφὸς Ἀρζούνας ἐστερέωσε τὴν κεφαλὴν αὐτοῦ
» ἐπὶ τριῶν βελῶν.

273. « Ἐπαινέσας δὲ τοῦτον ὁ υἱὸς τῆς Γαγγᾶς, ἔφη τοῖς Καου-
» ραβαῖς· « Ἡ ἔχθρα ὑμῶν ἔστω μέχρι τῆς τελευτῆς μου,
« καθὼς καὶ ἡ τῶν γυναικῶν μέχρι τῆς τελευτῆς τοῦ
« ἀνδρός [3].

274. « Τῶν δὲ βασιλέων κομισάντων τούτῳ, αἰτήσαντι κατὰ
» τὴν νύκτα, ὕδωρ ἐν χρυσῇ ὑδρίᾳ, ὁ Ἀρζούνας ἔδωκεν
» αὐτῷ πιεῖν ὕδωρ οὐράνιον, ἀναβλύσαν ἐκ τοῦ ὑδροποιοῦ
» αὐτοῦ βέλους [4].

275. « Τοῦ μὲν δὴ Ἀρζούνα ἐπαινεθέντος ὑπὸ τοῦ Βήσμα,
» τῶν δὲ βασιλέων ἀναχωρησάντων, προσελθὼν ὁ Καρ-
« νᾶς, ἐξιλέωσεν αὐτὸν, ἑνώσας τὰς παλάμας.

276. « Πρὸς ὃν ἔφη ὁ Βήσμας· « Ἀφεθήτω, ὦ τέκνον, ἡ παροῦ-
« σά σοι μεγάλη ἔχθρα πρὸς τοὺς ἀδελφούς σου Πανδοΐ-
« δας. »

277. « Ὁ δὲ, « Οὐδεμία μοι ἐστὶν ἔχθρα, ἔφη, ὦ Κύριε, πρὸς
« τοὺς ἐμοὺς ἀδελφούς· δός μοι δὲ προσταγὴν εἰς πόλεμον,
« ὑποκείμενος γάρ εἰμι μόνῃ τῇ φιλίᾳ τοῦ Δουριοδάνα. »

---

1. Πολιῶν δηλ. τὴν κόμην γερόντων.
2. Οἱ γὰρ θεωρητικοὶ ὅτε θέλουσιν ἀφιᾶσι τὸ πνεῦμα.
3. Ὅταν εἷς ἀνὴρ ἔχῃ πολλὰς γυναῖκας.
4. Ἐτόξευσε τὴν γῆν, ἐξ ἧς καὶ ἀνέβλυσεν ἓν ῥεῦμα τῆς Γαγγᾶς.

278. «Συναινέσαντος δὲ τοῦ υἱοῦ τῆς Γαγγᾶς, ὁ υἱὸς τοῦ » Ἡλίου ἐπανῆλθεν εἰς τὸν στρατὸν ἐφ' ἅρματος, θέοντος » ὑπὲρ τὸν ἄνεμον.

279. «Δύσαντος δὲ τοῦ λαμπροῦ Βήσμα, ὡς Ἡλίου, ὁ νοῦς » τῶν στρατιωτῶν τοῦ Δουριοδάνα, ὁ τεταραγμένος ὡς ἐκ » σκότους ἐκ τῶν ὅπλων τῶν πολεμίων βασιλέων, ἀτά- » ραχος ἐγένετο ἐκ τοῦ ἐξαίφνης ἀναφανέντος λαμπροῦ » Καρνᾶ, ὡς Σελήνης.»

280. Σέβοιτο, ὡς Βομβύλιος, τὸν λώτιον πόδα τοῦ καλοῦ διδασκάλου, τοῦ σοφοῦ καὶ ὀρθοδόξου Ζηναδάτα, ὁ λίαν ἐγκρατὴς καὶ ἀγαθὸς Ἀμάρας. Ἔλαβε τέλος τοῦτο τὸ ἕκτον Βιβλίον, τὸ ὀνομαζόμενον *Βήσμα*, τοῦ μεγάλου ποιήματος τῆς Βαλαβαράτας, ἐξ ἧς ῥέει πᾶσα ἡδύτης, καὶ ἐν ᾗ φαίνεται, ὡς ἐν κατόπτρῳ, ἡ γνῶσις ἐκείνου τοῦ Ἀμάρα.

281. Ἐν τούτῳ τῷ βιβλίῳ ἐμπεριέχονται δύω μὲν Κεφάλαια, τετρακόσιοι δὲ καὶ εἴκοσι ἓξ στίχοι, κατὰ τὸ μέτρον Ἀνουστούπα.

Τέλος τοῦ Δευτέρου Κεφαλαίου
τοῦ Ἕκτου Βιβλίου
τῆς
Βαλαβαράτας.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει τὸν ἐν δυσὶν ἡμέραις πόλεμον τοῦ Δρόνα.

1. Ὁ ὅσιος ἐκεῖνος Βεάσας, ὁ λίαν ἀνεκτικὸς καὶ ἔξοχος πάσῃ ἐπιστήμῃ καὶ ἀρετῇ, καὶ ἱστορικὸς τῆς γενεαλογίας τοῦ Βαράτα ἐν τῇ ἑκατονταβίβλῳ Μαχαβαράτᾳ, ἔστω τοῖς ἀγαθοῖς εἰς ἐπίτευξιν τοῦ ἄκρου ἐφετοῦ.
2. Ὁ δὲ Σανζαΐας εἰς αἴσθησιν ἀγαγὼν τὸν Δρυταράστραν, λειποθυμήσαντα, ὅτε ἤκουσε τῆς πτώσεως τοῦ Βήσμα, ἀπελθὼν πάλιν τῷ νοΐ, καὶ ἐπανελθών, ἀφ' οὗ εἶδε τὰ τοῦ πολέμου, ἔφη ἐκείνῳ τῷ βασιλεῖ·
3. « Δύσαντος τοίνυν τοῦ Ἡλίου, τοῦ Βήσμα, ὦ βασιλεῦ, οἱ » υἱοί σου ἐβυθίσθησαν εἰς μέγα σκότος ἀγνοίας καὶ ἀμη- » χανίας· χαρέντες δ' ὅμως, ἐπιστάντος τοῦ λύχνου, τοῦ » Καρνᾶ, ἐβουλεύοντο πάλιν περὶ τῶν πρακτέων.

Πρώτη ἡμέρα τοῦ Δρόνα.

4. « Τῇ δὲ συμβουλῇ τοῦ Καρνᾶ, χειροτονηθεὶς ἀσμένως ἀρ- » χιστράτηγος, ὡς ἔδει, ὁ Δρόνας, ᾐτήσατο ταύτην τὴν » χάριν παρὰ τοῦ Δουριοδάνα· « Κρατήσας ζῶντα τὸν Ἰου- « διστίραν, ἐγχείρισον τοῦτον ἐμοί. »
5. « Εἰπόντος δὲ τοῦ Δρόνα, « Ὅτε ὁ Ἀρζούνας οὐκ ἔστι πα- « ραστάτης καὶ προασπιστὴς τοῦ Ἰουδιστίρα, τότε ἐγὼ κρα- « τήσω αὐτὸν, » ἀνέκραξαν χαίροντες, ἡ στρατιὰ τῶν Κα- » ουραβῶν.

6. « Μαθὼν δὲ ταῦτα [1] ὁ Ἰουδιστίρας, ἣν διαφυλαττόμενος » πρὸς τοῦ Ἀρζούνα. Περὶ δὲ τὴν ἕω ἔταξε τὸν στρατὸν » εἰς σχῆμα *Κραούντσης*· ὁ δὲ στρατὸς τῶν Καουραβῶν » ἐτάχθη ὑπὸ τοῦ Δουριοδάνα εἰς σχῆμα ἁμάξης.

7. « Ἡγούμενος δ' ἦν ὁ Δρόνας, μέλας τὸ χρῶμα, λευκὸς » τὴν τρίχα μέχρι τοῦ ὠτὸς [2], ἐρυθροὺς ἔχων ἵππους, καὶ » χρυσοῦν θώρακα καὶ ἅρμα· ἐπὶ δὲ τῆς σημαίας χρυσῆν » ὑδριαν, καὶ ἑστίαν, καὶ τόξον [3].

8. « Τὰ μὲν οὖν ἕλη ἐξ ἑκατέρων τῶν πολεμίων στρατῶν » ἐξηκοντίζοντο, ὡς μεγάλαι φλόγες πυρὸς τοῦ ἐν τῷ στή- » θει θυμοῦ τῶν πολεμικῶν, ἐξερχόμεναι ταχέως ἐκ τῶν » ὀφθαλμῶν.

9. « Τὰ δὲ συνεχῆ καὶ ἀλλεπάλληλα ἕλη, τὰ ἀφιέμενα ὑπὸ » τοῦ Δρόνα, πίπτοντα κατὰ τῶν πολεμίων στρατῶν, » ἀναιρέσεως ζωῆς πολλῶν ἐγίνοντο παραίτια.

10. « Ὁ δ' Ἀβημανιοῦς ἔτερπε τὸν Ἰάμαν, τὸν υἱὸν τοῦ Π- » λίου, τοῦ φίλου τῆς θερμότητος [4], τὸν ἐπὶ τῆς χειρὸς » ὄντα, ὃς ἐστιν ἡ ῥομφαία δι' αἵματος, ὡς οἶνου, ἐν τῷ » κρανίῳ τοῦ βασιλέως Παουραβᾶ.

11. « Τούτου ἡ ῥομφαία, ἡ πεφυρμένη τῷ αἵματι τῶν ἀπο- » κτανθέντων ἡνιόχων καὶ ἵππων τοῦ βασιλέως τῆς Μά-

---

1. Ὅτι ὁ Δρόνας μελετᾷ κρατῆσαι αὐτὸν, ὅτε ὁ Ἀρζούνας οὐκ ἔστι παρ' αὐτῷ.

2. Δηλ. καὶ αἱ ἐπὶ τοῦ ὠτὸς τρίχες λευκαὶ ἦσαν.

3. Ἡ ὑδρία καὶ ἡ ἑστία, ἤτοι τὸ θυσιαστήριον, ἐν ᾧ θύουσιν, ἴδιον σύμβολόν ἐστι τῶν Βραχμάνων· τὸ δὲ τόξον, τῶν Ξατρῶν καὶ τῶν πολεμικῶν.

4. Θερμὸς ὁ Ἥλιος, θερμουργὸς καὶ ὁ Ἀβημανιοῦς, καὶ διὰ τοῦτο φίλος· τὸν υἱὸν τοῦ φίλου ὁ φίλος ἐν χειρὶ κρατεῖ, καὶ τέρπει αὐτὸν ποτῷ ἢ βρωτῷ τινι· ἡ δὲ ῥομφαία, αὐτός ἐστιν ὁ Ἰάμας· καθὼς γὰρ ὁ Ἰάμας ἀναιρεῖ, οὕτω καὶ τὸ ξίφος.

» δρας, καὶ τοῦ Ζαϊατράτα, ἐφαίνετο, ὡς φλὸξ πυρὸς, » σπιθῆρας ἐξάγουσα τοὺς πίπτοντας λαμπροὺς βασιλεῖς.

12. « Ἔδραμον δὲ κατ' ἀλλήλων πεζῇ οὗτοι οἱ φοβεροὶ, ὅ,τε » Βήσμας καὶ ὁ βασιλεὺς τῆς Μάδρας, ὧν ταῖς μὲν » κραδαινομέναις κορύναις ἐφοφήθησαν ὅ,τε Ἥλιος καὶ ἡ » Σελήνη, καὶ τὰ ἄστρα· τοῖς δὲ πατήμασι τῶν ποδῶν, » βαρυνομένης τῆς γῆς, ἔτρεμον ὅ,τε Σέσσας ὄφις, καὶ » ὁ χοῖρος καὶ ἡ χελώνη.

13. « Στροφὰς δ' οὗτοι ποιοῦντες ποτὲ μὲν ἐξ ἀριστεροῦ, ποτὲ » δ' ἐκ δεξιοῦ [1], συμπεσόντες καὶ συγκρούσαντες ἀλλή- » λους, ἔπεσον, καθὼς δύω ἀνιστάμενα κύματα θαλάσ- » σης, συῤῥηγνύμενα, πίπτουσιν, ὑπὸ δύω ἀντιπνεόντων » ἀνέμων.

14. « Ἀναβιβασθέντος δὲ τοῦ Σαλέα ἐπὶ τὸ ἅρμα ὑπὸ τοῦ » Κριταβάρμα, ἀναβὰς καὶ ὁ Βήσμας ἐπὶ τὸ οἰκεῖον ἅρ- » μα, ἀνῄρει τὸν ἀντικείμενον στρατὸν, βαφὰς ποιῶν ἐρυ- » θρὰς, διὰ τοῦ ἀναχεομένου αἵματος πάσῃ διαστάσει τοῦ » τοῦ τόπου [2].

14. « Ὁ δὲ γενναῖος υἱὸς τοῦ Καρνᾶ Βρισσασένας, ἔθλιβε βέ- » λεσι τοὺς πέντε υἱοὺς τῆς Δραουπαδῆς, τοὺς ὄντας ὡς » πέντε αἰσθήσεις τῆς κακουμένης στρατιᾶς τῶν ἐχθρῶν [3].

15. Ὁ δὲ Δρόνας, κρατῆσαι ἐφιέμενος τὸν Ἰουδιστίραν, εἰς » ἐκπλήρωσιν τῆς ἑαυτοῦ ὑποσχέσεως, ἔκτεινε τρεῖς βα- » σιλεῖς, τὸν Σίγχαν, τὸν Ἰνγαδάραν, καὶ τὸν Βεάγραν, » καθὼς ὁ φιλάρετος κτείνει τὴν ὑπερηφάνειαν, τὴν πλεο- » νεξίαν, καὶ τὴν ἀκηδίαν.

17. « Τούτου τοῖς βέλεσιν ἀναιρουμένου τοῦ στρατοῦ, οἱ

---

1. Ὡς ἔθος ἐστὶ μονομαχοῦσι.
2. Ὡς γυναικί.
3. Ὁ νέος πρὸς τοὺς νέους ὥρμησε.

» Πισσάκαι ἔπινον αἷμα ἀμυστὶ, ὡς διὰ προχοΐδων, τῶν
» προβοσκίδων τῶν ἐλεφάντων, εὐῶδες γεγενημένον ἐκ
» τῶν ἀνθίνων στεφάνων τῶν ἐν ταῖς κεφαλαῖς τῶν βα-
» σιλέων.

18. « Κορεσθέντες δ' οἱ Πισσάκαι κρέατος καὶ αἵματος, ῥιπι-
» ζόμενοι ὑπὸ τῶν ἑαυτῶν γυναικῶν τοῖς κεκομμένοις
» ὡσὶ τῶν ἐλεφάντων [1], ἤκουον εὐφραινόμενοι, κλάζοντος
» τοῦ τόξου τοῦ Ἀρζούνα [2].

19. « Οἱ δ' ἀνδρεῖοι στρατιῶται, οἱ ὄντες φύσει Ξατραὶ, του-
» τέστι πολεμικοὶ, θεωροῦντες εἰς τὸ πρόσω τὸν Κρισνᾶν,
» αὐτὸν τὸν Θεὸν, ἀναιρούμενοι ὑπὸ τοῦ Ἀρζούνα, ἐπο-
» ρεύοντο εἰς τὴν χώραν, τὴν οὖσαν ἀνωτέραν τῆς τῶν
» θεοφρόνων [3].

20. « Ἐπειδὴ δ' ὁ Ἥλιος ἔδυσεν, ὥσπερ εἰ ἐξώσθη ἐκ τῆς
» πληρωσάσης τὸν αἰθέρα βοῆς ἀμφοτέρων τῶν στρατῶν,
» τῶν ἀναιρουμένων ὑπὸ τοῦ Δρόνα καὶ τοῦ Ἀρζούνα,
» ἔληξαν τῆς μάχης οἱ μαχηταί.

Δευτέρα ἡμέρα τοῦ Δρόνα.

21. « Ἐν δὲ τῇ νυκτὶ εἰπόντος τοῦ Δρόνα τῷ Δουριοδάνᾳ, ὡς
» οὐχ οἷόν τέ ἐστι κρατηθῆναι τὸν βασιλέα Ἰουδιστίραν,
» φυλαττόμενον ὑπὸ τοῦ Ἀρζούνα, ὁ βασιλεὺς τῆς Τρι-
» γάρτας ἔφη τῷ Δουριοδάνᾳ· « Ἐγὼ καλέσω τὸν Ἀρ-
» ζούναν εἰς πόλεμον [4]. »

22. « Περὶ δὲ τὴν ἕω, τάξας ὁ βασιλεὺς τῆς Τριγάρτας

---

1. Τὰ ὦτα τῶν ἐλεφάντων ὡς ῥιπίδια.

2. Ὡς ἔθος ἐστὶ τοῖς φαγοῦσι καὶ πιοῦσιν ἀκούειν μουσικῶν ὀργάνων.

3. Καθὼς ὁ θεωρῶν τὸν Θεὸν ἐν ὥρᾳ θανάτου πορεύεται εἰς τὴν χώραν τῶν δικαίων.

4. Σὺ δὲ δηλαδὴ τότε κράτησον αὐτὸν τὸν Ἰουδιστίραν.

» Σουσσάρμας τὸν στρατὸν εἰς σχῆμα ἡμισελήνου, ἔχων »τρισμύρια ἅρματα, ἐκάλει εὐθέως τὸν Ἀρζούναν εἰς « πόλεμον φωνῇ μεγάλῃ τοῦ στρατοῦ, σκληροτάτῃ καὶ » ἐριστικωτάτῃ [1].

23. « Ὁ μὲν οὖν Ἀρζούνας, καλέσας τὸν ἡρωϊκώτατον βα- » σιλέα Σατεζίταν, καὶ θεὶς αὐτὸν εἰς προάσπισιν καὶ » διατήρησιν τοῦ Ἰουδισίρα, ἐπορεύθη αὐτὸς ἐναντίον τοῦ » Σουσσάρμα, ἔχων, ὡς ὁ θάνατος, τὸ στόμα ἠνεῳγμένον, » ὅ ἐστι τὸ τόξον, εἰς ῥῶσιν τοῦ στρατοῦ ἐκείνου.

24. « Οἱ δὲ περὶ τὸν Σουσσάρμαν ῥωμαλέοι πάντες, γελῶντες, » ἔῤῥιψαν ἐν ταὐτῷ ἐπὶ τὸν Ἀρζούναν βέλη πολλὰ [2], » ὅμοια μοχλοῖς, καθὼς ἐπὶ τὸ καῖον πῦρ ῥίπτουσι πολλὰ » φρύγανα.

25. « Τότε ἐνεπνεύσθη ὑπὸ τοῦ Ἀρζούνα ἡ *Δεβαδάτα*, [3] ἡ » τὰ μὲν ῥεῖθρα τῶν ποταμῶν ἀνεχαίτισε, τὸν δ' ἐν αἰ- » θέρι ἀέρα ἔστησε, τὰ δ' ἄστρα πάντα διεσκέδασε, τὴν » δὲ γῆν ἔσχισε, τὸν δὲ τριττὸν κόσμον ἐκώφωσε.

26. « Ἐπιγραφὴν δέ πως ἐχάραττε τῆς ἑαυτοῦ ἀνδρείας ὁ » Ἀρζούνας τοῖς βέλεσιν, ὡς γλυφείοις, ἐν τοῖς σώμασι » τῶν ἐχθρῶν, τοῖς μείνασιν, ὡς στύλοις ἀκινήτοις ἐκ » τοῦ μεγάλου ἤχου τῆς κόγχου.

27. « Τίνες δ' ἀντικείμενοι οὐκ ἀνῃροῦντο, καὶ οὐκ ἐκαίοντο » ὑπὸ τῶν συνεχῶν βελῶν ἑκατέρων τῶν μερῶν, τῶν » σκληρὰν ἀκωκὴν, δίκην κεραυνοῦ ἐχόντων, καὶ πῦρ ἐκ- » πεμπόντων ἐκ τοῦ ἀλλήλοις προστρίβεσθαι;

28. « Τότε ἀνεφάνη τὸ σκότος, ὅ ἐστιν ὁ φαινόμενος κυάνεος » οὐρανὸς, ἐκ τῆς κοιλίας τῶν ἀκτίνων τοῦ Ἡλίου, αἳ

---

1. Διὰ τῆς ἐριστικῆς φωνῆς τοῦ στρατοῦ ἐκάλεσεν εἰς πόλεμον.
2. Ἔῤῥιψαν εἰς μᾶλλον ἔξαφιν δηλ.
3. Ὄνομα τῆς κόγχου τοῦ Ἀρζούνα.

» κατεβίβρωσκον αὐτὸ καθ' ἑκάστην, ἤδη δὲ ἐκόπτοντο
» τοῖς βροχηδὸν φερομένοις βέλεσι τῶν μαχίμων ἡρώων [1].

29. « Ὁρμῶν δ' ὁ δεινὸς Ἀρζούνας, ἔχων τόξον τοῦ Βισβα-
» κάρμα [2] ἀνὰ χεῖρας, καὶ βάλλων βέλη ὀξέα ἐφ' ἕκαστον,
» ἐφαίνετο ὑφ' ἑκάστων τῶν ἡρώων, ὡς ὁ Ἥλιος, ὃς βάλ-
» λει ὀξείας τὰς ἀκτῖνας ἐπὶ πάντας περὶ τὴν μεσημ-
» βρίαν [3].

30. « Ἔῤῥιψε δὲ τὸν σπόρον τῆς ἑαυτοῦ ἀνδρείας, ὡς φυτοῦ,
» τουτέστι, τὴν ἀγλαὰν κεφαλὴν τοῦ βασιλέως Σουδαμ-
» βᾶνος [4] ἐπὶ τῆς γῆς, τῆς ἀροτριωθείσης τοῖς τροχοῖς
» τοῦ ἅρματος αὐτοῦ, καὶ ποτισθείσης πολλοῖς τοῖς αἵ-
» μασιν.

31. « Οἱ δὲ περὶ τὸν βασιλέα τῆς Τριγάρτας χώρας ἀνήρουν
» τἀνάπαλιν τοὺς οἰκείους τοῖς ῥιπτομένοις βέλεσιν ἔνθεν
» καὶ ἔνθεν, ἃ ἀντεπέστρεφον ὑπὸ τοῦ ἀνεμοβόλου βέλους
» τοῦ Ἀρζούνα.

32. « Κεφαλαὶ δὲ λαμπραὶ τῶν βασιλέων, καὶ σκιάδια, καὶ
» σημαῖαι ἔπιπτον, κοπτόμενα τοῖς βέλεσι τοῦ Ἀρζούνα,
» ὥσπερ καρποὶ, καὶ ἄνθη, καὶ φύλλα τοῦ δένδρου τοῦ
» κλέους τοῦ βασιλέως τῆς Τριγάρτας [5].

33. « Ταχθέντα δὲ τὰ περὶ τὸν Ἰουδιστίραν καὶ Δρόναν στρα-

---

1. Δηλ. ὁ φαινόμενος κυάνεος οὐρανὸς, τὸ σκότος ἦν ἐκεῖνο, ὃ κατεβιβρώσκετο καθ' ἑκάστην ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων, ἤδη δ' ἐξέῤῥεεν ἐκ τῆς κοιλίας αὐτῶν, κοπτομένων τοῖς βέλεσι.

2. Βισβακάρμας ἑφερμηνεύεται Παντουργός· ἔστι δὲ ἀρχιτέκτων τῶν θεῶν.

3. Περὶ γὰρ τὴν μεσημβρίαν ὁ Ἥλιος ὀξείας τὰς ἀκτῖνας βάλλει.

4. Σουδαμβὰν, Εὔτοξος.

5. Τὸ κλέος ἐστὶν ὡς δένδρον, οὗ οἱ μὲν καρποὶ, ὡς κεφαλαὶ, τὰ δ' ἄνθη, τὰ σκιάδια, τὰ δὲ φύλλα, τὰ ἱστία τῶν σημαιῶν.

» τεύματα, τὸ μὲν εἰς σχῆμα Κραούνσης [1], τὸ δὲ εἰς
» σχῆμα ἡμικύκλου, συνεπλάκησαν ἀλλήλοις· τὸ δὲ ῥέον
» αἷμα ἐφαίνετο, ὅτι τὸ εἰς τὸν πόλεμον φίλτρον ἦν [2], θέον
» εἰς τὸ πρόσω.

34. «Ἐπελθὼν δ' ὁ Δρόνας, ὡς σφοδρὸς ἄνεμος, καὶ τοὺς
» μὲν βασιλεῖς ἐκριζώσας, ὡς δένδρα, τοὺς δὲ στρατιώ-
» τας διασκορπίσας, ὡς ἄχυρα, ἐπεσχέθη ὑπὸ τοῦ ῥωμα-
» λέου Σατεζίτα, ὡς ὑπ' ὄρους.

35. «Ἄπειρα δὲ ἔλη τούτου τοῦ βασιλέως τῆς Πανσάλας,
» τοῦ γενναίου καὶ θεοειδοῦς Σατεζίτα ἐῤῥίπτοντο κατὰ
» τοῦ Δρόνα, μηδεμίαν ἐνέργειαν ποιοῦντα ἐν τῷ θί-
» γειν, καθὼς αἱ φλόγες τοῦ κεραυνοῦ κατὰ ἀδαμαν-
» τίνου ὄρους.

36. «Τότε ὁ Δρόνας ἔτεμε τὴν κεφαλὴν τοῦ Σατεζίτα, ἣ
» ἦν, ὡς ἅμαξα τῆς ἀγαθῆς ἀνδρείας, ἔχουσα τοὺς μὲν
» ὀφθαλμοὺς, ὡς ἵππους [3], τὰ δ' ἐνώτια, ὡς τροχοὺς [4],
» τὴν δ' ἐπὶ πολέμῳ Τιλακὰν, ὡς σημαίαν [5].

37. «Φυγόντος δὲ τοῦ Ἰουδιστίρα [6], ὁ Δρόνας, ὁ ὢν ἡ μόνη
» χαρὰ τοῦ Δουριοδάνα, ἀνεῖλε τούτους τοὺς τέσσαρας
» βασιλεῖς, οἳ ἦσαν στύλοι τῆς νίκης, καθὼς οἱ τέσσα-
» ρες ἐλέφαντες τῆς τετραμεροῦς γῆς, τὸν Σατανίκαν [7],

38. » ὃς ἦν ἀδελφὸς τοῦ Βιράτα, τὸν γενναῖον Δριδασέναν,

---

1. Κοινῶς Carankool.

2. Τὸ αἷμα δηλ. οὐκ ἦν αἷμα, ἀλλὰ τὸ φιλοπόλεμον· τὸ γὰρ φίλτρον ἐρυθρὸν εἰκονίζεται.

3. Ὀξύῤῥοποι οἱ ἵπποι, ὡς καὶ οἱ ὀφθαλμοί.

4. Στρογγύλον τὸ ἐνώτιον, ὡς καὶ ὁ τροχός.

5. Τὸ ἐν μετώπῳ ἐρυθρὸν χρίσμα ἐννοεῖ, ὅπερ τιθέασιν ὡς αἴσιον.

6. Θανόντος τοῦ προασπιστοῦ Σατεζίτα, ὁ Ἰουδιστίρας ἔφυγε.

7. Πολύστρατον. (Τὰ λοιπὰ κύρια ὀνόματα δὲν μεθηρμήνευσεν ὁ μεταφραστὴς (Σ. τ. ἐκδ.).

» τὸν ἀρειμανῆ Ξατραδέβαν, καὶ τὸν θερμουργὸν Βασου-
» δάναν, σὺν τοῖς στρατοῖς αὐτῶν.

39. «Ὧν δ' ὁ στρατὸς ἅπας ἄνευ κυβερνήτου, καὶ ἐν ἀμη-
» χανίᾳ, διωθούμενος ὑπὸ τῆς ὁρμῆς τοῦ Δρόνα, ὡς ὑπὸ
» ῥεύματος ποταμοῦ, προσώκειλε τῷ Βήμᾳ, ὡς μεγάλῃ
» νήσῳ.

40. «Ὁ δὲ, περικυκλούμενος ἥρωσιν, ὡς διαπύροις ἑαυτοῦ δυ-
» νάμεσιν, ὥρμησε βάλλων πύρινα βέλη, καὶ κατέκαυσε
» κατὰ κράτος τὰ στρατεύματα τοῦ Δρόνα, καθὼς τὸ
» πῦρ τὰ δάση τοῦ ὄρους.

41. «Ἔκοψε δ' ὁ φιλοπόλεμος Βήμας τούς τε δύο βραχίονας [1]
» τοῦ προκειμένου ἐχθροῦ Δρόνα, δηλονότι τὸν Σουβα-
» χοῦν [2] καὶ τὸν Κριταβαχοῦν [3], καὶ τὴν κόμην αὐτοῦ
» μετὰ τῆς λιθοκολλήτου μίτρας, δηλονότι τὸν ἄριστον
» ἐλέφαντα μετὰ τοῦ ἐπικαθημένου βασιλέως τῆς Βάγ-
» κας [4].

42. «Ὁρμήσας οὖν ὁ Βήμας μετὰ τῶν ἑπτὰ Ἀξαουχινῶν, ὡς
» ἑπτὰ θαλασσῶν, ἀποδείξας *Καλαρατρὴν* [5] ἐκ τῆς ζο-
» φερᾶς κόνεως, καὶ ἀναστρέψας βίᾳ ἅπαν σύνταγμα τῶν
» πολεμίων, ἀνελεῖν ἠβούλετο καὶ τὸν Δρόναν, τὸν διδά-
» σκαλον τοῦ κόσμου.

---

1. Ὡς δύο βραχίονες ἦσαν οὗτοι τοῦ Δρόνα· παίζει δὲ πρὸς τὴν λέξιν ὁ ποιητής.

2. Σουβαχοῦς, Καλλιβραχίων.

3. Κριταβαχοῦς, Τελεσιοβραχίων.

4. Ὡς κόμη ἦν μετὰ τῆς ἐπικειμένης λιθοκολλήτου μίτρας τοῦ Δρόνα, ὁ ἐλέφας μετὰ τοῦ ἐπικαθημένου βασιλέως τῆς Βάγκας. Μέλαινα ἡ κόμη, ὡς καὶ ὁ ἐλέφας· λαμπροφόρος ὁ βασιλεὺς, ὡς ἡ μίτρα.

5. Καλαρατρὴ ἑρμηνεύεται μέλαινα νύξ· ἀλληγορικῶς δὲ λέγεται ἡ πανωλεθρία, ὅτε ἔρεβος καὶ χάος γίνεται τὸ πᾶν.

43. « Ὁρώμενος δὲ θυμῷ, ἐξ αἰτίας τοῦ βάρους τῆς γῆς ὁ » ἐλέφας Σουπρατίκας [1] ὑπὸ τῶν παίδων τοῦ Σέσσα » ὄφεως [2], οἵ εἰσιν οἱ ἐν τοῖς ποσὶν ὄνυχες, ἔχων τὸν » Σέσσαν ὄφιν ἐπὶ τοῦ στόματος, συρίζοντα θυμῷ ἐκ τοῦ » βάρους τῆς γῆς, ὅς ἐστιν ἡ προβοσκίς [3].

44. « Ἀναιρῶν τὴν *Μάδαν* [4] τῶν ἐλεφάντων τῶν μερῶν τῆς » γῆς τῇ πολλῇ ὁσμῇ τῆς ἑαυτοῦ *Μάδας*, τῇ πεμπομένῃ » ὑπὸ τοῦ ἀέρος, τοῦ ἐκ τῶν κινουμένων ὠτίων· θερα- » πευόμενος ὑπὸ τῆς ῥάβδου τοῦ Ἰάμα, ἥ ἐστιν ἡ οὐρά, » ὡς ἠττομένης κατὰ τὴν σκληρότητα [5], καὶ διὰ τοῦτο » κατόπιν ἀεὶ πορευομένης·

45. « Ὧν ὡς ἄλλος πανδαμάτωρ χρόνος, φέρων διὰ τοῦ » στόματος, ὡς διὰ θυρίδος, δύω ῥαβδοειδῆ φῶτα [6] (ἅ » εἰσιν οἱ δύω λιθοκόσμητοι ὀδόντες) τῶν ἡμερῶν τῆς » ἐν τῇ γαστρὶ αὐτοῦ κοσμογονίας, τῆς γεγενημένης καὶ » τῆς γεννησομένης [7].

46. « Ἔχων ἀμφοτέρας τὰς *κοΰμβας* λίαν ἐρυθρὰς τῇ κινναμ- » βάρει, ὥσπερ διανοουμένας τὴν ἀναίρεσιν τῆς ζωῆς τῶν

---

1. Ἐν τοῖς ἑπτὰ στίχοις τοῖς ἀκολούθοις, ἔπαινός ἐστι τοῦ ἐλέφαντος τοῦ Βαγαδάτα, ὃς ἦν ἐξαίρετος ἐν τῷ στρατῷ τῶν ἐχθρῶν, Σουπρατίκας τοὔνομα.

2. Ἐβάρυνε τὴν γῆν πατῶν, καὶ διὰ τοῦτο τάχα ἐθυμώθησαν ὅ,τε Σέσσας καὶ οἱ παῖδες αὐτοῦ· λευκοὶ δ' εἰσίν.

3. Καὶ ὁ ἐλέφας συρίζει διὰ τῆς προβοσκίδος.

4. Μάδα λέγεται ὁ μανικὸς χυμὸς τοῦ ἐλέφαντος.

5. Τὴν οὐρὰν τούτου τοῦ ἐλέφαντος ποιεῖ σκληροτέραν τῆς ῥάβδου τοῦ Ἰάμα. Ἴδιόν δ' ἐστὶ τῶν νικωμένων τὸ γίνεσθαι δούλους· τῶν δὲ δούλων ἴδιον τὸ ἀκολουθεῖν τῷ δεσπότῃ.

6. Ῥαβδοειδὲς φῶς· τὸ σέλας, ὃ εἰσδύει διὰ θυρίδος ῥαβδοειδές πως ἐσί.

7. Δηλ. ἡ κοιλία τοῦ χρόνου δοχεῖόν ἐστιν ἁπάσης τῆς ὕλης· εἰς αὐτὴν ἀναλύεται τὸ πᾶν, καὶ ἐξ αὐτῆς πάλιν συντίθεται.—Οἱ Ἰνδοὶ πολλὰς κοσμογονίας δοξάζουσι.

» ἐχθρῶν [1], ὥςπερ θυμουμένας φθόνῳ τῶν σκληρῶν μα-
» στῶν τῆς γυναικὸς τοῦ Κάλα (θανάτου) [2].

47. « Ὑπανοίγων τοὺς ὀφθαλμοὺς, φοβερὸν εἶδος ἔχοντας
» ταῖς κόραις, αἳ ἦσαν ὡς πνοαὶ τοῦ θανάτου καὶ τοῦ
» Ἰάμα, καὶ ὥςπερ σκοπῶν [3], τίς οὗτος ὁ πόλεμος·

48. « Οὗτος ὁ Σουπρατίκας ἐλέφας, ἀγόμενος ὑπὸ τοῦ βασι-
» λέως τῆς Πραγγεοτίσσης εἰς πόλεμον κατὰ τοῦ Βήμα,
» ἄγριον φωνῶν, παροτρυνόμενος ἀμφοτέροις τοῖς μεγά-
» λοις δακτύλοις τῶν ποδῶν, καὶ τῷ πλήκτρῳ, καὶ τῷ
» παρακελεύσματι [4],

49. « Ὥρμησε βαίνων τέσσαρσι ποσὶν, ὥςπερ αὐτὸς ὁ χρόνος,
ὁ βαίνων τοῖς τέσσαρσιν αἰῶσι, καὶ ἀναστρέφων τὸ
» πᾶν, καὶ ἄλλους μὲν ἀνάγων, ἄλλους δὲ κατάγων.

50. Ἀναιρῶν δὲ τοὺς προστυγχάνοντας, ἦλθεν ἐπὶ τὸν Βή-
» μαν, νομιζόμενος τοῖς πολεμίοις, ὡς οὗτος, καὶ εἷς
» ὢν, δυνατός ἐστιν ἀνελεῖν τὰς ἑπτὰ Ἀξαουχινὰς τῇ
» προβοσκίδι, τοῖς ὀδοῦσι καὶ τοῖς ποσίν [5].

51. « Ἔδραμον οὖν κατ' ἀλλήλων, ἔνθερμοι ὄντες εἰς μάχην
» μεγάλην, ὅ,τε ἐλέφας, καὶ ὁ Βήμας, ὁ μὲν ἀνατεί-

---

1. Ἡ διάνοια καὶ ἡ καρδία τοῦ φονέως ἐρυθρὰ λέγεται.

2. Ἴδιον τοῦ θυμοῦ ἡ ἐρυθρότης. — Οἱ μαστοὶ συγκρίνονται ταῖς κούμβαις· διὰ τοῦτο καὶ ἔρις ἐστὶν αὐτοῖς.

3. Ὁ σκοπῶν τὰ πόρρω ὑποκλείει τοὺς ὀφθαλμούς· ὁ δὲ ἐλέφας φύσει ἔχει ὑποκεκλεισμένους τοὺς ὀφθαλμούς.

4. Ὁ ἐλεφαντηλάτης κάθηται ἐπὶ τοῦ τραχήλου τοῦ ἐλέφαντος καὶ πλήττει αὐτὸν τῷ σιδηρῷ ἐλεφαντοπλήκτρῳ καὶ τοῖς μεγάλοις δακτύλοις τῶν ποδῶν, καὶ κατευθύνει· πρὸς δὲ, καὶ τῇ παρακελευστικῇ φωνῇ.

5. Τέσσαρες πόδες, δύω ὀδόντες καὶ μία προβοσκὶς, ἑπτὰ καὶ ταῦτα συμποσοῦνται.

» νων τὸν βραχίονα, ὁ δὲ περιστρέφων τὴν προβοσκίδα,
» ὡς ὁ Ἰάμας καὶ ὁ Βαρούνας, ὁ μὲν ἔχων βρόχον, ὁ
» δὲ ῥάβδον [1].

52. « Ἐμάχοντο δ' ἀλλήλοις, μηδαμῶς διαγινωσκόμενοι
» κατὰ τὴν δύναμιν καὶ ἐπιτηδειότητα, ἐκ τῆς ζοφερᾶς
» κόνεως τῆς ἀπὸ τῶν ποδῶν αὐτῶν, εἰκαζόμενοι δ' ὅτι
» ἀγωνίζονται ἐκ τῶν βροντοειδῶν αὐτῶν φωνῶν.

53. « Τῶν δὲ περὶ τὸν Ἰουδιστίραν Μαχαρατῶν ἐπιδραμόν-
» των θυμῷ, ἀφεὶς ὁ ἐλέφας τὸν Βήμαν, ὥρμησε κατ'
» αὐτῶν, ῥίπτων κατὰ γῆς τοὺς ἐκ τῶν πλαγίων φύλα-
» κας τῷ ἀέρι τοῦ σώματος αὐτοῦ [2].

54. « Ἀμάχων δὲ γενομένων τοῦ Σατεκῆ καὶ τοῦ βασιλέως
» τῶν Δασσάρχων, ὧν ταῦ μὲν τὸ πνεῦμα κατεπόθη [3],
» ὡς ὑπ' ὄφεως, ὑπὸ τοῦ δόρατος τοῦ Βαγαδάτα· τοῦ δὲ
» τὸ ὄχημα κατεβρώθη [4] ὑπὸ τοῦ Σουπρατίκα, τοῦ ἔχον-
» τος θυμὸν, ὡς πῦρ,

55. « Οἱ Πισσάκαι ἔπινον ἀκορέστως αἷμα θερμὸν, ὑπο-
» κλείοντες τοὺς ὀφθαλμοὺς ἡδέως, χεόμενον ἐκ τῶν σω-
» μάτων τῶν βασιλέων, τριτρωσκομένων τῷ δόρατι τοῦ
» Βαγαδάτα.

56. « Πόσας δὲ λίμνας αἵματος οὐκ ἐποίησεν ὁ Σουπρατί-
» κας εἰς τέρψιν τῶν δαιμόνων [5], οὗ ἡ προβοσκὶς ἐδο-

---

1. Τοῦ μὲν Βαρούνα ὅπλον ἐστὶ βρόχος, σύμβολον πνιγμοῦ τοῦ θυθιζομένου ἐν ὕδασι· τοῦ δὲ Ἰάμα ῥάβδος, παιδείας σύμβολον.

2. Ἐν ἀμφοτέροις τοῖς πλαγίοις φύλακας ἔχει ὁ πολεμικὸς ἐλέφας καὶ τὸ πολεμικὸν ἅρμα.

3. Ὁ Σατεκὴς ἐστιν οὗτος, ὃς ἐλυποθύμησε.

4. Τουτέστι κατεθραύσθη.

5. Καθὼς ποιοῦσι λίμνας καὶ φρέατα καθ' ὁδὸν εἰς χρῆσιν τῶν ἀνθρώπων.

» ξάσθη [1] πολλαῖς ἀνθρωποθυσίαις, ἐλεφαντοθυσίαις καὶ
» ἱπποθυσίαις [2], αἳ ἐγένοντο ἐν τῷ διαπύρῳ αὐτοῦ θυ-
» μῷ, ὡς ἐν πυρί ;

57. « Πόρρῳ δ' ἀποστάντων τῶν περὶ τὸν Βήμαν, διὰ τὸ
» φοβηθῆναι τοὺς ἐν ἅρμασιν ἵππους ἐκ τῶν ἀγρίων φω-
» νῶν καὶ συριγμῶν τοῦ Σουπρατίκα, θόρυβος καὶ τάρα-
» χος τότε ἐγένετο ἐξαίφνης τῷ στρατῷ τοῦ Ἰουδιστίρα.

58. « Ἀκούσας δ' ὁ Ἀρζούνας τοῦ θορύβου, νικήσας τοὺς περὶ
» τὸν βασιλέα τῆς Τριγάρτας τῷ κεραυνίῳ ὅπλῳ, ἐπῆλθε
» ταχέως, δίκην ἀνέμου, ἐπὶ τὸν Βαγαδάταν, ὡς ὁ μεμη-
» νὼς Σαράββας [3] ἐπὶ τὸν λέοντα.

59. « Ἐπιὼν δ' οὗτος, οὗ οἱ μὲν τροχοὶ τοῦ ἅρματος πάταγον
» οὐκ ἐποίουν, ἐκ τοῦ λύθρου τῶν αἱμάτων τῶν ἀναιρουμέ-
» νων ἡρώων, τῷ δὲ ἤχῳ τῆς χορδῆς τοῦ τόξου ἐμβρόντη-
» τος ἐγένετο ὁ Σουπρατίκας, ἑωρᾶτο ὑπὸ μὲν τῶν οἰκείων
» εἰς ἄνεσιν, ὑπὸ δὲ τῶν ἐναντίων εἰς ἄχθος.

60. « Τῇ δ' εἰς τὸ πλάγιον ἐλάσει τοῦ ἅρματος, ἀποφυγὼν
» ὁ θεὸς Κρισνᾶς τὴν ἔφοδον τοῦ Σουπρατίκα, ὃς ἤγετο
» ὡς ὄρος μέγα ὑπὸ τοῦ βασιλέως Βαγαδάτα, ἦλθε πά-
» λιν ἐναντίον.

61. « Ῥίψας δ' ἀναρίθμητα βέλη κατὰ τοῦ Ἀρζούνα ὁ γεν-
» ναῖος Βαγαδάτας, ἔῤῥιψε τελευταῖον καὶ τὸ θεῖον ὅπλον
» *Ναραϊάνα*, ὅπερ ἐδέξατο ἐπὶ τοῦ στήθους αὐτοῦ ὁ
» θεὸς Κρισνᾶς, ὡς χρυσοῦν σπαρτίον.

62. « Δεινοπαθῶς δ' εἰπόντος τοῦ Ἀρζούνα, « Ἐγὼ ἀνοί-
« κειος ἄρα εἰμὶ πολεμεῖν [4]· διὰ τοῦτο σὺ ἐδέξω ἐπὶ

---

1. Καθὼς οἱ ποιοῦντες θυσίας τοῖς θεοῖς δοξάζονται.
2. Πολλοὺς δηλ. ἀνεῖλεν ἀνθρώπους, ἐλέφαντας καὶ ἵππους.
3. Σαράββας, ζῶον μυθευόμενον ὀκτάπουν.
4. Ἀνάξιός εἰμι πολέμου, καὶ διὰ τοῦτο σὺ ἐδέξω τοῦτο τὸ ὅπλον ;

« τοῦ στήθους τοῦτο τὸ ὅπλον [1], » ὁ Κρισνᾶς λόγον ἔλε-
» ξε, κατάβροχον τῇ ἀμβροσίᾳ τῆς ἐν γαστρὶ αὐτοῦ γα-
» λακτικῆς θαλάσσης·

63. « Τοῦτο τὸ ὅπλον ἐδόθη παρ' ἐμοῦ, ἱκετευθέντος πρὸς
« τῆς Γῆς, τῷ γηγενεῖ Τιτᾶνι Ναράκᾳ [2]· παρὰ δ' ἐκεί-
« νου ἐδόθη τούτῳ τῷ υἱῷ αὐτοῦ. Τοῦτο οὖν τὸ οἰκεῖον
« ὅπλον ἐγὼ ἐδεξάμην· σὺ δὲ νῦν νίκησον τοῦτον. »

64. « Τοιαῦτα εἰπόντος τοῦ Κρισνᾶ, οἱ θεοὶ διεσκεδάσθη-
» σαν [3], τῇδε κἀκεῖσε εἰς τὸν αἰθέρα ἐκ τῶν αἰθερο-
» βατούντων βελῶν τοῦ Ἀρζούνα [4], ἅπερ καὶ ἔτρωσαν
» τόν τε Βαγαδάταν καὶ τὸν ἐλέφαντα αὐτοῦ.

65. « Κοπεὶς δὲ καὶ ὁ κώδων [5] τοῦ ἐλέφαντος ἐκείνου τοῖς βέ-
» λεσι τοῦ Ἀρζούνα, καὶ πεσὼν κατὰ γῆς, ἐσκέπασε τέσ-
» σαρα ὠὰ [6] ὀρνέου, πεσόντα ἐν ταὐτῷ ἐξ οὐρανοῦ ἐπὶ τοῦ
» λύθρου, ἐξ ὧν ἐγένετο ἡ Μαρκάνδα Πουράνα [7].

66. « Τότε ὁ Βαγαδάτας καὶ ὁ ἐλέφας αὐτοῦ, οἱ τετρωμένοι
» τοῖς βέλεσι τοῦ Ἀρζούνα, ἀναβοῶντες ἀνέστρεφον (ἀνε-

---

1. Τὸ ἀφεθὲν ἐκεῖνο ὑπὸ τοῦ Βαγαδάτα θεῖον ὅπλον ἔλαβεν ὁ Κρισνᾶς, καὶ διὰ τοῦτο ἠγανάκτησεν ὁ Ἀρζούνας· οἱονεὶ ἔλεγε· ἢ σὺ πολέμησον, ἢ ἐγώ· εἰ γὰρ σὺ πολεμεῖς, καὶ οὐ διοικεῖς τὸ ἅρμα, πῶς ἐγὼ πολεμήσω;

2. Ὁ μὲν Ναράκας ἦν υἱὸς τῆς Γῆς, ὁ δὲ Βαγαδάτας υἱὸς τοῦ Ναράκα.

3. Τουτέστιν οἱ θεοί, οἱ θεωροῦντες ἐφοβήθησαν ἐκ τῶν βελῶν τοῦ Ἀρζούνα καὶ διὰ τοῦτο παρεχώρησαν.

4. Ὑψηλὸς ἦν ὁ ἐλέφας, καὶ διὰ τοῦτο ὁ Ἀρζούνας ὑψοῦ ἔρριπτε τὰ βέλη.

5. Δύω κώδωνας κρεμῶσιν ἑκατέρωθεν τῶν νώτων τοῦ ἐλέφαντος.

6. Ταῦτα συνέγραψαν τὴν Μαρκάνδαν Πουράναν, ἐρωτῶντα τὸν ὅσιον Μαρκάνδαν.

7. Ἡ Μαρκάνδα διαλαμβάνει τὰ τῶν δεκατεσσάρων Μανούων.

» στρεφέτην), ὡς θάλασσαν, τὴν στρατιὰν τῶν ἐχθρῶν,
» τὴν ἔχουσαν πολλὰ δένδρα κοραλλίου, ὅ ἐστι τὸ ἐκ-
» χεόμενον πολὺ αἷμα [1].

67. « Ἀτονήσας μὲν οὖν τὸ σῶμα ὁ ἐλέφας ἐκ τοῦ βέλους
» τοῦ Ἀρζούνα, εἰσδύσαντος τὴν κεφαλὴν, καὶ ἐξελθόντος
» ὄπισθεν τῶν ἰσχίων, ἔπεσεν εὐθέως, καθὼς ἡ κορυφὴ
» μεγάλου ὄρους ἐκ τοῦ κεραυνοῦ.

68. « Τὴν δὲ κοτήεσσαν ψυχὴν τοῦ Βαγαδάτα, τοῦ βασι-
» λέως τῆς Πραγγεοτίσσης ἐξεῖλεν ἐν τάχει ὁ Ἀρζούνας
» τῷ ἡμισελήνῳ βέλει, ὁ ὢν ὑπέρλαμπρος τὸ κλέος, δί-
» κην χιλίων σεληνῶν.

69. « Πεσόντος δὲ τούτου τοῦ ἐνδόξου βασιλέως τῆς Καμα-
» ρούπας, ἡ στρατιὰ τῶν ἐχθρῶν, πιεζομένη τοῖς ἀλλε-
» παλλήλοις βέλεσι τοῦ Ἀρζούνα, οὐδὲν καταφύγιον εὗ-
» ρισκε, καθὼς ἡ ἀγέλη τῶν ζώων, τῷ ῥαγδαίῳ ὑετῷ τοῦ
» νέφους ἐν γῇ ἀμμώδει καὶ ἀδένδρῳ [2].

70. « Δύω δ' ἄνδρας τῆς Γανδάρας χώρας, γνωστοὺς ἐπ' εὐ-
» τολμίᾳ καὶ πολεμικῇ ἀρετῇ, ὧν ὁ μὲν ἐκαλεῖτο Βρισ-
» σάκας, ὁ δὲ Ἀσάλας, κατέβαλεν ὁ Ἀρζούνας ἐνὶ βέ-
» λει, οἳ ἦσαν ὡς δύω ὀδόντες [3] τοῦ δίκην ἐλέφαντος
» στρατοῦ τῶν πολεμίων.

71. « Ἀγανακτήσας δ' ὁ βασιλεὺς τῆς Γανδάρας [4] ἐπὶ τῷ
» θανάτῳ τῶν ἑαυτοῦ ἀδελφῶν, πολεμῶν μαγικοῖς στρα-
» τηγήμασι, μαγικοῖς ὅπλοις, καὶ μαγικῷ σκότει, ἐνική-
» θη ὑπὸ τοῦ Ἀρζούνα δυνάμει τοῦ ἡλιακοῦ ὅπλου.

---

1. Ἐρυθρὸν γὰρ τὸ αἷμα, καθὼς καὶ τὸ κοράλλιον· ἵνα δὲ ἐξέλθῃ τὸ κοράλλιον ἀναστρέφουσι τὴν θάλασσαν, καὶ ἀναπῶσιν ἐκεῖνο τὸ φυτόν.

2. Ἔνθα οὐκ ἔστι δένδρον, εἰς ὃ καταφεύξονται.

3. Πρόμαχοι δηλ. καὶ προασπισταί.

4. Ὁ Σακουνής.

72. «Τρόποις δὲ ποιῶν ὁ Δρόνας εἰς τὸ κρατῆσαι τὸν Ἰουδι-
» στίραν, ἐμβὰς τῷ στρατῷ τοῦ βασιλέως τῆς Πανσά-
» λας [1], κατέθλιβε πᾶσαν διάστασιν τοῦ τόπου ἐκ τῶν
» ῥιπτομένων, ὡς λωτῶν, κεφαλῶν τῶν ἡρώων.

73. «Ὁ δὲ Νείλας [2], ὁ βασιλεὺς τῆς Μαχισματῆς, ἔχων
» μέλανα ἱμάτια, μέλαν ἅρμα, μέλανα ἡνίοχον, καὶ μέ-
» λανας ἵππους, βρέχων βέλη, κατεπίεζε τὴν στρατιὰν
» τοῦ Δρόνα τοῖς πυροβόλοις ὅπλοις, ὡς ἀστραπηβόλον
» νέφος [3].

74. «Ὁρμήσας δὲ ξιφήρης, ὁ ὢν μέλας, ὡς ὁ Ἰάμας, οὗ τὸ
» σκιάδιον καὶ ἡ σημαία, καὶ τὸ τόξον κατεκόπη, ἀνῃρέ-
» θη ὑπὸ τοῦ Ἀσβατάμα, ὃς ἦν ἀπόῤῥοια τοῦ Σίβα.

75. «Τοῦ μὲν οὖν Νείλα κοπέντος τὴν κεφαλὴν, ὃς ἦν ὡς
» πολύτιμος κυάνεος λίθος τῆς κεφαλῆς τῆς στρατιᾶς τῶν
» Πανδοϊδῶν, τῶν δὲ Καουραβῶν ἀναβοησάντων, ἐπέπε-
» σεν ὁ Ἀρζούνας ἐνθάδε, ὡς σκηπτὸς, ἀφ' οὗ κατέστρε-
» ψε τὴν στρατιὰν τοῦ βασιλέως τῆς Τριγάρτας.

76. «Εἷς μὲν ὢν, ἰσοστάσιος δὲ ἅπασι τοῖς θεοῖς καὶ τοῖς
» Γίγασι, καὶ φίλος τοῦ Κρισνᾶ, τοσοῦτον ἀνετάραξεν,
» ὡς θάλασσαν, τὴν στρατιὰν, ὥστε τὸν αἰθέρα γενέσθαι
» πλήρη πολλῶν σελήνων, αἵ εἰσιν αἱ ἀλλόμεναι κεφαλαὶ
» τῶν ἡρώων.

77. «Τότε ὁ υἱὸς τοῦ Ἡλίου, ἔχων δύναμιν πυρὸς, ἔῤῥιψε
» τὸ πύρινον ὅπλον· οἱ δ' ἥρωες, καιόμενοι καὶ λαμπό-
» μενοι ἐξ ἐκείνου τοῦ πυρίνου βέλους, ἐνόμισαν ὅτι εἴσ-

---

1. Τοῦ Δρουπάδα.

2. Νείλας κατ' ἐτυμολογίαν, κυάνεος ἢ μέλας.

3. Μέλας ἦν, καὶ διὰ τοῦτο ἐπήγαγε τὸ μέλαν νέφος· ἔβρεχε βέλη, καθὼς τὸ μέλαν νέφος βρέχει καὶ ἀστράπτει.

» δυσις αὐτοῖς γίνεται εἰς τὸν Ἥλιον ἐξ αἰτίας τοῦ πο-
» λέμου [1].

78. « Ἀποσβέσας δ' ἐκεῖνο τὸ πῦρ ὁ υἱὸς τοῦ Ἴνδρα τοῖς
» ὑδροβόλοις βέλεσιν, ὡς νέφεσι, καὶ ἀποδείξας τὸν Καρ-
» νᾶν τοῖς βέλεσιν, ὡς δρυμῶνα ἐκ καλάμων, πόσους
» ποταμοὺς αἱμάτων οὐκ ἐποίησεν ἐκ τῶν ἀναιρεθέντων
» βασιλέων, ῥέοντας εἰς τὸ στάδιον τοῦ πολέμου, ὡς πέ-
» λαγος ;

79. « Ἐνταῦθα ἀνεῖλεν ὁ γενναῖος Ἀρζούνας τοὺς νεωτέρους
» ἀδελφοὺς τοῦ Καρνᾶ, τὸν Ἀβαράζαν, τὸν Βιπάταν, τὸν
» Σατρουνζαΐαν, καὶ τὸν Βηραζαΐαν, ὄντας ὡς ἄνδρας τῆς
» λαμπρᾶς βασιλείας τῶν πολεμίων βασιλέων [2].

80. « Ἀμφοτέροις οὖν τοῖς ἀνδρικοῖς στρατοῖς τῶν ἀνδρείων
» στρατηγῶν, τοῦ τε Καρνᾶ καὶ τοῦ Ἀρζούνα, πόλεμος
» φθοροποιὸς συνεκροτήθη, ἐν ᾧ φωνὰς χαρᾶς ἐποίουν
» οἱ Νισσασάραι [3], καὶ οἱ Πισσάκαι.

81. « Τότε τοῖς ῥείθροις τοῦ ποταμοῦ, τοῦ γενομένου ἐκ τῶν
» πολλῶν αἱμάτων, πολλὰ σώματα νεκρὰ ἡρώων ἐφέρετο,
» ὡς εἰκὸς [4], ἅπερ ἐδάκησαν [5], καθάπερ ὄφεσι, τοῖς οἰ-
» στοῖς τῶν ἀντικειμένων.

82. « Ὁ δὲ μεγαλοβραχίων Βήμας, βοῶν, καὶ μαινόμενος,

---

1. Ὁ γὰρ ἀποθανὼν ἐν πολέμῳ εἰσδύει εἰς τὸν οὐρανὸν διὰ τοῦ Ἡλίου, ὡς διὰ θύρας.

2. Ὡς γυναῖκα ποιεῖ τὴν βασιλείαν, τούτους δ' ὡς ἄνδρας. δηλ. ὑπερασπιστάς.

3. Νισσασάραι, Νυκτοπόροι κατ' ἐτυμολογίαν, ὡς ἐν νυκτὶ περιπολοῦντες, καὶ ἐν σκότει.

4. Νόμος γάρ ἐστι μὴ κατακαίσθαι τὸ σῶμα τοῦ δακέντος ὑπ' ὄφεως, ἢ ἀναιρεθέντος ὑπό τινος ἄλλου θηρίου, ἢ καταπεσόντος, ἢ λεπροῦ ὄντος, ἀλλὰ ῥίπτεσθαι εἰς τὸν ποταμὸν, διὰ τοῦτο εἶπεν « ὡς εἰκός. »

5. Ὡς ὁ ὀφιόδηκτος ῥιπτόμενος εἰς τὸν ποταμὸν φέρεται τῷ ῥείθρῳ.

» ἀνέστρεφε τὴν στρατιὰν τῶν πολεμίων, κατακόπτων » βραχίονας ἡρώων, καὶ διαῤῥηγνύων τὰ ἱππικὰ τάγμα- » τα, καθὼς ὁ μεγάλην ἔχων προβοσκίδα ἐλέφας, βοῶν » καὶ μαινόμενος, ἀναστρέφει τὴν λίμνην, κατακόπτων » καυλοὺς λωτῶν, καὶ διαῤῥηγνύων τὰ κύματα [1].

83. « Θρῆνος δὲ καὶ κλαυθμὸς ἐγένετο ἐν πολέμῳ τοῦ πολε- » μίου στρατοῦ, βαλλομένου τοῖς βέλεσι τοῦ Ἀρζούνα, » ἐξ οὗ καὶ ὁ ἐπὶ τῆς σημαίας τοῦ Ἀρζούνα πίθηξ ἀνε- » μνήσθη τοῦ κλαυθμοῦ καὶ ὀδυρμοῦ τῶν κατοίκων τῆς » Ταπροβάνης, πυρπολουμένων τῷ πυρὶ αὐτοῦ.

84. « Τοῦ μὲν οὖν στρατοῦ τῶν πολεμίων φοβουμένου τὴν » ἀνδραγαθίαν τοῦ Ἀρζούνα, τῶν δὲ ὀρέων τῆς γῆς πάν- » των σειομένων, ὁ μὲν Ἥλιος ἔπεσεν ἐκ τοῦ ὄρους [2], οἱ » δ' ἥρωες ἐπαύσαντο τοῦ πολέμου. »

Τέλος τοῦ Πρώτου Κεφαλαίου, τοῦ Ἑβδόμου Βιβλίου τῆς Βαλαβαράτας.

---

1. Παίζει πρὸς τὰς λέξεις ὁ ποιητής· ὁ μὲν βῆμας, ὡς ἐλέφας μεμηνώς· ὁ δὲ βραχίων τοῦ βῆμα, ὡς ἡ προβοσκὶς τοῦ ἐλέφαντος· ἡ δὲ στρατιὰ, ὡς λίμνη· οἱ δὲ βραχίονες τῶν ἡρώων, ὡς καυλοὶ λωτῶν, τὰ δὲ ἱππικὰ τάγματα, ὡς κύματα.

2. Κατὰ τὸ ὄρος τὸ δυτικὸν ἐσείοντο, καὶ διὰ τοῦτο ἔπεσεν ἐξ αὐτοῦ ὁ ἥλιος εἰς τὸν Ὠκεανόν. Νὺξ δηλ. ἐγένετο.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

δ διαλαμβάνει τὸν θάνατον τοῦ Ἀβημαριοῦ.

1. Ἐφιέμενος ποιητικῆς δυνάμεως, θὲς ἐν καρδίᾳ τὸν Βεάσαν, τὸν μέγαν ὅσιον, καὶ ποιητὴν τῶν νομικῶν Βιβλίων· ἠχὼ γὰρ τῆς ποιητικῆς μελέτης ἐκείνου ἠχήσει ἐν τῷ στόματί σου, ὡς ἐν σπηλαίῳ [1].
2. « Ἐπαγγειλάμενος δ' ὁ Δρόνας τὴν ἄλωσιν (σύλληψιν)
» τοῦ Ἰουδιστίρα, ὅταν ὁ Ἀρζούνας κληθῇ εἰς πόλεμον
» ὑπὸ τῶν πολεμικῶν [2], καὶ χαροποιήσας τοὺς περὶ τὸν
» Δουριοδάναν, ἔταξεν εἰς σχῆμα τροχοῦ τὸν στρατὸν,
» ἡμέρας διαλαμψάσης.
3. « Καὶ ὁ μὲν Δουριοδάνας ἦν ὀμφαλὸς τοῦ τροχοειδοῦς
» στρατοῦ [3], ὡς ἡ σύριγξ τοῦ τροχοῦ, περιεχόμενος ὑπὸ
» τῆς στρατιᾶς, ὡς ὑπ' ἄντυγος· δεκακισχίλιοι δὲ βα-
» σιλεῖς ἦσαν περὶ τὰ πλάγια, ὡς κνῆμαι τοῦ τροχοῦ [4].
» ὁ δὲ θροῦς τοῦ στρατοῦ (καὶ ὁ ἦχος τῶν κυμαινουσῶν
» σημαιῶν) ἦν ὡς ὁ πάταγος τοῦ τροχοῦ.
4. « Ὁ δὲ στρατηγὸς Δρόνας ἠγλαΐζετο πρὸ τοῦ μετώπου
» ἐκείνου τοῦ τροχοειδοῦς στρατοῦ, συνὼν τριάκοντα
» ἀδελφοῖς τοῦ Δουριοδάνα, γενναίοις καὶ ἐνδόξοις, ὡς
» θεοῖς, καὶ τῷ βασιλεῖ τῆς Σινδοῦς, τῷ Ζαϊατράτα.
5. « Ἰδὼν δ' ὁ Ἰουδιστίρας ἐναντίον ἐκεῖνον τὸν στρατὸν

---

1. Θεὶς δηλ. ἐν τῇ καρδίᾳ τὸν ποιητὴν ἐκεῖνον, ποιητὴς ἔσῃ· ὅσα γὰρ ἐκεῖνος ἔνδον μελετᾷ καὶ φθέγγεται, ἐξελεύσονται διὰ τοῦ στόματός σου.

2. Ὅταν ὁρμήσῃ ἐναντίον τῶν πολεμίων ἀλλαχόσε.

3. Ἐν τῷ μέσῳ τοῦ κυκλικοῦ στρατοῦ ἦν ὁ Δουριοδάνας.

4. Δέκα δέ εἰσι καὶ τὰ πλάγια ξύλα τοῦ τροχοῦ, ἃ καλοῦνται κνῆμαι.

» τῶν πολεμίων, τὸν συγκεκροτημένον πολλοῖς ἥρωσι,
» καὶ δυσνίκητον, ὡς τὸν κόσμον [1], ἀποβλέψας πρὸς τὸν
» υἱὸν τῆς Σουβαδρᾶς Ἀβημανιοῦν, ἔφη αὐτῷ·

6. « Ὁ Βισνοῦς, ὁ Ἀρζούνας, καὶ ὁ Κάμας [2] δυνατοί εἰσι
« κατατροπῶσαι τὸν στρατὸν τοῦτον, καὶ σὺ πρὸς τού-
« τοις· τοῦ δὲ πατρός σου ὄντος νῦν μακρὰν, ἀνάδεξαι
« τοῦτο τὸ βάρος σὺ, ὁ λίαν κραταιός. »

7. « Πρὸς ὃν ἀπεκρίνατο ἄσμενος ὁ υἱὸς τοῦ Ἀρζούνα· « Ἐγὼ
« διατεμὼν τὴν φάλαγγα τῶν ἐχθρῶν, εἰσδύσαιμι ἂν
« εἰς αὐτὴν εὐθέως [3]· ἐξαγεῖν ὅμως ἐμαυτὸν οὐκ οἶδα·
« ἀκολουθήτωσάν μοι οὖν καὶ ἄλλοι ἥρωες ἐφ' ἅρ-
« μάτων. »

8. « Εἰπόντος δὲ τοῦ Ἰουδιστίρα· « Οὕτως ἔστω, » ἐντείνας
» τὸ τόξον ὁ Ἀβημανιοῦς [4], ἐπέταξε τῷ ἡνιόχῳ ἐλάσαι
» τοὺς ἵππους, ὡς ἄχυρα [4] βλέπων τὰ στίφη τῶν ἀντι-
» κειμένων βασιλέων.

9. « Φωτίζων δὲ πᾶσαν διάστασιν τοῦ τόπου, ὥςπερ εἰ
« ἐποιήθη ἐκ φωτὸς ἡλιακοῦ ὑπὸ τοῦ τέκτονος τῶν θεῶν
» Βισβακάρμα, τεκτονικῷ τόρνῳ καὶ γλυφείῳ, σῶμα φέ-
» ρων δυσαντίβλεπτον τοῖς ἡρωϊκοῖς ἐχθροῖς καὶ μα-
» κρόθεν,

10. « Χρυσοῦν μὲν ἔχων θώρακα καὶ ἅρμα, καὶ χρυσοῦν τό-

---

1. Δισνίκητος λέγεται ὁ κόσμος, δηλ. τὰ πάθη.

2. Ὁ Κάμας, τουτέστιν ὁ θεὸς Ἔρως, νικᾷ τὸν κόσμον, τουτέστι πάντας.

3. Δηλ. ἐγὼ δύναμαι εἰσδύσαι εἰς τὸν στρατὸν, καὶ ἀνατρέψαι αὐτόν· ἐξελθεῖν ὅμως οὐ δύναμαι.

4. Ἀβημανιοῦς, Ὑπέρθυμος κατ' ἐτυμολογίαν.

5. Εἰς οὐδὲν δηλ. τιθέμενος.

» ξον, καὶ ὄρνιν ἐπὶ τῆς σημαίας, ξανθοὺς δ' ἵππους,
» ἐμφαίνων ἐπὶ τοῦ προσώπου τὸ ἐντὸς αὐτοῦ διάπυρον
» τῆς ἀνδρείας, ὡς φλόγα πυρός,

11. « Κρατῶν τὸ κραταιὸν τόξον, ὃ ἔδωκεν αὐτῷ ὁ Βαλα-
» ράμας, τὸ ὂν διάπυρον τῷ ἐκ θυμοῦ αὐτοῦ διαπύρῳ
» βλέμματι, καὶ ἀγκύλον, ὡς στόμα θυσιαστηρίου σφα-
» γίων πολεμίων,

12. « Κατακαλύπτων τὸν Ἥλιον τοῖς πολλοῖς βέλεσιν, ἐρί-
» ζοντα τῷ φωτὶ αὐτοῦ, καὶ καταφύγιον ὢν πάντων θεῶν
» τε καὶ δαιμόνων, φοβουμένων, καὶ ὄντων ὡς μαθητῶν
» αὐτοῦ ἐν πολέμῳ,

13. « Ἐπέπεσεν ἐπὶ τοὺς πολεμίους, τεταραγμένους τῇ ἀπλέ-
» τῳ φλογὶ τοῦ πυρὸς, τῇ ἐκ τοῦ στόματος τῶν δαιμό-
» νων [1], καὶ τοῦ θανάτου [2], παρεπομένην ἔχων τὴν σκιὰν
» τοῦ ἑαυτοῦ σώματος, ὡς ἠττημένην τῇ αὐτοῦ ταχυτῆτι [3].

14. « Βοῶν οὖν ὁ νεανίας, καὶ γελῶν, καὶ κλαγγὴν ποιῶν
» διὰ τοῦ τόξου, καὶ βέλη βάλλων συνεχῆ, διεσκέδασεν
» εὐθέως τοὺς πολεμίους, καθὼς ὁ ῥιπτόμενος λίθος τοὺς
» κολοιούς.

15. « Τούτου τοῖς πίπτουσι ταχέως μεγάλοις βέλεσι πλητ-
» τόμενον τὸ πολέμιον στράτευμα, ὠδύρετο καὶ ἐθρήνει,
» προσπίπτον, ὡς μικρὸν παιδίον πταῖσαν.

16. « Καταῤῥήξας δ' οὗτος ὁ βασιλικὸς νεανίας, ὡς μέγας
» ἐλέφας, τὴν δύναμιν τοῦ Δρόνα καὶ τοῦ Ζαϊατράτα, ὡς
» πύλην [4], περιήρχετο τὴν στρατιὰν ἐκείνην, ὡς πόλιν.

---

1. Οἳ ἦλθον εἰς σαρκοφαγίαν.
2. Ὃς ἦλθεν εἰς θάνατον αὐτῶν.
3. Ὁ νενικημένος δοῦλος γίνεται, ὁ δὲ δοῦλος ἀκολουθεῖ τῷ δεσπότῃ.
4. Οὗτοι οἱ δύω ἵσταντο πρὸ τοῦ μετώπου τῆς φάλαγγος, ὡς προεί-
ρηται.

17. Ἡ δὲ δόξα ἐφίλει τὸ πρόσωπον τοῦ Ἀβημανιοῦ, ὃς ἦν
» μόνος [1], ἐπειδὴ οἱ ἀκολουθήσαντες αὐτῷ εἰς βοήθειαν,
» ἐνικήθησαν καὶ διεσκορπίσθησαν ὑπὸ τοῦ δυσφορήτου
» Ζαϊατράτα, διὰ τὴν ἣν ἔλαβε χάριν παρὰ τοῦ Σίβα.

18. « Τούτου τὸ ἅρμα φόβον ἦν παρέχον ταῖς φάλαγξι τῶν
» ἐχθρῶν, πάταγον ποιοῦν ποθερὸν, καὶ ἀναπεπταμένην
» ἔχον τὴν σημαίαν, ὡς διαλελυμένην κόμην, ἅτε δια-
» νοούμενον φθορὰν τοῖς ἀντιπάλοις [2].

19. « Λόγοι δὲ τῶν βασιλέων ἐγίνοντο περὶ αὐτοῦ τοιοῦτοι·
« Οὗτος ἐπέρχεται! ἰδοὺ προσέρχεται! Οὗτος ἀναιρεῖ
« ἰταμῶς! ὤ! ἡμεῖς ὀλλύμεθα ὑπὸ τούτου! Λάβε, λάβε
« τοῦτον! Ἄνελε, ἄνελε τοῦτον [3]!»

20. « Τούτου τοῖς βέλεσιν αἱ μὲν κεφαλαὶ τῶν βασιλέων
» μετὰ τῶν σαλευομένων ἐνωτίων [4], κοπτόμεναι κατέπι-
» πτον, ὡς νεοσσοὶ τοῦ Γαρούδα [5], εἰς τὴν γῆν τοῦ πολέ-
» μου, ἔνθα ἔκειντο οἱ κεκομμένοι βραχίονες, ὡς ὄφεις.

21. « Τότε οὗτος ὁ ἥρως τὴν μὲν γῆν ἐποίησε κατάστρωτον
» κεφαλαῖς καὶ ἀκεφάλοις σώμασι, τὸν δ' αἰθέρα πλήρη
» βελῶν, πᾶσαν δὲ διάστασιν τοῦ τόπου αἱματοσταγῆ.

22. « Τούτου τοῖς φερομένοις βέλεσι, αἱ διαῤῥηγνύμεναι
» κούμβαι τῶν ἐλεφάντων, ἐγέλων διὰ τῶν ἀναφαινο-
» μένων μαργαριτῶν, ὡς ὀδόντων [6], τουτέστιν ἐμακάρι-

---

1. Ἐδοξάσθη δηλ. διότι μόνος εἰσέδυ τὴν στρατιὰν τῶν πολεμίων.

2. Καθὼς ὁ διανοούμενος ὄλεθρον τοῖς ἐχθροῖς, οὐδεμίαν φροντίδα ἑαυτοῦ ἔχει.

3. Ἄλλος μὲν τοῦτο ἔλεγεν, ἄλλος δ' ἐκεῖνο.

4. Τὰ σαλευόμενα ἐνώτια ἦσαν ὡς πτέρυγες.

5. Ὁ Γαρούδας, ὅς ἐστιν ὁ ἀετὸς, ὀφιοφάγος λέγεται· ὁ δὲ βραχίων εἰκάζεται τῷ ὄφει.

6. Ὁ γελῶν ἐκφαίνει τοὺς ὀδόντας, οἱ δὲ λευκοὶ μαργαρῖται, ὡς ὀδόντες, τὸ δὲ λευκὸν ἀναφέρεται εἰς τὸν γέλωτα, δηλονότι διὰ τούτου

» ζον τοὺς ἑαυτῶν ἀναβάτας, ὧν ἡ χεὶρ ἐρεισθήσεται ἐπὶ » τῶν μαστῶν τῶν θεαινῶν.

23. « Καὶ οἱ γενναῖοι θεοὶ, βλέποντες σώματα ἀνδρῶν ἀκέ- » φαλα, καὶ κάρας ἐλεφάντων, ἃ διατμηθέντα τοῖς βέλε- » σι τούτου, παρέκειντο, ἐφοβήθησαν, λογιζόμενοι ἀπώ- » λειαν τοῦ γένους [1] τοῦ ἐλεφαντοπροσώπου θεοῦ [2].

24. « Ἡ γῆ ἐκείνη, πλήρης οὖσα κειμένων σωμάτων ἀκεφάλων, » καὶ κεφαλῶν ἵππων καὶ ἀνθρώπων, ἀποτμηθέντων τοῖς » βέλεσι τούτου, ἐφαίνετο, ὡς γῆ πολέμου τῶν Κιμπουρου- » σῶν [3], τῶν ἐχόντων σώματα μὲν ἀνθρώπεια, κεφαλὰς » δ' ἱππείας, ἢ σώματα δ' ἵππεια, κεφαλὰς δ' ἀνθρωπείας.

25. « Καὶ ὁ μὲν Ἀσβατάμας, ὁ Καρνᾶς, ὁ Κριπᾶς, καὶ ἄλλοι, » φοβηθέντες τοῦτον πολεμοῦντα, καὶ τιτρώσκοντα ὅπλοις » μεγάλοις, ἔφευγον, κατηγοροῦντες τῆς βραδυπορίας » τῶν ἑαυτῶν ἵππων, τῶν θεόντων ταχύτερον τοῦ ἀνέμου.

26. « Ὁ δὲ Ἀβημανιοῦς ἐποίησε τὸν αἰθέρα, ὡς λίμνην λω- » τῶν, εἰς τέρψιν τῆς ἑαυτοῦ εὐκλείας [4] ταῖς λωτίαις » κεφαλαῖς τῶν περὶ τὸν βασιλέα Ἀσμάκαν, ταῖς ἀνα- » πηδώσαις ἐκ τῆς τομῆς, ὧν τῶν λιθοκολλήτων κοσμη- » μάτων ἡ μαρμαρυγὴ ἦν ὡς ὕδωρ [5].

ἐμακαρίζοντο οἱ ἀναβάται τῶν ἐλεφάντων, ὅτι ἀποθανόντες ἐν πολέμῳ, θήσουσι τὰς χεῖρας οὐχὶ ἐπὶ τῶν κουμβῶν τῶν ἐλεφάντων, ἀλλ' ἐπὶ τῶν μαστῶν τῶν θεαινῶν.

1. Μυθολογοῦσιν, ὅτι καὶ οἱ ἀκόλουθοι τοῦ ἐλεφαντοπροσώπου **Γα**νέσσα, ἐλεφαντοπρόσωποί εἰσιν.

2. Τοῦ Γανέσσα, ὃς σῶμα μὲν ἔχει ἀνθρώπου, κεφαλὴν δ' ἐλέφαντος.

3. Κιννάραι, ἢ Κιμπουροῦσσαι, κατ' ἐτυμολογίαν κατὰ μέρος ἄνθρωποι, ἢ ἡμιάνθρωποι· ἔχουσι γὰρ οἱ μὲν σῶμα μὲν ἀνθρώπου, κεφαλὴν δ' ἵππου· οἱ δὲ κεφαλὴν μὲν ἀνθρώπου, σῶμα δ' ἵππου.

4. Ἡ εὐκλεια ὡς γυνή.

5. Καὶ γὰρ οἱ λωτοὶ ἐν ὕδασίν εἰσιν.

27. « Πάλιν δ' ἐλθόντες, ὅ,τε Κριπᾶς, ὁ Ἀσβατάμας, ὁ
» Καρνᾶς, ὁ Δρόνας, ὁ Σαλέας, ὁ Σάλας [1], καὶ ὁ Σακου-
» νὴς, καὶ ἄλλοι ὁμοῦ, ἐδιπλασίαζον τὴν ἐν τῷ σώματι
» αὐτοῦ λαμπρότητα χρυσοῖς πολλοῖς βέλεσι.

28. « Τρωθέντες δὲ τοῖς βέλεσι τούτου οὗτοι οἱ ἄριστοι τῶν
» Καουραβῶν, φεύγοντες ἐκ φόβου ταχέως, οὐ κατελαμ-
» βάνοντο οὐδ' ὑπὸ τῶν ἀεροβατούντων δαιμόνων, οἳ
» ἐπεθύμουν τὸ αἷμα αὐτῶν πιεῖν, ὡς οἶνον.

29. « Ἀνελὼν δ' οὗτος ὁ ἔκλαμπρος τοὺς νεωτέρους ἀδελφοὺς
» τοῦ βασιλέως τῆς Μάδρας καὶ τοῦ Καρνᾶ, ἀφθονίαν
» ἐποίησε σαρκῶν καὶ αἱμάτων ἐκ τοῦ στρατοῦ τῶν Καου-
» ραβῶν τῷ στρατῷ τοῦ βασιλέως τῶν Πραιτῶν Ἰάμα.

30. « Διεσκόρπισε δὲ πάλιν, ὡς ἄχυρα, τῷ ἀέρι τῶν βελῶν
» αὐτοῦ τὸν Καρνᾶν, τὸν Σακουνὴν, τὸν Δουριοδάναν, καὶ
» ἄλλους ἥρωας τῶν Καουραβῶν, ξύμπαντας ἐλθόντας,
» καὶ ἕνα καθ' ἕνα.

31. « Τούτου οὖν βάλλοντος βέλη, οἱ Πισσάκαι ἔπινον αἵματα
» πανταχοῦ, ῥέοντα ποταμηδὸν, διϋλιζόμενα ἐν τοῖς
» κρανίοις διὰ τῶν πεπτωκότων ὤτων τῶν ἐλεφάντων,
» ἃ ἦσαν τετρυπημένα τοῖς βέλεσι [2].

32. « Τοῦ μὲν δὴ κόσμου πληρωθέντος σκότους ἐκ τῆς κό-
» νεως, τοῦ δὲ πλήθους τῶν πολεμίων ἡρώων φυγόντος
» ἄνευ αἰσχύνης, ὁ Ἀβημανιοῦς ἔθετο ἐν τῷ στόματι τὴν
» κόγχον, εἰς τὸ ᾆσαι τὰ νικητήρια, ὡς ἔνθεσιν ἐδέσμα-
» τος, τοῦ κλέους τῶν ἐχθρῶν [3].

---

1. Πατὴρ τοῦ Σακουνῆ.

2. Ὡς τὸ θολερὸν ὕδωρ τοῦ ποταμοῦ διϋλίζεται ὀθόνῃ· τὰ δὲ κρανία ἦν ὡς τρυβλία.

3. Ἡ κόγχος στρογγύλη ἐστὶ καὶ λευκὴ, ὡς καὶ ἡ ἐξ ὀρύζης ἔνθεσις τῆς τροφῆς.

33. «Φυσῶν δὲ τὴν κόγχον, ὥσπερ διαῤῥηγνύων τὰς δέκα
» διαστάσεις τοῦ τόπου, εἶδε φρίκη τὰ ἀκέφαλα σώματα
» καὶ τὰ κεκομμένα κρανία πολλῶν ἡρώων, σπαίροντα καὶ
» λαρυγγίζοντα.

34. «Ὥρμησαν δὲ πάλιν κατ' αὐτοῦ οἱ ἀντικείμενοι ἡρωϊκοὶ
» βασιλεῖς, ὡς ὄφεις κατὰ τοῦ Γαρούδα, ἀσχάλλοντες ἐκ
» τῆς ἐμφυσήσεως τοῦ κόγχου, καὶ φρικώδεις ὄντες ἐκ
» τοῦ ἐπὶ τῆς κορυφῆς πολυτίμου λίθου, τοῦ λάμποντος
» δίκην πυρός [1].

35. «Τότε οὗτος, ὁ ἔχων καὶ ὄνομα, καὶ δύναμιν, καὶ τόξον
» φοβερὸν, οὗ ἐναντίον στῆναι εἰς πόλεμον οὐκ ἠδύνατο
» οὐδ' ὁ Σίβας, ἔκοπτε κάρας, ὡς ὀπώρας τοῦ ἀγλαοῦ κή-
» που τῆς δόξης τῶν Καουραβῶν.

36. «Οὗτος οὖν ὁ γοργὸς, διασκεδάσας, ὡς ὁ ἀὴρ τὰς τολύ-
» πας [2], τοὺς περὶ τὸν Βρισσασένην, τὸν υἱὸν τοῦ Καρνᾶ [3],
» ἐῤῥιψεν, ὡς ἄνθος, τὴν κεφαλὴν τοῦ βασιλέως Βασαν-
» τῆ, τοῦ ὄντος φυτοῦ τῆς δόξης.

37. «Ἔκοψε δὲ βέλεσιν οὗτος ὁ εὔφημος νικητὴς βασιλέων
» πολλῶν, καὶ τὴν χεῖρα καὶ τὴν κεφαλὴν τοῦ βασιλέως
» Ῥουκμαράτα, υἱοῦ τοῦ Σαλέα, αἳ πεσοῦσαι κατὰ γῆς,
» ἦχον ἐποίησαν ἐκ τῶν λιθοκολλήτων κοσμημάτων, ὡς
» θρῆνον [4].

38. «Ἑκατὸν δὲ ἑταίρους τοῦ υἱοῦ τοῦ Σαλέα, υἱοὺς βασιλέων,
» δραμόντας εἰς ἄμυναν τοῦ φίλου, ἐποίησε περιχαρεῖς,

---

1. Καὶ ὁ μυθευόμενος ὄφις ἔχει ἐπὶ κορυφῆς πολύτιμον λίθον.

2. Τολύπας βάμβακος.

3. Ὡς πρότερον ἔφη, ὡς ὁ Βρισσασένας ἔφυγεν ἀπὸ προσώπου τοῦ Ἀβημανιοῦ.

4. Ἡ μὲν χεὶρ εἶχε βραχιόνια λιθοκόλλητα· ἡ δὲ κεφαλὴ μίτραν λιθοκόλλητον.

» δείξας αὐτοῖς τὴν ὁδὸν τοῦ φίλου [1] διὰ τοῦ βέλους,
» ᾧ ὄνομα Γανδάρβα.

39. « Τηνικαῦτα οἱ μὲν θεοὶ, ἐκπληττόμενοι τὴν καρδίαν
» τοῖς ἀνδρικοῖς τούτου πλεονεκτήμασιν, οἱ δὲ βασιλεῖς,
» πληττόμενοι τοῖς βέλεσι, σείοντες ἐτύγχανον τὰς κεφα-
» λὰς αὐτῶν [2].

40. « Ἦλθε δὲ κατ' αὐτοῦ, τοῦ ἔχοντος βραχίονας, ὡς ὁδόν-
» τας τοῦ ἐλέφαντος τῆς ἀνδρείας, ὁ υἱὸς τοῦ Δουριοδά-
» να Λαξμάνας, ὁ ὢν νεογνὸν φύλλον [3] τοῦ φυτοῦ τῆς
» ὡραιότητος [4], καὶ λωτὸς τῆς λίμνης τοῦ ἀγλαοῦ
» Ἔρωτος.

41. « Ἀποκρυπτομένου δὲ τοῦ Ἡλίου τοῖς συνεχέσι βέλεσι
» τοῦ υἱοῦ τοῦ Ἀρζούνα, ὁ Λαξμάνας, ὡς δόλιος ἐρα-
» στὴς, ἐν ταὐτῷ τῷ μὲν σώματι ἠγκαλίσατο τὴν γῆν,
» τῇ δ' ἀναρριφθείσῃ κεφαλῇ ἐφίλησε τὴν ἀγλαΐαν τοῦ
» αἰθέρος [5].

42. « Ἐπέδραμε δὲ κατ' αὐτοῦ σὺν πολλοῖς Μαχαράταις
» ἀθρόοις ὁ Δουριοδάνας, ἐρυθρὸς ὢν τοὺς ὀφθαλμοὺς θυ-
» μῷ, ὡς φλὸξ πυρὸς, διὰ τὸν θάνατον τοῦ υἱοῦ αὐτοῦ.

43. « Ἐκ δὲ τῶν χρυσῶν βελῶν τῶν ἐχθρῶν, τῶν ἐμπαγέν-
» των παντὶ πόρῳ τοῦ σώματος, ἐφαίνετο οὗτος ὁ Ἀβη-

---

1. Δηλ. θανατώσας ἐξαπέστειλεν αὐτοὺς ἔνθα ἐπορεύθη ὁ φίλος αὐτῶν Ῥουκμαράτας.

2. Οἱ μὲν θεοὶ ἔσειον τὰς κεφαλὰς ἐπὶ θαύματι, οἱ δὲ βασιλεῖς ἐπὶ ἄλγει.

3, Δηλ. νέος.

4. Δηλ. εὔμορφος.

5. Ὁ δόλιος ἐραστὴς, σκότους ὄντος, τὴν μὲν ἀγκαλίζεται, τὴν δὲ φιλεῖ. Δηλ. ἐν ταὐτῷ ἠθέλησεν ἀπολαῦσαι ἐρωμένων δύω, κατατομηθείς· καὶ τὸ μὲν σῶμα αὐτοῦ ἔπεσε κατὰ γῆς· ἡ δὲ κεφαλὴ αὐτοῦ ἀνεπήδησεν εἰς τὸν αἰθέρα.

» μανιοῦς, ὅτι εἶχεν, ὡς φρίκην, ἐκφυεῖσαν τὴν ἐντὸς ἑαυ-
» τοῦ χαίρουσαν γενναίαν ψυχήν.

44. » Τότε τούτου τοῦ μεγαλουργοῦ ὁ βραχίων ἔκαιε τῷ πυ-
» ρίνῳ βέλει τὰ πλήθη τῶν ἐχθρῶν, τῷ ἐκπεμπομένῳ
» ἐκ τοῦ τόξου, ὡς ὁ φαρμακερὸς τὸν ὀφθαλμὸν ὄφις [1]
» τῇ ἐξ ὀφθαλμοῦ φαρμακερᾷ βολῇ.

45. «Τότε τῷ Λαξμάνᾳ, τῷ τοῦ πρὸς πατρὸς θείου υἱῷ,
» χοὴν μὲν ἔδωκεν οὗτος διὰ τοῦ αἵματος τοῦ Δουριοδά-
» να [2], τοῦ ἐλθόντος εἰς ἄμυναν, πόπανον δὲ διὰ τῆς κε-
» φαλῆς τοῦ Βριχατβάλα, βασιλέως τῆς Κοσσάλας.

46. «Τοῦ δὲ Καρνᾶ πιεζομένου λίαν τοῖς δημοῖς τῶν ἐκ
» τῶν λωτίων χειρῶν τοῦ Ἀβημανιοῦ βελῶν, καὶ δια-
» ταραττομένου, ἡ στρατιὰ ἅπασα τῶν Καουραβῶν ἔτρε-
» μεν ἐκ φόβου (ἐξ ἀπορίας).

47. «Τότε ἡ γῆ, διὰ τὸ εἶναι μορφὴ τοῦ τριοφθάλμου Σί-
» βα [3], λέλουται ὑπὸ τούτου τῷ αἵματι τῶν βασιλέων
» τῆς στρατιᾶς τοῦ Καρνᾶ, ὡς κροκωτῷ ὕδατι, καὶ τε-
» τίμηται, ὡς λωτοῖς, ταῖς κάραις αὐτῶν.

48. «Τρώσας δὲ τὸν βασιλέα Βόζαν, καὶ τὸν ἐλέφαντα αὐ-
» τοῦ, καὶ τὸν βασιλέα Κετοῦν, νικήσας τε τὸν υἱὸν τοῦ
» Δουσσασάνα, καὶ τὸ ἅρμα τοῦ βασιλέως τῆς Μάδρας
» καταθραύσας, ὥςπερ ἀποκαμών, ἐλούσατο ἐν τῷ ὠκεα-
» νῷ τῆς εὐκλείας [4].

---

1. Τὸ τόξον, ὡς ὄμμα τοῦ ὄφεως Βασιλίσκου.

2. Ὡς ἔθος ἐστὶ τοῖς νεκροῖς διδόναι χοὰς ὕδατος καὶ πόπανα· δηλ. τὸν μὲν Δουριοδάναν ἔτρωσε, τὸν δὲ Βριχατβάλαν ἐκαρατόμησε.

3. Ἡ γῆ ἓν τῶν πέντε στοιχείων ἐστὶν, ἃ μορφαί εἰσι τοῦ Σίβα, αὐτὸς γάρ ἐστι τὸ πᾶν. Ἡ γῆ ὡς θεὰ, τὸ δ' ἄγαλμα τῆς θεᾶς λούουσιν ὕδατι μετὰ κρόκου, ὡς εὐώδους, καὶ τιμῶσι προσφοραῖς ἀνθέων.

4. Καθὼς ὅταν τις ἀποκάμῃ, λούεται εἰς ἀνάπαυσιν τοῦ σώματος. Μεγάλην εὐκλειαν ἔλαβε.

49. «Ἔφυγε δὲ καὶ ὁ Σακουνῆς, τρωθεὶς τὸ σῶμα ὑπὸ τού-
» του, τοῦ διαφθείραντος τὴν στρατιὰν αὐτοῦ, καὶ ἀνε-
» λόντος τοὺς βασιλεῖς, τόν τε Μαγγαβέγαν, τὸν Βιδου-
» κετοῦν [1], τὸν Σουβάρσαν [2], τὸν Σαουριασατροῦν, καὶ
» τὸν Ζαΐαν.

50. «Ἐπιόντος μὲν οὖν τούτου, καὶ βάλλοντος βέλη πολλὰ,
» φωναὶ ἐλεειναὶ ἐγίνοντο μεγάλων ἡρώων, φοβουμένων,
» καὶ διαλελυμένην τὴν κόμην ἐχόντων, «Χή! χά! χα-
» χαχά [3]!»

51. «Καὶ ὁ Καρνᾶς, ὁ ἥρως ἐν τοῖς τρισὶ κόσμοις, ἰδὼν τὰ
» δεινὰ ταῦτα, ἀπηλλάγη τοῦ πελέμου· ὃς, προσελθὼν τῷ
» Δρόνᾳ, ἔλεξε λόγον ἀδιάρθρωτον, μέγα πνευστιῶν·

52. «Ὦ τάτα, ὁ ὑπέρχολος Ἀβημανιοῦς, ὁ κολοφὼν τῶν
« ἡρώων, ὁ ἄλλος Ἴνδρας κατὰ τὰ μεγάλα κατορθώματα,
« ὁ δεινὸς ἐν πολέμῳ, ὁ καταβάλλων καὶ τὸν Ἰάμαν [4],
« ἐρχόμενον εἰς πόλεμον, εἰς δειλίαν καὶ φυγὴν τρέπει ἡμᾶς.

53. « Τὰ βέλη τούτου οὐχ ὁρῶνται ἐν τῇ προσαρμόσει, καὶ
« ἑλκύσει, καὶ ἀφέσει ἐκ τοῦ καμπύλου τόξου, οἴκοθέν
« πως ἐξιόντα ταχέως ἐκ τῆς φαρέτρας, εἰθισμένα γεύε-
« σθαι τοῦ αἵματος τῶν ἐχθρῶν [5].

54. « Μῶν οὗτος, ὃν θάνατον ἐποίησεν ἀνδράσι, στρατιωτι-
« κοῖς, καὶ ἵπποις, καὶ ἐλέφασι, διὰ τοῦτο λαμπρὸν καὶ

---

1. Σημαισέληνον.

2. Καλλίλαμπρον. Τὰ δύω λοιπὰ ὀνόματα δὲν ἐτυμολογεῖ ὁ μεταφρα-στής. (Σ. τ. ἐκδ.)

3. Σχετλιασμὸς ἐπὶ φοβουμένων καὶ μὴ δυναμένων λαλῆσαι, — Ὁ φοβούμενος καὶ κινδυνεύων οὐδεμίαν φροντίδα ἔχει ἑαυτοῦ.

4. Αὐτολεξεί, ὁ ὢν Ἰάμας κατὰ τοῦ Ἰάμα.

5. Δηλονότι, ἐπειδὴ ἐγεύσαντο πρότερον τῆς γλυκύτητος τοῦ αἵματος των ἐχθρῶν, διὰ τοῦτο οἴκοθέν πως ἐξέρχονται. Τὴν ταχύτητα δηλοῖ τῆς ἀφέσεως τῶν βελῶν.

« βασιλικὸν ἠθέλησε ποιῆσαι τὸν οἶκον τοῦ θεοῦ Ἰάμα, εἰς
« τὸ ἔχειν ἐλεφαντοστάσια, ἱπποστάσια, καὶ στρατόπεδα ;»

55 « Βοὴ δ' ἤδη σύμμικτος ἐγίνετο τῶν βασιλέων, ἀπαλ-
» λαττομένων ἐκ τοῦ πολέμου, καὶ βλεπόντων τοὺς οἰ-
» κείους φεύγοντας, καὶ τοιαῦτα λεγόντων· « Οὗτος θάνατός
« ἐστίν ! οὗτος Ἰάμας ἐστίν ! οὗτός ἐστιν ἀρχὴ τῆς συν-
« τελείας τοῦ αἰῶνος ! »

56. « Πάντως γε ἡ ἔφεσις τούτου πολλῶν φόνων οὐκ ἐγένετο
« πλήρης ἐκ τοσούτων ἐλεφάντων καὶ ἡρώων· διὰ τοῦτο
« τὰ τούτου βέλη διήκουσι καὶ εἰς τὰ πέρατα τοῦ κόσμου,
» διαταράττοντα τοὺς ἐλέφαντας τῶν μερῶν τοῦ κόσμου
« καὶ τοὺς ἐφόρους αὐτῶν θεούς [1].

57. « Ἐπειδὴ οὖν οὗτος, ὢν πάθος φθοροποιὸν τῆς στρατιᾶς
« ἡμῶν, οὐκ ἄξιός ἐστι παραβλεφθῆναι, διὰ τοῦτο εἰπὲ
« τρόπον ταχέως, εἰς παντελῆ ἀπαλλαγὴν αὐτοῦ. »

58. « Τοιαῦτα τοῦ Καρνᾶ εἰπόντος, ὁ Δρόνας ἔφη· « Οὗτος ὁ
« νεανίας, ὁ ὢν ὅμοιος τῷ πατρὶ καὶ τῇ πρὸς μητρὸς
« θείῳ, ἀφανιεῖ τὸν στρατὸν ἡμῶν ἐν πολέμῳ ἐντὸς ὀ-
« λίγου.

59. « Οὗτος ὁ θανατηφόρος υἱωνὸς τοῦ Ἴνδρα, ὁ θαυμαστὸς
« ἐν πολέμῳ, καὶ θαυμαστὰν ἔχων θώρακα, καὶ ἅρμα, καὶ
« τόξον, καὶ σημαίαν, οὐκ ἂν νικηθείη οὐδ' ὑπὸ θεῶν καὶ
« δαιμόνων.

60. « Εἰ δέ γε τὸ ἅρμα, ἢ τὸ τόξον, ἢ ὁ θώραξ τούτου διαῤ-
« ῥαγείη, νικητός ἐστιν ὁπωσοῦν. » « Τοιαῦτα εἰπὼν ὁ Δρό-
» νας, ἐντείνας τὸ τόξον, ἔδραμε μετὰ τοῦ υἱοῦ τοῦ Ἡλίου
» κατὰ τοῦ υἱοῦ τοῦ Ἀρζούνα.

61. « Ἔδραμε δὲ καὶ ὁ ὑπέρλαμπρος υἱωνὸς τοῦ Ἴνδρα κατὰ
» τοῦ Δρόνα, ὄντος μετὰ πολλῶν ἰσχυρῶν Μαχαρατῶν,

---

1. Δηλονότι καὶ ἐκείνους ἀνελεῖν βούλονται.

» καὶ ἐποίησεν αὐτοὺς τρέψαι τὰ νῶτα ἐκ τῶν δεινῶν ὀϊστῶν,
» οἳ δάκνοντες ἀνήρουν, ὡς δεινοὶ ὀδόντες τοῦ Ἰάμα.

62. « Ἀφέντες δὲ τὸ κατ' ὄψιν τούτου τοῦ θυμωμένου, ὡς παι-
» δὸς ὄφεως, καὶ ἐλθόντες εἰς τὰ πλάγια οἱ ἐχθροὶ, ὁ
» μὲν Κριταβάρμας εἰς λεπτὰ ἐποίησε τὸ ἅρμα αὐτοῦ, ὁ
» δὲ Κριπᾶς τὸν ἡνίοχον, ὁ δὲ Καρνᾶς τὸ τόξον.

63. « Φέρων δὲ ὁ Ἀβημανιοῦς τῇ μὲν ἀσπίδα χρυσῆν, τῇ
» δὲ ξίφος, καταῤῥήξας τὰς φάλαγγας τῶν ἐχθρῶν ἐφέ-
» ρετο τῇ δε κἀκεῖσε, καὶ ἐφαίνετο ὡς τὸ ὄρος ἡ Μερόη [1],
» τὸ ἔχον ἐν μὲν τῷ ἑτέρῳ πλαγίῳ τὴν ἡμέραν, ἐν δὲ
» θατέρῳ τὴν νύκτα.

64. « Ἀνεπήδα δὲ καὶ κατεπήδα τῇ δε κἀκεῖσε, ὡς κεραυνο-
» φόρος ἀστραπὴ, καταιθαλῶν τὰ πλήθη τῶν ἐχθρῶν,
» ὡς δένδρα, καὶ καταῤῥηγνύων τοὺς ἐλέφαντας, ὡς ὄρη.

65. « Ἀναπηδῶν οὖν πρὸς τοὺς ἐν αἰθέρι θεοὺς, καὶ κατα-
» πηδῶν πρὸς τοὺς ἐπὶ γῆς στρατοὺς καὶ κατακλίνων
» τὴν γῆν τοῖς τῶν ποδῶν πατήμασι, φόβον παρεῖχε καὶ
» τοῖς ὑπὸ γῆν ὄφεσιν [2]

66. « Ἐπειδὴ δὲ ἐγέλασαν αἱ Κοῦμβαι τῶν ἐλεφάντων, καί
» τοι ἐπλήγησαν τῇ ὀξείᾳ ῥομφαίᾳ τούτου, ἐξ ὧν πρου-
» φάνησαν μαργαρίται, ὡς ὀδόντες, καὶ λευκαὶ ἐγένοντο,
» διὰ τοῦτο ἀγάλλονται, τεθεῖσαι ἐν τῷ στήθει τῶν
» θεαινῶν [3].

---

1. Μυθολογοῦσιν, ὡς τοῦτο τὸ ὄρος ἐν μέσῳ κεῖται τῆς γῆς, ὅπερ περιέρχεται ὁ Ἥλιος· καὶ ὅπου μέν ἐστιν ὁ Ἥλιος, ἐκεῖ ἡμέρα ἐστίν· ὅπου δ' οὐκ ἔστιν, ἐκεῖ νύξ. Ὁ μὲν λαμπρὸς Ἥλιος, ὁ ποιῶν τὴν ἡμέραν, στρογγύλος ἐστὶ καὶ περιφερὴς, ὡς καὶ ἡ χρυσῆ ἀσπίς· ἡ δὲ μέλαινα νὺξ, ἡ ῥομφαία ἐστί· μέλας γὰρ καὶ ὁ σίδηρος.

2. Οὐ μόνον φόβον παρεῖχε τοῖς θεοῖς καὶ τοῖς στρατοῖς, ἀλλὰ καὶ τοῖς ὑπὸ γῆν ὄφεσι.

3. Καθὼς ὁ πολεμῶν γενναίως καὶ θνήσκων περιχαρῶς, λευκὸς γί-

67. « Ἐπεὶ δὲ τὸ ξίφος αὐτοῦ κατεάγη τοῖς βέλεσι τοῦ Δρό-
» να, φέρων τὸν τροχίσκον, ὡς ἄλλος Βισνοῦς, καὶ διαῤ-
» ῥηγνύων τὰ στίφη τῶν ἐχθρῶν, οἳ ἦσαν φύσεις δαιμό-
» νων, ὑμνεῖτο ὑπὸ τῶν θεῶν.

68. « Διατμηθέντος δὲ καὶ τοῦ τροχίσκου εἰς λεπτὰ, δίκην
» σησάμου τοῖς ὅπλοις τῶν πολεμίων, ἐωρᾶτο οὗτος
» ὑπ' αὐτῶν, ταραττομένων καὶ ἐκπνεόντων ἐκ φόβου,
» φέρων κορύνην, ὡς Βισνοῦς.

69. « Ἀνατρέψας δὲ τὸ ἅρμα τοῦ βασιλέως τῆς Κεκαΐας,
» ἀνεῖλε τὸν νεώτερον ἀδελφὸν τοῦ Σακουνῆ, Καλασέναν,
» καὶ ἑβδομήκοντα ἑπτὰ υἱοὺς αὐτοῦ, καὶ δέκα βασιλεῖς
» ἐκ γένους Βραχμαβασάτη [2].

70. « Ἀγανακτήσας δ' ὁ υἱὸς τοῦ Δουσσασάνα ἐπὶ τῇ συν-
» τριβῇ τοῦ ἅρματος ἑαυτοῦ [3], ἔχων κορύνην, ἐπέδραμε
» κατὰ τοῦ Ἀβημανιοῦ, ὃς ἐψύχρανε τὸ θερμὸν τῶν ἐχ-
» θρῶν διὰ τοῦ αἵματος πολλῶν ἐλεφάντων, τῶν συνθλα-
» σθέντων τῇ κορύνῃ αὐτοῦ.

νεται, καθαρὸς δηλ. ἁμαρτιῶν, ὡς κηλίδων, καὶ ἀξιοῦται θείας στάσεως, οὕτω καὶ αἱ κούμβαι τῶν ἐλεφάντων· ἐπειδὴ, καί περ πληγεῖσαι τῇ ῥομφαίᾳ τοῦ Ἀβημανιοῦ, ἐγέλασαν, τουτέστιν ἐγανώθησαν διὰ τῶν ἀναφανέντων μαργαριτῶν, (οἱ δὲ λευκοὶ μαργαρίται, ὡς ὀδόντες· ὁ γὰρ γελῶν προφαίνει τοὺς ὀδόντας) καὶ λευκαὶ ἐγένοντο, διὰ τοῦτο καὶ ἠξιώθησαν θείας στάσεως, ἐτέθησαν δηλονότι ἐν τῷ στήθει τῶν θεαινῶν, καὶ ἐγένοντο μαστοὶ αὐτῶν. Κούμβαι λέγονται δύω ὀστώδη οἰδήματα στρογγυλοειδῆ ἐν ἑκατέρῳ μέρει τοῦ μετώπου τοῦ ἐλέφαντος, ἃ καὶ συγκρίνονται, κατὰ τὴν φαντασίαν τῶν ποιητῶν, τοῖς γυναικείοις μαστοῖς. Καὶ τοῦτο δὲ ποιητικὴ φαντασία, ὅτι ἐν τῇ κεφαλῇ τοῦ ἐλέφαντος ἐξαίρετοί εἰσι μαργαρίται. Δηλ. οἱ μαστοὶ τῶν θεαινῶν, αἱ Κοῦμβαί εἰσι τῶν ἐλεφάντων.

2. Γένος Ξατρῶν.

3. Καὶ τούτου τὸ ἅρμα διέῤῥηξε.

71. « Λαμπρύνοντες δ' οὗτοι ἀμφότεροι τὸν αἰθέρα τοῖς
» σπινθῆρσιν ἐκ τῶν συναρασσομένων ἀλλήλαις κορυνῶν,
» ὡς σπινθῆρες τοῦ πυρὸς τῆς ἑαυτῶν ἀνδρείας, καὶ ὡς
» πυγολαμπίσιν ἐν σκότει, ἐν τῇ ἐκ τῶν ποδῶν αὐτῶν
72 » κόνει, καὶ διὰ πολλοῦ περιφερόμενοι ἐν τῷ σταδίῳ τοῦ
» πολέμου, ὡς δίναι ἐν τῷ ὕδατι τοῦ Ὠκεανοῦ, ἔπεσον ἐν
» ταὐτῷ κατὰ γῆς ἐκ τῶν πρὸς ἀλλήλους πληγῶν, ὡς
» αἱ βολαὶ τῶν ὀφθαλμῶν τῶν νεογάμων.

73. « Τὸν μὲν οὖν Ἀβιμανιοῦν πεσόντα, ἀνεῖλεν ἡ σκληρο-
» κάρδιος στρατιὰ τῶν Καουραβῶν πληγαῖς ὀξέων ὅπλων,
» καθὼς ἡ μοιχαλὶς καὶ ἄστοργος γυνὴ τὸν ἑαυτῆς ἄνδρα,
» κοιμώμενον ἡδέως.

74. « Ὁ δὲ υἱὸς τοῦ Δουσσασάνα, ἀναστὰς, ἔπληττε τῇ κο-
» ρύνῃ τὴν κεφαλὴν τοῦ Ἀβημανιοῦ, βλασφημῶν· καὶ
» ἐκ μὲν τοῦ σώματος αὐτοῦ ἔῤῥεεν αἷμα ποταμηδόν· ἐκ
» δὲ τῶν ὀφθαλμῶν τῶν θεαινῶν, δάκρυα.

75. « Φωνὴ δ' ἐξ οὐρανοῦ ἐγένετο, λέγουσα· « Παῖς ἀνῃρέθη
« ὑπ' ἀνδρῶν, εἷς ὑπὸ πολλῶν, πολεμῶν ὡς Ξατρὴς,
« ὑπὸ μὴ πολεμούντων δίκην Ξατρῶν, ὧν ἄνευ ἅρματος,
« ὑπ' ἐχόντων ἅρματα! »

76. « Τότε ἀλαλαγμὸς μέγας ἤρθη καὶ βοὴ ὑφ' ἑκάστου τῶν
» Μαχαρατῶν τῶν Καουραβῶν, ὑφορωμένων αὐτὸν καὶ
» φοβουμένων, μήπου πάλιν ἀνασταίη.

77. « Τῶν μὲν οὖν Πανδοϊδῶν καταδιωκομένων ὑπὸ πολλῶν
» ἐπιδραμόντων ἡρώων τῶν Καουραβῶν, τοῦ δὲ λαμπροῦ
» Ἀβημανιοῦ πεσόντος, ὁ Ἥλιος ἐπορεύθη ἐπὶ τὸν Ὠκεα-
» νὸν [1], ὡς ἐπὶ προσφορᾷ ὕδατος [2].

78. « Παύσαντος μὲν οὖν τοῦ πολέμου, ὁ τῶν ἐχθρῶν ὀλέ-

---

1. Νὺξ ἐγένετο.

2. Τῷ γὰρ νεκρῷ χοὰς ὕδατος διδόασι.

» τωρ Ἀρζούνας ἐπέστη τῷ στρατῷ [1], ὑποπτεύων ἐκ
» δυσθυμίας (ἀθυμίας) ὄλεθρον ἀγαπητοῦ [2].

79. « Ἰδὼν δὲ τοὺς τέσσαρας ἀδελφοὺς τεθλιμμένους, ἔφη·
« Μέχρι τοῦδε ὁ υἱός μου οὐχ ἥψατο τῶν ποδῶν μου·
« μήπως δόλῳ ἀνῃρέθη πρὸς τῶν ἐχθρῶν; εἰσελθὼν γὰρ
« αὐτὸς σήμερον εἰς τὴν κυκλικὴν φάλαγγα τῶν πολε-
« μίων, ἀτεπιτήδειος ἦν πάντως ἐξελθεῖν. »

80. « Ἀκουσθέντος δὲ τοῦ θανάτου τοῦ υἱοῦ, ἔφη τῷ Ἀρζούνᾳ
» ὁ Κρισνᾶς, λειποθυμοῦντι· « Μὴ λυποῦ τὸν ἥρωα, τὸν
« λαμπρῶς ἀνδραγαθήσαντα, καὶ θεὸν γενόμενον. »

81. « Ἐλθὼν δ' εἰς ἑαυτὸν ὁ Ἀρζούνας, ἀναστὰς, ἔφη· « Ἆρα
« ὄψομαι τὸ πρόσωπόν σου πάλιν, ὦ υἱέ, ὡς πολύτιμον
« λίθον ἐν ὕπνῳ [3];

82. « Οὐ διεφυλάχθης τότε ὑπὸ τούτων τῶν περὶ τὸν Βή-
« μαν, καὶ περ ὅπλα δεινὰ ἐχόντων· ἀλλὰ πῶς ἂν κρα-
« τηθείη ὑπ' ἐλεφάντων ἐλέφας μέγας, πίπτων ἐκ κορυ-
« φῆς ὄρους [4];

83. « Ὁ πρὸς μητρὸς θεῖός σου, ὦ γενναῖε, οὐκ ἐπεκλήθη
« τότε ὑπὸ σοῦ· διὰ τοῦτο καὶ οὐ διεφυλάχθης ὑπὸ τού-
« του, ὅς ἐστι κραταιὸς, Κύριος, καὶ πανταχοῦ πάρεστι.

84. « Ὦ υἱέ, ποῖ ἐπορεύθης; ἐλθέ, καὶ περίπτυξαί με σφο-
« δρῶς. » « Ταῦτα λέγων, ἔπεσε κατὰ γῆς, καὶ εἰς αἴσθη-
» σιν ἐλθὼν, πάλιν ἀνέστη.

85. « Ἀκούσας δ' ὁ Ἀρζούνας, ὅτι οἱ Μαχαράται, οἱ ἐξορ-

---

1. Οὐ γὰρ παρῆν, ἀλλ' ἀλλαχοῦ ἦν πολεμῶν.

2. Ἡ δυσθυμία, ἣν εἶχε, κακὸν σημεῖον ἐνομίζετο.

3. Καθὼς ἐν ὕπνῳ βλέπει τις πολύτιμον λίθον, ἐξεγειρόμενος δὲ οὐδὲν βλέπει· δηλ. οὐκ ὄψομαι.

4. Πῶς ἠδύναντο δηλ. διαφυλάξαισε, ὃς ἔπεσες, ὡς μεμηνὼς ἐλέφας, εἰς τὸ βάθος πολεμίων φαλάγγων;

» μήσαντες εἰς βοήθειαν τοῦ Ἀβημανιοῦ [1], τοῦ φοβεροῦ
» ἐν πολέμῳ, ἐκωλύθησαν ὑπὸ τοῦ Ζαϊατράτα [2], ἔλεξε
» θυμῷ·

86. « Εἰ μὴ ἀνέλοιμι αὔριον πρὶν τῆς δύσεως τοῦ Ἡλίου τὸν
« βασιλέα τῆς Σινδοῦς Ζαϊατράταν, καίπερ φυλαττόμενον
« ὑπὸ τοῦ Σίβα, χρανθείην ἂν ἁμαρτίαις ἁμαρτωλῶν με-
« γάλων, καὶ ἐμβαίην ἂν πυρὶ καιομένῳ. »

87. « Τοιαύτην γνώμην ἐσχηκὼς ὁ ἥρως, ἐποίησεν ἦχον μετὰ
» τοῦ Κρισνᾶ διὰ τῆς κόγχου, ὃν λαβὼν καὶ ὁ Σίβας διὰ
» τῶν ὤτων, ἐναπεταμίευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ, ὡς ὄρ-
» γανον ἐσόμενον τῆς συντελείας τοῦ αἰῶνος.

88. « Ἐκ δὲ τοιαύτης γνώμης καὶ ἀπειλῆς τοῦ Ἀρζούνα ὁ
» Ζαϊατράτας ἔτρεμεν, ὥσπερ ἐκ χιόνος· ὃς καὶ ἦλθη ὑπὸ
» τοῦ Δουριοδάνα πρὸς τὸν Δρόναν εἰς διαφύλαξιν.

89. « Τότε ἡ Σουβαδρὰ, κλαίουσα καὶ ἐλεεινολογοῦσα ἐπὶ λύπῃ
» τοιούτου υἱοῦ, ἀκούσασα παρὰ τοῦ Κρισνᾶ τὴν δόξαν
» τῶν ἀποιχομένων ἐν πολέμῳ, καὶ παρηγορηθεῖσα, ἔφη·

90. « Λάβοις, ὦ υἱὲ τὴν ἔνδοξον στάσιν ἐκείνων, οἵ εἰσιν εὔ-
» σπλαγχνοι, εἰδήμονες τοῦ θείου, ἐλευθέριοι, ἀληθοεπεῖς,
» εὐγνώμονες, δίκαιοι, καὶ οἵτινες ἄλλοι, ἄλλην τινα
» ἔχοντες ἀρετήν. »

91. « Ὁ δὲ ὑπέρθυμος καὶ ἀγαθοεργὸς Ἀρζούνας, τῇ προ-
» τροπῇ τοῦ Κρισνᾶ, ἐκοιμήθη μετ' αὐτοῦ μετὰ πολὺ
« ἐπὶ κλίνης καλῆς, φροντίζων νίκης· ἐν δ' ὕπνῳ ἐπορεύθη
» εἰς τὴν κορυφὴν τοῦ ὄρους τοῦ Σίβα [3], ὃν καὶ προσεκύ-
» νησεν.

---

1. Ὡς ἔφη πρότερον, ὅτι ὁ Ἰουδιστίρας ἐξαπέστειλεν ἁρματηλάτας εἰς βοήθειαν τοῦ Ἀβημανιοῦ.

2. Γαμβρὸς ἦν τοῦ Δρυταράστρα.

3. Ὅ ἐστιν ὁ Καϊλάσας.

92. « Ἐνώσας δὲ τὰς παλάμας, ὕμνησεν εὐθύμως αὐτὸς ὁ » φίλος τοῦ Κρισνᾶ αὐτὸν τὸν θεὸν Σίβαν, τὸν ἀγαθο- » δότην καὶ στέφανον τῶν τριῶν κόσμων·

93. « Προσκύνησις ἔστω τῷ Σίβᾳ, τῷ Ῥούδρᾳ, τῷ μεγάλῳ « ἡγεμόνι, τῷ κρανιοφόρῳ, τῷ γνωστικῷ, τῷ κτηνάρχῃ [1], « τῷ κόσμῳ, καὶ τῷ τοῦ κόσμου ὀλέτορι.

94. « Προσκύνησις σοὶ τῷ δίδοντι πᾶν ἐφετὸν, τῷ μηδενὶ « ἐφιεμένῳ, τῷ νομοδότῃ, τῷ τὴν θυσίαν ἀνατρέψαντι, καὶ « ἐπὶ μὲν τοῦ μετώπου ἔχοντι τὴν Σελήνην, ἐπὶ δὲ τοῦ « λαιμοῦ τὸν ἰόν. »

95. « Οὑτωσὶ ὑμνηθεὶς ὁ θεὸς Σίβας, ἔδειξεν αὐτῷ τῷ Ἀρ- » ζούνα τὸ ἑαυτοῦ σῶμα, μεγάλοις ὄφεσι περιπεπλεγμέ- » νον, τό, τε τόξον, καὶ τὴν τοξικὴν ἐπιστήμην.

96. « Λαβὼν δὲ παρὰ τοῦ μεγάλου ἡγεμόνος τὸ θαυμαστὸν » βέλος, τὸ θηρεοβόλον, ὃ καὶ πρότερον ἔλαβεν, καὶ ἐπω- » δὴν ἀδελφὴν νίκης [2], ἐξηγέρθη εὐθέως, τυχὼν ὧν ἤθελε.

97. « Γνοὺς δ' ἐκ τούτου εὐκατόρθωτον τὸν κατὰ τῶν πο- » λεμίων βασιλέων ἆθλον, τὴν ἀναίρεσιν δηλονότι αὐτῶν, » ὡς ἐπηγγείλατο, πλήρεις χαρᾶς μεγάλης περὶ τὴν ἕω » ἐποίησε τὸν Ἰουδιστίραν καὶ τὸν Κρισνᾶν, διηγησάμενος » αὐτοῖς τὰ καθ' ὕπνον.»

Τέλος τοῦ Δευτέρου Κεφαλαίου,
τοῦ Ἑβδόμου Βιβλίου
τῆς
Βαλαβαράτας.

---

1. Τῷ Κυρίῳ παντὸς ἐμψύχου.
2. Νικητικὴν δηλ.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ,

ὃ διαλαμβάνει τὸν θάνατον τοῦ Ζαϊατράτα ἐν τῇ τετάρτῃ ἡμέρᾳ τοῦ πολέμου τοῦ Ἀρχιστρατήγου Δρόνα.

1. Ὁ Χαρὴς [1], ὁ ἀσκούμενος ἐν τῷ σώματι τοῦ Βεάσα, ὥςπερ βουλόμενος ἐξαλεῖψαι τὸ στίγμα, τὸ γεγονὸς ἐκ τῆς μετὰ δόλου ἀναιρέσεως τῶν ἐχθρῶν, διαφυλαττέτω ὑμᾶς.
2. « Ἐκτελέσαντες δὲ τὰ πρακτέα οἱ πολεμικοὶ περὶ τὴν » ἀρχὴν τῆς ἡμέρας, ἐξῆλθον λαμπροὶ, ὡς ὁ Ἴνδρας, σῶ- » μα ἔχοντες χαρμόσυνον καὶ πρόθυμον εἰς μάχην.
3. « Ὁ δὲ Δρόνας εἰς σχῆμα ἁμάξης ἀδιάῤῥηκτον ἔταξε τοὺς « ἥρωας, τοὺς μὴ ὑπνώσαντας ἐν νυκτὶ ἐκ φόβου τοῦ Ἀρ- » ζούνα, καὶ διὰ τοῦτο ῥαθυμοῦντας.
4. « Μέσον δὲ ταύτης τῆς ἁμαξοειδοῦς φάλαγγος, φάλαγ- » γα ἑτέραν ἐποίησεν εἰς σχῆμα λωτοῦ, ἔχουσαν ἀντὶ μὲν » φύλλων τοὺς πεζοὺς, ἀντὶ δὲ γνοὸς τοὺς βασιλεῖς, ἀντὶ » δὲ ὀμφαλοῦ τοῦ λωτοῦ [2], τὰ ἅρματα, τοὺς ἵππους, καὶ » τοὺς ἐλέφαντας.
5. « Ταύτης δὲ τῆς λωτοειδοῦς φάλαγγος μέσον ἔταξεν εἰς » σχῆμα βελόνης τοὺς περὶ τὸν Κριταβάρμαν· ἀντὶ δὲ » ῥάματος τῆς βελόνης [3] ἔθετο τὸν Ζαϊατράταν, περιε- » πόμενον ἥρωσιν.
6. « Αὐτὸς δὲ ὁ Δρόνας ἔστη εἰς τὸ μέτωπον τῆς θαυμαστῆς

---

1. Χαρὴς λέγεται ὁ Βισνοῦς.
2. Λέγεται τὸ μέσον τοῦ λωτοῦ, ἔνθα σπόροι εἰσὶν, ὡς βάλανοι.
3. Δηλ. ὄπισθεν τῆς βελόνης.

» ταύτης ἁμάξης, ὥςε διακόψαι τὴν πτέρυγα τοῦ ἐχθροῦ [1], » καὶ τὸν Ζαϊατράταν διασῶσαι.

7. « Ἀναφανεὶς δ' ἐν ταὐτῷ πρὸ τοῦ στρατοῦ ὁ Ἀρζούνας, » ὢν ἐφ' ἅρματος λιθοκολλήτου [2], σῶμα ἔχων φοβερὸν, » καὶ μέλας ὢν, ὡς νέφος, ἐφαίνετο ὑπὸ πάντων, ὡς » Ἰάμας [3], ὢν ἐν τῷ κόλπῳ τοῦ Ἡλίου.

8. « Τηνικαῦτα κόγχοι ἐνεπνεύσθησαν ὑπὸ τοῦ Ἀρζούνα καὶ » Κρισνᾶ, φοβερὸν ἦχον ἐκπέμποντες, ὅλεθρόν τε τοῖς » ἐχθροῖς παρέχοντες, καὶ ἐκ τῆς ἀνταναπλάσεως τῶν » κυανοχρόων ἐκείνων σωμάτων ἐρίζοντές πως τῷ λαιμῷ » τοῦ κυανολαίμου [4] Σίβα, τοῦ θυμουμένου ἐν τῇ φθορᾷ » τοῦ παντός.

9. « Ἀνθώρμησαν μὲν οὖν οἱ μάχιμοι ἑκατέρωθεν, θαρσα- » λέοι (εὔτολμοι) ὄντες· ὑπὸ δὲ τῶν τόξων κωκυτὸς ἐγί- » νετο [5], ὅς ἐστιν ἡ κλαγγὴ τῆς χορδῆς, μὴ ἀνεχομένων » τῆς δρακὸς τῶν ἡρώων.

10. « Οἱ δὲ ἁρματηλάται, ἐνθουσιῶντες, συνεπλάκησαν ἐν » ῥοπῇ ὀφθαλμοῦ, διὰ τῆς ταχείας φορᾶς τῶν ἁρματίων » τροχῶν, κυλιομένων, καὶ πάταγον, ὡς θρῆνον, ἀποτε- » λούντων, ὡς μὴ δυναμένων τρέχειν ὁμοίως τοῖς τα- » χέσιν ἵπποις, καὶ διὰ τοῦτο βίᾳ ἑλκομένων [6].

---

1. Τουτέστι τὴν δύναμιν τοῦ ἐχθροῦ.

2. Τὸ λιθοκόλλητον λαμπρὸν ἅρμα ἦν ὡς Ἥλιος· ὁ δὲ δίφρος τοῦ ἅρματος, ὡς τοῦ Ἡλίου κόλπος, τουτέστιν ἀγκάλη· ὁ δὲ Ἰάμας υἱός ἐστι τοῦ Ἡλίου.

3. Ὡς ὁ Ἰάμας ἐστὶν ἐν τῇ τοῦ πατρὸς Ἡλίου ἀγκάλῃ.

4. Ὁ γὰρ καλλὸς λαιμὸς παραβάλλεται κόγχῳ.

5. Οἱ τοξόται ἀπριξ εἴχοντο τῆς λαβῆς τῶν τόξων, καὶ διὰ τοῦτο ἐκώκυον, ὥς περ εἰ ἐπιέζοντο τὰ τόξα.

6. Ὡς ὁ δεινὰ πάσχων κυλίεται κατὰ γῆς καὶ θρηνεῖ, καὶ διὰ τοῦτο βίᾳ σύρεται.

11. « Τοσαύτη δὲ τότε πυκνὴ βολὴ ὅπλων ἐγίνετο ταχέως
» καὶ προθύμως ὑπὸ τῶν ἀμυνομένων μαχίμων ἐν τῷ
» ταραττομένῳ σταδίῳ τοῦ πολέμου, ὥστε καὶ τὸν Ἰά-
» μαν αὐτὸν μὴ δύνασθαι ἐμβαλεῖν τὴν χεῖρα αὐτοῦ ἐν
» αὐτοῖς [1].

12. « Κύματα δὲ τοῦ ποταμηδὸν ῥέοντος αἵματος ἐφέροντο
» ἐπὶ τῶν κουμβῶν τῶν ἐλεφάντων, εἰς τὸ ἐντυπῶσαί
» πως ἐν αὐταῖς βαφὴν [2], ἥπερ ἐξεπλύνετο πολλῷ ὑ-
» δρῶτι τῶν ἀναβατῶν, τῷ ἐκ τοῦ καμάτου μεγάλου πο-
» λέμου.

13. « Ὁ δ' Ἀρζούνας, σιτίζων τὸν Ἰάμαν πληθὶ ψυχῶν
» βασιλέων, ὥσπερ ὀρύζῃ [3], κεκαθαρμένῃ τοῦ ἀχρήστου
» φλοιοῦ τῷ ἀέρι τῆς χορδῆς, καὶ ἐψημένῃ τῇ φλογὶ
» τῶν ὅπλων [4].

14. « Ἔτρεχε κατὰ τοῦ Δρόνα, διαβαίνων ταχέως τὴν γῆν,
» καί περ ἀνώμαλον οὖσαν ἐκ τῶν πεπτωκότων σωμάτων
» τῶν ἐλεφάντων.

15. « Ἰδὼν οὖν τὸν Δρόναν προσεκύνησεν αὐτὸν, τιμήσας· καὶ
» κατακαλύψας τὸν ζυγὸν τοῦ ἅρματος αὐτοῦ βέλεσιν,
» ἀφεὶς τὸ πρόσω, παρεκδραμὼν αὐτὸν ἐκ τοῦ δεξιοῦ,
» εἰσέδυ ταχέως τὴν φάλαγγα.

16. « Εἰσέδυσαν δὲ μετ' αὐτοῦ ὅ,τε Ἰνδαμανιοῦς καὶ ὁ Οὐτ-
» ταμαουζούσας, οἱ φύλακες τῶν πλαγίων τοῦ ἅρματος

---

1 Ἐκόπτετο ἄν, εἰ ἐμβαλεῖν αὐτοῖς τὴν χεῖρα αὐτοῦ ἠβούλετο, τοσοῦτον πυκνὰ ἔπιπτον τὰ βέλη καὶ τὰ ξίφη!

2. Βάφουσι τὰς κούμβας κινναβάρει.

3. Πρῶτον μὲν κόπτουσι τὴν ὄρυζαν ἐν ὅλμῳ, εἶτα δὲ καθαίρουσιν αὐτὴν τοῦ κεκομμένου φλοιοῦ, ὡς ἀχρήστου. Τὸ σῶμά ἐστιν ὡς ὁ ἄχρηστος φλοιός.

4. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· κατὰ γὰρ λέγεται τὸ ὅπλον καὶ ἡ φλόξ.

» τοῦ Ἀρζούνα, ὄντες ὡς δύω ἀγλαοὶ ὀφθαλμοὶ τῆς ἀν-
» δρείας.

17. « Τότε ὁ υἱὸς τοῦ Ἴνδρα κατέβαλλε βέλεσιν, ὡς σκη-
» πτοῖς, τοὺς ἐλέφαντας, ὡς λόφους, τοὺς ἔχοντας ση-
» μαίας σαλευομένας, ὡς δένδρα.

18. « Φωνὴ δ' ἐγίνετο ἐνταῦθα τῶν βασιλέων τοιαύτη·
« Ληφθήτω οὗτος! ἀναιρεθήτω! Τίς τοῦτον κρατήσει; τίς
« τοῦτον ἀνάιρήσει; ὤ! ἡμεῖς ἀναιρούμεθα [1]! »

19. « Ὁ δὲ πάταγος τοῦ ἅρματος τούτου, ὁ γινόμενος ἐκ
» τῆς κοπτομένης γῆς ὑπὸ τῶν τροχῶν, διερρήγνυεν, ὡς
» γῆν, τότε τὴν καρδίαν τοῦ βασιλέως Ζαϊατράτα.

20. « Ἀποδείξας δὲ μέλαν, ὡς καπνὸν [2], τὸ πρόσωπον τῶν
» περὶ τὸν Κριταβάρμαν, ἐπιδραμόντων, κατεπυρπόλησεν,
» ὡς ὕλην, τὴν ἵλην [3] τοῦ βασιλέως τῆς Καμβόζας.

21. « Καταβαλὼν δὲ διὰ τῆς Βραχμάστρας [4] τὴν Βραχμά-
» στραν, τὴν ἀφεθεῖσαν ὑπὸ τοῦ Δρόνα, ἐπερχομένου,
» ἐγένετο Ἰάμας [5] τῷ στρατῷ τοῦ βασιλέως Βόζα.

22. Ὁ δὲ Σρουταϊούδας (Ὁπλοθρύλλητος), ὁ υἱὸς τοῦ ὑδρο-
» μέδοντος Βαρούνα, ὁ γεννηθεὶς ἐκ τοῦ ποταμοῦ, Βαρ-
» νασσᾶς, ἀπέδειξε τοῖς βέλεσι τοὺς μέλανας τούτους,
» τὸν Κρισνᾶν καὶ τὸν Ἀρζούναν, ὡς νέφη βαλλόμενα
» ταῖς ἀκτῖσι τοῦ Ἡλίου.

23. « Αὐτὸς, οὗ τὸ ἅρμα καὶ πάντα τὰ ὅπλα συνετρίβη
» τοῖς βέλεσι τοῦ Ἀρζούνα, ἐφαίνετο, ὡς Σελήνη ἐστε-

---

1. Ἄλλος μὲν ἔλεγε τοῦτο, ἄλλος δ' ἐκεῖνο.

2. Καταιθαλώσας, τουτέστι καταισχύνας, νικήσας. Ἐν ἄψει πυρὸς πρῶτον καπνὸς ἀναδίδοται, εἶτα φλὸξ τοῦ πυρός.

3. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

4. Βραχμάστρα, θεῖον ὅπλον, ὅπερ ἀδιάρρηκτόν ἐστι ἄλλῳ ὅπλῳ.

5. Θάνατος δηλ.

» ρημένη ἀκτίνων ἐκ τῶν ἀκτινοβολιῶν τοῦ Ἡλίου.

24. « Ἥψατο δὲ τότε τῆς κορύνης, ἣν ἔδωκε πάλαι ὁ πα-
» τὴρ αὐτοῦ Βαρούνας, εἰπὼν αὐτῷ· « Αὕτη ῥιπτομένη
« κατὰ τοῦ μὴ πολεμοῦντος, ἀναιρεῖ τὸν ῥίπτοντα. »

25. « Εἰπόντος δὲ τοῦ Κρισνᾶ, « Ὦ δειλὲ καὶ μωρὲ, ἄφες
« τὴν ὁδόν· τί ἦλθες ἐνθάδε; » ἔῤῥιψεν ἐκεῖνος ἐκείνην
» τὴν κορύνην θυμῷ [1].

26. « Ἡ δὲ κορύνη, περιπτυξαμένη τὸν Κρισνᾶν, καὶ ἐπι-
» στραφεῖσα εὐθέως, ἀνεῖλε τὸν Σρουταϊούδαν, καθὼς ἡ
» γυνὴ τὸν οἰκεῖον ἄνδρα, ἐπιθυμοῦσα περιπτύξασθαι
» ἄλλον [2].

27. « Ἐπέστη τοίνυν μετὰ θυμοῦ ὁ Ἀρζούνας ἐπὶ τὸν Ζαϊα-
» τράταν τῇ ἀναπεπταμένῃ σημαίᾳ, ὡς ἱστίῳ [3] ἐκ τοῦ
» ὄπισθεν πνέοντος ἀνέμου, καὶ τῇ τῶν ἵππων ταχυτῆτι.

28. « Τὸν δὲ Σουδαξινᾶν, τὸν λαμπρὸν βασιλέα τῆς Καμ-
» βόζας, τὸν ποιήσαντα πόλεμον θαυμαστὸν, ἀπέπεμ-
» ψεν εἰς τὸν οἶκον τοῦ Ἰάμα.

29. « Ἐπελθόντες δ' οἱ βασιλεῖς, ὁ Ἀσιουταϊοῦς, καὶ ὁ
» Σρουταϊοῦς, ὀλιγοθυμῆσαι ἐποίησαν τὸν Ἀρζούναν τοῖς
» δόρασι [4] καὶ τοῖς βέλεσι.

30. « Τῇ δὲ βολῇ τοῦ πυροβόλου ὅπλου [5] τοῦ Ἴνδρα ἀνη-
» ρέθησαν, ἐπαλαλάζοντες μετὰ τῶν ἀκολούθων ἀδελ-
» φῶν ἑαυτῶν ὑπὸ τοῦ Ἀρζούνα, ἀναλαβόντος ἑαυτὸν ἐκ
» τῆς λειποθυμίας.

31. « Ἐκ δὲ τοῦ πολλοῦ αἵματος τῶν στρατῶν Ἄγγας, Βάγ-

---

1. Κατὰ μὴ πολεμοῦντος ἔῤῥιψεν αὐτὴν, καὶ διὰ τοῦτο αὐτὴ ἀνεῖλεν αὐτὸν, κατὰ τὸν λόγον τοῦ πατρός.

2. Ὁ Κρισνᾶς ἤρεσεν αὐτῇ, καὶ διὰ τοῦτο αὐτὴ ἀνεῖλε τὸν κύριον.

3. Ὡς πλοῖον ἦν τὸ ἅρμα, ἡ δὲ σημαία ὡς ἱστίον.

4. Εἶδος ὅπλου.

5. Τοῦ κεραυνοῦ.

» γας, καὶ Καλλίγγας, καὶ ἐκ τῶν λιθοκολλήτων κο-
» σμημάτων τῶν πεπτωκότων ἡρώων, ὄγδοον ὠκεανὸν
» ἐποίησε [1].

32. « Πολλαὶ δὲ Ταμραπαρναὶ [2] ἐγένοντο ἐκ τῶν πολλῶν
» αἱμάτων καὶ μαργαριτῶν, τῶν ἐπιῤῥευσάντων ἐκ τῶν
» Κουμβῶν τῶν ἐλεφάντων τῇ νύξει τοῦ δόρατος αὐτοῦ.

33. « Ἐκ δὲ τῶν ϐελῶν αὐτοῦ ποταμὸς ἐγένετο αἱμάτων,
» φέρων σώματα νεκρά· ὃν ἰδόντες οἱ αἱμοχαρεῖς δαί-
» μονες, ἔπινον αἷμα χαίροντες.

34. « Δοὺς δὲ τῇ ἀγαπητῇ Νίκῃ [3] τὴν κεφαλὴν τοῦ ϐασιλέως
» τῆς Ἀμϐάστας, ἣν ἔλαϐεν ὡς ἔπαθλον τοῦ κατὰ τὸν
» πόλεμον ἀγῶνος, ἔσπευδεν εἰς τὸν κυρίως σκοπόν [4].

35. « Δραμὼν δ' ὁ Δουριοδάνας πρὸς τὸν Δρόναν, ἔφη· « Ὁ
« Ἀρζούνας, διελθὼν ἐκ τοῦ πλησίον σου, εἰσέδυ τὴν
« φάλαγγα, διότι ἀγαπητός σοι μαθητής ἐστι [5].

36. « Καὶ χθὲς μὲν τὴν νύκτα ὁ Ζαϊατράτας, ἀπελπιζόμενος,
« ἐπηλπίσθη ὑπὸ σοῦ, ἐπαγγελλομένου αὐτῷ σωτηρίαν·
« σήμερον δὲ ὁ Ἀρζούνας ἔλαθέ σε παρεισδύς. Τοῦτό σου
« τὸ ἔργον ἐναντίον ἐστὶ τῶν λόγων. »

37. « Πρὸς ὃν ἔφη ὁ Δρόνας· « Ὁ Ἀρζούνας εἰσέδυ τὴν φά-
« λαγγα, παρελάσας ἐμὲ τῷ ἅρματι, ἐλαυνομένῳ ῥύμῃ
« ὑπὸ τοῦ Κρισνᾶ.

38. « Εἰ δ' ἐγὼ παρηκολούθουν αὐτῷ, καὶ οὗτοι οἱ περὶ
« τὸν Βήμαν εἰσέδυον· σὺ μέντοι αὐτὸς πολέμει αὐτῷ,

---

1. Πηγὴ πολυτίμων πραγμάτων ὁ ὠκεανὸς λέγεται, καθὸ γεννᾷ καὶ μαργαρίτας καὶ κοράλλια.

2. Ταμραπαρνὴ, ὄνομα ποταμοῦ, ἐν ᾧ γεννῶνται μαργαρίται.

3. Ἡ νίκη ὡς γυνή.

4. Εἰς τὸν θάνατον τοῦ Ζαϊατράτα.

5. Δηλ. ἐκ τοῦ πλησίον σου διέϐη, καὶ σὺ οὐδὲν ἐμποδὼν αὐτῷ ἐγένου.

« ἔχων τὴν ἐμὴν ἐπῳδήν, ὡς ἀδαμάντινον θώρακα.»

39. «Τοιαῦτα εἰπόντος τοῦ Δρόνα, θωρακισθεὶς ὁ βασιλεὺς » ὑπ' αὐτοῦ τῇ ἀδαμαντίνῃ ἐπῳδῇ, τῇ ἐλθούσῃ κατὰ » τάξιν, παρὰ μὲν τοῦ Ῥούδρα πρὸς τὸν Ἴνδραν, παρὰ δὲ » τοῦ Ἴνδρα πρὸς τὸν Παρασουράμαν, παρὰ δὲ τούτου » πρὸς τὸν Δρόναν,

40. «Ἐπέστη δρομαίως ἐπὶ τὸν Ἀρζούναν μετὰ στίφους δει- » νῶν τοξοτῶν, πρὶν τοῦ ἐξελθεῖν τὴν ἀναπνοὴν ἐκ τοῦ » στόματος εἰς τὰ χείλη [1].

41. « Τότε ὁ Ἰάμας εἱστιᾶτο φιλοφρόνως καὶ κατὰ κόρον ὑπὸ » τῶν περὶ τὸν Δουριοδάναν καὶ Ἀρζούναν ἐν μάχῃ, ὡς » ἐν εὐωχίᾳ, ἐπὶ τοῦ μεταιχμίου, ὡς ἐπὶ τραπεζίου, εὐ-

42 » φραινόμενος τοῖς τῶν τόξων ἤχοις, ὡς ἄσμασι, καὶ » ριπιζόμενος τοῖς παλμοῖς τῶν μαχαιρῶν, ὡς ριπιδίοις » ἐκ πτερῶν ταώ.

43. «Πόλεμον δ' ἐποίουν πρὸς ἀλλήλους, οἱ μὲν ἐλεφαντο- » βάται πρὸς τοὺς ἐλεφαντοβάτας τοῖς βέλεσιν, οἱ δ' ἐλέ- » φαντες πρὸς τοὺς ἐλέφαντας τοῖς ὀδοῦσιν, οἱ δ' ἐλε- » φαντηλάται πρὸς τοὺς ἐλεφαντηλάτας τοῖς ἐλεφαντο- » πλήκτροις [2].

44. « Αἱ δὲ κάραι τῶν ἡρώων ἤλλοντο εἰς τὸν αἰθέρα, κο- » πτόμεναι ταῖς μαχαίραις, καὶ ἐγίνοντο εἰς εὐφροσύνην » τῶν θεωρούντων θεῶν, διασκεδάσασαι τὰ πτηνὰ [3] ταύ- » ταις ταῖς φωναῖς· «Παῖε! Παῖε!»

45. « Σῶμα ἀκέφαλον, δεξάμενον κεφαλὴν ἐλέφαντος, ἢ ἐκό-

---

1. Τὸ ταχὺ δηλοῖ.

2. Ἐλεφαντοκέντροις.

3. Τὰ πτηνὰ ἀνεχώρησαν, φοβηθέντα ἐκ τῶν φωνῶν, ἃς ἐξηρεύγοντο αἱ κάραι, καὶ διὰ τοῦτο οἱ θεοὶ ἐθεώρουν καλῶς, μηδενὸς ὄντος ἐμποδίου.

» πη ῥομφαίᾳ, καὶ ἀναπηδήσασα ἔστη ἐπὶ τοῦ κεκομμέ-
» νου λαιμοῦ (τῆς σφαγῆς), ἐφαίνετο ἐν τῷ χορῷ τοῦ πο-
» λέμου, καθὼς ὁ Γανέσσας ἐν τῷ χορῷ τοῦ Σίβα [1].

46. « Ἡ κεφαλὴ τοῦ ἐχθροῦ, ἡ κοπεῖσα τῷ ξίφει, ἐφήλλετο
» εἰς τὸν αἰθέρα, κεκοσμημένη ἐνωτίοις, φόβον ἐποίει
» τοῖς θεοῖς, νομιζομένη, ὡς φοβερὸς Ῥαχοῦς ἐστι, κα-
» ταλαβὼν ἐν ταὐτῷ καὶ τὸν Ἥλιον καὶ τὴν Σελή-
» νην [2].

47. « Ἡ κεφαλὴ τοῦ ἀγαπητοῦ ἀνδρὸς, ἡ ἔχουσα ἀγλαὸν καὶ
» καρδιόθελκτον πρόσωπον, κοπτομένη μαχαίρᾳ ἐν πο-
» λέμῳ, ἀνίστατο ὑψοῖ κατὰ πρῶτον, ἀναπηδῶσα εἰς
» τὸν αἰθέρα, εἰς τὸ ἀπατῆσαι τὴν οὐρανίαν νύμφην [3].

48. « Καί τις ἄριστος τῶν ταχυπόδων, ὑπερβὰς τῇ ταχυτῆτι
» τὸ βέλος, τὸ ἀφεθὲν ἐν ταὐτῷ ὑπὸ τοξότου ἐκ τοῦ
» οἰκείου μέρους, ἀνεῖλε τὸν ἐχθρὸν μαχαίρᾳ, πρὶν τοῦ
» ἥκειν τὸ βέλος.

49. « Ἕτερός τις ἐφαίνετο, ὡς Σίβας, φέρων ἐν μὲν τῇ χειρὶ,
» ὡς κλινόποδα, κεφαλὴν ἐχθροῦ, ἐμπεπηγμένην τῇ αἰχμῇ
» τῆς ῥομφαίας, ἐπὶ δὲ τῆς κεφαλῆς μίτραν, ὡς πλο-
» καμίδα [4], τὴν δὲ λάμψιν τῶν πολυτίμων λίθων τῆς
» μίτρας, ὡς Γαγγὰν, τὸ δὲ ἐπὶ τοῦ μετώπου τραῦμα
» ἡμισελήνου βέλους, ἐξελθόντος ὡς ἐξ ὠκεανοῦ, τοῦ πο-
» λέμου, ὡς τὸ ἥμισυ τῆς Σελήνης, τὸ ἐπὶ τοῦ μετώπου
» τοῦ Σίβα.

50. « Ἀσπίς τινος, χρυσότευκτος, κατατετρυπημένη βέλεσι
» κατὰ τὸ μέσον, καὶ πεπτωκυῖα, ἐδόκει ὡς ὁ λαμπρὸς

---

1. Ἐλεφαντοπρόσωπός ἐστιν ὁ Γανέσσας, ὅς ἐστιν υἱὸς τοῦ Σίβα.
2. Τὰ στρογγυλὰ ἐνώτια, ὡς ὁ Ἥλιος καὶ ἡ Σελήνη.
3. Δηλ. οὐκ ἐτύγχανε ταύτης ἡ θεὰ, ἀλλ' ἡ γυνὴ αὐτοῦ, πιπτούσης.
4. Ὡς καὶ ὁ Σίβας.

» ἐστιν Ἥλιος, πεσὼν κατὰ γῆς, ὡς θλιβεὶς τε καὶ διαῤ-
» ῥαγεὶς τῇ εἰσόδῳ τῶν ἀθρόον οἰχομένων ἡρώων.

51. « Ἄλλος, ἰδὼν ἔμπροσθεν τὸν ἑαυτοῦ ἀδελφὸν, φεύγοντα
» δειλίᾳ, ἀγανακτήσας, πρῶτον μὲν ἀνεῖλεν αὐτὸν ῥομ-
» φαίᾳ, μήπου στίγμα εἴη τῷ γένει [1], εἶτα τὸν ἐπιδιώ-
» κοντα ἐχθρόν.

52. « Ἄλλος, εἰς οὐδὲν λογισάμενος τὸν θρῆνον τῆς γυναι-
» κὸς αὐτοῦ, ἑλκύσας τὸ ἱμάτιον, κρατούμενον ὑπ' αὐ-
» τῆς, εἰσέπεσεν εἰς τὰς φάλαγγας τῶν ἐχθρῶν, πατῶν
» ἐπὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἀδελφοῦ, θανόντος.

53. « Ἄλλος, οὗ ἡ φαρέτρα ἐκενώθη, καὶ τὰ λοιπὰ ὅπλα
» κατεάγησαν, ἀνασπάσας ὀδόντα ἐλέφαντος ἐχθροῦ, ὥρ-
» μησε γενναίως εἰς μάχην, ὁρώμενος ὑπὸ τοῦ πολεμίου
» στρατοῦ μετὰ πολλοῦ θαύματος καὶ φόβου, ὡς ἄλλος
» Μουσσαλής [2].

54. « Τὰ πρόσωπα τῶν ἡρώων, τὰ ὄντα ὅμοια τῇ ἐντελεῖ
» Σελήνῃ, ἐῤῥίπτοντο εἰς τὸν αἰθέρα ὑπὸ τῶν ἡμισελήνων
» βελῶν τῶν ἐχθρῶν· τὸ γὰρ σκληρὸν κατὰ τὴν δύναμιν,
» εἰ καὶ ἀτελὲς, φθοροποιὸν σφόδρα γίνεται τοῦ ἐντελοῦς,
» ὃ ἁπαλόν ἐστιν.

55. « Οἱ ἥρωες, ὧν τὰ ὅπλα κατεάγησαν, πόλεμον ἐποίουν
» τετμημέναις καὶ πεπτωκυίαις κεφαλαῖς, ὡς πέτραις,
» πυγμαῖς, ὀδοῦσι, καὶ ὄνυξιν, ὡς οἱ ἥρωες ἐν τῷ πο-
» λέμῳ τοῦ Ῥάμα [3].

56. « Ἐνταῦθα ἐλαυνόμενον τὸ ἅρμα τοῦ Ἀρζούνα, ἐκωλύετο

---

1. Ὅτι δειλὸν ἔχει ἀδελφόν.

2. Μουσαλὴς λέγεται ὁ Βαλαδέβας, ὃς εἶχεν ἀνθ' ὅπλου δοίδυκα, δι' οὗ κόπτοντες καθαίρουσι τὴν ὄρυζαν· ὁ τοιοῦτος δὲ δοῖδυξ καλεῖται Μουσσάλα.

3. Οἱ Πίθηκες.

» τῆς εἰς τὰ πρόπω ὁδοῦ, οὐ τοσοῦτον τοῖς πολεμοῦσιν
» ἐχθροῖς, ὅσον τοῖς πεπτωκόσι σώμασιν.

57. « Ὑπερβαῖνον δ' ὅμως τῇ ταχυτῆτι περίπου μίαν Γα-
» βιουτὴν [1] τὰ βέλη, τὰ ἀφιέμενα ὑπὸ τοῦ Ἀρζούνα,
» θαῦμα παρεῖχε καὶ τῷ ἐπὶ τῆς σημαίας πιθήκῳ.

58. « Τοὺς δὲ βασιλεῖς τῆς Ἀβαντῆς, τὸν Βίνδαν καὶ Ἀνου-
» βίνδαν, τοὺς θλίβοντας τοῖς βέλεσι, κατέβαλεν ὁ Ἀρ-
» ζούνας εὐθέως, ὡς κηρία μελισσῶν [2].

59. « Εἰπὼν δ' ὁ Ἀρζούνας τῷ Κρισνᾷ· « Πότισον τοὺς πε-
« πονηκότας ἵππους, καὶ ἔξελε αὐτῶν τὰ ἐμπεπηγμένα
« βέλη », κατέβη εὐθέως ἀπὸ τοῦ ἅρματος.

60. « Ἐν δὲ τούτῳ ἀπεῖργε τῷ πλήθει τῶν βελῶν τὴν ἐπι-
» τρέχουσαν τολμηρῶς πληθὺν τῶν πολεμίων, καθὼς ὁ
» ὠκεανὸς τῇ ἀμπώτει τὴν ἐπιῤῥέουσαν ῥοὴν τοῦ ποταμοῦ.

61. » Ἐν ταὐτῷ δὲ ὁ ἀκαταπτόητος Ἀρζούνας κατάφραγμα
» ἐκ βελῶν ἐποίησεν, ἔνθα ὕδωρ ἐκ τῆς γῆς ἀνέβλυσεν,
» ἀνορυχθείσης βέλει.

62. « Ποτίσας δ' ἐκεῖ ὁ Κρισνᾶς εὐθέως καὶ λούσας τοὺς
» ἵππους, καὶ θεραπεύσας αὐτῶν τὰ τραύματα τῇ ἁφῇ
» τῆς χειρὸς, ὑπέζευξεν αὐτοὺς πάλιν.

63. « Οἱ μὲν οὖν ἵπποι διπλασίως θέοντες, ἔφεραν τούτους
» τοὺς μέλανας, ἀναβάντας εἰς τὸ ἅρμα, εὐκόμους ὄντας
» καὶ ἀνασαλευομένους ἐν τῇ πρὸς τὰ πρόσω βιαίᾳ φορᾷ
» τοῦ ἅρματος.

64. « Μεγάλην δ' ἐπιδεξιότητα δείξας ὁ Ἀρζούνας, πολλοὺς
» βασιλεῖς ἀνέστρεψεν ἐν τῷ τέλει τῆς ἡμέρας, καθὼς ὁ
» ἄνεμος τὰ ὄρη ἐν τῷ τέλει τοῦ αἰῶνος.

---

1. Γαβιουτὴ, μέτρον διαστήματος τεσσάρων Μιλίων.

2. Τὰ κηρία αἱ μέλισσαι ποιοῦσιν ἐν Ἰνδίᾳ ἐπὶ δένδρων· εἰσὶ δὲ στρογγυλοειδῆ.

65. « Τεθωρακισμένος δ' ὁ Δουριοδάνας τῇ ἐπωδῇ τοῦ δι-
» δασκάλου, ἐπιστὰς μετὰ θυμοῦ, ἀντέστη τῷ Ἀρζούνα,
» τῷ κολοφῶνι τῶν πολεμικῶν.

66. « Εἰπόντος δὲ τοῦ Κρισνᾶ, « Ἀνάσπασον τὴν ῥίζαν τῶν
« κακῶν, » πόλεμον συνεκρότησεν εὐθέως κατ' ἐκείνου
» ὁ Ἀρζούνας, εἰς θάμβος ἄγοντα θεούς τε καὶ δαίμονας.

67. « Προσήρχοντο μεν οὖν οἱ οἴστοὶ τῷ Δουριοδάνᾳ, καθὼς
» οἱ ποταμοὶ τῷ ὠκεανῷ· ἀλλ' ἔστρεφον εὐθέως ἄπρακτοι,
» καθὼς οἱ ἐπαίται, οἱ προσερχόμενοι τῷ φειδωλῷ.

68. « Εἰπόντι δὲ τῷ Κρισνᾷ, « Τί τοῦτο [1] ; » ἀπεκρίνατο·
« Γνωστόν ἐστιν ἐμοί, ὅτι ἐπῳδὴ ἀδαμαντίνη ἐτέθη ἐπὶ
« τοῦ θώρακος τούτου ὑπὸ τοῦ Δρόνᾳ·

69. « Ἀλλ' ἐγὼ οἶδα τὴν διάῤῥηξιν τούτου. » Ταῦτα εἰπὼν,
» ὅπερ βέλος ἔβαλεν ὁ Ἀρζούνας, τοῦτο ἐκωλύθη ὑπὸ τοῦ
» βέλους τοῦ Ἀσβατάμα, καθὼς ἡ μεγαλοπρέπεια ὑπὸ
» τῆς μικροπρεπείας.

70. « Ἐννοήσας δ' ὡς οὐ προσήκει ῥιφθῆναι δὶς ἐν πολέμῳ
» τὸ θεῖον ὅπλον, βάλλων βέλη κατὰ τοῦ Δουριοδάνα,
» διατεμὼν τὸ τόξον αὐτοῦ εἰς δύω, ἔῤῥιψε κατὰ γῆς, ὡς
» δύω ὦτα τῆς καλῆς αὐτοῦ ἀνδρείας.

71. « Διέτεμε δὲ καὶ τὸν ἡνίοχον τοῦ Δουριοδάνα, τὸν ὄντα
» ὡς πολύτιμον λίθον τοῦ λαμπροῦ στεφάνου τῆς ἐφετῆς
» Νίκης [2] αὐτοῦ, καὶ τοὺς τέσσαρας ἵππους, τοὺς ὄντας,
» ὡς ἀγγέλους τῆς βασιλείας τῶν τεσσάρων μερῶν τοῦ
» κόσμου, ἣν ἐφαντάζετο ὁ Δουριοδάνας.

72. « Ἔκοψε δὲ καὶ τὸ λευκὸν σκιάδιον, ὡς κρανίον λευκοῦ
» ἐλέφαντος τοῦ κλέους ἐκείνου, καὶ τὴν κορυφὴν τῆς ση-

---

1. Ἠπόρησεν, ὅτι τοσοῦτον χρόνον πολεμεῖ ὁ Ἀρζούνας καὶ τοσαῦτα βέλη βάλλει, ἄνευ τοῦ τιτρώσκειν τὸν Δουριοδάναν.

2. Ἡ νίκη ὡς γυνή.

» μαίας, τὴν χρυσῆν καὶ διαυγῆ, ὡς ῥίζαν χρυσοῦ δένδρου
» τῆς δυνάμεως ἐκείνου.

73. « Ἔβαλε δὲ σπιθαμιαῖα βέλη καὶ εἰς τὰς ἀκρωνυχίας τοῦ
» Δουριοδάνα, τὰς μὴ καταπεφραγμένας τῇ ἀδαμαντίνῃ
» ἐπωδῇ· ὁ δὲ ἔφυγεν, ἐξάγων διὰ τοῦ αἵματος τὴν
» λαμπρότητα τῶν θεῶν, τῶν ὄντων ἐν τῷ βασιλικῷ
» σώματι [1].

74. « Κατέβαλε δὲ τότε διαῤῥήξας τοῖς βέλεσι καὶ τοὺς χρυ-
» σοῦς θώρακας τῶν περὶ τὸν Ἀσβατάμαν, ὡς πύρινα σώ-
» ματα [2].

75. « Οἱ μὲν οὖν περὶ τὸν Ἀσβατάμαν, καθημαγμένοι τὰ
» σώματα τοῖς βέλεσι τοῦ Ἀρζούνα, ἦσαν ὡς στύλοι τοῦ
» οἴκου τῆς καλῆς νίκης αὐτοῦ, πεφοινιγμένοι κινναβάρει.

76. « Ὁ δὲ Δρόνας [3] ἐκ τοῦ ἑτέρου μέρους ἐνησχολεῖτο πλήτ-
» τειν τὴν ἄπειρον στρατιὰν τοῦ Ἰουδιστίρα, καθάπερ
» χειρὶ, τῷ τόξῳ, συνηρμοσμένα βέλη ἔχοντι, ὡς δάκτυλα.

77. Τῆς μὲν δὴ στρατιᾶς βαλλομένης ὑπὸ τοῦ Δρόνα, τοῦ
» δ' ἅρματος τοῦ Ἰουδιστίρα συντριβέντος, ἅπαντες ἀνέ-
» κραξαν λύπῃ· « Ἐλήφθη, ἐλήφθη σήμερον ὁ Βασιλεύς ! »

78. « Τὴν δὲ ῥιφθεῖσαν λόγχην τοῦ Ἰουδιστίρα, ἠχοῦσαν τοῖς
» προσηρμοσμένοις κωδωνίοις, διέτεμεν ὁ Δρόνας τῇ Βραχ-
» μάστρα, ὡς γλῶσσαν τῆς ἀνδρείας ἐκείνου.

79. « Ἀναβὰς δ' ἐπὶ τοῦ ἅρματος τοῦ Σαχαδέβα ὁ
» Ἰουδιστίρας, ἀπιὼν ᾤχετο· τούτῳ δ' ἠκουλούθει

---

1. Τὸ αἷμα δηλ. ὁ ἔῤῥεεν, ἦν ἡ λαμπρότης τῶν θεῶν, ὧν ἀπόῤῥοιά ἐστι τὸ βασιλικὸν σῶμα.

2. Οἱ χρυσοῖ θώρακες ἦσαν ὡς πύρινα σώματα.

3. Ὁ Δρόνας καὶ ὁ Ἀγαστέας. Διφορεῖται τὸ νόημα παραβολικῶς. Καθὼς ὁ Ἀγαστέας κατέπιε τὴν θάλασσαν κοίλῃ χειρὶ, οὕτω καὶ ὁ Δρόνας κατέστρεψε τὴν στρατιὰν καμπύλῳ τόξῳ.

» καὶ ἡ στρατιὰ, ὥςπερ δεικνύουσα σέβας τῷ βασιλεῖ.

80. « Μετέπειτα δ' ὁ στρατὸς τοῦ Δρόνα, ἀγλαϊζόμενος τοῖς » λάμπουσι ξίφεσιν, ὡς ὁ ὠκεανὸς τοῖς κύμασι, κατεξη- » ράνθη ὑπὸ τῶν ἡρώων [1] τοῦ Ἰουδιστίρα, ὡς ὁ ὠκεανὸς » ὑπὸ τῶν πνεόντων ἐν τῇ συντελείᾳ ἀνέμων.

81. « Καὶ ὁ μὲν Βριχατξάτρας, ὁ ἡγεμὼν τῆς στρατιᾶς τῆς » Κεκαΐας χώρας, κατέβαλε τὸν Ξεμαδουρτὴν, τὸν ὑπα- » σπιστὴν τοῦ Δρόνα, καθὼς ὁ ἐλέφας τὸν στύλον, ἐν ᾧ » δέδεται.

82. « Ὁ δὲ Σαχαδέβας ἀνεῖλε τὸν μαχαράταν Δριτακετοῦν, » τὸν βασιλέα τῆς Τιγάρτας· ὁ δὲ Σατεκῆς τὸν Ἀριμί- » τραν, καὶ τὸν Βεαγραδάτταν.

83. « Τὸν δὲ φοβερὸν Ἀλαμβούσαν, ὃς ἦν ἕτοιμος ἀνελεῖν » τὸν Βήμαν, καὶ οὗ τὸ μαγικὸν ὅπλον κατεάγη τῇ *Τβα-* » *στράστρα*, ἑλκύσας ἀπὸ τοῦ ἅρματος ὁ Γατοτκάσας, » ἀπέκτεινε, καταπατήσας.

84. « Τηνικαῦτα θόρυβος μέγας καὶ τάραχος ἐγένετο ἐν ἑκα- » τέροις τοῖς στρατοῖς, βαλλομένοις ἀμοιβαδὸν ὑπὸ τοῦ » Δρόνα καὶ Γατοτκάσα, καθὼς ἐν σκοπέλοις πληττομέ- » μένοις ὑπὸ θαλασσίων κυμάτων. »

Εἴσοδος τοῦ Ἀρζούνα.

85. « Μὴ ἀκούων δ' ὁ βασιλεὺς Ἰουδιστίρας τῆς φωνῆς τῆς » κόγχου τοῦ Ἀρζούνα, ὄντος μακρὰν, τυπτόμενοι τῇ » συνειδήσει ἐπὶ τῷ συμβάματι τοῦ Ἀβημανιοῦ [2], ἔφη » τῷ Σατεκῇ·

86. « Ὦ δίκαιε, ὁ διδάσκαλος [3] καὶ φίλος σου εἰσέδυ ἐν ἀν-

---

1. Ἐστράφησαν πάλιν εἰς πόλεμον οἱ περὶ τὸν Ἰουδιστίραν.
2. Ἐφοβήθη πάλιν μήπως ἔπαθεν, ὅ,τι ἔπαθεν ὁ Ἀβημανιοῦς.
3. Ὁ γὰρ Ἀρζούνας ἐδίδαξεν αὐτὸν τὴν πολεμικήν.

» δρείοις καὶ σκληροκαρδίοις· οὗτος τοιγάρ τοι ἐστὶν ὁ « καιρός σου [1] ἵνα φροντίσῃς τῆς σωτηρίας ἐκείνου.

87. «Σοῦ δ' ἀπελθόντος, ἐφ' ᾧ ἰδεῖν τὸν σύμπνουν σοι, οὐδεὶς « φόβος ἐστὶν ἐμοὶ ἐκ τοῦ Δρόνα, συνόντι τῷ υἱῷ τοῦ « Δρουπάδα [2], καὶ τῷ Βήμᾳ ».

88. « Ὁ δὲ Σατεκῆς ἀκούσας, ὑπακούσας, δωρησάμενος, θύσας καὶ προσκυνήσας τὸν Ἰουδιστίραν, εὖ κοσμούμενος » καὶ στεφανηφορῶν,

89. Ἐξώρμησεν ἄσμενος ἐφ' ἅρματος παραυτίκα δι' ὁδοῦ, μὴ » ἀνιστάσης κόνιν, ὡς βεβρεγμένης τοῖς αἵμασι τῶν ἀπε- » κταμένων ἐχθρῶν τοῖς βέλεσιν.

90. « Εἶτα δὲ πόλεμος ἐγένετο τῷ Δρόνᾳ καὶ τῷ Σατεκῆ, » ἐν ᾧ ὁ μὲν Ἥλιος ἐπεσκιάσθη τοῖς πυκνοῖς βέλεσι, τὸ » δὲ σκότος διελύθη ἐκ τῶν σπινθήρων τῶν συναρασσο- » μένων ἀλλήλοις βελῶν.

91. « Εἰπόντος δὲ τοῦ Σατεκῆ, « Οὐ δίκαιος [3] εἶ, ἐμποδὼν » ἐμοῦ γενέσθαι, ὀψείοντι τὸν σὸν μαθητὴν, » ὁ Δρόνας » ἔφη· «Οὐκ ἀφίῃ. »

92. « Ἀποφυγὼν δὲ ὁ Σατεκὴς τῇ ῥύμῃ τοῦ ἅρματος τὸν » μεγαλόδοξον καὶ δυσνίκητον Δρόναν, λέγοντα ταῦτα, » εἰσέδυ τὴν φάλαγγα.

93. « Ἀποφυγὼν δὲ καὶ τοὺς περὶ τὸν Κριταβάρμαν τῇ » ἐπιδεξιότητι, καὶ παρεισδὺς, φθορὰν ἐποίει τῶν βασι- » λέων τοῖς ὀϊστοῖς, ὡς Γαρούδαις [4].

94. « Οἱ δὲ δεινότοξοι Πανδοΐδαι [5], βουλόμενοι διαῤῥῆξαι

---

1. Οὗτος ἐστὶν ὁ καιρὸς τῆς ἀνταμοιβῆς.

2. Τῷ Δρυσταδιούμνᾳ.

3. Καθ' ὃ διδάσκαλος τοῦ διδασκάλου Ἀρζούνα.

4. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής. Καθὼς οἱ Γαροῦδαι ἀναιροῦσι τοὺς ὄφεις, οὕτω καὶ οἱ ὀϊστοὶ τοὺς βασιλεῖς.

5. Τοὺς περὶ τὸν Ἰουδιστίραν ἐννοεῖ.

» τὴν φάλαγγα τότε, ἐκωλύθησαν ὑπὸ τοῦ Κριταβάρμα,
» καθὼς αἱ μαθήσεις ὑπὸ τῆς ἀμελείας.

95. « Κατακαλύψας δὲ τότε τὸν αἰθέρα τοῖς ἠχοῦσι βέλεσιν ὁ
» Σατεκὴς, ὁ ὢν ἐρυθρὸς ἐκ θυμοῦ, καὶ καλύψας τοὺς
» ὀφθαλμοὺς τῶν ἀντικειμένων ἡρώων, ἔῤῥιψεν ἐκ τοῦ
» ἐλέφαντος τὸν βασιλέα τῆς Μαγάδας, ᾧ ὄνομα Ζαλα-
96. » σάνδας, καθὼς ὁ ἑσπερινὸς καιρὸς, ὁ ὢν ἐρυθρὸς, κα-
» τακαλύψας τὸν αἰθέρα τοῖς κελαδοῦσιν ὄρνισι, καὶ
» κλείσας τοὺς λωτοὺς, ῥίπτει τὸν Ἥλιον ἐκ τοῦ δυτικοῦ
» ὄρους.

97. « Τέρπων δὲ τὰ βέλη τῇ εὐστοχίᾳ, ἐν ἑκάστῳ βήματι
» ἔσπευδεν, ἀδημονῶν, ὀψόμενος τὸν Νάραν καὶ Ναραϊά-
» ναν [1], καθὼς καὶ ὁ ἄνθρωπος, τέρπων τοὺς αἰτοῦντας ἐν
» παντὶ μέρει μεγάλαις δωρεαῖς, σπεύδει ἀδημονῶν, ὀψό-
» μενος τὸν Νάραν καὶ Ναραϊάναν [2].

98. « Ὁ μὲν Ἰάμας κατεβίβρωσκε λάβρως καὶ ἡδέως, κα-
» θάπερ δακτύλοις, τοῖς βέλεσι τοῦ Σατεκῆ πλήθη ἡ-
» ρώων γενναίων, ἵππων καὶ ἐλεφάντων.

99. « Ὁ δὲ Σατεκὴς ἀποτέμνων ἀνέῤῥιπτε τὰς κάρας τῶν
» περὶ τὸν Σουδαρσσάναν βασιλέων τοῖς βέλεσι, καὶ ἐποίει
» δι' αὐτῶν ὅρμον, ὡς κόσμημα, τῷ αἰθέρι, ὅς ἐστι μορ-
» φὴ τοῦ Σίβα [3].

100. « Τηνικαῦτα ὁ Δουσσασάνας, κατατρυχόμενος ταῖς βο-

---

1. Διφορεῖται τὸ νόημα· ὁ μὲν Ἀρζούνας Νάρας, ὁ δὲ Κρισνᾶς Ναραϊάνας.

2. Νάρας καὶ Ναραϊάνας δύο ὄρη κατὰ τὸν Ἰμαὸν, ἅπερ σέβονται οἱ Ἰνδοὶ εἰς ὄνομα τοῦ Νάρα καὶ Ναραϊάνα. Ναραϊάνας ἐστὶν ἡ καθ' ὅλου ψυχὴ, ὁ Θεός· Νάρας δὲ, ἡ μερικὴ ψυχή.

3. Ὁρμανθὸν ἐκ κρανίων ἔχει, ὡς ὅρμον περὶ τὸν λαιμὸν ὁ Σίβας, οὗ μορφή ἐστιν ὁ αἰθὴρ, καὶ τὰ λοιπὰ στοιχεῖα· αὐτὸς γάρ ἐστι τὸ πᾶν.

» λαῖς τῶν βελῶν τοῦ Σατεκῆ, προσῆλθε τῷ Δρόνᾳ, με-
» μαραμμένα ἔχων τὰ χείλη τῷ πάθει, ὡς φύλλα νεο-
» γνὰ τῷ καύματι.

101. « Πρὸς ὃν ἔφη ὁ Δρόνας· « Διὰ τί ὦ μωρὲ, φοβῇ τὸν
« Σατεκήν ; Ποῦ ἔστι σοι ἐκείνη ἡ ὑπερηφανία, ἡ γεγε-
« νημένη ἐν τῇ ἐλκύσει τῆς κόμης τῆς Δραουπαδῆς ;

102. « Ὃς γέλως ἐγένετό σοι ἐν τῇ κυβείᾳ, ῥιπτομένων τῶν
» κύβων, ποῦ οὗτος νῦν ἐν τῇ κυβείᾳ τῇ ζωῆς, ῥιπτομένων
« τῶν βρόχων τοῦ Ἰάμα [1] ;

103. « Ἀλλ' εἰ μὲν ἔστι σοι φόβος ἐν πολέμῳ, ποίησον νῦν γε
« εἰρήνην· εἰ δὲ μὴ, πολέμησον διὰ τὸν ἕτερον κόσμον [2],
« μηδαμῶς φοβούμενος. »

104. « Τοιαῦτα εἰρηκότος τοῦ Δρόνα, σκυθρωπάσας ὁ Δουσ-
» σασάνας, καὶ κλίνας κάτω τὸ πρόσωπον, ᾑρέτο πως
» ὁ Τιτὰν κατελθεῖν πρὸς τοὺς ἐν Πατάλᾳ Τιτᾶνας ὑπὲρ
» σωτηρίας.

105. « Ἀφίκετο δ' ὅμως πρὸς τὸν Σατεκὴν ταχύτερον τῆς ῥο-
» πῆς τοῦ ὀφθαλμοῦ, περικυκλωμένος ὑπὸ ταγμάτων βαρ-
» βάρων, ὁμοιογνωμόνων τοῖς ὑπηρέταις τοῦ Ἰάμα.

106. « Ἐν τούτῳ τῇ χρόνῳ ὁ Βραχμὰν καὶ διδάσκαλος Δρόνας,
» ἐξάψας θυμὸν, ὡς πῦρ, πολλοὺς γάμους παραδόξως
» ἐτέλεσεν ἀνθρώπων καὶ θεαινῶν [3].

107. Κατέβαλε καὶ γὰρ τέσσαρας κινητοὺς στύλους τῆς νί-
» κης τῆς χώρας Πανσάλας, τὸν Δηρακετοῦν, τὸν Σιτρα-
» ράταν, τὸν Κετουσίτραν, καὶ τὸν Σουδαμβᾶνα (Εὔτοξον).

108. « Τότε ὁ γενναῖος Δρυσταδιούμνας, λειποθυμῆσαι ποιή-

---

1. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής. Πάσσα γὰρ λέγεται ὁ κύβος καὶ ὁ βρόχος.

2. Πολέμησον δηλ. ἵν' ἀποθάνῃς, καὶ τύχῃς τοῦ οὐρανοῦ.

3. Εἰς ἐκτέλεσιν γάμου Βραχμᾶνος ἐστι χρεία καὶ πυρός.

» σας τὸν Δρόναν τοῖς βέλεσιν, ἐφώρμησε ξιφηφόρος, ὡς
» ὁ ῥαβδοφόρος Ἰάμας, εἰς τὸν ἀνελεῖν αὐτόν.

109. « Ὁ δὲ ἐλθὼν εἰς ἑαυτὸν, ἐποίησεν αὐτὸν πλήρει βελῶν,
» ὡς κάλαμον πολύκλαδον, ἐκ τοῦ πλησίον βαλλομένων,
» βραχέων καὶ σπιθαμιαίων.

110. « Τούτου δὲ φυγόντος, εἰσδὺς ὁ Δρόνας λάμπων τοῖς ὅ-
» πλοις, ὡς θαλάσσιον πῦρ ταῖς φλοξὶ, ἐξήρανεν, ὡς ὠκεα-
» νὸν, τὸν στρατὸν τοῦ Ἰουδιστίρα, τὸν δυνατὸν κατα-
» κλύσαι τὴν γῆν.

111. « Ὁ δὲ Σατεκὴς, καταστρέψας τὸν βαρβαρικὸν στρατὸν
» βέλεσιν, οὐκ ἀνεῖλε τὸν Δουσσασάναν, οὗ ὁ θώραξ καὶ
» τὰ ὅπλα κατεάγησαν, διὰ τὸν φόβον τοῦ Βήμα [1].

112. « Ἐμβὰς τοίνυν τῷ στρατῷ τοῦ Ἰουδιστίρα ὁ Βραχμὰν
» Δρόνας, ἔκοπτε βασιλεῖς πολλοὺς, ὡς λωτοὺς, ὥσπερ
» βουλόμενος ποιῆσαι αὐτοὺς προσφορὰν τῇ καλῇ ἀν-
» δρείᾳ [2].

113. « Καὶ πρὸς μὲν τὸν Βριχατξέτραν, τὸν πρεσβύτερον
» ἀδελφὸν τοῦ βασιλέως τῆς Κεκαΐας γενόμενος, ὡς πῦρ
» πρὸς τὸ δένδρον, πρὸς δὲ τὸν Δριστακετοῦν, υἱὸν τοῦ
» Σισουπάλα, ὡς ὑδροβόλον νέφος πρὸς τὸ πῦρ [3].

114. « Πρὸς δὲ τὸν Σαχαδέβαν, υἱὸν τὸν Ζαρασάνδα, ὡς ἀὴρ
» πρὸς τὸ νέφος [4], πρὸς δὲ τὴν πνοὴν τοῦ Ξατραδάρμα,

---

1. Ἐπειδὴ ὁ Βήμας ὤμοσεν ἐπὶ συνόδου ἐν τῇ ἑλκύσει τῆς κόμης τῆς Δραουπαδῆς ἢ μὴν θανατώσειν αὐτὸς αὐτὸν, διὰ τοῦτο ὁ Σατεκὴς οὐκ ἀνεῖλεν αὐτὸν, φοβούμενος τὸν Βήμαν.

2. Διφορεῖται ὁ στίχος οὗτος· « Καθὼς ὁ Βραχμὰν, ἐμβὰς τῇ λίμνῃ,
» κόπτει λωτοὺς, βουλόμενος ποιῆσαι προσφορὰν τῇ θεᾷ Λαξμῇ.

3. Ἀνεῖλε δηλονότι.

4. Καθὼς ὁ ἀὴρ διασκεδάζει τὰ νέφη, οὕτω καὶ αὐτὸς διεσκέδασεν αὐτὸν, δηλ. ἀνεῖλεν.

» υἱοῦ τοῦ Δρυσταδιούμνα, ὡς ὄφις πρὸς τὸν ἀέρα [1],
115. « Καίων τῇ θερμότητι, βέλη βρέχων, ἐπιὼν ταχυτῆτι,
» καὶ ἀσθμαίνων θυμῷ [2], διετάραξεν ὁ Δρόνας τὴν στρα-
» τιὰν τοῦ Ἰνδιστίρα.

Εἴσοδος τοῦ Σατεκῆ.

116. « Ἐν δὲ τούτῳ τῷ χρόνῳ, ὄντος τοῦ Ἡλίου περὶ τὸ τέρμα
» τοῦ αἰθέρος [3], φοβηθεὶς τὴν καρδίαν ὁ Ἰουδιστίρας,
» προσελθὼν τῷ Βήμᾳ ἔφη·
117. « Ὦ τέκνον, οὗτός ἐστιν ὁ καιρὸς τῆς σῆς δυνάμεως·
« πορεύθητι πρὸς τὸν Ἀρζούναν, τὸν εἰσδύντα εἰς τοὺς
« ἐχθρούς· ἡ μὲν γὰρ κόγχος τοῦ Κρισνᾶ ἐμπνεομένη
« ἀκούεται, ἡ δὲ τοῦ Ἀρζούνα οὐχί [4].
118. « Σοῦ δὲ πορευθέντος πρὸς τὸν Ἀρζούναν, τὸν ὄντα ἐν
« ἀπείρῳ πλήθει ἐχθρῶν, ὦ τάτα, οὗτος ὁ υἱὸς τοῦ Δρου-
» πάδα, ὁ Δρυσταδιούμνας, ἀφαιρέσει τὸν ἐκ τοῦ Δρόνα
» ἐμὸν φόβον [5].»
119. « Τουτωνὶ ἀκούσας ὁ Βήμας, ἀπεκρίνατο· « Ποῦ φόβος,
« ὦ Κύριε, τῷ Ἀρζούνᾳ ἐξ ἐκείνων τῶν ἐχθρῶν; ἀλλὰ
« καὶ οὕτω, τίθημι τὴν σὴν προσταγὴν ἐπὶ κεφαλῆς, ὡς
« τίμιον πρᾶγμα.»
120. « Τοιαῦτα εἰπὼν ὁ μεγαλοσθενὴς Βήμας, βροντῶν τῷ

---

1. Ἔπιε τὴν πνοὴν αὐτοῦ, ὡς ὁ ὄφις τὸν ἀέρα. ὅηλ. ἐθανάτωσεν αὐτόν.

2. Καίων ὡς τὸ πῦρ, βρέχων βέλη, ὡς τὸ νέφος ὕδωρ, ἐπιὼν ταχυτῆτι, ὡς ὁ ἀὴρ, ἀσθμαίνων θυμῷ, ὡς ὁ ὄφις, ὃς συρίζει.

3. Πλησίον τῆς δύσεως.

4. « Ὁ δὲ Ἀρζούνας οὐ φονεῖ» ἔκφρασις τοῦ πρωτοτύπου.

5. Ἵνα μὴ εἴπῃ ὁ Βήμας « Εἰ ἐγὼ πορευθείην, τίς ἀντιστήσεται τῷ
» Δρόνᾳ», διὰ τοῦτο ἐπιφέρει ὁ Ἰουδιστίρας· « οὗτος ὁ υἱὸς τοῦ Δρουπάδα
» βοηθός μου ἔσεται ἐναντίον τοῦ Δρόνα.»

» πατάγῳ τοῦ ἅρματος, μεγάλως γαυριῶν, καὶ βέ-
» λη ἕλκων μέχρι τοῦ ὠτὸς, κἄπειτα βάλλων αὐτὰ [1],

121. « Ἔδραμεν, ὡς μεμηνὼς ἐλέφας, εἰς διάῤῥηξιν τῆς ἁμα-
» ξοειδοῦς φάλαγγος, τῶν πρόσθεν ἀνθρώπων φευγόντων
» τῇ δε κἀκεῖσε, καὶ ὁδὸν ποιούντων.

122. « Πρὸς ὃν εἰπὼν ὁ Δρόνας, « Ἐμοῦ προϊσταμένου, ὁποία
« αὕτη σοι ἡ τόλμα, τοῦ διαῤῥῆξαι τὴν φάλαγγα; » ἐπλή-
» ρωσεν αὐτὸν πολλῶν σκληρῶν βελῶν.

123. « Καθημαγμένος δ' ὁ Βήμας ἐκ τῆς τῶν βελῶν βολῆς,
» καὶ πεφοινιγμένος, ἐφαίνετο, ὡς ὁ Κάλας, κεχραμμέ-
» νος κρόκῳ [2], τῷ ἐπὶ τῶν μαστῶν τῆς Καλῆς.

124. « Εἰπὼν δ' ὁ Βήμας, « Οὔτ' ἐγώ εἰμι μαθητὴς σοῦ, οὔτε
« σὺ διδάσκαλος ἐμοῦ· ἀλλ' οὐδὲ μὴν τιμῶ σε [3], ὡς ὁ
« Ἀρζούνας· ἰδὲ ἐμὲ νικήσοντά σε, καὶ εἰσδύσοντα, »

125. « Ἔῤῥιψε τὴν κορύνην, ἐλεφαντοδύναμον οὖσαν, καὶ διὰ
» τῶν κωδωνίων ἠχοῦσαν· ἐξ ἧς τὸ μὲν ἅρμα συντετρί-
» βη, ὁ δὲ Δρόνας ἔφυγε, καθὼς, συντριβέντος τοῦ δέν-
» δρου, ὁ ἐπ' αὐτοῦ κόραξ φεύγει [4].

126. « Τότε ὁ υἱός σου, ὦ Βασιλεῦ [5], περιπεπαρμένος τοῖς
» βέλεσι τοῦ Βήμα μετὰ τῶν ἑαυτοῦ ἀδελφῶν, ἔσχεν
» ὁμοιότητα δάσους ἐκ Σανδάνων, περιπεπλεγμένων
» ὄφεσιν.

---

1. Διφοροῦνται ὁ 120 καὶ ὁ 121 στίχοι. « Καθὼς ὁ μεγαλοσθενὴς
» καὶ φοβερὸς ἐλέφας μαινόμενος, φωνὴν διαῤῥηγνύων, περιῤῥεόμενος χυ-
» μῷ, καὶ ἔχων περὶ τὰ ὦτα σμήνη βομβυλίων, περιϊπταμένων καὶ ἁφι-
» πταμένων, — Τρέχει εἰς διάῤῥηξιν ἁμάξης, τῶν πρόσθεν ἀνθρώπων φευ-
» γόντων τῇ δε κακεῖσε, καὶ ὁδὸν ποιούντων. »

2. Ἐκ τῆς περιπτύξεως ἐχθράνθη.

3. Ὡς ὁ Ἀρζούνας περιῆλθε πέριξ τοῦ Δρόνα, τιμήσας αὐτόν.

4. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητὴς· Δρόνας λέγεται καὶ ὁ κόραξ.

5. Ὁ Σανζαΐας λέγει πρὸς τὸν Δρυταράστραν.

127. «Ὀκτὼ δὲ υἱούς σου ἐκεῖνος ἀπέκτεινεν, ὧν ταῖς κάραις,
» ταῖς ἀλλομέναις ἐν τῷ κόπτεσθαι τοῖς βέλεσιν, ἐποίει
» παίζειν τὰς διαστάσεις τοῦ τόπου [1], ὡς σφαίραις, τὸν
128 » Βρινδαράκαν, τὸν Δηργανέτραν, τὸν Σουσέναν, τὸν Δουρ-
» βιμουσάναν (Δυσαπάλλακτον), τὸν Ῥαουδρακάρμαν, τὸν
» Ἀββαΐαν, τὸν Σιτρακάντην, καὶ τὸν Σουμαρσσάναν
» (Εὔβουλον).

129. « Ἔδραμε δὲ κατ' αὐτοῦ ὁ Δρόνας, βροντῶν, ὡς διὰ νέ-
» φους, τοῦ ἅρματος, καὶ οἴστοὺς βρέχων, ὡς ῥάβδους,
» εἰλημμένας παρὰ τῶν ὑπηρετῶν τοῦ Ἰάμα.

130. « Ἐνταῦθα πόλεμος φρικτὸς αὐτοῖν συνεκροτήθη, πνευ-
» στιῶντα ποιῶν ἐκ τοῦ ἄχθους τὸν βαστάζοντα τὴν γῆν
» δράκοντα, καὶ ἀμαυρὰ ἀποδεικνύων τὰ ἐγκώμια τοῦ
» πολέμου τοῦ Ῥάμα καὶ τοῦ Ῥαβάνα [2].

131. « Καταβὰς δ' εὐθέως ἀπὸ τοῦ ἅρματος ὁ Βήμας, λαβό-
» μενος ἄκρα τῇ χειρὶ τοῦ ἅρματος τοῦ Δρόνα, ὡς ὁ ἐλέ-
» φας τῇ προβοσκίδι, ἔῤῥιψεν αὐτὸ πορῥωτάτω.

132. « Τοῦ μὲν οὖν Δρόνα ἀφέντος τὸ ἅρμα, ὃ κατεκλάσθη εἰς
» λεπτὰ, καὶ φυγόντος, ἀναβὰς ὁ Βήμας τὸ ἑαυτοῦ ἅρμα,
» εἰσήλασεν εἰς τὸν πολέμιον στρατὸν, ἀνδραγαθήσας [3].

133. « Τέρπων δὲ ἀναριθμήτοις νέκυσι τοὺς ἑαυτοῦ οἴστοὺς,
» ὡς ὀδόντας τοῦ Ἰάμα, μέχρι πολλοῦ διήκοντας, καὶ
» μὴ ἀποκάμνοντας τῆς εἰς τὰ πρόσω φορᾶς,

134. « Εἰσέδυ τὸ στράτευμα τοῦ Καρνᾶ, ὁ μενεπτόλεμος,
» λίαν τεταραγμένον ὄν, αὐτὸς ὢν ἀτάραχος, καθὼς ὁ
» λέων τὸ δάσος, ᾧ διαιτῶνται ἐλέφαντες.

---

1. Τὰς διαστάσεις τοῦ τόπου ποιεῖται ὡς γυναῖκας, αἳ παίζουσι ταῖς παιδικαῖς σφαίραις.

2. Δηλ. ὑπερβαίνων καὶ ἐκεῖνον τὰ πολεμικά.

3. Λευκὸς ὢν τὰ προτερήματα (ἔκφρασις τοῦ πρωτοτύπου).

135. « Ἀκούσας δ' ὁ Βήμας τῆς κλαγγῆς τοῦ τόξου τοῦ πο-
» λεμοῦντος Σατεκῆ, ἐβόησεν ἐπὶ μέγα· ἅμα δὲ ταύτῃ
» τῇ βοῇ ἐνέπνευσεν εὐθέως ταῖς κόγχοις ὅ,τε Κρισνᾶς
» καὶ ὁ Ἀρζούνας, εὐθυμίαν (εὐφροσύνην) δούσαις τῷ Ἰου-
» διστίρᾳ.

136. « Τοσοῦτος δέ τις σύμμικτος ἦχος ἐγένετο, ὥστε τοὺς
» μὲν ἐν ταῖς νήσοις φοβηθῆναι ἐκ τῆς ἀναχαιτίσεως καὶ
» ἀναβράσεως τῆς θαλάσσης, τὸ δὲ σύνθετον σῶμα τοῦ
» Σίβα, τὸ ἐξ ἄρρενος καὶ θήλεως, διαλυθῆναι, τὸν δὲ
» συνεχῆ ἄνεμον διασκεδασθῆναι.

137. « Τότε ὁ Καρνᾶς, ἰδὼν τὴν ἑαυτοῦ ϛρατιὰν, ἀναιρουμέ-
» νην ὑπὸ τοῦ Βήμα, καὶ καταβιβρωσκομένην τοῖς δια-
» κόνοις τοῦ Ἰάμα, ὁρμήσας, πλήρη βελῶν ἐποίησε τὸν
» ἀνθρώπινον κόσμον.

138. « Βέλη δὲ ὑπερφυῆ ἐβάλλοντο ἐξ ἑκατέρων τούτων τῶν
» υἱῶν τῆς Κουντῆς, βουλομένων ἀλλήλους ἀνελεῖν, ὧν
» ἐκ τοῦ ἐπιγινομένου ἀέρος ἐσείετο καὶ ἡ κεφαλὴ θεῶν
» τε καὶ δαιμόνων [1].

139. « Ἐνταῦθα συντριβεὶς ὁ Καρνᾶς τό, τε ἅρμα καὶ τὰ ὅ-
» πλα τοῖς ἀλλεπαλλήλοις ὅπλοις τοῦ Βήμα, καὶ ἀμ-
» βλυνθεὶς τὴν δύναμιν, καί περ φεύγων, ἐνίκησε τῇ
» ταχυτῆτι τὸν Ἀέρα [2], τὸν πατέρα ἐκείνου, ἐξ ἔχθρας.

140. « Δυσθυμῶν δ' ὁ βασιλεὺς Δουριοδάνας, προσελθὼν τῷ
» Δρόνᾳ, ἔφη· « Προσφιλής σοι ἐστὶν ὁ Ἀρζούνας· διὰ
« τοῦτο ὁ Σατεκὴς καὶ ὁ Βήμας ἀφέθησάν σοι εἰς βοή-
« θειαν ἐκείνου.

141. « Ὦ! δύναμίς τις θαυμαστὴ ἐγένετο τοῖς ἀτυχοῦσιν [3].

---

1. Δηλονότι κἀκεῖνοι ἐθαύμασαν.
2. Δηλ. ταχύτερος ἦν τοῦ Ἀέρος ἐν τῷ φεύγειν.
3. Δηλ. ἐν δεινοῖς ὄντι τῷ Ἀρζούνᾳ σωτηρία ἐγένετο.

« ἡ γὰρ ἐπαγγελία σου, ἣ καὶ τῷ κεραυνῷ δυσδιάῤῥηκτος « ἀδρανὴς ἐφάνη [1]. »

142. « Ὁ δὲ Δρόνας ἔφη πρὸς αὐτόν [2]· « Ἆρα ταύτῃ τῇ βα- « ρυτάτῃ στρατιᾷ πολεμητέον; ἢ ἐκείνοιν, τῷ τε Βήμᾳ « καὶ τῷ Σατεκῇ, οἳ κινοῦσι καὶ τὰ ἑπτὰ τῆς γῆς ὄρη « διὰ τοῦ ἐκ τῆς τῶν βελῶν φορᾶς ἀέρος;

143. « Αὐτὸς μέν τοι γ' ἐγὼ, εἰ καὶ εἷς, ἀντιστήσομαι ταύ- « ταις ταῖς ἑπτὰ Ἀξαουχιναῖς· σὺ δ' ἀντίστηθι ἐκείνοις « τοῖς τρισὶ [3] μετὰ τῶν ἡρώων τῶν ἕνδεκα Ἀξαουχινῶν.»

144. « Τοιαῦτα εἰρηκότος τοῦ Δρόνα, ἀπελθὼν ὁ Δουριοδά- » νας, κατέαξε τὰ ἅρματα τῶν δύω υἱῶν τσῦ βασιλέως » Δρουπάδα, οἳ ἦσαν παραστάται ἑκατέρωθεν τῶν τρο- » χῶν τοῦ ἅρματος τοῦ Ἀρζούνα.

145. « Ἐν τούτῳ τῷ μεταξὺ ὁ μέγας τῇ γενναιότητι υἱὸς τοῦ » Ἡλίου ἔθλιβε τὸν Βήμαν πολλοῖς χρυσοῖς βέλεσιν, « ὥσπερ ἀκτῖσι, δοθείσαις παρὰ τοῦ πατρός.

146. « Κατεαγεὶς δὲ τὸ ἅρμα καὶ τὰ ὅπλα τοῖς σκληροῖς » βέλεσι τοῦ Βήμα, καὶ φυγὼν, ἐποίησεν ἑαυτῷ δυσφη- » μίαν μέχρι τοῦ οὐρανοῦ, ἥ ἐστιν ἡ κόνις, ἡ ἐξανιστα- » μένη ἐκ τῶν ποδῶν αὐτοῦ [4].

147. « Βασιλέων δὲ πολλῶν πολλὰς κεφαλὰς τέμνοντος τοῦ » Βήμα, καὶ οἱ θεοὶ ἐσάλευον τὰς κεφαλὰς ἑαυτῶν, ὡς- » περ φοβηθέντες [5].

148. « Πάλιν δ' ἐλήλυθεν ὁ υἱὸς τοῦ Ἡλίου, ἅρματος τυχὼν,

---

1. Αὐτολεξεὶ, διαλελυμένη ἐγένετο, εἰς οὐδὲν ἐφάνη.

2. Ὅτι ἐγὼ δηλ. οὐκ ἄφησα τὸν Ἀρζούναν εἰσελθεῖν εἰς τὴν ἀμα- ξοειδῆ φάλαγγα, ἐπιφέρων ἐξῆς τὸν λόγον.

3. Τῷ Ἀρζούνᾳ, τῷ Βήμᾳ καὶ τῷ Σατεκῇ.

4. Μέλαινα ἡ δυσφημία, καθὼς καὶ ἡ κόνις.

5. Ἐπὶ φόβου καὶ ἐπὶ θαύματός ἐστι τὸ, ἐσάλευον τὰς κεφαλάς.

» καὶ ἀπέδειξε τὸν Βήμαν ἄλσος χρυσόδενδρον τοῖς χρυ-
» σοῖς αὐτοῦ βέλεσι.

149. « Τοῦ δὲ αἰθέρος καλυφθέντος πολλοῖς τοῖς βέλεσιν [1],
» οἱ στρατιῶται βλέποντες ἀσκαρδαμυκτὶ, ἐδόκουν ὡς
» θεοὶ ἦσαν [2], ἐλθόντες ὀψόμενοι τὴν μάχην ἐκείνην.

150. « Τηνικαῦτα, καύσαντος [3] τοῦ Βήμα δίκην πυρὸς τὸ
« ἅρμα καὶ τὸ τόξον τοῦ Καρνᾶ, ὁ υἱός σου, ὦ Βασι-
» λεῦ, ᾧ ὄνομα Δουρζαΐας, ἔπαθε τὸ τῆς πυραλίδος [4].

151. « Πάλιν δ' ὁ Καρνᾶς, οὗ τὰ ἀγλαὰ βέλη ἦσαν ταράτ-
» τοντα τὸν κόσμον, ἀπώλεσε τὸ ἅρμα, κατεαγὸς τῇ
» κορύνῃ τοῦ Βήμα.

152. « Ἐνταῦθα, ὦ βασιλεῦ, ὁ υἱός σου Πραμάθας, ἐπιδρα-
» μὼν, ἐγένετο ὑπὸ τοῦ Βήμα βομβύλιος τοῦ λωτίου
» προσώπου οὐρανίας γυναικός [5].

153. « Ἀναβὰς δ' ἐπὶ τοῦ ἅρματος τοῦ Πραμάθα ὁ Καρνᾶς,
» ἃ βέλη ἔβαλε κατὰ τοῦ στήθους τοῦ Βήμα, τούτοις
» ἐξεκαύθη, ὡς πῦρ, ὁ θυμὸς αὐτοῦ.

154. « Ἰδὼν δ' ὁ Καρνᾶς τοὺς ὀϊστοὺς τοῦ Βήμα, εἰσιόντας
» καὶ εἰς τὸν ὑποχθόνιον κόσμον [6], ὡς ὄφεις, εἰσέδυ εἰς
» τὸ πλῆθος τῶν βασιλέων [7] ταχέως τῇ ῥύμῃ τοῦ ἅρ-
» ματος.

---

1. Ὁ αἰθὴρ ἦν ἀποτετειχισμένος ἐκ τῶν συνεχῶν βελῶν, καὶ διὰ τοῦτο οἱ θεοὶ οὐκ ἠδύναντο θεωρεῖν· οἱ δὲ πολεμικοὶ, βλέποντες ἀσκαρδαμυκτὶ ἐδόκουν, ὡς θεοὶ ἦσαν.

2. Ἴδιον γὰρ τῶν θεῶν τὸ μὴ καμμύειν.

3. Δηλ. συντρίψαντος.

4. Κατεκάη ἐν τῷ πυρὶ τοῦ Βήμα, ὡς ἡ πυραλὶς, δηλ. ἀνῃρέθη.

5. Δηλ. ἀνῃρέθη καὶ συνεζεύχθη θεαίνῃ.

6. Δηλ. πλήττοντας, κόπτοντας.

7. Δηλ. ἔφυγε.

155. « Τότε ὁ φερώνυμος [1] Βήμας ἀνεῖλε τοὺς πέντε υἱούς » σου τούτους, τὸν Δουρμαρσσάναν, τὸν Δουργράχαν, τὸν » Ζαΐαν, τὸν Δουσήλαν, καὶ τὸν Δουσάχαν.

156. « Πάλιν δὲ διαῤῥήξαντος τοῦ Βήμα τὸ ἅρμα καὶ τὸ τό- » ξον τοῦ Καρνᾶ, ὃς ἐπῆλθε πάλιν, καὶ ἀλαλάξαντος, οἱ » στρατιῶται ἔπεσον ἐπὶ γῆς φόβῳ, ὥσπερ εὐλαβείᾳ.

157. « Ἑπτὰ δ' υἱοί σου οὗτοι, ὁ Σίτρας, ὁ Σιτραβάνας, ὁ » Σαρασάνας, ὁ Σαρουσιτράκας, ὁ Σιτράξας, ὁ Σιτραβάρ- » μας, καὶ ὁ Οὐπασιτράκας [2],

158. « Ὑπερασπίσασθαι βουλόμενοι τὸν Καρνᾶν, πεσόντες ἐκ » τῶν ϐελῶν τοῦ Βήμα, ἐπορεύθησαν πρὸς τὸν Ἴλιον, » λέξοντες, ὡς οἶμαι, τάδε· « Σῶσον ἐν πολέμῳ τὸν « υἱόν σου. »

159. « Ἰδὼν δ' ὁ Καρνᾶς ἐκείνους πεπτωκότας, δακρύων τοὺς » ὀφθαλμοὺς ἀνάπλεως, καίπερ πολλάκις ἡττηθεὶς, ὥρ- » μησε πάλιν κατὰ τοῦ Βήμα· ἡ γὰρ ἐλπὶς ῥίζα ἐστὶ » τῆς δόξης.

160. « Ὁ δὲ Βήμας ἠγλαΐζετο τῷ καταῤῥέοντι αἵματι ἐκ τῶν » ϐελῶν τοῦ Καρνᾶ, ὡς ὄρος καταῤῥέοντι ὕδατι, μεμιγ- » μένῳ κρόκῳ, εἰς λουτρὸν τῆς ἀνδρείας.

161. « Ὁ μὲν δὴ Καρνᾶς, περιπαρεὶς κατὰ πᾶν μέρος τοῦ σώ- » ματος πολλοῖς ϐέλεσιν, ἀφεθεῖσιν ἐκ τῆς χειρὸς τοῦ » Βήμα, ἐλειποθύμησεν.

162. « Οἱ δ' υἱοί σου οὗτοι, ὁ Σιτραϊούδας, ὁ Σιτράσϐας, ὁ » Σιτρασένας, ὁ Βικαρνακᾶς, ὁ Σατροῦς, ὁ Σατρουνζαΐας, » καὶ ὁ Σατρουσάχας,

163. Ἑπτὰ τὸν ἀριθμὸν, ἀνῃρέθησαν ὑπὸ τοῦ Βήμα, δρα-

---

1. Αὐτολεξεί, ὁ ἀληθὲς ἔχων ὄνομα· Βήμας γὰρ λέγεται ὁ φοβερός.
2. Ὁ ὅμοιος παρδάλει.

» μόντες εἰς ἐπικουρίαν τοῦ Καρνᾶ, ὧν τοῖς ῥείθροις τοῦ » αἵματος ἠγλαΐζετο ὁ Βήμας, καθὼς ὁ Σαπταγοδα- » βάρας [1].

164. « Ἀναλαβὼν δ' ὁ Καρνᾶς ἐκ τῆς λειποθυμίας, ἀπέδειξε » τὸν Βήμαν τοῖς χρυσοῖς βέλεσιν, ὡς δένδρον, νεμόμενον » φλοξὶ πυρός.

165. « Τὸ δὲ ἅρμα καὶ τὰ ὅπλα πάντα τοῦ Βήμα, ἐπιόντος, » διέῤῥηξεν ὁ Καρνᾶς, καθὼς ὁ Φευρουάριος μὴν, διαῤ- » ῥηγνύων, ῥίπτει τὰ φύλλα τοῦ δένδρου.

166. « Ὁ μὲν οὖν Βήμας, ἀπολωλεκὼς τὰ ὅπλα, ἔβαλεν ἀντὶ » βελῶν, ἵππους καὶ ἐλέφαντας πολλούς· ὁ δὲ Καρνᾶς » κατέκοπτε καὶ αὐτοὺς εὐθέως συνεχέσι βέλεσι.

167. « Εἴρηκε δὲ τῷ Βήμα, ὃς ἦν κεκρυμμένος ἐν σωροῖς ἐλε- » φάντων τεθνεώτων, μὴ ἀνελὼν, θίξας δὲ μόνον αὐτοῦ » τῷ ἄκρῳ τοῦ τόξου, ἐνθυμηθεὶς τὸν λόγον τῆς Πριτᾶς [2]·

168. « Οὐ δεῖ σοι εἰς τὸ ἑξῆς πολεμεῖν τοῖς κρείττοσιν, ὅπλων « ἄπειρε· οἰκεῖόν δ' ἔστι σοὶ τῷ παχυστόμῳ καὶ πολυφά- « γῳ, τὸ μαγειρεύειν. »

169. « Τοιαῦτα εἰπὼν ὁ Καρνᾶς, καὶ κεντήσας τὸν Βήμαν τῷ » ἄκρῳ τοῦ τόξου ἔφυγε, φοβηθεὶς ἐκ τῶν μακρόθεν ἀφιε- » μένων μεγάλων βελῶν τοῦ Ἀρζούνα, δειχθεὶς ὑπὸ τοῦ » Κρισνᾶ.

170. « Ἀναβὰς δ' ἐπὶ τὸ ἅρμα τοῦ Σατεκῆ ὁ Βήμας, μᾶλλον » θερμὸς ἦν μετὰ τὴν τῶν δεινῶν ἀπαλλαγὴν, καθὼς ὁ » Ἥλιος ἐπὶ τῆς κορυφῆς τοῦ ἀνατολικοῦ ὄρους, μετὰ τὴν » τοῦ νέφους ἀπαλλαγήν.

---

1. Ἐρυθροειδὲς γὰρ τὸ ὕδωρ ἔχει. Συντίθεται δὲ ἡ λέξις ἐκ τοῦ Σάπτα, ἑπτὰ, καὶ Γοδαβαρὴ, ὄνομα ποταμοῦ, ὃς λέγεται Σαπταγοδαβάρας ἐν τῷ τόπῳ ἐκείνῳ, ἔνθεν εἰσρέει εἰς τὸν Ὠκεανὸν δι' ἑπτὰ στομάτων. Τὰ ὀνόματα τῶν ποταμῶν συντιθέμενα, ἀρσενικῷ γένει κλίνονται.

2. Ὃ εἶπε πρότερον τῷ Καρνᾷ, ἵνα μὴ ἀνέλοι τινὰ τῶν ἀδελφῶν.

Εἴσοδος τοῦ Βήμα.

171. «Ἐνταῦθα οἱ ὀϊστοὶ τοῦ υἱοῦ τοῦ Δρόνα κατέβαλον τὸ
» ὑπέρλαμπρον βέλος τοῦ Ἀρζούνα, τὸ φερόμενον κατὰ
» τοῦ Καρνᾶ, καθὼς οἱ κρουνοὶ τοῦ νέφους τὸ ἐγειρόμενον
» πῦρ τοῦ δάσους.

172. «Ὁ δ' Ἀρζούνας, βιασάμενος τὸν υἱὸν τοῦ Δρόνα ἀπο-
» στρέψαι τὸ πρόσωπον [1] ἐκ τῆς λαμπρότητος τοῦ βέ-
» λους, ἀνεῖλε βασιλεῖς πολλοὺς, πολλοῖς βέλεσι, οἳ ἐγέ-
» νοντο ἐρυθροὶ τῷ αἵματι, ὡς ἡ ἐρυθρὰ ἑσπέρα.

173. «Τότε τὸ ἅρμα τοῦ Ἀρζούνα, ἀνελεῖν βουλομένου τὸν
» Ζαϊατράταν ἔθεε, παρελαῦνον τῇ σφοδρᾷ ταχυτῆτι τὰς
» σταγόνας τῶν ποταμηδὸν ῥεόντων αἱμάτων, τὰς ἀνι-
» σταμένας ἐκ τῶν ποδῶν τῶν ἵππων [2].

174. «Ἡνωμένη δ' ἡ ἐκτεινομένη μαρμαρυγὴ τῶν λευκοχρόων
» ἵππων τοῦ ἅρματος, καὶ τῶν μελανοχρόων, τοῦτε Κρι-
» σνᾶ καὶ Ἀρζούνα, ἐφαίνετο τοῖς στρατιώταις εἰς χαράν,
» ὡς ἡ ἕνωσις τῆς Γαγγᾶς καὶ τῆς Ἰαμουνᾶς.

175. «Τοξεύων δὲ ὁ Ἀρζούνας, ἠνέῳξεν ἔνθεν καὶ ἔνθεν τὴν
» λωτοειδῆ φάλαγγα [3], καθὼς ὁ Ἥλιος τὸν κεκλεισμέ-
» νον λωτόν [4]· οἱ δ' ἐπιφερόμενοι ὀϊστοὶ ἐφ' ἕκαστον τῶν
» τοῦ στρατοῦ ἦσαν, ὡς οἱ ἐφιπτάμενοι βομβύλιοι ἐφ' ἕκα-
» στον τῶν φύλλων τοῦ λωτοῦ.

176. «Ὅτε μὲν οὖν ὁ Ἀρζούνας εἰσέδυ τὴν πολεμίαν στρα-

---

1. Τρέψαι τὰ νῶτα, φυγεῖν δηλ.

2. Δηλ. ἐκ τῆς πολλῆς ταχυτῆτος οὐκ ἐμολύνετο τὸ ἅρμα ταῖς σταγόσι τῶν αἱμάτων, ταῖς ἐκ τῶν ποδῶν τῶν ἵππων.

3. Δηλ. ποιήσας ὁδὸν διὰ τοῦ ἀνελεῖν τοὺς ἐν τῷ μέσῳ στρατιώτας, εἰσέδυ τὴν φάλαγγα.

4. Καθὼς ὁ Ἥλιος βάλλων ταῖς ἀκτίσιν ἀνοίγνυσι τὰ κεκλεισμένα φύλλα τοῦ λωτοῦ.

» τιὰν, διαῤῥῆξαι βουλόμενος τὴν λωτοειδῆ φάλαγγα, ὡς
» ὁ ἐλέφας εἰσδύει εἰς τὴν λίμνην, διαῤῥῆξαι βουλόμενος
» τὸν ἐκ λωτῶν λειμῶνα [1], οἱ βασιλεῖς ἔφυγον, ὡς χῆνες [1].

177. « Ἐντεῦθεν δ' εἰσέδυ εἰς τὴν ἐν σχήματι βελόνης ἐνδο-
» τέραν φάλαγγα, ἔνθα ἦν ὄπισθεν φυλαττόμενος ὁ Ζαϊα-
» τράτας ὑπὸ πολυαρίθμων Μαχαρατῶν.

178. « Τότε ὁ Βήμας, ἔχων ἐν χειρὶ τὴν κορύνην, ὡς πῦρ,
» κατέκαιε τὰ στίφη τῶν ἐνόπλων πολεμίων, ὧν τὸ ἐκ-
» χεόμενον αἷμα ἐφαίνετο, ὡς πυρὸς φλόξ.

179. « Τὸ δὲ τόξον τοῦ Σατεκῆ, ἀναιροῦντος τοὺς ἐχθροὺς,
» συστελλόμενον, καὶ ἐκτεινόμενον πολλάκις, ἐφαίνετο,
» ὡς τὸ κλειόμενον καὶ ἀνοιγόμενον ὄμμα τοῦ θανάτου.

180. « Τότε ὁ μέγας στρατὸς τοῦ βασιλέως τῶν Καυραβῶν,
» ὀλιβόμενος θυμοειδῶς ἐν πολέμῳ ὑπὸ τοῦ πολεμικοῦ [3]
» τούτου Σατεκῆ, ἐθρήνει λέγων, « Οἴμοι! οἴμοι! »

181. « Τοξεύσας δὲ, ἔῤῥιψεν εἰς τὸν αἰθέρα τὴν κεφαλὴν τοῦ
» βασιλέως Ἀλαμβρίσσα, ἣν ἰδοῦσα ἡ Σελήνη, ἐφοβήθη,
» νομίσασα Ῥαχοῦν.

182. « Πρὸς δὲ, πεντακόσιοι τὸν ἀριθμὸν ἥρωες ἐν ταὐτῷ ἔπε-
» σον πρηνεῖς ἐπὶ γῆς ἐκ τῶν βελῶν τούτου, ὡς ἀκτίνες
» τοῦ Ἡλίου ἐξ οὐρανοῦ.

183. « Καταθραύοντος δ' ὡς δένδρα τοὺς βασιλεῖς, ὥρμησε
» κατ' αὐτοῦ ὁ βασιλεὺς Βουρισραβᾶς, ἔχων σημαίαν ὡς
» περ στήλην, καθὼς ὁ λέων ὁρμᾷ κατὰ τοῦ ἀρχηγοῦ τῆς
» ἀγέλης τῶν ἐλάφων.

184. « Ἀμφότεροι δ' οὗτοι, λιθοκόλλητα λαμπρὰ τόξα ἔχον-
» τες, βροντῶντες τῇ βοῇ, καὶ τῇ βολῇ τῶν χρυσῶν βε-

---

1. Ὁ ποιητὴς παίζει πρὸς τὴν λέξιν.
2. Οἱ διαιτῶνται ἐν τῷ λειμῶνι τῶν λωτῶν.
3. Πολεμικὸς, ἐπίθετον τοῦ Σατεκῆ.

» λῶν ἀστράπτοντες, ἐπῆσαν θέοντες, ὡς δύω νέφη, ἐρί-
» ζοντα εἰς ἐκρόφησιν ὕδατος τοῦ Ὠκεανοῦ [1].

185. « Τῶν πολεμικῶν τὸ εἰς τὸν πρὸς ἀλλήλους πόλεμον
» πρόθυμον, ψυχρὸν ἐγένετο [2], ἐπειδὴ αἱ θερμαὶ καρδίαι
» αὐτῶν, αἵ εἰσιν ὡς ἄτομα [3], ἐξῆλθον εἰς θεωρίαν, ὅπερ
» συμπεραίνεται ἐκ τῶν σπινθήρων [4] τῶν συναρασσομέ-
» νων ὅπλων ἑκατέρων.

186. « Τὰ δὲ βέλη αὐτοῖν, καίπερ εὔστοχα τῆς νύσσης εἰσέ-
» δυον αἰδοῖ πως εἰς γῆν, ὥσπερ λέγοντα· « Οὐαὶ ἡμῖν
» τοῖς μὴ πληρώσασι σήμερον τὸ βούλημα τοῦ ἑαυτῶν
» Κυρίου [5] ! Οὐαὶ τῇ ἡμετέρα βολῇ, τῇ γνωστῇ παντὶ τῷ
» στρατῷ ! ὁ γὰρ ἐχθρὸς οὐκ ἐβλήθη [6] !

187. « Πεσόντων δὲ τῶν ἡνιόχων, τῶν ἵππων, τῶν τόξων
» καὶ τῶν σημαιῶν τοῖς ἀλλήλων βέλεσι, κατέβησαν ἀμ-
» φότεροι ἀπὸ τῶν ἁρμάτων, χρυσᾶς ἀσπίδας καὶ ῥομ-
» φαίας ἔχοντες, ὥσπερ εἰ εἶχον ἀνὰ χεῖρας τὴν ἑαυτῶν
» ὀξεῖαν θερμότητα [7], καὶ τὸν σπόρον τοῦ δένδρου, τῆς
» ἥττης τοῦ ἀντικειμένου.

188. « Τηνικαῦτα ἐν βραχεῖ ἡδὺ θέαμα ἐγένετο ἐκ τῶν πολε-

---

1. Τὰ νέφη ἤγαγεν εἰς παράδειγμα, διότι μέλανες ἦσαν ἀμφότεροι.

2. Οἱ πολεμικοὶ ἀφῆκαν τὸ εἰς τὸν πόλεμον πρόθυμον, καὶ ἐτράπησαν εἰς θεωρίαν.

3. Ἡ καρδία, δηλ. ἡ διάνοια, λέγεται ἄτομον, διὰ τὸ λεπτὸν καὶ ὀξύ.

4. Δηλ. οἱ σπινθῆρες, οἱ ἐξαγόμενοι ἐκ τῶν συναρασσομένων ὅπλων ἦσαν αἱ θερμαὶ καρδίαι τῶν πολεμικῶν (αἱ λέγονται ἄτομα), αἵ ἐξῆλθον εἰς θεωρίαν.

5. Τὸ βούλημα τοῦ τοξότου ἦν τρῶσαι τὸν ἐχθρόν.

6. Ἐκ τούτου δηλοῖ, ὅτι τὰ βέλη ἔπιπτον ἄπρακτα, ἀντέχοντος τοῦ θώρακος.

7. Ἡ ῥομφαία, ὡς θερμότης, ἡ δὲ ἀσπὶς, ὡς σπόρος, ἐξ οὗ ἀναφύσει, ὡς φυτὸν, ἡ ἥττα τοῦ ἀντικειμένου.

» μικῶν φωνῶν, διὰ τῶν συγκρούσεων τῶν μαχαιρῶν,
» διὰ τῶν σπινθηροβολιῶν, διὰ τῶν σωματικῶν στροφῶν,
» καὶ διὰ τοῦ ἤχου τῶν κωδωνίσκων [1].

189. « Ὁ δὲ Βουρισραβᾶς, ἁψάμενος τοῦ Σατεκῆ ἐκ τῆς κό-
» μης, πατάξας αὐτὸν τῷ ποδὶ εἰς τὸ στῆθος, ἐπέπεσεν
» ἐπ' αὐτὸν, ἀποτεμεῖν βουλόμενος τὴν κεφαλὴν αὐτοῦ
» μεγάλῃ μαχαίρᾳ.

190. « Τότε ὁ Κρισνᾶς ἔφη τῷ Ἀρζούνᾳ· « Ὢ τῆς τύχης !
« Ἰδὲ ὁ μαθητής σου Σατεκὴς, ὁ νικητὴς ὢν τοῦ κόσμου,
» ὑπὸ χεῖρά ἐστι τοῦ Βουρισραβᾶ.»

191. » Ἀκούσας ὁ Ἀρζούνας, βαλὼν, ἔκοψε διὰ βέλους τὴν
» ξιφηφόρον χεῖρα τοῦ Βουρισραβᾶ, τὴν οὖσαν ἑτοίμην βα-
» λεῖν, καθὼς ὁ Γαρούδας τὸν ἀνιστάμενον ὄφιν.

192. « Ἡ δὲ χεὶρ αὐτοῦ ἔπεσε κατὰ γῆς, ποιοῦσα ἦχον διὰ
« τῶν ψελλίων καὶ γελοῦσα τὴν διάκρισιν τοῦ Ἀρζούνα [2],
» διὰ τῶν λάμψεων τῶν ἐν τῷ δακτυλίῳ μαργαριτῶν,
» οἳ ἦσαν, ὡς ὀδόντες [3].

193. « Πεσούσης δὴ τῆς χειρὸς, τῆς συνεργούσης ἐν παντὶ
» χρησίμῳ ἔργῳ, ὁ Βουρισραβᾶς ἔφη τῷ Ἀρζούνᾳ, ἀφεὶς
» τὴν κόμην τοῦ Σατεκῆ, ἀποτυχὼν τοῦ σκοποῦ [4].

194. « Ὁ καρπὸς τῆς φιλίας τοῦ Κρισνᾶ, τοῦ πολεμοῦντος δο-
» λίως, ἐδείχθη ὑπὸ σοῦ σήμερον, ὃς ἔκοψας τὴν χεῖρά
» μου, ἐνασχολουμένου τῇ πρὸς ἄλλον μάχῃ [5].»

---

1. Οἱ παλαιοὶ ἥρωες τῆς Ἰνδίας εἶχον κωδωνίσκους δεδεμένους περὶ τὰ γόνατα.

2. Κατεγέλα δηλ. τοῦ Ἀρζούνα, ὡς ἀδιακρίτου· οὐ γάρ ἐστι νόμος βοηθεῖν τοῖς μονομαχοῦσιν.

3. Ἡ λευκὴ λάμψις τῶν μαργαριτῶν ἦν, ὡς γέλως· οἱ δὲ μαργαρίται, ὡς ὀδόντες· ὁ γὰρ γελῶν προφαίνει τοὺς ὀδόντας.

4. Ὃν εἶχεν εἰς τὸ καρατομῆσαι αὐτόν.

5. Οὐκ ἔστι νόμιμον ἀναιρεῖσθαι ὑπό τινος ἄλλου τὸν μονομαχοῦντα.

195. « Τοιαῦτα εἰπὼν, κατασκευάσας κλίνην ἐκ βελῶν τῇ ἀρι-
» στερᾷ χειρὶ, κατεκλίθη ἐπ' αὐτῆς ἐπὶ θανάτῳ, νεκρώσας
» πάσας τὰς αὐτοῦ αἰσθήσεις [1].

196. » Θύσαντος δὲ τὴν πνοὴν ἐν τῷ πυρώδει πνεύματι [2],
» ἐξῆλθεν ἐκ τῆς κορυφῆς αὐτοῦ φλόξ τις λαμπρὰ [3], πλη-
» ρώσασα καπνοῦ τὸν αἰθέρα.

197. « Ὁ δ' Ἀρζούνας ἔφη πρὸς τοὺς βασιλεῖς, ὀνειδίζοντας
» αὐτόν· « Τί ὄφελος ἐκ τῶν ὅπλων, ἐὰν μὴ ῥύσωνται φί-
» λον ἐμπεπτωκότα δεινῷ ἐχθρῷ ;

198. « Τί ὀνειδίζετέ με, ὦ ἀγαθοὶ, διασώσαντα φίλον ἐγκάρ-
« διον, οἳ ἐτοξεύετε κατὰ τοῦ Ἀβημανιοῦ, λειποθυμή-
« σαντος [4] ; »

199. « Τοιαῦτα εἰπόντος τοῦ Ἀρζούνα, ὁ Σατεκὴς, ἀναλαβὼν
» ἑαυτὸν ἀνέστη ἐν τάχει, πλήρης ὢν θυμοῦ, μὴ εἰδὼς τὰ
» γεγενημένα [5].

200. « Καί περ δὲ κωλυόμενος ὑπὸ τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρ-
» ζούνα, ἀπέτεμε τὴν κεφαλὴν τοῦ προεκπνεύσαντος Βου-
» ρισραβᾶ, ὥσπερ γελῶσαν τῇ λαμπρότητι τοῦ προ-
» σώπου.

201. « Οἱ δὲ βασιλεῖς, οἳ ἐβούλοντο διαφυλάξαι τὸν Ζαϊατρά-
» ταν μέχρι τῆς ἐλεύσεως τῆς ἑσπέρας, ἀναιρούμενοι πρὸς

---

1. Ἀνενεργήτους δηλ ἔχων τὰς αἰσθήσεις.

2. Ὁ πυρώδης ἀήρ ἐστιν, ὁ καταναλίσκων καὶ πέπτων τὰ διβρω-σκόμενα.

3. Ἡ φλὸξ ἦν ἡ ψυχή· οἱ γὰρ θεωρητικοὶ καὶ ἀπαθεῖς ἐξάγουσι τὴν ψυχὴν ἐκ τοῦ βρέγματος, διαῤῥαγέντος· τοῦ δὲ πυρὸς ἴδιον τὸ ἐκφέρειν καὶ καπνόν.

4. Προσκόψαντα καὶ πεσόντα, ἢ λειποθυμήσαντα ἐν μάχῃ ἀναιρεῖν νόμος οὐκ ἔστι.

5. Οὐκ ᾔδει ὅτι ὁ Βουρισραβᾶς ἀνῃρέθη, καὶ διὰ τοῦτο ἀνέστη μετὰ θυμοῦ, εἰς τὸ μαχέσασθαι πάλιν αὐτῷ.

» τοῦ Ἀρζούνα, θλίβοντες ἐβιάζοντο τὸν Ἥλιον [1] εἰς τα-
» χεῖαν δύσιν [2].

202. « Ὁ δ' Ἥλιος ἐγένετο τότε ἐρυθρὸς, ἐρυθροῖς πως ὄμμασι
» βλεπόμενός πως ὑπὸ τῶν Καουραβῶν, ταῦτα λεγόντων·
« Διὰ τί οὗτος βραδύνει ἐπὶ τοῦ οὐρανοῦ ; διὰ τί οὐ δύει
» ταχέως; »

203. « Ὁ δὲ δίσκος τοῦ Ἡλίου, καί περ ὢν ἐν τῷ πέρατι τοῦ
» οὐρανοῦ, ἐβράδυνεν ὀπωσοῦν, ὥςπερ ἐπεχόμενος τῆς ὁδοῦ
» τοῖς βαλλομένοις βέλεσι τοῦ Ἀρζούνα πανταχῇ τῶν
» μερῶν.

204. « Βαβαί ! ὅς ἐστιν ὀφθαλμὸς καὶ κόσμος τοῦ κόσμου,
» καὶ καιρὸς τῶν καλῶν ἔργων [3], τούτου τοῦ θαυμαστὸν
» ἔχοντος φῶς, δύσιν ηὔχοντο οἱ Καουραβαὶ, ἐπιθυμοῦν-
» τες τοῦ ἑαυτῶν σκοποῦ.

205. « Τὸ δὲ λώτιον ὄμμα τοῦ Ἀρζούνα, τὸ εὐκίνητον, ὡς
» ψέλλιον, ἐνατενίζον συνεχῶς ἀδημονίᾳ πρὸς τὸν Ζαϊα-
» τράταν, καὶ πρὸς τὸν Ἥλιον, καὶ πρὸς τοὺς βασιλεῖς,
» ποθητὸν ἦν κατοικηθῆναι ὑπὸ τῆς Λαξμῆς [4].

206. « Τηνικαῦτα ὁ Κρισνᾶς ἔφη τῷ υἱῷ τοῦ Ἰνδρα· « Ὁ ὅσιος
« Βριδαξάτρας, πατήρ ἐστι τούτου τοῦ Ζαϊατράτα· ἠσθεὶς
« δέ ποτε, ἔφη τούτῳ τῷ υἱῷ αὐτοῦ· « Ὅστις ῥίψει τὴν
« κεφαλήν σου ἐπὶ γῆς, καὶ ἡ κεφαλὴ τούτου ὡσαύτως
« πεσεῖται. »

207. « Σκεψάμενος οὖν, ῥίψον βέλει τὴν κεφαλὴν τούτου τοῦ

---

1. Τὸν πατέρα τὸν φώτων, αὐτολεξεί.

2. Ὁ γὰρ Ἀρζούνας οὕτως ἠπείλησεν, ἢ μὴν αὔριον πρὶν τῆς ἑσπέρας ἀναιρέσειν αὐτόν. Εἰσδύοντες διὰ τοῦ Ἡλίου ἀθρόοι εἰς τὸν οὐρανὸν, ἐθλιβόν πως τὸν Ἥλιον εἰς ταχεῖαν δύσιν.

3. Ἐν τῇ ἡμέρᾳ γὰρ, ὅτε ὁ Ἥλιος λάμπει, πᾶν καλὸν ἔργον γίνεται· ἐν δὲ τῇ νυκτὶ πᾶν κακὸν, κλοπαὶ, μοιχεῖαι κ.τ.λ.

4. Δηλ. ἠγλαΐζετο.

« Ζαϊατράτα εἰς τὴν ἀγκάλην τοῦ πατρὸς αὐτοῦ, τοῦ « ἀσκουμένου ἐν τοῖς ὁρίοις τῆς Κουρουξέτρας, ἵν' ὑπ' ἐκεί- « νου ῥιφθῇ ἡ κεφαλὴ τούτου ἐπὶ γῆς· ἀκέφαλος δ' ὢν ὁ « Βριδαξάτρας, οὐ καταράσσεταί σου. »

208. « Σκοπήσας δ' ὁ Ἀρζούνας, καὶ ἰδὼν τὸν ἐχθρὸν ὄμματι » πυροειδεῖ ἐκ θυμοῦ, ὥσπερ μέλλων κατακαύσειν τὸ σῶ- » μα αὐτοῦ κατὰ τὴν ἑσπέραν, ἐφώρμησε τοξοφόρος· ἀλλ' » ἐκωλύθη ἐν βραχεῖ ὑπὸ τοῦ Δουριοδάνα, τοῦ Κριπᾶ, τοῦ » Ἀσβατάμα, τοῦ Καρνᾶ, καὶ ὑπ' ἄλλων.

209. « Ἀποδείξας δ' αὐτοὺς ὁ Ἀρζούνας εὐθέως πολλοῖς τοῖς » βέλεσιν ἄνευ θωράκων, καὶ ὅπλων, καὶ ἵππων, καὶ ῥί- » ψας κατὰ γῆς κάρας πολλῶν βασιλέων, ἐπέδραμεν ἐπὶ » τὸν Ζαϊατράταν.

210. « Ὁ δὲ βασιλεὺς τῆς Σινδοῦς Ζαϊατράτας, προτιμῶν τὸν » ἐν πολέμῳ θάνατον, ἀντέστη, ἄγαν θυμωθείς, καὶ » ἐθύμωσε λίαν τὸν λίαν θυμούμενον Ἀρζούναν, ἐφιέμε- » νος τῆς πόλεως τῆς ἀθανάσιας.

211. Διατεμὼν δ' ὁ Ἀρζούνας θείῳ βέλει τὴν κεφαλὴν τοῦ » Ζαϊατράτα, ἔῤῥιψεν αὐτὴν ἐξ ἀπροόπτου εἰς τὴν ἀγκά- » λην τοῦ πατρὸς αὐτοῦ, ἑσπερινὴν εὐχὴν ποιοῦντος.

212. « Ὁ δέ, θαυμάσας, καὶ εἰπών, « Τί τοῦτο ; » ἀπέῤῥιψεν » εὐθέως τὴν κεφαλὴν ἐκείνην κατὰ γῆς, καὶ ἐγένετο ἀκέ- » φαλος ἐκ τῆς ἑαυτοῦ ἀρᾶς· εἱμαρμένον γὰρ ἦν.

213. « Τοῦ μὲν οὖν Ζαϊατράτα ἀναιρεθέντος ὑπὸ τοῦ ὀξέος Ἀρ- » ζούνα μετὰ τὴν ἀναίρεσιν ἑπτὰ Ἀξαουχινῶν, ὁ Βήμας, » λίαν ἐνθουσιῶν, οἵαν βοὴν ἐξηρεύξατο, τοιαύτην καὶ ὁ » Ἰουδιστίρας ἐποίησε διὰ τυμπάνων καὶ σαλπίγγων.

214. « Ἡ δὲ στρατιὰ τῶν Καουραβῶν διεσκεδάσθη, διαλυθεί- » σης τῆς φάλαγγος, καθὼς ἡ ἀγέλη τῶν ἐλεφάντων δια- » σκεδάζεται, τῆς ὕλης καιομένης πανταχόθεν.

215. « Τρέψας δ' εἰς φυγὴν θρασέως ὁ Ἀρζούνας τὸν Κριπᾶν,

» καὶ τὸν Ἀσβατάμαν, ἐτίμησε τὴν ἑσπέραν, ὡς προσφο-
» ραῖς λωτῶν, κεφαλαῖς βασιλέων, τιμηθείσαις μακροῖς
» βέλεσιν.

216. « Ὁ δὲ Σατεκὴς, ἀναβὰς ἐπὶ τοῦ ἅρματος τοῦ Κρισνᾶ,
» ὅπερ ἦχθη ὑπὸ τοῦ ἡνιόχου Δαρουκᾶ, καὶ νικήσας τὸν
» Καρνᾶν, μᾶλλον ἐρυθρὰν τὴν ἑσπέραν ἀπέδειξε τοῖς ἐκ-
» χεομένοις αἵμασι πολλῶν βασιλέων, τρωθέντων βέλεσιν.

217. « Ὀργιζόμενος δ' ὁ ἀεὶ νικητὴς Ἀρζούνας ἐπὶ τῇ πρὸς
» τὸν Βήμαν καταφρονήσει [1], εἰπὼν πρὸ τοῦ Καρνᾶ, ὡς
» ἀναιρέσει ἐν πολέμῳ τὸν υἱὸν αὐτοῦ Βρισσασένην, ἐπο-
» ρεύθη σὺν ἅπασι τοῖς περὶ αὐτὸν, εἰς τὸ προσκυνῆσαι
» τὸν Ἰουδιστίραν, καὶ συγχαρῆναι αὐτῷ.

218. « Ὁ μὲν οὖν Ἀρζούνας καὶ ὁ Βήμας καὶ ὁ Σατεκὴς ἐπή-
» νουν πρὸ τοῦ Ἰουδιστίρα τὰ ἐν πολέμῳ ἀλλήλων κατορ-
» θώματα, ἀγαλλόμενοι· ὁ δὲ Ἰουδιστίρας, ἀγκαλισάμε-
« νως σὺν χαρᾷ τὸν Κρισνᾶν καὶ τὸν Ἀρζούναν, τοὺς ἥρωας,
» ἔπαινον ἐποίει πρὸς τὸν Κρισνᾶν, ὡς αἴτιον τῆς νίκης.»

Τέλος τοῦ Τρίτου Κεφαλαίου
τοῦ Ἑβδόμου Βιβλίου τῆς Βαλαβαράτας,
τοῦ μεγάλου ποιήματος,
ὃ ἐποίησεν
ὁ ΑΜΑΡΑΣΑΝΔΡΑΣ.

---

1. Ἐννοεῖ τὴν καταφρόνησιν, ἣν ἐποίησεν ὁ Καρνᾶς πρὸς τὸν Βήμαν, ὅτε ἐκρύβη ὑπὸ τοὺς ἐλέφαντας.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ,

δ διαλαμβάνει τὸν θάνατον τοῦ Δρόνα.

1. Ὁ Βεάσας, ὁ φέρων πλόκαμον περὶ τὴν κεφαλὴν μέλανα καὶ ξανθὸν [1], ὥςπερ εἰ ἦλθεν εἰς τὴν κόμην αὐτοῦ νέφος ἀστραπηφόρον, καὶ ἀπόῤῥοια ὢν τοῦ Βισνοῦ, διαφυλάττοι ἡμᾶς.
2. « Ὁ μὲν οὖν Δουριοδάνας, πεπληρωμένος δακρύων τοὺς » ὀφθαλμοὺς, ἔφη τῷ διδασκάλῳ Δρόνᾳ· « Ὁ Ζαϊατράτας, « ᾧ σωτηρίαν ὑπέσχου, ἐτελεύτησεν. »
3. « Ὁ δὲ χρυσάρματος Δρόνας ἔφη· « Ἐγὼ σήμερον οὐδ' ἐν « νυκτὶ ἐκδύσομαι τὸν θώρακα, ἐὰν μὴ ἀνέλω τοὺς σοὺς « ἐχθροὺς ἐν πολέμῳ. »
4. « Τοιαῦτα εἰπόντος τοῦ Δρόνα, οἱ ἥρωες, ἐρυθροὶ ὄντες » τὰ ὄμματα ἐκ θυμοῦ, ἔδραμον εἰς μάχην, καίπερ δύ- « σαντος τοῦ Ἡλίου.
5. « Ἡ δὲ λαμπρὰ ἡμέρα, διὰ τὸν φόβον τῶν νυκτοπόρων » δαιμόνων καὶ τοῦ σκότους, κατέφυγεν εἰς τὴν σημαίαν » τοῦ Ἀρζούνα, ὅπερ συμπεραίνεται ἐκ τῆς λαμπρότητος » τοῦ σώματος τοῦ δαιμονοστυγοῦς Χανουμᾶνος, τοῦ ἐπὶ » τῆς σημαίας τοῦ Ἀρζούνα.
6. « Κληθέντες δὲ ὑπὸ τοῦ Δρόνα διὰ τῆς κλαγγῆς τοῦ τό- » ξου οἱ σαρκοφάγοι δαίμονες εἰς τὴν μάχην, ὡς εἰς εὐω- » χίαν, ἔφυγον ποῤῥωτάτω ἐκ τῶν φωνῶν τοῦ Χανουμᾶ- » νος, τοῦ ἐπὶ τῆς σημαίας τοῦ Ἀρζούνα.
7. « Τότε ἡ τρόμον ποιοῦσα τοῖς ἐχθροῖς φωνὴ, ἡ ἐκ στό-

---

1. Ξανθή ἐστιν ἡ ἀστραπὴ, καὶ ἡ θρὶξ δὲ περὶ τὸ ἄκρον ὑπέρυθρός ἐστιν· ἡ δὲ θρὶξ μέλαινα, καθὼς καὶ τὸ νέφος.

» ματος τοῦ Βήμα, ὥςπερ ἐκ σπηλαίου, ἦν, ὥςπερ ἠχὼ » τῆς φωνῆς τοῦ Χανουμᾶνος.

8. « Ἐμάχοντο δ' οἱ ἥρωες ἔπειτα, αἵματι περιῤῥεόμενοι, » ὥςπερ εἰ ἦσαν περιεστιχισμένοι πολλαῖς ἀκτῖσι τοῦ » Ἡλίου, ὀρφαναῖς οὔσαις [1].

9. « Τοῖς δ' ἀναφερομένοις θέλεσι τῶν ἡρώων τιτρωσκόμε- » μενός πως ὁ οὐρανὸς, πλήρης ἐγένετο ὀπῶν, αἳ εἰσι » τὰ ἄστρα.

10. « Ἐκ τῶν φωνῶν δὲ τῶν μαχητῶν, θυμουμένων, διαῤ- » ῥαγείς πως ὁ οὐρανὸς, ἔπεσεν, ὅπερ συμπεραίνεται ἐκ » τοῦ πολλοῦ σκότους, τοῦ καλύψαντος τὴν ἐπιφάνειαν » τῆς γῆς [2].

11. « Τὰ δ' ἀγλαὰ πρόσωπα τῶν βασιλέων, τοῦτε Σιβῆ, καὶ » ἄλλων, κοπτόμενα τοῖς θέλεσι τοῦ Δρόνα, ἀνήρχοντο » εἰς τὸν οὐρανὸν, ὡς λωτοὶ [3], γνωσόμενα, ποῖ ἐπορεύθη » ὁ φίλος Ἥλιος.

12. « Τὰ δὲ λευκὰ ὀστᾶ τοῦ υἱοῦ τοῦ βασιλέως τῆς Καλίγ- » κας, πληγέντος πυγμῇ τοῦ Βήμα, ἔπεσον, ὡσπερεὶ τὰ » καλὰ αὐτοῦ ἔργα, ὧν ἔμελλεν ἀπολαύσειν [4].

13. Οἱ δὲ περὶ τὸν βασιλέα τῆς Καλίγκας κατεκόπησαν εἰς » λεπτὰ, ὡς ὑδροπέπονες, ὑπὸ τοῦ μαγείρου τοῦ Βιράτα » Βήμα, εἰς τὸ γενέσθαι ὄψον νυκτερινὸν τῷ Ἰάμα [5].

---

1. Ἐπειδὴ ὁ πατὴρ αὐτῶν Ἥλιος ἔδυσε.

2. Κυάνεος ὁ οὐρανὸς, μέλαν καὶ τὸ σκότος.

3. Τὸ ἀγλαὸν πρόσωπον εἰκάζεται τῷ λωτῷ· ὁ δὲ Ἥλιος φίλος λέ- γεται τοῦ λωτοῦ, ἐπειδὴ ὅταν ἐκεῖνος ἀνατέλλει, ἀναπετάννυται καὶ ὁ λωτός.

4. Τὰ καλὰ ἔργα λευκά εἰσι, τὰ δὲ κακὰ μέλανα, ὧν τὴν ἀνταμοιβὴν ἀπολαμβάνουσιν οἱ ἄνθρωποι.

5. Παίζει πρὸς τὴν λέξιν ὁ Ποιητής. Καλίγκα γὰρ λέγεται καὶ ὁ ὑδροπέπων, ὃν ἕψουσι καὶ ὄψον ποιοῦσιν, ὅταν ᾖ ἄπειρος.

14. « Τοὺς δὲ λαμπροὺς ἥρωας, τὸν Ζαϊαράταν καὶ τὸν Δρού-
» βαν, κατέρριψεν ὁ Βήμας, καθὼς ἡ ἀρχὴ τῆς νυκτὸς
» τῆς Ἀμαβασιᾶς [1] τὸν Ἥλιον καὶ τὴν Σελήνην.

15. « Κατακαλυφθέντος δὲ τοῦ Καρνᾶ τοῖς βέλεσι τοῦ Βή-
» μα, θροῦς τις ὑπερφυὴς ἀνηγέρθη ἀνὰ πᾶσαν τὴν στρα-
» τιὰν τῶν Καουραβῶν.

16. « Δύω δὲ υἱούς σου, ὦ βασιλεῦ, τὸν Δουχκάρναν καὶ
» τὸν Δουρμάδαν, λακτίσας ὁ Βήμας, ἔρριψεν ἐν ταὐτῷ
» κατὰ γῆς, μετὰ τῶν ἁρμάτων αὐτῶν, ὑπερβὰς τὸν
» Κρισνᾶν τῇ ἀνδραγαθίᾳ [2].

17. Ὁ δὲ Σατεκὶς ἐσφαγιάσατο τὸν Σάλαν, τὸν ἀδελφὸν
» τοῦ Βουρησραβᾶ, καὶ υἱὸν τοῦ Σομαδάτα, ποιῶν μάχην,
» ὡς θυσίαν [3].

18. « Ἀναρίθμητοι δὲ λιθοκόλλητοι ὀϊστοὶ τοῦ Ἀσβατάμα
» ἐφέροντο κατὰ τὴν νύκτα ἐπὶ τοὺς ἐχθροὺς, ὥςπερ οἱ
» ἀπτόμενοι λύχνοι κατὰ τὴν ἑσπέραν [4].

19. « Ὁ δὲ Γατοτκάσας ἐπέδραμε κατὰ τοῦ θυμοειδοῦς Ἀ-
» σβατάμα, ὡς νέφος, παγκοσμίου φθορᾶς αἴτιον [5], ἐκ-
» πέμπων ἐκ στόματος φλόγα δεινὴν, ὡς ἀστραπὴν, καὶ
» φωνὰς δειμαλέας, ὡς βροντάς.

20. « Διατεμὼν δὲ τὴν κεφαλὴν τοῦ υἱοῦ τοῦ Βήμα [6] ὁ
» υἱὸς τοῦ Δρόνα τοῖς βέλεσιν, ἔρριψεν εἰς τὸν αἰθέρα,
» καὶ ἠμαύρωσε τὴν λαμπρὰν ἐκείνου ἀνδρείαν.

---

1. Ἀμαβασιὰ λέγεται ἡ ἔνη καὶ νέα.

2. Ὁ Κρισνᾶς ἐν βρεφικῇ ἡλικίᾳ, κείμενος ἐπὶ κλίνης, λακτίσας ἔρριψεν ἅμαξαν ἐπικρεμαμένην.

3. Καθὼς ἐν θυσίᾳ ζῶα σφαγιάζονται, οὕτω καὶ ἐν μάχῃ ἄνθρωποι.

4. Καθὼς οἱ λύχνοι, ἁπτόμενοι κατὰ τὴν ἑσπέραν, φέρονται ἀφ' ἑνὸς οἴκου εἰς ἄλλον.

5. Ὡς τὸ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος νέφος.

6. Διατμηθείσης τῆς κεφαλῆς αὐτοῦ, ἄλλη ἐξεφύη.

21. « Εἶτα δ' ὁ υἱὸς ἐκείνου Ἀνξαναπαρβᾶς ἀνῃρέθη ὑπὸ τοῦ
» Ἀσβατάμα, ἀναβοῶν καὶ ἐμῶν τὴν καταποθεῖσαν λαμ-
» πρὰν δύναμιν τῶν ἡρώων [1], ἥ ἐστιν ἡ ἐκ τοῦ στόμα-
» τος ἐξαχθεῖσα φλόξ.

22. « Τὴν δὲ δαιμονικὴν καὶ μαγικὴν φοβερὰν Ἀξαουχινὴν
» τοῦ υἱοῦ τοῦ Βήμα, διεσκέδασεν ὁ υἱὸς τοῦ Δρόνα,
» καθὼς ὁ Ἥλιος τὴν ζοφερὰν καὶ φοβερὰν νύκτα.

23. « Ἀποκτείνας δ' ὁ υἱὸς τοῦ Δρόνα, τοῦ μὲν βασιλέως
» Δρουπάδα, ὀκτὼ υἱοὺς, τοῦ δὲ Κουντιβόζα δέκα, φή-
» μην ἔλαβε λαμπρὰν ἐν ταῖς ὀκτωκαίδεκα μεγάλαις
» νήσοις τῆς ἐπιγείου σφαίρας.

24. « Κεφαλαὶ πολλῶν ἡρώων, κεκοσμημέναι πολυτίμοις
» λίθοις, ἀναρριπτόμεναι τοῖς βέλεσιν ἐκείνου, ἔφοδον
» ἐποίουν κατὰ τοῦ ἐν αἰθέρι σκότους, ὡς θεράποντες
» τοῦ Ἡλίου.

25. « Αἱ δὲ πολύτιμοι λαμπραὶ λίθοι, αἱ πίπτουσι ἐκ τῆς
» κεφαλῆς τοῦ βασιλέως . τῆς Βαλχίκας, τοῦ συντριβέν-
» τος τῇ κορύνῃ τοῦ Βήμα, ἐφαίνοντο, ὡς σπυνθῆρες τοῦ
» πυρὸς, τῆς δυνάμεως τοῦ Βήμα.

26. « Δέκα δὲ υἱοί σου οὗτοι ἐκαρατομήθησαν ἐν ταὐτῷ τοῖς
» βέλεσι τοῦ Βήμα, ὁ Πραματὴς, ὁ Βηραζαγὴς, ὁ Να-
27. » γαδάτας (Ὀφιόδοτος), ὁ Δριταράτας, ὁ Βηραβαχοῦς,
» ὁ Ἀϊοβαχοῦς (Σιδηροβραχίων), ὁ Σουχέστας, ὁ Σου-
» δρίδας, ὁ Οὐρνανάβας, καὶ ὁ Κουνδασσαγής.

28. « Ἐκ τῶν κεφαλῶν δὲ τούτων, ὧ βασιλεῦ, τῶν ἀνι-
» πταμένων ἐν ταὐτῷ εἰς τὸν αἰθέρα, οἱ θεοὶ ἀνεμνήσθη-
» σαν τῆς ἀνδραγαθίας τοῦ Ῥάμα [2].

29. « Ῥιφθεῖσαι δ' εἰς τὸν αἰθέρα ὑπὸ τοῦ Βήμα ἑπτὰ κε-

---

1. Τῶν ἡρώων δηλ. ἐκείνων, οὓς ἀπέκτεινε.

2. Ὃς ἔκοψεν ἐν ταὐτῷ τὰς δέκα κεφαλὰς τοῦ Ῥαβάνα.

» φαλαὶ τῶν ἀδελφῶν τοῦ Σακουνῆ, ἐφαίνοντο ὅτι ἔπι-
» πτον αἱ ὑδρίαι τῶν ἑπτὰ ὁσίων, πτοηθέντων τῷ βρη-
» χύματι τοῦ Βήμα.

30. Ἡ δὲ δεινὴ μάχη τοῦ Δρόνα καὶ τοῦ Ἰουδιστίρα, ἡ δια-
» σκεδάσασα τὸ τῆς νυκτὸς σκότος τῇ λάμψει τῶν λαμ-
» πρῶν ὅπλων, ἐθεωρεῖτο μετὰ θαύματος ὑπὸ τῶν ἡρώων.

31. Ἁπάσης δὲ τῆς στρατιᾶς καταπιεζομένης τοῖς βέλεσι
» τῶν Πανδοϊδῶν, ὁ Καρνᾶς, τοξεύων, εἶρηκε τῷ βασι-
» λεῖ Δουριοδάνᾳ, ἐλεεινολογοῦντι·

32. « Μὴ φοβοῦ, ὦ βασιλεῦ· ἐπ' ἐμοί ἐστι τὸ φορτίον τῆς
« ἀπωλείας τῶν ἐχθρῶν· ἡ δὲ βασιλεία τῶν Πανδοϊδῶν
« εἰς ἐμὲ ἀνήκει· τὴν γὰρ ἀνδρείαν τοῦ Ἀρζούνα σήμε-
« ρον παραλύσω. »

33. « Τοιαῦτα εἰπόντος τοῦ Καρνᾶ, ὁ Κριπᾶς ἔφη· « Οὐχ
« ὡράθη σοι, ὦ υἱὲ τοῦ Σούτα [1], ὁ Ἀρζούνας ἐν τῇ τῶν
« βοῶν ἁρπαγῇ; πολέμει, ὅση δύναμις, καὶ μὴ μεγα-
« λαύχει. »

34. « Ὁ δὲ Καρνᾶς εἶπε μετὰ θυμοῦ πρὸς τὸν Κριπᾶν, ἔχων
» ῥομφαίαν ἐν χειρί· «Εἰ εἴποις πάλιν τοιοῦτον λόγον, δια-
« τμηθήσεται ἡ γλῶσσά σου ὑπ' ἐμοῦ ταύτῃ τῇ ῥομφαίᾳ.»

35. « Ἀγανακτήσας δ' ὁ Ἀσβατάμας ἐπὶ τῇ πρὸς τὸν μη-
» τρὸς θεῖον ἀτιμίᾳ, ταυρηδὸν ἰδὼν, καὶ εἰπὼν, « Τί
» βαΰζεις, ὡς κύων; » σπασάμενος μάχαιραν, ἐπέδρα-
» μεν ἐπὶ τὸν Καρνᾶν.

36. « Ἐπέδραμε δὲ καὶ ὁ Καρνᾶς ἐπ' ἐκεῖνον. Ἐπιδραμόν-
» τες δ' οὗτοι ξιφήρεις, καὶ τὸν Ἰάμαν δοῦλον ἀποδεί-
» ξαντες [2], κατεπραΰνθησαν εὐθέως ὑπὸ τοῦ Δουριοδάνα
» καὶ Κριπᾶ, ἐλθόντων εἰς τὸ μέσον.

---

1. Σούτας λέγεται ὁ ἁρματηλάτης.
2. Μᾶλλον ἰταμοὶ τοῦ Ἰάμα ἐφάνησαν δηλ.

37. « Ἐπειδὴ δὲ ὁ Καρνᾶς καὶ ὁ Ἀσβατάμας καὶ ὁ Δουριο-
» δάνας ἐθανάτουν, ὡς τρεῖς θάνατοι, τοιοῦτοι λόγοι
» ἐλέγοντο ἐν τοῖς ἐχθροῖς· « Αὐτὸς ἀναιρεθήσεται ! ἐκεῖ-
« νος ἀνῃρέθη ! οὗτος ἀναιρεῖται ! »

38. « Ἡ μὲν χορδὴ τοῦ τόξου τοῦ Ἀρζούνα, προσηρμοσμένη
» τῇ χειρὶ, ἦλθεν εἰς τὸ οὖς [1]· ἡ δὲ στρατιὰ τοῦ Δου-
» ριοδάνα, ἐνώσασα τὰς χεῖρας, ἦλθεν εἰς τὸν Καρνᾶν,
» ὡς εἰς καταφύγιον.

39. « Καταβληθέντος δὲ τοῦ τε ἅρματος καὶ τοῦ φρονήμα-
» τος τοῦ Καρνᾶ τοῖς βέλεσι τοῦ Ἀρζούνα, ὁ Καρνᾶς,
» ἥσυχος γενέσθαι βουλόμενος, κατέφυγεν εἰς τὸν διδά-
» σκαλον Κριπᾶν [2].

40. « Ὁ δὲ ζόφος, ὡς δαίμων, ὀρεγόμενος κρεωφαγίας, ἐφαί-
» νετο, ὥςπερ εἰ ἐξετάνυε τὴν ἑαυτοῦ γλῶσσαν, ἥ ἐστιν
» ἡ ῥοὴ αἱμάτων τῶν υἱῶν τοῦ Δρουπάδα, τῶν ἀναιρε-
» θέντων ὑπὸ τοῦ Ἀσβατάμα.

41. « Ὁ δὲ Ἰουδιστίρας δραματουργὸς ἦν τοῦ δράματος,
» τοῦ φόβου τῆς στρατιᾶς τοῦ Δουριοδάνα [3], ἔχων ἐξ ἑκα-
» τέρων τῶν πλευρῶν τὸν Βήμαν καὶ τὸν Ἀρζούναν, κα-
» θὼς ὁ δραματουργὸς δύω παραστάτας.

42. « Ὁ δὲ Σατεκὴς κατέβαλε τὸν Σομαδάταν, τὸν ὄντα στύ-
» λον θυμοῦ καὶ πλήρη οἰήσεως, καθὼς ὁ μεμηνὼς ἐλέφας
» τὸν στύλον ἐλέφαντος [4], ἀληλιμμένον μανικῷ χυμῷ [5].

---

1. Παίζει πρὸς τὰς λέξεις ὁ ποιητής· Κάρνα γὰρ λέγεται καὶ τὸ οὖς.

2. Παίζει πρὸς τὰς λέξεις ὁ ποιητής· ὁ δὲ στίχος διφορεῖται. « Κα-
» θὼς ὅταν τὸ φρόνημα τῆς σαρκὸς καταβληθῇ, ὁ ἄνθρωπος ἥσυχος
» γίνεται καὶ ἐγκρατὴς, καὶ ἔρχεται πρὸς τὸν πνευματικὸν πατέρα, μα-
» θητὴς καὶ ἀκουστὴς γενησόμενος. »

3. Ἠνδραγάθησεν ὁ Ἰουδιστίρας.

4. Τὸν στύλον ἐν ᾧ δέδεται ὁ ἐλέφας.

5. Παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

43. « Ἐκείνη ἡ νὺξ, ἡ ἀπολλύουσα λαοὺς καὶ λάμπουσα τοῖς » λαμπροῖς ὅπλοις τοῦ Ἀρζούνα καὶ τοῦ Δρόνα ἦν, ὡς ἡ » Καλαρατρὴ, ἡ ἀπολλύουσα τοὺς λαοὺς, καὶ κατακαίουσα » τῷ πυρὶ τοῦ νηλεοῦς Σίβα.

44. « Τὸ μὲν αἷμα ἐν τῷ σταδίῳ τοῦ πολέμου ἦν, ὡς χυ- » μὸς Ταμβούλας ἐν τῷ στόματι τοῦ Ἰάμα, τὰ δὲ βέλη » ἐξ ἑκατέρων τῶν στρατῶν, ὡς ὀδόντες τοῦ Ἰάμα, τὰ » δ' ἐν τοῖς στρατοῖς ζῶα λογικὰ καὶ ἄλογα, ὡς τὰ » φύλλα τῆς Ταμβούλας, καὶ ἡ Πούγα [1].

45. Ἐν ἐκείνῳ τῷ τῆς νυκτὸς σκότει οἱ ἥρωες ἐλαμπρύνοντο » ἐκ τῶν παρισταμένων πυρσῶν [2], αἳ ἦσαν, ὡς φλόγες » τοῦ πυροειδοῦς θυμοῦ, ἐξερχόμεναι ἐκ τῶν ὤτων [3].

46. « Ὁ ζόφος τῆς νυκτὸς, βαλλόμενος τοῖς βέλεσι τῶν ἡρώων, » πολλὰ τραύματα εἶχεν αἱματόῤῥυτα, ὅπερ συμπεραίνε- » ται ἐκ τῶν λάμψεων τῶν πυρσῶν [4].

47. « Ἐν τούτῳ τῷ θαυμαστῷ πολέμῳ οἱ πυρσοὶ ἔπιπτον » κατὰ γῆς τοῖς μέλασι σιδηροῖς βέλεσιν [5] τῶν ἡρώων, » ὡς ῥαπίσμασι τοῦ σκότους.

48. « Παράδοξον δὲ τοῦτο, ὅτι ὁ Ἰουδισίρας, ὃς ἦν ἀπόῤῥοια » Θεοῦ, ἐνίκησε τὸν ἰσχυρὸν ἐν νυκτὶ Δουριοδάναν, ὃς ἦν » ἀπόῤῥοια δαίμονος [6]!

49. « Ὁ δὲ Καρνᾶς, ἐξαπολλύων πάντα τὸν ἐντυγχάνοντα, » ἐφείσατο τοῦ νεωτέρου ἀδελφοῦ Νακούλα, τυχόντος εἰς » τὸ πρόσω, ἐνθυμηθεὶς τὸν λόγον τῆς μητρός.

---

1. Παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.
2. Ἐν ἑκατέρᾳ πλευρᾷ τῶν ἡρώων δύω ἦσαν πυρσοφόροι.
3. Πυρσοὺς ἔχουσιν ἐν τῇ νυκτομαχίᾳ.
4. Ἡ μὲν λάμψις, ὡς αἷμα.
5. Μέλας ὁ σίδηρος, μέλαν καὶ τὸ σκότος· τὸ δὲ σκότος ἐχθρὸν τῷ φωτί.
6. Οἱ γὰρ Δαίμονες ἐν νυκτὶ ἰσχύουσιν, ὡς νακτοπορεῦντες.

50. «Ὁ δὲ ἁρματηλάτης Δρυσταδιούμνας, ἐφιέμενος δράξα-
» σθαι τῆς ἀνδρείας, τῆς οὔσης ἐν τῷ μέσῳ, ἀνώμαλον
» ἐποίησε τὴν γῆν, ἐκ κεφαλῶν βασιλέων, τοῦτε Δρουμα-
» σένα, καὶ ἄλλων.

51. «Ὑπὸ δὲ τοῦ Δρόνα καὶ Καρνᾶ κατάστρωτος ἐγένετο ἡ
» γῆ προσώποις βασιλέων [1], ὡς λωτοῖς, ῥιφθεῖσιν ὑπ' ἐ-
» κείνων, πορευομένων εἰς τὸν ἕτερον βίον.

52. «Λαμψάσης δὲ τῆς φήμης τοῦ Καρνᾶ, ὡς Σελήνης, ἐκ
» τῆς τροπῆς καὶ φυγῆς τοῦ Δρυσταδιούμνα καὶ ἄλλων
» ἡρώων, τὸ λώτιον πρόσωπον τῶν Πανδοϊδῶν ἐμαράνθη [2].

53. «Διέτεμνε δ' ὁ ἡλιογενὴς Καρνᾶς καὶ τὴν στρατιὰν τῶν
» Πανδοϊδῶν καὶ τὰς ἐλπίδας τῆς νίκης αὐτῶν βέλε-
» σιν ἀναριθμήτοις, ὥσπερ ποιηθεῖσιν ἐκ τῶν ὀδόντων
» τοῦ Ἰάμα, χαριζομένου τῷ ἀδελφῷ [3].

54. «Ὁ δ' υἱὸς τοῦ Βήμα Γατοτκάσας, προτραπεὶς ὑπὸ τοῦ
» Κρισνᾶ, μεγαλόσωμος ὢν καὶ πολύχροον ἔχων τόξον,
» ἐπέδραμε κατὰ τοῦ Καρνᾶ, ὡς ὄρος, ἔχον τὸ τόξον τοῦ
» Ἴνδρα [4].

55. Φοβερὸς δ' ὢν ἐκ τῶν φλογῶν τῶν ἐξερχομένων ἐκ στό-
» ματος, ἐξ ὀμμάτων, ἐκ μυκτήρων καὶ ὤτων, καὶ ἀνα-
» διδομένων ἐκ τοῦ δεινοῦ πυρὸς τῆς κοιλίας αὐτοῦ,

56. «Ἔχων σπινθῆρας πυρὸς, ξανθὸς ὢν τὴν τρίχα τοῦ γε-
» νείου, καὶ τῶν ὀφρύων, καὶ τῆς κεφαλῆς, ὥσπερ ὄρος
» ὑψηλὸν, ἔχον πῦρ ἐπὶ τῆς ἀκρωρείας ἐξημμένον,

---

1. Δηλ. ἔῤῥιψαν τὰ ἀγλαὰ ἑαυτῶν κάρηνα, ὡς ἄνθη, εἰς τιμὴν τῆς γῆς, ὡς θεᾶς, πορευόμενοι εἰς τὸν οὐρανόν.

2. Καθὼς ὁ λωτὸς συμμύει, ὅταν ἀνατέλλῃ ἡ Σελήνη, οὕτω καὶ ἡ ἔπαρσις τῶν Πανδοϊδῶν πέπτωκεν, ἀναλαμψάσης τῆς φήμης τοῦ Καρνᾶ.

3. Ὁ Ἰάμας υἱὸς τοῦ Ἡλίου, ὡς καὶ ὁ Καρνᾶς.

4. Τὸ τόξον τοῦ Ἴνδρα, ἡ Ἶρις ἐστὶν, ὡς προείρηται.

57. « Καὶ τοὺς μὲν δειλοὺς ὀλλύων τῇ ἐμφανείᾳ τοῦ σώμα-
» τος αὐτοῦ, τοὺς δὲ γενναίους καταβάλλων τῷ θράσει,
» τοὺς δ' ἀνδρείους εἰς φυγὴν τρέπων τῇ βροντοειδεῖ φω-
» νῇ, ἐτόξευε τὸν Καρνᾶν.

58. « Ἐν τούτῳ ὁ δαίμων Ἀλαμβάλας ἦλθεν εἰς τὸ μέσον
» τοῦ Καρνᾶ καὶ τοῦ Γατοτκάσα [1], πλατὺς ὢν καὶ ὑψη-
» λὸς, καὶ στόμα μέγα ἔχων, ὡς πύλην.

59. « Ὁ δὲ Γατοτκάσας, ὢν ἐφ' ἅρματος τετρακοσίων πή-
» χεων τὸ μάκρος καὶ τὸ πλάτος, ἰδὼν ἐνώπιον τὸν υἱὸν
» τοῦ Ζατασούρα Ἀλαμβάλαν, ἀντέστη αὐτῷ.

60. « Οὗτοι οὖν οἱ δύω μάγοι ἐμάχοντο βέλεσι βροχηδὸν,
» μεγαλοβραχίονες ὄντες, καὶ μεγαλόσωμοι, ὡς δύω ὄρη
» μεγάλα, ἔχοντα κινουμένας πτέρυγας [2].

61. « Ὁ δὲ Γατοτκάσας, πηδήσας ὑπὸ τοῦ ἑαυτοῦ ἅρματος
» εἰς τὸ τοῦ Ἀλαμβάλα, ἐπίεζεν αὐτὸν σφόδρα ταῖς χερ-
» σὶ, καὶ τῷ στήθει· ὡσαύτως δὲ κἀκεῖνος τοῦτον.

62. « Καταπιεσθέντος δὲ τοῦ σώματος τοῦ Ἀλαμβάλα,
» ἐξῆλθον ἐκ τῶν ὀπῶν τῶν αἰσθήσεων αὐτοῦ ἦχος, καὶ
» αἷμα, καὶ φλὸξ, καὶ ἀήρ [3].

63. « Κόψας δ' ὁ Γατοτκάσας τὴν κεφαλὴν τοῦ Ἀλαμβάλα,
» ἐλθὼν, εἶρηκε τῷ Ἰουδιστίρᾳ· « Ἰδὲ ταύτην! οὕτω διὰ
« τάχους δείξωσοι καὶ τὴν κεφαλὴν τοῦ Καρνᾶ.»

64. « Τοιαῦτα εἰπὼν αὐτὸς ὁ Γίγας, ἐλθὼν πρὸς τὸν Καρ-
» νᾶν ὁρμῇ μεγάλῃ καὶ φωνῇ, κατετίτρωσκεν αὐτὸν βέ-
» λεσι μεγάλοις, ὡς στύλοις.

---

1. Ὡς προτείχισμα τοῦ Καρνᾶ ἐγένετο.

2. Τὰ μὲν σώματα, ὡς ὄρη· οἱ δὲ βραχίονες, ὡς πτέρυγες· καὶ γὰρ κατὰ τοὺς μύθους τὰ ὄρη πρότερον πτέρυγας εἶχον.

3. Ὁ ἦχος ἴδιον τοῦ αἰθέρος, τοῦ κενοῦ· τὸ δ' αἷμα ἀντὶ τοῦ ὕδατος, τὸ δὲ σῶμα ἀντὶ τοῦ χοός· διελύθη δηλ. εἰς τὰ πέντε στοιχεῖα, ἐξ ὧν συνετέθη.

65. « Ἀλλὰ καὶ ὁ Καρνᾶς, αὐτὸς μὲν μὴ τρέμων, τρέμειν
» δὲ ποιῶν τὰ χείλη [1], ἀκίνητος ὢν, κινῶν δὲ τὰς χεῖ-
» ρας, καὶ μὴ ταραττόμενος, ταράττεσθαι δὲ ποιῶν τὴν
» χορδὴν, ἐτίτρωσκεν αὐτὸν βέλεσι.

66. « Διέκοψε δὲ, ὡς εἰκὸς, ὁ υἱὸς τοῦ χιλιοάκτινος Ἡλίου [2]
» τοῖς βέλεσι τὸν φερόμενον δίσκον τοῦ Γατοτκάσα, τὸν
» χιλίας ἀκωκὰς ἔχοντα, καὶ ὑπερβαίνοντα τὸν Ἥλιον τῇ
» ἀκτινοβολίᾳ.

67. « Ἀναβὰς δ' εἰς τὸν αἰθέρα μετὰ τοῦ ἅρματος αὐτὸς ὁ
» υἱὸς τοῦ Βήμα, παντόμορφος γινόμενος, πολλὰς πνοὰς
» τῶν ἐχθρῶν κατέπινε.

68. « Τῇ δὲ γοητείᾳ αὐτοῦ ἡ μὲν γῆ ἔκαιε φλογερῷ πυρὶ, ὁ
» δ' οὐρανὸς ἔβρεχεν ὄρη, αἱ δὲ διαστάσεις τοῦ τόπου
» ἐξῆγον στίφη δαιμόνων κατὰ τοῦ στρατοῦ τῶν πολε-
» μίων.

69. « Ὁ δ' υἱὸς τοῦ Ἡλίου τὴν μὲν γοητείαν ἐκείνην καθελὼν
» διὰ θείου βέλους, δαίμονας δ' ἀναρίθμους καταβαλὼν
» διὰ δεινῶν βελῶν, ἠγλαΐζετο, ὡς ἄλλος Ῥάμας [3],
» ἀνδραγαθῶν.

70. « Ἑπτάκυκλος δὲ κεραυνὸς, ὃν κατεσκευάσατο ὁ Σίβας,
» ῥιφθεὶς ὑπὸ τοῦ Γατοτκάσα, κατέθραυσε τὸ ἅρμα τοῦ
» Καρνᾶ.

71. « Ὁ δὲ δαίμων Γατοτκάσας, οὗ τὸ ἅρμα κατεάγη τοῖς
» βέλεσι τοῦ Καρνᾶ, ἐπετάσθη εἰς τὸν αἰθέρα εὐθέως, κα-
» θὼς ὁ ὄρνις, καταῤῥαγείσης τῆς κίρτης.

72. « Τὸν δὲ δαίμονα Ἀλαϊούδαν, φίλον τοῦ δαίμονος Βά-

---

1. Ἐκ θυμοῦ τρέμουσι τὰ χείλη.

2. Ὢν υἱὸς τοῦ Ἡλίου, κατέβαλε τὸν ἐρίζοντα τῷ Ἡλίῳ· εἰκότως δ' ἐποίησε.

3. Κακεῖνος γὰρ πλήθη δαιμόνων ἀνεῖλεν.

» κα [1], τὸν ὄντα μάγον καὶ ἐφ' ἅρματος, καὶ πολεμοῦν-
73 » τα τῷ Βήμᾳ, ὄντι ἄνευ μαγίας καὶ ἄνευ ἅρματος, προσ-
» εκαλέσατο εἰς μάχην ὁ Γατοτκάσας φωναῖς βροντοει-
» δέσι, διαῤῥηγνυούσαις πᾶσαν διάστασιν τοῦ τόπου.
74. « Ἀμφότεροι δὲ οὗτοι, οἳ ἦσαν, ὡς δύω βραχίονες τοῦ
» Ἰάμα, φρικτὸν πόλεμον συνεκρότησαν καὶ ἀπηλλάγη-
» σαν τοῦ κνισμοῦ [2], ὃν εἶχον, διὰ τὸ μὴ εὑρίσκειν τὸν
» ἀνταγωνιστήν.
75. « Ἐκ δὲ τῶν γδούπων τῶν πρὸς ἀλλήλους πληγῶν τού-
» των, ἱσταμένων ἐν τῷ αἰθέρι, καὶ αἱ κορυφαὶ τῶν
» ὀρέων συντριβεῖσαι ἔπεσον εἰς γῆν, ὥσπερ φοβηθεῖσαι.
76. « Κοπεῖσα δ' ἡ κεφαλὴ τοῦ Ἀλαϊούδα ὑπὸ τοῦ Γατοτ-
» κάσα, ἔπεσεν ἐκ τοῦ αἰθέρος, ἔχουσα λαμπρὰ ἐνώτια,
» ὥσπερ ὄρος, ἔχον δύω λαμπρὰς πτέρυγας.
77. « Ἐπανελθὼν δὲ ὁ Γατοτκάσας, καὶ συντρίψας τὸ ἅρμα
» τοῦ Καρνᾶ, τοῦ ἀναιροῦντος τοὺς βασιλεῖς τοῦ στρατοῦ
» τῶν Πανδοϊδῶν, ἀνῆλθε πάλιν εἰς τὸν αἰθέρα.
78. « Βρέχων [3] δ' ὁ δαίμων οὗτος καὶ δένδρα, καὶ λίθους,
» καὶ πῦρ, ἀντηχεῖν ἐποίησε πᾶσαν διάστασιν τοῦ τό-
» ἐκ τῶν ἐλεεινῶν φωνῶν.
79. « Οὕτωσὶ ἀπολλύμενον τὸ στράτευμα τῶν πολεμίων,
» ἔφευγεν εἰς πᾶν μέρος, διασκεδαζόμενον, καθὼς τὸ
» ὕδωρ τῆς λίμνης, ἧς τὸ φράγμα διεκόπη.
80. « Καὶ ἄλλοι μὲν κατέφευγον εἰς τὸν στρατὸν τῶν ἐχθρῶν·
» ἄλλοι δ' ἐκρύπτοντο ὑπὸ τοὺς πεπτωκότας ἐλέφαντας
» καὶ ἵππους, ὡς ὑπὸ σπήλαια μεγάλων ὀρέων.
81. « Ὁ δ' ἡλιογενὴς Καρνᾶς ἐπλήρωσε τὸν αἰθέρα πολλῶν

---

1. Τοῦτον τὸν Βάκαν ἀνεῖλεν ὁ Βήμας, ὡς εἴρηται πρότερον.
2. Τῆς ψώρας δηλ.
3. Τουτέστι ῥίπτων βροχηδόν.

» βελῶν, βροχηδὸν φερομένων κάτωθεν εἰς τὰ ἄνω, καὶ
» ἐπεχόντων τὴν φορὰν τῶν ὅπλων τοῦ Γατοτκάσα.

82. « Τὰ μὲν οὖν βέλη τοῦ Καρνᾶ καὶ τοῦ Γατοτκάσα, συμ-
» μιγνύμενα, καὶ ἐκ τῆς προστριβῆς ἅπτοντα πῦρ, ὡς
» δένδρα, καὶ φλογίζοντα, εἰς φόβον μέγαν ἐγένοντο.

83. « Θυμωθεὶς δ' ὁ ἀρχιστράτηγος τῶν δαιμόνων Γατοτ-
» κάσας, παντοειδῆ ὅπλα ἔβρεχε, ἀνοίγοντα τὴν κε-
» κλεισμένην δίοδον ὑπὸ τῶν βελῶν τοῦ Καρνᾶ [1].

84. « Τηνικαῦτα ἐκ τῆς συνεχοῦς τομῆς καὶ πληγῆς καὶ συν-
» τριβῆς τῶν σωματικῶν μελῶν, ἅπας ὁ στρατὸς ἐξηρεύ-
» γετο « Ἰού ! οὐαί ! »

85. « Πῦρ δ' ἐξάγων ὁ Γατοτκάσας ἐκ παντὸς πόρου τοῦ
» σώματος, φοβερὰς φωνὰς ἐξέπεμπεν ἐπὶ τοῦ αἰθέρος·
» καὶ πηδῶν, περιεφέρετο ἀνὰ πᾶν μέρος.

86. « Κατεβίβρωσκε δὲ ἀναβάτας, καὶ ἐλέφαντας, καὶ ἵπ-
» πους σὺν αὐτοῖς τοῖς κοσμήμασι, καὶ ἔπινεν ἀφειδῶς
» αἷμα ταῖς παλάμαις, αἳ ἦσαν μεγάλαι, ὡς λίμναι.

87. « Οὕτως ὁ δαίμων, νυκτιπορῶν, ἀνήρει τὸν στρατόν·
» πάντα δὲ τὰ ὅπλα, τὰ ῥιπτόμενα κατ' αὐτοῦ, ὤκλα-
» ζον ἀνωφελῶς, διὰ τὴν φοβερὰν αὐτοῦ θέαν.

88. « Τῶν μὲν οὖν θεῶν καὶ τῶν θείων Βραχμάνων εὐξαμένων
» σωτηρίαν, καὶ ἀναχωρησάντων ἐκ τοῦ οὐρανοῦ, τοῦ δὲ
» στρατοῦ τοῦ Δουριοδάνα ἀπολλυμένου, τοῦ δὲ κόσμου
» ταραττομένου,

89. « Τῶν δ' ἐλεφάντων βουλομένων κρύπτεσθαι ὑπὸ τοὺς
» ἵππους, τῶν δ' ἵππων ὑπὸ τοὺς στρατιώτας, τῶν δὲ
» στρατιωτῶν ὑπὸ τοὺς πόδας ἐκείνων,

90. Οἱ Καουραβαὶ, φυλάττοντες μόνας τὰς κεφαλὰς ὑπὸ

---

1. Διερρήγνυον τὰ βέλη τοῦ Καρνᾶ.

» κώδωνας τῶν ἐλεφάντων, προσελθόντες σκυθρωποὶ τῷ » Καρνᾷ, ἀσχολουμένῳ ἐν τῇ μάχῃ, ἔλεξαν ὧδε·

91. « Τῶν ψυχῶν ἡμῶν νῦν ἀπολλυμένων, ὦ Καρνᾶ, ὑπὸ τού- « του τοῦ δαίμονος, ὑπὲρ τίνος ὁ Ἀρζούνας ἀναιρετέος « ἐστὶ τῇ λόγχῃ ἐκείνῃ, τῇ δοθείσῃ σοι παρὰ τοῦ Ἴν- « δρα; »

92. « Ἀκούσας ὁ Καρνᾶς, ἔῤῥιψε τὴν φλογίνην λόγχην τοῦ » Ἴνδρα, τὴν φυλαττομένην διάτι μέγα δεινὸν, καθὼς » ἡ φυλαττομένη χρηματολογία ῥίπτεται, ἀναλισκομένη » ἐν καιρῷ ἀνάγκης.

93. « Ἡ δὲ λόγχη ἐκείνη, διαπείρασα τὴν καρδίαν, τὴν οὖ- » σαν ἕδραν τῆς μαγίας τοῦ Μάγου, καὶ μαγικὰ ὅπλα » ἔχοντος, καὶ ἀνελοῦσα ἐν ταὐτῷ καὶ τὸ σκότος [1], τὸ » φιλικὸν ἐκείνῳ, ἀνῆλθεν εἰς τὸν οὐρανὸν πρὸς τὸν Ἴνδραν.

94. « Καὶ ἀναιρεθεὶς δὲ ὁ δαίμων, τοῖς μὲν οἰκείοις ἐγέ- » νετο εἰς ὠφέλειαν, τοῖς δ' ἐχθροῖς εἰς λύμην· πεσὼν » γὰρ ἐπὶ τοῦ στρατοῦ τῶν Καουραβῶν, ἀνεῖλε μίαν Ἀ- » ξαουχινὴν, διὰ τὸ ὃ εἶχε πελώριον σῶμα.

95. « Πεσόντος δὲ τούτου τοῦ μεγάλου ἥρωος, οἱ Καουρα- » βαὶ ἐσκίρτων, χαίροντες· ἀλλὰ καὶ ὁ Κρισνᾶς ἐσκίρτα, » ὥσπερ σημαίνων διὰ τούτου, ὅτι τὸ πᾶν αὐτός ἐστιν [2].

96. « Ἐρωτηθεὶς δὲ τότε ὁ Κρισνᾶς ὑπὸ τοῦ Ἀρζούνα, « Ὦ « Θεὲ, καί περ λυπηροῦ γεγονότος, διὰ τί ἀγαλλόμενος « χορεύεις; » χορεύων ἀπεκρίνατο·

97. « Τῶν μὲν Καουραβῶν μόνη ζωή ἐστιν ὁ μεγαλοσθενὴς « Καρνᾶς· τούτου δὲ ζωὴ ἦν ἡ λόγχη αὕτη, ἡ δοθεῖσα « παρὰ τοῦ Ἴνδρα.

---

1. Ἀνεῖλε καὶ τὸ σκότος, ὡς φλογερά.

2. Καθὼς οἱ Καουραβαὶ ἔχαιρον, οὕτω καὶ ὁ Κρισνᾶς· διότι οἱ Καουραβαὶ, οἱ ὄντες μέλος τοῦ κόσμου, ὁ Κρισνᾶς ἐστιν, ὡς ὢν τὸ ὅλον.

98. « Αὕτη δ' ἡ λόγχη, ἡ ἀναιρετικὴ ἑνὸς μόνου ἀνδρὸς,
« ἀνελοῦσα τὸν υἱὸν τοῦ Βήμα, ἐπορεύθη πρὸς τὸν Ἴνδραν,
« λέξασα αὐτῷ, ὥςπερ γελῶσα διὰ τῆς λάμψεως· « Ὁ
« υἱός σου οὐκ ἀνῃρέθη ὑπ' ἐμοῦ. »

99. « Ἐκείνης τῆς λόγχης πορευθείσης εἰς τὸν οὐρανὸν, οὐκ
« οἶδας τούτους πάντας τεθνεῶτας ; ἡ γὰρ πνοὴ εἰσέρ-
« χεται εἰς τὸ στόμα αὐτῶν καὶ ἐξέρχεται, καθὼς ὁ
« ἀὴρ εἰσέρχεται εἰς τὴν φύσαν, καὶ ἐξέρχεται [1].

100. « Καθ' ἑκάστην ὁ Καρνᾶς προὐτρέπετο ὑπὸ τῶν Καου-
» ραβῶν οὕτω· « Σήμερον ἀναιρετέος ὁ Ἀρζούνας τῇ λόγ-
« χῃ· » ἀλλ' αὐτὸς ἐπελανθάνετο τούτου, ἐνασχολούμε-
« νος τῷ πολέμῳ, καθὼς ἐπιλανθάνεται τῶν δωρημά-
« των, ὧν δωρεῖται.

101. « Πρότερον ἀνῃρέθησαν ὑπ' ἐμοῦ, ὡς προειδότος τοῦτον
« τὸν πόλεμον, οἱ δυσνίκητοι ἐκεῖνοι, ὁ Ἐκαλαβέας, ὁ
« Ζαρασάνδας, ὁ Σισσουπάλας, καὶ ἄλλοι ἥρωες.

102. « Ταύτην τὴν δυσκαταγώνιστον χορείαν τῶν ἐχθρῶν,
« τὴν εὐκαταγώνιστον γεγενημένην ὑπ' ἐμοῦ [2], σύντρι-
« ψον, ὡς τὸν τῆς Ναρικέλας καρπὸν [3], τὸν κεκαθαρμέ-
« νον τοῦ φλοιοῦ. »

103. « Τοιαῦτα εἰπόντος τοῦ Κρισνᾶ, ἅπαντες, ὅ,τε Ἰουδιστί-
» ρας, ὁ Βήμας, ὁ Ἀρζούνας, καὶ οἱ λοιποὶ ἥρωες εἰς μά-
» χην ἔδραμον γενναίως, μετατρέψαντες τὸ πυροειδὲς
» ἄχθος εἰς πυροειδῆ θυμόν.

104. « Ἐπιφανεὶς δ' ἐξαίφνης τότε ὁ Βεάσας, ἔφη τῷ Ἰουδι-

---

1. Πνέουσι δηλ. ἄνευ ζωῆς.

2. Δηλονότι εὐκατόρθωτον ἐποίησε τὸν ἀγῶνα οὕτω πράξας.

3. Τὸ ἰνδικὸν κάρυον, ἁπαλὸν ἔχον φλοιὸν, οὐ συντρίβεται ῥιπτόμενον κατὰ γῆς.

» στίρᾳ· Πολέμει ὀρθῶς, καὶ μὴ ἀγανάκτει· μετὰ δὲ « τέσσαρας ἡμέρας ἔσται σοι νίκη. »

105. « Βαθέος δὲ σκότους ὄντος, τὰ βέλη τῶν μαχητῶν, τῶν » τοξευόντων κατὰ τὴν φωνὴν, ἔπιπτον εἰς τὰ στόματα » ἀλλήλων ἐν τῷ καιρῷ τῆς φωνῆς.

106. « Τὰ μὲν δὴ βέλη τῶν πολεμίων ἔβαλον τὰ σώματα τῆς » στρατιᾶς, σκότους ὄντος βαθέος, λάμποντα τῇ λαμ- » πρότητι τῶν λαμπρῶν κοσμημάτων, ὥσπερ δεικνύμενα » τῷ ἐν τῷ δακτύλῳ ὄνυχι τοῦ θανάτου.

107. « Ὁ δὲ ζόφος, σφριγῶν τῇ ἐν τῷ μέσῳ τῆς νυκτὸς ἀκμῇ, » ἐσκίρτα πως διὰ τῶν ἀναφερομένων βελῶν, καὶ ἐχόρευέ » πως διὰ τῶν κραδαινομένων ξιφῶν, καὶ ἐβόα πως διὰ » τῆς φωνῆς τῶν ἐλεφάντων.

108. « Ἐκ δὲ τοιούτου χρονίου πολέμου καὶ αὐτοὶ οἱ βασιλεῖς » ἀπέκαμον, οἷς οὐδ' ὀλίγος κάματος γίνεται ἐν τῷ βα- » στάζειν τὴν γῆν ἅπασαν [1].

109. « Ὁ δὲ φρόνιμος καὶ ἀκαματοχάρμης Ἀρζούνας, ἐλέει κι- » νούμενος, εἶπε πρὸς τοὺς ἥρωας· « Ἀναπαύθητε μι- « κρόν τι. »

110. « Οἱ δὲ, ἐπαινέσαντες τὸν λόγον τοῦ Ἀρζούνα, ἐπὶ τῶν » νώτων τῶν ἵππων καὶ τῶν ἐλεφάντων ὕπνον ἔλαβον, » ὃς ἀναπαύει τὸν πόνον, ὡς Θεός.

111. « Ἀμφότεροι οὖν οἱ στρατοὶ, θωρακοφοροῦντες, καὶ λαμ- » προὶ ὄντες τοῖς διαφόροις λαμπροῖς κοσμήμασι, καὶ κοι- » μώμενοι ἀκίνητοι, ἐφαίνοντο ὥσπερ ἀγάλματα ἐν τῷ » οἴκῳ τοῦ Ἰάμα.

112. « Ἀνέτειλε δ' ἡ Σελήνη, ὥσπερ θίξουσα ταῖς ἀμβροσιο- » σταλάκτοις ἀκτίσιν, ὡς χερσὶ, τῶν ἀπογόνων ἑαυτῆς

---

1. Ὁ βασιλεὺς λέγεται γεοῦχος, τουτέστι κύριος καὶ κυβερνήτης τῆς γῆς.

» ἡρώων, τῶν κοιμωμένων καὶ θλιβομένων τοῖς τραύμασι.

113. « Ἀντέλαμπε δ' ἐν τοῖς ῥείθροις τῶν αἱμάτων ἡ διχότο-
« μος Σελήνη, καὶ ἐφαίνετο, ὥσπερ εἰ ἐδιχοτομήθη τὸ
» σῶμα ἐν τῷ φθοροποιῷ πολέμῳ τῶν ἑαυτῆς ἀπογόνων.

114. « Εἰσέδυ δ' ἔπειτα ὁ Ἥλιος εἰς τὸν αἰθέρα, ὡς εἰς οἶκον,
» ἀγλαϊσθέντα πρότερον τῇ ἀγλαᾷ Σελήνῃ, καὶ ἐποίησε
» τὴν γῆν πλήρη ἀκτίνων [1].

115. « Λόγοις δ' ἐπιπληκτικοῖς ἐπιπληττόμενος ὁ Δρόνας ὑπὸ
» τοῦ Δουριοδάνα, θυμωθεὶς, ἔπληττε θείοις ὅπλοις καὶ
» τοὺς ὅπλων ἀπείρους [2].

116. « Ὁ μὲν οὖν Δρόνας, ὡς ὁ ὁδοὺς τοῦ Ἰάμα, ὄλεθρον ἐποίει
» περὶ τὴν ἕω τῇ στρατιᾷ τῶν πολεμίων, τῶν πολέμῳ
» προσκειμένων, καὶ προθυμουμένων.

117. « Ἰδόντες δ' οἱ θεοὶ τὸ φλογερὸν τόξον ἐκείνου, τὸ κατα-
» ναλίσκον πολλοὺς τοῖς ἐξ αὐτοῦ βέλεσιν, ὡς δαυλοῖς
» ἡμμένοις, ἔλεγον φόβῳ οὕτωσί·

118. « Μῶν τὸ προμετώπιον ὄμμα τοῦ τριοφθάλμου Σίβα ἦλ-
« θε παρὰ καιρὸν τῆς παγκοσμίου φθορᾶς εἰς τὴν παλάμην
« νοῦ Δρόνα, ἐπὶ φθορᾷ τῆς ζωῆς τῶν ζώντων;»

119. « Τῶν μὲν οὖν βελῶν τοῦ Δρόνα ἐμπιπτόντων καὶ διαῤ-
» ῥηγνύντων ἀσπίδας, θώρακας, καὶ ἐλέφαντας, οἱ ἔμπει-
» ροι ἀπέφευγον αὐτὰ, ἐμβαπτιζόμενοι εἰς τὸ αἷμα, ὡς
» εἰς τὸ πέλαγος.

120. « Ἐκ δὲ τῶν τετμημένων κεφαλῶν τῶν υἱῶν τοῦ Δρου-
» πάδα, αἵματος ὠκεανὸν ἐποίησεν, ὑπερβαίνοντα καὶ τὸν
» πλημμυροῦντα ὠκεανὸν ἐν τῇ πανωλεθρίᾳ.

121. « Ἐπιδραμόντες δὲ ὁ Βιράτας, καὶ ὁ Δρουπάδας, οἱ ὄν-

---

1. Πλουτοδότειραν (ἔκφρασις τοῦ πρωτοτύπου). Διφορεῖται δὲ οὗτος ὁ στίχος.

2. Τὸ γὰρ θεῖον ὅπλον οὐ ῥίπτεται κατὰ τοῦ ὅπλων ἀπείρου.

» τες ὡς δύω ὀδόντες τοῦ ὡς ἐλέφαντος θανάτου, ἔπλητ-
» τον σφόδρα, ὡς ὄρος, αὐτὸν τὸν Δρόναν.

122. « Βουλόμενος δ' ὁ Δρόνας καταπιεῖν ἅμα τὴν τοῦ Ἰουδι-
» στίρα θερμότητα καὶ εὔκλειαν, ὡς Σελήνην, καὶ ὡς
» Ἥλιον, ἀπέδειξε τὰς κεφαλὰς τοῦ Βιράτα καὶ τοῦ Δρου-
» πάδα, ὡς ζεῦγος Ῥαχοῦ [1], τμηθείσας τοῖς αὐτοῦ βέλεσιν.

123. « Ἐπελθόντος δὲ κατὰ τοῦ Δρόνα ὁ Βήμας, καὶ ὁ Δρυστα-
» διούμνας, καὶ ἄλλοι ἥρωες, ἐπεσχέθησαν ὑπό τε τοῦ
» Καρνᾶ, καὶ Σακουνῆ, καὶ ἄλλων ἡρώων, ὡς ἐλέφαντες,
» ὑπ' ἐλεφάντων.

124. « Ἐνταῦθα ἐξαίσιος φθορὰ ἐγένετο, καὶ βαθεῖα κόνις ἀνη-
» γέρθη, ὡς τὸ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος σκότος· οἱ δὲ
» στρατοὶ συνεμίγησαν, ὡς οἱ ὠκεανοὶ ἐν τῇ συντελείᾳ·
» θροῦς τε ἦν καὶ θύρυβος φοβερός.

125. « Ποταμοὶ δ' αἵματος ἔῤῥεον, ἔχοντες ἀντὶ μὲν πηλοῦ
» σάρκας τεθνεώτων, ἀντὶ δ' ἄμμου μαργαρίτας, διαῤ-
» ριπτομένους ἐκ τῶν πληττομένων μετώπων τῶν ἐλε-
» φάντων.

126. « Κατέφθειρε δ' ὁ Δρόνας τὰς ἑπτὰ Ἀξαουχινὰς τοῦ Ἰουδι-
» στίρα, καθὼς ὁ Ἥλιος κατὰ τὴν ἕω τῶν ἑπτὰ γεῶν
» τὸ σκότος, καὶ τὸ θαλάσσιον πῦρ τὰς ἑπτὰ θαλάσσας.

127. « Ἐνταῦθα ὁ Κρισνᾶς ἔλεξε πρὸς τοὺς Πανδοΐδας· « Οὗ-
» τος ἀνίκητός ἐστιν, ἐν ὅσῳ ὁπλοφορεῖ· τότε δ' ἀφήσει
« τὰ ὅπλα, ὅταν ἀκούσῃ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ· εἰ-
« ρήσθω οὖν τρόπῳ ὁ θάνατος τοῦ υἱοῦ αὐτοῦ. »

128. « Τοῦ μὲν οὖν Ἀρζούνα ἀκούσαντος, βύσαντός τε τὰ
» ὦτα, καὶ κλίναντος τὴν κεφαλὴν, τοῦ δὲ Ἰουδιστίρα

---

1. Καθὼς ἡ μυθευομένη κεφαλὴ τοῦ Ῥαχοῦ ποιεῖ ἔκλειψιν, καταπί-
νουσα τὸν Ἥλιον καὶ τὴν Σελήνην.

» νυγέντος μὲν τὴν καρδίαν καὶ σιωπήσαντος, κατανεύσαν-
» τος δὲ ὀπωσοῦν,

129. « Ὁ Βήμας, ἀνελὼν τὸν ἐλέφαντα, ᾧ ὄνομα Ἀσβατάμας,
» τοῦ βασιλέως τῆς Μαλάβας χώρας, ἐξεφώνησεν· « Ἀνη-
» ρέθη ὁ Ἀσβατάμας. »

130. « Ἀκούσας δὲ τοῦτο τὸ ἄχαρι ὁ Δρόνας παρὰ τοῦ Βήμα,
» κλίναντος τὴν κεφαλὴν αἰσχύνῃ, πάλιν ἐπολέμει, μὴ
» πιστεύσας τῷ λόγῳ· ἤδει γὰρ, ὡς οὐκ ἂν νικηθείη ὑπό
» τινος ὁ υἱὸς αὐτοῦ.

131. « Θυμωθεὶς δὲ, ἑξηκοντακισχιλίους ἥρωας τοῦ βασιλέως
» τῆς Πανσάλας χώρας ἀπέκτεινε, βουλομένους αὐτὸν ἀνε-
» λεῖν, καθὼς ὁ Καπίλας τοὺς ἑξηκοντακισχιλίους υἱοὺς
» τοῦ βασιλέως Σαγάρα.

132. « Κατέκαυσε δὲ τῇ Βραχμάστρᾳ ἑκατὸν μυριάδας ἡρώων,
» καὶ ἤθλει καὶ ἠνδραγάθει, ὡς νέος, καίπερ ὢν τετρα-
» κοσίων ἐτῶν.

133. « Ποιῶν δὲ τοσοῦτον φόνον, ἐκωλύθη, ὑπὸ τῶν θεῶν καὶ
» ὑπὸ τῶν θείων Βραχμάνων· καὶ ἀμφιβάλλων εἰ ἀλη-
» θεύει ὁ λόγος τοῦ Βήμα, ὅτι ὁ Ἀσβατάμας ἀνῃρέθη,
» ἠρώτησε τὸν φιλαλήθη Ἰουδιστίραν.

134. « Παρακληθεὶς δὲ λίαν ὑπὸ τοῦ Κρισνᾶ ὁ Ἰουδιστίρας,
» ἵνα παῦσις γένοιτο τῆς μεγάλης φθορᾶς, ἐβεβαίωσε καὶ
» αὐτὸς τὸν λόγον· προσέθηκεν ὅμως τελευταῖον, ὑπο-
» φωνήσας, « Ἐλέφας. »

135. « Ὁ δὲ Δρόνας, μὴ ἀκούσας τῆς λέξεως, *ἐλέφας*, ἐκ τοῦ
» ἤχου τῆς κόγχου τοῦ Κρισνᾶ, διαταραχθεὶς, ἔστη ἐκ
» λύπης ἐν ἁρματεῖ ἀκλόνητος.

136. « Τηνικαῦτα οἱ ποδήνεμοι ἵπποι [1], οἱ φέροντες τὸν βασιλέα
» Ἰουδιστίραν, μὴ θίγοντες πλέον τῆς γῆς, ἐπάτουν τότε

1. Δηλ. ἡ ψευδολογία τοῦ Ἰουδιστίρα ἐποίησε τοὺς ἵππους αὐτοῦ βραδεῖς.

» τὴν γῆν, καθὼς οἱ ὄρνεις, οἱ δεδεμένοι τὰς πτέρυγας.

137. «Νικήσας δ' ὁ Δρόνας τὸν Δρυσταδιούμναν, τὸν ἔχοντα
» λαμπρὰν ῥομφαίαν, ὡς τὸν θάνατον, τὸν ἔχοντα γλῶσ-
» σαν ἐκτεταμένην, ἀνεῖλεν ἐν ἀκαρεῖ δέκα μυριάδας
» ἡρώων.

138. «Προσελθὼν δ' ὁ Βήμας τῷ Δρόνᾳ, τῷ διδόντι φόβον τοῖς
» ἐχθροῖς, ἔφη· «Ἰού! τοῦ υἱοῦ σου θανόντος, σὺ πάλιν
« θανατοῖς, ὡς σαρκοβόρος δαίμων, καὶ περ ὢν Βραχμάν!»

139. « Ἀκούσας ὁ Δρόνας, ἔῤῥιψε τὰ ὅπλα, ἀφοβίαν δοὺς πᾶσι,
» καὶ καθίσας, ὡς θεωρητικὸς, ἐξήγαγε τὸ πνεῦμα ἐκ τοῦ
» βρέγματος.

140. «Ὁ δ' ἐλάχιστος Δρυσταδιούμνας ἐφώρμησεν ἐπὶ τὸ σῶ-
» μα τοῦ Δρόνα, παραδόντος πρότερον τὸ πνεῦμα, καθὼς
» ὁ ζόφος εἰσδύει εἰς τὸν αἰθέρα, δύσαντος τοῦ Ἡλίου.

141. Καί περ δὲ κωλυόμενος ὑπὸ τοῦ Ἀρζούνα, καὶ ἀποτροπια-
» ζόμενος ὑπὸ τῶν βασιλέων, λαβόμενος θυμῷ τῆς κε-
» φαλῆς τοῦ Δρόνα ἐκ τῶν τριχῶν, ἔκοψεν αὐτὴν μαχαίρᾳ.

142. «Τοῦ δὲ στρατοῦ τῶν Καουραβῶν φοβηθέντος, καὶ εἰς
» φυγὴν τραπέντος, ἐρωτήσαντι τῷ Ἀσβατάμᾳ «Τί τοῦτο;»
» εἶρηκε τὸ πᾶν ὁ Κριπᾶς εὐθέως, προσταχθεὶς ὑπὸ τοῦ
» Δουριοδάνα.

143. «Ὁ δ' Ἀσβατάμας, ὁ φοβερὸν ὄμμα φέρων ἐπὶ τοῦ με-
» τόπου, ὡς ὢν ἀπόῤῥοια τοῦ Ῥούδρα, θυμωθεὶς ἐπὶ τῷ
» θανάτῳ τοῦ πατρὸς, φοβερὸν εἶδος ἔσχεν, εἰς παγκό-
» σμιον φθοράν.

144. «Ἀνάρθρους δ' ἐξηρεύγετο λόγους θυμοῦ, ὡς δαυλοὺς
» πυρὸς, προστρίβων τὰς χεῖρας συνεχῶς, καὶ καταπλήτ-
» των τὸν κόσμον τῇ ἐξάψει τῆς ἑαυτοῦ θερμότητος.

145. « Ἆρα, ὡς τεθνεὼς ἐνομίσθην ἐγὼ ὑπ' ἐκείνων, οἳ ἀνήγ-
« γειλαν τῷ ἐμῷ πατρὶ τὸν ἐμὸν θάνατον, καὶ ἐλάβοντο
« αὐτοῦ ἐκ τῆς κόμης;

146. « Εἰ ὁ Ἰουδιστίρας, ὁ λέγων ἀλήθειαν ἀπὸ γενέσεως,
« ψεῦδος εἴρηκε σήμερον ὑπὲρ τοῦ θανάτου τοῦ διδασκά-
« λου, τίς πίστις ἔσται τοῖς ζῶσι Ξατραῖς;

147. « Σήμερον διὰ τῆς *Παραϊανάστρας*, τῆς δοθείσης παρὰ
« τοῦ πατρός μου, ποιήσω τὸν κόσμον ἄμοιρον τῶν τοῦ
« Δρουπάδα, καὶ τῶν τοῦ Πανδοῦ, καὶ αὐτοῦ τοῦ Κρισνᾶ.»

148. « Τοιαῦτα εἰπὼν, καθαρὸς γενόμενος, ἀνέλαβεν εὐθέως
» τὴν *Παραϊανάστραν*, ἐξ ἧς ἔτρεμον θεοί τε καὶ δαίμο-
» νες, ἀναβοῶν καὶ ἀνακεχυμένην ἔχων τὴν κόμην.

149. « Ἰδὼν δ' ὁ Ἀρζούνας τὴν στρατιὰν ταραττομένην τῇ
» βοῇ τοῦ Ἀσβατάμα, ἔφη δεινοπαθῶς τῷ Ἰουδιστίρᾳ,
» ἀνατείνας δεινῶς τὰς ὀφρύας·

150. « Εἰ ὁ διδάσκαλος, βασιλεῦ, ἀνῃρέθη ἄοπλος, πιστεύσας
« σοὶ τῷ λέγοντι ἀλήθειαν ἐκ γενέσεως, οὗτος ὁ υἱὸς ἐκεί-
« νου τίνι οἰστὸς ἔσεται;

151. « Φεῦ τῆς ἐφέσεως δόξης καὶ βασιλείας! μαθητὴς κακό-
« τροπος ἀπέκτεινε γέροντα διδάσκαλον, ῥίψαντα τὰ ὅπλα
« ἀπάτῃ!»

152. « Τοιαῦτα εἰρηκότος μετὰ θυμοῦ τοῦ υἱοῦ τοῦ Ἴνδρα, ὁ
» Βήμας ἀπεκρίνατο, ὀργιζόμενος, ποιήσας τὴν γῆν ἀν-
» τιβοᾷν·

153. « Σὺ, ὦ Ἀρζούνα, ὁ ὢν Ξατρὴς, τουτέστι πολεμικὸς, οὐ
« ποιεῖς ὀρθῶς, λαλῶν ὡς ἀπαθὴς καὶ θεωρητικός· τίς
« γὰρ ἂν θεωρήσειε τὸ δίκαιον, καὶ τὸ ὀρθὸν ἐν τρόπῳ
« θανάτου σκληροῦ ἐχθροῦ;

154. « Τί δ' ἂν ποιήσειεν ὁ υἱὸς τοῦ διδασκάλου, οὕτω με-
« γάλα βοῶν, ὅτε ἐγὼ, καὶ σὺ, καὶ ὁ Κρισνᾶς, πολε-
« μοῦμεν;»

155. « Τοῦ δὲ Βήμα τὸν λόγον ἐπιβεβαιώσας ὁ ἐκ τῆς θυσίας
» γεννηθεὶς Δρυσταδιούμνας, ἔλεξεν, ἀγανακτῶν, πρὸς
» τὸν Ἀρζούναν, τὸν υἱὸν τοῦ Ἴνδρα·

156. « Οὗτος ὁ ἀτάσθαλος καὶ σκληρὸς Βραχμὰν Δρόνας, ὁ « ἀναιρῶν διὰ τῆς Βραχμάστρας καὶ τοὺς ἀπείρους ὅπλων, « καὶ ἀδίκως καὶ ἀχαλίνως πολεμῶν, καὶ ἐχθρικὸς ὢν « τοῦ ἐμοῦ πατρὸς, ἀνῃρέθη ὑπ' ἐμοῦ.

157. « Ὁ δὲ προπάτωρ Βήσμας, καὶ ὁ γέρων Βαγαδάττας, ὁ « φίλος τοῦ σοῦ πατρὸς, οἱ πολεμοῦντες νομίμως, τίνι « τρόπῳ ἀνῃρέθησαν ὑπὸ σοῦ; εἰπέ. »

158. « Τοιαῦτα εἰπόντος τοῦ Δρυσταδιούμνα, ὁ μὲν Ἀρζούνας » ἐνητένισε πρὸς αὐτὸν ἀγριωπῶς· ὁ δὲ Σατεκὴς ἀπεκρί- » νατο, ἐρυθρὸς ὢν τὸ ὄμμα θυμῷ, ὡς πυρί·

159. « Οὐαὶ ἡμῖν τοῖς κακοτρόποις, οἳ βλέπομεν ἐνώπιον σὲ « τὸν φονέα σεβασμίου ἀνδρὸς ἥσυχοι, καί περ ὄντα ἄξιον « θανάτου! »

160. « Πρὸς ὃν ἔφη ὁ Δρυσταδιούμνας· « Ὁ Βουριδάτας [1] ἐκεῖ- « νος, οὗ ἡ χεὶρ ἐκόπη ὑπὸ τοῦ Ἀρζούνα, ὑπὸ τίνος « ἀνῃρέθη, ὅτε ἦν ἐν θεωρίᾳ, ὁ πολλὰς θυσίας τελῶν, καὶ « σημαίαν ἔχων τὴν ἐν τῇ θυσίᾳ στήλην; »

161. « Ὁ μὲν οὖν Σατεκὴς, καὶ ὁ Δρυσταδιούμνας, ἕτοιμοι » ὄντες ἀλληλοκτονῆσαι, ἔφασαν πρὸς ἀλλήλους· « Ὦ μιαι- « φόνε καὶ κακοῦργε, εἰ πάλιν εἴποις τοιοῦτον λόγον, « ἀποκτενῶ σε. »

162. « Ἐπεσχέθησαν δὲ ξιφουλκοὶ ὄντες, ὑπὸ τοῦ Βήμα, τῷ » λόγῳ τοῦ Κρισνᾶ· ἡ δὲ *Ναραϊανάστρα* τοῦ Ἀσβατάμα » ἐφέρετο, καταλάμπουσα καὶ καταφλογίζουσα πᾶσαν » διάστασιν τοῦ τόπου.

163. « Βλέπων δ' ὁ Ἰουδιστίρας τὴν στρατιὰν πάσχουσαν ὑπὸ » τῶν πολυειδῶν ὅπλων, τῶν ἐξερχομένων ἐκ τῆς *Να-*

---

1. Ὁ καὶ Βουρισραβᾶς. — Ὁ Σατεκὴς ἔκοψε τὴν κεφαλὴν αὐτοῦ, ὄντος ἐν θεωρίᾳ.

» ραϊαράστρας, ἀτενίσας πρὸς τὸν Ἀρζούναν, ἔφη τοῖς » βασιλεῦσιν·

164. « Οὗτος ὁ Δρόνας ἐστὶν, ὃς ἔκτεινε δόλῳ τὸν ἔφηβον καὶ « ἁβρὸν Ἀβημανιοῦν [1]· παρίημι τὸν Σατεζίτην, καὶ ἄλ- » λους τοιούτους ἥρωας.

165. « Οὗτος ὁ Δρόνας ἐστὶν, ὃς ἔδωκε τῷ Δουριοδάνᾳ δυσ- « διάῤῥηκτον θεῖον θώρακα· τούτου τοῦ γέροντος ἐπὶ τῷ « θανάτῳ, ὀργισθεὶς, ἀδιάφορος ἐγένετο ἐν πολέμῳ ὁ « Ἀρζούνας.

166. « Σωτηρία ἔστω τούτῳ τῷ Ἀρζούνᾳ· φύγετε ὑμεῖς· « ἐγὼ δ' αὐτὸς ἐμπεσοῦμαι τῷ πυρὶ τοῦ Ἀσβατάμα· ὑπὸ « τίνος γὰρ νικηθείη ἂν οὗτος, ὁ ὅμοιος τῷ Κάλᾳ ; »

167. « Ὁ δὲ Κρισνᾶς, ἀνατείνας τὴν χεῖρα, εἶπε πρὸς τοὺς » κατακαιομένους βασιλεῖς· « Οὐ κατακαυθήσονται ὑπὸ « τοῦ ὅπλου τοῦ Ἀσβατάμα, οἵτινες ἀφήσουσι τὰ ὅπλα « καὶ τὰ ἅρματα. »

168. « Ἀκούσας ὁ Βήμας, ἔφη· « Μὴ φοβήθητε, βασιλεῖς· « ἴδετε· ἐγὼ τοῦτον τὸν ἄσπλαγχνον Ἀσβατάμαν ἀπο- « κτενῶ ταύτῃ τῇ κορύνῃ. »

169. « Τοιαῦτα εἰπὼν, ἵη εἰς τὸ πρόσω, θέων, καὶ ἀναβοῶν· » ὁ δ' Ἀσβατάμας, γελάσας, ἔφη· « Οὗτος μωρός ἐστι· » » καὶ ἐπλήρωσεν αὐτὸν βελῶν.

170. « Τὸ δὲ πυροβόλον ὅπλον τοῦ Ἀσβατάμα ἀφῆκε τοὺς » βασιλεῖς [1], τοὺς ἀφέντας τὰ ὅπλα καὶ τὰ ἅρματα, καὶ

---

1. Ὁ Ἀρζούνας ἐξ αἰτίας τοῦ θανάτου τοῦ διδασκάλου Δρόνα περίλυπος ἦν, καὶ ἀργὸς καὶ ψυχρὸς εἰς πόλεμον· διὰ τοῦτο ὁ Ἰουδιστίρας προτείνει ταῦτα, εἰς ἔξαψιν τοῦ θυμοῦ αὐτοῦ.

2. Τὸ πυροβόλον ἐκεῖνο ὅπλον ἦν πρότερον διηρημένον εἰς φλόγας πολλὰς, εἰς τὸ κατακαῦσαι πολλούς· ἤδη δὲ ἓν ἐγένετο εἰς τὸ κατακαῦσαι μόνον τὸν Βήμαν.

» ἓν γογονὸς, ἦλθε κατὰ τοῦ Βήμα, τοῦ φόβου τῶν » ἐχθρῶν.

171. « Τηνικαῦτα ὁ Βήμας, περιεστοιχισμένος φλοξὶ πολλαῖς » τοῦ ὅπλου, ἐφαίνετο, ὡς φλογερὸς Ἥλιος [1], περιεστοι- » χισμένος τῷ ἐπὶ τῆς συντελείας τοῦ αἰῶνος πυρί.

172. « Ὁ δ' Ἀρζούνας ἔῤῥιψε τὴν *Βαρουνάστραν* [2] εἰς δια- » φύλαξιν τοῦ Βήμα· ἀλλὰ κἀκείνη ἀλυσιτελὴς [3] ἐγέ- » νετο ὑπὸ τῆς ἰσχυρᾶς Ναραϊανάστρας.

173. « Πολεμῶν δ' ὁ Βήμας σταθερῶς, καίπερ καταφλεγόμε- » νος τῇ Ναραϊανάστρᾳ, εἰς ἀπορίαν ἤγαγε τὸν νοῦν καὶ » αὐτῶν τῶν οὐρανοπόλων θεῶν.

174. « Ὁ δὲ Κρισνᾶς καὶ ὁ Ἀρζούνας, ἀφέντες τὸ ἑαυτῶν ἅρ- » μα, τὸ ἔχον ἵππους ἐραδεῖς ἐκ τῆς φλογὸς, ἔδραμον » πεζοὶ, καὶ ἐλκύσαντες τὸν Βήμαν ἀπὸ τοῦ ἅρματος, » ἔῤῥιψαν βία καὶ τὰ ὅπλα αὐτοῦ.

175. « Ἐσβέσθη δ' ἐκεῖνο τὸ πύρινον ὅπλον σὺν τῷ πάθει τοῦ » στρατοῦ τῶν Πανδοϊδῶν, καὶ τῷ ἄχθει τοῦ κόσμου, » καὶ τῇ ἐφέσει [4] τοῦ Ἀσβατάμα.

176. « Παρακληθεὶς δ' ὑπὸ τοῦ Δουριοδάνα ὁ Ἀσβατάμας εἰς » τὸ ῥίψαι πάλιν ἐκεῖνο τὸ ὅπλον, καὶ εἰπὼν, ὡς οὐ » ῥιπτέον δὶς τὸ θεῖον ὅπλον, ἐφώρμησε τολμηρῶς [5].

177. Νικήσας δὲ βέλεσι πολλοῖς, ὡς κεραυνοῖς, τὸν Σατεκὴν » καὶ τὸν Δρυσταδιούμναν, ἐγκάτοικον ἐποίησεν ἐν τῇ » πόλει τοῦ Ἰάμα τὸν βασιλέα Σουδαρσσάναν, τὸν υἱὸν » τοῦ Πουροῦ.

---

1. Ὁ Βήμας φλογερὸς ἦν πρότερον, φλογερότερος δ' ἤδη ἐγένετο.
2. Βαρουνάστρα ὅπλον τοῦ Βαρούνα, ὅ ἐστιν ὑδροβόλον.
3. Ἀνενέργητος.
4. Ἣν εἶχεν εἰς τὸ κατακαῦσαι.
5. Ὑπερήφανος (ἔκφρ. τοῦ πρωτοτύπου).

178. « Ὁ μὲν οὖν Ἀσβατάμας, ἐπέδραμε κατὰ τῆς στρατιᾶς
» τοῦ Ἰουδιστίρα, φευγούσης φόβῳ· ἐπισχεθεὶς δ' ὑπὸ τοῦ
» Ἀρζούνα, ἔῤῥιψε τὸ θεῖον ὅπλον.

179. « Οἱ δὲ στρατιῶται, θιγόμενοι ταῖς φλοξὶν ἐκείνου τοῦ
» πυρίνου ὅπλου, ἐφαίνοντο ὥσπερ εἰ ἐλείχοντο ταῖς
» γλώσσαις τῶν διακόνων τοῦ θανάτου.

180. « Κατακαῦσαν δ' εὐθέως ἐκεῖνο τὸ ὅπλον μίαν Ἀξάου-
» χινὴν, οὗ ἐκ τοῦ βαθέως καπνοῦ ὁ μὲν Ἥλιος ἐσκοτίσθη,
» τὰ δ' ἄστρα ἀνεφάνη, ἦλθε κατὰ τοῦ Κρισνᾶ καὶ Ἀρ-
» ζούνα.

181. « Οἱ δὲ δύω μέλανες, οἱ ὄντες ἐν τῇ κεφαλῇ τῆς μά-
» χης [1], ἐμπεριειλημμένοι ταῖς φλοξὶν ἐκείνου τοῦ πυρί-
» νου ὅπλου, ἐφαίνοντο, ὡς κυάνεοι λίθοι, ἐντεθειμένοι
» ἐν μέσῳ χρυσῶν ἐνωτίων.

182. « Κατασβέσας δ' ὁ Ἀρζούνας τὸ πῦρ ἐκεῖνο διὰ τῆς ρι-
» φθείσης *Βραχμάστρας*, ἐφαίνετο λίαν ἔκλαμπρος, ὥς-
» περ χρυσὸς, ὃς ἐξάγεται ἐκ πυρός.

183. « Μὴ ποιήσας δὲ τὴν γῆν ἄνευ τῶν Πανδοϊδῶν ὁ Ἀ-
» σβατάμας, ἀποσβεσθέντος τοῦ πυρίνου ὅπλου, ψέγων
» τὰ θεῖα ὅπλα, εἶδεν ἐξαίφνης τὸν Βεάσαν.

184. « Καταβὰς δὲ ἀπὸ τοῦ ἅρματος, καὶ προσκυνήσας τὸν
» ὅσιον, ἠρώτησε· « Τίνος ἕνεκα τὸ ὅπλον μου ἀνενέρ-
» γητον ἐγένετο κατὰ τοῦ Κρισνᾶ καὶ Ἀρζούνα;

185. « Πρὸς ὃν ἀπεκρίνατο ὁ ὅσιος· « Γίνωσκε, τέκνον, ὡς
« οὗτοι, ὁ Κρισνᾶς καὶ ὁ Ἀρζούνας, ἐκεῖνοί εἰσιν οἱ ἀ-
« σκούμενοι Νάρας καὶ Ναραϊάνας, οἳ ἐνηνθρώπησαν.

186. « Ὁ μὲν Ναραϊάνας [2], ἀσκήσει χρησάμενος ἑβδομηκον-

---

1. Δηλ. πρόμαχοι.
2. Ὁ Ναραϊάνας ὁ Κρισνᾶς ἐστι.

« τακισχίλια ἔτη, λατρεύων τῷ φαλῷ, καὶ τιμῶν τὸν « Σίβαν, ὅμοιος αὐτῷ ἐγένετο [1].

187. « Σὺ δὲ, θεραπεύων καὶ τιμῶν τὴν εἰκόνα τοῦ Σίβα, « ἔτυχες μοίρας, ἐκείνου τοῦ Σίβα. Ὁ μὲν γὰρ φαλὸς, ἡ « φύσις ἐστὶ τοῦ παντός· ἡ δὲ εἰκὼν τοῦ Σίβα, μέρος « ἐστὶ τοῦ παντός.

188. « Ὅθεν σὺ, ὁ ὢν μοῖρα τοῦ Σίβα, μὴ ἀντίστηθι τῇ δυ- « νάμει τοῦ Ἀρζούνα καὶ τοῦ Κρισνᾶ, οἵ εἰσιν αὐτὸς ὁ « Σίβας, καὶ ἀεὶ ὁμοφυεῖς [2]· »

189. « Τοιαῦτα εἰπόντος τοῦ Βεάσα, καὶ ἀφάντου γενομένου, » ὁ Ἀσβατάμας, προσκυνήσας τῷ νοΐ τὸν Σίβαν, ἔγνω » τὸν Κρισνᾶν καὶ τὸν Ἀρζούναν μορφὰς τοῦ Σίβα, καὶ » ἀφῆκε τὸν θυμόν.

190. « Παυσαμένων δὲ τῶν βασιλέων τοῦ πολεμεῖν, ἐπαύ- » σατο καὶ ὁ Ἀρζούνας· καὶ πορευόμενος εἰς κατασκή- » νωσιν, ἐθεάσατο τὸν Βεάσαν καθ' ὁδόν.

191. « Προσκυνήσας δὲ τὸν ὅσιον, ἤρετο· « Ὡράθη ὑπ' ἐμοῦ « ἄνθρωπός τις, τρίαιναν ἔχων ἐν χειρὶ, καὶ ἀναιρῶν τοὺς « ἀπογόνους τοῦ Κουρυῦ ταῖς τρισὶν αἰχμαῖς, ὡς τρισὶ « γλώσσαις, ἱκαναῖς εἰς ἀνάλωσιν τῶν τριῶν κόσμων· « τίς οὗτός ἐστι ; »

192. « Πρὸς ὃν ἀπεκρίνατο ὁ ὅσιος· « Οὗτός ἐστιν ὁ Σίβας [3], « ὁ γαμέτης τῆς θυγατρὸς τοῦ ὄρους Ἰμαοῦ, ἡ Καλπαβρίξα « τῶν τριῶν κόσμων, ὃς ἐπὶ σοὶ ἐχάρη, χάριτι τοῦ Κρισνᾶ.

---

1. Δηλ. ἦττων εἶ τοῦ Κρισνᾶ· ἐπειδὴ ἐκεῖνος μὲν αὐτός ἐστιν ὁ Σίβας, σὺ δὲ μοῖρα καὶ μέλος τοῦ Σίβα. Ὁ μὲν φαλὸς αὐτό ἐστι τὸ πᾶν· ἡ δὲ μορφὴ τοῦ Σίβα μέρος ἐστὶ τοῦ παντός. Ἐντεῦθεν ἀποδεικνύεται, ὡς ὁ φαλὸς, φύσις ἐστὶ τοῦ παντός.

2. Τὴν αὐτὴν ἔχουσιν ἀμφότεροι φύσιν.

3. Ὁ πάντα πᾶσι τὰ ἑφετὰ διδούς.

193. « Τοῦτον γίνωσκε αἴτιον [1], ἀναίτιον [2], δεσπότην, ἀδέ-
» σποτον, γνωστὸν, ἄγνωστον, ἐραστὸν καὶ ἀνέραστον [3].
194. « Τοιαύτην θεολογίαν ἀναπτύξαντος τοῦ Βεάσα πρὸς τὸν
» Ἀρζούναν, καὶ ἀπελθόντος, οἱ ἥρωες ἦλθον ἕκαστος
» εἰς τὰ ἑαυτῶν κατασκηνώματα περὶ τὴν ἑσπέραν· καὶ
» ποιήσαντες τὴν νύκτα, ὡς ἡμέραν, τῇ ἀγλαΐᾳ τοῦ
» ἑαυτῶν σώματος, διηγοῦντο πρὸς ἀλλήλους τὰ τῶν
» ἀρίστων ἡρώων ἀνδραγαθήματα. »

Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ καλοῦ διδασκάλου Ζηναδάτα ὁ ἐγκρατὴς Ἀμάρας, οὗ τῆς γλώττης ἔργον ἐστὶν ἡ Βαλαβαράτα, τὸ μέγα Ποίημα, τὸ χαρὰν παρέχον τοῖς ποιηταῖς, καὶ πηγὴ ὂν ἀμβροσίας· οὗ ἡ Ἑβδόμη Πάρβα, ἣ ὄνομα *Δροναπάρβα*, ἔλαβε πέρας.

Ἐν ταύτῃ τῇ Πάρβᾳ ἐμπεριέχονται τέσσαρα μὲν Κεφάλαια, ἑξακόσιοι δὲ καὶ ἑβδομήκοντα ἑπτὰ στίχοι, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Τετάρτου Κεφαλαίου,
τοῦ Ἑβδόμου Βιβλίου
τῆς
Βαλαβαράτας.

---

1. Αἴτιός ἐστι καὶ ἀρχὴ τῆς ὑπάρξεως πάντων.
2. Ἀναίτιος, δηλ. μὴ ἔχων ἀρχὴν τῆς ἑαυτοῦ ὑπάρξεως.
3. Ἐρᾶται μὲν ὑπὸ πάντων, αὐτὸς δὲ οὐδενὸς ἐρᾷ, ἀνενδεὴς δηλ.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ [1],

ὃ διαλαμβάνει τὸν θάνατον τοῦ Καρνᾶ.

1. Ὁ Βισνοῦς, ὁ γενόμενος Βεάσας, ὥστε εἰπεῖν τὰ ἑαυτοῦ κατορθώματα ἐπὶ σωτηρίᾳ τοῦ κόσμου, τὰ ἄρρητα καὶ τῷ λόγῳ τῆς τοῦ λόγου ἐφόρου θεᾶς, διαφυλάττοι ὑμᾶς.
2. Ὁ δὲ Σανζαΐας, ἀποτείνας τὸ ὅμμα εἰς τὴν Κουρουξέτραν, καὶ ἰδὼν τὸν μέγιστον πόλεμον, ἔφη τῷ Δρυταράστρᾳ, ἀχθομένῳ διὰ τὸν θάνατον τοῦ Δρόνα·
3. « Μετὰ τὸν Δρόναν, ψηφισθεὶς ἀρχιστράτηγος τῶν Καου-
» ραβῶν ὁ Καρνᾶς, τῇ γνώμῃ τοῦ Ἀσβατάμα, ὑπὸ τοῦ
» βασιλέως Δουριοδάνα, ἔβλεπε τὸν τριττὸν κόσμον, ὡς
» ἄχυρον, ὄμματι φλογερῷ ἐκ θυμοῦ, ὡς πυρός·
4. « Τάξας δ' εἰς σχῆμα κροκοδείλου τὸν στρατὸν ὁ Καρ-
» νᾶς, ᾧ βασιλεῦ, ῥίπτων βέλη νικητικὰ τοῦ κόσμου, ὡς
» ἄλλος Ἔρως, τίνος καρδίαν οὐκ ἐτάραξεν;
5. « Ὁ δ' Ἀρζούνας, κοσμήσας τὴν γῆν, τὴν μορφὴν τοῦ
» Σίβα, τῷ ἑαυτοῦ στρατῷ, ταχθέντι εἰς σχῆμα διχο-
» τόμου Σελήνης, ἔκαιεν, ἔμπροσθεν τοῦ πολεμίου στρα-
» τοῦ, ὡς ὁ προμετώπιος ὀφθαλμὸς τοῦ Σίβα, δεινὸς ὢν
» καὶ φοβερὸς τοῖς φλογεροῖς ὅπλοις.
6. « Ἀντεφώρμησαν δ' οἱ μαχηταὶ, κοσμοῦντες τὸν αἰθέρα
» σπινθῆρσιν, ὥσπερ θραύμασι συντετριμμένων ἀκτίνων
» τοῦ Ἡλίου, τοῖς ἐξαγομένοις ἐκ τῶν συναρασσομένων
» ἀλλήλοις βελῶν.

---

1. Τὸ ὄγδοον Βιβλίον μονοκέφαλόν ἐστι.

7. «Ἐκ δὲ τῶν χεομένων αἱμάτων [1] ἔνθεν καὶ ἔνθεν, ἐφαί-
» νετο, ὡς ἡ γῆ ἐκοσμήθη μεμιγμένοις κρόκῳ ἱδρῶσιν
» ἑκατέρας τῆς νίκης [2], τῆς ἱδρούσης ἐκ τῆς θερμότητος
» τῶν βασιλέων ἑκατέρου τοῦ στρατοῦ.

8. «Περὶ δὲ τὴν ἕω, ἐκ τοῦ ἐφάλλεσθαι εἰς ὕψος τὰς κε-
» φαλὰς [3] σὺν τοῖς ἐνωτίοις, κοπτομένας τοῖς ξυροειδέσι
» βέλεσι τῶν πολεμίων, ἐδόκει, ὥςπερ εἰ προαπάντησις
» ἐγίνετο [4] τοῦ φίλου Ἡλίου ὑπὸ τῶν λωτῶν, καὶ ὑπὸ
» τοῦ ζεύγους τῶν χηναλωπέκων [5].

9. «Ὑπὸ δὲ τοῦ Βήμα, ἐποχουμένου ἐλέφαντι, ὁ βασιλεὺς
» Κουλούτας [6] ἀνῃρέθη, καὶ ὁ ἐλέφας αὐτοῦ, ὃς ἐρυθρὰς
» ἐποίει τὰς κούμβας τῶν ἐλεφάντων τῶν μερῶν τοῦ κό-
» σμου, ὡς κιναβάρει, τῷ διαχεομένῳ αἵματι ἐκ τῆς πλη-
» γῆς τῆς κορύνης.

10. «Τοῦ δ' Ἡλίου καλυφθέντος πολλῇ κόνει, διηκούσῃ μέ-
» χρις εἰς οὐρανόν, ὁ υἱὸς τοῦ Ἡλίου κατέπαυσε τὴν κόνιν
» βροχῇ αἱμάτων τῶν πολεμίων, ἀναιρουμένων τοῖς
» ὅπλοις αὐτοῦ.

11. «Ἀνελὼν δ' ὁ υἱὸς τοῦ Ἴνδρα φάλαγγας ῥιψοκινδύνων
» ἀνδρῶν, ἐποίησε τὴν γῆν τοῦ πολέμου πλήρη αἵματος

---

1. Τὸ μὲν αἷμά ἐστιν, ὡς ἱδρὼς, ἡ δὲ Νίκη ὡς γυνή· τῆς δὲ γυναικὸς ἀληλιμμένης κρόκῳ, ὁ ἱδρὼς ξανθὸς γίνεται.

2. Ἑκάτερος ὁ στρατὸς νίκην ηὔχετο, καὶ διὰ τοῦτο δύω νίκας ὁ ποιητὴς ὑποτίθησι.

3. Αἱ κεφαλαὶ, ὡς λωτοὶ, τὰ δὲ ζεύγη τῶν ἐνωτίων, ὡς ζεύγη χηναλωπέκων.

4. Ἐφαίνετο, ὥςπερ εἰ ἐποίουν ὑποδοχὴν τοῦ ἀνατέλλοντος Ἡλίου.

5. Οἱ λωτοὶ καὶ οἱ χηναλώπεκες· περὶ γὰρ τὴν ἕω, ὅτε ἀνατέλλει ὁ Ἥλιος, καὶ οἱ λωτοὶ θάλλουσι καὶ οἱ χηναλώπεκες χαίρουσιν, ὡς μιγέντες μετὰ τὴν νυκτερινὴν διάζευξιν.

6. Ὄνομαστὸς ἦν ἐπὶ τῇ κορύνῃ ὁ Κουλούτας.

» ἐρυθροῦ [1], ὥςπερ βλέμματος τοῦ πυροειδοῦς αὐτοῦ » θυμοῦ.

12. « Δύω δὲ βασιλεῖς ὁμομήτριοι, ὁ Δανδαδάρας, καὶ ὁ » Δάνδας, καταβληθέντες ἐκ τῆς θερμότητος τοῦ Ἀρ- » ζούνα, ἦλθον εἰς τὸν δίσκον τοῦ Ἡλίου, ὥςπερ αἰτήσον- » τες πολλὴν θερμότητα.

13. « Ἐφώρμησε δὲ καὶ ὁ βασιλεὺς Πανδέας, ὁ ὢν τῆς μὲν » στρατιᾶς τῶν Πανδοϊδῶν κορυφαῖος πολύτιμος λίθος, » τῆς δὲ τῶν Καουραβῶν Ῥούδρας [2] ἐπὶ τῆς συντελείας » τοῦ αἰῶνος, καὶ βραχίονας ἔχων ὁμοίους τῷ ὀφιοβασι- » λεῖ, καὶ ἐπαιρόμενος, ὅτι κρείττων ἐστὶ παντὸς ἄλλου.

14. « Τούτου τὴν κεφαλὴν, τοῦ ἀνωτέρου καὶ αὐτοῦ τοῦ Καρ- » νᾶ ἐν πολέμῳ, τὴν κοπεῖσαν τῷ ξυροειδεῖ βέλει τοῦ » Ἀσβατάμα, καὶ πεσοῦσαν, καὶ λαμπρύνασαν πάντα τὰ » μέρη τοῖς λαμπροῖς κοσμήμασι, τίς ἰδὼν, οὐκ ἔτεινε » τὸ ὄμμα εἰς τὸν Ἥλιον [3];

15. « Τὴν δὲ κεφαλὴν τοῦ βασιλέως τῶν Βαρβάρων, τοῦ ἐν » μεγάλοις πολέμοις θρασέος, διατεμὸν τὸ μέγα βέλος » τοῦ Νακούλα, εἰσέβη εἰς τὴν γῆν, ὥστε λούσασθαι ἐν » τῇ ὑπὸ γῆν Γαγγᾷ [4].

16. « Ὁ δ' ἀγαθὸς καὶ μεγαλόφρων Καρνᾶς, ὁ νικητὴς τῶν » ἐχθρῶν, καὶ περιβόητος ἐν παντὶ μέρει, οὐκ ἀνεῖλε τὸν

---

1. Τὸ αἷμα ἦν τὸ πυροειδὲς αὐτοῦ βλέμμα.

2. Δηλ. φθοροποιός.

3. Πᾶς τις ἐνόμισεν, ὅτι ὁ Ἥλιος ἔπεσεν.

4. Ἀκάθαρτον ἐγένετο τὸ βέλος, ἐπειδὴ ἔκοψε τὴν κεφαλὴν τοῦ ἀκαθάρτου, καὶ διὰ τοῦτο εἰσέδυ εἰς τὴν γῆν, πεσὸν εἰς τὸ λούσασθαι ἐν τῇ ὑπὸ γῆν Γαγγᾷ, καὶ καθαρθῆναι. Μυθολογεῖται, ὡς ἡ Γαγγὰ εἰς τρεῖς ῥύακας διαιρεῖται, ἐξ ὧν ὁ μὲν ῥέει εἰς τὸν οὐρανὸν, ὁ δὲ εἰς τὸν ἐπιχθόνιον κόσμον, ὁ δὲ εἰς τὸν ὑποχθόνιον.

» Νακούλαν, ἐλθόντα κατὰ συγκυρίαν εἰς τὸ πρόσω, ἐνθυ-
» μούμενος τὸν λόγον τῆς μητρός.

17. « Ἐκ δὲ τῶν διηκόντων μέχρι τοῦ οὐρανοῦ συνεχῶν
» βελῶν τῶν πολεμικῶν, τῶν πολεμούντων ἀλλήλοις, οἱ
» ἵπποι τοῦ Ἡλίου ἦλθον ταχέως εἰς τὸ τέρμα τοῦ οὐρα-
» νοῦ [1], νομίσαντες, ὅτι τὰ βέλη ἦσαν, ὡς πανταχό-
» θεν βάλλουσαι μάστιγες.

Πρώτη ἡμέρα τοῦ πολέμου τοῦ Καρνᾶ.

18. « Παυσαμένων τῶν ἡρώων τοῦ πολέμου κατὰ τὴν νύκτα,
» περὶ δὲ τὴν ἕω καθοπλισθέντων πάλιν εἰς πόλεμον,
» ὁ Καρνᾶς ἠγλαΐσθη διὰ λόγου, ὃς ἐπλήρωσεν ἡδύτη-
» τος τὸ οὖς τοῦ Δουριοδάνα, ὡς ποταμὸς ἀμβροσίας,
» ῥέων ἐξ ὄρους.

19. « Οἶαι, ὦ βασιλεῦ, ἔφη, χάριτες ἐγένοντο ὑπὸ σοῦ πρὸς
» ἐμὲ, τοὺς μὲν εὐμενεῖς εὐφραίνουσαι, τοὺς δὲ δυσμενεῖς
« ἀνιῶσαι, τούτων ἐγὼ ἀμοιβὴν ποιήσομαι σήμερον· κα-
« τακαύσω γὰρ τὴν ἔφεσιν τοῦ Ἀρζούνα, διακαὴς ὤν.

20. « Τῇ τε ἀνδρείᾳ τῆς ψυχῆς καὶ τῇ δυνάμει τοῦ σώματος,
« καὶ τῇ περὶ τὰ ὅπλα τέχνῃ κρείττων εἰμὶ ἐγὼ τοῦ
« Ἀρζούνα· ἐκεῖνος δὲ κρείττων ἐστὶν ἐμοῦ, διότι ἔχει
« ἀγαθὸν ἡνίοχον· ὅθεν δός μοι τὸν Σαλέαν, τὸν κρείττονα
« τοῦ Κρισνᾶ ἡνίοχον· ἐγὼ δὲ δώσω σοι σήμερον τὴν κα-
« λὴν νίκην. »

21. « Τούτων εἰρημένων, παρακληθεὶς ὁ Σαλέας εἰς τὸ γενέ-
» σθαι ἡνίοχος τοῦ Καρνᾶ, ἔφη, ἀσχάλλων· » Οἴμοι! σὺ
« γὰρ θέλεις με εἶναι ἡνίοχον υἱοῦ ἡνιόχου, τὸν ὄντα ἱκα-
« νὸν νικῆσαι πάντα τὸν κόσμον. »

---

1. Νὺξ ἐγένετο.

22. « Πρὸς ὃν ἀπεκρίνατο ἱλαρῶς ὁ βασιλεύς· « ὦ στέφανε « τῶν ἡρώων, μὴ ἀγανάκτει· ἐν γὰρ τῷ σταδίῳ μεγάλου « πολέμου ἡνιόχους δεῖ εἶναι κρείττονας τῶν παραβατῶν.

23. « Ὅθεν ἀνάδεξαι γενέσθαι ἡνίοχος τοῦ Καρνᾶ, καθὼς ὁ ἄ- « νεμος τοῦ πυρὸς, καθὼς ὁ Βραχμᾶς τοῦ Σίβα [1], καὶ « καθὼς ὁ Κρισνᾶς τοῦ Ἀρζούνα. »

24. « Τοιούτοις λόγοις, ὡς χυμοῖς ἡδέσιν ἀμβροσίας, ἡσθεὶς ὁ » Σαλέας, ἔφη προθύμως· « Γίνομαι ἐγὼ ἡνίοχος τοῦ υἱοῦ « τοῦ Ἡλίου, ἂν μὴ κωλύωμαι λέγειν ὅ,τι προαιροῦμαι [2].

25. « Τηνικαῦτα ὁ Καρνᾶς, διάδημα ἔχων λευκὸν, ἀνέβη ἐπὶ » λευκιππον ἅρμα, ὃ ἐδόθη παρὰ τοῦ Παρασσουράμα, ἡνίο- » χον ἔχων τὸν Σαλέαν, καὶ εἰκόνα ἐλέφαντος ἐπὶ τῆς » σημαίας.

26. « Τῶν δὲ Καουραβῶν διαῤῥηξάντων πάντα τὰ μέρη ἐκ » τοῦ βροντοειδοῦς ἀλαλαγμοῦ, ὁ Καρνᾶς, διατινάσσων » τὸ τόξον, ἔφη τῷ Σαλέᾳ· « Σήμερον ἐγὼ κτενῶ τὸν « Ἀρζούναν, καὶ φροῦδος ἔσται ὁ λόγος οὗτος· « Ὅπου « ὁ Κρισνᾶς, ἐκεῖ καὶ ἡ νίκη. »

27. « Ὑπ' ἐμοῦ ἀναιρεθέντος τοῦ υἱοῦ τοῦ Ἴνδρα, ὁ Ἴνδρας θυ- « μῷ ὄψεται τοῖς ἐν ποσὶν ὄμμασιν τὰ πρόσωπα τῶν « θείων εἰκόνων [3] τῶν ὅπλων, ἃ ἐλεύσονται εἰς προσκύ- » νησιν, κύπτοντα ἐξ αἰσχύνης [4].

---

1. Ὅτε ὁ Σίβας ἀπῆλθε κατὰ τῆς Τριπούρας, ὁ μὲν γῆ ἦν ἅρμα, ἡ δὲ Σελήνη καὶ ὁ Ἥλιος τροχοὶ, ὁ δὲ Βισνοῦς βέλος, ὁ δὲ Βραχμᾶς ἡνίοχος, ὁ δὲ Σέσσας δράκων ἱμάς. Οὗτος ὁ μῦθος ἐστὶν ἐν τῇ Μαχαβαράτᾳ.

2. Καὶ ὕβρεις δηλ.

3. Θεῖαι εἰκόνες, τουτέστιν ἰδέαι τῶν ὅπλων.

4. Μὴ δυνηθέντα σῶσαι τὰ ὅπλα τὸν υἱὸν τοῦ Ἴνδρα, κύψουσι ἐξ αἰ- σχύνης· καὶ διὰ τοῦτο ὄψεται ὁ Ἴνδρας τὰ πρόσωπα αὐτῶν τοῖς ἐν πο- σὶν ὄμμασιν· πανταχοῦ γὰρ τοῦ σώματος ὄμματα ἔχει ὁ Ἴνδρας, ὡς χιλιόμματος.

28. « Γελάσας δ' ὁ Σαλέας, ἔφη· « Διὰ τί, ὦ Καρνᾶ, οὐκ « αἰσχύνῃ, λέγων, ὅ,τι ἐπέρχεταί σοι; ὑπὸ τίνος οὐχ « ὡράθη ἥτε σὺ, καὶ ἡ τοῦ Ἀρζούνα δύναμις, ἔντε τῇ πρὸς « τοὺς Γανδάρβας μάχῃ, καὶ ἐν τῇ τῶν βοῶν ἁλώσει; »

29. « Εἰπὼν δ' ὁ Καρνᾶς πρὸς τὸν Σαλέαν, « Σήμερον ὄψει « τὴν ἐμὴν δύναμιν, » ἔφη τοῖς ἑαυτοῦ ὑπηρέταις· « Ἐρεύ- « νήσατε ποῦ ἐστιν ὁ νικήσας τὸν Ἰνδραν καὶ τὸν Ῥού- « δραν Ἀρζούνας, δι' ὃν τὰ ἐμὰ βέλη ἀδημονοῦντά « εἰσιν.

30. « Ὅστις δείξει μοι τὸν Ἀρζούναν σήμερον, τούτῳ δωρή- « σομαι δῶρα πολλὰ, πολυτίμους λίθους, γυναῖκας, ἵπ- « πους, ἐλέφαντας, ἀγαθὰς κώμας, ἢ ὅ,τι ἄλλο ἀγαθὸν « αὐτὸς θέλει. »

31. « Πρὸς ὃν ἔφη γελῶν ὁ Σαλέας· « Ἐγὼ οἶδα, ὦ Καρνᾶ, « ὡς ἀληθὴς ἔσται σου οὗτος ὁ λόγος· ὁ γὰρ Ἀρζούνας « αὐτὸς ἑαυτὸν δείξας, λήψεται τὸ πνεῦμά σου τὸ ἐπι- « θυμητὸν αὐτῷ.

32. « Σὺ, ὁ τρεφόμενος, ὡς δοῦλος, ὑπὸ τοῦ Δουριοδάνα, μὴ « ἔριζε ἐν πολέμῳ τῷ Ἀρζούνᾳ, τῷ ὄντι κληρονόμῳ βα- « σιλείας, καθὼς ὁ κολοιὸς, ὁ ἔδων τὰ ἀπορριπτόμενα « λείψανα τῶν ἐρωμάτων, ἤριζεν ἐν πτήσει τῷ χηνὶ, τῷ « ἔδοντι χρυσοῦς λωτούς.

33. « Ἐν τοσούτῳ πήδα εἰς ὕψος μέγα, ὦ Καρνᾶ, ὡς ἔλαφος, « ἐν ὅσῳ ὁ λίαν θρασυκάρδιος Ἀρζούνας οὐ πάρεστιν ὡς « ὁρμητικὸς λέων. »

34. « Ὁ δὲ Καρνᾶς ἀπεκρίνατο, θυμούμενος· « Ἐγὼ γινώ- « σκω ἐκεῖνον τὸν Ἀρζούναν, ὡς ἔχει· κἀκεῖνος γινώσκει « ἐμέ· σὺ δὲ διὰ τί τιτρώσκεις με λόγοις, ὡς βέλεσιν, « ἐχθρὸς ὤν, ἀντὶ φίλου;

35. « Λέγε ὅ,τι θέλεις· σὺ βασιλεὺς εἶ τῶν κατοίκων τῆς « χώρας Μάδας, τῶν βαινόντων τὰ ἄβατα, καὶ τῶν πι-

« νόντων τὰ ἄποτα, καὶ τῶν διβρωσκόντων τὰ ἄβρωτα·
« πόθεν ἄρα σὺ ἀγαθός ; »

36. « Διατί τοιαῦτα λέγεις πρὸς ἐμὲ, ἔφη ὁ Σαλέας, ὅτε σὺ
« βασιλεὺς εἶ τῆς Ἄγκας, ἧς ὑπὸ τῶν κατοίκων οὐδ' ἡ
« μήτηρ ἀφίεται, καὶ πωλεῖται ἥ τε γυνὴ καὶ τὰ τέκνα ;

37. « Σὺ ἀγανακτεῖς, καίπερ φιλικά σοι ἐμοῦ λέγοντος· πο-
« λέμει, σχέτλιε, τῷ Ἀρζούνᾳ. » Τοιαῦτα εἰπὼν ὁ Σαλέας,
» ἤλασεν εὐθέως τοὺς ἵππους, καταπλήττων τὰς καρδίας
» τῶν ἐχθρῶν.

38. « Ἐγὼ νομίζω, ὅτι τὰ τῶν μαχητῶν βέλη, τὰ διαῤῥη-
» γνύμενα τότε ἐν τῷ αἰθέρι, ἐν τῷ συγκρούεσθαι ἀλλή-
» λοις, εἰσέβαινον τὸν Ἥλιον [1], καὶ ἐλάμβανον σῶμα λαμ-
» πρῶν ἀκτίνων τοῦ Ἡλίου.

39. « Ὁ δ' εὔσπλαγχνος Ἀρζούνας, ἐν τῷ ἀναιρεῖν τοὺς
» ἐχθροὺς, σταγόνας ἱδρῶτος ῥέων ἐκ τῶν ὀπῶν τοῦ δι-
» κτυωτοῦ θώρακος, ἐφαίνετο ὥςπερ εἰ ἐδάκρυεν, ὅτι ἐκ
» κακῆς τύχης ἤχθη εἰς τοῦτο τὸ ἔργον.

40. « Τηνικαῦτα ἔφη ὁ Σαλέας τῷ Καρνᾷ· « Θέασαι θέαμα,
« ὅτι τὸ ἐν πολέμῳ τοῦτο μικρὸν ἄθυρμα τοῦ Ἀρζούνα,
« αἱρεῖ ψυχὰς μεγάλων ἡρώων.

41. « Ἐλθόντος τοῦ θανάτου, ὦ Καρνᾶ, ἰδοὺ τῆς τῶν Καου-
« ραβῶν γηραλέας δόξης οἱ ὀδόντες ἔπεσον [2], οἵ εἰσιν οἱ
« πεσόντες μαργαρίται ἐκ τῶν βασιλικῶν καρήνων, τῶν
« κεκομμένων τοῖς τοῦ Ἀρζούνα βέλεσιν.

---

1. Καθὼς οἱ θνήσκοντες ἐν πολέμῳ εἰσβαίνουσιν εἰς τὸν Ἥλιον καὶ λαμβάνουσι σῶμα λαμπρὸν, οὕτω καὶ τὰ βέλη συντριβόμενα ἐν πολέμῳ εἰσέβαινον εἰς τὸν Ἥλιον, καὶ ἐλάμβανον σῶμα λαμπρόν· τοῦτο δὲ εἰκάζεται ἐκ τῶν ἀκτίνων, τουτέστιν αἱ ἀκτῖνες τὰ βέλη ἦσαν ἐκεῖνα, ἅπερ ἐγένοντο λαμπρὰ, ὡς συνθλασθέντα ἐν πολέμῳ.

2. Οἱ γὰρ ὀδόντες πίπτουσιν ἐν τῷ γήρατι.

42. « Ἰδὲ, τὰ βέλη τοῦ Ἀρζούνα, καταβάλλοντα ἐν ταὐτῷ « ἐχθροὺς ἀνὰ ἑπτὰ καὶ ἀνὰ ὀκτὼ, λαβόμενα τῆς κα- « λῆς νίκης [1], εἰσδύουσι μετὰ χαρᾶς εἰς σκοτεινὰς ὀ- « πὰς [2], εἰς τὸ ἀναπαυθῆναι.

43. « Ὅ,τι ὁ Πριτοῦς [3], θαυμαστὸν πρότερον κατώρθωσε, « καταστρέψας τὰ ὄρη, καὶ ἐξισάσας τὴν γῆν τῷ ἄκρῳ « τοῦ τόξου αὐτοῦ [4], τοῦτο οὐδέν ἐστιν, ὡς πρὸς τὸ ἔρ- « γον τοῦ Ἀρζούνα, οὗ τοξοφόρου ὄντος μόνου, καταστρα- « φέντες οἱ βασιλεῖς, ἀφανεῖς ἐγένοντο.

44. « Τίνι φορητὸς ἔσται, ὦ Καρνᾶ, οὗτος ὁ υἱὸς τοῦ Ἴν- « δρα, ὅταν εἰς τὸν στρατὸν ὁρμήσῃ ἐν ἀκαρεῖ, οὗ τῷ « ἐκ τῆς ῥύμης τῶν βελῶν ἀέρι ἀναπαυόμενοι, κοιμῶν- « ται [5] ἅπαντες οἱ ῥιψοκίνδυνοι ; »

45. « Εἰπὼν δ' ὁ Καρνᾶς, ἀγαλλόμενος, « Αὐτὸς ὁ Ἀρζού- « νας, ὁραθεὶς ὑπ' ἐμοῦ σήμερον, ποῖ φεύξεται ; » πλη- » ρώσας βελῶν τὸν οὐρανὸν, οὐκ ἔδωκε τόπον οὐδὲ τῷ » φωτὶ τοῦ Ἡλίου [6].

46. « Τὸ δὲ στράτευμα τῶν Πανδοϊδῶν, κατασχεθὲν φόβῳ » σφοδρῷ, ἐκλονεῖτο [7] ὡς ἄλσος φυτῶν, καί περ ἀπω- » θουμένου τοῦ ἀέρος ὑπὸ τῶν συνεχῶν βελῶν τοῦ υἱοῦ

---

1. Ἡ νίκη ἐστὶν ὡς γυνὴ, ἧς ὁ ἐραστὴς λαβόμενος, εἰσδύει εἰς σκοτεινὸν τόπον, εἰς τὸ συνουσιασθῆναι.

2. Εἰς ὀπὰς τῆς γῆς, ἃς ἐποίουν τὰ βέλη πίπτοντα

3. Ὁ βασιλεὺς Πριτοῦς ἐστιν, ὃς ἔδειξε πρῶτος πὴν γεωργικὴν τέχνην.

4. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητής.

5. Κοιμῶνται, τουτέστιν ἀποθνήσκουσι, καθὼς ὁ βιπιζόμενος κοιμᾶται ἡδέως.

6. Δηλ. κατεσκίασε καὶ τὸν Ἥλιον.

7. Ὁ κλόνος γίνεται ἐξ ἀέρος· ἤδη δὲ καὶ ἀέρος μὴ ὄντος, διὰ τὸ ἀποτειχισθῆναι τὸ κενὸν τοῦ αἰθέρος, κλόνος καὶ τρόμος ἐγένετο.

» τοῦ Ἡλίου, τῶν ἀποτειχισάντων πᾶσαν διάστασιν τοῦ
» τόπου.

47. « Κατασκευάσας δ' ὁ υἱὸς τοῦ Ἡλίου ἐν αἰθέρι τόπον κα-
» τάσκιον ἐκ βελῶν, εἰς τὸ ἑστιᾶσαι τὸν πρεσβύτερον
» ἀδελφὸν Ἰάμαν [1], ἔθετο σώματα νεκρὰ πολλὰ, ὡς
» βρώματα, ἐν τοῖς πεπτωκόσι σκιαδίοις, ὡς τρυ-
» βλίοις.

48. Οἱ δὲ πληττόμενοι ἐν τῇ γῇ τοῦ πολέμου ὑπὸ τούτου
» τοῦ υἱοῦ τοῦ Ἡλίου, πολλοῖς βέλεσιν ἀντέπληττον,
» θλίβοντες ἐν οὐρανῷ θυμῷ πως τὸν Ἥλιον [2] τοῖς τα-
» χέως καὶ πυκνῶς εἰσδύουσιν αὐτῶν πνεύμασι [3].

49. Διαρρήξας δὲ τὰ ἅρματα τῶν περὶ τὸν Δρυσταδιούμναν,
» καὶ μυρίους ἵππους καὶ ἀναβάτας κτείνας, ἀλαλάζων,
» ἐγένετο καὶ ὁ υἱὸς τοῦ Ἡλίου, ὡς Ἥλιος ἀκτινοβόλος,
» ἐκ τῶν χρυσῶν βελῶν [4] τοῦ Ἰουδιστίρα.

50. « Σχὼν δὲ διερρηγμένα, τὸ τόξον, καὶ τὸ ἅρμα, καὶ
» τὸν θώρακα, πληγείς τε τὸ σῶμα, καὶ ἀπολέσας τοὺς
» φύλακας τῶν τροχῶν τοῦ ἅρματος ἐκ τῶν βελῶν τοῦ
» Καρνᾶ ὁ Ἰουδιστίρας, ἔτρεμεν, ὡς φύλλον δένδρου Πιπ-
» πάλα [5].

51. « Ὁ δὲ Βήμας, ἐξάψας θυμῷ, ἐνίκησε τὸν Καρνᾶν τοῖς
» βέλεσι· τί θαυματὸν τοῦτο, ὅτε ἐνίκησε καὶ τὸν πα-

---

1. Ὁ Ἰάμας υἱός ἐστι τοῦ Ἡλίου, ὡς καὶ ὁ Καρνᾶς.

2. Τοῦ γὰρ υἱοῦ σφάλλοντος, ὁ πατὴρ παιδεύεται.

3. Οἱ ἐν πολέμῳ θνήσκοντες εἰνδύουσιν εἰς τὸν οὐρανὸν διὰ τοῦ Ἡλίου, ὡς διὰ θύρας.

4. Τὰ ἐμπεπηγότα χρυσᾶ βέλη τῷ θώρακι τοῦ Καρνᾶ, ὡς ἀκτῖνες ἦσαν λαμπραί.

5. Καὶ ὀλίγῳ ἀέρι εὐκίνητά ἐστι τὰ φύλλα τοῦ Πιππάλα.

» τέρα αὐτοῦ Ἥλιον τοῖς ὄμμασι, καὶ τὸν πρεσβύτερον
» ἀδελφὸν αὐτοῦ Ἰάμαν ταῖς ὀφρύσι [1];

52. « Πρὸς δὲ οἱ διάσημοι οὗτοι, ὁ Νάνδας, ὁ Οὐπανάνδας,
» ὁ Καβακὴς, ὁ Σουπαρβᾶς, ὁ Πασσὴς, ὁ Δανουργράχας,
» ὁ Μαχαβούζας, ὁ Νιρδεάνδας, ὁ Διργατμάκας, ὁ Σαν-
» νισσάγκης, ὁ Κράτας, καὶ ὁ Ζαρασάνδας,

53. « Οὗτοι οἱ δώδεκα υἱοί σου, ὦ βασιλεῦ, ἀνῃρέθησαν ἐν
» πολέμῳ ὑπὸ τοῦ Βήμα, ὧν αἱ θερμότητες ἦσαν, ὡς
» δώδεκα Ἥλιοι [2], καὶ ἐσήμαινον παντελῆ ὄλεθρον τοῖς
» Καουραβαῖς.

54. « Ἀγαλλόμενος δ' ὁ Βήμας τοῖς ἠχοῦσι δώδεκα τόξοις
» αὐτῶν, ὡς σάλπιγξιν, ἠγλαΐζετο, ὡς χορευτὴς, οὗ χο-
» ρὸς μὲν ἦν τὸ κλέος, ἄνθη δὲ, οἱ διαχεόμενοι μαργα-
» ρῖται ἐκ τῶν πληγέντων μετώπων τῶν ἐλεφάντων.

55. Οἱ πίπτοντες μαργαρῖται ἐκ τῶν μετώπων τῶν ἐλεφάν-
» των, τῶν πληττομένων ὑπὸ τοῦ Βήμα, ἐφαίνοντο ὡς-
» περ εἰ ἔπιπτον ἄνθη ἐκ τῶν οὐρανίων δένδρων, τῇ
» προστριβῇ τῶν ἐλεφάντων, πορευθέντων εἰς τὸν οὐρα-
» νόν [3].

56. « Ἑκατέρα δ' ἡ στρατιὰ ἔτρεμεν ἐκ τῶν ἀλλεπαλλήλων
» βελῶν, τῶν ἀφιεμένων ἀμοιβαδὸν ὑπὸ πολλῶν δεινῶν
» βασιλέων, καθὼς ἡ δυὰς τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς
» τρέμει ἐκ τῶν ἀμοιβαίων βολῶν τῶν ὀμμάτων.

57. « Ἐν τούτῳ τῷ πολέμῳ ὁ Καρνᾶς ἐφαίνετο, ὡς διεδέξατο
» τὴν ἐπιστασίαν καὶ ἐξουσίαν τοῦ ἀναιρεῖν πᾶσαν ψυχὴν

---

1. Δηλ. ἡ μὲν ὄψις αὐτοῦ ἦν φλογερὰ, ὡς ὁ Ἥλιος, ἡ δὲ ὀφρὺς φοβερὰ, ὡς Ἰάμας.

2. Ὡς ἐν τῷ τέλει τοῦ αἰῶνος δώδεκα Ἥλιοι καταπυρπολοῦσι τὸ πᾶν.

3. Καὶ οἱ ἐλέφαντες, οἱ θνήσκοντες ἐν πολέμῳ, εἰς τὸν οὐρανὸν πο-
ρεύονται· ἴδιον δὲ τοῦ ἐλέφαντος, τὸ προστρίβειν τὴν κάραν δένδροις.

» ζῶσαν, δοθεῖσαν αὐτῷ παρ' αὐτοῦ τοῦ πρεσβυτέρου ἀ-
» δελφοῦ Ἰάμα, ὃς κτείνας ἐπὶ πολὺ ἀφειδῶς, ἀποχὴν
» ἐποιήσατο, καὶ ἐγκρατὴς ἐγένετο.

58. « Ἀνελὼν δ' ὁ Καρνᾶς ἑπτακισμυρίους ἵππους καὶ ἐλέ-
» φαντας, ἐκόσμησε τοὺς ἐξ αὐτῶν τῶν αἱμάτων ὠκεα-
» νοὺς, ὡς Σελήναις [1], ταῖς κεφαλαῖς τῶν βασιλέων,
» τοῦ τε Βεαγραδάτα καὶ ἄλλων.

59. « Ὁ δὲ Κρισνᾶς, θαυμάσας τὰ ἀλλεπάλληλα βέλη τοῦ
» Καρνᾶ, ἔφη τῷ Ἀρζούνᾳ, τῷ γεγονότι λαμπρῷ ἐπὶ τῇ
» νίκῃ κατὰ τοῦ θεοειδοῦς Ἀσβατάμα, καὶ κτείναντι τὸν
» βασιλέα τῆς Τριγάρτας, τὸν ἔχοντα θεῖα βέλη·

60. « Ἰδὲ, ὦ Ἀρζούνα· ὁ Καρνᾶς, κολυμβῶν, ὡς ἐν ὠκεανῷ,
« ἐν τῷ πολέμῳ τούτῳ, καὶ διατέμνων ταῖς χερσὶ [2]
« τὰς χεῖρας τῶν ἡρώων, ὡς κύματα, ἀφορᾷ πρὸς σὲ σή-
« μερον, ἐρυθροὺς ἔχων ὀφθαλμοὺς, καθὼς ὁ κολυμβῶν
« ἀφορᾷ εἰς τὸ τοῦ ποταμοῦ πέραν μέρος [3].

61. « Οὗτος, ὁρμῶν, ὡς λέων, καὶ νηλεῶς ἀνασπῶν ψυχὰς
« ἡρώων πολλῶν, καὶ μεγάλων ἐλεφάντων, καὶ ἵππων,
« ὑπὸ τίνος καταβληθήσεται, ἀλλ' ὑπὸ σοῦ, ὃς ἰσχυρὸς
« εἶ, ὡς Σαράββας [4];»

62. « Τοιαῦτα εἰπόντος τοῦ Κρισνᾶ, μαθὼν ὁ Ἀρζούνας παρὰ
» τοῦ Βήμα, ὡς ὁ Ἰουδιστίρας ἐτρώθη βέλει ὑπὸ τοῦ
» Καρνᾶ, καὶ ἐστράφη εἰς τὸ στρατόπεδον, ἐπορεύθη με-
» τὰ τοῦ Κρισνᾶ, ὀψόμενος αὐτὸν, σφόδρα θυμούμενοι,
» καὶ βαθέως λυπούμενοι.

---

1. Ἐκ γὰρ τοῦ ὠκεανοῦ ἡ Σελήνη ἐγεννήθη.

2. Ὁ γὰρ κολυμβῶν διατέμνει ταῖς χερσὶ τὰ κύματα.

3. Καθὼς ὁ κολυμβῶν ἀποβλέπει εἰς τὸ πέραν μέρος, εἰς ὃ ἀφίξεται, καὶ ἀναπαυθήσεται, οὕτω καὶ αὐτὸς, διαμαχόμενος, ἀποβλέπει πρὸς σὲ, ὃν κτείνας, ἀναπαυθήσεται.

4. Σαράββας, μυθευόμενον θηρίον ὀκτάπουν, ἰσχυρότερον τοῦ λέοντος.

63. « Ἰδὼν δ' αὐτοὺς ὁ Ἰουδιστίρας, ἀνέστη ἐκ τῆς κλίνης,
» χαίρων, καίπερ ὀδυνώμενος τῷ τραύματι, διανοηθεὶς
» ταῦτα· « Ἀνελόντες οὗτοι τὸν Καρνᾶν τῷ ἐκ τοῦ ἐμοῦ
» πάθους θυμῷ, ἐληλύθασι μηνύσοντες. »

64. « Μετὰ δὲ τὴν προσκύνησιν, καθεσθέντων καὶ λυπηθέν-
» των ἐν τῷ ἰδεῖν τὸ τραῦμα, εἶπεν ὁ Ἰουδιστίρας μετὰ
» χαρᾶς· « Χαίρω· ἀλλὰ πῶς ὁ στρατώλεθρος Καρνᾶς, ὁ
« μαθητὴς τοῦ Παρασουράμα, ἀπώλετο σήμερον; »

65. « Ὁ θάνατος τοῦ Καρνᾶ, ἀπεκρίνατο ὁ Ἀρζούνας, ἐκω-
« λύθη διὰ τὴν καλὴν νίκην κατὰ τοῦ Ἀσβατάμα [1].
« ἀφεὶς δὲ τὴν τοῦ πολέμου φροντίδα ἐπὶ τοῦ Βήμα,
« ἦλθον ἐπισκεψόμενός σε· ἤδη δ' ἀπελθὼν διὰ τῆς σῆς
« προσταγῆς, θανάτῳ παραδώσω αὐτόν. »

66. « Πρὸς ὃν ἔφη ὁ Ἰουδιστίρας μετὰ θυμοῦ· « Διὰ τί, ὦ
« ἐλάχιστε τῶν Ξατρῶν, ἦλθες εἰς τὴν γαστέρα τῆς Πρι-
« τᾶς [2]; Οὐαί μοι, ὅτι ἐπὶ σὲ τὸν δειλὸν ἐλπίδα εἶχον
« τῆς τῶν πολεμίων καταστροφῆς μετὰ δέκα καὶ τρία
« ἔτη ἐν ἐξορίᾳ.

67. « Ἀφεὶς τοὺς σεαυτοῦ ἀδελφοὺς ἐν πολέμῳ, σὺ μόνος
« ἐφοβήθης, καὶ ἔφυγες ἀπὸ τοῦ Καρνᾶ, καθὼς ἡ ἔλαφος
« ἀπὸ τοῦ θηρευτοῦ. Ἐγχείρισον αὐτὸ τὸ τόξον γενναίῳ
« τινι, ὃς ῥύσεται ἡμᾶς ἀπὸ τοῦ ἐχθροῦ. »

68. « Ὁ δὲ Κρισνᾶς ἔφη τῷ Ἀρζούνᾳ, τείναντι τὸ ἑαυτοῦ
» ὅμμα εἰς τὴν ῥομφαίαν, ἐρυθρὸν ὂν ἐκ θυμοῦ, καὶ πλή-
» ρες διακρύων, εἰς ἐκπλήρωσιν τῆς ἑαυτοῦ γνώμης, ἣν
» ἔθετο πρότερον [3].

---

1. Οἱονεὶ ἔλεγεν· ἐπειδὴ ἐγὼ ἐνησχολούμην τῷ κατὰ τοῦ Ἀσβατάμα πολέμῳ, διὰ τοῦτο ὁ Καρνᾶς ἀπέφυγε τὸν θάνατον.

2. Δηλ. εἰς μάτην ἐγεννήθης.

3. Γνώμην ἔθετο, ὡς, ὅστις εἴπῃ τοιοῦτον λόγον, « Ἐγχείρισον ἄλλῳ « τὸ τόξον, » τούτῳ θάνατος ἔσται.

69. « Ἔλκυσον εὐθέως τὸ ὅμμα ἀπὸ τῆς ῥομφαίας, κρίνας « τοῦτο ἀνοίκειον, καὶ ὀνείδισον τὸν Ἰουδιστίραν· οἱ γὰρ « σοφοὶ λέγουσιν, ὡς ὁ πρὸς τὸν κρείττονα ὀνειδισμὸς, « θάνατός ἐστιν ἄνευ ὅπλου. »

70. « Ἀκούσας ὁ υἱὸς τοῦ Ἴνδρα, ἔλεξε πρὸς τὸν Ἰουδιστίραν » αὐθαδῶς καὶ προπετῶς· « Σὺ αὐτὸς πλήρης φόβου καὶ « δειλίας τυγχάνεις ὢν, καὶ μέγας ἀναίσθητος, καὶ φα- « νερὸς ἀτάσθαλος ἐν γῇ βασιλεύς. »

71. « Πρὸς δὲ ἔφη ὁ Κρισνᾶς, τοιαῦτα εἰπόντα, καὶ ἑλκύ- » σαντα τὸ ξίφος εἰς ἑαυτοῦ ἀναίρεσιν· « Ἄφες, μῶρε, τὸ « ὅπλον, θέλων αὐτόχειρ γενέσθαι, ἐπειδὴ μετενόησας « ἐπὶ τῇ πρὸς τὸν πρεσβύτερον ἀδελφὸν καταφρονήσει· « ποίησον δὲ σαυτῷ ἔπαινον, ὅς ἐστι θάνατος παρὰ τοῖς « ἀγαθοῖς ἀνδράσιν [1]. »

72. « Ἐννοήσας ὁ Ἀρζούνας τοῦτο, ἔφη, καυχώμενος· « Οὐ- « δείς ἐστιν ὅμοιος ἐμοὶ ἐν ταῖς κατὰ τὰ ὅπλα ἀρεταῖς· « κορυφαῖός εἰμι πάντων τῶν διαπρεψάντων τοῖς κατὰ « τὸν πόλεμον πλεονεκτήμασι καὶ ἡρωϊκοῖς κατορθώ- « μασιν. »

73. « Τοῦ δὲ Ἰουδιστίρα ἐρυθροῦ γενομένου τὸ πρόσωπον ἐκ » θυμοῦ, καὶ ἐκφωνήσαντος· « Οὗτος ἐμὲ μὲν κακῶς λέγει, « ἑαυτὸν δ' ἐπαινεῖ, » ἔφη ὁ Κρισνᾶς· « Σκέψαι, ὡς ὁ Ἀρ- « ζούνας, σοὶ μὲν αὐτῷ ἔπαινον, ἑαυτῷ δὲ ψόγον πε- « ποίηκε [2]. »

74. « Τοιαῦτα εἰπὼν ὁ Κρισνᾶς, ἔπεσε μετὰ τοῦ Ἀρζούνα » πρὸς τοὺς λωτίους πόδας τοῦ Ἰουδιστίρα, ὡς βομβύλιοι

---

1. Οἱονεὶ ἔλεγεν· ὅστις ὑβρίσῃ τὸν βασιλέα, θάνατος ἔσται τούτῳ, κατὰ τὸν νόμον· εἰ δ' ἔπαινον ποιήσεις σεαυτῷ, ὅς ἐστι θάνατος παρὰ τοῖς φρονίμοις, ὅμοιον ἂν εἴη, ὥσπερ εἰ ἔθανες.

2. Ὁ γὰρ ἐπαινῶν ἑαυτὸν ἐπίψογός ἐστιν.

» πρὸς τοὺς λωτούς· ὁ δὲ, ἀγκαλισάμενος αὐτοὺς μετὰ
» χαρᾶς, ἔῤῥανε δάκρυα, ὥσπερ εἰ ἔλουσε καὶ ἔχρισεν αὐ-
» τοὺς βασιλεῖς διὰ τὸν μέλλοντα θάνατον τοῦ Καρνᾶ.

75. « Πορευθεὶς δ' ὁ Ἀρζούνας μετὰ τοῦ Ἰουδιστίρα εἰς τὸν
» πόλεμον, καὶ ἀνελὼν πολλοὺς βασιλεῖς, ἐποίησε τὴν
» γῆν πλήρη καρῶν ἀγλαῶν, ὡς Σεληνῶν.

76. « Ὁ δὲ Βήμας τοσοῦτον συνέτριψε τὴν στρατιὰν τῶν πο-
» λεμίων τῇ κορύνῃ, ὥστε διάκρισιν μὴ γίνεσθαι τῶν ἐν
» γῇ παρερῥιμμένων μελῶν τῶν βασιλέων, τῶν ἁρμάτων,
» τῶν ἐλεφάντων, καὶ τῶν ἵππων [1].

77. « Μαινόμενος δ' ὡς ἐλέφας, καὶ προχωρῶν, ἔτρεψεν ἀπὸ
» προσώπου αὐτοῦ τοὺς ἐχθροὺς, φοβηθέντας, καὶ ἀφεὶς
» τὸ ἅρμα καὶ τὰ ὅπλα, κατεπήδησε, καὶ ἐλάβετο τοῦ
» Δουσσασάνα, ὃς ἔτυχεν ἔμπροσθεν, τρέμων.

78. « Ἑλκύσας δ' αὐτὸν πρὸς ἑαυτὸν, λίαν θυμούμενος, ὡς
» περ προτρεπόμενος ὑπὸ τῆς φιλτάτης Δραουπαδῆς, τῆς
» πολλὰ παθούσης ὑπ' αὐτοῦ, εἶπε μεγαλοφώνως, ὥσπερ
» κατακαίων πάντα τὰ μέρη ὄμμασι πυροειδέσιν·

79. « Ἴδετε, ἴδετε, ὦ βασιλεῖς· τούτου τὸ στῆθος ἐγὼ διαῤ-
« ῥήξας, πιοῦμαι τὸ αἷμα· ὃς ἔχαιρεν, ἕλκων ἐκ τοῦ ἱμα-
« τίου καὶ τῆς κόμης τὴν Δραουπαδὴν ἐπὶ συνόδου.»

80. « Τοιαῦτα εἰπὼν, διαῤῥήξας τὸ εὐρὺ στῆθος τοῦ υἱοῦ
» σου, ἔπινε συχνάκις τοῦ αἵματος αὐτοῦ, καὶ ἐβόα συ-
» χνάκις, καὶ ἐνητένιζε συχνάκις πρὸς τοὺς βασιλεῖς.

81. « Κρούων δὲ τὸν μυῶνα χειρὶ καθημαγμένῃ, περιλείχων
» τὰ καθημαγμένα χείλη, ὄμματα ἐρυθρὰ ἔχων, καὶ βοῶν,
» καὶ φριττων, ἐωρᾶτο ὑπὸ τῶν ἡρώων, οἷς λυποθυμία
» ἐγένετο.

---

1. Συνθλασθέντα τὰ μέλη συνεμίγησαν, καὶ διὰ τοῦτο οὐ διεκρίνοντο.

82. «Ἐκείνῳ τῷ θυμῷ ὁ Βήμας ἐποίησεν ἂν τὸν κόσμον
» ἄνευ τοῦ Καρνᾶ καὶ τοῦ Δουριοδάνα, εἰ μὴ ἐρωτόλη-
» πτος ἐγένετο [1], ἐνθυμούμενος τὴν διακεχυμένην κόμην [2]
» τῆς Δραουπαδῆς.

83. «Τηνικαῦτα ὁ γενναῖος Βρισσασένας, ὁ υἱὸς τοῦ Καρνᾶ,
» ὁ ὢν ἱκανὸς ἐρίσαι καὶ τῷ Ἴνδρᾳ, εἰς οὐδὲν τιθέμενος
» τὸν υἱὸν τοῦ Ἴνδρα, ἔῤῥιψεν εἰς τὴν γῆν τοῦ πολέμου
» πολλοὺς δεινοὺς βασιλεῖς.

84. «Εἷς δ' ὢν, πολλοὺς ἐπέσχε τῆς ὁρμῆς, οἷον τὸν Να-
» κούλαν, τὸν Σαχαδέβαν, τὸν Σατεκὴν, καὶ ἄλλους, τοὺς
» ὄντας ἱκανοὺς καταστρέψαι τὸν κόσμον, καθὼς ὁ αἰγια-
» λὸς ἐπέχει τῆς ὁρμῆς τὰ ἐπιφερόμενα κύματα τῆς θα-
» λάσσης.

85. «Ὁ δ' Ἀρζούνας, διατεμὼν βέλεσιν, ἔῤῥιψε τήν τε κε-
» φαλὴν καὶ ἀμφοτέρας τὰς χεῖρας τοῦ Βρισσασένα, οὗ τὸ
» μὲν πρόσωπον ἐφαίνετο, ὡς λωτὸς, ἔνθα ἐκάθητο ἡ
» Λαξμὴ τοῦ Δουριοδάνα [3], αἱ δὲ χεῖρες, ὡς λωτοὶ, κο-
» σμήματα τῶν ὤτων.

86. «Ἔδραμε δ' ἐπὶ τὸν Ἀρζούναν ὁ καρτερόθυμος Καρνᾶς,
» θυμούμενος καὶ λυπούμενος ἐπὶ τῷ θανάτῳ τοῦ υἱοῦ,
» ἔχων ὄμμα ἐρυθρὸν, καὶ μέλαν, ὡς μέλαν φάρμακον ἐν
» μέσῳ πυρός.

87. «Πόλεμος δὴ δεινὸς συνεκροτήθη, ὃς ἐκ γενέσεως ἐν μελέτῃ
» ἦν αὐτοῖς, καὶ ἐν ἐφέσει μεγάλῃ, ἔνθα ὁ αἰθὴρ ἐπληρώθη
» θεῶν καὶ Γανδαρβῶν, κεκλημένων φωνῇ τοῦ Νεράδα [4].

---

1. Ἐρωτόληπτος ἐγένετο καὶ λυσιμελὴς, καὶ διὰ τοῦτο οὐκ ἀνεῖλε τὸν Καρνᾶν καὶ τὸν Δουριοδάναν τότε.

2. Διελύθη ἡ κόμη, ὅτε εἱλκύσθη ὑπὸ τοῦ Δουσσασάνα.

3. Ἐπὶ τούτου δηλονότι εἰρᾶδετο ἡ δόξα τοῦ Δουριοδάνα.

4. Φιλεῖ γὰρ τὰς ἔριδας καὶ μάχας ὁ Νεράδας.

88. « Ἐρωτηθέντες δὲ ὅ,τε Σίβας καὶ ὁ Βραχμᾶς ὑπὸ τῶν » θεῶν, διχογνωμούντων καὶ φιλονεικούντων, «Πότερος; » ὁ υἱὸς τοῦ Ἡλίου; ἢ ὁ τοῦ Ἴνδρα νικήσει;» ἀπεκρί- » ναντο· « Ὅπου ὁ Κρισνᾶς, ἐκεῖ καὶ ἡ νίκη ἀεί. »

89. « Ὁ δὲ καιρὸς ἐκεῖνος, ἐν ᾧ ἦχος ἐγίνετο τῶν κόγχων » τοῦ Κρισνᾶ, τοῦ Ἀρζούνα, τοῦ Σαλέα, καὶ τοῦ Καρνᾶ, » ἐφαίνετο, ὡς ὁ καιρὸς τῆς συντελείας, ὅτε τάραχος » μέγας γίνεται τῶν συῤῥηγνυμένων μεγάλων κομμάτων » τῶν συμμιγνυμμένων τεσσάρων θαλασσῶν [1].

90. « Οὕτως οὖν τούτοιν τοῖν υἱοῖν τῆς Πριτᾶς, ὁρμησάν- » τοιν κατ' ἀλλήλων, ὁ μὲν Σαλέας ἔτρεμε, πληγεὶς » τῷ ἕλοσυρῷ ἕλέμματι τοῦ Κρισνᾶ, ὁ δ' ἐλέφας, ὁ ἐπὶ » τῆς σημαίας τοῦ Καρνᾶ, ἐκλονεῖτο, πληγεὶς τῷ ἄκρῳ » τῆς τριχὸς τῆς οὐρᾶς τοῦ Χανουμᾶνος, τοῦ ἐπὶ τῆς » σημαίας τοῦ Ἀρζούνα.

91. « Ἐνέτεινε δ' ὁ Καρνᾶς τὸ τόξον, ᾧ ὄνομα *Βιζαΐα*, δο- » θὲν παρὰ μὲν τοῦ Βραχμᾶ τῷ Ἴνδρᾳ, εἰς τροπὴν τῶν » Τιτάνων, παρὰ δὲ τοῦ Ἴνδρα τῷ Παρασσουράμᾳ, εἰς » ὄλεθρον τῶν Ξατρῶν, παρὰ δὲ τοῦ Παρασσουράμα, τού- » τῳ τῷ Καρνᾷ.

92. « Οἱ δὲ ἑκατέρωθεν τῶν πλαγίων βασιλεῖς ἐτιτρώσκοντο » καὶ ἀνῃροῦντο συνεχέσι βέλεσιν ὑπὸ τῶν υἱῶν τοῦ Ἡ- » λίου καὶ τοῦ Ἴνδρα, οἳ ἐπεθύμουν μονομαχῆσαι [2].

93. « Οἱ μὲν οὖν ὀϊστοὶ τοῦ Καρνᾶ, ῥιπτόμενοι, ἔχοντες » λευκὰ πτερὰ, ὥςπερ σύμβολα τοῦ κλέους, κατέθλιβον

---

1. Τέσσαρες οὗτοι οἱ ἥρωες, τέσσαρες καὶ αἱ θάλασσαι, ἡ ἑώα, ἡ ἑσπερία, ἡ νοτία, καὶ ἡ βορεία.

2. Ἤθελον μόνοι αὐτοὶ μεῖναι εἰς μονομαχίαν, καὶ διὰ τοῦτο ἀνῄ- ρουν τοὺς ὄντας περὶ τὰ πλάγια αὐτῶν.

» τὸ σῶμα τοῦ Ἀρζούνα, καθάπερ χῆνες πολλοὶ τὸν κυά-
» νεον λωτόν.

94. « Οἱ δ' ἀφιέμενοι διαίως ὀϊστοὶ ὑπὸ τοῦ Ἀρζούνα, εἰς
» τὸ ποιῆσαι τὸν κόσμον ἄνευ τοῦ Καρνᾶ, νύττοντες τὸ
» σῶμα αὐτοῦ, εἰσέδυον εἰς τὴν γῆν, ὥςπερ νύζοντες τὸν
» Βαλήν [1].

95. « Κατέκοπτε δ' ὁ Καρνᾶς τὰ ἐπὶ τῆς χειρὸς βέλη τοῦ
» Ἀρζούνα, θαῦμα ποιῶν πᾶσι, καθὼς ὁ φρόνιμος ἀνε-
» νέργητα ποιεῖ τὰ κατὰ πρῶτον ἀναφανέντα δεινὰ τῆς
» τύχης [2].

96. « Θαυμάσαντες δὲ τὴν ἐπιδεξιότητα τοῦ Καρνᾶ ὅ,τε
» Βήμας καὶ ὁ Κρισνᾶς, εἶπον, τῷ Ἀρζούνα· « Δυσνί-
« κητος οὗτος, ὦ γενναῖε· ὅθεν πολέμει ἐνταῦθα μετὰ
« πλείονος δυνάμεως, ἢ ἐν τῷ δρυμῷ κατὰ τοῦ Ἴνδρα
« καὶ κατὰ τοῦ Κιράτα. »

97. « Ἀκούσας ὁ Ἀρζούνας τῶν ὀρθῶς ῥηθέντων ῥημάτων
» τούτων, ἐποίησε τὸν αἰθέρα πλήρη βελῶν, ῥιπτομένων
» ὑπὸ τῶν χειρῶν, αἳ ἦχον ἀπετέλουν τοῖς ψελλίοις,
» ὥςπερ εἰ ἐκάγχαζον.

98. « Ὁ δὲ φιλότιμος Καρνᾶς κατέκοψε τῷ βέλει τοῦ Πα-
» ρασσουράμα, τὸ ἐκ τῶν βελῶν τοῦ Ἀρζούνα καταπέ-
» τασμα [3] ἐν τῷ αἰθέρι, εἰς τὸ δεῖξαι τοῖς θεοῖς τὴν ἀυ-
» τοῦ μεγαλουργίαν.

99. « Ἀπέδειξε δὲ τοῖς συνεχέσι βέλεσι τὰ βαλλόμενα σώ-
» ματα τοῦ Βήμα καὶ τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα ὅμοια

---

1. Παίζει πρὸς τὴν λέξιν ὁ ποιητὴς, διὰ τὸ ταὐτόσημον τῆς Ἰνδικῆς λέξεως, σημαινούσης τόν τε Καρνᾶν καὶ τὸν Βαλήν. (Σ. τ. ἐκδ.)

2. Οἷον νόσημα, ἢ ἄλλο τι.

3. Τὰ συνεχῆ βέλη ἦν ὡς διάφραγμα καὶ ἀποτείχισμα τοῖς θεοῖς, δηλ. ἐμπόδιον τῇ θεωρίᾳ.

» ταῖς τρισὶ κορυφαῖς τοῦ ὄρους Τρικούτα [1], αἳ βάλλονται
» ταῖς ἀκτίσι τοῦ Ἡλίου περὶ τὴν ἕω.

100. « Πολλοὶ βασιλεῖς, παρατυγχάνοντες, ἀπώλοντο ἐν τῇ
» φρικτῇ μάχῃ τούτων τῶν ἡρώων ἐκ τῶν βελῶν, κα-
» θὼς πολλὰ δένδρα συντρίβονται ἐν μάχῃ δύω ἀγρίων
» ἐλεφάντων.

101. « Ἐτέθη δ' ὑπὸ τοῦ Καρνᾶ ἐν τῷ τόξῳ ἀντὶ βέλους ὁ
» ὄφις ἐκεῖνος, ὃς, ἀποκοπεὶς τὴν οὐρὰν ἐν τῷ ἅλσει
» Κανδάβᾳ, γνώμην ἔθετο, καὶ ἔφη ἀμφοτέραις ταῖς
» γλώσσαις, ὡς καταβρώσεται ἀμφοτέρους τοὺς μέλανας.

102. « Εἰς ἀναίρεσιν τῆς θερμότητος εἰπόντος τοῦ Σαλέα τῷ
» Καρνᾷ, « Ὦ Καρνᾶ, ἀνήκοε φιλικῶν λόγων, οὗτος ὁ
« ἀντὶ βέλους ὄφις οὐ κατευθυνθήσεται πρὸς τὸν πολέμιον

103. « στρατὸν ἐκ ταύτης τῆς προσαρμόσεως· ὅθεν προσάρ-
« μοσον αὐτὸν ἐκ δευτέρου· εἰ δὲ μὴ, οὐκ εἰδήμων εἶ
« τῶν τοῦ πολέμου, » ὁ Καρνᾶς ἀπεκρίνατο, « Δὶς οὐ
« προσαρμόζω τὸ ὅπλον », καὶ ἀφῆκε τὸν ὄφιν κατὰ τοῦ
» Ἀρζούνα, ἀχθεσθεὶς τὴν καρδίαν.

104. « Τοῦ δὲ Κρισνᾶ γενομένου βαρέος, δίκην ὄρους, οἱ μὲν
» ἵπποι ὤκλασαν [2], τὸ δ' ἅρμα κατεκλίθη· ὁ δ' ὄφις
» ἀφείλετο τὸ ἄκρον τοῦ διαδήματος τοῦ Ἀρζούνα.

105. « Περιεστοιχισμένοι δ' οὗτοι οἱ μέλανες τοῖς βέλεσι τοῦ
» Καρνᾶ, τοῖς πολυχρωμάτοις ἐκ τῶν πολυτίμων λίθων,
» ἐφαίνοντο, ὥσπερ ταῶνες, εἰς τερπωλὴν τῆς νίκης τοῦ
» Ἰουδιστίρα [3].

---

1. Τρικούτα, τουτέστι Τρικόρυφον, ὄνομα ὄρους περιφήμου.

2. Ἐπειδὴ οἱ μὲν ἵπποι ὤκλασαν, ἡ δ' ἅμαξα κατεκλείσθη διὰ τὸ βάρος τοῦ σώματος τοῦ Κρισνᾶ, διὰ τοῦτο ὁ ὄφεως ὀϊστὸς ἀπέτυχε τοῦ λαιμοῦ τοῦ Ἀρζούνα, οὗ ἐστοχάσατο ὁ Καρνᾶς.

3. Ἡ νίκη, ὡς γυνὴ ἡ παίζει σὺν ἀγλαοῖς ὄρνεσι.

106. « Τὰ δὲ τμήματα τοῦ χρυσοῦ θώρακος τοῦ Καρνᾶ, ὃν » κατέκοψεν ὁ Ἀρζούνας τοῖς βέλεσιν, ἐφαίνοντο, ὥσπερ » εἰ ἦσαν ἀκτῖνες, ἃς ἔδωκε τῷ υἱῷ ὁ Ἥλιος, φιλοστορ- » γίᾳ κινούμενος.

107. « Ὁ δ' ἀφεθεὶς ἐκεῖνος ὄφις, ὡς βραχίων τοῦ Ἰάμα, συμ- » μαχοῦντος τῷ Καρνᾷ, διότι ἦν υἱὸς τοῦ Ἡλίου, θέων » μετὰ συρίγματος, καὶ μῆνιν ἔχων διὰ τὸ ἐν Κανδάβᾳ » πάθος, διετμήθη ἐν αἰθέρι τῷ τοῦ Ἀρζούνα βέλει.

108. « Κοπείσης δὲ τῆς χορδῆς τοῦ τόξου τοῦ Ἀρζούνα τοῖς » βέλεσι τοῦ Καρνᾶ, τὸ τόξον ἀκαμπὲς ἐγένετο, καὶ ἐξε- » τάθη, ὥσπερ εἰ ἤθελεν ἀνάπαυσιν, πονῆσαν ἐν τοιούτῳ » πολέμῳ.

109. « Τὸ δὲ πῦρ, ὅ ἐστι τὸ θυμοειδὲς, ὑπερκαῖον διὰ τὴν » τοῦ τόξου καταταστροφὴν [1], εἰσέδυ τὴν καρδίαν τοῦ » υἱοῦ τοῦ Ἴνδρα, ὥστε εἰπεῖν· « Νίκησον ταχέως τὸν « μέγαν ἐχθρόν. »

110. « Ἔθετο δ' ὁ Ἀρζούνας ἐν τῷ τόξῳ χορδὴν καὶ βέλος, » ἱκανὸν ὃν κατακαῦσαι πᾶν μέρος τοῦ κόσμου· εἰσέδυ- » σαν δ' εἰς τὴν γῆν οἱ τροχοὶ τοῦ ἅρματος τοῦ Καρνᾶ, » ὥσπερ θέλοντες κρυβῆναι ἐκ φόβου.

111. « Θέλων δ' ὁ υἱὸς τοῦ Ἡλίου ἐκβαλεῖν τοὺς τροχοὺς τοῦ » ἅρματος, τοὺς ἐμπαγέντας ἐν γῇ, ὡς ἐν ἰλύϊ τοῦ ἁμπλα- » κήματος τῆς βουφονίας [1], ἔκραξε πρὸς τὸν Ἀρζούναν·

112. « Ὦ εἰδήμων τῶν τοῦ νόμου, ἀνάβαλε τὴν βολὴν τοῦ « μεγάλου ὅπλου, ἐνόσῳ ἐκβάλω τοὺς τροχοὺς τοῦ ἅρμα- « τος, εἰς ὃ ἐλπίζει ὁ Κύριός μου Δουριοδάνας· οἱ γὰρ « ἥρωες οὐκ εἰσὶν ἥρωες, τοῦ ἐχθροῦ ὄντος ἐν δεινοῖς. »

---

1. Τὸ γὰρ τόξον ἐκεῖνο ἐδόθη παρὰ τοῦ πυρὸς, ὡς προείρηται.

2. Ἡ βουφονία ἐστὶν ἐκείνη, ἣν ἐποίησε πρότερον ὁ Καρνᾶς, ὡς ἐρρέθη.

113. «Πρὸς ὃν ἔφη γελῶν ὁ Κρισνᾶς· «Εὖγε! νόμους προ-
» τείνειν οἶδας· διὰ τί δὲ οὐκ ἐνθυμῇ τὴν σκευωρίαν τοῦ
« φαρμάκου, καὶ τοῦ πυρὸς, καὶ τὴν πρὸς τὴν Δραουπα-
« δὴν καταφρόνησιν, καὶ τὸν θάνατον τοῦ Ἀβημανιοῦ;

114. «Θυμωθεὶς δ' ὁ Καρνᾶς ἐκ τοῦ λόγου τοῦ Κρισνᾶ, νική-
» σας τῇ Βραχμάστρᾳ τὸ ὅπλον τοῦ Ἀρζούνα, ἐποίησεν
» ἐκ τῶν ἀλλεπαλλήλων βελῶν ὁδόν πως ἐν αἰθέρι, εἰς
» τὸ ἐλθεῖν πρὸς τὸν δίσκον τοῦ Ἡλίου [1].

115. «Ὁ δ' Ἀρζούνας ἔῤῥιψεν εὐθέως τὸ πύρινον βέλος, κατα-
» καῖον πᾶν μέρος· οὗ τῇ μὲν μελανότητι ἡττήθη ὁ Ἰά-
» μας [2], τῇ δὲ θερμότητι ὁ Ἥλιος, ὁ πατὴρ καὶ ὁ ἀδελφὸς
» τοῦ Καρνᾶ.

116. «Ἀντέῤῥιψε δ' ὁ Καρνᾶς τὴν Βαρουνάστραν, τουτέστι τὸ
» ὑδροφόρον ὅπλον, κατασβύον τὴν φλόγα τοῦ πυρίνου βέ-
» λους. Τότε τὸ κλέος αὐτοῦ ἐγένετο, ὡς τὸ χρῶμα τοῦ
» ἀργύρου, τοῦ ἐμπεπυρωμένου, καὶ ἐμβεβαπτισμένου τῷ
» ὕδατι [3].

117. «Ὁ μὲν οὖν Καρνᾶς, οὗ οἱ τροχοὶ [4] ἔδυσαν εἰς τὴν γῆν,
» νικήσας τὸ πύρινον βέλος τοῦ Ἀρζούνα τῷ ἑαυτοῦ ὑδρο-
» φόρῳ βέλει, ἴστατο ἀπορῶν, καὶ ἐφαίνετο ὡς ὁ ἑσπε-
» ρινὸς καιρὸς, καθ' ὃν οὐθ' Ἥλιος, οὔτε Σελήνη λάμπει,
» μαράνας τὸ πρόσωπον τοῦ Δουριοδάνα, ὡς ὁ ἑσπερινὸς
» καιρὸς τὸν λωτόν.

---

1. Ἔγγυς ἦν θανάτου, καὶ διὰ διὰ τοῦτο ἐποίησε κλίμακα ἐν αἰθέρι ἐκ τῶν συνεχῶν βελῶν, εἰς τὸ ἀνελθεῖν καὶ εἰσδύσαι εἰς τὸν οὐρανὸν διὰ τοῦ Ἡλίου.

2. Μελάντερον ἦν τοῦ Ἰάμα, καὶ θερμότερον τοῦ Ἡλίου.

3. Ἐρυθρὸς γὰρ ὢν ὁ ἄργυρος, ἐκ τοῦ πυρὸς λευκὸς γίνεται ἐμβαπτισθεὶς ὕδατι· μέγα δηλ. κλέος ἔλαβεν ὁ Καρνᾶς.

4. Οἱ δύω τροχοὶ, ὡς ὁ Ἥλιος καὶ ἡ Σελήνη.

118. « Ὁ δ' Ἀρζούνας, λέξας ταύτην τὴν μυστικὴν εὐχὴν, «Εἰ « ὁ Ῥούδρας καὶ οἱ λοιποὶ ὁπλοδιδάσκαλοι ἥδονται ταῖς « ἀσκήσεσιν, ἀνέλοιμι τοῦτον διὰ τούτου τοῦ ὅπλου, » » ἔῤῥιψε τὸ χρυσοῦν βέλος, ᾧ ὄνομα *Ἀντζαλικά*.

119. « Ὑφ' οὗ πληγεὶς ὁ Καρνᾶς κατὰ τὸν λαιμὸν, ἔπεσε, » πιέσας τὸν ὑποχθόνιον ὀφιοβασιλέα. Ὁ δ' Ἥλιος ἔδειξεν » ἐν τῷ στήθει αὐτοῦ μέγα τρύπημα [1], ὥσπερ εἰ διεῤῥάγη » ἐκ τῆς ὑπὲρ τοῦ υἱοῦ λύπης.

120. « Αὐτὸς ὁ μεγαλόδωρος Καρνᾶς, δοὺς καὶ τὸ ἑαυτοῦ σῶ- » μα τοῖς βέλεσι τοῦ Ἀρζούνα, ὑπὸ τίνος οὐχ ὡράθη, ὅτι » ἐπορεύθη εἰς τὰς ἀγκάλας τοῦ πατρὸς αὐτοῦ Ἡλίου, » λαμπρύνων πᾶσαν διάστασιν τοῦ τόπου;

121. « Τοῦ μὲν οὖν βραχίονος τοῦ Ἀρζούνα γελῶντος (ἀγαλ- » λομένου) ἐπὶ τῇ νίκῃ, ἡ στρατιὰ τῶν Καουραβῶν αἰσχύ- » νῃ πως ἔστρεψε τὸ πρόσωπον [2], γεγενημένη ἄνευ τοῦ » Καρνᾶ, καὶ ἐστερημένη τοῦ φρονήματος καὶ τῆς ἀν- » δρείας, ὡς δύω λαμπρῶν ἐνωτίων.

122. « Καί περ δὲ πεσόντος τοῦ ἑταίρου, ὃς ἦν ὡς κεφα- » λὴ, ὁ υἱός σου Δουριοδάνας, δραμὼν εἰς μάχην, πρῶ- » τον ἀριθμὸν, ἐν τοῖς ἥρωσιν ἔλαβε [3], θαῦμα ποιῶν τοῖς » θεοῖς.

123. « Τοῦ δ' Ἡλίου πορευθέντος πρὸς τὸν τῆς δύσεως ὠκεα- » νὸν [4], εἰς τὸ δοῦναί πως χοὰς τῷ ἀποθανόντι υἱῷ, οἱ » ἥρωες ἐπαύσαντο πολεμοῦντες, οἱ μὲν Πανδοΐδαι, ἔχον-

---

1. Ὁ Ἥλιος ὅταν δύῃ φαίνεται τετρυπημένος πως ἐν τῷ μέσῳ.

2. Ὡς γυνὴ ἀποστρέφει τὸ πρόσωπον, μὴ ἔχουσα ὦτα· παίζει δὲ πρὸς τὴν λέξιν ὁ ποιητής. Κάρνα γὰρ λέγεται καὶ τὸ οὖς· τὸ δὲ φρόνημα καὶ ἡ ἀνδρεία, ὡς ἐνώτια, ἅ ἐστι κοσμήματα· κυρίως γὰρ κοσμήματα τῆς στρατιᾶς ἐστὶ τὸ μέγα φρόνημα καὶ ἡ ἀνδρεία.

3. Τὰ πρωτεῖα ἔλαβε.

4. Νὺξ ἐγένετο.

» τες ὄμματα χαρίεντα, ὡς Κουμοῦδαι [1], οἱ δὲ Καουρα-
» βαὶ πρόσωπα στυγνὰ, ὡς Καμάλαι [2]. »

124. « Σεβέσθω τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου δι-
» δασκάλου Ζηναδάτα ὁ ἐγκρατὴς καὶ ἀγαθὸς Ἀμάρας,
» οὗ τοῦ σεληνιαίου προσώπου ἀπαύγασμά ἐστιν ἡ χαρο-
» ποιὰ Βαλαβαράτα, ἧς τὸ ὄγδοον βιβλίον πέρας εἴληφεν,
» ᾧ ὄνομα *Καρναπάρβα*.

125. « Ἐν τούτῳ τῷ ὀγδόῳ βιβλίῳ, ᾧ ὄνομα Καρναπάρβα,
» ἐμπεριέχονται ἑκατὸν καὶ ἑβδομήκοντα τρεῖς στίχοι,
» κατὰ τὸ μέτρον Ἀνουστούπα.

Τέλος τοῦ ὀγδόου Βιβλίου

τῆς

Βαλαβαράτας.

---

1. Κουμούδα, λωτὸς νυκτάνθης.
2. Καμάλα, λωτὸς ἡμεράνθης.

ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ [1],

Θ διαλαμβάνει τὴν μάχην τοῦ Σαλέα καὶ τοῦ Ἰουδιστίρα, καὶ τὴν τοῦ Δουριοδάνα καὶ τοῦ Βήμα.

1. Διαφυλάττοι ὑμᾶς ὁ ὅσιος Βεάσας, ὁ ὠκεανὸς τῆς ἀμβροσίας γαλήνης, οὗ τοῖς νομικοῖς βιβλίοις [2], ὡς κύμασι, τίς οὐκ ἂν ἀπαλλάξειε τὸν καύσωνα (τὴν θερμότητα);
2. Θεωρήσας δ' ὁ Σανζαΐας τῷ νοὶ τὸν πολυπήμονα (ὀλέθριον) πόλεμον, ἐλθὼν πάλιν πρὸς τὸν Δρυταράστραν, λόγους ἔλεξεν ἀνάρθρους ἐκ λύπης·
3. «Τοῦ μὲν οὖν Καρνᾶ, ὦ βασιλεῦ, ὃς ἦν λαμπρὸς περὶ » τὴν ἀνδρείαν, περὶ τὴν φιλοδωρίαν, καὶ περὶ τὴν φι- » λίαν, μείναντος ἐν τοῖς ὠσὶ μόνον τοῦ κόσμου [3],
4. « Ὁ υἱός σου Δουριοδάνας, ὢν ἄνευ ζωῆς, οὗ ζωὴ ἦν ὁ » Καρνᾶς, καὶ παραπαίων, ὡς δαιμονόληπτος, ἦν εἰς φό- » βον τοῖς οἰκείοις.
5. «Παρακαλούμενος δὲ σφόδρα ὑπὸ τοῦ Κριπᾶ, εἰς τὸ » ποιῆσαι διαλλαγὴν, εἴρηκεν· « Τίς εὐμενής μοι ἐστὶν, « ὃς προτρέψειμε εἰς διαλλαγὴν, ἄνευ μεγάλου πολέ- « μου [4];»

---

1. Τὸ ἔνατον Βιβλίον μονοκέφαλόν ἐστι.
2. Ἔστι καὶ νομικὰ βιβλία, ἃ συνέγραψεν ὁ Βεάσας.
3. Δηλ. ἀποθανόντος.
4. Τουτέστιν εὐμενής μοι ἐστὶν ὃς προτρέψει με εἰς πόλεμον καὶ οὐχὶ εἰς διαλλαγήν.

6. « Σὺν δὲν τῇ γνώμῃ τοῦ Ἀσβατάμα ἀρχιστράτηγος ἐχει-
» ροτονήθη ὑπὸ τοῦ βασιλέως Δουριοδάνα ὁ Σαλέας [1], ὁ
« ὢν φερωνύμως κάρφος τοῖς ἐχθροῖς, καυχώμενος ταῦτα·
« Ὁ Κρισνᾶς καὶ ὁ Ἀρζούνας οὐκ εἰσιν ὁμοιοί μου. »

7. « Ἀντίστοιχος [2] δὲ τοῦ Σαλέα ἐγένετο ὁ Ἰουδιστίρας,
» κατὰ τὸν λόγον τοῦ Κρισνᾶ, εἰπόντος· « Σὺ αὐτὸς ἀν-
« τίστηθι τῷ Σαλέᾳ, ὃς ἐστι κρείττων τοῦ Δρόνα, καὶ
« τοῦ Καρνᾶ, καὶ τοῦ Βήσμα, καὶ δυσνίκητος καὶ αὐτῷ
« τῷ Ἀρζούνα. »

8. « Εἰπὼν δ' ὁ Σαλέας, ὡς πολεμητέον πολλοὺς πολλοῖς,
» καὶ οὐχὶ ἕνα ἑνί, συλλέξας τὴν στρατιὰν, ἔταξεν αὐτὴν
» εἰς σχῆμα τετράγωνον.

9. « Ὁ δὲ Ἰουδιστίρας διεμέρισε τὸν στρατὸν εἰς τρία σώ-
» ματα· καὶ τὸ μὲν δοὺς τῷ Σατεκῇ, τὸ δὲ τῷ Δρυστα-
» διούμνᾳ, τὸ δὲ τῷ Σικανδῇ, ἐξώρμησεν, ἀνατείλαντος
» τοῦ Ἡλίου.

10. « Ἤρξατο δ' ὁ πόλεμος, ἐν ᾧ ἀναρίθμητα βέλη ἐρρίπτον-
» το· αἱ δ' ἐρυθραὶ ἀκτῖνες τοῦ Ἡλίου περὶ τὴν ἕω ἐφαί-
» νοντο ὡς ροαὶ αἱμάτων, ἐκ τῶν πληττομένων διαστά-
» σεων τοῦ τόπου.

11. « Τὸ δὲ στάδιον ἐκεῖνο τοῦ πολέμου, ἐν ᾧ πολλοὶ ἐσφά-
» γησαν, ἦν, ὡς μαγειρεῖον τοῦ Ἰάμα [3]· ὁ δ' ἀνιστάμε-
» νος εἰς τὸν αἰθέρα κονιορτὸς, ὡς καπνός.

12. « Αἱ δὲ κοπτόμεναι κεφαλαὶ τῶν βασιλέων τοῖς ξίφεσι,
» καὶ ἐφαλλόμεναι, ἦσαν, ὡς τμήματα τῆς ὀρύζης τοῦ
» Ἰάμα, τῆς πτησσομένης τοῖς δίδοιξι.

13. « Οἱ μαχηταὶ, διαβάντες τὸ ποταμηδὸν χεόμενον αἷμα

---

1. Σαλέα λέγεται ὁ ἥλος.
2. Ὁ Ἰουδιστίρας ἀρχιστράτηγος ἐχειροτονήθη.
3. Ἐν τῷ μαγειρείῳ τῷ βασιλικῷ πολλὰ ζῶα σφάζονται.

» ἐπ' ἐλεφάντων πεπτωκότων, ἀνήρουν τοὺς ἐχθροὺς, καὶ
» δόξης τυχόντες, ἥδοντο, καθὼς ὁ Ῥάμας, διαβὰς τὸν
» Ὠκεανὸν ἐπὶ πετρίνης γεφύρας, ἥδετο, ἀνελὼν τὸν Ῥα-
» βάναν, καὶ τυχὼν τῆς Σητᾶς.

14. « Ἐμάχοντο δ' οἱ μάχιμοι γενναίως, καίπερ ἀπηλπισμένοι
» τοῦ ζῆν, ἕνεκα τοῦ θανάτου τῶν πρὸς πατρὸς καὶ μη-
» τρὸς θείων, ἀδελφῶν, πατέρων, υἱῶν, καὶ ἑταίρων.

15. « Καίτις σύμμιξις ἐγένετο ἀμφοτέρων τῶν στρατῶν,
» λευκὴ μὲν ἐκ τῶν γελώτων, μέλαινα δὲ ἐκ τῶν μα-
» χαιρῶν, ὡς ἡ λευκομέλαινα σύμμιξις τῆς Γαγγᾶς καὶ
» τῆς Ἰαμουνᾶς, ἥ ἐστιν εἰς λύτρωσιν καὶ ἀθανασίαν τῶν
» βυθιζομένων ἐν τοῖς ὕδασιν [1].

16. « Ὁ μὲν δεινὸς καὶ θαυμαστὸς ἐν πολέμοις Νακούλας
» ἀνεῖλε τὸν Σατεσέναν, τὸν Σουσσέναν, καὶ τὸν Σιτρα-
» σέναν, τοὺς υἱοὺς τοῦ Καρνᾶ, τοὺς λαμπρὰ ἐνώτια
» φέροντας.

17. « Ὁ δὲ τῆς Μάδρας βασιλεὺς Σαλέας, ἔχων ἐπὶ τῆς ση-
» μαίας χρυσῆν αὔλακα, εἰς τὸ σημᾶναί πως, ὅτι τοιαύ-
» την αὔλακα ποιήσει ἐν τοῖς στήθεσι τῶν ἐχθρῶν,

18. « Καὶ προξενῶν γνωσιμάχησιν [2] τῷ Δουριοδάνᾳ, λέγοντι,
« Οἴμοι! ἐπειδὴ ὁ Σαλέας οὐκ ἐχειροτονήθη πρότερον
« στρατηγὸς, διὰ τοῦτο ὁ Βήσμας καὶ οἱ λοιποὶ ἥρωες
« ἀνῃρέθησαν!»

19. « Εἰσέδυ τὸν πολέμιον στρατὸν, ἀναιρῶν τοὺς ἐχθροὺς,

---

1. Καθὼς ὁ πίπτων εἰς τὰ συμμιγέντα ὕδατα τῆς Γαγγᾶς καὶ τῆς Ἰαμουνᾶς, λυτροῦται τοῦ σώματος, οὕτω καὶ ὁ πίπτων ἐν τοῖς συμμιγεῖσι τούτοις στρατοῖς, ἀθάνατος ἐγίνετο.

2. Δηλονότι, εἰ ἐγὼ ἐχειροτόνουν τοῦτον στρατηγὸν, ἀνῃροῦντο μὲν ἂν οἱ ἐχθροὶ, ἔζων δὲ ὁ Βήσμας καὶ οἱ λοιποί.

» οἱονεὶ γλώσσαις τῶν διακόνων τοῦ Ἰάμα, αἳ ἐγένοντο
» αἱχμαὶ τῶν ἕλκων εἰς πόσιν αἵματος.

20. « Κτείναντος δὲ τοῦ Σαλέα ἀφειδῶς πεζοὺς, ἐφίππους,
» ἁρματηλάτας καὶ ἐλεφαντηλάτας, οἱ ἐχθροὶ ἐφαντά-
» ζοντο πανταχοῦ παρόντα τὸν Σαλέαν [1].

21. « Βληθεὶς δ' ὑπὸ τούτου βέλει ὁ Βήμας, κατέβη ἀπὸ
» τοῦ ἅρματος, ὡς λέων ὑπὸ κορυφῆς ὄρους, καὶ ἔδραμε,
» πληρώσας τὸν αἰθέρα φωνῆς.

22. « Συντρίψας δὲ τὸ ἅρμα τοῦ Σαλέα τῇ κορύνῃ, ὅμοιος
» ἐγένετο μεγάλῳ ἐλέφαντι, ὃς διαῤῥηγνύει τῷ ὀδόντι
» κορυφὴν ὄρους.

23. « Κόνιος δ' ἐξανισταμένης ἐκ τῶν ποδῶν, ὁ Βήμας καὶ
» ὁ Σαλέας, ἀνέχοντες τὰς κορύνας, ἐφέροντο πέριξ, ὡς
» περ ὑπὸ στροβίλου, τοῦ θανάτου.

24. « Ἐβόων δ' ἐπὶ μέγα, λαμπρύνοντες τὸν αἰθέρα τοῖς
» σπινθῆρσι, τοῖς ἐξαγομένοις ἐκ τῶν συναρασσομένων
» κορυνῶν, ὥσπερ θραύσμασι τῶν ἑαυτῶν θερμοτήτων,
» τῶν θραυομένων τῇ πληγῇ τῶν κορυνῶν.

25. « Πλήξαντες δ' ἀλλήλους οὗτοι, ἔπεσον μετὰ ψόφου,
» ὥσπερ λίθοι ῥιπτόμενοι ἐκ σφενδονῶν, ὁ μὲν ἔνθα, ὁ
» δὲ ἔνθα, μεταξὺ τῶν μαχητῶν.

26. « Περιεκυκλώθησαν δ' εὐθέως ὑπὸ τῶν οἰκείων στρατῶν,
» καὶ εἰς αἴσθησιν ἐλθόντες, ἀνέβησαν ἐφ' ἁρμάτων, κἄ-
» πειτα ἐπορεύθησαν εἰς πόλεμον, φυλαττόμενοι.

27. « Ὑπὸ μὲν οὖν τῶν πολεμικῶν, τῶν ἐφιεμένων θεᾶς συ-
» ζευχθῆναι, ἠγαπᾶτο ὁ πόλεμος, ὡς τὸ οὐράνιον δέν-
» δρον, ἡ Καλπαδρούμα, ἔχων τοὺς μὲν ταχεῖς ἵππους,
» ὡς φύλλα κινούμενα, τοὺς δὲ λευκοὺς ὀδόντας τῶν
» ἐλεφάντων, ὡς ἄνθη λευκά.

---

1. Ὅ,τι ἔβλεπον, ἐνόμιζον ὡς ὁ Σαλέας ἐστί.

28. « Τηνικαῦτα ὁ βασιλεὺς Σεκιτάνας πρόδρομος ἐγένετο » τῶν πορευομένων ἐκ τῶν ὅπλων τοῦ Δουριοδάνα εἰς » τὸν *Βραχμαλόκαν*, τὸν γινόμενον εὔκτητον διὰ τῆς » ἡρωϊκῆς καρδίας.

29. « Ὁ δὲ Ἰουδιστίρας διπλασίως λαμπρότερος τοῦ λαμ- » προῦ ἐγένετο Ἡλίου ἐκ τῆς λάμψεως, τῆς γεγενημένης » ἐκ τῆς ἀναιρέσεως δυσχιλίων βασιλέων.

30. « Ἐκ δὲ τῶν λιθοκολλήτων περὶ τὴν γλυφίδα βελῶν » τοῦ Σαλέα, ἃ εἶχεν ὁ Ἰουδιστίρας ἐμπεπηγμένα μέχρι » τῆς γλυφίδος ἐν τῷ στήθει, ἐφαίνετο ὡς ἠγκαλίσατο » αὐτὸν ἡ Λαξμὴ, νομίσασα, ὡς Βισνοῦς ἐστιν, ὁ ἔχων » τὸν *Καουστούβαν* [1] ἐπὶ τοῦ στήθους.

31. « Τοῦ δ' ἐκ τῶν βελῶν τοῦ Σαλέα ἀνέμου ἀνατινάξαν- » τος τοὺς ἐχθροὺς, ὡς ἄχυρα, τὰ πρόσωπα τῶν ἐν οὐ- » ρανῷ θεῶν ἐσαλεύοντο [2], ὡς οἱ ἐν λίμνῃ λωτοί.

32. « Τὸ δ' ἅρμα τοῦ Δουριοδάνα, ἀπολέσαν τὸν ἡνίοχον » ἐκ τῶν βελῶν τοῦ Βήμα, ἀπέφυγε τῇ ταχυτῆτι τῶν » ἵππων, διασαλεῦον τὴν σημαίαν, ὡς μέγαν δάκτυλον [3].

33. « Ὁ δ' Ἀσβατάμας, οὗ τὸ ἅρμα συνετρίβη ἐκ τῶν βελῶν » τοῦ Ἀρζούνα, ἀνελὼν τὸν Σουράταν βασιλέα, ἀνέβη εἰς » τὸ ἅρμα ἐκείνου, καθὼς ὁ ὄφις, καταπιὼν τὸν μῦν, » εἰσδύει εἰς τὴν ὀπὴν ἐκείνου.

34. « Ὁ δὲ Σαλέας, ἐρυθρὸς ὢν ἐκ θυμοῦ, βάλλων βέλη » βροχηδὸν, ποταμοὺς αἱμάτων ἐποίησεν ἐκ τῶν βασι- » λέων, καθὼς τὸ αἱματοφόρον νέφος, βρέχον, ποταμοὺς » αἱμάτων ποιεῖ, ῥέοντας ἐξ ὀρέων [4].

---

1. Καουστούβας, ἀδάμας, λίθος πολύτιμος.

2. Ἐσάλευον τὰς κεφαλὰς αὐτῶν θαυμάζοντες.

3. Παραδειγματικῶς τοῦτο λέγεται, ὡς ὅτε τις ἀποφεύγει ἢ ἀρνεῖ- ται δοῦναι, διασαλεύων δεικνύει τὸν ἀντίχειρα τῷ ἀντικειμένῳ.

4. Ὅτε βρέχει αἷμα, κακὸν σημεῖον.

35. « Περιεπόμενος δ' ὁ Ἰουδιστίρας τοῖς τέσσαρσιν ἀδελ-
» φοῖς, καὶ τῷ Σατεκῇ, ἐπέδραμε κατὰ τοῦ Σαλέα, καὶ
» ἐφαίνετο, ὡς αὐτός ἐστιν ὁ θάνατος, ἔχων τὸν μὲν
» Ἰουδιστίραν, ὡς σῶμα, τοὺς δὲ τέσσαρας Πανδοΐ-
» δας, ὡς χεῖρας καὶ πόδας, τὸν δὲ Σατεκὴν, ὡς κε-
» φαλήν.

36. « Κατερρηγμένα δ' ἔχοντες τὰ ἅρματα τοῖς ἀλλή-
» λων ὅπλοις ὁ Ἰουδιστίρας καὶ ὁ Σαλέας, ἐγένοντο ἐπὶ
» γῆς [1], καὶ ἐφαίνοντο, ὡς ὁ Ἥλιος καὶ ἡ Σελήνη περὶ
» τὴν ἕω [2].

37. « Ἔδραμε δ' ὁ Σαλέας κατὰ τοῦ Ἰουδιστίρα, ἑλκύσας
» τὸν θάνατον ἐκεῖνον, τουτέστι τὴν ῥομφαίαν, ὃς ἦν
» κεκρυμμένος ἐν τῇ χερὶ τῇ δεξιᾷ, ὅπερ συμπεραίνεται
» ἐκ τῆς πρὸς τοὺς ἐχθροὺς μεγάλης φθορᾶς.

38. « Ἐκ δὲ τῆς λαμπρᾶς δίκην Σελήνης ῥομφαίας τοῦ Σα-
» λέα, τῆς πιπτούσης κατὰ τῆς κεφαλῆς τῶν βασιλέων,
» καὶ διασκεδαζούσης ἐλέφαντας, ὡς ζόφους [3], θάλασσα
» αἵματος ἐπλημμύρησε.

39. « Τηνικαῦτα ἡ ῥομφαία τοῦ Σαλέα, προφαίνουσα τοὺς
» ὀδόντας, τουτέστι τοὺς προσκεκολλημένους μαργαρίτας
» ἐκ τῆς τομῆς τῶν ἐλεφάντων, ἐγέλα [4], διὰ τῆς εὐ-
» κλείας κατὰ τῆς ἀνδρείας τῶν Πανδοϊδῶν.

---

1. Κατέβησαν.

2. Ἐν τῇ πανσελήνῳ, ὁ μὲν Ἥλιος κατὰ τὴν ἀνατολὴν, ἡ δὲ Σε-
λήνη περὶ τὴν δύσιν, λάμπει κατὰ τὴν ἕω.

3. Παραδειγματικῶς λέγει, καθὼς ἡ Σελήνη, λάμπουσα κατὰ τῆς
κορυφῆς τῶν ὀρέων, ἀποδιώκει τὸ σκότος, καὶ πλημμυρεῖν ποιεῖ τὴν
θάλασσαν· παίζει δὲ πρὸς τὰς λέξεις.

4. Ὅστις γελᾷ, προφαίνει τοὺς ὀδόντας· ἡ δ' εὐκλεια, ὁ γέλως· ὁ
δὲ γέλως λευκὸς εἰκονίζεται, καθὼς καὶ ἡ εὐκλεια.

40. « Ὅτε δ' οὐκ ἐγένετο σποδὸς ὁ Σαλέας, καίπερ βλεπό-
» μενος ὑπὸ τοῦ Ἰουδιστίρα θυμῷ πυροειδεῖ, πῶς ἂν ἡδύ-
» νατο θίξαι αὐτοῦ τὰ ὅπλα τοῦ Ἀρζούνα, καὶ τῶν λοι-
» πῶν ;

41. « Ἔῤῥιψε δ' ὁ Ἰουδιστίρας ἐπὶ τὸν Σαλέαν τὴν λόγχην
» ἐκείνην, ἣν ἐτεκτήνατο πάσῃ τέχνῃ ὁ Βισβακάρμας τῷ
» Σίβα, ἀναιρετικὴν οὖσαν τῶν δαιμόνων.

42. « Βληθεὶς δὲ κατὰ τὸ στῆθος ὁ Σαλέας ἐκείνῃ τῇ λόγ-
» χῃ, ἣ ἦν ἱκανὴ ἀνελεῖν χιλίους, πεσὼν κατὰ γῆς, ἄ-
» χθος ἔδωκε ταῖς χιλίαις κεφαλαῖς τοῦ δράκοντος Σέσσα.

43. « Ἐπιδραμὼν δὲ θυμῷ ὁ νεώτερος ἀδελφὸς τοῦ Σαλέα,
» ᾧ ὄνομα Βισιτρακαβάσας [1], ἀκέφαλος ἐγένετο ἐκ τοῦ
» ξυροειδοῦς βέλους τοῦ Ἰουδιστίρα.

44. « Οὐ μὴν ἀλλὰ καὶ τῶν θωρακοφόρων στρατιωτῶν τοῦ
» βασιλέως Σαλέα ἐπιδραμόντων, τὰ χρυσᾶ βέλη τοῦ
» Ἀρζούνα ἐγένοντο αὐτοῖς, ὡς οἱ *Γαροῦδαι* τοῖς ὄφεσιν [2].

45. « Ἡ δὲ γῆ τοῦ πολέμου ἐγένετο ὑπὸ τοῦ Βήμα, ὡς ἡ
» ἔρημος γῆ, σωροὺς νεκρῶν ἔχουσα, ὡς ὄρη οὐρανομήκη,
» καὶ ἄμοιρος οὖσα ἀνθρώπων.

46. « Μεμαραμμένοι δ' ἐγένοντο οἱ σεληνοπρόσωποι Καουρα-
» βαὶ εὐθέως ἐκ τοῦ ὁραθέντος δίκην Ῥαχοῦ κρανίου τοῦ
» βασιλέως Σάλβα, κοπέντος τῷ βέλει τοῦ Σατεκῆ.

47. Αἱ κεφαλαὶ τῶν ἐχθρῶν, αἱ ῥιπτόμεναι ὑπὸ τῶν βελῶν
» τοῦ Δουριοδάνα, ἦσαν, ὡς μοῖραι βρώματος, ῥιπτόμε-
» ναι ὑπὸ τῶν διακόνων τοῦ Ἰάμα τοῖς κολοιοῖς [3].

48. « Ἅπασα δ' ἡ στρατιὰ τῶν ἐχθρῶν ἐσημειώθη τοῖς βέ-

---

1. Ποικιλοθώραξ.
2. Παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.
3. Ἔθος ἐστὶ ῥίπτειν μοῖραν βρώματος εἰς τροφὴν τῶν κολοιῶν.

» λεσιν, ἃ ἐνεπάγησαν ἐν τοῖς σώμασιν αὐτῶν ὑπὸ τοῦ » Δουριοδάνα, ἔχοντά τὸ ὄνομα αὐτοῦ ἐπὶ τῆς γλυφίδος, » εἰς τὸ δεῖξαί πως, ὡς αὐτός ἐστι νῦν ὁ ἀντιστρά- » τηγος.

49. « Ἐπέπεσε δ' ὁ Δουριοδάνας κατὰ τῶν ἐχθρῶν, ὡς χεὶρ » τοῦ Ἰάμα, ἔχων, ὡς πέντε δακτύλους, τὸν Σουσσαρ- » μᾶνα, τὸν Κριπᾶν, τὸν Κριταβάρμαν, τὸν Ἀσβατά- » μαν, καὶ τὸν Σακουνήν.

50. « Ἐφώρμησαν οὖν κατ' ἀλλήλων οἵ τε Καουραβαὶ καὶ » οἱ Πανδοΐδαι, φοβεροὶ ὄντες καὶ νηλεεῖς, ὡς ὁ ἐπὶ τῆς » πανωλεθρίας χρόνος, καὶ σπεύδοντες καὶ ἀνδριζόμενοι » τέλος ποιῆσαι τοῦ πολέμου.

51. « Μεταξὺ δὲ τῆς βολῆς τῶν ὅπλων τοιοῦτοι λόγοι ἠ- » κούοντο τῶν πολεμικῶν· « Μὴ φεῦγε ! ἐπίστρεψον ! « στῆθι ! ἐλθέ ! σὺ πρῶτον βάλε, ἔπειτα δ' ἐγώ ! »

52. « Τότε ἐν ἐκείνῳ τῷ πολέμῳ, ἐν ᾧ οἱ αἰθεροβατοῦντες » θεοὶ ἐφοβήθησαν, οἱ μὲν στρατιῶται καθηροῦντο ὑπὸ » τῶν ὅπλων, αἱ δὲ φωναὶ τῶν στρατιωτῶν, ὑπὸ τῶν » ἤχων τῶν ὅπλων [1].

53. « Κόνιος δὲ διαχυθείσης σκοτεινοτέρας τοῦ σκότους, τοῦ » ἐπὶ τοῦ τέλους τοῦ κόσμου, τὸ σύνθημα τῶν πολε- » μούντων διάκρισις ἐγίνετο, τίς ἐστιν οἰκεῖος καὶ τίς » ἀλλότριος.

54. « Λόγοι δὲ τῶν Πανδοϊδῶν τοιοῦτοι ἐπλήρωσαν τὸν αἰ- » θέρα τότε· « Ποῦ ὁ Σουσσαρμάν; Ποῦ ὁ Κριταβάρμας; « Ποῦ ὁ Δουριοδάνας; Ποῦ ὁ Σακουνῆς [2]; »

55. « Δεκατρεῖς δὲ υἱοί σου οὗτοι ἐφονεύθησαν τότε ὑπὸ τοῦ

---

1. Δηλονότι οὐκ ἠκούοντο ὅ,τι ἔλεγον.
2. Διεσκορπίσθη ἡ στρατιά.

» Βήμα, ὦ βασιλεῦ, ὁ Ζαϊασένας (Νικόστρατος), ὁ Μα-
56. » χαβαχοῦς, ὁ Ζαΐτρας, ὁ Δουρβισσάχας, ὁ Σάχας, ὁ
» ὁ Βιβινσσατὴς, ὁ Δανδαδάρας, ὁ Σαμανσάχας, ὁ Σου-
» βάρτσας, ὁ Σουζάτας, ὁ Σρουταβὰν, ὁ Βαλαβέγας, καὶ
» ὁ Βουριβάλας.

57. « Τούτων τῶν δεκατριῶν ἐν τοῖς αἵμασιν ἀντιλαμπού-
» σης τῆς μορφῆς τοῦ Βήμα, ἐφαίνετο, ὅτι δεκατέσσα-
» ρας μορφὰς ἔσχεν [1], εἰς διατήρησιν τῶν δεκατεσάρων
» κόσμων.

58. « Τηνικαῦτα ἐκράτησέ με, ὦ βασιλεῦ, ὁ Σατεκὴς, λέ-
» γων, ταῦτα· « Ἅπαντες σήμερον σπεύδουσιν εἰς νίκην·
« ὑπ' ἐμοῦ δ' ἐκρατήθη ὁ Σανζαΐας [2]. »

59. « Ὁ δὲ μεγαλουργὸς Ἀρζούνας ἐξαπέστειλε πρὸς τὴν ἐν
» οὐρανῷ τρυφὴν [3] καὶ ἄνεσιν [4] τὸν Σουσσαρμᾶνα, καὶ τὸν
» ἀδελφὸν, καὶ τὸν υἱὸν, καὶ τοὺς λοιποὺς προασπιστὰς
» αὐτοῦ καὶ ἀκολούθους.

60. « Τηνικαῦτα καὶ ὁ ὑπέρφρων υἱός σου Σουδαρσσάνας ἐξα-
» πεστάλθη παρὰ τοῦ Βήμα, εἰς τὸ ἀναπαυθῆναι ἐν τῷ
» στήθει θεᾶς, ὡς ἐλέφαντα ἐν τῷ στύλῳ, ἐν ᾧ δέδεται.

61. « Ὁ δ' ἰσχυρὸς υἱὸς τοῦ Σουβάλα Σακουνὴς, ἀναιρῶν ὄπι-
» σθεν δολίως πολλούς, ἀνῃρέθη καὶ αὐτὸς ὄπισθεν ἀφα-
» νῶς ὑπὸ τοῦ Σαχαδέβα.

62. « Ἀνεῖλε δ' ὁ Σαχαδέβας καὶ τὸν Οὐλούκαν, τὸν υἱὸν τοῦ
» Σακουνῆ σὺν πᾶσι τοῖς προασπισταῖς αὐτοῦ καὶ ἀκο-

---

1. Δεκατρεῖς Βῆμαι ἐφαίνοντο ἐν τοῖς αἵμασι τῶν δεκατριῶν· δέκατος δὲ τέταρτος ὁ ἀληθὴς, ὁ ζῶν.

2. Παίζει πρὸς τὰς λέξεις· Ζαΐα γὰρ λέγεται ἡ νίκη· Σανζαΐα δὲ ἡ καλὴ νίκη.

3. Ἡδονὴν, αὐτολεξεί· παίζει δὲ πρὸς τὰς λέξεις.

4. Ἐξαπέστειλεν αὐτοὺς εἰς τὸν οὐρανὸν ἀνελών.

» λούθοις, δεικνύων, ὡς τὴν πολεμικὴν τέχνην ἔμαθε
» παρὰ τοῦ Δρόνα.

63. « Βουλομένου δὲ τοῦ Σατεκῆ ἀνελεῖν με [1] τῷ λόγῳ τοῦ
» Δρυσταδιούμνα, ἐμφανεὶς ὁ Βεάσας, ὁ πάντα βλέπων,
» ἐρύσατό με.

64. « Ὁ δὲ Δουριοδάνας, ὁ κύριος ἕνδεκα Ἀξαουχινῶν, ὡρά-
» θη μοι μόνος φεύγων πεζὸς ἀπὸ τοῦ πολέμου, ἐν ᾧ πε-
» ριελείφθησαν ζῶντες ὁ Ἀσβατάμας, ὁ Κριταβάρμας,
» καὶ ὁ Κριπᾶς.

65. « Καὶ εἶπε πρός με, αἰσχυνόμενος· « Εἰπὲ τῷ πατρί μου
« ταῦτα· Ὁ δυστυχὴς καὶ ἄθλιος υἱός σου, ἀπολέσας
« τοὺς φίλους, καὶ πάντα τὸν στρατὸν, ἐκρύβη ἐν λίμνῃ
« κεκμηκώς. »

66. « Οὕτως εἰπών μοι, στήσας τὴν ἐνέργειαν τοῦ ὕδατος [2]
» μαγίᾳ τῶν ἐν ὕδατι οἰκούντων δαιμόνων, εἰσέδυ τὴν
» λίμνην κατὰ τὴν ἑσπέραν, καθὼς ὁ Ἥλιος τὸν Ὠκεανόν.

67. « Πλανωμένων δ' εἰς τὴν Κουρουξέτραν ἐκείνων τῶν τριῶν,
» τοῦ Ἀσβατάμα, τοῦ Κριπᾶ, καὶ τοῦ Κριταβάρμα, καὶ
» πυνθανομένων ποῦ εἴη ὁ βασιλεὺς, εὑρέθη διὰ τοῦ ἐμοῦ
» λόγου ἡ λίμνη ἐκείνη.

68. « Τῇ δὲ προσταγῇ τοῦ Ἰουδιστίρα ὁ υἱός σου Ἰουϊτσοῦς [3],
» παραλαβὼν τὰς γυναῖκας τοῦ Δουριοδάνα καὶ τῶν λοι-
» πῶν, ἐπορεύθη εἰς τὴν πόλιν Χαστιναπούραν.

69. « Ἔχων δ' ὁ Ἰουδιστίρας χιλίους ἁρματηλάτας, καὶ μυ-

---

1. Ὁ Σατεκὴς ἐκράτησε τὸν Σανζαΐαν, ὡς προείρηται, καὶ ἠβούλετο αὐτὸν ἀνελεῖν, ἐπειδὴ ἦν ἐκ μέρους τῶν ἐναντίων.

2. Ἔστησε τὴν ἐνέργειαν τοῦ ὕδατος, ἣν ἔχει εἰς τὸ καταπνίγειν τὸν εἰσδύοντα.

3. Οὗτος ηὐτομόλησε πρὸς τὸν Ἰουδιστίραν κατὰ τὴν ἀρχὴν τοῦ πολέμου, ὡς ἐρρέθη πρότερον.

» ρίους πεζοὺς, καὶ ἑπτακοσίους ἐλεφαντηλάτας, καὶ πεν-
» τακισχιλίους ἱππεῖς,

70. « Ἀπέστειλε κατασκόπους πανταχόσε, ταραττόμενος φό-
» βῳ καὶ ὑπονοίᾳ, εἰς τὸ σκοπῆσαι, ποῖ ἐπορεύθη μετὰ
» τὸν πόλεμον ὁ Δουριοδάνας, ἡ ῥίζα τῆς ἔχθρας.

71. « Ὁ δ' Ἀσβατάμας, ὁ Κριταβάρμας, καὶ ὁ Κριπᾶς,
» εὑρόντες τὸν Δουριοδάναν ἐν λίμνῃ, εἶπον χθαμαλῇ τῇ
» φωνῇ· « Ἀνάστα, γενναῖε, καὶ νίκα μεθ' ἡμῶν τοὺς ἐχ-
« θροὺς, ὧν κεφαλή ἐστιν ὁ Ἀρζούνας. »

72. « Ἐπαινέσας δὲ τούτους ὁ βασιλεὺς, ἔφη· « Ἐγὼ ἀπέκα-
« μον· ἀναπαύθητε δὲ καὶ ὑμεῖς μικρόντι· αὔριον δὲ πρωὶ
« θανάτῳ παραθοθήσονται οἱ ἐχθροί. »

73. « Ἀκούσαντες δὲ θηρευταὶ ἐν τῷ δάσει, φιλοκερδεῖς
» ὄντες, ἀνήγγειλαν τῷ Βήμᾳ, ὡς ὁ ἐχθρός ἐστιν ἐν τῇ
» λίμνῃ· ὁ δὲ Βήμας τῷ Ἰουδιστίρᾳ.

74. « Χαρεὶς δ' ὁ Ἰουδιστίρας, ἦλθε μετὰ μεγάλων ἡρώων
» ἐπὶ τὴν λίμνην ἐκείνην, βοὴν ποιῶν διὰ τοῦ στρατοῦ,
» ὑπερβαίνουσαν τὴν τῶν ἐλεφάντων τῶν τοῦ κόσμου
» μερῶν.

75. « Οἱ δὲ περὶ τὸν Ἀσβατάμαν ἀνεπαύοντο μακρὰν ὑπὸ
» δένδρον Βάταν· τοῦτο δ' ἐγένετο διὰ τῆς προσταγῆς
» τοῦ Δουριοδάνα, ἵνα μὴ γνωσθείη ὑπὸ τῶν ἐχθρῶν.

76. « Προτραπεὶς δ' ὑπὸ τοῦ Κρισνᾶ ὁ κορυφαῖος τῶν τοῦ
» Πανδοῦ Ἰουδιστίρας, προσελθὼν τῇ λίμνῃ, εἶπε μεγάλῃ
» τῇ φωνῇ πρὸς ἐκεῖνον τὸν ἐχθρόν·

77. « Διά τί, ὦ βασιλεῦ, ὢν ἐν μέσῳ τῆς λίμνης, ἐξαλεί-
« φεις τὸ κλέος, ὡς χρίσμα ἐκ Σανδάνου, τὸ γενόμενον
« αἴτιον τῆς ἐξουσίας τῶν τριῶν κόσμων [1];

---

1. Ἐκ τοῦ οὗ εἶχε μιγάλου ὀνόματος ὁ κόσμος ἅπας ὑπετάγη.

78. « Διὰ τί, ὡς ἔμαθες τὴν ἐν ὕδατι ἀβλαβῆ μονὴν, οὐκ « ἔμαθες καὶ τὴν ἐν καρδίᾳ σταθερὰν μονὴν τοῦ μεγάλου « φρονήματος; σοῦ γὰρ εἰσδύσαντος εἰς τοῦτο τὸ ὕδωρ, « τὸ μέγα ἐκεῖνο φρόνημα ἐξέδυσεν ἐκ τῆς σῆς καρδίας.

79. « Τὸ ὡς κάτοπτρον κλέος, ᾧ στέφανε ἡρώων, τὸ ἀμαυ- « ρὸν γενόμενον ἐν τῇ εἰς τὸ ὕδωρ εἰσδύσει [1], ἀποστίλ- « βωσον διὰ τῆς κόνιος, τῆς ἐξανισταμένης ἐκ τοῦ πο- « λέμου. Ἀνάστα! ἀνάστα!

80. « Ὁ πόλεμος τοῖς πολεμικοῖς πάνδωρός ἐστιν ἀδάμας, « μᾶλλον δὲ, ὑπέρτερος ἐκείνου· ὁτὲ μὲν γὰρ δίδωσι γῆν « τοῖς αἰτοῦσιν, ὁτὲ δ' οὐρανόν [2].

81. « Ὁ δὲ Δουριοδάνας, ὢν ἔτι ἐν ὕδατι, εἶπε πρὸς τὸν » Ἰουδιστίραν, καὶ ἐφαίνετο, ὅτι ἐξήγαγε πραγματικῶς ἐκ » τοῦ ἑαυτοῦ σώματος καὶ τὴν ἔπαρσιν, ἀπόγε τῶν πομ- » φολύγων, ὧν ἐποίησε τὸ ὕδωρ [3].

82. « Ἁρμοδίως ἔφης, ᾧ γενναῖε [4]· τί δ' ὅμως πρὸς ἐμὲ σή- « μερον ἡ ἐπίγειος βασιλεία; δι' οὓς γὰρ πᾶν χρῆμα συλ- « λέγεται, οὗτοι τεθνεῶτές εἰσιν, οὔτε φίλοι καὶ οἱ συγ- « γενεῖς.

83. « Ὁ πόλεμος δίδωσι πάντως οὐρανὸν τῷ θανόντι· ἡ χα- « ρὰ δ' ὅμως αὐτοῦ ἀμαυροῦται ἐκ τῆς χαρᾶς τῶν νικη- « σάντων ἐχθρῶν· ὅθεν ἐγὼ τεύξομαι τοῦ οὐρανοῦ διὰ « τῆς ὁδοῦ τῶν ἐγκρατῶν καὶ ἡσυχαστῶν, τῆς ἐπαινετῆς « παντὶ τῷ κόσμῳ.

---

1. Ὁ ὕαλος ἐκ τῆς ὑγρότητος ἀπολλύει τὴν λάμψιν· καθαιρόμενος δὲ διὰ τοῦ χοὸς, λαμπρύνεται πάλιν.

2. Ὅταν γὰρ ζήσῃ ἐν πολέμῳ, τυγχάνει ἐπιγείου βασιλείας· ὅταν δ' ἀποθάνῃ, ἐπουρανίου.

3. Λαλοῦντος ἐκ μέσου τοῦ ὕδατος, πομφόλυγες ἐγίνοντο· οἱ πομφόλυγες ἐφαίνοντο, ὡς ἡ ἔπαρσις αὐτοῦ ἦν καὶ ἀφοσίωσις.

4. Ὀρθῶς ἔφης, ὅτι ὁ πόλεμος δίδωσι βασιλείαν.

84. « Ἐμοῦ ἀποπλύναντος τὸ στόμα [1], διὰ τοῦ χυμοῦ τῆς « ἡσυχίας, τρύφα σὺ τῆς γῆς, τῆς ληφθείσης ὑπ' ἐμοῦ, « ἀφ' οὗ ἐγὼ αὐτῆς ἐτρύφησα.

85. « Πρὸς ὃν ἔφη ὁ Ἰουδιστίρας· « Διὰ τί θέλεις σῶσαι σεαυ- « τὸν διὰ τῆς δόσεως ἁπάσης τῆς γῆς, ὅτε πρότερον « οὐδ' ὀλίγον μέρος γῆς ἤθελες δοῦναι εἰς παγγενῆ ἀ- « πώλειαν ;

86. « Πρότερον μὲν ἀποφαινόμενος, ὅτι οὐδ' ὀλίγη γῆ δοτέα « ἐστὶ τοῖς Πανδοΐδαις, νῦν δὲ, διδοὺς ἅπασαν τὴν γῆν, « διὰ τί οὐκ αἰσχύνῃ, ἀναιρῶν τὸν σεαυτοῦ λόγον ;

87. « Ἀνάστα τοίνυν, ἵνα γένηται διὰ τοῦ πολέμου ἡ γῆ ἤτοι « ἐμὴ, ἢ σή· μὴ δ' ἔστω ἀμφιβολία νίκης, ζώντων ἐμοῦ « καὶ σοῦ. »

88. « Θυμωθεὶς δ' ὁ Δουριοδάνας, ἔφη· « Ἐγὼ ἅπαντας ὑμᾶς « ἀποκτενῶ, γενναίως πολεμῶν ἑνὶ ἑκάστῳ διὰ τῆς κο- « ρύνης. »

89. « Ἐγὼ ἐχάρην ἐπὶ τῇ σῇ γενναιότητι, ἔφη ὁ Ἰουδιστίρας· « νικήσας οὖν ἕνα γε ἐξ ἡμῶν τῷ ᾧ θέλεις ὅπλῳ, βασίλευε « τῆς γῆς. »

90. « Πρὸς ὃν ἔφη ὁ υἱὸς τῆς Γανδαρᾶς Δουριοδάνας· « Ὅστις « πολεμῆσαι ἐμοὶ βούλεται, οὗτος ἀναστὰς εὐθέως, πολε- « μείτω μοι διὰ τῆς κορύνης. »

91. « Τοιαῦτα εἰπὼν, ἐξῆλθε παραυτίκα ἐκ τῆς λίμνης, ἔχων » τὴν κορύνην ἐν χειρὶ, καὶ ἐρυθροὺς τοὺς ὀφθαλμοὺς, » καθὼς ὁ Βισνοῦς ἐκ τῆς θαλάσσης, ἔχων τὴν Λαξμήν.

92. « Ὁ δὲ Ἰουδιστίρας, περικεφαλαίαν δοὺς αὐτῷ καὶ θώρα-

---

1. Ἐμοῦ βασιλεύσαντος καὶ ἡσυχάσαντος, λάβε σὺ τὴν ληφθεῖσαν ὑπ' ἐμοῦ βασιλείαν· καὶ ὁ δοῦλος γὰρ, ἀφ' οὗ φάγῃ ὁ δεσπότης, καὶ ἀποπλύνει τὸ στόμα, ἐσθίει τὰ λείψανα τῶν βρωμάτων.

» κα, ἔφατο· « Σὺ οὐκ ἀναιρεθήσῃ ὑφ' ἡμῶν, ὡς ὁ Ἀβη-
« μανιοῦς ἀνῃρέθη ὑφ' ὑμῶν.

93. « Πρὸς ὅν τινα δὲ ἀρεστός σοι ἐστὶν ὁ πόλεμος, τοῦτον
« κάλεσον. » Τοιαῦτα φαμένου τοῦ Ἰουδιστίρα, ἔφη ὁ Κρι-
» σνᾶς ἀγανακτήσας·

94. « Πάλιν μωραίνεις, παίζειν θέλων ἐν πολέμῳ, ὡς ἐν παι-
« διᾷ κύβων; εἰ γὰρ οὗτος καλέσειέ σε εἰς μάχην, ὁποία
« κατάστασις ἔσεταί σοι [1];

95. « Οὗτος ὁ Δουριοδάνας ἐπιδέξιός ἐστι κορυνήτης, ἐπειδὴ
« ἐν τρισὶ καὶ δέκα ἔτεσι γύμνασιν ἐποίησε περὶ τὴν κο-
« ρύνην ἐπὶ σιδηροῦ ἀνδριάντος· διὸ ἀμφιβάλλεται, εἰ
» νικήσειεν αὐτὸν καὶ αὐτὸς ὁ Βήμας.

96. « Ἀναστὰς δ' ὁ Βήμας, ἔφη· « Μὴ οὕτω λέγε, ὦ Κρισνᾶ·
« ἔγωγε γὰρ ἀφαιρήσω τὴν πνοὴν τοῦ ἐχθροῦ ταύτῃ τῇ
« κορύνῃ ἐν ἀκαρεῖ. »

97. « Ἀναβοήσας δ' ὁ ὑπέρφρων Δουριοδάνας, ἐκάλεσεν εἰς
» μάχην τὸν Βήμαν· ὁ δ' ἔδραμε διαῤῥηγνύων τὸν αἰθέρα
« κραταιᾷ τῇ φωνῇ.

98. « Ἐν τούτῳ ὁ Βαλαδέβας, ὃς διέτριβε παρὰ τῇ ὄχθῃ τῆς
« Σαρασβατῆς, μαθὼν παρὰ τοῦ Ναράδα, ὅτι ἐκεῖνοι οἱ δύω
» μαθηταὶ αὐτοῦ μονομαχῆσαι θέλουσιν, ἦλθεν ὀψόμενος [2].

99. « Ἀνέστησαν δὲ ὅ,τε Κρισνᾶς καὶ οἱ Πανδοΐδαι, καὶ ἄλ-
» λοι ὅσοι παρῆσαν, ἀναφανέντος τοῦ Βαλαδέβα, καθὼς οἱ
» πέρδικες, ἀναφανείσης τῆς Σελήνης [3].

100. « Εἰπόντος δὲ τοῦ Δουριοδάνα, ὡς ἡ μάχη ἀρέσκει αὐτῷ
» ἐν χώρᾳ Σαμανταπαντσάκᾳ, τῇ οὔσῃ ἁγίᾳ, παραλαβόντες
101. » τὸν Βαλαδέβαν οἱ περὶ τὸν Ἰουδιστίραν, ἐπορεύθησαν

---

1. Τί ποιήσεις τότε, μὴ εἰδὼς πολεμεῖν κορύνῃ;

2. Ὁ Βαλαδέβας διδάσκαλος ἦν αὐτοῖς τῆς κορύνης.

3. Λέγουσιν, ὡς οἱ πέρδικες χαίρουσιν ἀναφανείσης τῆς Σελήνης, καὶ ἀνεγείροντες τὴν κεφαλὴν, βλέπουσιν εἰς αὐτήν.

» κατὰ τὸ δεξιὸν τῆς Σαρασβατῆς εἰς τόπον ἅγιον, ᾧ ὄνο-
» μα Σαϊάνα, θεωρήσοντες τὴν μοναμαχίαν.

102. « Ἐλθόντες οὖν ὅ,τε Βήμας, καὶ ὁ Δουριοδάνας πεζοὶ, κο-
» ρύνας ἀνὰ χεῖρας ἔχοντες, ἔστησαν, καταπλήττοντες
» ἀλλήλους βροντοειδεῖ φωνῇ.

103. « Ἐφώρμησαν δ' εἰς μάχην οὗτοι, οἱ ὄντες ἰσοστάσιοι,
» βλεπόμενοι ὑπὸ θεῶν, Σιδδῶν, Ῥισσῶν, καὶ Γανδαρβῶν,
» οἳ ἦλθον ταχέως εἰς θεωρίαν.

104. « Ἐπερχόμενοι δ' ἐλαμπρύνοντο ταῖς ἐκ τῶν συγκρού-
» σεων τῶν κορυνῶν λάμψεσιν, ὥςπερ ἐργαῖς τῆς δια-
» πύρου ἀνδρείας τῶν ἐχθρῶν, ἣν κατέβρωσαν πρότερον.

105. « Τερπωλὴν δὲ παρεῖχον τοῖς ὄμμασι τῶν θεαινῶν διὰ
» τῆς πολυειδοῦς κινήσεως (χρήσεως) τῶν κορυνῶν ἐν τῇ
» πληγῇ, ἐν τῇ ἀποφυγῇ, ἐν τῇ στάσει, ἐν τῇ κινήσει,
» ἐν τῇ στροφῇ καὶ ἐν τῇ περιστροφῇ τοῦ σώματος [2].

106. « Βαθέος δὲ σκότους ὄντος ἐκ τῆς κόνιος, ἡ κόνις αὐτὴ,
» ἡ ἐξανισταμένη ἐκ τῶν ποδῶν αὐτῶν, ἐδείκνυε τοῖς
» θεοῖς τὰ ἀθλητικὰ αὐτῶν κινήματα [3], τὴν ἐκ δεξιοῦ ἢ
» ἐξ ἀριστοῦ περιφοράν, τὸ λοξοειδὲς κίνημα, καὶ ἄλλα
» τοιαῦτα.

107. « Πληγεὶς δὲ σφοδρῶς τὴν πλευρὰν ὁ Βήμας τῇ κορύνῃ
» τοῦ Δουριοδάνα, ἔμεινεν ἀκλόνητος [4], καθὼς ὁ Γαρού-
» δας, πληγεὶς τῷ κεραυνῷ τοῦ Ἴνδρα.

---

1. Αἱ κορύναι πολλῶν ἐχθρῶν τὸ διάπυρον κατέβρωσαν, ἀνελοῦσαι αὐτούς· αἱ δὲ λάμψεις ἐκ τῆς συγκρούσεως ἦσαν ὥςπερ ἐργαὶ ἐκείνου τοῦ καταβρωθέντος διαπύρου τῶν ἐχθρῶν· ἀφ' οὗ γὰρ φάγῃ τις, ἐρεύγεται.

2. Τρόποι κινήσεως τοῦ σώματος ἐν τῇ μονομαχίᾳ.

3. Οἱ θεοὶ οὐκ ἠδύναντο βλέπειν, ἕνεκα τῆς βαθείας κόνιος· ἀλλ' ἡ ἐξανισταμένη κόνις ἐδείκνυεν αὐτοῖς πάντα τὰ εἴδη τῶν κινημάτων· κατὰ γὰρ τὰ σχήματα τῆς κινήσεως ἀνήρχετο καὶ ἡ κόνις.

4. Οὐδὲν ἔπαθεν.

108. « Περιστρέψας δ' ἄνω σφοδρῶς τὴν κορύνην ὁ Βήμας, ἧς
» ἐκ τῆς περιστροφῆς ἄδηλον ἦν πόθεν, ἢ εἰς ποῖον μέρος
» τοῦ σώματος τοῦ ἀνταγωνιστοῦ κατενέγκοι αὐτὴν, καὶ
» ἀναπηδήσας ταχέως, κατήνεγκεν αὐτὴν βίᾳ κατὰ τοῦ
» υἱοῦ σου.

109. « Ὁ δὲ υἱός σου, ἀποφυγὼν τὴν φορὰν τῆς κορύνης, ἔπλη-
» ξε τὸν Βήμαν κατὰ τὴν κορυφήν· ὁ δὲ ἔμεινεν ἀκλόνη-
» τος, καθὼς τὸ ὄρος, πληττόμενον κατὰ τὴν κορυφὴν
» ὀδόντι ἐλέφαντος.

110. « Κατενεχθεῖσα δ' ὑπὸ τοῦ Βήμα ἡ κορύνη, ἧς τὴν φορὰν
» ἀπέφυγεν ὁ Δουριοδάνας, ἔπληξε τὴν γῆν, καὶ ἀνέσεισεν
» αὐτὴν, καὶ ἀνετάραξε τὴν θάλασσαν καὶ πάντα τὰ ὄρη.

111. « Πληγεὶς δὲ τὸ στῆθος ὁ Βήμας ὑπὸ τοῦ ἐπιδεξίου Δου-
» ριοδάνα, τρέμων καὶ καμμύων τοὺς ὀφθαλμοὺς, ἐλυποθύ-
» μησε κατὰ βραχύ.

112. « Ἀναλαβόντος δὲ τοῦ Βήμα, πληγεὶς ὑπ' αὐτοῦ ὁ Δου-
» ριοδάνας, ἔπεσεν, ἐρείσας τὰς χεῖρας καὶ τὰ γόνατα
» κατὰ γῆς, καὶ ἐφάνη οὕτω κείμενος ἔμπροσθεν τοῦ ἐχθροῦ,
» ὡς λέων [1].

113. « Τῶν δὲ περὶ τὸν Δρυσταδιούμναν ἀναβοησάντων χαρᾷ,
» ἀναστὰς ὁ Δουριοδάνας, ἔπληξε θυμῷ τὸν Βήμαν κατὰ
» τὸν κρόταφον, διαῤῥήξας τὸν αἰθέρα, βροντώδει φωνῇ.

114. « Ἐρυθρὸς δ' ὢν ὁ Βήμας ἐξ αἵματος, καὶ τρέμων, ἐφαί-
» νετο ἐν τῷ θεάτρῳ τοῦ Κάλα [2] καθὼς ὁ ἀντιλάμπων
» Ἥλιος ἐν τῇ λίμνῃ [3].

---

1. Οὕτως ὁ λέων κάθηται, ἐκτείνων τοὺς ἐμπροσθίους πόδας, καὶ ἐρείδων τὰ γόνατα τῶν ὀπισθίων ποδῶν κατὰ γῆς.

2. Θέατρον τοῦ Κάλα, τουτέστι τοῦ θανάτου, τὸ στάδιόν ἐστι τοῦ πολέμου.

3. Ὁ Ἥλιος ἐν τῇ λίμνῃ ἐρυθρὸς φαίνεται καὶ τρέμων, ταραττομένου τοῦ ὕδατος.

115. « Πληγεὶς δ' ὁ υἱός σου ὑπὸ τοῦ Βήμα, ἔπεσε κατὰ γῆς· » ἀναστὰς δ' ἀνυπερθέτως, κατέβαλε καὶ αὐτὸς τὸν Βήμαν, » πλήξας.

116. « Καίτοι ὁ υἱός σου ἐτιμήθη ὑπὸ τῶν θεῶν ἀνθοβολίᾳ, » ἐνόμισαν ὅμως, ὅτι ὁ Βήμας ὑπέρτερός ἐστιν ἀναμφιβό- » λως ἐν πολέμῳ.

117. « Τοῦ δὲ Βήμα ἀποσμήξαντος τὸ αἷμα, καὶ πάλιν ἐτοί- » μου γενομένου εἰς μάχην, ἐρωτηθεὶς ὁ Κρισνᾶς ὑπὸ τοῦ » Ἀρζούνα, « Πότερος ἔσται ὑπέρτερος ; » ἀπεκρίνατο » οὕτως·

118. « Ὁ μὲν Βήμας ἰσχυρός ἐστιν, ὁ δὲ Δουριοδάνας τεχνι- « κός· ὁ δὲ ἰσχυρὸς νικᾶται ὑπὸ τοῦ τεχνικοῦ. Ἂν μέντοι « ὁ Βήμας πλήξῃ τὸν μηρὸν τοῦ Δουριοδάνα ἀπάτῃ, νι- « κήσει αὐτόν.

119. « Ἀκούσας ὁ ὀξὺς Ἀρζούνας, ἔκρουσε χειρὶ τὸν μηρὸν ἑαυ- » τοῦ, βλέποντος τοῦ Βήμα, ὥσπερ διδάσκων τὴν νί- » κην [1] τὴν ὀρχηστικὴν τέχνην.

120. « Γνοὺς τοῦτο τὸ σύμβολον ὁ Βήμας, καὶ ἀναμνησθεὶς » τοῦ ἑαυτοῦ λόγου [2], πολλοὺς τρόπους ἐμηχανήσατο καὶ » μεθόδους, εἰς τὸ συντρίψαι τὸν μηρὸν τοῦ ἐχθροῦ.

121. « Τρωθεὶς δ' ὁ Βήμας ὑπὸ τοῦ υἱοῦ σου, ἀποφυγόντος » ταχέως τὴν φορὰν τῆς ἐναντίας κορύνης, ἔστη λυποθυ- » μήσας, ἔχων τὴν κορύνην ἐν χειρὶ πρὸ τοῦ στήθους.

122. « Ὁ δὲ Δουριοδάνας, νομίσας ὡς ὁ Βήμας βούλεται » πατάξαι, οὐκ ἐπέπεσεν ἐπ' αὐτόν· εἰ δ' ἔπληττε τότε » τὸν Βήμαν, οὕτως ἔχοντα, ὁ Βήμας οὐκ ἂν ἔζη.

---

1. Ἡ νίκη ὡς γυνή.

2. Ὁ διδάσκων τὴν χορεύτριαν κρούει τὸν μηρὸν αὐτοῦ· ἡ δὲ χορεύει κατὰ τὸ κροῦσμα· ὁ δὲ διδάσκων τὴν μουσικὴν κρούει τὰς παλάμας.

3. Οὗ εἶπε πρότερον, « ὅτι συντρίψει τὸν μηρὸν τοῦ Δουριοδάνα. »

123. « Ἀναλαβὼν δ' ὁ Βήμας, ἦρε τὴν κορύνην, βλέπων εἰς » τὸν πόδα τοῦ Δουριοδάνα [1]· τοῦ δὲ ἀναπηδήσαντος εἰς » τὸ διαφυλάξαι τὸν πόδα, κατέαξε τὸν μηρὸν αὐτοῦ τῇ » κορύνῃ ὁ Βήμας,

124. « Καὶ ἔθετο εὐθέως τὸν πόδα ἐπὶ τῆς κεφαλῆς τοῦ κυ- » ρίου ἕνδεκα Ἀξαουχινῶν, πεσόντος ἐκ τῆς συνθλάσεως » τοῦ μηροῦ, καὶ ἀναβοῶν, ἀνεμίμνησκεν αὐτὸν τῶν ὧν » ἐποίησε κακῶν·

125. « Ἐγὼ λέγω, ἔλεγεν, ὡς σὺ ἀληθῶς νῦν βοῦς εἶ [2], νικη- « θεὶς νόμῳ πολέμου, ὃς ἔλεγες, ὡς ἡ Κρισνὰ βοῦς ἐστι, « νικήσας ἡμᾶς ἐν κυβείᾳ ἀπάτῃ.»

126. « Καί περ δὲ κωλυόμενος ὁ Βήμας ὑπὸ τοῦ Ἰουδιστίρα, » πάλιν ἔθετο τὸν πόδα ἐπὶ τῆς κεφαλῆς τοῦ Βασιλέως » Δουριοδάνα, εἰπὼν μεγαλοφώνως· « Κακοῦργε! »

127. « Εἴρηκε δὲ, κλαίων, ὁ Ἰουδιστίρας πρὸς τὸν Δουριοδά- » ναν· « Ὦ ἀδελφὲ, ἡ τύχη ἄφευκτός ἐστιν· ἡ γὰρ ἔχθρα « ἐμοῦ τε καὶ σοῦ, οἵ ἐσμεν υἱοὶ θείων πρὸς πατέρων, « παγγενὴς ὄλεθρος ἐγένετο. »

128. « Ἐνταῦθα ὁ Βαλαράμας, εἰπὼν τῷ Βήμᾳ, « Ὦ ἀχρεῖε, « νικήσας τὸν βασιλέα δόλῳ, διὰ τί τίθης τὸν πόδα ἐπὶ « τῆς κεφαλῆς; » ἐφώρμησε κατ' αὐτοῦ.

129. « Πρὸς ὃν ἔφη ὁ Κρισνᾶς· « Καί περ γινώσκων ὁ Βήμας, « ὡς οὐ δεῖ παίειν τῇ κορύνῃ κάτωθεν τῆς ὀσφύος [3], κα- « τέαξεν ὅμως τὸν μηρὸν τοῦ Δουριοδάνα, εἰς τὸ κυρῶσαι « τὸν ἑαυτοῦ λόγον.

130. « Πρὸς δὲ ἐπληρώθη καὶ ἡ ἀρὰ τοῦ ὁσίου Μαϊτρεγῆ, ἣν

---

1. Ἀλλαχοῦ βλέπει καὶ ἀλλαχοῦ βάλλει, ἀπατῶν τὸν ἀντικείμενον.
2. Βοῦς δηλ. αἰχμάλωτος.
3. Κάτωθεν τῆς ὀσφύος νόμος οὐκ ἔστι παίειν τῇ κορύνῃ.

« εἶπεν εἰς συντριβὴν τοῦ μηροῦ τούτου. » Τοιούτοις λό-
» γοις κατεπραΰνθη ὁ Βαλαράμας ὑπὸ τοῦ Κρισνᾶ·

131. « Ἔφη δ' ὅμως· « Τοιοῦτος λόγος ἔστω ἐν κόσμῳ, ὡς οἱ
« μὲν Πανδοΐδαι ἐπολέμησαν δολίως, οἱ δὲ Καουραβαὶ
« ὀρθῶς καὶ νομίμως. » Οὕτως εἰπὼν θυμῷ, ἐπορεύθη εἰς
» τὴν Δοαρακάν.

132. « Ἐρωτηθεὶς δ' ὁ Κρισνᾶς περὶ τούτου τοῦ λόγου ὑπὸ
» τοῦ Ἰουδιστίρα, λυπουμένου [1], ἀπεκρίνατο· « Ἐν πολέμῳ
« ἀδίκῳ ἀδικία ἐγένετο· οἱ δὲ Πανδοΐδαι ἔτυχον τοῦ
« ἑφετοῦ. »

133. « Ἐπαινούμενος δ' ὁ Βήμας ὑπὸ τῶν περὶ τὸν Δρυστα-
» διούμναν, λεγόντων οὕτω· « Καλῶς ἐτέθη ὁ ποῦς σου
« ἐπὶ τῆς κεφαλῆς τοῦ κακοῦ ἐχθροῦ, » ἐπηνέθη καὶ ὑπὸ
» τοῦ Ἰουδιστίρα ἐπὶ τῇ ἀνδρείᾳ.

134. « Πρὸς οὓς εἶπεν ὁ Κρισνᾶς· « Οὗτος πάλαι μὲν ἀνῃρέθη
« ὑπὸ τῶν ἑαυτοῦ ἀδικημάτων· σήμερον δὲ ἐπλήγη ὅπλῳ
« ὑπὸ τοῦ Βήμα· διὰ τί δὲ νῦν παίεται λόγοις σκληροῖς; »

135. « Ὁ δ' υἱός σου, ἐρείσας τὸ μὲν σῶμα ἐπὶ τῶν γλουτῶν,
» τὰς δὲ χεῖρας ἐπὶ γῆς [2], καὶ ποτὲ μὲν τὴν κεφαλὴν
» κατακλίνων, ποτὲ δ' ἀνακλίνων, εἶπε πρὸς τὸν Κρισ-
» νᾶν θυμωδῶς καὶ ἀγριωπῶς·

136. « Υἱὲ δούλου τοῦ Κάνσα, ὑπὸ τῆς ἐμαυτοῦ ἀδικίας ἀνῃ-
« ρέθην ἐγὼ, ὁ δικαίως πολεμῶν; οὐκ ἀνῃρέθην ὑπὸ τῆς
« ἀδικίας, τῆς διδαχθείσης ὑπὸ σοῦ;

137. « Ὑφ' ὑμῶν τῶν ἀδίκων καὶ κακούργων δολίως εἰς γῆν
« κατεβλήθησαν, οὐχὶ μόνον ὁ Βήσμας, ὁ Βουρησραβᾶς,
« καὶ ὁ Δρόνας, ἀλλὰ καὶ ἐγὼ αὐτὸς τελευταῖον.

138 « Οὐδεὶς μέν τοι γ' ἄλλος ἐν πολέμῳ ἔπεσεν, ὡς ἐγὼ,

---

1. Ἤθελε μαθεῖν τὴν γνώμην αὐτοῦ.

2. Οὐκ ἠδύνατο στῆναι, συντετριμμένος τὸν πόδα.

« ὃς τοὺς μὲν ἐχθροὺς ἀπέδειξα μόνον τὸ σῶμα ἔχοντας,
« τὰ δὲ πρέποντα πάντα ἔπραξα, καὶ ἐν χαρᾷ καὶ τρυφῇ
« ἦν ἀπὸ γενέσεως. »

139. « Ταῦτα τούτου τοῦ ἥρωος εἰρηκότος, στέφανοι ἐξ ἀν-
» θέων ἐρρίπτοντο ὑπὸ τῶν θεῶν· οἱ δὲ Πανδοΐδαι, τα-
» λανίζοντες ἑαυτοὺς, εἰσέδυσαν εἰς τὴν παρεμβολὴν τῶν
» ἐχθρῶν.

140. « Καταβάντος δ' ἐκ τοῦ ἅρματος τοῦ τε Ἀρζούνα, σὺν
» τῇ φαρέτρᾳ καὶ τοῖς ὅπλοις, καὶ τοῦ Κρισνᾶ, ὁ μὲν
» ἐπὶ τῆς σημαίας Χανουμὰν ἄφαντος ἐγένετο, τὸ δ' ἅρμα
» κατεκάη σύσσωμον σὺν τοῖς ἵπποις.

141. « Ἐρωτηθεὶς δὲ περὶ τούτου ὁ Κρισνᾶς ὑπὸ τοῦ Ἀρζούνα,
» ἀπεκρίνατο· « Τὸ ἅρμα τοῦτο πάλαι μὲν κατεβρώθη
« ὑπὸ τῶν ὅπλων τοῦ Δρόνα καὶ τοῦ Καρνᾶ· ἀλλ' ἐφυ-
« λάττετο ὑπ' ἐμοῦ· ἤδη δὲ καταλειφθὲν ὑπ' ἐμοῦ, κα-
« τεκάη. »

142. « Ἐνταῦθα ὁ Ἰουδιστίρας ἔφη τῷ Κρισνᾷ· « Ἅπαντα ἡμῖν
« ἐγένετο διὰ τῆς σῆς χάριτος, ζωὴ, νίκη, καὶ πλοῦτος. »
» Κἄπειτα παρέλαβε τὴν ἀποσκευὴν τῶν ἐχθρῶν.

143. « Εἰπὼν δ' ὁ Κρισνᾶς, « Καλόν ἐστι πορευθῆναι εἰς τὸν
« ποταμὸν Σαρασβατήν, » παραλαβὼν τοὺς Πανδοΐδας καὶ
» τὸν Σατεκὴν, ἀνεχώρησεν ἐκ τοῦ στρατοπέδου.

144. « Ἐν τούτῳ τῷ μεταξὺ, ὦ βασιλεῦ, ὁ υἱός σου ἔφη μοι,
» λίαν ἀχθόμενος· « Ἰδὲ, ἡ ἐμὴ δόξα δόλῳ καθηρέθη ὑπὸ
« τῶν Πανδοϊδῶν.

145. « Εἰ ὁ φίλος μου ἐκεῖνος, ὁ θαυματουργὸς μοναστὴς Σαρ-
« βάκης [1] ζῇ ἐπὶ γῆς, ἐκδίκησιν πάντως γε ποιήσεται
« τῆς πρὸς ἐμὲ ἀπεχθείας τῶν Πανδοϊδῶν.

---

1. Περὶ τούτου ἐρεῖ μετέπειτα.

146. « Ἐγὼ μὲν ὄλβιός εἰμι, διότι πορεύσομαι εἰς οὐρανόν· « πῶς δ' ἆρα διατεθήσονται ἐκεῖνοι οἱ γέροντες, ἡ μή- « τηρ μου, καὶ ὁ πατήρ μου, καὶ ἡ μικρά μου ἀδελφὴ « Δουσσαλά; »

147. « Τοιαῦτα τοῦ Δουριοδάνα λέγοντος, καὶ κακῶς ἔχοντος, » ὦ βασιλεῦ, καὶ αὐτὰ τὰ δένδρα ἔκλαιον· τί εἴπω περὶ » ἐμαυτοῦ;

148. « Ὁ δὲ Ἀσβατάμας, ὁ Κριταβάρμας, καὶ ὁ Κριπᾶς, μα- » θόντες παρ' ἀγγελιαφόρων, ὡς ὁ βασιλεὺς κακῶς ἔχει, » ἦλθον εἰς τὴν Σαϊάναν, ὅπου ἦν κείμενος.

149. « Ἔνθα ὡράθη ὑπὸ τούτων ἐκεῖνος ὁ κύριος τῆς γῆς, » κυλιόμενος κατὰ γῆς, ὥςπερ περιπτυσσόμενος αὐτὴν [1], » καὶ ἄδειαν λαμβάνων εἰς τὸ πορευθῆναι εἰς τὸν οὐρανόν.

150. « Συμπλέξας δὲ τὴν διαλελυμένην κόμην τοῦ βασιλέως » ὁ Ἀσβατάμας, ἔφη, δακρύων τοὺς ὀφθαλμοὺς ἀνάπλεως·

151. « Φεῦ! εἰς ποίαν κατάστασιν ἐλήλυθας σήμερον, ὦ βα- « σιλεῦ, ὃς ἐσάλευσας πᾶσαν τὴν σφαῖραν τῆς γῆς τῷ « ἄχθει τῶν στρατευμάτων;

152. « Φεῦ! σὺ, ὃς πρότερον ἐρίπιζου ριπίσι βασιλικαῖς, νῦν « διαλελυμένην ἔχων τὴν κόμην, ῥιπίζῃ πτέρυξιν ἐφιπτα- « μένων ὀρνέων σαρκοβόρων!

153. « Ἡ γῆ, ἡ πρότερον οὐκ ἐθίγετο οὐδὲ τῷ ποδί σου, ὡς « γυνὴ μισητὴ, σήμερον θίγεται ἅπασι τοῖς σοῖς μέλεσιν, « ὡς γυνὴ ἀγαπητή [2].

154. « Ποῦ ἔστι σοι σήμερον ὁ βασιλικὸς ἐκεῖνος οὐρανίσκος, « ὃς πρότερον ἐτίθετο, ὡς ἀποτείχισμα, μεταξὺ σοῦ τε « καὶ τοῦ Ἡλίου, ἐριζόντων ἀλλήλοις ἐπὶ τῇ λαμπρότητι;

---

1. Καθὼς ὁ ἀποδημῶν περιπτύσσεται τὴν ἑαυτοῦ γυναῖκα.
2. Δηλ. κυλιόμενος τυγχάνεις κατὰ γῆς.

155. « Ἡ γῆ, ἣν πρότερον κατεπάτεις διὰ τῶν ἵππων, τῶν « θεόντων δίκην ἀνέμου, ὦ βασιλεῦ τῆς γῆς, σήμερον « καταπατεῖ σε διὰ τῆς κόνιος.

156. « Σὺ, ὃς πρότερον ἐβλέπου θυμῷ ὑπὸ τῶν ὡραίων γυ- « ναικῶν, ἁπτόμενος τῶν κουμβῶν τοῦ ἐλέφαντος [1], νῦν « βλέπῃ ἡδέως ὑπὸ τῶν νυκτερινῶν κυνῶν [2], κείμενος « ἐπὶ γῆς.

157. « Πρότερον μὲν κορεννύμενος τῶν ἁρμάτων, ἤλαυνες τὸ « ἅρμα, καὶ ἤκουες ἡδέως τῶν τροχῶν τετριγότων· νῦν « δ' ἀκούεις νυκτερινῶν κυνῶν ὑλακτούντων.

158. « Πρότερον μὲν οἱ περὶ σὲ ἔνδοξοι καὶ ἥρωες ἔλεγον « ἐπευχόμενοι, « Ζῆθι! » νῦν δὲ τὰ σαρκοβόρα ζῶα κρά- « ζουσι καταρώμενα· θάνε! »

159. « Ἡ χείρ σου, ἡ ἀποκάμνουσα ἐκ τῶν διδομένων δωρεῶν « ἐν ἡμέρᾳ, ἄνεσιν ἐλάμβανε, τιθεμένη ἐπὶ τῶν γυναι- « κείων μαστῶν κατὰ τὴν νύκτα, νῦν ἄνεσιν οὐ λαμβά- « νει, περιφερομένη ἐπὶ γῆς! »

160. « Ὁ δὲ Δουριοδάνας, καταφέρων συχνάκις τὰς χεῖρας » κατὰ γῆς, καὶ ἀπομάσσων συχνάκις τοὺς ὀφθαλμοὺς » δακρύοντας, καὶ περισείων συχνάκις τὴν κεφαλὴν, ἔφη·

161. « Χαίρω ὅτι, βασιλείαν ἔχων, οὐκ ἀπέστρεψα τὸ πρό- « σωπον οὐδέποτε, οὔτε ἀπὸ τῶν πολεμίων, φοβούμε- « νος, οὔτε ἀπὸ τῶν αἰτούντων, φειδόμενος.

162. « Χαίρω, ὅτι καὶ τοῖς σπουδαίοις καὶ τοῖς φαύλοις λίαν « εὐάρεστος ἦν ἀεὶ, διδοὺς αὐτοῖς, ὧν χρείαν εἶχον, κτή- « ματα, χρήματα, καὶ τέχνας, καὶ ἐπιστήμας.

163. « Χαίρω, ὅτι συνέντευξις ἀεὶ ἐμοὶ ἐγίνετο ἡρώων

---

1. Αἱ κοῦμβαι παραβάλλονται τοῖς μαστοῖς· διὰ τοῦτο αἱ γυναῖκες φθονοῦσι.

2. Οἱ κυνόλυκοι σαρκοβόροι εἰσίν.

« καὶ σοφῶν ἀνδρῶν, οἳ φόβον παρεῖχον τοῖς ἐχθροῖς.

164. « Χαίρω, ὅτι ἐν παντὶ καιρῷ, καὶ δαμάλεις μετὰ μό-
« σχων, καὶ Βραχμᾶνες μετ' ἀγαθῶν τρόπων καὶ ἔργων
« ἐτιμήθησαν ὑπ' ἐμοῦ, οἱ ὄντες ὡς πορθμεῖα τοῦ πελά-
« γους τοῦ κόσμου [1].

165. « Χαίρω, ὅτι καὶ ἡ ἐμὴ βασιλεία λαμπρὰ ἦν, καὶ ὁ ἐμὸς
« θάνατος, ὃς ἐγένετο ἐν τῇ Κουρουξέτρᾳ, ἀντωπὸν τοῦ
« Βήμα.

166. « Χαίρω, ὅτι μετὰ τοσοῦτον ὀλέθριον πόλεμον, ζῶντες
« ὁράθητε ὑπ' ἐμοῦ ὑμεῖς οἱ τρεῖς ἀγαθοδόται, ὡς ὁ
« Βραχμᾶς, ὁ Βισνοῦς, καὶ ὁ Σίβας [2].

167. « Μὴ τοίνυν ἔχετε λύπην ἐπ' ἐμοὶ θνήσκοντι, ὃς ἐτέ-
« λεσα τὸ ἔργον τοῦ Ἱατρῆ [3], καὶ ἀγαθὰ ἐποίησα παντὶ
« τῷ κόσμῳ. »

168. « Τοιαῦτα εἰπόντος τοῦ βασιλέως, καὶ σιωπήσαντος, ὁ
» εὐτολμότατος Ἀσβατάμας, ἐρυθρὸς ὢν τοὺς ὀφθαλμοὺς
» ἐκ θυμοῦ, καὶ προστρίβων τὰς χεῖρας, ἔφη·

169. « Οὐ τοσοῦτον ἐγένετό μοι εἰς λύπην, ὦ βασιλεῦ, ὁ πα-
« ράλογος θάνατος τοῦ ἐμοῦ πατρὸς, ὅσον αὕτη ἡ κατά-
» στασίς σου τιτρώσκει με καιρίως.

170. « Ἐγὼ θανάτῳ παραδώσω σήμερον τοὺς πέντε υἱοὺς τοῦ
« Δρουπάδα, καὶ τοὺς πέντε υἱοὺς τῆς Δραουπαδῆς, καὶ
« τοὺς πέντε Πανδοΐδας, ἂν ἔμπροσθέν μου ἔλθωσι.

171. « Κέλευσον οὖν, ἵνα πορευθῶ ἐγὼ, ὃς ἐπιθυμῶ διαφθεῖ-
« ραι τὴν στρατιὰν τῶν Πανδοϊδῶν, ποιῶν τὸν κόσμον
« ἀντιβοᾷν τῇ ἐμῇ βοῇ. »

---

1. Διαβιβάζουσι τοὺς ἀνθρώπους ἀπὸ τοῦ πελάγους τούτου τοῦ κόσμου εἰς τὸν οὐρανόν.

2. Καθὼς ἡ θεωρία τῶν θεῶν ἀγαθὸν δίδωσι.

3. Ἀπέθανον δηλ. ἐν πολέμῳ.

172. «Ἀκούσαντος τοῦ βασιλέως, καὶ προστάξαντος μετὰ χα-
» ρᾶς, ὁ Κριπᾶς, ὃς ἦν Βραχμὰν, ἔλουσε τὸν Ἀσβατάμαν
» αὐθωρὸν ὕδατι τῆς Σαρασβατῆς, καὶ ἔχρισεν αὐτὸν
» Στρατηγόν.

173. «Ἀγκαλισάμενος δὲ τὸν βασιλέα ὁ Ἀσβατάμας, καὶ
» λεόντιον φωνὴν ἐξερευξάμενος, ἀνεχώρησεν ἀφόβως μετὰ
» τοῦ Κριταβάρμα καὶ τοῦ Κριπᾶ κατὰ τὸ μεσημβρινὸν
» μέρος.

174. «Ἐλθόντος δὲ τοῦ Ἰλίου εἰς τὸν οἶκον τοῦ Βαρούνα [1],
» ἦλθον καὶ οὗτοι εἰς δάσος πυκνὸν, ἐγγὺς τῆς παρεμ-
» βολῆς τοῦ Ἰουδιστίρα, ἔνθα καὶ ἔμενον, ἐπιθυμοῦντες
» τῆς ἀνατολῆς τοῦ Ἰλίου.»

175. Ἐπιστάντος τοῦ Βεάσα εἰς τὸ παραμυθήσασθαι τὸν
Δρυταράστραν καὶ τὴν Γανδαρὴν, οἳ ἠνιῶντο σφόδρα,
ἀκούσαντες παρὰ τοῦ Ζανζαΐου τὰ συμβάντα, ἐπέστη ἐν

176. ταὐτῷ καὶ ὁ Κρισνᾶς, προσταχθεὶς ὑπὸ τοῦ Ἰουδιστίρα,
διὰ φόβον τῆς ἀρᾶς αὐτῶν· καὶ ἁψάμενος τῶν ποδῶν
τοῦ βασιλέως Δρυταράστρα, κλαίων, κλαίειν ἐποίησε τὴν
σύνοδον πᾶσαν.

177. Ἀνεγείρας δ' ἑαυτὸν ὁ περίφρων Κρισνᾶς, καὶ ἀποσμή-
ξας τὰ δάκρυα, λόγους ἔλεξεν ἀδιαρθρώτους ἐκ λύπης
πρὸς τὴν Γανδαρὴν, καὶ πρὸς τὸν Δρυταράστραν·

178. «Παντὸς τοῦ γένους ἡμῶν ἀπολωλότος κακῇ τύχῃ [2],
» οἱ Πανδοΐδαι οὐκ εἰσὶν ἄξιοι ὀργῆς ἀμφοτέρων ὑμῶν,
» φύλακες ὄντες τῶν τοῦ νόμου.

179. «Παρασκευαζομένου εἰς πόλεμον ἐκείνου τοῦ υἱοῦ ἡμῶν,
» καὶ παρ' ὑμῶν αἰτοῦντος εὐχὴν νίκης, οὕτως ἐρρέθη
» ὑφ' ὑμῶν· «Ὅπου νόμος, ἐκεῖ καὶ νίκη.»

---

1. Ὁ οἶκος τοῦ Βαρούνα ὁ ὠκεανός ἐστιν.
2. Αὐτολεξεὶ, ὑπὸ τῆς τύχης δηχθέντος.

180. « Ὅθεν οἱ Πανδοΐδαι ἄξιοί εἰσι βλέπεσθαι ὑφ' ὑμῶν, ὡς » ὑπήκοοι ὄντες ὑμῖν. » Ταῦτα εἰπὼν ὁ Κρισνᾶς, ἀνέστη εὐθέως.

181. Εἰπόντος δὲ τοῦ Κρισνᾶ, « Ἐγὼ πορεύομαι διαφυλάξων » τοὺς Πανδοΐδας, ἐπειδὴ ἡ γνώμη τοῦ Ἀσβατάμα ἐστὶν » εἰς νυκτομαχίαν, » ὁ Δρυταράστρας ἔφη· « Διαφύλαξον » τοὺς υἱούς. » ὁ δὲ Κρισνᾶς ἀνεχώρησε.

182. Παραμυθητικοὺς δὲ λόγους εἰπόντος τοῦ Βιάσα, καὶ ἀφάντου γενομένου, ὁ Δρυταράστρας ἐξαπέστειλε τὸν Σανζαΐαν εἰς τὸ γνῶναι ὅ,τι γίνεται ἐν νυκτί.

183. Ἀναπολῶν δ' ὁ Δρυταράστρας τὰς καταφρονηθείσας ἐκείνας συμβουλὰς τοῦ Κριπᾶ, τοῦ Δρόνα, καὶ τοῦ Βήσμα, καὶ ταραττόμενος τὴν καρδίαν ἐπὶ τῇ πτώσει τοῦ Δουριοδάνα ἐν πολέμῳ, καρτερίαν οὐκ εἶχε.

184. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου Ζηναδάτα ὁ καλὸς Ἀμάρας. Ἔλαβε τέλος ἡ ἐννάτη Πάρβα, ἡ ἐπικαλουμένη *Σαλέα*, τῆς Βαλαβαράτας, τοῦ καλοῦ καὶ μεγάλου Ποιήματος, ὃ καρπός ἐστι τῆς πρὸς τὸ θεῖον ἐκτενοῦς θεωρίας τοῦ Ἀμάρα.

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ [1].

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει τὴν Σαουπτικὰν, τουτέστι τὴν ὑπνοφορίαν, ὡς τὴν Ἰσσικὰν, τουτέστι τὸ κάρφος (Βραχμανσσίραν).

185. Ὁ μὲν οὖν Κριταβάρμας καὶ ὁ Κριπᾶς, ὄντες ὑπὸ Βάταν δένδρον, διῆκον μέχρι τοῦ οὐρανοῦ, ὕπνου ἐλάβοντο, πλὴν τοῦ Ἀσβατάμα,

186. Ὃς, ἄϋπνος ὢν, ἅτε σκεπτόμενος, ὅπως ἀπολεσθήσονται οἱ ἐχθροὶ, περιήρχετο τὸ δάσος, ὡς ὁ τροχὸς τοῦ κεραμέως.

187. Εἶδε δ' ἐκεῖ κολοιοὺς πολλοὺς, οἳ ἐκοιμῶντο ἐπὶ κορυφῆς δένδρου, πληττομένους ὑπὸ μιᾶς τινος γλαυκὸς, καὶ κράζοντας [1].

188. Ἐννοήσας μὲν οὖν, ὡς εἷς ὢν αὐτὸς, οὐ κατισχύσει πολλῶν ἐχθρῶν ἐν πολέμῳ κατὰ τὴν ἡμέραν, ἐμελέτησε τρόπον θανάτου τῶν ἐχθρῶν ἐν νυκτὶ, κατὰ τὸ παράδειγμα τῆς γλαυκός.

189. Ἀφυπνίσας δ' εὐθέως τὸν Κριταβάρμαν, καὶ τὸν πρὸς μητρὸς θεῖον Κριπᾶν, ἔφη χαίρων· «Ἐγὼ ἀποκτενῶ τοὺς » ἐχθροὺς κοιμωμένους.»

---

1. Τοῦτο τὸ Δέκατον Βιβλίον συμπεριέχεταί πως τῷ Ἐννάτῳ, καὶ διὰ τοῦτο κεῖται ἄνευ τοῦ ἐπαινετικοῦ στίχου εἰς τὸν Βεάσαν.

2. Ὁ κολοιὸς καὶ ἡ γλαὺξ φυσικὴν ἔχθραν ἔχουσι· καὶ ὁ μὲν κολοιὸς πλήττει τὴν γλαῦκα τὴν ἡμέραν, ἡ δὲ τὸν κολοιὸν τὴν νύκτα.

190. Πρὸς ὃν ἔφη ὁ Κριπᾶς· « Ὁ ἀποκτείνας τοὺς ἐχθροὺς
» κοιμωμένους, καὶ μὴ φυλαττομένους θώραξι καὶ ὅπλοις,
» κατ' εὐθεῖαν εἰς τὸν ᾅδην πορεύεται.

191. « Ὅθεν, πράξαντες ἡμεῖς κατὰ τὸν νόμον τῶν Ξατρῶν,
» ἄμυναν ποιήσωμεν, καὶ καταβάλωμεν τοὺς πολεμίους,
» μάρτυρος ὄντος τοῦ παντεπόπτου Ἡλίου [1].

192. « Λάβωμεν οὖν νῦν ὕπνον, τὸν ἀναπαύοντα τὸν πόνον,
» καὶ αὔριον περὶ τὴν ἕω, ἐρωτήσαντες τοὺς περὶ τὸν
» Δρυταράστραν, πορευθῶμεν ἐναντίον τῶν ἐχθρῶν.

193. « Εἰς τὰ πρακτέα ὁδηγούμενος ὁ ἄνθρωπος ὑπὸ γερόν-
» των, ἀγαθὸν ἕξει· τοὐναντίον δὲ ποιῶν, ἔσεται ὡς ὁ
» Δουριοδάνας [2]. »

194. Πρὸς ὃν ἔφατο ὁ Ἀσβατάμας, ἐρυθροὺς ἔχων τοὺς
ὀφθαλμοὺς ἐξ ἀϋπνίας καὶ ἐκ θυμοῦ, καὶ στένων ἐκ βά-
θους, καὶ τὸν κόσμον ἐκδειματῶν τοῖς λόγοις·

195. « Τίς βλέπει νόμον ἐν θανάτῳ ἐκείνων, οἳ ἀνεῖλον ἀνό-
» μως τὸν Βήσμαν, τὸν Βουρησραβᾶν, τὸν πατέρα μου
» Δρόναν, καὶ τὸν Καρνᾶν ;

196. « Πόθεν δ' ἐμοί, ὡς ὑμῖν, ὕπνος καὶ ἄνεσις ἔσοιτο ἂν,
» ἀναπολοῦντι τὸν παράνομον θάνατον τοῦ πατρός μου ἐν
» πολέμῳ ;

197. « Παρὰ τοῖς ἥρωσι διατήρησις τῶν τοῦ νόμου ἐστὶν, ἡ
» διατήρησις τῆς, ἣς ἐποιήσαντο, γνώμης· ἐμοῦ δὲ γνώ-
» μην ποιησαμένου ἀποκτεῖναι τοὺς ἐχθροὺς, τί δεῖ ἐρω-
» τᾶν γέροντας ;

198. « Νῦν οὖν ἐν νυκτὶ ἔγωγε ἀποκτενῶ τοὺς ἐχθροὺς κοιμω-
» μένους· τί δὲ δεῖ φροντίζειν τῶν τοῦ νόμου ; »

199. Πορευομένῳ δὲ τούτῳ κατὰ τὴν ἑαυτοῦ γνώμην, ἠκο-

---

1. Τουτέστιν ἐν ἡμέρᾳ.

2. Ὃς μὴ ἀκούσας λόγων γερόντων, ἀπώλετο.

λούθησαν κἀκεῖνοι, ὅ,τε Κριπᾶς, καὶ ὁ Κριταβάρμας, καθὼς ὁ νοῦς καὶ ἡ πρᾶξις τοῦ ἀνθρώπου παρακολουθοῦσι τῇ ἀνάγκῃ τῆς εἱμαρμένης [1].

200. Γενόμενοι δ' οὗτοι πρὸς τῇ εἰσόδῳ τῆς παρεμβολῆς, εἶδον, θαυμάζοντες, θαυμαστόν τινα ἄνδρα, μεγαλόσωμον, αἱματόφυρτον, ὅπλα ἔχοντα ἐν πολλαῖς χερσὶ,

201. Βέλη πολλὰ καὶ φοβερὰ ἐκπέμποντα ἐξ ὀφθαλμῶν, πῦρ ἀναδιδόντα ἐκ στόματος, ὡς λέοντος, νεκρὰ σώματα ἀκέφαλα ἐξηρτημένον, καὶ δέρματα ἐνδεδυμένον.

202. Ἐνταῦθα ὁ περίφρων Ἀσβατάμας τοιαῦτα διενοεῖτο· «Οὐ» δὲν ὄφελος ἔσεται ἐξ ὅπλων ἐναντίον τοιούτου σώματος, » ὃ ἔχει, ἀντὶ βραχιόνων ὄφεις περιπεπλεγμένους, καὶ » λαμπρόν ἐστιν, ὡς ὁ Ἥλιος καὶ ἡ Σελήνη.

203. «Ἐγὼ, καταφρονήσας τῆς συμβουλῆς τῶν γερόντων, τοῦ » Κριπᾶ, καὶ τοῦ Κριταβάρμα, καὶ πεισθεὶς τῇ ἐμαυτοῦ » γνώμῃ, εἰς τοῦτο τὸ δεινὸν πέπτωκα· νῦν οὖν καταφυ» γεῖν δεῖ εἰς τὸν Σίβαν.»

204. Τοιαῦτα διανοηθεὶς, ὤμνησε τὸν Σίβαν· εἶδε δ' ἔμπροσθεν λάκκον πυρὸς, καὶ γνώμην ἔθετο καταῤῥίψαι ἑαυτὸν εἰς τὸ πῦρ.

205. Θεωρῶν οὖν τῷ νοὶ ἀδιστάκτως τὸν Σίβαν, ἔῤῥιψεν ἑαυτὸν ἀδεῶς εἰς ἐκεῖνον τὸν λάκκον τοῦ πυρὸς, τὸν ἐκπέμποντα καπνὸν πολὺν, καὶ αἴτιον ὄντα τῆς ἀπολαύσεως τοῦ ἄκρου ἐφετοῦ [2].

206. Εἶδε δ' ἔμπροσθεν τὸν Σίβαν, καὶ οὐδὲν ἕτερον· καὶ ὄψιν

---

1. Ὡς ἀναγκαίως ἐκ τύχης γενήσεται, οὕτω καὶ ὁ ἄνθρωπος διανοεῖται καὶ πράττει· συμπαρομαρτεῖ γὰρ καὶ ὁ νοῦς καὶ ἡ πρᾶξις τοῦ ἀνθρώπου τῇ ἀφεύκτῳ τύχῃ.

2. Τοῦ οὐρανοῦ.

ἔχων πλήρη θαύματος καὶ χαρᾶς, ἤκουσε παρὰ τοῦ Σίβα λέγοντος·

207. « Αὕτη, ὦ τέκνον, ἡ τερατουργία ἐγένετο ὑπ' ἐμοῦ, εἰς » τὸ διαφυλαχθῆναι ἀβλαβῆ τὴν στρατιὰν τοῦ βασιλέως » Ἰουδιστίρα, χάριν τοῦ Κρισνᾶ.

208. « Ἐγὼ ἤσθην ἐπὶ ταύτῃ τῇ σῇ γενναιότητι· νῦν οὖν νί- » κησον πάντας τοὺς ἐχθρούς.» Τοιαῦτα εἰπὼν, καὶ δοὺς αὐτῷ νικητικὸν ξίφος, ἄφαντος ἐγένετο.

209. Ἀφεὶς δ' ὁ Ἀσβατάμας παρὰ τῇ εἰσόδῳ τῆς παρεμβολῆς τὸν Κριπᾶν, καὶ τὸν Κριταβάρμαν, καὶ εἰπὼν αὐτοῖς ἀναιρεῖν τὸν ἐξιόντα, αὐτὸς εἰσέδυ ἀλλαχόθεν.

210. Λακτίσας δὲ τὸν Δρυσταδιούμναν, κοιμώμενον ἡδέως, ἀνέστησε καὶ ἥψατο αὐτοῦ ἐκ τῆς κόμης, ἀναστάντος, λίαν θυμούμενος.

211. Εἰπόντος δὲ τοῦ Δρυσταδιούμνα, « Ἄνελέ με ὅπλῳ, » ὁ Ἀσβατάμας ἀπεκρίνατο· « Τὰ ἐμὰ ὅπλα οὐ θίγουσι τοῦ » ἀνελόντος τὸν διδάσκαλον, » καὶ ἔκτεινεν αὐτὸν, ὡς τὸ ἐν τῇ Θυσίᾳ σφάγιον [1].

212. Ἀνελὼν δὲ τοιουτοτρόπῳ καὶ τὸν Οὐτταμαουζάσαν, ἀνέβη εἰς τὸ ἅρμα· οὗ ἐκ τοῦ πατάγου θέοντας [2] τοὺς ἥρωας ἔκτεινε διὰ τοῦ ξίφους, ὃ ἔλαβε παρὰ τοῦ Σίβα.

213. Καταβὰς δ' ἀπὸ τοῦ ἅρματος, ἐκράτησε τὸν ἀρειμανῆ καὶ δεινὸν Ἰουδαμανιοῦν [3], ἔχοντα κορύνην καὶ ἐπερχόμενον, καὶ ἀνεῖλεν αὐτὸν ἄνευ ὅπλου [4].

214. Καὶ ἄλλους δὲ πολλοὺς ἥρωας κοιμωμένους, καὶ ἐλέ-

---

1. Ἀποπνίγουσι τὸ ἐν τῇ θυσίᾳ σφάγιον, κλείοντες τὸ στόμα αὐτοῦ, καὶ πλήττοντες εἰς τὴν καρδίαν πυγμῇ.

2. Ἐφορμωμένους.

3. Ἀρειμανῆ.

4. Ἀνεῖλεν αὐτὸν πνίξας.

φαντας ὁμοῦ, καὶ ἵππους ἔκτεινεν, ἔχων χειρὶ ῥομφαίαν.

215. Ἀνεῖλε δὲ ῥομφαίᾳ καὶ τοὺς πέντε υἱοὺς τῆς Δραουπαδῆς, δεινὰ ὅπλα φέροντας, καὶ ἐπερχομένους, πρὸς δὲ καὶ τὸν Σικανδήν, καὶ τὸν Ζναμεζαΐαν.

216. Μεγάλην δὲ φθορὰν ἐποίησε τοῖς τε υἱοῖς, καὶ τοῖς υἱωνοῖς καὶ τοῖς ἑταίροις τοῦ Δρουπάδα, καὶ τοῖς ἐκ τῆς χώρας Πραβαδράκας καὶ Ματσέας.

217. Ὁ δὲ Κριπᾶς καὶ ὁ Κριταβάρμας, ἅψαντες πῦρ εἰς πυρπόλησιν τῶν ἐχθρῶν, ἱσάμενοι πρὸ τῆς εἰσόδου τῆς παρεμβολῆς, ἀνῄρουν τοὺς ἐξιόντας ἐκ φόβου.

218. Οἱ δὲ, κατακαιόμενοι ὑπὸ τοῦ πυρὸς, καὶ ἀναιρούμενοι ὑπὸ τοῦ Κριπᾶ καὶ Κριταβάρμα, φωνὰς ἐξέπεμπον ἐλεεινὰς, λέγοντες, « Τίς ἀναιρεῖ ; τί τοῦτο ; »

219. Ἀναιρούμενοι δὲ, εἶδον τὴν Καλαρατρὴν [1], (ἣ προηγεῖτο τοῦ Ἀσβατάμα, ὡς τοῦ Σίβα ἐν τῇ συντελείᾳ τοῦ αἰῶ-

220. νος) ἔχουσαν ἐρυθρὸν χρίσμα ἐπὶ τοῦ μετώπου, καὶ ὅρμον ἐξ ἐρυθρῶν ἀνθέων, καὶ ἐρυθρὰ ἱμάτια, καὶ ἐρυθροὺς ὀφθαλμοὺς καὶ πρόσωπον, κρατοῦσαν βρόχον τῇ χειρὶ, καὶ φθορὰν ποιοῦσαν διὰ τοῦ βρόχου.

221. Τὰ δ' ὄνειρα ἐκεῖνα, ἐν οἷς ἔβλεπον οἱ μαχηταὶ ἀπὸ τῆς πρώτης ἡμέρας τῆς μάχης τὸν Ἀσβατάμαν, συνόντα τῇ Καλῇ, καὶ κτείνοντα, ἐφάνησαν τότε ἀληθῆ.

222 Οἱ γὰρ ἀναιρούμενοι πρότερον καθ' ἑκάστην ἐν ὀνείροις ὑπὸ τοῦ Ἀσβατάμα καὶ ὑπὸ τῆς Καλῆς, διὰ τὸν φόβον τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα, ἤδη ἀνῃροῦντο πραγματικῶς, ἐπειδὴ ἦσαν ἑστερημένοι τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα [2].

---

1. Ἡ Καλὴ λέγεται καὶ Καλαρατρή· ἔστι δὲ ἡ δύναμις τοῦ θανάτου.

2. Πρότερον μὲν ἀνῃροῦντο ἐν ὀνείροις, κατὰ φαντασίαν, ἐπειδὴ ἦσαν παρόντες ὁ Κρισνᾶς καὶ ὁ Ἀρζούνας, οὓς ἐφοβοῦντο ὁ Ἀσβατάμας καὶ

223. Τηνικαῦτα στίφη δαιμόνων σαρκοβόρων, οἱ ἀκόλουθοί εἰσι τῆς Καλαρατρῆς, κατεβίβρωσκον ἡδέως σώματα ζῶντα καὶ νεκρά.

224. Οὕτως οὖν οὗτοι οἱ τρεῖς, καταφθείραντες ἐκείνην τὴν στρατιὰν κατὰ τὸ μέσον τῆς νυκτὸς, συνελθόντες περὶ τὸν ὄρθρον διηγοῦντο πρὸς ἀλλήλους ἄσμενοι τὰ ἴδια κατορθώματα.

225. Ἐλθόντες δὲ πρὸς τὸν βασιλέα Δουριοδάναν, ἀναίσθητον ὄντα, καὶ αἷμα ἐκ στόματος αἱμοῦντα, παριστάμενοι ἔκλαιον καὶ ἐλυποῦντο τὴν κατάστασιν αὐτοῦ.

226. Καὶ « Βασιλεῦ, ἔλεγον, εἰ ἔστι σοι αἴσθησις, ἄκουσον » τούτου τοῦ ἐφετοῦ· πάντες οἱ ἐχθροὶ ἀνῃρέθησαν, ἐκτὸς » τῶν Πανδοϊδῶν, τοῦ Κρισνᾶ, καὶ τοῦ Σατεκῆ. »

227. Ἐλθὼν δ' εἰς ἑαυτὸν ὁ βασιλεὺς ἐκ τοιαύτης ἡδείας ἀγγελίας [1], ἔφη, χαίρων· « Οὐ τοσοῦτον ἐμοὶ πεποίηται » ὑπὸ τοῦ Βήσμα, καὶ Δρόνα, καὶ Καρνᾶ, ὅσον ὑφ' ὑμῶν.

228. « Νῦν μὲν οὖν ἐγὼ ἀφίημι τὸ πνεῦμα ἄσμενος· πάλιν δὲ » συνέλευσις γενήσεται ἡμῖν ἐν οὐρανῷ. » Τοιαῦτα εἰπὼν, ἀπέπνευσεν· οἱ δὲ ἀγκαλισάμενοι αὐτὸν, ἀνεχώρησαν.

229. Περὶ δὲ τὴν ἀνατολὴν τοῦ Ἡλίου, φοβούμενοι τὸν Ἀρζούναν, ὁ μὲν Κριταβάρμας βουλὴν ἔθετο πορευθῆναι εἰς τὴν ἑαυτοῦ χώραν Δοαρακάν, ὁ δὲ Κριπᾶς εἰς τὴν Χαστιναπούραν, ὁ δὲ Ἀσβατάμας εἰς τὴν μονὴν τοῦ Βεάσα.

230. Ἀνεχώρησε δ' εὐθέως καὶ ὁ Σανζαΐας, μηνύσων τῷ βασιλεῖ Δρυταράστρᾳ τὸν κατὰ τὴν νύκτα φόνον τῆς στρα-

---

ἡ Καλή· ἤδη δὲ ἀνῃροῦντο πραγματικῶς, ἐπειδὴ οὐκ ἦσαν παρόντες ὁ Κρισνᾶς καὶ ὁ Ἀρζούνας. Ὁ Κρισνᾶς καὶ οἱ περὶ τὸν Ἰουδιστίραν οὐκ ἦσαν ἐν τῷ στρατοπέδῳ ἐν ἐκείνῃ τῇ νυκτί.

1. Εὐαγγελίας.

τιᾶς τῶν Πανδοϊδῶν, καὶ τὸν θάνατον [1] τοῦ βασιλέως Δουριοδάνα.

231. Ὁ δὲ τοῦ Δρυσταδιούμνα ἡνίοχος, ὃς ἐσώθη ἀπὸ τοῦ ὅπλου τοῦ Κριταβάρμα [2] ἐν νυκτὶ ἐκ τύχης, ἐλθὼν ἀνήγγειλε τῷ Ἰουδιστίρᾳ τὴν νυκτοφονίαν.

232. Ὡς δ' ἤκουσεν ὁ Ἰουδιστίρας, στενάξας, δακρυρροήσας καὶ λειποθυμήσας, ἔπεσεν· ἀναληφθεὶς δ' ὑπὸ τοῦ Κρισνᾶ, καὶ τῶν ἀδελφῶν, καὶ τοῦ Σατεκῆ, καὶ ἐλθὼν εἰς ἑαυτὸν ἔφη·

233. « Σήμερον ἡ Δραουπαδὴ λούσεται ἐν ἀμβροσίῳ λουτρῷ » χαρᾶς τοῦ θανάτου τῶν ἐχθρῶν· ἀλλὰ φεῦ! τὸ λουτρὸν » τοῦτο θολερὸν ἐγένετο ἐκ λύπης τοῦ θανάτου τῶν ἑαυτῆς » ἀδελφῶν καὶ υἱῶν! »

234. Ταῦτα εἰπὼν ὁ Ἰουδιστίρας, ἐξαποστείλας τὸν Νακούλαν εἰς κομιδὴν τῆς Δραουπαδῆς, αὐτὸς ἐπορεύθη εἰς τὸ στάδιον τοῦ πολέμου, ἔνθα ἔκειντο οἱ νεκροί.

235. Ἰδὼν δὲ τοὺς ἀναιρεθέντας ἥρωας, λυποθυμήσας, ἀναψυχὴν ἔλαβε παρὰ τῶν ἀδελφῶν· ἰδὼν δὲ καὶ τὴν Δραουπαδὴν ἐλθοῦσαν ἐκ τῆς πόλεως Οὐπαπλαβέας, εἰς ἄκρον ἐλυπήθη.

236. Ἡ δὲ Δραουπαδὴ, ἰδοῦσα ἐκεῖνον τὸν ὄλεθρον, ἐλειποθύμησε, καὶ ἀναψυχὴν λαβοῦσα παρὰ τοῦ Βήμα, ἔφη τῷ Ἰουδιστίρᾳ· « Ἀπολέσας τοὺς υἱοὺς, τρύφα βασιλείας » χαίρων.

237. « Ὅταν, ἀνελὼν τὸν Ἀσβατάμαν, δείξῃς μοι ἐκείνην τὴν » ἐπὶ τῆς κορυφῆς αὐτοῦ πολύτιμον λίθον, τότε ἐγὼ γεύ- » σομαι. » Οὕτως εἰποῦσα, ἐκάθησεν ἐπὶ γωνίας, σιτίων ἀπέχουσα.

---

1. Αὐτολεξεὶ, ἔκπνευσιν.

2. Ὁ Κριταβάρμας ἦν μετὰ τοῦ Κριπᾶ παρὰ τῇ εἰσόδῳ τῆς παρεμβολῆς, παρατηρῶν καὶ ἀναιρῶν τὸν ἐξιόντα, ὡς ἐρρέθη ἀνωτέρω.

238. Νουθετουμένη δ' ὑπὸ τοῦ Ἰουδιστίρα, εἶπε θυμῷ πρὸς τὸν Βήμαν· « Σὺ, φιλότιμε, καὶ στέφανε τῶν Ξατρῶν, » λύτρωσόν με ἐκ τοῦ δεινοῦ. »

239. Τοιαῦτα λεγούσης τῆς γυναικὸς, ἀκούσας ὁ Βήμας ἐξώρμησε παραυτίκα ἐφ' ἅρματος, κατὰ τοῦ πολυλάμπρου Ἀσβατάμα, ἡνίοχον ἔχων τὸν Νακούλαν.

240. Ὁ δὲ Κρισνᾶς ἔφη τῷ Ἰουδιστίρᾳ· « Πάλαι ὁ διδάσκαλος » Δρόνας ἔδωκε τὸ ὅπλον, ᾧ ὄνομα *Βραχμασσίρα* οὐχὶ » τῷ σκληρῷ υἱῷ αὐτοῦ Ἀσβατάμᾳ, ἀλλὰ τῷ Ἀρζούνᾳ.

241. « Ὑμῶν δὲ ἀναχωρησάντων εἰς ἔρημον, ὁ σκληροκάρδιος » Ἀσβατάμας, ἐλθὼν εἰς τὴν πόλιν Δβαραβατὴν, ἤτησέ με » τὸν δίσκον.

242. « Εἰπόντος δ' ἐμοῦ, « Λάβε, » ἐκεῖνος οὐκ ἠδυνήθη ἆραι » τὸν δίσκον, οὔτε τῇ δεξιᾷ, οὔτε τῇ ἀριστερᾷ, οὔτε μὴν » ἀμφοτέραις.

243. « Κἄπειτα εἶπε πρὸς ἐμέ· « Εἰ ἠδυνάμην ἆραι τὸν τρο- » χίσκον, γνώμην εἶχον, πόλεμον ποιῆσαι κατὰ σοῦ » αὐτοῦ.

244. « Δός μοι οὖν, ἔφη, τὴν Βραχμασσίραν, μὴ δυναμένῳ » ἆραι τὸν δίσκον. » Τοιαῦτα εἰπόντος, ἔδωκα αὐτῷ » ἐκεῖνο τὸ ὅπλον, τὴν Βραχμασσίραν.

245. Ὧν δ' ὁ Ἀσβατάμας φύσει δειλὸς, ἀσταθὴς, καὶ σκληρο- » κάρδιος, ἀναιρέσει τὸν Βήμαν ἐκείνῳ τῷ ὅπλῳ, καίτοι οὐ » ῥιπτέον ἐστὶν ἐπ' ἄνθρωπον [1].

246. « Διαφυλακτέος (ἀπαλλακτέος) οὖν ὁ Βήμας σήμερον » ἀπ' ἐκείνου τοῦ ὅπλου. » Οὕτως εἰπὼν ὁ Κρισνᾶς, ἀνα- βὰς ἐπὶ τὸ ἅρμα, ἤλαυνε κατόπιν τοῦ Βήμα.

---

1. Οὐκ ἦν πρέπον ῥίπτεσθαι ἐπ' ἀνθρώπους, ἀλλ' ἐπὶ δαίμονας, ὡς φθοροποιόν.

247. Ἐλθόντες δ' οὗτοι εἰς τὴν μονὴν τοῦ Βεάσα, εἶδον τὸν Ἀσβατάμαν, ἔχοντα δεδευμένα βουτύρῳ ἱμάτια περὶ τὸ σῶμα, καὶ ἀσκούμενον ἐν ὕδατι, πλησίον τοῦ Βεάσα.

248. Ἰδὼν οὖν αὐτὸν ὁ Βήμας, ἔδραμε θυμῷ, λέγων· « Στῆθι, » στῆθι, σκληρὲ καὶ ἐλάχιστε Βραχμάν. »

249. Ὁ δὲ Ἀσβατάμας, ἰδὼν τὸν Βήμαν γνώμην ἔχοντα μάχης, ἐφοβήθη· ὢν δ' ἄνευ ὅπλων καὶ ἅρματος, ἥψατο τῇ ἀριστερᾷ χειρὶ ἑνὸς κάρφους.

250. Θεὶς δ' ἐπ' ἐκείνου τοῦ κάρφους ἐπῳδὴν τῆς Βραχμασσίρας, καὶ εἰπὼν, « Τοῦτο πέμπω εἰς ὄλεθρον τῶν Παν- » δοϊδῶν, » ἔῤῥιψεν αὐτὸ εὐθέως.

251. Φοβηθεὶς δ' ὁ Κρισνᾶς, ἔφη τῷ Ἀρζούνᾳ ἐν ἀδημονίᾳ· « Τρόπον ποίησον, ὦ Ἀρζούνα, ταχέως, ἵνα μὴ μείνῃ ὁ » κόσμος ἄνευ τῶν Πανδοειδῶν. »

252. Ὁ δ' Ἀρζούνας, καταβὰς ἀπὸ τοῦ ἅρματος, μνησθεὶς τοῦ Θεοῦ καὶ τοῦ διδασκάλου, ἔφη· « Σωτηρία ἔστω τῷ » υἱῷ τοῦ διδάσκαλου καὶ πᾶσι τοῖς Πανδοΐδαις.

253. « Ἐκεῖνο τὸ δεινὸν ὅπλον καταβληθήτω ὑπὸ τούτου τοῦ » ἐμοῦ. » Ταῦτα εἰπὼν, καὶ ἁγνὸς γενόμενος, ἔῤῥιψε τὸ ὅπλον, ᾧ ὄνομα *Παραμάστρα*.

254. Τούτων τῶν δύω ὅπλων καιόντων, καὶ φλόγας ἐκπεμπόντων εἰς τὸν αἰθέρα, οὐδ' ὁ Ἥλιος διεκρίνετο ἐν τοῖς μεγάλοις αὐτῶν σπινθῆρσι.

255. Τούτων τῶν ὅπλων τοὺς μεγάλους σπινθῆρας ἰδόντες ὅ,τε Σίβας καὶ οἱ λοιποὶ θεοὶ, ἠπόρουν, ταῦτα διανοούμενοι· « Καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος δώδεκα Ἥλιοι » γίνονται· σήμερον δὲ πόθεν μυρίοι ; »

256. Οἱ δὲ τρεῖς κόσμοι, ἰδόντες ταῦτα τὰ ὅπλα, ὅμοια ὄντα τῷ θαλασσίῳ πυρὶ καὶ τῷ Ῥούδρᾳ, μέγαν τρόμον ἔσχον, νομίζοντες ὅτι συντέλειά ἐστι τοῦ αἰῶνος.

257. Ἰδόντες δὲ πόῤῥωθεν καὶ οἱ ἄνεμοι τὸ φίλον πῦρ [1], ἔχον σκληρότητα, σκληρότητα ἔλαβον καὶ αὐτοὶ, διασκορπίσαντες τὰ ὄρη, ὡς χάλικας.

258. Ἡ δὲ θάλασσα, ἰδοῦσα τὸ ἐκ τῶν ὅπλων πῦρ ἐν τῷ αἰθέρι, καὶ νομίσασα, ὡς τὸ θαλάσσιόν ἐστι πῦρ, ὑψώθη [2] εἰς τὸ λαβεῖν πως αὐτὸ ἐν ἑαυτῇ.

259. Ἐν τῇ ἐπιδρομῇ ἐκείνων τῶν ὅπλων θόρυβος καὶ θροῦς τις φοβερὸς ἐγίνετο· ἡ μὲν γὰρ θάλασσα ἀνεταράττετο, τὰ δ' ὄρη κατερῥήγνυντο, ἡ δὲ Βραχμάνδα διεσχίζετο, ἡ δὲ γῆ διετέμνετο.

260. Τηνικαῦτα οἱ περὶ τὸν Βεάσαν ἅγιοι ἄνδρες ἔφασαν· « Ὦ Ἀσβατάμα καὶ Ἀρζούνα, εἰδήμονες τῶν τοῦ νόμου, » καλέσατε εὐθέως ἕκαστος τὸ ἴδιον ὅπλον, τὸ ἀνοίκειον » ῥίπτεσθαι ἐπ' ἀνθρώπους. »

261. Ἀλλὰ καὶ ὁ Ναράδας, καί περ ὢν φίλερις, φοβούμενος ὅμως, μή πως ὅλεθρος παγκόσμιος γένοιτο, ἦλθεν εἰς τὸ μέσον αὐτῶν μετὰ τοῦ Βεάσα, εἰς τὸ κωλύσαι τὰ πολεμικὰ αὐτῶν ὅπλα.

262. Βλέπων δ' ὁ Ἀρζούνας τὸ ἑαυτοῦ ὅπλον ὁρμώμενον μεγάλῃ ταχυτῆτι, ἐπέσχεν αὐτὸ [3], ἵνα μὴ γένοιτο μηδ' ὀλίγη ἀνάλωσις τῆς ἀρετῆς αὐτῶν τῶν ἁγίων ἀνδρῶν ἐκ τῆς ἐπισχέσεως τοῦ ὅπλου [4].

263. Τὸ δ' ὅπλον ἐκεῖνο τοῦ Ἀσβατάμα ἐπέσχον, κατισχύσαντες μεγάλῃ δυνάμει τῆς ἑαυτῶν ἀρετῆς οἱ ὅσιοι ἐκεῖνοι, ὁ Ναράδας καὶ ὁ Βεάσας.

264. Τηνικαῦτα ὁ Ἀρζούνας, ὁ ὠκεανὸς τῆς εὐτολμίας, εἶπε

---

1. Ἐκ τοῦ ἀνέμου αὐξάνει τὸ πῦρ, καὶ διὰ τοῦτο φιλίαν ἔχουσι.
2. Κύματα ὑψηλὰ ἀνήγειρε.
3. Ἀνεκάλεσεν αὐτὸ δι' ἐπῳδῆς,
4. Ἀναλίσκεται ἡ δύναμις τῆς ἀρετῆς ὅταν ἐνεργῆται.

πρὸς τοὺς ἁγίους ἐκείνους ἄνδρας· « Ὑπ' ἐμοῦ ἐρρίφθη τὸ
» ὅπλον, εἰς καθαίρεσιν τοῦ ὅπλου τοῦ Ἀσβατάμα.

265. « Τοῦ δ' ἐμοῦ ὅπλου ἐπισχεθέντος ὑπ' ἐμοῦ ἑκουσίως, οὗ-
» τος αὐτὸς αὐτῷ τῷ οἰκείῳ ὅπλῳ, ὅπερ ἤδη ἐπέσχετε,
» ἀναιρήσει ἡμᾶς μετέπειτα [1]· ὅθεν ὅ,τι ἀγαθόν ἐστι καὶ
» ἡμῖν καὶ τῷ κόσμῳ, τοῦτο ποιήσατε. »

266. Ἀκούσαντες οἱ ὅσιοι, ἔφασαν τῷ Ἀσβατάμᾳ ἱλαρῶς·
« Ὦ ἄριστε τῶν Βραχμάνων, τί τοῦτο ἐποίησας, ὃ οὐκ
» εἰς ἀγαθόν σοι ἔσεται, οὔτ' ἐν τῷ νῦν, οὔτ' ἐν τῷ μέλ-
» λοντι βίῳ [2];

267. « Κατὰ τῶν Πανδοΐδων ἐρρίφθη ὑπὸ σοῦ ἡ Βραχμασ-
» σίρα, ἡ οὖσα ἀνοίκειος ῥίπτεσθαι ἐπ' ἀνθρώπους· ὅθεν
» εἰς καθαίρεσιν ἐκείνου σου τοῦ ὅπλου ἔρριψεν ὁ Ἀρζούνας
» τὸ ὅπλον, ᾧ ὄνομα Παραμάστρα.

268. « Εἰ δὲ καθαίρεσις γένοιτο τῆς Βραχμασσίρας ὑπὸ τῆς
» Παραμάστρας, πῶς ἀπὸ τοῦ θυμώδους Βήμα ἀπαλλα-
» γήσῃ σὺ, ὁ ὢν οὕτω σκληρὸς τοῖς ἔργοις [3];

269. « Ἀνακάλεσον οὖν ἐξ ἅπαντος τὸ ὅπλον θελητικῶς καὶ
» ταχέως. Ἰδὲ ἐκ μόνης τῆς θέας ἡμῶν τὸ ἑαυτοῦ ὅπλον
» ἀνεκάλεσεν ἑκουσίως ὁ Ἀρζούνας.

270. « Ἐγχείρισον δὲ τοῖς Πανδοΐδαις καὶ τὴν ἐπὶ τῆς κορυ-
» φῆς σου πολύτιμον λίθον, ὡς λύτρον τῆς σεαυτοῦ ζωῆς·
» οὕτω γὰρ ἀπαλλαγήσῃ τούτων ζῶν, καίπερ ἔργα σκλη-
» ρὰ ποιήσας. »

---

1. Ἐπειδὴ πρὸς καιρὸν ἐπεσχέθη τὸ ὅπλον ἐκείνου, πάλιν ἐκεῖνος κι-
νήσει αὐτὸ, καὶ ἀναιρέσει ἡμᾶς.

2. Καὶ ζῶν δηλ. ἐπονείδιστος ὀφθήσῃ καὶ θανὼν κατακριθήσῃ.

3. Δηλονότι εἰ ἡ μὲν Παραμάστρα, τὸ ὅπλον τοῦ Ἀρζούνα, ὑπερι-
σχύσει, ὁ δ' Ἀρζούνας οὐκ ἀναιρέσεισε, ἐλέει κινούμενος, ἀλλ' ὁ θυμώ-
δης Βήμας οὐκ ἀφήσει σε.

271. Ὁ δ' Ἀσβατάμας εἶπε πρὸς τοὺς ὁσίους ταπεινῶς καὶ εὐλαβῶς· « Ὁ Δουριοδάνας ἀδίκως ἀνῃρέθη ὑπὸ τοῦ Βήμα· » διὰ τοῦτο ἐρρίφθη ὑπ' ἐμοῦ τοῦτο τὸ φθοροποιὸν ὅπλον.

272. « Ὦ Κύριοι, ἡ ἐμὴ καρδία καθαρὰ ἐγένετο τῆς πρὸς τοὺς » Πανδοΐδας ἔχθρας, οὐ μόνον κατὰ τὸ παρὸν, ἀλλὰ καὶ » εἰς τὸ ἑξῆς· ἡ γὰρ θέα ἡμῶν ἀπαλλακτικὴ ἐστι τῆς δι- » νεκοῦς ἔχθρας.

273. « Ἐγὼ οὐκ εἰμὶ, ὡς ὁ γενναῖος Ἀρζούνας, φιλοδιδάσκα- » λος, φιλαλήθης, καὶ φιλοβραχμὰν, καὶ διὰ τοῦτο οὐ » δύναμαι ἀνακαλέσαι τὸ ὃ ἔρριψα ὅπλον.

274. « Ὅστις γὰρ, μὴ ποιῶν ἔργα ὅσια καὶ ἀγαθὰ [1], ἀφεὶς » τοῦτο τὸ ὅπλον, βούλεται ἀνακαλέσαι, τούτου ἡ κεφαλὴ » μετὰ τῶν οἰκείων πεσεῖται εὐθέως ὑπ' αὐτοῦ τοῦ ὅπλου.

275. « Τοῦτο οὖν τὸ ὅπλον, ὃ οὐκ ἔστιν ἀνεμώλιον, ἵνα μὴ ποιή- » σῃ παγγενῆ ἀπώλειαν, πεσέτω κατὰ τοῦ ἐμβρύου τοῦ » ἐν τῇ μήτρᾳ τῆς Οὐτταρᾶς, τῆς γυναικὸς τοῦ Ἀβη- » μανιοῦ.

276. « Αὕτη δ' ἡ πολύτιμος λίθος ἀπαλλάτει εὐθέως τὸν κίνδυνον, τὸν γινόμενον ἐκ δαιμόνων, ἐκ θείων ὅπλων, » ἐκ παθῶν, καὶ ἐξ ἄλλων δεινῶν, καὶ διὰ τοῦτο οὐ δο- » τέα ἐστίν.

277. « Ἀλλὰ καὶ οὕτω, πειθόμενος τῷ λόγῳ ὑμῶν, δίδωμι » ταύτην τὴν λίθον τοῖς Πανδοΐδαις, τοῖς μαθηταῖς τοῦ » ἐμοῦ πατρὸς, ἵνα μὴ παντελῶς φθορὰ γένηται [2].

278. Εἰπόντων δὲ τῶν ὁσίων, « Οὕτω ποίησον », ὁ Ἀσβατάμας ἔρριψεν ἐκεῖνο τὸ ὅπλον κατὰ τοῦ ἐν τῇ γαστρὶ τῆς Οὐτταρᾶς.

279. Πρὸς ὃν ἔλεξεν ὁ Κρισνᾶς· « Μὴ κατακαυθήτω τὸ ἔμ-

---

1. Αὐτὸς ἑαυτὸν κατηγορεῖ.

2. Ἵνα μὴ γένηται πόλεμος ἐμοὶ κἀκείνοις, ἐκ δὲ τοῦ πολέμου φθορά.

» βρυον ἐκεῖνο, ἵνα γένηται ζώπυρον τῆς ἀπωλεσθείσης
» γενεᾶς τοῦ Κουροῦ.

280. « Πάλαι γὰρ Βραχμάντις ἐγκρατὴς ἔφη τῇ Οὐτταρᾷ·
« Ἀπολεσθέντων τῶν τοῦ Κουροῦ, υἱός σοι, γενήσεται, Πα-
« ριξίτας τοὔνομα, εἰς αὔξησιν τοῦ γένους. »

281. « Μὴ γενέσθω οὖν ψευδὴς ὁ λόγος οὗτος τοῦ Βραχμᾶ-
» νος ἐκείνου, ὦ ἄριστε Βραχμάν· αὐξηθείτω δὲ τὸ γέ-
» νος τοῦ Ἀρζούνα, τοῦ ἀγαπητοῦ μαθητοῦ τοῦ πατρός
» σου. »

282. Πρὸς ὃν ἔφη ὁ Ἀσβατάμας· « Μὴ λέγε ταῦτα φιλίας χά-
» ριν, ὦ Κρισνᾶ· ἔστω δ' ἐκεῖνο τὸ ἔμβρυον παρανάλωμα
» τοῦ δραστηρίου μου ὅπλου. »

283. « Ἄφες τὸ δραστήριόν σου ὅπλον, ἔφη ὁ Κρισνᾶς, εἰς θά-
» νατον τοῦ ἐμβρύου· ἐγὼ δὲ ζωώσω αὐτὸ τῇ ἐμῇ δυ-
« νάμει.

284. « Σὺ δὲ, πλημμελὴς γενόμενος ἐκ τοιούτου σκληροτάτου
» ἔργου, περιελεύσῃ εἰς γῆν ἔρημον τρισχίλια ἔτη. Μόνος
« δ' ὢν καὶ ῥυπαρὸς τὸ σῶμα, καὶ ὄζων ἐξ ἑλκῶν, οὐδενὶ
« οὐδαμοῦ συντεύξῃ καὶ συλλαλήσεις. »

285. Συναινέσας δὲ καὶ ὁ Βεάσας, ἔφη· « ἔστω ἀληθὴς ὁ λό-
» γος τοῦ Κρισνᾶ, διότι σκληρὸν ἔργον πέπρακταί σοι,
» ἀνοίκειον ἥρωϊ, ὦ Ἀσβατάμα. »

286. Ὁ μὲν οὖν Ἀσβατάμας, τοιαύτην ἀρὰν λαβὼν, καὶ δοὺς
τὸν πολύτιμον λίθον τοῖς Πανδοΐδαις, ἀνεχώρησεν εἰς
ἔρημον· οἱ δὲ Πανδοΐδαι ἦλθον πρὸς τὴν Δραουπαδὴν με-
τὰ τοῦ Βεάσα καὶ Ναράδα.

287. Τῇ δὲ προσταγῇ τοῦ Ἰουδιστίρα, δεικνύων ὁ Βήμας τῇ
Δραουπαδῇ, μειδιῶν, τὴν πολύτιμον λίθον, τὴν λάμπου-
σαν δίκην Ἡλίου, ἔφη·

288. « Ἐκεῖνος ὁ εἰδήμων τῆς ὁπλικῆς Ἀσβατάμας, νικηθεὶς
» ἐν πολέμῳ, καὶ ἀφεὶς τὰ ὅπλα καὶ τὴν πολύτιμον λί-

» θον, οὐκ ἐπορεύθη σήμερον εἰς τὸν οὐρανὸν [1], ἐπειδὴ ἦν » υἱὸς τοῦ διδασκάλου.»

289. Ἔφη δὲ χαίρουσα ἡ Δραουπαδή· «Ὁ μὲν υἱὸς τοῦ διδα- » σκάλου, ἄξιος ὢν τιμῆς, ὡς ὁ διδάσκαλος, πρεπόντως » ἐλήφθη ζῶν· ταύτην δὲ τὴν λίθον, τὴν ἐφετὴν αὐτοῖς » τοῖς θεοῖς καὶ πανέκλαμπρον, φερέτω ὁ βασιλεὺς Ἰου- » διστίρας ἐπὶ τῆς κορυφῆς αὐτοῦ.

290. « Ἐμοὶ ἀπαλλαγὴ τῆς θλίψεως ἐγένετο ἐκ τῆς ἀπωλείας » τῶν ἀδίκων Καουραβῶν, καὶ χαρά μοι ἐπεγένετο ἐκ τῆς » πρὸς τὸν Ἀσβατάμαν συγγνώμης· ἐγὼ μὲν οὖν, τυ- » χοῦσα τῶν ὧν ἤθελον ἐκ τῆς φιλίας τοῦ Κρισνᾶ, καὶ » ἐκ τῆς ἀγάπης ὑμῶν, οὐ λυποῦμαι τοὺς οἰκείους [2], τοὺς » τυχόντας τοῦ οὐρανοῦ.»

291. Εἰπόντος δὲ τοῦ Κρισνᾶ, « Ἐκεῖνοι οἱ υἱοί σου, οὐκ ἀνη- » ρέθησαν ὑπὸ τοῦ Ἀσβατάμα, ἀλλ' ὑπὸ τοῦ Σίβα [3], ὃς » ἦσθη ἐπὶ τῷ τολμήματι τοῦ Ἀσβατάμα· διὸ ἡ λαμ- » πρότης αὐτῶν τῶν ἐνδόξων οὐκ ἔστιν ἀξία λύπης, » ἡ Δραουπαδὴ μεγάλην χαρὰν ἔλαβε, γνοῦσα τὴν λαμ- πρότητα τῶν οἰκείων πάντων [4].

292. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ δι- δασκάλου καὶ ὀρθοδόξου Ζηναδάτα ὁ λίαν ἐγκρατὴς καὶ ἀγαθὸς Ἀμάρας. Ἔλαβε τέλος τὸ δέκατον Βιβλίον, ᾧ ὄνομα *Σαουπτικὰ*, τῆς Βαλαβαράτας, τοῦ Μεγάλου Ποιήματος, ἔνθα διατρίβει ἡ Σαρασβατὴ, καὶ ἔνθα ὁ νοῦς τοῦ Ἀμάρα γνωρίζεται.

---

1. Οὐκ ἀνῃρέθη ὑφ' ἡμῶν δηλ.

2. Τοὺς πέντε υἱοὺς καὶ τὸν ἀδελφὸν Δρυσταδιούμναν.

3. Ὡς ἐῤῥέθη πρότερον.

4. Ὅτι λαμπροῦ θανάτου ἔτυχον καὶ τόπου, θανατωθέντες ὑπὸ τοῦ Σίβα.

293. Ἐν ἑνὶ Κεφαλαίῳ δύω Βιβλίων, οἷς ὄνομα *Σαλέα*, καὶ *Σαουπτικὰ*, ἐμπεριέχονται τριακόσιοι στίχοι πρὸς τῷ ἑνὶ, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Ἐννάτου καὶ τοῦ Δεκάτου Βιβλίου

τῆς

Βαλαβαράτας.

ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ [1],

ὃ διαλαμβάνει θρῆνον γυναικῶν.

1. Ἔστω μοι εἰς ἀγαθὸν ἐκεῖνος ὁ υἱὸς τοῦ Παρασσάρα, οὗ εἰς τὴν καθαρὰν καρδίαν, ὡς εἰς ἄλσος ἀσκήσεως, εἰσέδυ ὁ Βισνοῦς εἰς ἄσκησιν, ἀφεὶς τὴν Λαξμὴν καὶ τὸν Ἔρωτα, ἐπειδὴ ἀνεῖλε δόλῳ τοὺς ἐχθροὺς ἐν πολέμῳ.
2. Ὁ δὲ Σανζαΐας ἐντεῦθεν ἐπανῆλθεν εἰς τὴν πόλιν Χαστιναπούραν, κράζων μεγαλοφώνως καὶ ὀδυρόμενος. « Ὤ! ὤ! » ἰού! ἰού! ἅπαντες ἀπέθανον! » καὶ εἰσέδυ τὴν βασιλικὴν οἰκίαν.
3. Ἐλθὼν δ' ὁ Σανζαΐας, ἔφη γλώσσῃ ἀδιαρθρώτῳ πρὸς τὸν βασιλέα Δρυταράστραν, συνόντα τῇ ἑαυτοῦ γυναικί, καὶ ταῖς νύμφαις, τῇ τε Βανουματῇ καὶ ταῖς λοιπαῖς, καὶ τοῖς οἰκείοις, τῷ τε Βιδούρᾳ καὶ τοῖς λοιποῖς·
4. « Πρότερον καθ' ἑκάστην ἐρχόμενος, ἔλεγόν σοι ἀνέρα- » στα, θανάτους δηλονότι τῶν οἰκείων [2]· νῦν δ', ὦ βα- » σιλεῦ, ὃ λέγω σοι ἀνέραστον, ἄκουσον, ἀδαμαντίνην » ποιήσας τὴν καρδίαν.
5. « Ὁ υἱός σου Δουριοδάνας, ὁ κύριος ἕνδεκα Ἀξαουχινῶν,

---

1. Ἐν τῷ παρόντι βιβλίῳ ὡς καὶ ἐν τοῖς προηγηθεῖσι, δὲν ὑπάρχει ἕτερον τοῦ παρὰ τοῦ ἀοιδίμου μεταφραστοῦ Πρώτου σημειωθέντος Κεφαλαίου. (Σημ. τ. ἐκδ.)

2. Ὅτι τοσοῦτοι υἱοί σου ἀνῃρέθησαν.

» ἀκούσας περὶ τὴν ἕω τὴν ἐραστὴν ὑπνοφονίαν [1], τὴν
» ῥηθεῖσαν ὑπὸ τῶν περὶ τὸν Ἀσβατάμαν, ἐλθόντων,

6. «Ὅτι ἀνεῖλον ἐν νυκτὶ τὸν στρατὸν τῶν πολεμίων σὺν
» τοῖς υἱοῖς τοῦ Δρουπάδα καὶ τῶν Πανδοϊδῶν, ἐκτὸς
» τοῦ Κρισνᾶ, καὶ τοῦ Σατεκῆ καὶ τῶν Πανδοϊδῶν, ἀνα-
» πνεύσας, καὶ εὔθυμος γενόμενος, ἐπορεύθη εἰς τὸν οὐ-
» ρανόν.»

7. Ὁ δὲ βασιλεὺς Δρυταράστρας, καὶ οἱ περὶ αὐτὸν, ἔπεσον κατὰ γῆς λειποθυμίᾳ, κατασχεθέντες ἐκ τοῦ λόγου τούτου, ὃς ἦν ὥςπερ ἔκρευσις ἰοῦ θυμώδους ὄφεως.

8. Πολλάκις δ' οὗτοι, καταπίπτοντες λειποθυμίᾳ, καὶ πολλάκις ἀνεγειρόμενοι, ἐδάκρυον ἐλεεινῶς, καὶ ἔλεγον πρὸς ἀλλήλους· «Ποῖ πορευθῶμεν; πῶς ζήσωμεν; τί ποιή-
» σωμεν;»

9. Διεχύθη δ' ἀθρόον ἡ λύπη ἀνὰ πᾶσαν ἐκείνην τὴν σύνοδον, ἐν ᾗ κόμαι διαλελυμέναι ἐφαίνοντο, καὶ τρόμος σωμάτων ἐλεεινῶς ἐγίνετο, καὶ δακρυῤῥοΐα ἐξ ὀφθαλμῶν.

10. Ἐκείνη ἡ σύνοδος τοῦ Δρυταράστρα, ἧς τὸ ἔδαφος κατάβροχον ἦν αἵματι, ἐκ κρούσεως κεφαλῶν κατὰ γῆς, ἐφαίνετο ὡς γῆ ἄλσους, κατάστρωτος ἐκ νεογνῶν φύλλων, οὐκ εἰς εὐθυμίαν, ἀλλ' εἰς δυσθυμίαν.

11. Ἡ σύνοδος ἐκείνη ἔκλαιε σφόδρα, μὴ ἔχουσα ἐν μνήμῃ τὰ ἀποτελέσματα τοῦ κλαυθμοῦ, μὴ ποιοῦσα δηλονότι μήτε μεμψιμοιρίας, μήτε ἐλεεινολογίας, μήτε στερνοτυπίας [2].

12. Ἅπαντες ὠδύροντο μεγαλοφώνως, ἀναισθητοῦντες, κλείοντες τοὺς ὀφθαλμοὺς, κάμπτοντες τὰς κεφαλὰς, ἐκ τῶν

---

1. Τὸν ἐν ὕπνῳ φόνον.

2. Ἐκ τούτου δηλοῖ τὸν θυθισμὸν εἰς τὴν λύπην, ὅτε κλαίει τις μόνον, ἄνευ μεμψιμοιρίας, κτλ.

στόνων ἀνακλίνοντες τὸ σῶμα καὶ κατακλίνοντες, ἐκτείνοντες τοὺς πόδας, καὶ τὰς χεῖρας καταφέροντες κατὰ γῆς.

13. Ἡ δὲ καρδία τοῦ Δρυταράστρα, ἡ λειποθυμοῦσα ἐκ πολλῆς λύπης, ἔτυχεν ἀναψυχῆς, ὥςπερ ἐκ ραντίσματος, τοῦ ὕδατος τῶν δακρύων εἰσδύντος εἰς τὸν λάρυγγα, τοῦ στόματος ἠνεῳγμένου [1].

14. Καὶ, «Ὦ Βιδούρα, εἶπε, σὺ μόνος ὢν ἡ παραμυθία ἐμοῦ » τοῦ ὀρφανοῦ, οὗ οἱ παῖδες ἐπορεύθησαν εἰς τὸν οὐρανὸν, » φρόντισόν μου. » Τοιαῦτα εἰπὼν πάλιν ἐλειποθύμησε.

15. Δεινοπαθῶν μὲν οὖν ὁ Βασιλεὺς, ἐξαπέστειλεν οἴκαδε τὰς γυναῖκας καὶ τοὺς λοιποὺς οἰκείους, καὶ διαμερισάμενος τὴν λύπην τῷ Βιδούρᾳ, καὶ τῷ Σανζαΐᾳ, καὶ τῇ ἑαυτοῦ γαμετῇ, ἔφη·

16. «Φεῦ! οἱ μὲν ἐμοὶ υἱοὶ, οἱ ἔχοντες στρατεύματα πολλὰ, » ἀνῃρέθησαν· τοῖς δὲ Πανδοΐδαις, τοῖς ἔχουσιν ὀλίγον » στρατὸν, οὐδὲ μικρόν τι τραῦμα ἐγένετο!

17. «Ποῦ ἐκείνη ἡ πολλὴ στρατιά; ποῦ ἐκείνη ἡ δύναμις; » ποῦ ἐκεῖνοι οἱ εὐγενεῖς, ὅ,τε Καρνᾶς καὶ οἱ λοιποί; ποῦ » ἐκεῖνος ὁ Δουριοδάνας; οὐδὲν ἄλλο ἐν γῇ ἰσχυρότερόν » ἐστι τῆς τύχης!

18. «Πάντως ἡ ἐμὴ καρδία ἐποιήθη ὑπὸ τοῦ Βραχμᾶ σκληρὰ » καὶ ἀδαμαντίνη, καὶ διὰ τοῦτο οὐ διερράγη, καί τοι » τὸ ἄχθος τοῦ θανάτου τῶν υἱῶν μου ἐπέπεσεν, ὡς ὄρος » μέγα.»

19. Ὁ δὲ Σανζαΐας, καταβρέχων τὸ πρόσωπον δάκρυσι, καὶ μόλις φωνὴν ἐξερευγόμενος, καὶ βραγχιῶν, ἔφη εἰς παραμυθίαν τῷ βασιλεῖ, οὕτω θρηνολογοῦντι·

---

1. Ὅτε κλαίει ὁ ἄνθρωπος ἀνοίγει τὸ στόμα, καὶ ὅτε λειποθυμεῖ, ῥαντίζεται ὕδατι καὶ ἀναλαμβάνει ἑαυτόν.

20. « Διὰ τί θρηνεῖς σὺ, ὃς εἰδήμων εἶ τῆς Βέδας, καὶ τῶν » τοῦ νόμου, καὶ γνώστης τῶν ὄντων; οἱ γὰρ υἱοί σου « ἔτυχον δόξης θείας καὶ ὑπερφυοῦς διὰ τοῦ ἐν πολέμῳ » θανάτου. »

21. Ἔφη δὲ καὶ ὁ Βιδούρας μετ' εὐλαβείας· « Ὦ βασιλεῦ, » τῶν υἱῶν σου ἐλθόντων ποθεν, καὶ πορευθέντων ποι, ὡς » ὁδοιπόρων, σὺ λύπην ἔχεις, ὡς ὁ κοινὸς καὶ χυδαῖος » λαός.

22. « Καὶ οἱ σοφοὶ λέγουσι τοὺς υἱοὺς ἄλλους ἑαυτούς· σὺ » ὅμως μὴ λυποῦ· πῶς γὰρ ἂν σχοίη λύπην ὁ παντόμι- » μος, ὁ πολλὰς μορφὰς λαμβάνων, ἀφεὶς ἐκείνας τὰς » μορφάς [1];

23. « Πρότερον ἀγαθοῦ τινος γιγνομένου τοῖς υἱοῖς σου, ἔχαι- » ρες ἀεί· νῦν δὲ, πορευθέντων ἐκ γῆς εἰς τὸν οὐρανὸν, » τὸ ἄκρον ἀγαθὸν, διὰ τί λύπην ἔχεις, ὦ φρόνιμε;

24. « Μηδ' ἔστω σοι τοιαύτη ἔννοια λυπηρὰ, ὅτι οἱ υἱοί σου » ἀνῃρέθησαν ὑπὸ τῶν Πανδοϊδῶν· οὗτοι ἀνῃρέθησαν ὑπὸ » τῶν οἰκείων ἔργων· ὁ γὰρ ἄνθρωπος ἀπολαμβάνει κατὰ » τὰ ἔργα ἑαυτοῦ. »

25. Ἐλθὼν δὲ καὶ ὁ Βεάσας, ὁ ὢν ἡ Σελήνη τοῦ πελάγους » τῆς γνώσεως [2], ἔφη· « Τί ἀνοηταίνεις; ἐκεῖνοι οἱ υἱοί » σου, πορευθέντες εἰς τὸν οὐρανὸν, ἐν ἀνέσει εἰσὶ, καὶ » διὰ τοῦτο οὐδὲ μέμνηνταί σου [3].

26. « Αἱ τοῦ θανάτου δυνάμεις, αἵ εἰσιν ὡς δμωαὶ τοῦ κό- » σμου, μετακομίζουσιν ἀεὶ τὸν ἄνθρωπον, ὡς βρέφος τοῦ

---

1. Οὐ λυπεῖται ὁ παντόμιμος, ἀφεὶς τὰς διαφόρους μορφὰς, ἃς ἔλα- βε, καὶ σχὼν πάλιν ἐκείνην τὴν πρώτην, ἣν εἶχε, δηλ. σκηνή ἐστι καὶ δράμα ὁ βίος οὗτος.

2. Ἡ Σελήνη πλημμυρεῖν ποιεῖ τὴν θάλασσαν.

3. Ὁ γὰρ μεμνημένος ἀντιμιμνήσκεται.

» κόσμου, ἀπὸ μιᾶς ἀγκάλης εἰς ἄλλην [1]· ματαίως οὖν » ὁ ἄνθρωπος λέγει τοῦτο· « Οὗτος ἐμός ἐστιν υἱός. »

27. « Τίς τίνος οἰκεῖος οὐκ ἐγένετο, ἢ οὐ γενήσεται ἐν ταύτῃ » τῇ κυκλικῇ φορᾷ τοῦ κόσμου ; πάντες δ' οἱ ἄνθρωποι » οἰκεῖοί εἰσι μόνον τοῦ κόσμου· πῶς ἂν ἄρα λυπηθείησαν » οἱ ἄνθρωποι, ἐλθόντος τοῦ θανάτου [2] ;

28. « Τοιγαροῦν μὴ λυποῦ, ὦ Βασιλεῦ· πρὸς δὲ τούτοις ἐκεῖ- » νος ὁ δύστροπος υἱός σου ἐγεννήθη ἐπὶ γῆς, ἀπόῤῥοια ὢν » τοῦ Καλῆ αἰῶνος, κατὰ τὴν προσταγὴν τοῦ Βραχμᾶ.

29. « Πάλαι ἐγὼ [3] ἐπορεύθην εἰς τὴν σύνοδον τοῦ Ἴνδρα, ἔν- » θα καὶ ἡ γῆ ἐλθοῦσα, ἔφη τοῖς θεοῖς· « Ὅ,τι ἐπηγγεί- » λατό μοι ἐπὶ συνόδου ὁ Βραχμᾶς [4], τοῦτό μοι γενέσθω. »

30. Πρὸς ἣν ἔφη ὁ Βραχμᾶς· « Ἄπιθι, ὦ γῆ, καὶ βάσταζε « τὸν κόσμον ἐν ἀταραξίᾳ· ὁ γὰρ υἱὸς τοῦ Δρυταράστρα « Δουριοδάνας ποιήσει τὸ ἐφετόν σοι ταχέως.

31. « Ἐκεῖνος γὰρ, ὁ ὢν ἀπόῤῥοια τοῦ Καλῆ αἰῶνος, βοη- « θούμενος ὑπὸ πολλῶν ἀνθρώπων, οἵ εἰσιν ἀπόῤῥοιαι « δαιμόνων, αἴτιος θανάτου ἔσεται πολλῶν Ξατρῶν ἐν « Κουρουζέτρᾳ. »

32 « Οὕτως ἐγὼ οἶδα, ὦ Βασιλεῦ, ὡς ὁ υἱός σου, ὁ ὢν αὐ- » τὸς ὁ Καλὴς αἰὼν, ἔτυχεν ἀπωλείας σὺν πᾶσι τοῖς ἐπι- » κούροις τῶν οἰκείων ἀμπλακημάτων, τῶν γεγενημένων » ἐκ τοῦ οὗ ἤγειρε πολέμου.

---

1. Δηλονότι ἀφοῦ ἀποθάνῃ ὁ ἄνθρωπος, μετασωματοῦται ἐν ἄλλῳ οἴκῳ, καὶ ὑπ' ἄλλων ἐν ἀγκάλαις φέρεται.

2. Πρώτη μετάφρασις· « Πόθεν ἄρα λυπηρὸν γένοιτ' ἂν ὁ θάνατος τοῦ ἀνθρώπου ; »

3. Ἱστορίαν λέγει ὁ Βεάσας.

4. Ἡ γῆ πρότερον προσανεκλαύσατο διὰ τὸ βάρος τῶν τυράννων· ὁ δὲ Βραχμᾶς ὑπέσχετο αὐτῇ ἄνεσιν.

33. « Τοῦτο οὖν τὸ μυστικὸν μαθὼν, μὴ λυποῦ, ἀλλ' ἔχε » καρτερίαν, ὦ εἰδημονέστατε τῶν τοῦ νόμου· καὶ ὁ Ἰου- » διστίρας γὰρ ἐκ τῆς σῆς λύπης οὐ ζήσεται, πολὺ σέβας » ἔχων πρὸς σέ.

34. « Ἔχε οὖν ὑπομονὴν, ὦ γνῶστα τῶν τῆς ἀρετῆς, καὶ » φροντίδα τῆς σεαυτοῦ ζωῆς, πειθόμενος τοῖς ἐμοῖς λό- » γοις, καὶ ἐννοῶν, ὡς ἐκ τῆς φορᾶς τῆς τύχης ταῦτα » ἐγένετο· ὁ γὰρ Ἰουδιστίρας ἔλεος ἕξει πρὸς σὲ, νομίζων » σε πατέρα· φρόντισον οὖν σήμερον ἐκείνου. »

35. Ἀναχωρήσαντος δὲ τοῦ Βεάσα, ὁ βασιλεὺς Δρυταράστρας, πεισθεὶς τῷ λόγῳ ἐκείνου, ἥψατο εὐθέως τῆς εἰς Κου- ρουξέτραν ὁδοῦ, θρηνήσων τοὺς ἀποιχομένους οἰκείους.

36. Ὁ δὲ φρόνιμος Ἰουδιστίρας τοιαῦτα διελογίζετο· « Οἱ » κατάσκοποι εἶπόν μοι, ὡς οἱ μὲν περὶ τὸν Ἀσβατά- » μαν, διαχωρισθέντες, ἀπῆλθον τῇ δε κἀκεῖσε· ὁ δὲ » Δρυταράστρας ἐξῆλθε τῆς Χαστιναπούρας.

37. « Πρὶν οὖν ἔλθῃ εἰς τὴν Κουρουξέτραν, δεῖ μοι πορευθῆ- » ναι πρὸς αὐτὸν, ἵνα μὴ καταράσηταί μου, ὀργιζόμενος » ἐπὶ τῷ θανάτῳ τῶν υἱῶν αὐτοῦ. »

38. Τοιαῦτα διαλογισάμενος ὁ Ἰουδιστίρας, συνὼν τῷ Κρι- » σνᾷ, καὶ τῷ Σατεκῇ, καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, προσελ- » θὼν τῷ Δρυταράστρᾳ, προσεκύνησεν, εἰπών· « Ὦ πάτερ, « ὁ ἐχθρὸς τῶν υἱῶν σου προσκυνεῖ. »

39. Ἐξεφώνησε δὲ καὶ τὰ ὀνόματα τοῦ Κρισνᾶ καὶ τοῦ Σα- τεκῆ, καὶ τῶν ἀδελφῶν, προσκυνούντων· ἡ δὲ φωνὴ αὐ- τοῦ ἦν βραγχώδης ἐκ τῆς ἀκροάσεως τῶν θρήνων τῶν γυναικῶν τῶν Καουραβῶν.

40. Περιπτυξάμενος δ' ὁ τυφλὸς Δρυταράστρας τὸν Ἰουδι- στίραν, ἐκάλεσε καὶ τὸν Βήμαν, τὸν ἀναιρέτην τῶν υἱῶν αὐτοῦ εἰς περίπτυξιν, βουλόμενος αὐτὸν ἀνελεῖν, κατα- θλίψας ἐν τῇ περιπτύξει.

41. Ὑπὸ δὲ τοῦ Κρισνᾶ, εἰδότος τὴν γνώμην τοῦ Δρυταράστρα, ἀνδριὰς πρότερον σιδηροῦς κατεσκευάσθη, ὃς καθλιβεὶς ἐν τῇ περιπτύξει ὑπὸ τοῦ Δρυταράστρα, νομίσαντος ὡς ὁ Βήμας ἐστὶ, κατεθλάσθη [1].

42. Ἀτονήσας δ' ὁ Δρυταράστρας ἐκ τῆς σφοδρᾶς θλίψεως, ἐμῶν αἷμα ἐκ στόματος, ἔπεσε κατὰ γῆς, λειποθυμήσας· ἀναληφθεὶς δ' εὐθέως ὑπὸ τοῦ ἡνιόχου, ἀνέπνευσεν.

43. Ἀφεὶς δὲ τὴν μῆνιν ἐκ τοῦ καταπιεσθέντος σιδηροῦ ἀνδριάντος, ὃς ἐνομίζετο αὐτὸς ὁ Βήμας, καὶ κρίνας, ὅτι κακῶς ἔπραξεν, ἔκλαιε, λέγων, « Οἴμοι! διὰ τί οὗτος ὁ » Βήμας ἀνῃρέθη ὑπ' ἐμοῦ [2]; »

44. Προσκυνήσας δ' ὁ Κρισνᾶς, ἔφη· « Μὴ ἄχθου· οὐκ ἀνῃ- » ρέθη ὁ Βήμας· σὺ δὲ, ὃς ἔχεις δύναμιν δεκακισχιλίων » ἐλεφάντων, ἠπατήθης ὑπ' ἐμοῦ, θέντος ὑποβολιμαῖον » σιδηροῦν ἀνδριάντα. »

45. Ἀκούσας ὁ Δρυταράστρας, ἐχάρη, καὶ ἀπέσμηξε τὰ δάκρυα. Πρὸς ὃν ἔφη πάλιν ὁ Κρισνᾶς· « Σὺ αὐτὸς ἀπώ- » λεσας τοὺς σεαυτοῦ υἱοὺς, μὴ ἀκούσας συμβουλευτικῶν » λόγων· τί οὖν ὀργίζῃ κατὰ τοῦ Βήμα;

46. « Γίνωσκε, ὦ βασιλεῦ, ὡς οἱ υἱοί σου ἀνῃρέθησαν ἐκ τῶν » ἰδίων ἁμπλακημάτων· ἔχε δὲ καὶ διὰ μνήμης ἀεὶ κατὰ » πάντα τρόπον, ὡς εὐγνώμων, ὡς ἔγωγε ἔργον δυσκα- » τόρθωτον κατώρθωσα [3]. »

47. Τοιαῦτα φαμένου τοῦ Κρισνᾶ, ὁ Δρυταράστρας, θαυμάσας κατὰ τὴν καρδίαν, ἔφη· « Ὀρθῶς ἔγω γε ἀνωρθώθην ὑπὸ

---

1. Δυνατὸς ἦν λίαν τὸ σῶμα ὁ Δρυταράστρας.

2. Ἐνόμισεν, ὡς ἀνεῖλε τὸν Βήμαν, καὶ διὰ τοῦτο μετενόησε.

3. Δηλ. ἐθέμην σιδηροῦν ἀνδριάντα ἀντὶ τοῦ Βήμα, καὶ οὐκ ἐγένου φονεύς.

» σοῦ, πίπτων ἐκ τοῦ νόμου, ἕνεκα τοῦ μεγάλου ἄχθους » τοῦ θανάτου τῶν ἐμῶν υἱῶν. »

48. Οὕτως εἰπὼν ὁ λίαν φιλόστοργος, ἀγκαλισάμενος πάντας, καὶ ἀφεὶς τὴν μνησικακίαν, ἔλεξε λόγον εὐκτικόν· « Νικᾶτε, μηδαμῶς νικώμενοι ὑπ' ἐχθρῶν! »

49. Παραυτίκα δὲ οἱ περὶ τὸν Ἰουδιστίραν, τῇ γνώμῃ τοῦ Δρυταράστρα, ἐπορεύοντο προσκυνήσοντες τὴν θυγατέρα τοῦ Σουβάλα Γανδαρὴν, ἣ ἠβούλετο καταράσασθαι τοῦ Ἰουδιστίρα, καιομένη τῇ ἐκ τῶν υἱῶν λύπῃ.

50. Γνοὺς δὲ τοῦτο ὁ Βεάσας, καθαρθεὶς ἐν τῷ Γάγγῃ, ἐπιστὰς ἐξαίφνης, ἔφη τῇ θυγατρὶ τοῦ Σουβάλα· « Μὴ λέ- » γε λόγον, ὦ ἀγαθὴ, εἰς ἀρὰν τοῦ βασιλέως Ἰουδι- » στίρα.

51. « Σὺ, παρακληθεῖσα ὑπὸ τοῦ Δουριοδάνα εἰς εὐχὴν νίκης, » ἔφης· « Ὅπου νόμος καὶ δικαιοσύνη, ἐκεῖ ἔστω καὶ νί- « κη. » Νῦν δὲ, τοῦ διαστρόφου υἱοῦ σου ἀναιρεθέντος, « διὰ τί θέλεις καταράσασθαι τοῦ Ἰουδιστίρα; »

52. Ἡ δ' ἀπεκρίνατο· « Οἱ ἐμοὶ υἱοὶ, ἄδικοι ὄντες, ἀνῃρέθη- » σαν· ὁ Βήμας ὅμως κακὸν θάνατον ἐποίησε τῷ Δουριο- » δάνᾳ καὶ Δουσσασάνᾳ. »

53. Πρὸς ἣν ἔφη ὁ Βήμας· « Σύγγνωθί μοι, μῆτερ, τούτου » τοῦ πταίσματος. Μῶν ἡ μήτηρ ἀνελεῖν ἐφίεται τοὺς » υἱοὺς, καὶ πταίσαντας;

54. « Ἐπειδὴ γνώμην ἐποίησα ἐπὶ συνόδου, ὁ μὲν μητρὸς τοῦ » Δουριοδάνα κατεάγη ὑπ' ἐμοῦ· διὰ δὲ τοῦ χεομένου αἵ- » ματος τοῦ Δουσσασάνα, οὐδὲ τὸ χεῖλός μου ἐβράχη [1].

55. Ἔφη δ' ἔπειτα ἡ Γανδαρὴ θυμῷ· « Ποῦ ὁ υἱὸς τοῦ Δάρμα » Ἰουδιστίρας, ὁ ἔχων ἀπέραντον φθόνον; καὶ γὰρ ἐξ αἰ-

---

1. Οὐκ ἔπιον δηλ. τοῦ αἵματος αὐτοῦ, καί τοι ὑπεσχόμην.

» τίας αὐτοῦ οὐδέ γε εἷς τῶν υἱῶν μου ἐλείφθη ζῶν, εἰς » ζώπυρον τοῦ γένους. »

56. Παραστὰς δ' ὁ Ἰουδιστίρας, ἠνωμένας ἔχων τὰς παλάμας, καὶ τρέμων, ἔφη· « Ἰδοὺ ἐγώ· Δός, μῆτερ, ἀρὰν » ἐμοὶ τῷ ἀνηρηκότι τοὺς υἱούς σου, καὶ λίαν πεπλημ- » μεληκότι.

57. « Ἡ γὰρ ἀρά σου, ἡ οὖσα, ὡς ὕδωρ καθαρτικὸν τῆς Γαγ- » γᾶς τῷ λουομένῳ [1], ἀγαπᾶται ἐκ ψυχῆς ὑπ' ἐμοῦ, τοῦ » ἀποκτείναντος πολλοὺς συγγενεῖς, καὶ μεμολυσμένου » πλημμελήμασι. »

58. Τοιαῦτα εἰρηκότος τοῦ Ἰουδιστίρα, ἡ Γανδαρὴ οὐδὲν ἀπεκρίνατο, στεναγμοὺς ἐκπέμπουσα ἐκ στόματος· ὁ δὲ, προσκυνῶν, ὡράθη ὑπ' αὐτῆς, ἔντοσθεν τοῦ ἐπὶ τῶν ὀφθαλμῶν ὀθονίου [2], καὶ ἔσχεν αἰθαλώδεις [3] τοὺς ὄνυχας.

59. Τοῦτο ἰδὼν ὁ Ἀρζούνας, ἐκρύβη ὄπισθεν τοῦ Κρισνᾶ· οἱ δὲ λοιποὶ ἔφευγον ἐκ φόβου. Μέγαν δὲ φόβον ἔχοντες, ἱλαροὶ ἐγένοντο ὑπὸ τῆς Γανδαρῆς, ἔλεος σχούσης.

60. Προσκυνήσαντες δ' ἔπειτα αὐτὴν, καὶ λαβόντες ἄδειαν, ἦλθον πρὸς τὴν Πριτὰν, καὶ προσεκύνησαν αὐτὴν, ἡ τὰ ἐκ τῆς φθορᾶς τοῦ γένους δάκρυα λύπης μετέστρεψεν εἰς δάκρυα χαρᾶς.

---

1. Καθὼς τὸ ὕδωρ τῆς Γαγγᾶς καθαίρει τὰ κεχραμμένα, οὕτω καὶ ἡ ἀφή σου καθαρὸν ποιήσει ἐμὲ τὸν πλημμελήσαντα.

2. Ἐπειδὴ ὁ ἀνὴρ αὐτῆς, ὁ Δρυταράστρας, ἦν τυφλὸς, διὰ τοῦτο καὶ αὐτὴ ἔθετο ἐπὶ τῶν ὀφθαλμῶν ἓν ὀθόνιον, ἵνα μὴ βλέπῃ, κατὰ μίμησιν τοῦ ἀνδρὸς, ὡς φίλανδρος καὶ σώφρων· ἡ δὲ σωφροσύνη αὐτῆς ἦν, ὡς πῦρ, καθ' ὧν ὠργίζετο· εἰ δ' εἶχεν ἀνοικτοὺς τοὺς ὀφθαλμοὺς, ἐκαίετο ὅλον τὸ σῶμα ὁ Ἰουδιστίρας.

3. Κατακεκαυμένους, μέλανας, (πρώτη γραφή). (Σημ. τ. ἐκδ.)

61. Λαβοῦσα δ' ἐν ἀγκάλαις, καὶ παρηγορήσασα τὴν Δραουπαδὴν, λυπουμένην ἐπὶ τοῖς υἱοῖς, ἦλθε μετ' αὐτῆς καὶ μετὰ τῶν υἱῶν, καὶ προσεκύνησε τὴν Γανδαρήν,

62. Ἡ καὶ ἔφη τῇ Δραουπαδῇ· « Διὰ τί, τέκνον, θρηνεῖς » τοσοῦτον; ἰδὲ ἐμέ· τοῦτο ἐγένετο ἐκ τῆς τύχης » ἀμφοτέραις ἡμῖν, αἳ ἀπωλέσαμεν καὶ οἰκείους, καὶ » υἱούς.

63. « Ὁ θάνατος ἄφευκτος ἔρχεται πρὸς τοὺς ἀνθρώπους ἐκ » τῆς ἀνάγκης τῆς εἱμαρμένης· οἱ ἄνθρωποι ὅμως οὐ λυ- » ποῦνται ἐπὶ θανάτῳ, συμβάντι ἐν τῇ Γαγγᾷ [1], ἢ ἐν » τῷ πολέμῳ. »

64. Ἡ μὲν οὖν Γανδαρὴ, ἡ ἔχουσα γνῶσιν καὶ φρόνησιν, λαβοῦσα παρὰ τοῦ Βεάσα ὄμμα θεῖον [2], εἶδεν, ἐλθοῦσα, τὸ στάδιον τοῦ πολέμου, ἐν ᾧ ἔκειντο σώματα Ξατρῶν (πολεμικῶν), ἃ ἦσαν ἀλύμαντα, καὶ ὡσπερεὶ πρόσφατα.

65. Ἦλθον δὲ τῷ λόγῳ τοῦ Βεάσα καὶ οἱ περὶ τὸν Δρυταράστραν καὶ Ἰουδιστίραν εἰς τὴν γῆν τοῦ πολέμου, ἔνθα ἦν κλαυθμὸς καὶ ὀδυρμὸς θλιβομένων γυναικῶν τῶν πεπτωκότων ἡρώων.

66. Ἰδοῦσα δ' ἡ Γανδαρὴ τὸ στάδιον τοῦ πολέμου, ἔνθα ἦσαν γυναῖκες θρηνοῦσαι, ζῶα σαρκοβόρα, καὶ σώματα κείμενα, ὧν τὰ μέλη διεκρίνοντο, ἄσηπτα ὄντα, ἔφη τῷ Κρισνᾷ·

67. « Θεώρησον, ὦ Κρισνᾶ· αὕτη ἡ γῆ τοῦ πολέμου, ἔνθα » κεῖνται ἥρωες λαμπροὶ ἐκ χρυσῶν κοσμημάτων καὶ ἐλέ-

---

1. Ἡ Γαγγὰ ἱερὰ καὶ καθαρτικὴ κρίνεται.

2. Ἐπειδὴ οὐκ ἔβλεπε τοῖς τοῦ σώματος ὀφθαλμοῖς, οἳ ἦσαν κεκλεισμένοι, ἔβλεπε τῷ τοῦ νοὸς ὄμματι, ὃ ἔδωκεν αὐτῇ ὁ Βεάσας.

» φαντες μέλανες, φαίνεται ὡς γῆ πολέμου τοῦ σκό-
» τους καὶ τοῦ φωτὸς τοῦ Ἡλίου [1].

68. « Ἡ κοίλη γῆ, πλήρης οὖσα αἵματος, καὶ ἔχουσα κεφα-
» λὰς, καὶ χεῖρας, καὶ πόδας ἐπιπολάζοντας, φαίνεται
» ὡς βαθεῖα φιάλη, ἔχουσα οἶνον ἐρυθρὸν, καὶ ἐπιπολάζον-
» τας λωτοὺς εἰς πόσιν τοῦ Ἰάμα [2].

69. « Ἐν ταύτῃ τῇ γῇ τὰ πεπτωκότα λευκὰ σκιάδια φαίνε-
» ται, ὡς πολλαὶ παμφαεῖς Σελῆναι [3], αἳ ἐλειποθύμη-
» σαν, λυπηθεῖσαι ἐπὶ τῇ πτώσει προσώπων βασιλέων,
ὡς φίλων [4].

70. « Ἐνταῦθα οἱ πεσόντες ὀδόντες τῶν ἐλεφάντων, καὶ μαρ-
» γαρίται, καὶ αἱ σημαῖαι φαίνονται, ὡς κλάδοι, καὶ ἄνθη,
» καὶ φύλλα τοῦ δένδρου τοῦ κλέους τῶν ἐχθρῶν, τῶν
» ἀναιρεθέντων ὑπὸ τῶν ἡρώων [5].

71. « Ἐν τούτῳ τῷ ἐξ αἱμάτων πελάγει, τὰ ἐπιπολάζοντα
» σκιάδια, συμπλεχθέντα ἐκ τῶν πτερῶν τοῦ ταὼ, φαί-
» νονται ὡς νέφη [6], ἐλθόντα εἰς τὸ πιεῖν, ὥστε βρέξαι
» αἷμα εἴς τινα χώραν, ὡς ἀπαίσιόν τι σημεῖον [7].

72. « Αἱ ἐν πολλοῖς τόποις νίκαι [8] πολλῶν βασιλέων, ἐνταῦθα

---

1. Τὸ μέλαν τοῦ ἐλέφαντος ἀναφέρεται εἰς τὸ σκότος, τὸ δὲ λαμπρὸν τοῦ ἡρωϊκοῦ σώματος εἰς τὴν λάμψιν τοῦ Ἡλίου.

2. Τὸ καλὸν πρόσωπον, ἡ καλὴ χεὶρ καὶ ὁ καλὸς ποῦς εἰκάζεται τῷ λωτῷ· ἐν δὲ τῷ οἴνῳ λωτοὶ τίθενται εἰς εὐωδίαν.

3. Λευκὸν τὸ σκιάδιον καὶ στρογγύλη ἡ Σελήνη.

4. Τὸ καλὸν πρόσσωπον εἰκάζεται τῇ Σελήνῃ, καὶ διὰ τοῦτο φιλίαν ἔχουσι πρὸς ἄλληλα.

5. Οἱ ὀδόντες ὡς κλάδοι, οἱ μαργαρίται ὡς ἄνθη, αἱ σημαῖαι ὡς φύλλα, τὸ κλέος ὡς δένδρον.

6. Κυάνεά εἰσι τὰ πτερὰ τοῦ ταὼ, ὡς καὶ τὰ ὑδροφόρα νέφη.

7, Βροχὴ αἵματος ἐστινότε γίνεται· τοῦτο δὲ τέρας ἐστὶ καὶ κακὸν σημεῖον.

8. Αἱ Νίκαι, ὡς γυναῖκες· αἱ δὲ γυναῖκες τῆς Ἰνδίας χῆραι γενόμε-

ἀναιρεθέντων, χῆραι γεγενημέναι, ἔῤῥιψαν, διατεμοῦσαι,
» τοὺς πλοκάμους, καὶ τὰ ψέλλια, καὶ τὰ ἐνώτια, ἅπερ
» ἐστὶ τὰ παρεῤῥιμένα ξίφη [1], οἱ ἀκινάκαι καὶ οἱ πολεμι-
» κοὶ δίσκοι.

73. « Οἱ ἥρωες, οἱ κατατετμημένοι τὸ σῶμα, κείμενοι ἐπὶ
» θωράκων διεῤῥηγμένων, φαίνονται, ὥσπερ εἰ ἐτέθησαν
» ὑπὸ τοῦ Ἰάμα εἰς βρῶσιν ἐπὶ φλοιῶν δένδρου Κρα-
» μούκα [2].

74. « Χαρὰ γίνεται τοῖς περὶ τὸν Ἰάμαν ἐκ τῶν πεπτωκυίων
» ξιφηφόρων χειρῶν [3] τῶν ἡρώων, ὥςπερ τοῖς ἐν τῷ οἴ-
» κῳ ἐκ μυγαλῶν ὀφιοφόρων.

75. « Ἐν τούτῳ τῷ ἐξ αἱμάτων πελάγει κεφαλαὶ τῶν ἡρώων
» φαίνονται, ὡς πολλαὶ κολοκύνθαι, παρεσκευασμέναι ὑπὸ
» τῶν παίδων, τῶν διακόνων τοῦ Ἰάμα, εἰς γύμνασιν
» κολυμβήματος τῶν πρωτοπείρων καὶ νεοδιδάκτων παι-
» δίων [4].

76. » Ταῦτα, ἅρματα τὰ ὀκλάζοντα εἰς τοὐπίσω, καὶ τὸν
» ῥυμὸν ἔχοντα εἰς τὰ ἄνω, φαίνονται, ὥςπερ εἰ βούλονται

ναι ἀποβάλλουσι τὰ ἐνώτια, διατέμνουσι τοὺς πλοκάμους καὶ διαῤῥη-
γνύουσι τὰ ψέλλια, ἅπερ εἰσὶ πεποιημένα ἐκ λακκίου, ἰνδικοῦ κηροῦ.

1. Τὰ ξίφη εἰσὶν, ὡς πλόκαμοι· οἱ ἀκινάκαι, μαχαιρίδια στρεβλὰ,
ὡς τὰ ἡμίτομα ψέλλια· οἱ δὲ δίσκοι, ὡς ἐνώτια· στρογγύλα γάρ εἰσι
καὶ ταῦτα.

2. Κραμούκα, κοινῶς Σουπαρὴ, ἧς ὁ καρπὸς, ὡς βάλανος.

3. Τὸ μὲν ξίφος, ὡς ὄφις, ἡ δὲ χεὶρ ὡς μυγαλῆ, ἡ ἐρυθρά ἐστι κατὰ
τὸ στόμα, ὡς καὶ ἡ χεὶρ κατὰ τὴν παλάμην. Ἡ μυγαλῆ μυοκτόνος
ἐστὶ, καὶ ὀφιοκτόνος· καὶ ὅτε κρατεῖ τὸν ὄφιν ἐν τῷ στόματι, χαίρουσιν
οἱ ἐν τῷ οἴκῳ, βλέποντες ὅτι ἐχθρὸν ἀνεῖλε.

4. Ἐν Ἰνδίᾳ οἱ πρωτόπειροι κολοκύνθας δέουσι περὶ τὴν ὀσφὺν, εἰς
γύμνασιν τοῦ κολυμβᾶν

» ἀκολουθῆσαι καὶ αὐτὰ τοῖς ἑαυτῶν ἀναβάταις, τοῖς » ἀναβάσιν εἰς τὸν οὐρανόν.

77. « Τὰ τύμπανα, ἄνω ἔχοντα τὸ στόμα καὶ διερρηγμένον « τὸ δέρμα, φαίνονται ὡς πολλὰ τρυβλία, πεποιημένα » ὑπὸ τῶν δαιμόνων, εἰς θέσιν κρεάτων.

78. « Θεώρησον, ὦ Κρισνᾶ, οἵτινες τροπαιοῦχοι καὶ σκηπτοῦ- » χοι ἦσαν ἐπὶ γῆς, οὗτοι κατὰ γῆς πεπτωκότες ἐκ τῆς » ἀνάγκης τῆς εἱμαρμένης, γίνονται βρῶμα τῶν σαρκο- » βόρων ζώων, φεῦ ! ἰού !

79. « Οὗτος ὁ νεκρὸς, πεπαρμένος πάντα πόρον τοῦ σώματος » βέλεσιν, ἀφίεται πολλάκις ὑπὸ τῶν κυνολύκων ἀπο- » στρεφόντων τὸ πρόσωπον, ἐπειδὴ νύττονται τὸ ῥύγχος » ἐν τῷ ὀσφραίνεσθαι [1].

80. « Ὁ κύων οὗτος, θεὶς ἐν τῷ ἑαυτοῦ στόματι τὴν ἀκίδα » τοῦ ἐν τῷ σώματι τούτου τοῦ νεκροῦ βέλους, ἐρυθρὰν » οὖσαν ἐξ αἵματος, νομίσας, ὅτι κρέας ἐστὶ, νυγεὶς τὸ » στόμα, τέρπεται ἐκ τοῦ ἰδίου αἵματος [2].

81. « Οὗτοι οἱ κυνόλυκοι, οἱ γῦπες, καὶ οἱ κόρακες, φοβούμε- » νοι, φεύγουσι ταχέως μακρὰν τούτου τοῦ πεσόντος, » ὃς κρατεῖ, τῇ μὲν βέλος, τῇ δὲ τόξον.

82. « Ἐκεῖνος ὁ νεκρὸς, οὗ τὸ σῶμα ἐγένετο εἰς λεπτὰ ὑπὸ » τῶν τοῦ ἐχθροῦ βελῶν, καταβιβρώσκεται ὑπὸ κυνολύ- » κου, ὃς ἦλθεν ἅσμενος μετὰ τῶν ἑαυτοῦ σκυλάκων, καὶ » διεμερίσατο αὐτὸν ἑαυτῷ, καὶ αὐτοῖς.

83. « Οὗτος ὁ κόραξ, ἐξορύσσων τὸν ὀφθαλμὸν τούτου τοῦ

---

1. Ἴδιον τῶν σαρκοβόρων τὸ ὀσφραίνεσθαι πρῶτον τοῦ πτώματος, καὶ ἔπειτα βιβρώσκειν· ὀσφραινόμενοι οὖν, ἐνύττοντο ὑπὸ τῶν ἐμπεπηγμένων βελῶν τῷ σώματι, καὶ διὰ τοῦτο ἀπέστρεφον τὸ πρόσωπον.

2. Θέλων φαγεῖν τὴν καθημαγμένην ἀκίδα τοῦ βέλους, νομίσας κρέας, ἐνύγη τὸ στόμα, καὶ γευόμενος τοῦ ἰδίου αἵματος ἡδύνετο.

» νεκροῦ, ἐμπαγεὶς τὸν ἕτερον πόδα ἐν τῷ ὠτὶ αὐτοῦ, » κράζων καὶ ἀνατινάσσων τὰ πτερὰ, ὑπὸ τίνων ἄλλων » κοράκων κραζόντων οὐ βλέπεται [1] ;

84. « Ἐκεῖνοι οἱ σαρκοβόροι δαίμονες, κορεσθέντες ἐκ τῆς » σαρκοβορίας, πίνουσι τὸ ὑγρὸν τῶν γαστέρων τῶν ἐλε- » φάντων [2], αἳ διετμήθησαν εἰς δύω ὀξεῖα ῥομφαίᾳ τῶν » πολεμικῶν.

85. « Οὗτοι οἱ νυκτερινοὶ κύνες, καὶ ἄλλοι σαρκοφάγοι θῆ- » ρες, ἀποδιωχθέντες ἀπὸ τῶν νεκρῶν ἀνθρώπων, ὑπὸ » τῶν Δαιμόνων, ἐλθόντων εἰς σαρκοφαγίαν, θυμωθέντες, » ἔρχονται πρὸς τοὺς νεκροὺς δαίμονας [3].

86. « Οἱ ἄῤῥενες καὶ θήλυες δαίμονες, ἐσθίοντες ὄρχεις τῶν » νεκρῶν, πίνουσιν ἡδέως κρανίοις, ὡς ποτηρίοις, αἷμα » ὡς οἶνον νέον, ἐρωτομανεῖς γενόμενοι.

87. « Αὕτη ἡ θήλεια δαίμων, τρώγουσα αὐτὴ τὸ κρέας τῶν » νεκρῶν, δίδωσιν ἀσμένη τῷ ἑαυτῆς ἀνδρὶ καὶ τοῖς τέ- » κνοις φαγεῖν τὸν ἐν τοῖς ὀστέοις μυελὸν καὶ τὸν ἐγκέ- » φαλον.

88. « Βαβαί ! τὰ ὀξέα ὅπλα τῶν πεπτωκότων, δηλονότι τὰ » ξίφη καὶ τὰ ἐγχειρίδια, συνεργὰ ἐγένοντο τοῖς σαρκο- » φάγοις δαίμοσιν, εἰς τὸ κατακόπτειν τὰς σάρκας κα, » καταβιβρώσκειν.

89. « Οὗτοι οἱ Δαίμονες, δίψῃ κατεχόμενοι ἐκ τῶν βεβρω- » μένων σαρκῶν, πίνουσιν ὕδωρ, ἐκ τῶν ὀμμάτων τῶν » νεκρῶν, ἃ ἐξορύττουσι τοῖς ἑαυτῶν ὄνυξιν.

90. « Αἱ γυναῖκες τῶν δαιμόνων, κεχρισμένον ἔχουσαι τὸ

---

1. Ὁ ὄνυξ τοῦ ποδὸς ἐνεπάγη τῷ ὠτὶ τοῦ νεκροῦ σώματος, καὶ μὴ δυνάμενος ἐξελεῖν τοὺς ὄνυχας, ἔκραζε καὶ ἀνετίνασσε τὰ πτερά.

2. Μετὰ τὴν βρῶσιν δεῖ καὶ πόσεως.

3. Δαίμων ἦν ὁ ἀναιρεθεὶς Γατοτκάσας καὶ ἄλλοι.

» σῶμα αἵματι, καὶ φέρουσαι ἕντερα τῶν νεκρῶν, ὡς » ὅρμους, ἄδουσιν ἐν χοροῖς τὴν ἀνδρείαν τοῦ Ἀρ- » ζούνα.

91. « Εἰσὶ δέ τινες, οἳ, καί περ νεκροὶ ὄντες, φαίνονται ὡς » ἡδέως ὑπνοῦσι· λαμπρότατοι δ' ὄντες ἐξ ὧν ἔπραξαν » ἀγαθῶν ἔργων ὅτε ἔζων, δυσαντίβλεπτοί εἰσι καὶ αὐ- » τοῖς τοῖς δαίμοσι [1].

92. « Πάντως γε θεά τις, ἀγκαλισαμένη ἐν αἰθέρι τὸ θεῖον » σῶμα τούτου, ἔτεινεν ἐπὶ λαμπρότατον νεκρὸν σῶμα [2] » τὸν ὀξὺν αὐτῆς ὀφθαλμὸν, ὅς ἐστιν ὁ ἐπιφοιτῶν βομβύ- » λιος εἰς τὸ εὔοσμον χρίσμα [3].

93. « Τὰ σμήνη (στίφη) τῶν βομβυλίων, ἐπιφοιτῶντα ἑκατέ- » ρωθεν εἰς τὸ πρόσωπον τοῦ βασιλέως τούτου, καί περ » νεκροῦ ὄντος, νομίζοντα αὐτὸ, ὡς λωτὸν, λευκανθέντα » τῇ μαρμαρυγῇ τῶν ἐκ μαργάρων καὶ ἀδαμάντων ἐνω- » τίων, φαίνονται ὡς κινούμενα λευκὰ ῥιπίδια [4].

94. « Οὗτος πεσὼν ἐν μέσῳ λευκοῦ σκιαδίου, λάμπων λαμ- » προῖς κοσμήμασιν ἐκ μαργάρων, φαίνεται, ὡς ὁ Βισ- » νοῦς, ὁ ἀναπαυόμενος ἐπὶ κυκλοτεροῦς ὄφεως [5] ἐν τῇ » γαλακτικῇ θαλάσσῃ.

95. « Ἐκεῖνοι οἱ πεσόντες ἥρωες, ἀφίενται ταχέως ὑπὸ τῶν

---

1. Δηλ. ἐκ τῆς λαμπρᾶς αὐτῶν ἀρετῆς καὶ οἱ σαρκοφάγοι δαίμονες οὐ δύνανται προσεγγίσαι.

2. Δηλονότι τὸ νεκρὸν σῶμα τοῦτο λαμπρότερον ἦν τοῦ θείου σώματος, ὃ ἔλαβε μετὰ θάνατον· μέλας δὲ ὁ ὀφθαλμὸς, μέλας καὶ ὁ βομβύλιος.

3. Τὸ εὔοσμον χρίσμα, ὃ εἶχεν ὁ νεκρὸς ὅτε ἔζη.

4. Κινοῦνται τὰ ῥιπίδια σαλευόμενα· κινοῦνται καὶ οἱ βομβύλιοι πετόμενοι.

5. Κυκλοειδές ἐστι καὶ τὸ σκιάδιον.

» σαρκοφάγων δαιμόνων, φοβουμένων τὴν λαμπρότητα » τῆς σωφροσύνης τῶν γυναικῶν αὐτῶν, αἳ ἦλθον πρὸς » αὐτούς.

96. « Σκέψαι, ὦ Κρισνᾶ, τί λέγουσι, καὶ τί πράττουσιν, ἐμ- » βυθιζόμεναι τῇ λύπῃ, ἑκάστη τῶν γυναικῶν, διακρίνα- » σαι εὐθέως τοὺς ἰδίους ἄνδρας τοῖς ἐν τοῖς σώμασιν » αὐτῶν διακριτικοῖς σημείοις.

97. « Διὰ τί [1], ὦ κύριε, ἀνέραστος εἶ ἐμοῦ, ὅτε, καὶ ἰδὼν » ἐμὲ, οὐχ ἕλκεις τὴν ἁπαλήν σου χεῖρα ἐκ τῆς κούμβας » τοῦ ἐλέφαντος, ὥσπερ ἐκ μαστοῦ τῆς μάχης [2];

98. « Διὰ τί [3], ὦ ὁμόψυχε ἄνερ, δεικνύεις ἐμοὶ ἐναντιότητα, « ὅτε καὶ νῦν οὐκ ἀφίης ἐκ τῆς χειρός σου τὴν μάχαιραν, « ὥσπερ πλεξίδα τῆς μάχης [4].

99. « Εἰ καὶ νενυγμένος εἶ βέλεσι τοῦ ἐχθροῦ, ὡς ὄνυξι τοῖς « ἀνδρείας [4], περίπτυξαι ἐμὲ, ὦ ἀγαπητὲ, ταχέως· ἐγὼ » γὰρ οὐκ εἰμὶ ἄτεγκτος πρὸς σέ.

100. « Εἰ ἀσκαρδαμύκτῳ ὄμματι [6] βλέπεις τὴν θεὰν ἐκ τοῦ « πρὸς αὐτὴν νέου φίλτρου, διὰ τί οὐ βλέπεις καὶ ἐμὲ « τὴν πρώτην γυναῖκα, ὡς προσήκει σπουδαίῳ καὶ εὐπρο- « σηγόρῳ ἀνδρί;

---

1. Ἄλλη μὲν λέγει τοῦτο.

2. Ἡ μάχη, ὡς γυνή· ὁ δὲ ἐραστὴς ἕλκει τὴν χεῖρα ἐκ τοῦ μαστοῦ ἑτέρας γυναικὸς, ὅτε βλέπει ἡ ἀντίζηλος.

3. Ἄλλη δὲ τοῦτο.

4. Ἡ μάχη, ὡς γυνή· ἡ δὲ πλεξὶς εἰκάζεται τῇ μαχαίρᾳ. Ὁ ἀνὴρ κρατῶν τὴν γυναῖκα ἐκ τῆς κόμης, καταβάλλει αὐτὴν εἰς συνουσίαν· ἀφίησι δὲ τὴν πλεξίδα ἑτέρας γυναικὸς, ὅτε βλέπει ἡ ἀντίζηλος,

5. Ἡ ἀνδρεία, ὡς γυνή· δηλ. εἰ ἐνύγης ὄνυξιν ἄλλης γυναικὸς, ἀλλ' ἐγὼ πάλιν ἐρῶ σοι.

6. Τοῦτο λέγει ἰδοῦσα τὸν ἑαυτῆς ἄνδρα, ἠνεῳγμένους ἔχοντα τοὺς ὀφθαλμοὺς, καί τι ἦν τεθνεὼς, ὡς ἀκολουθεῖ ἐνίοτε.

101. « Ὅ,τι χρεωστεῖς, νικηθεὶς ὑπ' ἐμοῦ ἐν παιδιᾷ κύβων,
« τοῦτο δός μοι εὐθέως σήμερον, ἀσπασμὸν καὶ φίλημα·
« διὰ τί ὑπνώττεις ἡδέως, ὥσπερ μὴ ὢν ὑπόχρεως ;

102. « Ὦ ἀγαπητέ, εἰ καὶ κεχρισμένος εἶ τὸ σῶμα αἵματι
« καὶ κόνει, διὰ τί οὐ ποιεῖς μοι σήμερον, ὡς καὶ πρότε-
« ρον, ἡδεῖαν περίπτυξιν, εἰς ἀναψυχὴν τοῦ ἐκ πολέμου
» καμάτου ;

103. « Σὺ ἄτεγκτος εἶ πρὸς ἐμέ, ἐπειδὴ κἀγὼ ἄτεγκτος ἦν
« πρὸς σὲ, πταίσαντα, καὶ συγγνώμην αἰτήσαντα· νῦν
» δ' ἐγὼ πίπτω πρὸ τῶν ποδῶν σου· ἀνάστα ταχέως·
» ποίησον ἔλεος, κύριε.

104. « Πρότερον μὲν ἔλεγες· « Ἐγὼ ἀφυπνώσω καὶ ἐν ὀλίγῳ
« κινήσει· » νῦν δ' ἐρυθροὺς ἔχων τοὺς ὀφθαλμοὺς [1], ὡς
« ὁ ἐξεγερθεὶς ἐξ ὕπνου, πῶς οὐ φιλεῖς ἐμὲ, κλαίουσαν,
« ἕλκων ἐκ τῆς κόμης ;

105. « Ἡ καλὴ χεὶρ σοῦ τοῦ ἀτέγκτου, ἦ, καί περ ἐνασχολου-
« μένη συνεχῶς τῇ ἐν ὅπλοις γυμνάσει, ἥπτετό μου πρό-
« τερον ἡδέως, πῶς νῦν ἀμελής ἐστι καὶ ἀνενέργητος,
« καί τοι βλέπεις με, πλησίον οὖσαν ;

106. « Ἡ χεὶρ σου, ἦ, πεπονηκυῖα ἐν ἡμέρᾳ ἐκ τοῦ πολλὰ
« δωρεῖσθαι, ἐν νυκτὶ τιθεμένη ἐπὶ τῶν μαστῶν μου
« ἀνεπαύετο, πῶς νῦν κεῖται κατὰ γῆς, πεπονηκυῖα τῷ
« πολέμῳ ;

107. « Τὸ ὄμμα σου, ὃ πρότερον ἔτεινες εἰς ἐμὲ συχνάκις, πα-
« ροῦσαν, καί τοι ὑπῆρχες ἐν ἀκροάσει λόγων [2] σοφῶν

---

1. Ἐρυθροὺς εἶχε τοὺς ὀφθαλμοὺς, ἢ ἐκ θυμοῦ, ὃν εἶχε περὶ τὴν μάχην, ἢ ἐξ αἵματος. Καὶ ὁ ἐξεγειρόμενος ἐξ ὕπνου ἐρυθροὺς ἔχει τοὺς ὀφθαλμούς.

2. Ὁ ἀκούων τοιούτων λόγων, οὐ τείνει τοὺς ὀφθαλμοὺς εἰς ἄλλο τι ὑποκείμενον.

« ἀνδρῶν, πῶς νῦν κεκλεισμένον ἐστὶν, ὦ κύριε, ἐν τῇ « ἐμῇ ἐλεύσει ;

108. « Ἐπειδὴ οὔτε ἡδέως λαλεῖς μοι, οὔτ' ἐξεγείρῃ ἐκ τοιού- « των καὶ τοσούτων φωνῶν, διὰ τοῦτο δοκεῖς μοι, ὅτι « πλαςῶς ὑπνώττεις εἰς ἀστειότητα· δός μοι ἀπόκρισιν. »

109. « Αὗται μὲν οὖν αἱ γυναῖκες, τοιαῦτα λέγουσι πρὸς τοὺς » ἑαυτῶν ἄπνοας ἄνδρας, βαρέως ἀχθόμεναι, θρηνοῦσαι, » καὶ καταβρέχουσαι τὰς παρειὰς δακρυῤῥοΐᾳ.

110. « Θεώρησον δὲ, ὦ Κρισνᾶ, καὶ τί ποιοῦσιν ἄλλαι· αὕτη » μὲν θρηνοῦσα καὶ λέγουσα, « Ἆρα οὐ διακρίνεις τούτους « τοὺς ἐμοὺς μαστοὺς ἀπὸ τῶν κουμβῶν τοῦ ἐλέφαν- « τος [1] ; » ἔθετο εὐθέως τὴν χεῖρα τοῦ ἀνδρὸς ἐπὶ τοῦ » στήθους αὐτῆς.

111. « Αὕτη δὲ, τοιαῦτα λέγουσα· « Μῶν μακρόθεν ἦλθες πρὸς « ἐμὲ, πρὸς περίπτυξιν; » ἔθετο ἐπὶ τοῦ στήθους αὐτῆς » τὴν ἀποκεκομμένην χεῖρα, καὶ πεπτωκυῖαν πέραν τοῦ » σώματος τοῦ ἀνδρός.

112. « Αὕτη δὲ ἡ ἄλλη, θεῖσα ἐπὶ τῆς ἑαυτῆς κορυφῆς τὴν ἀ- » ποκεκομμένην κεφαλὴν τοῦ ἀνδρὸς, ἣν αὐτὸς ἔδωκε τῷ » ἐχθρῷ, ἐφίλησεν αὐτὴν, φρίττουσα, καὶ ἐξέπνευσεν.

113. « Ἐκείνη δὲ, ἁρμόσασα τὰ ἀποκεκομμένα μέλη τοῦ ἀν- » δρὸς, ὡς εἶχεν ἁρμογῆς, καὶ ἀγκαλισαμένη αὐτὸν ἥδι- » στα, ἣν λειποθυμίαν ἔσχεν, αὕτη ἦν θάνατος [2]. »

114. Ἡ μὲν οὖν Γανδαρὴ, ἡ θεωροῦσα τὴν γῆν τοῦ πολέμου, ἰδοῦσα τὸν υἱὸν Δουριοδάναν, πεπτωκότα, ἐλειποθύμη- σεν· ἐλθοῦσα δ' εἰς ἑαυτὴν, ἔφη αὖ τῷ Κρισνᾷ·

115. « Ἐπειδὴ ἐγὼ ἐν τῇ παρασκευῇ τοῦ πολέμου οὐκ εἶπον, » εὐξαμένη, τῷ Δουριοδάνᾳ, « Ἔστω σοι νίκη, » διὰ τοῦτο

---

1. Τὴν χεῖρα αὐτοῦ εἶχεν ἐπὶ τῆς κούμβας τοῦ ἐλέφαντος.
2. Λειποθυμήσασα, ἐναπέψυξεν.

» οὗτος βεβαίως τοιαύτην στάσιν ἔλαβε μετὰ τῶν υἱῶν » καὶ ἀδελφῶν αὐτοῦ [1].

116. « Αὕτη ἡ Βανουματὴ [2], πολλοὺς θρήνους ποιοῦσα, καὶ » πολυειδῶς ἐλεεινολογοῦσα, λούει αὐτὴ μετὰ θάνατον τὸ » σῶμα τοῦ ἀνδρὸς αὐτῆς τοῖς ἐξ ὀφθαλμῶν ῥέουσιν » ὕδασιν.

117. « Αὗται αἱ νύμφαι μου ἀποκαθαίρουσι τοῖς ἄκροις τῶν πε- » ριβολαίων τὴν ἐν τοῖς σώμασι τῶν οἰκείων ἀνδρῶν κόνιν, » καὶ ἀφαιροῦσι τοῖς δακτύλοις ἐκ τῶν προσώπων τὰ ἐπι- » πεσόντα κάρφη, καὶ τοῖς δακρύοις ἐπιπλύνουσι τὸ αἷμα.

118. « Αὕτη ἡ νέα Οὐτταρὰ, ὦ Κρισνᾶ, θεῖσα ἐν ἀγκάλαις » τὴν κεφαλὴν τοῦ ἀνδρὸς αὐτῆς Ἀβημανιοῦ, καὶ τείνασα » τὰ ἐλεεινὰ ὄμματα πρὸς σὲ τὸν συγγενῆ, τάδε λέγει » θρηνοῦσα·

119. « Οὗτος ὁ υἱὸς τῆς ἀδελφῆς σου, ὁ ποθητός σοι, καὶ ὅ- « μοιός σοι κατὰ τὴν μορφὴν, κατὰ τὴν ἱλαρότητα, κα- « τὰ τὴν πολιτικὴν ἐπιστήμην, καὶ κατὰ τὴν ἀνδρείαν, « διὰ τί μόνος ἀνῃρέθη ὑπὸ πολλῶν δολίων, καὶ πονηρῶν, « σοῦ βλέποντος; σὺ γὰρ πανταχοῦ εἶ παρὼν, ὡς Θεός. »

120. « Φιλοῦσα δ' αὕτη, ὦ Κρισνᾶ, τὸ πρόσωπον τοῦ ἀνδρὸς » πολλάκις, ἰδοῦσα αὐτὸ κατάβροχον τοῖς δάκρυσιν, ἀνα- » μνησθεῖσα τοῦ ἐξ ἔρωτος γινομένου ἱδρῶτος, θρηνοῦσα, » λέγει, ἔξω οὖσα ἑαυτῆς· « Παῖζε φιλότητι σὺν ἐμοί.

121. « Ἐγὼ ἄχαρί τι ἔπραξα πρὸς σέ; ἢ σὺ πρὸς ἐμέ; σὺ « γὰρ ταχέως εἰς πόλεμον ἐλήλυθας, μὴ ἐρωτήσας με· « διὰ τί οὖν οὐ συλλαλεῖς ἐμοὶ, καί περ λαλούσῃ, νομί- « ζων, ὡς ἄχαρί τι ἔπραξα πρὸς σέ;

122. « Ὦ φίλτατε, εἰ καὶ ἔδωκας τὸ στῆθός σου τῇ θεᾷ, λέ-

---

1. Εἰ ἐγὼ ηὐχόμην αὐτῷ νίκην, οὐκ ἂν ἡττᾶτο, οὐδ' ἀπέθνησκε.
2. Γυνὴ ἦν τοῦ Δουριοδάνα ἡ Βανουματή.

« ξον λόγον, ἐρυθροὺς τρέψας τοὺς ὀφθαλμοὺς πρὸς ἐμὲ « θυμῷ· εἰ γὰρ καὶ πικρὰ εἴποις πρὸς ἐμὲ θυμῷ, καὶ τοῦ- « τό μοι χαρά ἐστιν.

123. « Τοιοῦτος σὺ ἀνδρεῖος ἐπεφύκεις, ὥστε καὶ εἷς ὢν, δει- « νότατος ἐτύγχανες ἐν πολέμῳ· εἰ γὰρ μὴ συνῆν σοι ἡ « ἐμὴ κακὴ τύχη, οὐκ ἂν ἀνῃρέθης οὐδ' ὑπὸ χιλίων ἐχθρῶν.

124. « Ἐγὼ νομίζω, ἀγαπητὲ, ὅτι ἐπελάθου ὅλως τοῦ θυμοῦ, « διότι ἀεὶ ἵλεως ἐτύγχανες πρὸς ἐμέ· πῶς γὰρ ἂν ἡδύ- « ναντο οἱ ἐχθροὶ στῆναι ἔμπροσθέν σου, εἰ καὶ ὀλίγον » θυμὸν εἶχες ;

125. « Ὦ χαρὰ τῶν ὀφθαλμῶν, πόσοι ἐχθροὶ, διὰ τὴν πρὸς σὲ « τὸν υἱὸν ἔχθραν, οὐκ ἀνῃρέθησαν ὑπὸ τοῦ σοῦ πατρός ; « ἀλλ' εἰ καὶ πολλοὶ ἀνῃρέθησαν ἐχθροὶ, σὺ ὅμως, ὦ ἐρά- « σμιε, οὐκ ἐστράφης [1] !

126. « Εἰ ἐγὼ ἐγίνωσκον ἐκείνας τὰς ἀρετὰς, δι' ὧν αἱ « θέαιναι ἐκτήσαντό σε, διπλασίονας ταύτας ἐκτελέσα- « σα, μετεκόμισά σε ἂν ἐξ ἐκείνων τῶν θεαινῶν πρὸς » ἐμαυτήν.

127. « Ἆρα, ἐπειδὴ ἀσκαρδαμυκτὶ ἔβλεπον ἐγὼ τὸ πρόσωπόν « σου, διὰ τοῦτο ἐπορεύθης εἰς τὰς θεὰς, τὰς ἐχούσας « ἀκοίμητον τὸν ὀφθαλμὸν, νομίζων αὐτὰς ἐμέ ; ἀπό- » βλεψον πρὸς ἐμέ [2].

128. « Οἱ σοφοὶ λέγουσιν, ὡς ἡ μετ' ἀγαθῶν ἀνδρῶν ὁμιλία, « καὶ ἐν ἑπτὰ ῥήμασι διαρκὴς ἐστιν [3]· ἐγὼ δὲ ἡ γυνή « σου, ἡ συνοῦσά σοι ἓξ μῆνας [4], διὰ τί ἐγκατελείφθην « εὐθέως ὑπὸ σοῦ ; »

---

1. Οὐκ ἐζωώθης δηλ.

2. Ἰδὲ δηλ., ὡς ἄλλη ἐγώ εἰμι, καὶ ἄλλαι ἐκεῖναι.

3. Ἡ καθ' ὁδὸν δηλ. συνέντευξις, καὶ δι' ὀλίγου χρόνου ἀρκεῖ εἰς διαρκῆ φιλίαν.

4. Ἓξ μῆνες διῆλθον ἀφ' οὗ ἐγήματο τὸν Ἀβημανιοῦν.

129. Ἀφελκύσασα δ' ἡ Γανδαρὴ ἐκείνην τὴν Οὐτταρὰν, οὕτω περιπαθῶς θρηνοῦσαν, ἀφίκετο ἔνθα ἔκειτο ὁ Βιράτας, καὶ ἔφη τῷ Κρισνᾷ· « Ἆρα ἡ Σουδεσνὰ [1] οὐ πληροῖ φω-« νῶν ἐλεεινῶν τὸν οὐρανὸν καὶ τὴν γῆν ;

130. « Αἱ μὲν θεῖαι νύμφαι ἐκεῖναι ἐν οὐρανῷ, αἱ δὲ γυναῖ-« κες αὗται ἐπὶ γῆς ἀγκαλίζονται τὸν Δρουπάδαν, κατε-» χόμεναι φρίκῃ, ἱδρῶτι, φωνῇ βρογχώδει, τρόμῳ, λει-» ποθυμίᾳ, ἀκινησίᾳ, καὶ ἀλλαγῇ χρώματος [2].

131. « Οἱ Βραχμᾶνες οὗτοι, ἀφελκύσαντες τὴν Κριπὴν, λειπο-» θυμήσασαν, καὶ παραδόντες τό σῶμα τοῦ Δρόνα τῷ » πυρὶ, οὗ ὁ φαινόμενος καπνὸς, ἡ δυσφημία ἐστι τοῦ » Ἰουδιστίρα, πορεύονται ἀπολουσάμενοι ἐν τῇ Γαγγᾷ.

132. « Ἡ γλῶσσα τούτου τοῦ βασιλέως τῆς Μάδρας Σαλέα » θύει ἑαυτὴν ἐν τῷ πυρὶ τῆς πείνης τῶν σαρκοφάγων ὀρ-» νέων, εἰς ἐξάλειψιν τοῦ ἀμπλακήματος, ὃ ἐποίησε, λα-» λοῦσα κατὰ τῆς ἀνδρείας τοῦ Καρνᾶ [3].

133. « Ἡ θυγάτηρ μου Δουσσαλὰ, κομίσασα πόῤῥωθεν τὴν κε-» φαλὴν τοῦ ἀνδρὸς Ζαϊατράτα, καὶ προσμίξασα αὐτὴν » τῷ σώματι, τά δε λέγει· « Αὕτη γῆ ἐστιν· ἐνταῦθα « καῦμά ἐστιν· ἐλθὲ οἴκαδε εἰς ἀνάπαυσιν. »

134. « Θεώρησον, ὦ Κρισνᾶ· αὗται αἱ πέντε γυναῖκες, ἀφεῖ-» σαι τὴν ζηλοτυπίαν, πάρεισιν ἀθρόαι τῷ Βουρησραβᾷ, » κειμένῳ κατὰ γῆς, καὶ τὸν ἔσχατον ὕπνον ὑπνοῦντι, » καὶ λέγουσι ταῦτα·

135. « Αὕτη ἡ προκειμένη χειρ, τοῦ ἀνδρὸς ἡμῶν ἐστιν, ἡ

---

1. Ἡ γυνὴ τοῦ βασιλέως Βιράτα.

2. Ἴδια τῆς χαρᾶς καὶ τῆς λύπης ταῦτα τὰ πάθη· αἱ μὲν θεαὶ εἶχον αὐτὰ ἐξ ἔρωτος καὶ χαρᾶς· αἱ δὲ γυναῖκες ἐκ πάθους καὶ λύπης.

3. Οἱ ὄρνεις ἔφαγον τὴν γλῶσσαν τοῦ Σαλέα, καταλαλοῦσαν τοῦ Καρνᾶ.

« πολλὰς θυσίας ποιοῦσα, ἡ ἕλκουσα εἰς ἀγκάλας τὰς « ὡραίας γυναῖκας, ἡ πολλὰς βοῦς διδοῦσα τοῖς Βραχ- « μᾶσι, καὶ ἀναιροῦσα τοὺς ἐχθρούς. »

136. « Αὕται, ἀναλαβοῦσαι ἐκ τῆς γῆς τὴν χεῖρα τοῦ ἀνδρὸς, » ἣν ἀπέκοψεν ὁ Ἀρζούνας, ὡς κλάδον τοῦ δένδρου, τοῦ » οἰκείου κλέους [1], καταφιλοῦσαι τοὺς δακτύλους, θρη- » νοῦσι λίαν.

137. « Αὕτη ἡ γεννήτρια τοῦ Βρισσασένα καὶ Σουσσένα θρηνεῖ » τοῦτον τὸν πεσόντα Καρνᾶν, τὸν ἑαυτῆς ἄνδρα, ὃς, ἀ- » νατινάσσων τοὺς βραχίονας αὐτοῦ, αἴτιος ἐγένετο τῷ » υἱῷ μου Δουριοδάνᾳ τοῦ ποιῆσαι τοσαύτας κακουρ- » γίας [2].

138. « Οὗτος ὁ πεπτωκός ἐστιν ὁ Σακουνῆς, οὗ τῇ συμβουλῇ » πεισθέντες οἱ ἐμοὶ ἑκατὸν υἱοὶ, θύματα ἐγένοντο ὑπὸ » τοῦ Ἰουδιστίρα ἐν τῷ φλογερῷ πυρὶ τοῦ θυμοῦ τοῦ Βή- » μα [3], ὥστε τυχεῖν βασιλείας. »

139. Λυποθυμήσασα δὲ πάλιν αὕτη ἡ Γανδαρὴ τῇ ἐκ τῶν υἱῶν λύπῃ, καὶ ἀναλαβοῦσα ἔφη τῷ Κρισνᾷ· « Διὰ τί οὖ- » τοι οἱ ἀπόγονοί μου οὐκ ἐφυλάχθησαν ὑπὸ σοῦ, ὃς ἱκα- » νὸς εἶ ζωῶσαι καὶ ἀπολέσαι ;

140. « Οὕτως οὖν παροραθεῖσα ὑπὸ σοῦ ἡ ἐμὴ γενεὰ, ἀπώλετο » ὅλη· ἀλλὰ καὶ ἡ σὴ γενεὰ ἀπολεσθήσεται μετὰ τριάκον- » τα καὶ ἓξ ἔτη [4]. »

141. Πρὸς ἣν ἀπεκρίνατο ὁ Κρισνᾶς γελῶν· « Τῆς ἐμῆς γενεᾶς » ἡ φθορὰ ἐκ τύχης γενήσεται (ἔσεται)· διὰ τοῦτο ἐγὼ

---

1. Δύσκλεια ἐγένετο τῷ Ἀρζούνᾳ.

2. Ὁ Καρνᾶς ἦν ὁ παραθαῤῥύνων τὸν Δουριοδάναν, καὶ καυχώμενος, ὅτι πάντας τοὺς Πανδοίδας δυνατός ἐστιν ἀνελεῖν.

3. Ὁ Βήμας ἀνεῖλε πάντας.

4. Ἀρὰν δίδωσι.

» οὐ λυποῦμαι· καὶ σὺ οὖν αὐτὴ μὴ λυποῦ τούτους ἀναι-
» ρεθέντας ἐκ τύχης.

142. « Σὺ θλίβῃ δίψῃ, ἣν οὐδεὶς δύναται ἀπαλλάξαι (φέρειν)·
» ἐλθὲ ταχέως εἰς τὴν Γαγγὰν, ἀφεῖσα τὴν λύπην, καὶ
» πίε ὕδωρ διειδὲς, διδοῦσα καὶ χοὰς ὕδατος τοῖς υἱοῖς. »

143. Φανερωθεῖσα δ' αὕτη ὑπὸ τοῦ πάντα εἰδότος Κρισνᾶ, ὅτι διψᾷ, ἔφη αἰσχυνομένη· « Ὦ ! τί ποιήσω ; δυσφό-
» ρητος γάρ ἐστιν ἡ δίψα μᾶλλον, ἢ ἡ ἐκ τῶν υἱῶν
» λύπη [1]. »

144. Ἐρωτηθεὶς δὲ ὁ Ἰουδιστίρας ὑπὸ τοῦ Δρυταράστα τότε, πόσος εἴη ὁ ἀριθμὸς, καὶ ὁποία ἡ μέλλουσα στάσις τῶν ἀναιρεθέντων ἡρώων ἐν πολέμῳ, ἀπεκρίνατο, θεῖον ὄμμα ἔχων·

145. « Ἑξήκοντα ὀκτὼ Κότια [2] καὶ δώδεκα μυριάδες ἀνδρῶν
» ἀνδρείων καὶ κραταιῶν ἀνῃρέθησαν ἐν τούτῳ τῷ συγ-
» κροτηθέντι πολέμῳ.

146. « Πρὸς δὲ τούτοις ἀνῃρέθησαν καὶ ἑκατὸν ἑβδομήκοντα
» πέντε μεγάλοι καὶ πανέκλαμπροι βασιλεῖς, δυνατοὶ ὄν-
» τες νικῆσαι καὶ τὸν Ἴνδραν.

147. « Ἑκατὸν δὲ καὶ δεκατέσσαρες χιλιάδες ἡρώων φοβερῶν
» καὶ δεξιῶν ἐν πολέμῳ ἔπεσον, οἳ κατέβαλον ἐχθροὺς
» πολλούς.

148. « Οἵτινες ἔθυσαν τὰ ἑαυτῶν σώματα ἐν τῷ σταδίῳ τοῦ
» πολέμου, ὡς ἐν ἄγαν ἁγνιστικῷ πυρὶ ἑκατὸν θυσιῶν,
» οὗτοι ἐγένοντο ὅμοιοι τῷ Ἴνδρᾳ [3].

---

1. Μέχρι τοῦδε ἔληξεν ὁ θρῆνος καὶ ἡ ἐν τῇ γῇ τοῦ πολέμου θεωρία τῆς Γανδαρῆς.

2. Ἓν Κότιον ἐστὶ χίλιαι μυριάδες.

3. Ἐνταῦθα λέγει τὴν δόξαν καὶ τὸν βαθμὸν, ὃν ἔλαβον μετὰ θάνατον, ὅσοι ἐνόμισαν, ὡς τὸ στάδιον τοῦ πολέμου λίαν ἁγνιστικόν ἐστιν, ὡς τὸ πῦρ ἑκατὸν θυσιῶν.

149. « Οἱ μὲν εἰπόντες μετὰ χαρᾶς « Θνητέον, » ἔτυχον τοῦ » ἑβδόμου τῶν Γανδαρβῶν· οἱ δὲ τρέψαντες τὰ νῶτα καὶ » ἀναιρεθέντες, ἔτυχον τοῦ ἑβδόμου τῶν Γουχεκῶν.

150. « Οἳ ἔθανον ἐν πολέμῳ οὐ διὰ τὴν πρὸς τοὺς δεσπότας » ἑαυτῶν ὑπακοὴν, οὔτε διὰ τὸν οὐρανὸν, ἀλλ' ἐπειδὴ ἐν- » θουσιώδεις ἐγένοντο, οὗτοι ἔτυχον τῆς βορείας χώρας [1].

151. « Οἳ δ' ἔθανον ἐξ ἡρωϊκῆς φωνῆς καὶ φοβερᾶς μορφῆς » τῶν πολεμίων, ἢ ἐκ συμπλοκῆς, ἢ ἐκ βυθισμοῦ ἐν τοῖς » ποταμηδὸν ῥέουσι ῥεύμασιν, οὗτοι ἔτυχον τῆς βορείας » χώρας [2].

152. « Βλέπω δ' ἔγωγε ταῦτα πάντα δι' ἐκείνου τοῦ θείου » ὄμματος, ὃ ἔλαβον πρότερον χάριτι τοῦ ὁσίου Δομάσσα, » περιερχόμενος τοὺς ἁγίους τόπους [3]. »

153. Ταῦτα εἰπὼν ὁ Ἰουδιστίρας, ἐπέταξε τῷ Ἰνδρασένᾳ, τῷ Βιδούρᾳ, τῷ Ἰουϊουτσοῦ, καὶ τῷ Σανζαΐᾳ, τὰ νομιζόμενα τελέσαι τοῖς τεθνεῶσιν [4].

154. Ἡ δὲ φήμη τῶν τεθειμένων ἡρώων ἐπὶ πυρᾶς ἐκ ξύλων Σανδάνου καὶ ἀγαλλόχου, ἡ ἐκτεταμένη ἐν αἰθέρι, ὡς ὀθόνη, εὐώδης ἐγίνετο ἐκ τοῦ ἀναδιδομένου καπνοῦ.

155. Τηνικαῦτα τοσοῦτος κλασθμὸς καὶ ὀδυρμὸς ἦν τῶν γυ- ναικῶν, ἀγκαλιζομένων ἀλλήλας, ὥστε καὶ τὰς θεὰς αὐτὰς δακρυβρεῖν, καί περ συλούτας τοῖς ἀνδράσιν ἐκείνων.

156. Βουλόμενος δ' ὁ Ἰουδιστίρας ποιῆσαι τὰ νόμιμα [5] τοῖς

---

1. Οὐ διὰ χάριν τοῦ δεσπότου δηλ., οὐδὲ δι' ἀπόλαυσίν τινος φήμης ἢ δόξης, ἀλλὰ διότι ἐνθουσιώδεις ἐγένοντο, οὗτοι ἔτυχον κρείττονος ἑβδόμου· καθὼς καὶ ὁ ποιῶν ἀγαθὰ ἔργα, οὐ δι' ἄλλο τι τέλος ταῦτα ποιεῖ, ἀλλὰ διὰ τὸν Θεόν.

2. Ἡ βορεία χώρα ἐστὶ τὸ κατάλυμα πολυειδῶν θεῶν ἡττόνων.

3. Περὶ τούτου εἴρηται πρότερον.

4. Κατακαῦσαι, ὡς ἔθος, τὰ νεκρὰ σώματα.

5. Χοὰς δοῦναι.

τεθνεῶσιν, ἦλθε μετὰ τοῦ Δρυταράστα καὶ τῶν λοιπῶν οἰκείων εἰς τὴν ἐξ οὐρανοῦ ῥέουσαν Γαγγὰν, ὥςπερ πευσόμενος καὶ μαθησόμενος περὶ τῶν συγγενῶν, τῶν πορευθέντων εἰς τὸν οὐρανόν.

157. Οἱ μὲν οὖν περὶ τὸν Δρυταράστραν, λουσάμενοι, χοὰς ἐποίουν, λέγοντες· « Οἳ ἐν ταύτῃ τῇ γῇ Ξατραὶ ἔθανον, » τούτοις τοῦτο τὸ ὕδωρ ἔστω ἄφθιτον. »

158. Ὁ δὲ Ἰουδιστίρας, ἀκούσας παρὰ τῆς μητρὸς Πριτᾶς τὸ κατὰ τὸν Ἥλιον ἀπόῤῥητον ἐκεῖνο [1], καὶ ταραχθεὶς τὴν ψυχὴν λύπῃ, ἀπένειμεν ὕδωρ καὶ τῷ ἀδελφῷ Καρνᾷ, δάκρυσι κατάμικτον.

159. Ἐξελθοῦσα δ' ἐκ πολλῆς λύπης ἡ τῶν τοῦ κόσμου ἐπιθυμία [2] τοῦ Ἰουδιστίρα, ἱερὰν ἐποίησε, καὶ ἄλλην Πραϊάγαν ἀπέδειξε τὴν ὄχθην ἐκείνην τῆς Γαγγᾶς, ἐχούσης συῤῥέουσαν καὶ τὴν Ἰαμουνὰν, ἣ ἐγένετο ἐκ τῶν μεμιγμένων τῇ στίμμει [3] δακρύων τῶν γυναικῶν, αἳ ἔκλαιον ἐπὶ τῇ διαζεύξει τῶν οἰκείων ἀνδρῶν, τῶν θείας φύσεως τυχόντων διὰ τῆς ἡρωϊκῆς ἀνδρείας.

160. Σεβέσθω ὁ Ἀμάρας, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ

---

1. Ὅτι δηλ. αὐτή ἐστιν ἡ γεννήσασα τὸν Καρνᾶν ἐκ τοῦ Ἡλίου.

2. Σημείωσαι, ὅτι τὸ ἐπιθυμητικὸν ἐρυθρὸν εἰκονίζεται παρ' Ἰνδοῖς, τὸ δὲ θυμικὸν, μέλαν, τὸ δὲ λογικὸν λευκόν· ὁ δὲ ποιητὴς παίζει πρὸς τὴν λέξιν. Ῥάγα γὰρ λέγεται ἡ ἐπιθυμία, καὶ ἡ ἐρυθρότης, Ἡ δὲ Πραϊάγα ἱερὸς καὶ ἅγιος τόπος κρίνεται, ἔνθα συμμίγνυνται ἡ Γαγγὰ, καὶ ἡ Ἰαμουνά· ἀφανῶς δὲ συμμίγνυται, λέγουσι, καὶ ἡ Σαρασβατὴ, τρίτος ποταμὸς ἱερὸς καὶ σεβάσμιος. Καὶ ἡ μὲν Γαγγὰ λευκή ἐστι κατὰ τὸ ὕδωρ, ἡ δὲ Ἰαμουνὰ μέλαινα, ἡ δὲ Σαρασβατὴ ἐρυθρά· ὅθεν ἡ ἐξελθοῦσα ἐπιθυμία τοῦ Ἰουδιστίρα, ἡ ἐρυθρὰ λέγεται, ἡ Σαρασβατή ἐστιν· ἐκ δὲ τούτου συμπερασματικῶς ἀποδεικνύει ὁ ποιητὴς, ὅτι καὶ ἐκείνη ἡ ὄχθη ἄλλη Πραϊάγα ἐγένετο· καὶ Σαρασβατὴ γὰρ ἦν ἐκεῖ, καὶ Ἰαμουνὰ, καὶ Γαγγά.

3. Στίμμις, βαφὴ μέλαινα, ὀμματογράφος.

σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα. Εἴληφε τέλος ἡ Ἑνδεκάτη Πάρβα τῆς Βαλαβαράτας, τοῦ μεγάλου ποιήματος, ἔνθα γνωρίζεται γνῶσις πολλὴ καὶ εὐγλωττία ἐκείνου τοῦ Ἀμάρα

161. Κατὰ ταύτην τὴν Πάρβαν ἐν ἑνὶ κεφαλαίῳ ἐμπεριέχονται διακόσιοι καὶ ὀκτὼ στίχοι κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Ἑνδεκάτου Βιβλίου,

ὃ ὀνομάζεται *Στρηπάρβα*,

ὡς διαλαμβάνον θρῆνον γυναικῶν,

τῆς Βαλαβαράτας,

ἧς τεσσαράκοντα Κεφάλαια, ἑνὸς δέοντος,

ἀπ' ἀρχῆς συναριθμοῦνται.

ΒΙΒΛΙΟΝ* ΔΩΔΕΚΑΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ἃ διαλαμβάνει περὶ τῶν προσηκόντων τῷ βασιλεῖ, καὶ περὶ τῶν προσηκόντων πράττεσθαι ἐν δεινοῖς, καὶ περὶ τῆς θείας γνώσεως.

1. Ἔστω εἰς χαρὰν ὁ Βεάσας ὁ τετραμερὴ ποιήσας τὴν Βέδαν, ἧς ἐν τῇ ἀρχῇ τὸ Ὀμ., καίπερ μονοσύλλαβον ὄν, περιεκτικὸν ὑπάρχει τῶν τριῶν προσώπων τῆς θεότητος, καὶ πανταχοῦ ἐστι τοῦ κόσμου.
2. Οἱ περὶ τὸν Ναράδαν, οἱ ὄντες ὡς νέφη τοῦ κήπου τῆς ἀνέσεως [1], ἦλθον εἰς τὴν ὄχθην τῆς Γαγγᾶς, ἣ πηγή ἐστι παντὸς ἀγαθοῦ τῶν τριῶν κόσμων.
3. Ὁ δὲ Ἰουδιστίρας, ὕδατα χέων ἐξ ὀφθαλμῶν, καίτοι ἐπαύσαντο αἱ πρὸς τοὺς ἀποιχομένους χοαὶ, καὶ μηδέν τι ποιῶν ἐκ λύπης, καίτοι τὰ νόμιμα πάντα ἐτελέσθησαν,
4. Σύννους δ' ὢν, καθὼς ὁ ταχὺς ἐλέφας, ἐνθυμούμενος τὸ ὄρος Βινδέαν, ἔνθα διέτριβεν ἀπολύτως, ἤκουσε παρὰ τοῦ Ναράδα, βρέχοντος ἀμβροσίαν, ἣν πίνει ἡ ἀκοὴ ἡδέως [2],
5. «Χαῖρε ὦ βασιλεῦ, καλῶς ἔχεις; σὺ δὲ, καὶ τοὺς

---

*. Τὸ χειρόγραφον, ἀντὶ τοῦ Βιβλίου, κατὰ λάθος ἴσως φέρει Κεφάλαιον· ἡμεῖς ὅμως ἐνομίσαμεν καλὸν νὰ ἐξακολουθήσωμεν τὴν αὐτὴν διαίρεσιν, τὴν ὁποίαν καὶ ἐν τοῖς προηγουμένοις βιβλίοις διετήρησεν ὁ Μεταφραστὴς, ὡς σύμφωνον καὶ τῇ Μαχαβαράτᾳ. (Σημ. τ. ἐκδ.).

1. Ἄνεσιν διδόασι τῇ ψυχῇ τοῦ ἀνθρώπου, καθὼς τὸ ὑδροφόρον νέφος τοῖς φυτοῖς τοῦ κήπου.

2. Ὡς νέφος ἦν, καὶ διὰ τοῦτο ἔβρεξεν ἀμβροσίαν, ἐξεφώνησε δηλ. λόγον ἡδὺν τῇ ἀκοῇ.

» ἐχθροὺς πάντας ἀνελὼν, ὀλίγον λαμπρὸς φαίνῃ, καθὼς
» τὸ πῦρ ἀφ' οὗ κατακαύσῃ τὰ ξύλα.

6. « Νικήσας ὦ βασιλεῦ, πολεμίους, ὧν ἐν τῇ ἐφόδῳ καὶ
» ὁ Ἴνδρας ἀδρανὴς ἦν, καὶ κτησάμενος τὴν ἐφετὴν βασι-
» λείαν μετὰ τοσούτου πόνου, μὴ λυποῦ. »

7. Στενάξας δ' ὁ Βασιλεὺς τοῦ κόσμου, ἔφη· « Φεῦ! ἀνή-
» ρέθησαν ὑπ' ἐμοῦ διὰ κτῆσιν βασιλείας ἐκεῖνοι οἱ συγγε-
» νεῖς, ὑπὲρ ὧν βασιλεία ποθεῖται.

8. « Ἡ δύσκλειά μου, ὡς ὁ καπνὸς τοῦ πυρὸς, πανταχοῦ
» διεσπάρθη, ὃς κατέκαυσα τὸ οἰκεῖον γένος, ἐν ᾧ ἐγενέ-
» μην [1], εἰς τὸ τυχεῖν λαμπρότητος.

9. « Καί τοι ἀδελφή ἐστι τοῦ φαρμάκου ἡ Λαξμὴ [2], ἀνω-
» τέρα ὅμως πέφυκε τῇ δυνάμει· μόνη γὰρ ἡ ἐπιθυμία
» τῆς ἀπολαύσεως αὐτῆς τῆς Λαξμῆς [3], εἰς φθορὰν ἐγέ-
» νετο παγγενῆ. Ἰού!

10. « Ὅστις ἡμᾶς τοὺς ὁμαίμονας διεφύλαξεν ἐλθόντας εἰς
» ἀκμὴν θανάτου, ἐνθυμούμενος τὸν λόγον τῆς μητρὸς,
» καὶ περ πολεμῶν εἰς τὸ εὐαρεστῆσαι τῷ Δουριοδάνᾳ,

11. « Οὗτος, ἀδελφὸς ὢν, καὶ νικητὴς τῶν τριῶν κόσμων [4],
» ἀνῃρέθη ὑφ' ἡμῶν τῶν ἀχαρίστων, ὅτε τὸ ἅρμα αὐτοῦ
» ἐβυθίσθη εἰς τὴν γῆν, καὶ ἦν ἐν δεινῷ.

---

1. Καὶ τὸ πῦρ γὰρ κατακαίει τὰ ξύλα ἐξ ὧν γίνεται, εἰς τὸ τυχεῖν λαμπρότητος.

2. Ἐκ τοῦ Ὠκεανοῦ ἐγεννήθησαν ἥτε Λαξμὴ καὶ τὸ φάρμακον· ὑπερτέρα ὅμως ἡ Λαξμή· τὸ μὲν γὰρ φάρμακον οὐκ ἀναιρεῖ πρὶν τοῦ βρωθῆναι· ἡ δὲ βασιλεία καὶ πρὶν τοῦ κτηθῆναι ἀναιρεῖ τὸν ἐπιθυμοῦντα· οὐχὶ δὲ μόνον ἕνα ἀπολύει, ὡς τὸ φάρμακον, ἀλλ' ὅλον τὸ γένος.

3. Λαξμὴ, θεά· μεταφορικῶς δὲ καὶ βασιλεία καὶ πᾶσα ἀλη δόξα καὶ ὄλβος.

4. Ὁ Καρνᾶς ἦν οὗτος.

12. « Ἐγὼ ἀνάξιός εἰμι θίγεσθαι [1], μιανθεὶς τῇ προσπτύξει » τοιαύτης μιαρᾶς πλεονεξίας· καὶ διὰ τοῦτο πορεύομαι » ζήσων ἐν γῇ ἐρήμῳ ἀνθρώπων.

13. « Τὰ ἄλκιμα βέλη τοῦ Ἀρζούνα φυλαττέσθωσαν ταύτην » τὴν γῆν, ἣ οὖσα αἰτία ἔχθρας, καὶ πρὸ τῆς κτήσεως, » καὶ μετὰ τὴν κτῆσιν [2], ἀνοικεία ἐστὶν ἐμοὶ, τῷ ἑλομένῳ » τοιαύτην ἥσυχον ζωήν.

14. « Ἐγὼ οἰκήσω ἐν ἐρήμῳ, ἡσυχάζων, μονάζων, ἐσθίων τὰ » πίπτοντα ξηρὰ φύλλα, δι' ὅλου ἀμεριμνῶν, καὶ κατα- » παύων τὸν κνησμὸν τῇ προστριβῇ τῶν ἐλάφων [3]. »

15. Τοιαῦτα εἰπόντος τοῦ Ἰουδιστίρα, ὁ Ἀρζούνας ἔλεξε λόγον σύμμικτον ὀργῆ καὶ ἡμερότητι, καὶ πικρότητι, καὶ γλυκύτητι·

16. « Οἱ ἄνθρωποι τοῦ μὲν ἀπόντος ἐρασταὶ γίνονται, τοῦ » δὲ παρόντος ἀνέραστοι· ἐν μὲν τῷ χειμῶνι ἐφίενται θερ- » μότητος, ἐν δὲ τῷ θέρει ψύχους.

17. « Πρότερον μὲν, ὢν ἐν ἐρήμῳ, ἐπεθύμεις βασιλείας· νῦν » δ' ὢν ἐν βασιλείᾳ, ἐπιθυμεῖς ἐρήμου· ὡς παράφρων ἄρα » καταγελασθήσῃ ὑπὸ τοῦ κόσμου, ὦ βασιλεῦ τοῦ κόσμου.

18. « Ὁ ποιητὴς Βραχμᾶς, εὐσπλαγχνίᾳ κινούμενος, διττὴν » πρᾶξιν ἀρετῆς διέταξε τῷ ἀνθρώπῳ, ἀπαλάττουσαν αὐ- » τὸν τοῦ κόσμου· τῷ μὲν πλουσίῳ θυσίας καὶ δωρεὰς, » τῷ δὲ πτωχῷ ἐγκράτειαν καὶ θεωρίαν.

19. « Εἰ ἐγκράτειαν οὐκ ἐποίησας, ὦ Κύριε, ἐν πτωχίᾳ ὤν,

---

1. Καθὼς ὁ θίγων ἀκαθάρτου μιαίνεται, καὶ λούεται ἔπειτα εἰς κάθαρσιν.

2. Δι' ἔχθρας καὶ πολέμου ταύτην ἔλαβον, καὶ δι' ἔχθρας καὶ πολέμου πάλιν ταύτην φυλάξω, ἂν ἐπέλθῃ τις ἐχθρός.

3. Οἱονεὶ ἔλεγεν· οὕτως ἀκλόνητος ἔσομαι ἐν σκληραγωγίᾳ, ὥστε τὰ ζῶα νομίζειν τὸ ψωραλέον μου σῶμα, ὡς λίθος ἐστὶν, ἢ δένδρον, καὶ προστρίβειν τὸ ἑαυτῶν σῶμα· τὰ γὰρ ζῶα εἰώθασι προστρίβειν τὸ σῶμα λίθῳ, ἢ δένδρῳ.

» καὶ ἐν ἐρημίᾳ, νῦν τυχὼν τῆς βασιλείας, τρέψον τὴν » διάνοιαν εἰς θυσίας καὶ δωρεάς. »

20. Ὁ δὲ Βήμας, ἀφεὶς τὴν ταπείνωσιν καὶ τὴν αἰδὼ, λόγον ἔλεξεν ἐκ θυμοῦ, ὃς ἦν δυσφόρητος, ὡς τὸ ὑπέρθερμον γάλα τῷ πίνοντι [1].

21. « Σὺ ἄχρηστος ὢν, εἰς μάτην ἐποιήθης ἀνώτερος μεταξὺ » ἡμῶν τῶν τεσσάρων ὑπὸ τοῦ Βραχμᾶ, καθὼς ὁ μέσος » δάκτυλος μεταξὺ τῶν λοιπῶν τεσσάρων [2].

22. « Καί τοι ἐνικήσαμεν τοῦ κόσμου τοὺς ἥρωας, οὐδεὶς τρό- » πος ἐστὶν ἡμῖν, δι' οὗ ἐξαλειφθείη ἂν τὸ αἶσχος τοῦτο, » τὸ, ὅτι νεώτεροί ἐσμεν σοῦ τοῦ μικροψύχου καὶ ἀχρή- » στου.

23. « Εἰ ἐφετή σοι ἦν ἡ μοναστικὴ ζωὴ ἐκείνη [3], ἧς γνώρι- » σμά ἐστιν ἡ διατήρησις καὶ σωτηρία καὶ τῶν ἐχθίστων » καὶ κακίστων, διὰ τί ὁ Βήσμας καὶ ἄλλοι τοσοῦτοι » ἀγαθοὶ ἄνδρες ἀνῃρέθησαν ὑπὸ σοῦ ;

24. « Εἰ δὲ ἐκ δειλῆς καρδίας δυσθυμεῖς καὶ ἐν βασιλείᾳ, » δυσκόλῳ οὔσῃ, τί ποιήσεις, ὅταν δυσθυμῇς, κατατρυ- » χόμενος τῇ ἐν ἐρήμῳ σκληραγωγίᾳ ;

25. « Ἆρα τὰ δένδρα, ἅ εἰσιν ἄνευ φρενῶν καὶ αἰσθήσεων, » νικῶσι τὸν κόσμον, τουτέστιν ἀπαθῆ γίνονται, ἐπειδὴ

---

1. Καλὸς ἦν ὁ λόγος, ἀλλὰ σκληρὸς καὶ πικρὸς καὶ δυσανάσχετος· καθὼς καὶ τὸ γάλα καλὸν μέν ἐστι καὶ γλυκὺ, ἀλλ' ὑπέρθερμον ὄν, δύσποτόν ἐστι.

2. Ὁ μέσος δάκτυλος ἀνώτερός ἐστιν· ἀλλ' οὐ χρησιμεύει τοσοῦτον· ὁ γὰρ ἄνθρωπος δύναται ποιῆσαι πᾶν διὰ τῶν λοιπῶν τεσσάρων.

3. Τοῦτο λέγει ὡς πρὸς τὸν λόγον ἐκεῖνον, ὃν εἶπεν ὁ Ἰουδιστίρας, ὅτι πορεύεται εἰς ἔρημον, καὶ ὅτι ἡ τῆς γῆς ἐπικράτεια, ὡς οὖσα αἰτία ἔχθρας, καὶ πρὸ τῆς κτήσεως καὶ μετὰ τὴν κτῆσιν, ἀνοικεία ἐστὶν αὐτῷ, ἑλομένῳ ἥσυχον βίον.

» πίνουσιν ὕδωρ ἄνευ τοῦ αἰτεῖν, καὶ φλοιοὺς ἔχουσι, καὶ » ῥίζας, καὶ ἐπὶ τῆς κορυφῆς ἑαυτῶν καλιάς [1] ;

26. « Οἱ μὲν βασιλεῖς τῆς γῆς, ὦ βασιλεῦ, πρότερον ἀνηρέ- » θησαν· σὺ δὲ νῦν ποίησον ἐποχὴν τοῦ κόσμου· ἡμεῖς » δὲ οἱ νεώτεροι ἀδελφοὶ ἀκολουθήσομέν σοι, ὡς πρεσβυ- » τέρῳ· ἡ δὲ γεωκτονία πεσέτω ἐπὶ σέ [2]. »

27. Παύσαντος λέγειν τοῦ Βήμα, οἱ φρόνιμοι δίδυμοι, ὅ,τε Σαχαδέβας καὶ ὁ Νακούλας, λόγον ἔλεξαν, ὃς ἦν ἡδύς, ὡς ἡ φωνὴ τοῦ ταὼ μετὰ τὴν βροντὴν τοῦ νέφους·

28. « Ἡ μέλλουσα στάσις τῶν ὄντων ἐν κόσμῳ, οἳ ἐσθίουσι » τὰ λείψανα τῶν ἐδεσμάτων, ἃ ἔφαγον οἱ ἐλθόντες ἐν- » δεεῖς καὶ ἀγαθοὶ καὶ σεβάσμιοι ἄνδρες [3], ἐφετή ἐστι » καὶ τοῖς μεγάλοις ἀσκηταῖς [4].

29. « Οἱ μὲν γὰρ ἀσκηταὶ αἰτοῦσιν ἐνωθῆναι τῷ Βισνοῦ διὰ » σκληραγωγιῶν· ὁ δὲ Βισνοῦς ἔρχεται εἰς τὸν οἶκον τῶν » οἰκούντων ἐν κόσμῳ, ἐπιθυμῶν μοίρας θυσίας.

30. « Ὁ μὲν δίκαιος βασιλεὺς ἀπολαμβάνει τὸ ἐκτημόριον

---

1. Καὶ οἱ ἀσκηταὶ πίνουσι καὶ ἐσθίουσιν ἄνευ τοῦ αἰτεῖν, Θεοῦ αὐτοῖς διδόντος, ἢ ἀνθρώπου τινος, μὴ αἰτουμένου, καὶ φλοιοὺς δένδρων ἔχουσιν ἀντὶ φορεμάτων, καὶ πλοκάμους, καθὼς καὶ τὰ δένδρα ῥίζας, καὶ καλιὰς ἐπὶ τῆς κορυφῆς ἑαυτῶν, ἃς οἱ ὄρνεις πηγνύουσι, νομίζοντες αὐτοὺς ὡς λίθους ἢ δένδρα ἀκίνητα, ὄντας ἐν θεωρίᾳ. Οἰονεὶ ἔλεγε· καὶ σὺ οὐ νικήσεις τὸν κόσμον, τουτέστιν οὐκ ἔσῃ ἀπαθὴς, εἰ καὶ λάβοις τὸ ἀσκητικὸν σχῆμα, ἐπειδὴ οὐκ ἔχεις οὔτε φρένας, οὔτε κρίσιν, ὁμοίως τοῖς ἀψύχοις δένδροις.

2. Μὴ ὄντος βασιλέως καταπατηθήσεται ὑπὸ κακῶν ἀνθρώπων, ἢ παρανόμων· αὕτη δὲ ἡ ἁμαρτία πεσεῖται ἐπὶ σέ.

3. Ὁ ξενίζων πρῶτον σιτίζει τοὺς ξένους, καὶ ἔπειτα αὐτὸς σιτεῖται τὰ ἐναπολειφθέντα.

4. Ἔπαινος τῆς κοσμικῆς ζωῆς, ἢ ὑπερτέρα κρίνεται τῆς μοναδικῆς καὶ ἀσκητικῆς.

» τῆς ἀρετῆς πάντων τῶν ἐν κόσμῳ ἀσκητῶν· ὁ δ' ἀσκη-
» τὴς ἀπολαμβάνει τὸν καρπὸν μόνης τῆς ἑαυτοῦ ἀρετῆς·
» κρῖνον οὖν, πότερος εὐδαιμονέστερος.

31. « Βασίλευε, βασιλεῦ, ταύτης τῆς γῆς, φρονῶν τὰ τῶν
» ἀσκητῶν, καὶ ἀπολάμβανε ἐξ ἴσου τὸν καρπὸν τῆς βα-
» σιλείας καὶ τῆς ἀσκήσεως, ὁμοίως τῷ Ζανάκᾳ [1]. »

32. Ἡ δὲ Δραουπαδὴ ἐκίνησε τὴν Σαρασβατὴν [2] ἐπ' ἄκρας τῆς γλώττης, ὡς ἐπὶ αἰώρας (κρεμαστῆς), τὴν ἀγλαϊζομένην τῇ λαμπρᾷ σειρᾷ τῶν ὀδόντων, ὡς ὅρμῳ ἐκ μαργάρων·

33. « Τί ὄφελος ἔσται ἐκ τῆς ἀσκήσεως σοὶ τῷ ἀχαρίστῳ,
» ὅτε οἱ ἐχθροκτόνοι ἀδελφοί σου, οἳ θέλουσί σε εἶναι πε-
» ριχαρῆ, οὐκ ἔσονται περιχαρεῖς ;

34. « Τοῦ μὲν δυσεξαλείπτου χρίσματος ἐξάλειψις ἂν γένοι-
» το, καὶ τοῦ ἀκαθάρτου καθαρισμός· οὐδέποτε ὅμως ἐξά-
» λειψις ἂν γένοιτο τοῦ ἐγκλήματος τοῦ ἀχαρίστου.

35. « Ἐκ μὲν τῆς εὐχαριστίας τῶν εὐχαρίστων ἡ γῆ τὰ τοῦ
» οὐρανοῦ ἀγαθὰ καταγάγοι ἂν πρὸς ἑαυτήν· ἐκ δὲ τῆς
» ἀχαριστίας τῶν ἀχαρίστων ἡ γῆ, εἰ καὶ μένει, ἄχαρις
» ἂν εἴη.

36. « Χαιρέτωσαν οὖν, ὦ εὐχάριστε, οἱ ὄλβιοι ἀδελφοί σου
» ἡδέσι λόγοις καὶ περιπτύξεσί σου, καὶ τρυφῇ τῶν τῆς
» βασιλείας ἀγαθῶν, ἀπολαύοντες τοῦ καρποῦ τῶν ἑαυ-
» τῶν πόνων. »

37. Τοιούτοις τούτων ἀλλεπαλλήλοις, ὡς κύμασι, ῥήμασιν οὐκ ἀνεψύχθη ἡ τοῦ βασιλέως καρδία, ἡ κατακαιομένη, ὡς πυρὶ, τῷ ἐκ τοῦ θανάτου τῶν συγγενῶν πάθει.

---

1. Ὁ Ζανάκας καὶ βασιλεὺς, καὶ θεωρητικὸς ἦν.

2. Σαρασβατὴ, ἡ θεὰ τοῦ λόγου, καὶ αὐτὸς ὁ λόγος· τουτέστιν ἡδὺν λόγον ἔλεξε.

38. Ὁ δὲ Βεάσας, εἰς κατάσβεσιν τοῦ πυρὸς τῆς λύπης ἐκείνου τοῦ Ἰουδιστίρα, λόγον ἐξηρεύξατο, ἀφρὸν ἔχοντα τὴν μαρμαρυγὴν τῶν ὀδόντων, καὶ κύματα τοῦ ὠκεανοῦ τῆς ἀμβροσίας τῆς γνώσεως·

39. « Ὦ τινι ἐστὶ θάνατος πεπρωμένος, οὗτος θνήσκει· καὶ ὁ » μικρὸς γὰρ κώνωψ οὐκ ἂν ἀναιρεθείη οὐδ' ὑπ' ἐλέφαντος » μεγάλου, θέλοντος, εἰ μὴ εἴη πεπρωμένον.

40. « Ὅθεν, ὦ Κύριε τῆς γῆς, μὴ ἄχθου, νομίζων, ὅτι τὸ » γένος σου ἀνῃρέθη ὑπὸ σοῦ· τίς γὰρ ἄλλος, ἐκτὸς τῆς » εἱμαρμένης, ἀνελεῖν δύναται ἐκείνους τοὺς ἐνδόξους » ἥρωας καὶ νικητὰς τοῦ κόσμου ;

41. « Καθὼς συντυχία δι' ὀλίγου χρόνου γίνεται καθ' ὁδόν » που τοῖς ὁδοιποροῦσιν, οὕτω καὶ τοῖς ἐν κόσμῳ οὖσι· » τίς οὖν λύπην ἕξει ἐν διεξεύξει τοιαύτης συντυχίας ;

42. « Ποῦ δ' ἂν γένοιτο ἁρμοδία λύπη ἢ χαρά, ὅπου ὁ χρό- » νος, ὡς τερατουργὸς, δεικνύει τὰ πράγματα καθ' ἑκάστην » ὥραν κατ' ἄλλον καὶ ἄλλον τρόπον ;

43. « Τί λυπῇ, ὦ βασιλεῦ, τοὺς συγγενεῖς, τοὺς καταβρω- » θέντας ὑπὸ τοῦ χρόνου, ὑφ' οὗ καὶ οἱ δημιουργοὶ τοῦ κό- » σμου καταβρωθήσονται εὐχερῶς ;

44. « Ἄφες τὴν λύπην· νῦν γὰρ καιρός σοι ἐστὶ κυβερνᾶν τὸν » λαόν· ἄλλη γὰρ ἀρετὴ οὐκ ἔστι τῆς κυβερνήσεως τοῦ » λαοῦ ἐν τῇ νεότητι τοῦ βασιλέως.

45. « Τοὺς μὲν ζῶντας συγγενεῖς εὔφρανον μεταδόσει τῶν τῆς » βασιλείας ἀγαθῶν, τοὺς δὲ κατοιχομένους τῇ πρὸς τοὺς » Βραχμᾶνας βρώσει καὶ πόσει· ἐκ γὰρ τῆς σῆς λύπης » περίλυποι γίνονται ἀμφότεροι, οἵτε ἐν τῷ κόσμῳ τούτῳ » καὶ οἱ ἐν τῷ ἑτέρῳ »

46. Λήξαντος τοῦ Βεάσα λέγειν, ὁ Κρισνᾶς διὰ νεύσεως τοῦ Ἀρζούνα ἐξηρεύξατο λόγον ἐκ στόματος γλυκὺν, ὡς μέλι ἐκ λωτοῦ, εἰς ἀπαλλαγὴν τῆς πικρίας τοῦ βασιλέως·

47. « Τίς φρόνιμος ἔχει λύπην, ὦ βασιλεῦ, θλίψιν διδοῦσαν
» τοῖς περὶ αὐτόν; ἐκ δὲ τῆς λύπης καὶ οἱ ἀπελθόντες
» τῶν τῇδε οὔτ' ἐπιστρέφουσιν, οὔτε μὴν οἴδασιν, ὅ,τι
» γίνεται ἐν τούτῳ τῷ κόσμῳ.

48. « Εἰ ἡ ἀκουσθεῖσα δόξα τινὸς φίλου, ὄντος μακρὰν, χα-
» ρὰν προξενεῖ καὶ εὐφροσύνην, πῶς οἱ συγγενεῖς σου, οἱ
» δοξασθέντες ἐν οὐρανῷ, λύπης εἰσὶν ἄξιοι;

49. « Ὁ θάνατος, κρατῶν τῇ χειρὶ τὸν ἄνθρωπον, ὡς ὁ ἐλέφας
» τῇ προβοσκίδι τὴν βορὰν, παίζει, καὶ ὅταν θέλῃ, κατα-
» βιβρώσκει [1]· τίς ἄρα τεθνεὼς, λύπης ἐστὶν ἄξιος;

50. « Αἱ ταχεῖς ροπαὶ [2] τῶν βλεφάρων ἔρχονται συνεχῶς,
» ὡς κατάσκοποι τοῦ θανάτου, κατὰ τὴν ὁδὸν τῶν ὀφθαλ-
» μῶν, εἰς τὸ σκέψασθαι τὸν καιρὸν τῆς παραλήψεως τῆς
» ψυχῆς.

51. « Ἡ πνοὴ, ἣ ἐφίεται φυγεῖν ποτέ ποτε ἐξαίφνης, ἐπελπί-
» ζει πως τὸν ἄνθρωπον, καὶ ἀποβουκολεῖ διὰ τῆς συνε-
» χοῦς εἰσπνοῆς καὶ ἐκπνοῆς [3].

52. « Καὶ ἐκεῖνοι οἱ ἔνδοξοι, ὅ,τε Ῥάμας, καὶ ὁ Βαράτας, καὶ
» ἄλλοι ἡμίθεοι, οἱ ὄντες ζωαὶ τοῦ κόσμου, ἦλθον διὰ
» τοῦ χρόνου εἰς τὸν ζυγὸν τῆς ἀμφιβολίας, εἴτε ἐγένον-
» το, εἴτε οὐχί [4].

---

1. Ὁ Ἐλέφας κρατῶν τῇ προβοσκίδι τὴν βορὰν, παίζει, περιφέρων αὐτὴν, καὶ ἔπειτα καταβιβρώσκει.

2. Αἱ καταμύσεις.

3. Καθὼς ὁ ἀργυρώνητος δοῦλος διὰ τῆς συνεχοῦς εἰσελεύσεως καὶ ἐξελεύσεως ἐπελπίζει τὸν δεσπότην καὶ ἀπατᾷ, τελευταῖον δὲ, καιροῦ τυχὼν, ἐξαίφνης φεύγει, οὕτω καὶ ἡ πνοὴ, διὰ τῆς συνεχοῦς εἰσπνοῆς, καὶ ἐκπνοῆς, ἐπελπίζει τὸν ἄνθρωπον, καὶ ἀπατᾷ, τελευταῖον δὲ οἴχεται ἀπιοῦσα.

4. Εἰ ἐκεῖνοι ἀμφιβάλλονται, εἰ ἐγένοντο, πόσῳ μᾶλλον ἄλλοι ταπεινοί; πάντες δηλ. εἰς τὸ μὴ ὂν ἐλεύσονται.

53. « Ἡ ζωὴ τῶν ἀνθρώπων ὀξεῖά ἐστιν, ὡς ἡ ῥοπὴ τοῦ » ὀφθαλμοῦ· τίς δὲ λόγος τῆς ἡδονῆς, τῆς δόξης, τῆς » νεότητος, καὶ τῶν λοιπῶν ἀγαθῶν, ἃ ἥττονά ἐστιν » ἐκείνης [1];

54. « Παρούτης τῆς ἀσταθοῦς ζωῆς, ἥ ἐστιν ὁπωσοῦν εἰς ὄ- » φελός τι, ποιητέον ἐστὶν ἀγαθόν τι ἔργον, καθὼς λαμ- » πούσης τῆς ἀστραπῆς, ἀναληπτέον ἐστιν εὐθέως τὸ πε- » πτωκὸς χρῆμα ἐν σκοτεινῇ νυκτί [2].

55. « Αὕτη ἡ ζωὴ, ἡ οὖσα, ὡς *Καλπαδρούμα*, δίδωσιν, ὡς » καρπὸν, τέσσαρα ἀγαθὰ, πλοῦτον, τρυφὴν, ἀρετὴν, καὶ » ἀθανασίαν· ἀλλ' οἱ ἄφρονες ἄκαρπον αὐτὴν ποιοῦσιν, ὡς » διὰ πυρὸς [3], τῆς λύπης, καὶ ἄλλων παθῶν.

56. « Ἄφες οὖν τὴν λύπην ταύτην, ὦ βασιλεῦ, γνῶθι σαυ- » τὸν, καὶ λάβε τὸν καρπὸν ταύτης τῆς ζωῆς, τὸν ἁρμό- » ζοντα ἑκάστῳ καιρῷ [4].

57. « Ἐλθούσης τῆς βασιλείας, ἐπικερδῆ ποίησον τὴν νεότητα » θυσίαις καὶ ἄλλαις ἀρεταῖς· ἐλθόντος δὲ τοῦ γήρατος, » ποίησον ἄσκησιν πρόσφορον εἰς κτῆσιν ἀθανασίας. »

58. Τοιούτοις λόγοις καὶ ἄλλοις παραδείγμασιν ὁμοῦ προγε- νεστέρων βασιλέων συμβουλευθεὶς ὁ Ἰουδιστίρας ὑπὸ τοῦ Κρισνᾶ, καὶ ὑπ' ἐκείνων, τοῦ τε Βεάσα, καὶ τοῦ Βήμα, ἔφη λυπηρῶς·

59. « Οἴμοι ! οἱ γὰρ ποιηταὶ ἀνοίσουσι τὴν αἰθέρι μελανότη- » τα [5] εἰς τὰς ἐμὰς ἁμαρτίας, τὰς ἐκ τοῦ φόνου τῶν

---

1. Ὅτε ἡ ζωὴ ἐστι πρόσκαιρος, πόσῳ μᾶλλον τὰ λοιπὰ ἐφετά ;

2. Πρόσκαιρος καὶ ὀλιγοχρόνιος ἡ ζωὴ, καθὼς καὶ ἡ ἀστραπή· εὐ- θέως ἔρχεται, καὶ εὐθέως ἀπέρχεται.

3. Ὡς τὸ δένδρον καιόμενον, ἄκαρπον γίνεται.

4. Βασίλευε νῦν, νέος ὤν· ὅταν δὲ γηράσῃς, ἄσκησιν ποίησον.

5. Κυάνεός ἐστιν ὁ αἰθήρ.

» συγγενῶν γενομένας, καὶ εἰς τὸν αἰθέρα διασπαρείσας.

60. « Πῶς δ' ἂν τὸ ἐκ τοῦ φόνου τοῦ Βήσμα ἐμὸν ἀμπλά-» κημα λάβοι ἐξάλειψιν, εἰ καὶ ἐν χιλίοις γεννήσεσι τὸ » ἐμαυτοῦ σῶμα θύσαιμι ἐν πυρί ; »

61. Πρὸς ὃν ἀπεκρίνατο ὁ Βεάσας, παρηγορῶν αὐτὸν γλυκέσι λόγοις, θλιβόμενον ἐκ λύπης τὴν καρδίαν καὶ θρηνω-δοῦντα·

62. « Ὅστις οὐκ ἀναιρεῖ ἐν πολέμῳ καὶ τοὺς σεβασμίους ἄν-» δρας, ὁπλοφόρους ἐρχομένους, καὶ ἀναιρεῖν βουλομένους, » οὗτος ἐνοχός ἐστιν, ὡς μὴ ποιήσας τὸν νόμον τοῦ Ξα-» τρῆ [1].

63. « Ἀμφότεροι οὗτοι, ὅ,τε ἀναιρῶν ἐν πολέμῳ κατὰ τὸν » νόμον τοῦ Ξατρῆ, καὶ ὁ ἀναιρούμενος, ἀγαθοὶ ὄντες, τι-» μῶνται καὶ ὑπὸ τῶν θεῶν ἀνθοβολίαις.

64. « Σὺ ἀνεύθυνος εἶ· διὸ χαίρων κυβέρνα τὴν γῆν· εἰ δέ σοι » ψευδὴς ὑπόνοιά ἐστιν, ὡς ὑπεύθυνος εἶ, ὦ βασιλεῦ, τέ-» λεσον ἱπποθυσίαν.

65. « Ἀναδεξάμενος τὴν βασιλείαν, καὶ χαροποιήσας τὸν » λαὸν, ἐπίσκεψαι τὸν υἱὸν τῆς Γαγγᾶς, τὸν γέροντα Βή-» σμαν, κείμενον ἐπὶ κλίνης ἐκ βελῶν. »

66. Οὕτω νουθετηθεὶς ὁ Ἰουδιστίρας ὑπὸ τοῦ μεγάλου ὁσίου Βεάσα, καὶ ὑπὸ τοῦ Κρισνᾶ, εἰσέδυ εἰς τὴν πόλιν Χα-στιναπούραν, προηγουμένου τοῦ Δρυταράστρα.

67. Κοσμήσας δ' ἔπειτα τὴν γῆν τοῦ Βουλευτηρίου διὰ τῆς ἑαυτοῦ λαμπρᾶς παρουσίας, ἐδεξιώσατο καὶ ἐφιλοφρονήσα-το διὰ τοῦ ἐπιστάτου Δαουμέα τοὺς συνελθόντας Βραχ-μᾶνας.

---

1. Νόμος καὶ ἴδιον τοῦ Ξατρῆ ἐστιν, ἀναιρεῖν τὸν ἐπερχόμενον μεθ' ὅπλων.

68. Ἐνταῦθα εἰσῆλθεν εἰς τὸ βουλευτήριον ἐκεῖνος ὁ μάγος Σαρβάκας, ὁ φίλος τοῦ Δουριοδάνα, ἔχων ἀσκητικὴν στολήν, καὶ φαινόμενος ὡς πολύτιμος λίθος λαμπρὸς, ὢν δ' ἄνθραξ καυστικός.

69. Οὗ ἐκ τοῦ στόματος, ὡς ἐκ Σελήνης ἰὸς, τοιοῦτος λόγος ἐξῆλθε κατὰ τοῦ βασιλέως Ἰουδιστίρα· « Ἐπικατάρα-» τος σὺ, τὸ οἴκημα τῆς κακίας, καὶ τὸ καυστικὸν πῦρ » τοῦ γένους. »

70. Γνόντες δὲ τοῦτον οἱ Βραχμᾶνες, καὶ εἰπόντες τῷ βασιλεῖ τὰ κατ' αὐτὸν, ὡς μάγος ἐστὶ, καὶ φίλος τοῦ Δουριοδάνα, κατεπυρπόλησαν αὐτὸν τῷ ἐκ καρδίας αὐτῶν ἐξενεχθέντι θείῳ πυρί.

71. Χαρεὶς δ' ὁ Κρισνᾶς ἐπὶ τῷ θανάτῳ τοῦ Σαρβάκα, ἐχαροποίησε τὸν βασιλέα, εἰπών· « Ἐκτὸς τοῦ θυμοῦ τῶν » Βραχμάνων οὐκ ἂν οὗτος ἀνῃρεῖτο οὐδ' ὑπὸ τοῦ Σίβα. »

72. Οἱ δὲ Βραχμᾶνες ἐξ ὑδάτων ἁγίων τόπων λουτρὸν ἐποίησαν τῷ βασιλεῖ, ἀπαλλακτικὸν τῆς ἐντὸς καὶ ἐκτὸς θερμότητος ἐκ τοιούτου πολέμου.

73. Καθήμενος δ' ὁ Ἰουδιστίρας ἐπὶ καλοῦ θρόνου προγενεστέρων βασιλέων, καὶ δόξῃ λαμπρυνόμενος, ἐλάμπρυνε πᾶσαν τὴν ἐπιφάνειαν τῆς γῆς.

74. Τιμώμενος δ' ὑπὸ τῶν οἰκείων, ἐτίμα τὸν Δρυταράστραν καὶ τὴν γυναῖκα αὐτοῦ Γανδαρὴν, νομίζων, ὡς ἦσαν ἐν τῷ οἴκῳ αὐτοῦ αὐτὸς ὁ Σίβας καὶ ἡ Παρβατή.

75. Ὧν δ' εἰδήμων τῆς διαταγῆς, διέταξε τὸν Βήμαν ἐπὶ τῆς ὑπατείας, τὸν δὲ Βιδούραν ἐπὶ τῆς Βουλῆς, τὸν δ' Ἀρζούναν, ἐπὶ τοῦ κατὰ τῶν ἐχθρῶν θριάμβου, τὸν δὲ
76 Σανζαΐαν ἐπὶ τῶν προσόδων καὶ ἀναλωμάτων, τὸν δὲ Νακούλαν ἐπὶ τῆς φροντίδος τοῦ στρατοῦ, τὸν δὲ Δαουμέαν ἐπὶ τῆς πρὸς τοὺς Βραχμᾶνας τιμῆς καὶ δεξιώσεως, τὸν δὲ Σαχαδέβαν, ἐπὶ τῆς παρεδρίας (συνεδρίας).

77. Τοιαύτην διαταγὴν διατάξας ὁ Ἰουδιστίρας, καὶ ἐπαινέσας τὸν Κρισνᾶν, παρέδωκε τοὺς πολυτίμους οἴκους τοῦ Δουριοδάνα καὶ Δουσσασάνα, τῷ Βήμᾳ καὶ τῷ Ἀρζούνᾳ.

78. Διαμερισάμενος δὲ καὶ ἄλλοις φίλοις καὶ οἰκείοις τοὺς οἴκους τῶν Καουραβῶν, ἐκυβέρνα καλῶς τὴν βασιλείαν κατὰ τὸν λόγον τοῦ Κρισνᾶ, ὀλιγαρκὴς ὤν.

79. Τελέσας δὲ ἐναγίσματα τοῖς συγγενέσι Καουραβαῖς, ὡς νόμος, ἐποίησεν ἐπ᾽ ὀνόματι αὐτῶν καὶ ἄλλα ψυχωφελῆ, τόπους ὑδατοποσίας, καὶ σιτοδοσίας, καὶ φρέατα.

80. Ἐν δὲ μιᾷ τῶν ἡμερῶν περὶ τὸ λυκόφως ἐπορεύθη ὁ Ἰουδιστίρας, ὀψόμενος τοῖς ὀφθαλμοῖς τὸν Κρισνᾶν, ὃν ἔβλεπε τῷ τῆς ψυχῆς ὄμματι ἀεὶ, οἰκοῦντα ἐν τῷ οἴκῳ τοῦ Ἀρζούνα.

81. Ἰδὼν δὲ τὸν Κρισνᾶν, καθήμενον ἐπὶ καθέδρας ἐν βαθείᾳ θεωρίᾳ, ὡς νέφος μέλαν ἐφ᾽ ὄρους, ἐξηρεύξατο φωνὴν, χαίρων ὡς ταὼς [1].

82. « Καλῶς σοι παρῆλθεν, ὦ Κύριε, ἡ νὺξ αὕτη, ἣ διατρί-» βει ἐν τῷ ἀριστερῷ ὀφθαλμῷ σου ἀεὶ [2], καθὼς ὁ βομ-» βύλιος ἐν τῷ λωτῷ; »

83. Ἀφασίαν δὲ ἔχοντος τοῦ Κρισνᾶ, πάλιν ἤρετο ὁ βασιλεύς· « Τίνος, ὦ ὑπὸ παντὸς τοῦ κόσμου θεωρούμενε ἐν » τῷ νοΐ, θεωρίαν ποιεῖς; τοῦτο γὰρ ὅμοιον ἂν εἴη, ὡς » περ εἰ ὁ Ἥλιος λύχνου δέεται εἰς φῶς. »

84. Οὕτως ἐρομένου τοῦ βασιλέως, ἀπεκρίνατο ὁ Κρισνᾶς,

---

1. Ὁ Κρισνᾶς μέλας, καθὼς καὶ τὸ ὑδροφόρον νέφος· ὁ δὲ ταὼς, βλέπων ὑδροφόρον νέφος χαίρει, καὶ φωνὴν ἐξερεύγεται.

2. Ἡ μὲν ἡμέρα ἐν τῷ δεξιῷ τοῦ Θεοῦ ὀφθαλμῷ οἰκεῖ· ἡ δὲ νὺξ ἐν τῷ ἀριστερῷ· ὅθεν, ὅταν ὁ Θεὸς ἀνοίξῃ τὸν δεξιὸν ὀφθαλμὸν, ἡμέρα γίνεται, ὅταν δ᾽ ἀνοίξῃ τὸν ἀριστερὸν, νύξ. Μυθεύεται καὶ τοῦτο, ὅτι ὁ μὲν Ἥλιος, ὁ δεξιός ἐστιν ὀφθαλμὸς τοῦ Θεοῦ, ἡ δὲ Σελήνη, ὁ ἀριστερός.

ἀνοίξας τοὺς ὀφθαλμούς· « Ὅστις ἐμὲ θεωρεῖ, τοῦτον » κἀγὼ θεωρῶ· ὁ δὲ τοιοῦτος, ἄλλος ἐγώ ἐστιν [1].

85. « Ὁ Βήσμας, ὃς ἐφιέμενος ἀθανασίας, θανεῖν θέλει, ὅταν » ἔλθῃ ὁ Ἥλιος εἰς τροπὰς θερινὰς [2], θεωρεῖ νῦν ἐμέ· διὰ » τοῦτο κἀγὼ ἐπορεύθην ἤδη πρὸς αὐτὸν νοερῶς.»

86. Πρὸς ὃν ἔφη μετὰ χαρᾶς ὁ Ἰουδιστίρας· « Ἄγε πορευθῶ- » μεν πρὸς τὸν θεωροῦντά σε Βήσμαν, Κύριε, ὃς διδάξει » με πάντα τὰ τοῦ νόμου. »

87. Οὕτως εἰπὼν, ἐπορεύθη ἐφ' ἅρματος τοῦ Κρισνᾶ μετὰ τοῦ Βήμα, καὶ Ἀρζούνα, καὶ Σατεκῆ, ἰδεῖν βολούμενος τὸν Βήσμαν.

88. Ἐν τούτῳ ὁ Βήσμας, ἤρεμος τὴν καρδίαν ὤν, καὶ πολλοῖς ὁσίοις συνὼν, ὕμνον εἰς τὸν Κρισνᾶν ἐποίει νοερῶς, ὃς ἦν ὡς ἄνθινος στέφανος νοερὸς, εἰς προσφορὰν καὶ λατρείαν αὐτοῦ τοῦ Κρισνᾶ·

89. « Προσκύνησις τῷ Βισνοῦ [3], τῷ ἀΰλῳ, τῷ ὑπερφυεῖ, τῷ » παντογνώστῃ, ὅς ἐστι τὸ πᾶν, καὶ ἐν ᾧ ἐστι τὰ πάντα.

90. « Σέβομαι ἀεὶ τὸν Χαρὴν [4], ὅς ἐστιν αὐτὸς ὁ Χρόνος, » σῶμα λαβὼν, καὶ ἔχει τὸ μὲν κροκωτὸν περιβόλαιον ὡς » ἡμέραν, τὸ δὲ μέλαν χρῶμα, ὡς νύκτα [5].

91. « Εἰς ἐκεῖνον καταφεύγω, ὃν σεβόμενοι εὐλαβῶς οἱ ἄν- » θρωποι, οἱ πίπτοντες εἰς τὸ πέλαγος τούτου τοῦ κό- » σμου, γίνονται ἀθάνατοι, καθὼς οἱ σταλαγμοὶ τοῦ νέ-

---

1. Οὗτος ὅμοιός μοι ἐστιν.

2. Ἐν χειμεριναῖς τροπαῖς θανὼν ὁ ἀγαθὸς ἄνθρωπος, τυγχάνει τοῦ οὐρανοῦ· ἐν δὲ θεριναῖς, τυγχάνει ἀθανασίας, δηλονότι οὐ μετασωματοῦται.

3. Οὗτός ἐστιν ὁ ὕμνος.

4. Ὁ Κρισνᾶς λέγεται καὶ Χαρὴς, ἔστι δ' ὄνομα τοῦ Θεοῦ.

5. Διὰ τῆς ἡμέρας καὶ νυκτὸς ὁ χρόνος μετρεῖται.

» φους γίνονται μαργαρίται εἰσδύοντες εἰς κόχλον [1].

92. « Ὃς, θεραπευόμενος ἀνυποκρίτως, ἀθανασίας ἐστὶ πρόξε-
» νος τοῖς ἀνθρώποις, οὗτος ἔστω μοι πρὸ ὀφθαλμῶν, ὁ
» ὢν ἡ φύσις καὶ σύστασις τοῦ παντὸς, καὶ ἡ ἀμβροσία
» στίμμις τῶν ὀφθαλμῶν. »

93. Οὕτως ὑμνῶν τὸν Χαρὴν νοερῶς, καὶ προσκυνῶν καὶ θεωρῶν, εἶδεν ἐξαίφνης αὐτὸν σωματικῶς ὁ Βήσμας [2], οὗ τὰ ἐμπεπηγμένα τῷ σώματι ὀξέα βέλη, ἥττονα ἐγένετο τῆς ἐκ τῆς χαρᾶς φρίκης.

94. Ὁ μὲν οὖν Κρισνᾶς, ὁ Ἰουδιστίρας, ὁ Βήμας, καὶ ὁ Σατεκὴς, καταβάντες ἀπὸ τῶν ἁρμάτων, καὶ προσκυνήσαντες τὸν Βήσμαν, παρεκάθησαν.

95. Σκεψάμενος δ' ὁ Χαρὴς τὸν Βήσμαν, πάσχοντα ἐξ ἄλγους, ἤρετο· « Μήτοι γε διεπάρη τοῖς ἄλγεσι, καθὼς τὸ
» σῶμα τοῖς βέλεσι, τὸ θεῖόν σου φρόνημα ; »

96. Ὁ δ' ἔφη· « Ὦ θεὲ, φύσις τοῦ παντὸς, ὁποῖα διαφο-
» ρά ἐστι τοῦ στρώματος τοῦ ἐκ βελῶν σκληρῶν καὶ
» τοῦ ἐξ ὁμαλῆς βύσσου τοῖς ἀφοσιωμένοις τὴν διάνοιαν
» πρὸς σέ [3] ; »

97. Πρὸς ἂν εἶπεν ὁ Κρισνᾶς· « Ὦ καρτερικώτατε, ἐγὼ νο-
» μίζω, ὡς ἡ γῆ ἡ φέρουσά σε, καταφρονεῖ καὶ αὐτοῦ τοῦ οὐ-
» ρανοῦ [4], ἐν ᾧ εἰσιν ὁ Ἴνδρας καὶ ἄλλοι καρτερόφρονες θεοί.

---

1 Τὸ πρωτότυπον χάριέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής. Μουκτὰ γὰρ λέγεται ὁ τυχὼν λυτρώσεως τοῦ σώματος, τουτέστιν ἀθανασίας, καὶ ὁ μαργαρίτης.

2. Κεκλεισμένοις τοῖς ὀφθαλμοῖς ἐποίει θεωρίαν· ἀνοίξας δ' αὐτοὺς εἶδε σωματικῶς τὸν θεωρούμενον νοερῶς Κρισνᾶν, καὶ φρίκη συνεσχέθη ἐκ χαρᾶς· αἱ δ' ἀνεστηκυῖαι τρίχες τοῦ σώματος ἐκ φρίκης, ὀξύτεραι ἦσαν τῶν βελῶν.

3. Τοῖς θεωροῦσί σε.

4. Δηλ. καὶ οἱ ἐν οὐρανῷ θεοὶ οὐκ εἰσὶ τοσοῦτον καρτερικοὶ, ὅσον σύ·

98. « Καὶ σὺ αὐτὸς, ὦ πάντων γνῶστα, νουθέτησον λόγοις » ὀρθοῖς τὸν Ἰουδιστίραν, ὃς ἄχθεται, καὶ ἄνεσιν οὐκ ἔχει » οὐδεμίαν, σοῦ πάσχοντος ὑπὸ βελῶν. »

99. Τοιαῦτα εἰπὼν ὁ ἐπὶ τοῦ γαλακτικοῦ ὠκεανοῦ ἀναπαυόμενος, καὶ τὸν Γαρούδαν ἔχων ἐπὶ τῆς σημαίας, ἐποίησε τὸν Βήσμαν ἀνάλγητον διὰ τῆς ὄψεως (ὁράσεως), ὡς διὰ ψεκάδος ἀμβροσίας.

100. Ὑπὸ δὲ τῶν θεῶν ἀνθοβολία ἐγένετο ἐπὶ τῶν κορυφῶν τοῦ Κρισνᾶ, καὶ τοῦ Βήσμα, καὶ ὑμνολογία, οἳ ἦσαν ἀξιύμνητοι, ἕνεκα τῆς μεγάλης γνώσεως, ὑψηλοῦ βαθμοῦ δόξης, καὶ χάριτος, ἣν εἶχον.

101. Εἰπὼν δ' ὁ Κρισνᾶς τῷ Βήσμᾳ, « Ὦ σοφὲ, αὔριον λέγεις » τῷ Ἰουδιστίρᾳ τὰ δέοντα », ἀπῆλθεν οἴκαδε μετὰ τῶν Πανδοϊδῶν, καὶ πάλιν ἦλθε, παρελθούσης τῆς νυκτός.

102. Εἰπόντος δὲ τοῦ Κρισνᾶ, « Εἰ οὐκ ἀλγεῖς τὸ σῶμα, ὦ » σοφὲ, δίδαξον τὸν Ἰουδιστίραν τὰ καθήκοντα, » ὁ υἱὸς τῆς Γαγγᾶς Βήσμας ἔφη·

103. « Ἐγὼ, χάριτι σῇ, καλῶς ἔχω· κατὰ δὲ τὸν σὸν λόγον » λέξω τῷ Ἰουδιστίρᾳ τὰ καθήκοντα. Ἐρωτάτω δ' ὅμως » αὐτός· τίς γὰρ αἰσχύνη αὐτῷ, πράξαντι τὰ προσήκοντα » τῷ Ξατρῇ ; »

104. Τῷ λόγῳ τοῦ Κρισνᾶ ἥψατο ὁ Ἰουδιστίρας τῶν ποδῶν τοῦ Βήσμα· ὁ δὲ, ὀσφρανθεὶς τῆς κορυφῆς αὐτοῦ [1], εἶπεν· « Ἐρώτησόν με. » Ὁ δὲ Ἰουδιστίρας ἠρώτησε περὶ τῶν προσηκόντων τῷ βασιλεῖ.

105. Προσκυνήσας δ' ὁ Βήσμας νοερῶς τὸν Κρισνᾶν καὶ τὸν

διὰ τοῦτο ἡ γῆ, ἡ φέρουσα σὲ τὸν καρτερικώτατον, κρείττων ἐστὶ τοῦ οὐρανοῦ.

1. Ἴδιον φίλτρου μητρικοῦ καὶ πατρικοῦ τὸ ὀσφραίνεσθαι τῆς κεφαλῆς, κατὰ μίμησιν τῆς δαμάλεως, ἣ ὀσφραίνεται τοῦ μόσχου.

Νόμον, καὶ τοὺς Βραχμᾶνας πάντας, ἔλεξε λόγον πλήρη χάριτος καὶ ἠθικῆς φιλοσοφίας·

106. « Οἱ βασιλεῖς ἀγλαΐζονται τῇ πρὸς τοὺς σεβασμίους τι-
» μῇ, τῷ πρὸς πάντας οἴκτῳ, καὶ τῇ καλῇ διοικήσει,
» καθὼς οἱ χορευταὶ καὶ οἱ ἀφροδίσιοι τοῖς χρυσοῖς ψελ-
» λίοις, βραχιονίοις, καὶ ὅρμοις.

107. « Ὁ βασιλεὺς, ὁ ὢν φιλόγελως καὶ φιλοσκώμμων κατα-
» πατεῖται καὶ ὑπὸ τῶν ἑαυτοῦ ὑπηρετῶν, οἳ κατεσθίου-
» σι τὸν πλοῦτον αὐτοῦ, καθὼς τὸ γαννύμενον ἄνθος κα-
» ταπατεῖται ὑπὸ τῶν βομβυλίων, οἳ ἐκμυζῶσι τὸν γλυ-
» κὺν χυμὸν αὐτοῦ.

108. « Ὁ βασιλεὺς, ὁ ὢν ἄφροντις πάντων τῶν προσηκόντων [1]
» ἀτιμότερός ἐστι καὶ τοῦ χόρτου, ὃς τροφὴν δίδωσι τοῖς
» βουσὶ καὶ πᾶσι τοῖς λοιποῖς ζώοις, διὰ τῆς φθορᾶς τοῦ
» ἑαυτοῦ σώματος [2].

109. « Τίς πιστεύσειεν ἂν τῷ βασιλεῖ, ὅς ἐστιν ἀνήκοος, καὶ
» δίγλωσσος καὶ τὰς πνοὰς πίνει τοῦ κόσμου, καὶ
» στρεβλῶς ὁδεύει, καθὼς καὶ ὁ ὄφις, ὃς ἄωτός ἐστι,
» καὶ δίγλωσσος, καὶ ἄνεμον ἐσθίει, καὶ στρεβλῶς περι-
» πατεῖ [3];

110. « Ὁ βασιλεὺς, ὃς θερμουργός ἐστι καὶ εὔφημος, ὡς ὁ
» Ἥλιος καὶ ἡ Σελήνη, καὶ ἄλλος Χρόνος, δηλονότι ὁτὲ
» μὲν ἰταμὸς, ὁτὲ δ' ἴλεως, ὑπὸ τίνος ἂν καταπατηθείη;

---

1. Ὁ ἀμελῶν τῶν τοῦ νόμου.

2. Ὁ χόρτος ἐν χρήσει ἄλλων ἐστὶ καὶ ἐπωφελής· ὁ δ' ἄφροντις βασιλεὺς ἄχρηστος πάντῃ καὶ ἀνωφελής.

3. Οὐκ ἀκούει δηλ., ἃ πάσχει ὁ λαὸς, καὶ τὴν πνοὴν πίνει τοῦ κόσμου, ἁρπάζει δηλ. καὶ τυραννεῖ, καὶ δίγλωσσός ἐστι, δηλ. ὁτὲ μὲν τοῦτο λέγει, ὁτὲ δ' ἐκεῖνο. Ὁ ὄφις, λέγουσιν, οὐκ ἔχει ὦτα· ἀκούει δὲ διὰ τῶν ὀφθαλμῶν.

111. « Οἱ Βραχμᾶνες, οἳ λατρεύουσιν ἐν ταῖς θυσίαις τῷ Θεῷ,
» τῷ παρακοίτῃ τῆς Λαξμῆς, καὶ τῷ πυρὶ, οὐ παροργι-
» στέοι εἰσὶν ὑπὸ των βασιλέων· δύνανται γὰρ δοῦναι καὶ
» Λαξμὴν, καὶ πῦρ [1].

112. « Καὶ εἴς τις παρεξάτης ὢν τῶν τοῦ Νόμου, οὐ παρα-
» βλεπτέος ὑπὸ τοῦ βασιλέως· ἐν γὰρ αὐτῷ πόδα θεῖσα,
» καὶ στερεωθεῖσα ἡ παρανομία, τίνα ἄλλον κατ' ἀκο-
» λουθίαν οὐ παραλαμβάνει [2];

113. « Ὁ Νόμος ἡδέως ἀναπαύεται ἐν ἐκείνῃ τῇ γῇ τοῦ βα-
» σιλέως, ἔνθα εὐνομία ἐστὶ, καὶ ἔλλειψις κακίας, καὶ
» κακῶν ἀνθρώπων, ὥσπερ ἐν κήπῳ, ἔνθα σκιά ἐστι, καὶ
» ἔλλειψις ἰλύος, καὶ ἀκανθῶν [3].

114. « Ἐκεῖνός ἐστι τῷ ὄντι βασιλεὺς, οὗ τῇ προσταγῇ ὑπεί-
» κουσιν αἱ τέσσαρες φυλαὶ, καὶ αὐξάνουσαι, οὐκ ἀφιᾶσι
» τὸν ἑαυτῶν ὅρον, ὡς αἱ τέσσαρες θάλασσαι.

115. « Εἰ ὁ βασιλεὺς οὐ δίδωσιν ἀμβροσίαν θυσίας τοῖς ἐν
» οὐρανῷ, ἆρα οἱ ἐν οὐρανῷ θεοὶ φρέατα ἀμβροσίας ἀνο-
» ρύξουσι, πείνῃ θλιβόμενοι [4];

116. « Εἰ ἐν τῷ βασιλεῖ οὐκ ἔστιν εὐνομία, ἡ γῆ, πιεζομένη
» τῷ βάρει τῆς ἀνομίας αὐτοῦ, καταβυθισθείη ἂν εἰς τὴν
» Ῥασατάλαν [5]· πῶς γὰρ ἂν βασταχθείη ὑπὸ τῆς χελώ-
» νης, ἢ ὑπὸ τοῦ Σέσσα [6];

---

1. Καὶ δόξαν δηλ. καὶ πλοῦτον, καὶ ἀπώλειαν.

2. Καὶ ἄλλοι δηλ. πολλοὶ μιμοῦνται αὐτόν.

3. Τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

4. Οἱ θεοὶ τρέφονται ἐκ τῶν θυσιῶν. — Ἐν Ἰνδίᾳ τοῖς ὕδασι τῶν φρεάτων ποτίζουσι τὴν ἐσπαρμένην γῆν κατὰ τὸ θέρος.

5. Ῥασατάλα λέγεται, ὁ καταχθόνιος κόσμος.

6. Μυθεύεται, ὅτι χελώνη βαστάζει τὴν γῆν, ἢ ὄφις, Σέσσας τοὔνομα.

117. « Ὁ βασιλεὺς, ὁ πράττων τὰ τοῦ νόμου, φαίνεται, ὡς εἷς
» μόνος Θεὸς, κρατῶν τοὺς τρεῖς κόσμους, καὶ τὴν δύνα-
» μιν (λαμπρότητα) τῶν θεῶν πάντων ἔχων.

118. « Ὁ βασιλεὺς, ὁ ὢν αὐτὸς μὲν λίαν ἀγαθὸς, κακοὺς δ'
» ἔχων περὶ ἑαυτὸν, ὡς τὸ δένδρον Σάνδανον, τὸ ἔχον
» ὄφεις περιπεπλεγμένους, ὑπὸ τίνος ἂν ἀγαπηθείη ;

119. « Ὁ λαὸς καταρᾶται τοῦ βασιλέως, θλιβόμενος ὑπὸ πλεο-
» νεκτικῶν διοικητῶν καὶ ἐπιστατῶν, ὡς καταρῶνται τοῦ
» ἁγίου τόπου οἱ ἄνθρωποι, θλιβόμενοι ὑπὸ κακῶν ἐπι-
» στατῶν ἐκείνου τοῦ ἁγίου τόπου.

120. « Ὁ βασιλεὺς, ὁ ἔχων ὑπηρέτας μὲν καλοὺς κἀγαθοὺς,
» αὐτὸς δ' ὢν κακὸς, ἀποτρόπαιος παρὰ τοῖς ἀνθρώποις
» κρίνεται, καθὼς ὁ ὄφις, ὁ ἔχων πολυτίμους λίθους.

121. « Οἱ νόμοι, οἱ τιμώμενοι ἐν τοῖς τρισὶ κόσμοις, φρουρὰν
» ποιοῦσι τῷ βασιλεῖ, ὃς ἀγαθὰ πράττει, καὶ ὑπηρέτας
» ἔχει, ἀγαθὰ πράττοντας.

122. « Ὁ σκοπὸς τῆς ἐξόδου ἢ ἐφόδου τῆς στρατιᾶς, ἀλυσιτε-
» λὴς γίνεται, εἰ οὐκ ἔστι παρὰ τοῖς βασιλεῦσιν ἱερουργὸς
» καὶ θεοπρόπος, εἰδήμων τῶν προσηκόντων τοῖς ἐπιχει-
» ρήμασι.

123. « Διὰ τοῦ φωτὸς τοῦ διαπύρου τῆς ψυχῆς τοῦ βασιλέως,
» καὶ διὰ τοῦ ἐρείσματος τῆς ῥάβδου, ὁ γέρων Νόμος ὁδεύ-
» σειεν ἂν ἀσφαλῶς καὶ ἐν τῷ σκοτεινῷ τούτῳ αἰῶνι [1].

---

1. Τὸ πρωτότυπον χάριέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὴν λέξιν ὁ ποιητής· Δάνδα γὰρ λέγεται καὶ ἡ ῥάβδος καὶ ἡ παιδεία, καὶ ἡ ποινή. Καθὼς ὁ γέρων, ἔχων φῶς καὶ δακτηρίαν, δύναται ἐν σκότει βλέπειν καὶ περιπατεῖν ὀρθῶς, οὕτω καὶ ὁ Νόμος οὐ καταπατεῖται, ὡς γέρων καὶ ἀδύνατος, ἀλλὰ τιμᾶται καὶ φυλάττεται ἐν τῷ ἐσχάτῳ τούτῳ κακῷ αἰῶνι διὰ τῆς θερμουργίας τοῦ βασιλέως, καὶ διὰ τῆς πρὸς τοὺς κακοὺς ποινῆς καὶ τιμωρίας.

124. « Ὁ θερμουργὸς βασιλεὺς, ὃς ἀφαρπάζει τὴν δόξαν ἀπὸ » τῶν κακοφρόνων, καὶ μετακομίζει αὐτὴν πρὸς τοὺς φι- » φιλόφρονας, ἀγλαΐζεται, ὡς ὁ Ἥλιος, ὃς ἀφαιρεῖται τὴν » χάριν ἀπὸ τῶν ἀνεράστων νυκτερινῶν λωτῶν, καὶ με- » ταφέρει αὐτὴν πρὸς τοὺς ἐραστοὺς ἡμερινούς.

125. « Οἱ θερμουργοὶ βασιλεῖς βλέπουσι τὰ ἐν κόσμῳ πάντα » διὰ τῶν μακρὰν πορευομένων κατασκόπων, καθὼς οἱ » λαμπροὶ ὀφθαλμοὶ ἐν ἡμέρᾳ διὰ τῶν ἡλιακῶν ἀκτίνων.

126. « Μυστικὴ ἔστω ἡ βουλὴ τῶν βασιλέων, ἡ δυνατὴ ἀνορ- » θῶσαι, ἢ ἀνατρέψαι τὸ πᾶν· ταύτης δὲ τῆς βουλῆς ἡ » ὕπαρξις συμπεραίνεται ἐκ τῶν ἀποτελεσμάτων, καθὼς » ἡ τοῦ Θεοῦ ἐκ τῶν ποιημάτων.

127. « Εὐδαιμονεῖ ὁ βασιλεὺς, ὃς οὐκ ἔστιν οὔτε λίαν ἀνύπο- » πτος καὶ ἄφοβος, οὔτε λίαν ὕποπτος καὶ δειλός· ποῦ » γὰρ δόξα, ἢ πλοῦτος τῷ λίαν ἀνυπόπτῳ; ποῦ δὲ ἄνε- » σις τῷ λίαν ὑπόπτῳ;

128. « Τεσσαρές εἰσιν οἱ θάλαμοι τοῦ οἴκου, ἔνθα οἰκεῖ ἡ βα- » σιλικὴ δόξα· ἡ πρὸς τοὺς ἀτάκτους παιδεία, ἡ πρὸς » τοὺς εὐτάκτους προσασία, ἡ πρὸς τοὺς σπουδαίους στορ- « γὴ, καὶ ἡ πρὸς τοὺς Βραχμᾶνας τιμή.

129. « Ἀχώριστός ἐστιν ἡ δόξα τῶν βασιλέων ἐκείνων, οἳ καὶ » ἐν αἰτίᾳ θυμοῦ οὐ θυμοῦνται, καὶ ἐν ἐνδείᾳ (ἀπορίᾳ) » οὐ πλεονεκτοῦσι, καὶ ἐν χαρᾷ οὐκ ἀλλοιοῦνται [1].

130. « Οὐδ' ὑπὸ τοῦ Ἴνδρα νικᾶται ὁ βασιλεὺς ἐκεῖνος, οὗ οἱ » ἑταῖροι ἐν καιρῷ πολέμου ἀνίστανται [2] ἐκ χαρᾶς, κα- » θὼς αἱ τρίχες τοῦ σώματος [3].

131. « Ὅστις τῶν βασιλέων δικαίως καὶ νομίμως κυβερνᾷ τὴν

---

1. Οἱ αὐτοί εἰσιν ἐν παντὶ περιστάσει.
2. Πρόθυμοί εἰσι δηλ.
3. Καὶ ἐκ χαρᾶς φρίκη γίνεται.

» γῆν, τούτου ἡ ἀρετὴ ἕλκει καὶ τῶν θεωρητικῶν τὴν διά-
» νοιαν, ὡς ὑπερβαίνουσα τὴν χαρὰν τῆς εἰς τὸν Θεὸν θεω-
» ρίας [1].

132. « Ὅ,τι μέρος τῆς ἀρετῆς τῶν ἀνθρώπων λαμβάνει ὁ δί-
» καιος βασιλεὺς [2], διὰ τούτου ἡ ἀρετὴ ἐκείνων οὐκ ἐλατ-
» τοῦται, καθὼς οὐδὲ ἡ μάθησις τοῦ διδασκάλου ἐλατ-
» τοῦται διὰ τοῦ οὗ μέρους λαμβάνει ὁ μαθητής.

133. « Οὐδὲν ἄλλο ἔργον ἐπωφελέστερόν ἐστι τῷ βασιλεῖ,
» ἀλλ' ἢ ἡ φροντὶς τῶν τῆς γῆς καὶ προστασία· ἐκ γὰρ
» τούτου καὶ κτῆσις χρημάτων γίνεται τοῖς ἀνθρώποις,
» καὶ ἀρετὴ, ὧν τὸ ἐκτημόριον ἀποδίδεται τῷ βασιλεῖ [3],
» ὅπερ ὠφέλιμόν ἐστιν αὐτῷ κἀν τούτῳ κἀν τῷ μέλλοντι
» βίῳ [4]. »

134. Οὕτως ὁ Βήσμας εἴρηκε τῷ βασιλεῖ Ἰουδιστίρᾳ τὰ προ-
σήκοντα τῷ βασιλεῖ, παραδείγματα φέρων πολλῶν προ-
γενεστέρων βασιλέων ἔργα χρηστά.

---

1. Ὁ θεωρητικὸς εἰς οὐδὲν ἄλλο ἔχει τὴν διάνοιαν, ἀλλ' ἢ εἰς μόνον τὸν Θεόν· ὅταν δὲ ὁ βασιλεὺς ὀρθῶς διοικῇ τὸν λαὸν, ἡ διάνοια τῶν θεωρητικῶν ἕλκεται πρὸς τὸν τοιοῦτον ἀγαθὸν βασιλέα, καὶ διανοεῖται αὐτόν.

2. Τὸ ἐκτημόριον τῶν ἀγαθῶν ἔργων τῶν ἀνθρώπων λαμβάνει ὁ βασιλεὺς, ὁ διοικῶν καλῶς· ὁ δὲ διοικῶν κακῶς, τὸ ἐκτημόριον τῆς κακίας τῶν ἀνθρώπων.

3. Εὐνομίας οὔσης, ἡ γῆ εὐφορεῖ· ἐκ δὲ τῆς εὐφορίας τῆς γῆς, οἱ ἄνθρωποι εὐτυχοῦσι καὶ πλουτοῦσι, καὶ θυσίας τελοῦσι καὶ ἄλλα πολλὰ ἀγαθά· ὁ δὲ βασιλεὺς λαμβάνει, ὡς φόρον, οὐχὶ μόνον τὸ ἐκτημόριον τῶν τῆς γῆς γεννημάτων, ἀλλὰ καὶ τῶν λοιπῶν ἀγαθῶν, ἃ πράττουσιν οἱ ἄνθρωποι, καὶ ἐκ τούτων ὠφελεῖται καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. Σημείωσαι ὅτι ὁ βασιλεὺς λαμβάνει τὸ ἐκτημόριον, οὐ μόνον τῶν ἀγαθῶν ἔργων, ὧν πράττουσιν οἱ ἄνθρωποι, ἀλλὰ καὶ τῶν κακῶν· οὕτω φρονοῦσι καὶ λέγουσιν οἱ Ἰνδοί· ὀρθῶς δὲ καὶ φρονοῦσι καὶ λέγουσι.

4. Μέχρι τοῦδε εἴρηκεν ἃ προσήκει τῷ βασιλεῖ ποιεῖν, ὅτε ἐν ἀνέσει ἐστὶ, καὶ εὐημερίᾳ.

135. Ἐπὶ τούτοις ἠρώτησεν ὁ Ἰουδιστίρας τὸν Βήσμαν, ὃς ἦν κῆπος φυτῶν πάσης ἀρετῆς, ὅ,τι δέοι τοῖς βασιλεῦσι πράττειν, ὧν ἡ δόξα ἠφανίσθη ὑπ' ἐχθρῶν.

136. Πρὸς ὃν ἀπεκρίνατο ὁ Βήσμας, ἐκφωνήσας φωνὴν, διήκουσαν μέχρι τοῦ οὐρανοῦ, ὡς βροντὴν ἐκ πολλῶν νεφῶν, ἅ ἐστιν, ὡς κόμη τοῦ ἐν τῇ καρδίᾳ τοῦ Βήσμα ὄντος Βισνοῦ [1].

137. « Ὁ στερηθεὶς τῆς ἑαυτοῦ δόξης βασιλεὺς [2], προσελθὼν » καὶ τῷ ἐχθρῷ εἰς βοήθειαν, ἐπαναλαμβάνει τὴν ἑαυτοῦ « δόξαν, καθὼς ἡ Σελήνη, προσελθοῦσα τῷ Ἡλίῳ, αὐξά- » νει κατὰ μικρὸν, καὶ ἐπαναλμβάνει τὴν ἑαυτῆς λαμ- » πρότητα [3].

138. « Ἀδυνάτου ὄντος τοῦ φίλου καὶ συμμάχου, βλέπων ὁ » φρόνιμος βασιλεὺς τὸν ἐχθρὸν ἀνιστάμενον, συστελλέσθω, » προσμένων καιρὸν, καθὼς ὁ λωτὸς, δύσαντος τοῦ φίλου » Ἡλίου, συστέλλεται, προσμένων τὴν ἡμέραν [4].

139. « Ἰσχυροῦ ἐχθροῦ ἐπερχομένου, ὁ φρόνιμος οὔτε προσέρ- » χεται, οὔτε φεύγει, ἀλλὰ ταλαιπωρεῖ αὐτὸν, καθὼς ἡ » νεόνυμφος τὸν ἄνδρα.

140. « Ὁ βασιλεὺς, οὗ αἱ βουλαὶ ἀλυσιτελεῖς καὶ ἄχρηστοι

---

1. Μυθολογοῦσιν, ὡς τὸ πᾶν τοῦτο σῶμά ἐστι τοῦ Βισνοῦ· ὁ μὲν καταχθόνιος κόσμος, ὡς πόδες, ἡ δὲ γῆ, ὡς ὀσφὺς, ὁ δ' οὐρανὸς, ὡς κεφαλὴ, ὁ δ' Ἥλιος καὶ ἡ Σελήνη, ὡς ὀφθαλμοὶ, τὰ δὲ νέφη, ὡς τρίχες.

2. Νῦν δὲ λέγει ἃ προσήκει τῷ βασιλεῖ ποιεῖν, ὅτε ἐν δυσημερίᾳ ἐστὶ, καταδιωκόμενος ὑπ' ἐχθρῶν.

3. Τοῦτο θεωρεῖται ὅτε σύνοδός ἐστι τοῦ Ἡλίου καὶ τῆς Σελήνης ἐν τῇ ἔνῃ καὶ νέᾳ· τότε γὰρ ἄρχεται ἡ Σελήνη ἐπαναλαμβάνειν τὴν στερηθεῖσαν λαμπρότητα, καὶ ἀναπληροῦσθαι.

4. Τῆς μὲν ἐχθρᾶς Σελήνης ἀνατελλούσης, ὁ ἡμεράνθης λωτὸς συμμύει· τοῦ δὲ φίλου Ἡλίου ἀνατέλλοντος, διεκπετάννυται.

» ἐγένοντο [1], πόλεμον ποιείτω καὶ πρὸς δυνατὸν ἐχθρόν·
» νικήσας μὲν γὰρ τρυφᾷ τῆς γῆς· θανὼν δὲ, ἐφάμιλλος
» γίνεται τῷ Ἴνδρᾳ.

141. « Θησαυρὸς ἐναποταμιευέσθω τῷ βασιλεῖ ἐκ παντὸς τρό-
» που, ἐκτὸς τῶν χρημάτων τῶν Βραχμάνων καὶ τῶν ἱε-
» ρῶν τόπων [2]· ὁ γὰρ θησαυρὸς καταπαύει τὰ δεινὰ, κα-
» θὼς τὸ ἐν ὕλῃ πῦρ κατακαίει τὰ δένδρα.

142. « Ὁ ἔχων πλοῦτον, καὶ ἐν μεγάλοις δεινοῖς οὐκ ἐγκατα-
» λιμπάνεται ὑπὸ τῶν ἑαυτοῦ ὑπηρετῶν [3]· παραδείγμα-
» τος χάριν, ὁ βομβύλιος συγκλείεται τῷ λωτῷ πλεονεξίᾳ
» τοῦ γλυκέος χυμοῦ.

143. « Οἱ θεράποντες ἐγκαταλείπουσι τὸν δεσπότην, ὃς οὐκ
» ἔχει πλοῦτον, καθὼς ἡ μὲν λάμψις τὸν λύχνον, οὗ τὸ
» ἔλαιον κατεπόθη (κατηναλώθη), ἡ δὲ φλὸξ τὸ πῦρ, οὗ
» τὰ ξύλα κατεκάη, ἡ δ' ἀγλαΐα, τὸν μὴ ἔχοντα πνοήν.

144. « Πάντες οἱ ἐν κόσμῳ συνδεδεμένοι εἰσὶ πρὸς ἀλλήλους
» ἐλπίσιν, ὡς δεσμοῖς· οὗ τινος δὲ αἱ ἐλπίδες, ἃς εἶχε
» πρός τινα, διελύθησαν, ὡς δεσμοὶ, οὗτος ἐγκαταλείπει
» ἐκεῖνον ἐν καταφρονήσει.

145. « Ὅστις καὶ ἐν ἀνάγκῃ οὐκ ἀφίησι τὰ ὅρια, ἀπὸ τούτου
» ἀπαλλάττεται αἰσχύνῃ πως ἡ ἀνάγκη, ὡς μὴ δυνηθεῖ-
» σα καταναγκάσαι αὐτὸν εἰς τὸ ἀφεῖναι τὰ ὅρια.

146. « Ἐν δεινοῖς ὢν ὁ βασιλεὺς, ἀφέτω τὴν ἑαυτοῦ δόξαν, καὶ
» τὴν χώραν, καὶ τὰς γυναῖκας ὁμοῦ, καὶ διαφυλαξάτω

---

1. Οὐκ ἔμεινεν ἀποφυγὴ ἢ καταφυγὴ, ἢ ἄλλος τις τρόπος σωτηρίας.

2. Ἡ περιουσία Βραχμᾶνος, ὃς ἀπέθανεν ἄνευ κληρονόμου, οὐ σφετερίζεται ὑπὸ τοῦ βασιλέως, ἀλλὰ δίδοται ἄλλῳ τινὶ Βραχμᾶνι· εἰ δὲ Βραχμὰν οὐκ ἔστιν ἐν ἐκείνῃ τῇ χώρᾳ, ἡ τοιαύτη περιουσία ῥίπτεται εἰς πῦρ, ἢ εἰς ποταμόν· νόμου δὲ κεφάλαιόν ἐστι τοῦτο.

3. Ὅτε ὁ βασιλεὺς ἔχει θησαυρὸν, οἱ στρατιῶται θύουσι τὰς ψυχὰς αὐτῶν, ἐλπίζοντες λήψεσθαι πλείω χρήματα.

» ἑαυτὸν [1], καθὼς ἡ Σελήνη ἀφίησι τὴν ἑαυτῆς λαμπρό-
» τητα, καὶ ἀφανὴς γίνεται [2]· ὁ γὰρ χρόνος πάλιν δί-
» δωσι πάντα.

147. « Ὁ φρόνιμος βασιλεὺς, κατατρυχόμενος ὑπὸ πολλῶν
» ἐχθρῶν, καταφευγέτω εἰς ἰσχυρότερον ἐκείνων, καθὼς ὁ
» ἀγαθὸς ἄνθρωπος, κατατρυχόμενος ὑπὸ δεινῶν, κατα-
» φεύγει εἰς σκληρὰν ἄσκησιν [3].

148. « Μὴ πιστευέτω ὁ βασιλεὺς τοῖς πρὸς ἡδονὴν καὶ χάριν
» λεγομένοις λόγοις, μάλιστα δὲ τοῖς τῶν ἐχθρῶν, ἀνα-
» λογιζόμενος τὸ ἡδὺ ᾆσμα τῶν θηρευτῶν, τὸ ἀπολλύον
» τὸ γένος τῶν ἐλάφων.

149. « Ἰσχυροῦ ὄντος τοῦ ἐχθροῦ, ὁ βασιλεὺς ζήτω, ἐντὸς οἰ-
» κῶν, καὶ μηδαμοῦ φαίνων ἑαυτὸν, καθὼς τὸ πάθος οὐκ
» ἀναφαίνεται, δυνατοῦ ὄντος τοῦ σώματος· ἐν δὲ καιρῷ
» φανερωθεὶς, ἐπιτεθήτω τῷ ἐχθρῷ [4].

150. « Ἔστω ἀεὶ ὁ βασιλεὺς, ὑποκριτὴς, ὡς λάρος, διάστρο-
» φος, ὡς ὄφις, ἀνδρεῖος, ὡς λέων, ὕποπτος, ὡς κολοιὸς,
» καὶ ὀξυδερκὴς, ὡς γύψ.

151. « Ὁ ἔχων ὀλίγην δύναμιν, φερόμενος ὑπὸ τῆς ἑαυτοῦ ἀ-
» γνοίας κατὰ δυνατοῦ ἐχθροῦ, ὄλεθρον λήψεται, καθὼς
» ὁ ξηρὸς χόρτος, φερόμενος ὑπὸ τοῦ ἀνέμου εἰς τὸ πῦρ.

---

1. Τὸ πρωτότυπον πάνυ χάριέν ἐστιν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

2. Τὸ τῆς Σελήνης θεωρεῖται ἐν τῇ σκοτομηνίᾳ· εἰ γὰρ καὶ σκοτίζεται, καὶ ἀφανὴς γίνεται, ἀλλὰ πάλιν μετὰ ταῦτα ὁλολαμπὴς γίνεται. Καὶ ὁ βασιλεὺς μετὰ χρόνον, καιρὸν εὑρὼν, ἐπαναλαμβάνει τὴν ἀπολεσθεῖσαν δόξαν, ἂν φυλάξῃ ἑαυτόν.

3. Διὰ τῆς ἀσκήσεως καὶ σκληραγωγίας ἀπαλλάττονται τὰ δεινά.

4. Ἐν καιρῷ ἀναφανήτω, ὅταν ἴδῃ τὸν ἐχθρὸν ἀδύνατον, καθὼς τὸ πάθος, ὅταν ἴδῃ τὸ σῶμα ἀδύνατον, ἀναρρήγνυται.

152. «Τῶν ἀτυχιῶν οἴκημα οὐ γίνεται [1] ἐκεῖνος ὁ βασιλεὺς,
» ὃς περιέπεται ὑπὸ ἑταίρων ἀπλεονέκτων, ἀξίων, γεν-
» ναίων, φιλοκάλων, καὶ ἀδόλων· οὕτως οἴδασιν οἱ σοφοί.»

153. Τοιούτοις λόγοις ὀρθοῖς, καὶ πολλὰ παραδείγματα ἔχουσιν, εὔφρανε τὸν Ἰουδιστίραν ὁ Βήσμας, διδάξας αὐτὸν τὰ προσήκοντα πράττεσθαι ἐν δεινοῖς.

154. Ἀπῆλθε δ' ἔπειτα οἴκαδε σὺν τοῖς ἀκολούθοις ὁ Ἰουδιστίρας, οὗ τὸ σῶμα ἔφριττε συχνάκις χαρᾷ, ἐκ τῆς ἀναμνήσεως τῶν λόγων τοῦ Βήσμα.

155. Οὐ μόνον δὲ τηνικαῦτα οἱ Πανδοῖδαι ὑπερήσθησαν, ἀλλὰ καὶ αὐτὸς ὁ Βιδούρας, νομίσαντες, ὅτι πόμα ἀμβροσίας ἔπιον ἐκ τῆς ἀκροάσεως τοιούτων ἡδέων λόγων περὶ τῆς *Τριβάργας* [2].

156. Ἐλθὼν δὲ πάλιν ὁ Ἰουδιστίρας, ἠρώτησε τὸν Βήσμαν· « Πῶς ὁ ἄνθρωπος καρτερίαν ἕξει, ἀπολέσας συγγενεῖς τε
» καὶ δόξαν [3];

157. Ὁ δὲ Βήσμας, ὁ ὢν ὅμοιος τῷ Βριχασπατῇ κατὰ τὸν νοῦν, λόγον ἐξηρεύξατο, ὃς ἡδὺς ἦν, ὡς ἐρευγμὸς τῆς ποθείσης ἀμβροσίας τῆς ἀπαθείας·

158. « Ἡ σκέψις αὕτη, εἰ τὰ τοῦ κόσμου τούτου ῥέοντά ἐστιν,
» ἡ ἀΐδια, αἰτία ἐστὶ τῆς καρτερίας τῶν ἀνθρώπων, τῶν
» παραφερομένων κατὰ τὸν νοῦν, ὡς σφοδροῖς ἀνέμοις,
» τοῖς δεινοῖς.

159. « Ἡ φροντὶς τῶν τοῦ κόσμου πρόσκαιρός ἐστιν, ὡσαύτως

---

1. Δηλ. ἀεὶ εὐτυχεῖ.

2. Τριβάργα λέγεται ἡ Τριττὺς τῶν ἀγαθῶν, ὁ πλοῦτος, ἡ τρυφὴ, καὶ ἡ ἀρετή.

3. Μέχρι τοῦδε εἴρηται ὅ,τι δεῖ ποιεῖν τὸν βασιλέα ἐν δεινοῖς ὄντα. Νῦν δὲ ἐρωτᾷ περὶ γνώσεως, ἐξ ἧς γεννᾶται ἡ Μόξα, τουτέστιν ἡ λύτρωσις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ἡ ἀγεννησία, καὶ ἀθανασία.

» δὲ καὶ ἡ λύπη, καὶ ἡ ζωὴ, καὶ τὸ σῶμα· εὐκλεεῖς οὖν
» καὶ εὐδαίμονες γίνονται οἱ εὔφρονές ἐκεῖνοι, οἱ καταφρο-
» νήσαντες ταχέως τοιούτων λυμαντικῶν καὶ θυμοφθό-
» ρων [1].

160. « Ὦ! οἱ μωροὶ λυποῦνται, διότι ὁ πλοῦτος αὐτῶν κατα-
» ναλίσκεται· οὐδαμῶς μέν τοι λυποῦνται, διότι ἡ ζωὴ
» αὐτῶν ἐλαττοῦται, ἧς οὐδὲ μικρόν τι μέρος προστεθείη
» ἂν εἰς αὔξησιν, κἂν δῶσι τὴν βασιλείαν τῶν τριῶν
» κόσμων.

161. « Πῶς ἂν σχοίη λύπην ἐπὶ τῷ ἀπολωλότι ὁ φρόνιμος
» ἐκεῖνος, ὃς φρονεῖ τὸ μὲν σῶμα ψευδὲς καὶ μάταιον,
» τὴν δὲ ψυχὴν ἰσοδύναμον τῷ χρόνῳ, ὃς ἀεί ἐστι, καὶ
» πανταχοῦ ἐστιν ;

162. « Οἵτινες ἠρνήσαντο τὸ τῆς σαρκὸς φρόνημα, τὸ, « *Τοῦτό*
» *ἐστιν ἐμὸν*, » οὗτοι ἀεὶ οἴκημα τῆς χαρᾶς εἰσιν· ἡ γὰρ
» ἄρνησις τοῦ τῆς σαρκὸς φρονήματος, τμητική ἐστι τῆς
» λύπης, ὡς ἡ ἀξίνη τοῦ δένδρου.

163. « Εἰ ὁ ἄνθρωπος χαρὰν ἔχει μεγάλην, τοῦ οἰκείου αὐξά-
» νοντος τῇ ἡλικίᾳ ἐκ τῆς μειώσεως τῆς ζωῆς, διὰ τί
» λυπεῖται, τελειωθείσης τελευταῖον τῆς ζωῆς ἐκείνου ;

164. « Ἅπαντες οἱ ζωὴν ἔχοντες, ἐκ τῆς ἀνυπαρξίας ἔρχονται,
» καὶ εἰς τὴν ἀνυπαρξίαν ἀπέρχονται· εἰ οὖν τις ἀπέλθοι
» πρότερον, διὰ τί ἐπὶ τούτῳ λύπην ἔχουσιν οἱ μωροί ;

165. « Τίς λυπηθείη ἂν ἐπί τινι ἀποθανόντι, ὅτε ὁ χρόνος
» παίζει ἔνθεν κἀκεῖθεν μετὰ τῶν ἀνθρώπων, ὡς ἑαυτοῦ
» παίδων, ἐν ἀμφοτέραις ταῖς ἀνυπαρξίαις, ὡς ἐν χερσί [2] ;

---

1. Λυμαντικά εἰσιν ὅτε νομίζονται ὡς ἀΐδια· ὅταν δὲ νομισθῶσιν ὡς φθαρτὰ, καὶ καταφρονηθῶσιν, εὐδαίμονες γίνονται οἱ ἄνθρωποι.

2. Ὁ χρόνος παίζει μετὰ τῶν ἀνθρώπων, ἄγων αὐτοὺς ἐξ ἀνυπαρξίας, καὶ μετάγων εἰς ἀνυπαρξίαν, καθὼς ὁ πατὴρ παίζει μετὰ τοῦ ἑαυ-

166. « Καί τοι ἐστὶν, οὐκ ἔστι πλοῦτος ἐκεῖνος, ὃς, συναχθεὶς,
» οὐκ ἐγένετο ἐν χρήσει, οὔτε τρυφῇ, οὔτε μεταδόσει· τοῦ
» γεμὴν τοιούτου εὐχρήστου πλούτου ἀπολεσθέντος ἐκ
» τύχης, οἱ ἄφρονες λυποῦνται.

167. « Τὴν ἀρετὴν, τὴν ἀεὶ χαρὰν διδοῦσαν, ἀγοράζουσιν οἱ
» εὔφρονες διὰ τῶν χρημάτων [1], ἃ λύπην ἀεὶ δίδουσιν ἐν
» τῇ κτήσει, ἐν τῇ φυλακῇ, καὶ ἐν τῇ ἀπωλείᾳ.

168. « Τίς εὐφρανθείη ἂν ἐν τῇ συντυχίᾳ τούτου τοῦ κόσμου,
» ἔνθα διάζευξίς ἐστιν ἀναγκαία ; οὐδὲ γὰρ ἐν κήπῳ ἀ-
» γλαῷ τις εὐφρανθείη ἄν, ἔνθα πῦρ ἐστι, καταφλέγον τὰ
» δένδρα.

169. « Εἰ μέν ἐστι στοργὴ περὶ τὸ σῶμα τοῦ οἰκείου, διὰ τί
» καίουσιν αὐτὸ μετὰ θάνατον ; εἰ δὲ περὶ τὴν ψυχὴν, ὁποία
» λύπη ἐπ' αὐτῇ, ἣ ἀΐδιός ἐστι, καὶ οὐδέποτε ὡράθη ;

170. « Τὰ ὄντα ἔρχονται εἰς τὸ μὴ ὄν· τούτων ἡ μὲν οἰκείω-
» σίς ἐστιν εἰς λύπην [2], ἡ δὲ προσπάθεια, εἰς φθορὰν τῆς
» τετρακτύος τῶν ἀγαθῶν [3]· ἀφέτω οὖν ταῦτα ὁ εὔφρων [4].

171. « Τὰ προσήκοντα γενέσθαι μὴ ἀναβαλλέσθωσαν εἰς τὸ
» μέλλον· τίς γὰρ οἶδε πότερον ποιήσει βέβαιον ὁ χρόνος ;
» τὴν ἀναπέτασιν τοῦ ὀφθαλμοῦ τοῦ ἀνθρώπου ; ἢ τὴν
» κάμμυσιν [5] ;

τοῦ παιδὸς, φέρων αὐτὸν ἀπὸ μιᾶς χειρὸς εἰς ἑτέραν· οἱονεὶ ἔλεγεν· εἰ
ὁ χρόνος ποιεῖ τοὺς οἰκείους, ὡς βούλεται, τί σοι μέλλει τούτου, ὃς
εἶ ξένος ;

1. Διὰ τῆς δόσεως δηλ. τῶν χρημάτων.

2. Τὸ νομίζειν αὐτὰ οἰκεῖα « Τοῦτό ἐστιν ἐμὸν », προξενεῖ τὴν λύπην·
πᾶν γὰρ τὸ οἰκεῖον πιέζει.

3. Ἡ τετρακτὺς τῶν ἀγαθῶν ἐστιν, ὁ πλοῦτος, ἡ τρυφὴ, ἡ ἀρετὴ,
καὶ ἡ ἀθανασία.

4. Ἀφέτω τὴν οἰκείωσιν καὶ τὴν προσπάθειαν.

5. Ζήσεται ; ἢ θανεῖται ;

172. « Ὁ ποιητὴς Βραχμᾶς δίδωσι τὸν μὲν πλοῦτον εἰς μετά-
» δοσιν, τὴν δὲ πτωχείαν εἰς ἄσκησιν· ἀλλ' οἱ μωροὶ
» οὐκ ἀπολαμβάνουσι τὸν καρπὸν τοῦ πλούτου [1] διὰ τῆς
» μεταδόσεως, οὔτε τὰ τῆς πτωχίας, διὰ τῆς ἀσκήσεως,
» δηλονότι τὸν οὐρανὸν καὶ τὴν ἀθανασίαν.

173. « Ὅτε, εἴτε πλούσιος, εἴτε πτωχὸς, ὃς ἐν ἀνέσει ἐστὶ, διὰ
» τὸ μὴ ἔχειν φροντίδας καὶ περισπασμοὺς τῶν τοῦ κό-
» σμου [2], οὐκ ἀσχολεῖται περὶ τὸ πρακτέον [3], τί ποιή-
» σειεν ἂν ἄλλος ταλαίπωρος [4];

174. « Ἡ πλεονεξία, ἡ αὐξανομένη τῇ προσθέσει τοῦ πλούτου,
» καὶ πάσχειν ποιοῦσα τὸν ἔχοντα, παύεται διὰ τῆς ὀλι-
» γαρκείας, καθὼς ἡ φλὸξ τοῦ πυρὸς, ἡ αὐξανομένη τῇ
» ἐπιθέσει τῶν ξύλων, σβέννυται διὰ τοῦ ὕδατος.

175. « Ἡ λαμπρὰ ἄνεσις ἀφανὴς γίνεται διὰ τῆς πλεονεξίας,
» ὡς διὰ καταπετάσματος [5]· ὅσον δ' ἀφαιρεῖται ἡ πλεο-
» νεξία, τοσοῦτον καταφανὴς γίνεται ἡ ἄνεσις.

176. « Ὅστις ἀποβλέπει εἰς τὴν πλεονεξίαν, οὗτος οὐ βλέπει
» τὴν ἄνεσιν, καὶ ἔμπροσθεν οὖσαν· ὅταν δ' ἐκ τῆς πλεο-
» νεξίας ἀποστραφῇ ὁ ἄνθρωπος, τότε βλέπει τὴν ἄνεσιν.

177. « Οἱ σπουδὴν οὐ ποιοῦνται οὔτε εἰς ἐπίτευξιν τοῦ ἀγαθοῦ,
» οὔτε εἰς ἀποφυγὴν τοῦ ἐλθόντος κακοῦ, οὗτοι, καὶ περ
» ζῶντες, λελυτρωμένοι εἰσὶ τοῦ δεσμοῦ τοῦ σώματος, ὡς

---

1. Ὁ μὲν καρπὸς τοῦ πλούτου, διὰ τῆς μεταδόσεως, ἐστὶν ἡ ἀπόλαυσις τοῦ οὐρανοῦ· ὁ δὲ καρπὸς τῆς πτωχείας, διὰ τῆς ἀσκήσεως, ἡ ἀθανασία.

2. Οὐκ ἔχει γυναῖκα καὶ παιδία.

3. Οὐκ ἀσχολεῖται περὶ τὸ πρακτέον, ὁ μὲν πλούσιος δηλ. περὶ τὴν μετάδοσιν, ὁ δὲ πτωχὸς περὶ τὴν ἄσκησιν.

4. Ὅς ἔχει φροντίδας καὶ περισπασμοὺς τῶν τοῦ κόσμου, δηλ. γυναῖκα καὶ παιδία.

5. Καθὼς τὸ λαμπρὸν δωμάτιον ἀφανὲς γίνεται διὰ τοῦ καταπετάσματος.

» τὴν αὐτὴν διάθεσιν ἔχοντες [1], εἴτε ἀγαθὰ, εἴτε κακὰ
» πάρεισιν.

178. «Ὅλβιοί εἰσιν ἐκεῖνοι, οἳ ἀφῆκαν τὰ νόμιμα καὶ ἔθιμα
» ἔργα τῆς ἰδίας φυλῆς, καὶ τὰ κτήματα τοῦ οἴκου· ὁ γὰρ
» νοῦς αὐτῶν, ὡς λύχνος ἐστὶν, ὁδηγῶν εἰς τὴν θείαν
» γνῶσιν, τὴν κεκαλυμμένην τῷ σκότει τῆς ἀγνοίας.

179. «Ἡ ψυχὴ, ἡ διαλύσασα διὰ τῆς θείας γνώσεως τὸν δε-
» σμὸν τῆς ἀγνοίας, καθαρὰ γίνεται, καὶ ἑνοῦται τῷ Βι-
» σνοῦ, τῷ πρωταιτίῳ τοῦ κόσμου.

180. «Ὁ φρόνησιν ἔχων βλέπει τὸν ἐντὸς ὄντα Θεὸν τῷ ἐσω-
» τερικῷ ὀφθαλμῷ, τῷ φωτισθέντι ὑπὸ τοῦ φωτὸς τῆς
» θείας γνώσεως, ὃ διεσκέδασε τὸ σκότος τῆς ἀγνοίας.»

181. Οὕτως ὁ ἄριστος τῶν ἡρώων, καὶ εἰδήμων τῶν τοῦ Νό-
μου Βήσμας, ἐδίδαξε τὸν Ἰουδιστίραν ἐν τῷ σταδίῳ τοῦ
πολέμου τὰ τῆς θείας γνώσεως, λόγοις πολυειδέσι, ῥη-
θεῖσιν ἐν τοῖς ἀρχαιολογικοῖς βιβλίοις.

182. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ
ὀρθοδόξου διδασκάλου Ζηναδάτα ὁ καλὸς καὶ ἐγκρατὴς
Ἀμάρας. Ἔλαβε τέλος τὸ δωδέκατον βιβλίον τῆς Βαλα-
βαράτας, ἡ ὁδός ἐστιν ἡδεῖα, εἰς ἣν ῥέει μέλι ἐκ τοῦ
λωτίου στόματος τοῦ Ἀμάρα.

183. Ἐν τούτῳ τῷ βιβλίῳ, ὃ διαλαμβάνει περὶ τῶν προσηκόν-
των τῷ βασιλεῖ, καὶ περὶ τῶν προσηκόντων πράττεσθαι
ἐν δεινοῖς, καὶ περὶ τῆς θείας γνώσεως, ἐμπεριέχονται
ἐν ἑνὶ Κεφαλαίῳ ἑκατὸν ὀγδοήκοντα καὶ ἓξ στίχοι, κατὰ
τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Πρώτου Κεφαλαίου.
τοῦ Δωδεκάτου Βιβλίου
τῆς Βαλαβαράτας.

1. Ἀδιάφοροί εἰσιν.

ΒΙΒΛ. ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει τὴν πρὸς τὸν Ἰουδιστίραν παρηγορίαν, καὶ τὴν εἰς οὐρανὸν ἄνοδον τοῦ Βήσμα.

1. Διατριβὴν ἐμὲ ὁ Βιάσας, ὁ ὢν μέλας, ὡς τὸ δένδρον, ἡ Ταμάλα, καὶ ἀπόῤῥοια τοῦ Βισνοῦ, οὗ ἐν τῷ λωτίῳ στόματι γλῶσσα ἐγένετο ἡ Σαρασβατὴ, εἰς τὸ ἐξερεύξασθαι λόγους πρὸς ὄφελος τοῦ κόσμου.
2. Ἀκούσας τῶν παρὰ τοῦ Βήσμα ὁ Ἰουδιστίρας, ἀναλαβὼν την λύπην, ἐποίει ἐλεεινολογίας, σκυθρωπὸς ὢν, καὶ μετανοῶν ἐπὶ τοῖς πλημμεληθέντοις.
3. « Εἰ καὶ νενομοθετημένον ἐστὶ πράττεσθαί τι, τοῦτο οὐ » δεῖ πράττεσθαι, ὅτε δυσάρετόν ἐστι καὶ ἄχαρι [1] τοῖς » ἀνθρώποις. Οἴμοι! ὅτι ὑπ' ἐμοῦ ἀνῃρέθησαν οἱ καθ' αἷ- » μα προσήκοντες διὰ τὴν βασιλείαν, ἧς τέλος ἐστὶν ὁ » Ἅδης [2].
4. « Οὗ τὸ γένειον εἰλκύετο ὑπ' ἐμοῦ μετὰ χαρᾶς, παιδίου » ὄντος, εἰς τὸ ἐκμυζῆσαι τὸν ἐν τῷ στόματι αὐτοῦ χυ-

---

1. Νενομοθετημένον ἐστὶ θύειν βοῦν· νῦν δ' οὐ γίνεται τοιαύτη θυσία, ἐπειδὴ ἐξέλιπε τοιοῦτον ἔθος, καὶ διὰ τοῦτο δυσάρεστόν ἐστι καὶ ἄτοπον εἴτις πράττει. Νενομοθετημένον ἐστιν ἀναιρεῖν ἐν πολέμῳ· ἀναιρεῖν ὅμως συγγενεῖς δυσάρεστον κρίνεται καὶ ἄχαρι.
2. Ἡ πρόξενός ἐστι τοῦ ᾅδου.

» μὸν τῆς Ταμβούλας, οὗτος ὁ προπάτωρ [1] ἀνῃρέθη ὑπ' » ἐμοῦ τοῦ διεστραμμένου τὴν καρδίαν, βασιλείας ἐπιθυ- » μία. Ἰού! ἰού!

5. Οὗ ταῖς χερσὶν ἐγὼ ἐκοσμούμην κοσμήμασι κατὰ πάντα » τὰ μέλη, καὶ ἐν ἀγκάλαις ἐφερόμην, οὗτος τετρωμένος » βέλεσι κατὰ πᾶν μέλος, ἐρρίφθη κατὰ γῆς ὑπ' ἐμοῦ τοῦ » διεστραμμένου τὴν καρδίαν, βασιλείας ἐπιθυμίᾳ.

6. « Ὦ ἄνεσις οὐκ ἐγίνετο ἄνευ ἐμοῦ, οὗτος ὁ προπάτωρ, » ὁ ἀνίκητος τοῖς θεοῖς καὶ τοῖς δαίμοσιν, ἐρωτηθεὶς » ὑπ' ἐμοῦ κατὰ τὴν νύκτα, τὸν τρόπον τοῦ θανάτου αὐ- » τοῦ, κατὰ τὴν ἡμέραν ἀνῃρέθη ὑπ' ἐμοῦ τοῦ διεστραμ- » μένου τὴν καρδίαν, βασιλείας ἐπιθυμίᾳ.

7. « Ὑφ' οὗ ἐγὼ ἐδιδάχθην τὴν περὶ τὰ ὅπλα μάθησιν εἰς » ἡδεῖαν θεωρίαν τῆς τῶν ἐχθρῶν ἀναιρέσεως, οὗτος ὁ » προπάτωρ, διὰ τῆς αὐτῆς μαθήσεως ἀνῃρέθη ὑπ' ἐ- » μοῦ τοῦ διεστραμμένου τὴν καρδίαν, βασιλείας ἐπιθυ- » μία, »

8. Ὁ δὲ Βήσμας, ὁ ὀδυνώμενος τοῖς τραύμασι, χαρεὶς τὴν καρδίαν διὰ τὸ σέβας τοῦ Ἰουδιστίρα, ἔφη αὐτῷ ὀδυρο- μένῳ, ἐξάγων ῥήματα ἀγλαὰ, ὡς τὰ κύματα τῆς μη- τρὸς αὐτοῦ Γαγγᾶς·

9. « Μὴ καταλυμαίνῃς, ὦ τέκνον, τὴν κρίσιν τοῦ νοὸς διὰ » τῆς λύπης, καθὼς τὸ πῦρ τὴν ἀναδενδράδα, διὰ τῆς » φλογός· οὔτε σὺ ἀνεῖλες ἐμὲ, οὔτ' ὁ θάνατος, οὔθ' ὁ » χρόνος· ἀνῃρέθημεν δ' ἡμεῖς αὐτοὶ ὑπὸ τῶν ἑαυτῶν » ἔργων.

10. « Τὰ ἔργα παίζουσιν ἀμόχθως μετὰ τῶν ψυχῶν, αἳ λαμ- » βάνουσι διάφορα σώματα κατὰ καιρὸν, γεγενημένα ἐκ

---

1. Δηλαδὴ σύ.

» ἐκ τῆς εἰς τὰ τοῦ κόσμου προσπαθείας [1], καθὼς τὰ παι-
» δία παίζουσι μετὰ διαφόρων πηλίνων πλασμάτων [2],
» ἃ πλάττουσιν εἰς παιδιάν.

11. « Ζωὴ στερεὰ [3] γίνεται τῷ τοιούτῳ ἀσυγκρίτῳ ἀνθρώπῳ,
» ὃς ἐν νομίμοις ἔργοις ἀεὶ ἀσχολεῖται, καὶ εἰς καρπὸν
» τῶν ἔργων οὐκ ἀποβλέπει· πρὸς δὲ, ὅλβος τῷ τοιούτῳ
» γίνεται, τό, τε γένος αὐτοῦ καὶ ἡ μάθησις ἀγλαΐαν λαμ-
» βάνει. »

12. Ἐρωτήσαντος δὲ τοῦ βασιλέως Ἰουδιστίρα, « Τίνι ἀγαθῷ
» ἔργῳ ὁ ἄνθρωπος γνωρισθήσεται, ὅτι ἀγαθὰ πράττει ; »
ὁ υἱὸς τῆς οὐρανίας Γαγγᾶς ἀπεκρίνατο·

13. « Ὅστις δωρεῖται δωρεὰς εἰς παντελῆ ἀπαλλαγὴν τοῦ
« ἄχθους τῶν αἰτούντων, καὶ φυλάττει τὴν ἄρνησιν ἐν τῇ
» ἑαυτοῦ καρδίᾳ [4], ὡς ἐν εἱρκτῇ, καὶ τὰ μὴ δοτέα [5] δί-
» δωσι, καὶ οὐδεμίαν διαφορὰν βλέπει τοῦ οἰκείου καὶ
» ἀλλοτρίου, ἆρα ὁ τοιοῦτος οὐ τιμᾶται ὑπὸ τῆς ἀπα-
» θείας [6] ;

14. « Ὅστις καὶ τοῦ καταφεύγοντος ἐχθροῦ τὰ δεινὰ ἀφαι-
» ρεῖται τῇ ἐγκαταλείψει τῆς οἰκείας ἀρετῆς καὶ τοῦ σώ-
» ματος, καὶ τοῦ πλούτου, οὗτος ὁ ἀκένωτος θησαυρὸς
« τῆς ἀγαθότητος πάντα τόπον λαμπρύνει διὰ τῆς λαμ-
» πρᾶς αὐτοῦ φήμης.

---

1. Ὅταν ὁ ἄνθρωπος ἔχει προσπάθειαν εἰς τὰ τοῦ κόσμου, πάλιν εἰς τὸν κόσμον ἔρχεται ἐν τῇ παλιγγενεσίᾳ.

2. Ποτὲ μὲν τοῦτο τὸ σχῆμα πλάττουσι, ποτὲ δ' ἐκεῖνο.

3. Στερεὰ, δηλ. πολυχρόνιος.

4. Οὐκ ἐξάγει ἐκ τοῦ στόματος αὐτοῦ τὸ ἀρνητικὸν οὔ.

5. Τὰ μὴ δοτέα, τουτέστι τὰ τιμιώτατα, ἢ πάντα τὰ ὄντα, ἃ οὐ δεῖ διδόναι, ὅτε ἔχει κληρονόμους.

6. Ἀπαθὴς δηλ. ἐστίν· ἀπαθὴς δὲ ὢν οὐ μετασωματοῦται, ἀλλ' ἀθάνατος γίνεται.

15. « Ὁ ἀγαθὸς τὴν καρδίαν καὶ ἀνεξίκακος ὢν, γελῶν » βλέπει τὸν ποιήσαντα κακὰ, ταῦτα διανοούμενος· « Οὗτος μέγας εὐεργέτης ἐστὶν ἐμοῦ, ἐπειδὴ τὰ προγεγε- « μένα μοι ἁμαρτήματα ἐξήλειψε διὰ τῆς πρὸς ἐμὲ κα- « κοποιΐας. »

16. « Καθαρὸς τὴν καρδίαν ἐστὶν ἐκεῖνος, ὃς, ὀργιζόμενος » κατ' ἐχθροῦ, χιλιάκις μεγάλα πταίσαντος, ἀφίησιν αὐ- » τὸν μετὰ τιμῆς, καίτοι ἔχει ἐν χερσὶν εἰς ἀναίρεσιν, » εὔσπλαγχνος γινόμενος πρὸς αὐτὸν, ταπεινῶς ἐκε- » τεύοντα.

17. « Ὁ Φιλαλήθης, ὁ ὢν εὔφρων καὶ καρτερικὸς, οὐ λέγει » τὴν ἀλήθειαν, καί περ διαζόμενος [1], ἐξ ἧς ἄλλος με- » γάλα κακὰ πείσεται, καὶ ἐξ ἧς μικροπρέπεια καὶ εὐτέ- » λεια φανήσεται.

18. « Ὅστις, ἐνθυμούμενος τὰ τῆς προτέρας γεννήσεως, καὶ » γινώσκων, οὐ λαμβάνει τὸν ἑαυτοῦ πλοῦτον, τὸν ἀπο- » ταμιευθέντα ἐν τῇ προτέρα ζωῇ, καί περ ὄντα εὔκολον » ληφθῆναι, οὗτός ἐστι σοφὸς, καὶ ἀγαθὸς ἄπλαστος.

19. « Οὗ τινος ἡ καρδία οὐ σκανδαλίζεται ὑπὸ γυναικῶν, » ἔρωτι κατεχομένων, καὶ διαζομένων αὐτὸν εἰς συνου- » σίαν, ὡς εἰς θεραπείαν τοῦ οὗ ἔχουσι πάθους, τούτου » οὐδὲ τὸ πολλοστημόριον ἀρετῆς ἔχει, οὔτε ὁ κατὰ νόμον » γήμας γυναῖκα, οὔτε ὁ ἄγαμος καὶ παρθένος.

20. « Ὅστις ἀνέραστος μέν ἐστι γυναικὸς, τῆς προξενούσης » μεγάλην παράνοιαν, ἐραστὴς δὲ τοῦ ποιεῖν εὐεργεσίας » πρὸς ἄλλους, καὶ οὐδαμῶς φροντίζει τῶν ἡδονῶν καὶ » τρυφῶν, οὗτος ἀπολαμβάνει κυρίως ἄνεσιν.

---

1. Οὐ λέγει ἀλήθειαν ἐπ' ἀνθρώπου, ὃς κινδυνεύει εἰς τὴν ζωὴν, οὐδὲ λέγει, ὡς ἀτιμίαν παρά τινος ἔλαβεν, ἢ λιτὸν βρῶμα ἔφαγε.

21. « Μεγαλόφρων ἐστὶν ἐκεῖνος, καὶ χαρὰν χαίρει ἀνείκα-
» στον, ὃς ἀφῆκε πᾶν ἔθιμον, καὶ πᾶσαν ἄσκησιν, καὶ
» πᾶσαν ἡδονὴν καὶ τρυφὴν, καὶ ἔγνω ἑαυτὸν εἰκόνα τοῦ
» θεοῦ Σίβα [1].

22. « Ὅσοι οὔτ' ἐπαινοῦσιν ἑαυτοὺς, οὔτε ψέγουσιν ἄλλους,
» οὔτε τοὺς αἰτοῦντας ἀποβάλλουσιν, οὔτε αὐτοὶ αἰτοῦσιν
» ἄλλους, καὶ ὅσων τὰ κλέη ἀγλαΐζονται, καθὼς τὰ κύ-
» ματα θαλάσσης ἀμβροσίας, οὗτοι ὑπέρτεροί εἰσι πάντων.

23. « Ὅστις ἐνίκησε τὰ ἓξ πάθη [2], τοὺς ἐχθροὺς τῆς ψυχῆς,
» νουνεχὴς ὢν καὶ ἀνδρεῖος, οὗτος ἀναπαύεται ὑπὸ τὴν
» ἱλαρότητα, ὡς ὑπὸ σκιὰν δένδρου, καὶ ἀναψύχεται, ὡς
» ῥιπιδίοις [3], τοῖς κινουμένοις κύμασι τῆς Γαγγᾶς καὶ
» τῆς Ἰαμουνᾶς [4].

24. « Εὐκλεὴς καὶ εὐδαίμων γίνεται ἐκεῖνος, ὃς δωρεῖται κα-
» τὰ τὴν ἐντολὴν τοῦ νόμου, καὶ ἐναγίζει κατὰ τὴν ἐν-
» τολὴν, καὶ πορεύεται εἰς ἁγίους τόπους κατὰ τὴν ἐντο-
» λὴν, καὶ γινώσκει τὴν τοῦ κόσμου ματαιότητα.

25. « Ὄλβιοί εἰσιν, οἳ, εὐλαβεῖς ὄντες, σέβονται τὸν Σίβαν,
» τὸν ἔχοντα, ὡς στέμμα, τὴν διχότομον Σελήνην, οὗ
» τὴν δύναμιν ἱκανός ἐστιν εἰπεῖν ὁ ὑπερένδοξος Βισνοῦς,
» ὃς ἐστιν ὅμοιος ἐκείνῳ. »

26. Τοῦ μὲν βασιλέως Ἰουδιστίρα ἐρωτῶντος, τοῦ δὲ Βήσμα
ἀποκρινομένου, ὁ Κρισνᾶς λόγον ἐξηρεύξατο βαθὺν [5], ὡς

---

1. Γινώσκει, ὡς ἡ ψυχὴ αὐτοῦ αὐτός ἐστιν ὁ Θεὸς, καὶ ἀμαθὴς, καθὼς καὶ ἐκεῖνος.

2. Ἓξ πάθη τῆς ψυχῆς εἰσιν, ἡ ἐπιθυμία, ὁ θυμὸς, ἡ πλεονεξία, ἡ ἄγνοια, ἡ ὑπερηφάνεια, καὶ ὁ φθόνος.

3. Καθὼς ὁ βασιλεὺς, νικήσας τοὺς ἐχθροὺς, ἔχει σκιάδιον ἐπὶ κεφα-
λῆς, καὶ ῥιπίζεται ῥιπιδίοις.

4. Ἡσυχάζει ἔνθα μιγνύεται ἡ Γαγγὰ, καὶ ἡ Ἰαμουνά.

5. Εἴρηκε δηλ. μεγαλοφώνως.

τὸν ἦχον τῶν ἑπτὰ θαλασσῶν, τῶν ἐν τῇ κοιλίᾳ αὐτοῦ [1].

27. « Καὶ οἱ θεωρητικοὶ πάντες, οἱ πάντα γινώσκοντες, καὶ » ἀεὶ αὐξάνουσαν τὴν τῆς γνώσεως δύναμιν ἔχοντες, οὐκ » εἶδον τὸ πέρας τοῦ αἰθέρος, ὅς ἐστι τὸ ὄγδοον μέρος » τοῦ σώματος τοῦ Σίβα [2].

28. « Τούτου τοῦ Θεοῦ Σίβα ἐν ἑκάστῃ τριχὶ τοῦ σώματος » πολλαὶ τοιαῦται Βραχμάνδαι [3] ἔνεισιν· ἡ δὲ μεγαλειό- » της αὐτοῦ ἀνεκδιήγητός ἐστι καὶ τῷ Βραχμᾷ καὶ τῷ » Βισνοῦ, οἳ κατὰ μέρος εἰσὶν ἐν ἐκείναις ταῖς ἀπείροις » Βραχμάνδαις [4].

29. « Ὅ,τι ὑποκείμενον βλέπει ὁ ὀφθαλμὸς, ὅ,τι διανοεῖται » ἡ διάνοια, καὶ ὅ,τι ἡ γλῶσσα λέγει, τοῦτο ἀθανασίας » ἐστὶ πρόξενον διὰ τῆς θεωρητικῆς γνώσεως, ὅτι τὸ πᾶν » αὐτός ἐστιν ὁ Σίβας [5].

30. « Ὁ Βισνοῦς, οὗ ἐν μὲν τῷ ἐκ τοῦ ὀμφαλοῦ λωτῷ κάθη- » ται ὁ Βραχμᾶς, ἐν δὲ τῇ γαστρί ἐστιν ὁ τριττὸς κό- » σμος, ἀναπαύεταί που ἐν τῷ ὠκεανῷ, τῷ συνιστάντι

---

1. Μυθολογοῦσιν, ὡς ἑπτὰ γαῖαί εἰσι, πέριξ δὲ τῶν γαιῶν ἑπτὰ θάλασσαι· καὶ ὁ μὲν Θεός ἐστιν ἐν τῷ παντί, τὸ δὲ πᾶν ἐν τῷ Θεῷ.

2. Τὰ πέντε στοιχεῖα, ὁ Ἥλιος, ἡ Σελήνη, καὶ ἡ καθόλου ψυχὴ, ὀκτώ εἰσιν, ἐξ ὧν συνίσταται τὸ σῶμα τοῦ Σίβα, ὅηλ. αὐτός ἐστι τὸ πᾶν· ὅτε δὲ ὁ αἰθὴρ, ὅς ἐστιν ἓν τῶν ὀκτὼ συστατικῶν τοῦ σώματος τοῦ Σίβα, ἀπέραντός ἐστι καὶ ἀπεριόριστος, καὶ ἄγνωστος καὶ τοῖς θεωρητικοῖς, πόσῳ μᾶλλον αὐτὸς ὁ Σίβας;

3. Βραχμάνδα ἑφερμηνεύεται θεῖον ᾠὸν, ὅ ἐστι τὸ πᾶν, ὁ οὐράνιος, ὁ ἐπιχθόνιος, καὶ ὁ καταχθόνιος κόσμος.

4. Ἐν ἑκάστῃ Βραχμάνδᾳ Βραχμᾶς ἐστι καὶ Βισνοῦς· ἅπαντες δ' ἑνωθέντες οὐ δύνανται ἐκφράσαι τὴν μεγαλειότητα τοῦ Σίβα. Ἐκ τούτου ἀποδεικνύεται, ὡς ὁ μὲν Σίβας κρείττων, ὁ δὲ Βισνοῦς καὶ ὁ Βραχμᾶς ἥττονες. Ἔπαινος τοῦ Σίβα.

5. Διὰ τῆς δυνάμεως ὅηλ. αὐτοῦ ἕκαστον τῶν ὄντων τὸ εἶναι ἔχει.

» ἐκ τοῦ ῥεύσαντος ἱδρῶτος τῆς κεφαλῆς τοῦ Σίβα [1].

31. « Ὑπερτερεῖ πάντων ὁ τριόφθαλμος μέγας θεὸς Σίβας, ὃς » καταβάλλει τὸ σκότος καὶ τὸ φῶς [2], καὶ διὰ τῆς Θε- » λήσεως, ἐνεργείας καὶ γνώσεως ποιεῖ, τρέφει, καὶ ὀλλύει » τὸ πᾶν [3]. »

32. Οὕτω λέγοντος τοῦ Κρισνᾶ, ὁ Βήσμας, θεὶς ἐν καρδίᾳ τὸν Σίβαν, ἐθεώρει αὐτὸν νοερῶς ἐν ἡσυχίᾳ· οἱ δὲ περὶ τὸν Ἰουδιστίραν, θέντες ἐπὶ τοῦ μετώπου τὰς χεῖρας μετὰ φρίκης, ἐβυθίσθησαν καὶ αὐτοὶ εἰς θεωρίαν.

33. Ἀνανηψάντων δὲ πάντων μετὰ τὸ τέλος τῆς πρὸς τὸν Σίβαν θεωρίας, ὁ Βήσμας ἐξηρεύξατο φωνὴν, καθὼς ὁ ἀλέκτωρ μετὰ τὸ τέλος τῆς βαθείας νυκτὸς, ἐξεγερθέντων τῶν ἀνθρώπων·

34. « Ὅπου ἡ διάνοια πορεύεται, ἔστω καὶ εἰς χόρτον, ἐκεῖ » οἱ φρόνιμοι μετὰ χαρᾶς ἀναπλάττοντες θεωροῦσι τὸ σῶ- » μα τοῦ Σίβα, κεκοσμημένον τοῖς ὄφεσι, καὶ τῇ Γαγγᾷ, » καὶ τῇ ἡμισελήνῳ.

35. « Ὅστις ἔχει μίαν μόνην τῶν ἀρετῶν, ἣν εἶπον, οὗτος » ἔχει πάντα τὰ ἔργα δοῦλα [4]· ὅστις δ' ἔχει πάσας τὰς » ἀρετὰς, ὅσας εἶπον, οὗτος οἰκός ἐστι τοῦ θεοῦ Σίβα.

36. « Ὦ γνῶστα τῶν τοῦ νόμου, καὶ ἀγαθουργὲ βασιλεῦ, ἀναι- » ρεθέντων τῶν συγγενῶν σου ὑπὸ τῶν οἰκείων ἔργων, μὴ

---

1. Μυθολογοῦσιν, ὡς ὁ ὠκεανὸς συνέστη ἐκ τοῦ ἱδρῶτος τοῦ θεοῦ Σίβα.

2. Ἔμπροσθεν αὐτοῦ οὐδέν ἐστι τὸ σκότος καὶ τὸ φῶς, ἐπειδὴ ὑπέρφωτός ἐστιν.

3. Διὰ μὲν τῆς θελήσεως ποιεῖ, διὰ δὲ τῆς ἐνεργείας τρέφει, διὰ δὲ τῆς γνώσεως ὀλλύει τὴν ματαιότητα τοῦ κόσμου.

4. Δηλ. ἀπαλλάττεται τῶν ἁμαρτημάτων, οὐ δεδεμένος ἐστὶ τοῖς ἔργοις.

» λυποῦ, ματαίως ὑποπτεύων· κυβέρνα δὲ τὴν γῆν, ποιῶν
» πᾶν ἀγαθὸν καὶ νόμιμον ἔργον. »

37. Ἐλθὼν δὲ τηνικαῦτα ὁ ἔφορος τοῦ λόγου Βριχασπατὴς, ὀψόμενος τὸν πάσχοντα μαθητὴν, προσκυνηθεὶς τε καὶ ἐρωτηθεὶς, διηγήσατο τὴν ἣν λαμβάνει στάσιν ἐκ τῶν ἔργων μετὰ θάνατον τὸ σῶμα, καὶ ἡ ψυχὴ, καὶ ἀπῆλθεν εἰς τὸν οὐρανόν.

38. Προσκυνηθεὶς δ' ὁ Βήσμας ὑπὸ τοῦ Ἰουδιστίρα, καὶ ἐρωτηθεὶς περὶ τῆς φύσεως τοῦ κόσμου, διηγήσατο πάντα, τέλειος ὢν εἰς τὴν μάθησιν τῆς Βέδας καὶ πάσης ἐπιστήμης.

39. Ἐξαποσταλθέντες δὲ οἱ περὶ τὸν Ἰουδιστίραν παρὰ τοῦ Βήσμα, τῇ προσταγῇ τοῦ Βεάσα, εἰς τὸ βουλευτήριον, τὸ ὂν ἄνευ προστάτου, ἦλθον εἰς τὴν πόλιν ἐφ' ἁρμάτων, ὑπερβαινόντων τὸν ἄνεμον τῇ ταχυτῆτι.

40. Τηνικαῦτα ὁ καθαρὸς τὴν καρδίαν Βήσμας, περικυκλούμενος ὑπὸ Βραχμάνων, καὶ πεπαρμένον ἔχων τὸ σῶμα βέλεσι πολλοῖς, ἐφαίνετο ὡς λωτὸς, περικυκλούμενος ὑπὸ χηνῶν καὶ βομβυλίων.

41. Ὁ δὲ Ἰουδιστίρας ἠγλαΐζετο ἐν τῇ πόλει, ἀδιάφορος ὢν πρὸς οἰκείους καὶ ἀλλοτρίους, δωρητικὸς, κυβερνητικὸς, ἀγαθοεργὸς, εὔθυμος καὶ ἀπαθής.

42. Εἰς θερινὰς δὲ τροπὰς τρεπομένου τοῦ Ἡλίου, ὁ βασιλεὺς Ἰουδιστίρας, παραλαβὼν τὸν Κρισνὰν καὶ τοὺς ἀδελφοὺς, παρεγένετο εἰς τὴν γῆν ἐκείνην, ἔνθα ἔκειτο ὁ Βήσμας.

43. Προσκυνήσας δὲ τὸν Βήσμαν, ὃς εἶχε κεκλεισμένους τοὺς ὀφθαλμοὺς, ὢν ἐν θεωρίᾳ, καὶ λαμπρὸς ἦν κατὰ τὸ κλέος, ὡς ἡ Σελήνη, ἔφη· « Ὁ Ἰουδιστίρας προσκυνεῖ σε· » κἄπειτα ἐκάθισεν ἐνώπιον αὐτοῦ.

44. Ὁ δὲ Βήσμας, ἀνοίξας τοὺς ὀφθαλμοὺς, οὗ εἰς τὸ λώτιον πρόσωπον ἀπέβλεπον πολλοὶ ὅσιοι Βραχμᾶνες, ὄντες ἐν

ἀφωνίᾳ, καὶ ἰδὼν τὴν σύνοδον, ἔφη τῷ Ἰουδιστίρᾳ·

45. «Εἰς καλὸν ἐφάνης σήμερον· ἐγὼ δύω μῆνας κεῖμαι ἐπὶ »βελῶν· νῦν δὲ, τοῦ Ἡλίου ἐλθόντος ἐπὶ τροπὰς θερινὰς, »ἄπειμι εἰς χώραν ἀγαθήν.»

46. Τοιαῦτ' ἄττα εἰπὼν ὁ Βήσμας, στρέψας τοὺς ἐφθαλμοὺς, εἶπε πρὸς τὸν Δρυταράστραν· «Μὴ ἔσο ἄθυμος· εὔθυμος »δ' ὢν, εὔφρανε, ὡς υἱὸν, τὸν βασιλέα Ἰουδιστίραν.»

47. Ὑμνήσας δ' ἔπειτα τὸν Κρισνᾶν, καὶ προσκυνήσας αὐτὸν, καὶ λαβὼν ἄδειαν παρ' αὐτοῦ, ἀφῆκεν ὁ μεγαλόφρων τὸ σῶμα, ἐξ οὗ ἐξῆλθον τὰ βέλη πάντα τῇ ἐπισχέσει τῆς πνοῆς [1].

48. Τὸ δὲ πνεῦμα, διαῤῥῆξαν τὴν κορυφὴν τοῦ Βήσμα, ἐξῆλθεν, ὡς φῶς, καὶ λάμψιν ἡλιακὴν περὶ τὸ σῶμα ἐποίησε τοσαύτην, ὅση οὐδέποτε πρώην ἐγένετο· κἄπειτα ἀνῆλθεν εἰς τὸν οὐρανόν.

49. Ἑτοιμάσαντος δὲ τοῦ Ἰουϊουτσοῦ κλίνην λαμπρὰν, τεθεὶς ἐπ' αὐτῆς ὁ νεκρὸς, ἐκομίζετο ἐπὶ τὴν πυρὰν τὴν ἐκ ξύλων Σανδάνου· καὶ ὁ μὲν Ἰουδιστίρας ἐκράτει σκιάδιον ἐπὶ τοῦ νεκροῦ· ὁ δὲ Βήμας καὶ ὁ Ἀρζούνας ἐῤῥίπιζον ἑκατέρωθεν ῥιπιδίοις.

50. Τοῦ μὲν οὖν σώματος τοῦ Βήσμα ἐν ἀγκάλαις τοῦ πυρὸς τεθέντος [2] διὰ τὴν ὁμοιότητα τῆς λάμψεως, ἣν εἶχον ἄμφω, οἱ περὶ τὸν Ἰουδιστίραν ἐλούσαντο ἐν τοῖς ὕδασι τῆς Γαγγᾶς.

51. Ἡ δὲ Γαγγὰ, λαβοῦσα τὴν προτέραν ἐκείνην μορφὴν [3], μεγάλως ἐθρήνει λέγουσα· «Ἰού! ἰού! σὺ, υἱὲ, ἀναιρεθεὶς

---

1. Ἐπέσχε τὴν πνοήν· ἐκ δὲ τῆς ἐπισχέσεως τῆς πνοῆς ἐξῆλθον τὰ βέλη ἐκ τοῦ σώματος, κἄπειτα ἐξέπνευσε.

2. Δηλ. κατακαυθέντος.

3. Δηλ. ἐκείνην τὴν γυναικείαν μορφὴν, ἐξ ἧς ἐγεννήθη ὁ Βήσμας.

« ὑπὸ τοῦ Σικανδῆ, ὡς ἐλέφας ὑπὸ κώνωπος, ποῖ ἐπο-
« ρεύθης ; » Παρηγορουμένη δ' ὑπὸ τοῦ Κρισνᾶ οὕτωσί·
« Ὁ υἱός σου ἀνίκητος ἦν καὶ αὐτῷ τῷ Ἴνδρᾳ· ἔθανε δὲ
« τῇ οἰκείᾳ θελήσει, εἰς τὸ λαβεῖν θεῖον σῶμα· μὴ οὖν
« θρήνει, » ἡσύχασε καὶ αὐτὴ καὶ πάντες οἱ ἰχθύες [1].

52. Προσκυνήσας δ' ὁ Ἰουδιστίρας τὸ τῆς Γαγγᾶς ὕδωρ, ὃ ῥέει ἐκ τοῦ πλοκάμου τοῦ Σίβα, ὡς ἐκ στάμνου, εἰς ὠφέλειαν τοῦ κόσμου, ἐπανέζευξεν εἰς τὴν πόλιν μετὰ τῶν ἀκολούθων, αὐξάνων τῇ ἡρωϊκῇ ἀνδρείᾳ καθ' ἑκάστην.

53. Σεβέσθω ὡς βομβύλιος, τὸν λώτιον πόδα, κ.τ.λ. ἔλαβε τέλος αὕτη ἡ δεκάτη τρίτη Πάρβα, ἣ διαλαμβάνει *Περὶ παρηγορίας*, τοῦ μεγάλου Ποιήματος τῆς Βαλαβαράτας, ἣ συνετάχθη ὑπὸ τῆς γλώττης ἐκείνου τοῦ Ἀμάρα.

54. Ἐν ταύτῃ τῇ Πάρβᾳ ἐν ἑνὶ κεφαλαίῳ ἐμπεριέχονται στίχοι ὀγδοήκοντα καὶ ἓξ, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Δεκάτου Τρίτου Βιβλίου

τῆς

Βαλαβαράτας.

---

1. Ταραττομένης τῆς Γαγγᾶς, ἐταράττοντο καὶ οἱ ἰχθύες.

ΒΙΒ. *ΔΕΚΑΤΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει περὶ τῆς ἱπποθυσίας.

1. Εἰς χαρὰν ὑμῶν ἔστω ὁ Βεάσας, ὁ ὢν ὡς δένδρον πέραν τοῦ ὠκεανοῦ τούτου τοῦ κόσμου, οὗ τὸ ἄνθος, ὁ λόγος, οὐκ ἔρχεται εἰς ἀπόλαυσιν τοῦ ἀτυχοῦς καὶ κακοδαίμονος [1].
2. Πεσὼν δ' ἔπειτα ὁ βασιλεὺς Ἰουδιστίρας εἰς πέλαγος ἀνίας ἐπὶ τῷ θανάτῳ τοῦ Βήσμα, ἀνελήφθη εὐθέως ὑπὸ τοῦ Δρυταράστρα, Κρισνᾶ, καὶ Βεάσα,
3. Ὧν ἐκ τῆς συμβουλῆς γνώμην ἔθετο τελέσαι ἱπποθυσίαν, ἣ καταπυρπολεῖ τὰ ἁμαρτήματα, καθὼς ἡ φλὸξ τοῦ πυρὸς τὰ δένδρα.
4. Ἄμοιρος δ' ὢν πλούτου, ὃν κατηνάλωσεν εἰς πόλεμον, πολλὴν εἶχε λύπην καὶ ἀπορίαν ἐν τελεσιουργίᾳ τοιαύτης μεγάλης θυσίας, καθὼς ὁ ἄμοιρος νοὸς ἐν κτήσει παιδείας.
5. Πρὸς ὃν ἔφη ὁ Βεάσας· « Πολὺς χρυσὸς, ὃς ἀπελείφθη

---

* Τὸ χειρόγραφον φέρει Κεφάλαιον.

1. Ἀτυχὴς ἐκεῖνός ἐστιν, ὃς οὐκ ἀκούει τοῦ λόγου τοῦ Βεάσα, τοῦ ὄντος ἔξω τοῦ πολυταράχου κόσμου, τοῦ ἀπαθοῦς δηλ. καὶ ἁγίου, καθὼς δυστυχής ἐστιν ἐκεῖνος καὶ ἄπορος, ὃς οὐ δύναται ἀπολαῦσαι τοῦ ἄνθους δένδρου, τοῦ ὄντος πέραν τοῦ ὠκεανοῦ, δηλ. μακράν· πτωχὸς γὰρ ὢν, οὐ δύναται ὠνήσασθαι, ὡς πολύτιμον.

» ἐκ τῆς θυσίας τοῦ βασιλέως Μαρούττα, κεῖται, ὡς παῖς,
» ἐν τῷ κόλπῳ τοῦ ὄρους Ἰμαοῦ.

6. « Τοῦτον τὸν χρυσὸν λαβὼν, βασιλεῦ, τέλεσον μεγάλην
» θυσίαν· καὶ τὸν μὲν κόσμον ἔξω ὀφειλήματος ποίησον [1],
» τὰ δὲ πλήθη τῶν ἐγκλημάτων ἐξάλειψον. »

7. Ταῦτα εἰπὼν τῷ βασιλεῖ ὁ Βεάσας, ὁ προσκυνούμενος ὑπὸ τῶν θεῶν, λαβὼν ἄδειαν, ἀνῆλθεν εὐθέως, ὡς ἀστραπὴ, εἰς τὸν οὐρανὸν μετὰ τῶν ὁσίων.

8. Παρακληθεὶς δ' ὁ Κρισνᾶς ὑπὸ τοῦ Ἀρζούνα ἐν τῇ κατ' οἶκον διατριβῇ, εἰς τὸ εἰπεῖν τὴν Γητὰν ἐκείνην, εἶπε πάλιν αὐτὴν ἐν ἄλλοις λόγοις [2]· ποῦ γὰρ ἡ φράσις ἐκείνη ;

9. Ἡ δὲ Δβαρικὰ [3] χαροποιὰ ἐγένετο ὑπὸ τοῦ Κρισνᾶ, ἐλθόντος, ὃς ὑπέσχετο τῷ Ἰουδιστίρᾳ ἀναστρέψειν ἐν ἀρχῇ τῆς τελεσθησομένης θυσίας.

10. Βουλόμενος δ' ὁ βασιλεὺς Ἰουδιστίρας θυσίαν τελέσαι, ἐκόμισεν ἐκ τοῦ ὄρους Ἰμαοῦ ἐκεῖνον τὸν χρυσὸν, ὃς ἦν καρπὸς τοῦ δένδρου τῆς πρὸς τὸν Σίβαν θεραπείας.

11. Ἐπειδὴ δ' ὁ Θεὸς Κρισνᾶς ἦν ἀεὶ ἐν τῇ καρδίᾳ τοῦ Ἰουδιστίρα, διὰ τοῦτο ἐπανῆλθε ταχέως, ἐννοῶν τὴν περὶ τῆς θυσίας γνώμην ἐκείνου.

12. Ἐν τούτῳ τῷ χρόνῳ ἐγέννησεν ἡ Οὐτταρὰ υἱὸν, κεκαυμένον ἐκ τοῦ βέλους τοῦ Ἀσβατάμα, καθὼς τὸ δένδρον γεννᾷ καρπὸν ἄχρηστον ἐκ τῆς θερμότητος τοῦ ἀνέμου.

13. Ἐλεήσας δ' ὁ Κρισνᾶς θρηνούσας, τὴν Πριτὰν, καὶ τὴν Σουβαδρὰν, καὶ τὰς λοιπὰς γυναῖκας, ἐζώωσε τὸν παῖδα εὐθέως τῇ ὁράσει, καθὼς τὸ νέφος τὸν βάτραχον τῇ βροχῇ.

14. Ὠνόμασε δ' αὐτὸν Παριξίταν ἐτυμολογικῶς, διότι ἐ-

---

1. Δηλ. πάντας πλουσίους ποίησον διὰ τῶν δωρεῶν.
2. Ἦν τὸ αὐτὸ μὲν νόημα, ἄλλαι δὲ λέξεις.
3. Λέγεται καὶ Δβαρακά.

γεννήθη ἐν τῷ διεφθαρμένῳ γένει τῶν Καουραβῶν [1].

15. Τῇ δὲ προσταγῇ τοῦ Βεάσα παρασκευὴ πολυτελὴς καὶ πολυθαύμαστος ἐγένετο ὑπὸ τοῦ βασιλέως Ἰουδιστίρα, εἰς τελεσιουργίαν τῆς θυσίας.

16. Ἀπολύσας δ' ὁ βασιλεὺς Ἰουδιστίρας ἵππον μέλανα [2], φυλαττόμενον ὑπὸ τοῦ Ἀρζούνα, ἤρξατο τῆς θυσίας κατὰ τὸν νόμον, ἐν τῷ τέλει τῆς πληρουμένης σελήνης τοῦ Μαρτίου μηνός.

17. Ἐπειδὴ δὲ ἐπετάχθη ὑπὸ τοῦ Ἰουδιστίρα ὁ Ἀρζούνας, ἵνα μή τις τῶν βασιλέων ἀναιρεθείη, διὰ τοῦτο ἐταπείνου μόνον τοὺς βασιλεῖς, καθὼς ὁ ἄνεμος τοὺς θάμνους.

18. Ἀκολουθῶν δὲ τῷ ἵππῳ ὁ Ἀρζούνας, νικήσας ἐν τρισὶν ἡμέραις τὸν βασιλέα τῆς Πραγγεοτίσσης χώρας Βαζραδάταν, ἀφίκετο εἰς τὴν χώραν Σιδοῦν.

19. Ἡ δὲ Δουσσαλὰ, ἡ ἀδελφὴ τοῦ Δουριοδάνα, ἐλεεινὴ οὖσα, δακρυῤῥοοῦσα, ἐν ἀγκάλαις ἔχουσα παῖδα, ὡς λωτὸς ἔχων ῥανίδας δρόσου, καὶ χῆνα πλησίον, ἐλθοῦσα πρὸς τὸν

20. εὔσπλαχνον Ἀρζούναν, ὃς ἐγένετο ὄλεθρος, ὡς τὸ ὑδροφόρον νέφος τοῦ πυρὸς, τοῦ θυμοῦ τοῦ βασιλέως τῆς Σινδοῦς Ζαϊατράτα [3], ἔφη·

21. « Ὦ ἀδελφὲ, ὁ ἐμὸς υἱὸς ἐκ μόνου τοῦ ἀκουσθέντος ὀνό-» ματός σου ἔλαβεν ἀνυπαρξίαν [4], καθὼς ἡ γένεσις τῶν » ἀνθρώπων λαμβάνει ἀνυπαρξίαν ἐκ μόνου τοῦ ἀκου-» σθέντος ὀνόματος τοῦ Σίβα [5].

---

1. Οὐδεὶς γὰρ ἔμεινεν ἐν τῷ γένει· καὶ οἱ υἱοὶ γὰρ τοῦ Δρυταράστρα ἀπέθανον, καὶ οἱ υἱοὶ τῶν Πανδοϊδῶν.

2. Ὁ Ζαϊμινὴς, ὃς γράφει εἰς πλάτος περὶ ἐκείνης τῆς θυσίας, λέγει ὡς ὁ ἵππος ἦν πολυχρώματος.

3. Ὁ Ζαϊατράτας ἀνὴρ ἦν τῆς Δουσσαλᾶς, ὃς ἀνῃρέθη πρότερον ἐν τῷ πολέμῳ ὑπὸ τοῦ Ἀρζούνα.

4. Δηλ. ἀπέθανε.

5. Οὐ μεταγεννῶνται δηλ.

22. « Οὗτος, ὁ παῖς υἱωνός ἐστι τοῦ Ζαϊατράτα, καὶ υἱὸς τοῦ » υἱοῦ μου· γενοῦ οὖν τούτου προστάτης εἰς κτῆσιν τῆς » βασιλείας. »

23. Ἀκούσας δ' ὁ Ἀρζούνας τὸν θάνατον τοῦ ἑαυτοῦ συγγενοῦς, ἐμέμψατο τῇ ἑαυτοῦ ἀφίζει κατ' ἐκεῖνα τὰ μέρη· καὶ χειροτονήσας βασιλέα τὸν παῖδα, παρηγόρησεν ἐκείνην τὴν Δουσσαλάν.

24. Ξηραίνων δὲ τῇ ἑαυτοῦ θερμότητι τὸ κλέος τῶν ἐχθρῶν, ὡς ὁ Ἥλιος τὸ ὕδωρ, ἀφίκετο εἰς τὴν πόλιν Μανιπούραν, καθὼς ὁ Ἥλιος εἰς τὴν πόλιν Πασσαπανιπούραν [1].

25. Ὁ δὲ βασιλεὺς ἐκείνης τῆς χώρας, Βαβρουβαχάνας [2] τοὔνομα, ἦλθε μετὰ παντὸς τοῦ στρατοῦ, καὶ προσεκύνησεν τὸν Ἀρζούναν ὑϊκῶς καὶ εὐλαβῶς.

26. Ἐπιθυμῶν δ' ὁ Ἀρζούνας ἰδεῖν τὴν ἀνδρείαν τοῦ υἱοῦ, ἔλεξε λόγον, εἰς θαῦμα φέροντα τὰς καρδίας τοῦ στρατοῦ·

27. « Οὐκ ἔστιν ἡδεῖά μοι καὶ ἀρεστὴ ἡ πρὸς ἐμέ σου προ- » σκύνησις, ἡ οὖσα ἄνευ πολέμου· παρὰ μὲν γὰρ τοῖς » Σούδραις τὸ μεγαλεῖον καὶ τὸ σέβας θεωρεῖται ἐκ τῆς » ἡλικίας, παρὰ δὲ τοῖς Ξατραῖς ἐκ τῆς ἀνδρείας. »

28. Τηνικαῦτα ἡ ὀφιογενὴς Οὐλουπὴ, ἡ σύνευνος τοῦ Ἀρ- ζούνα, διαῤῥήξασα τὴν γῆν, ἐξῆλθε καὶ εἶπε πρὸς τὸν μεγαλοβραχίονα Βαβρουβαχάναν·

29. « Ὁ σὸς πατὴρ, τέκνον, ὁ τῶν ἐχθρῶν ὀλέτωρ, ἐπιθυ- » μῶν θεωρῆσαι τὴν σὴν ἀνδρείαν, μάχην θέλει, ὡς ξενίαν » καὶ ὑποδοχήν. »

30. Ἀκούσας ὁ Βαβρουβαχάνας, ἀφῆκε τὰ τῆς ξενίας καὶ ὑπο- δοχῆς, καὶ ἀναβὰς τὸ ἅρμα, ἔκαμψε τὸ τόξον ἑαυτοῦ καὶ τὴν ὀφρὺν ὁμοῦ.

---

1. Πασσαναπούρα, ἡ πόλις τοῦ Βαρούνα, ἥ ἐστι κατὰ τὴν δύσιν.
2. Υἱὸς ἦν τοῦ Ἀρζούνα ἐκ τῆς Σιτραγκάδας.

31. Πόλεμον οὖν συνεκρότησαν ὁ πατὴρ καὶ ὁ υἱὸς, ἐπισκιάσαντες τὸν Ἥλιον τοῖς βέλεσιν, ὥςπερ μὴ ἀνεχόμενοι ἐξ αἰσχύνης δεῖξαι ἑαυτοὺς τῷ κόσμῳ.

32. Τούτων τὰ βέλη ἀνιόντα εἰς τὸν οὐρανὸν, καὶ κατιόντα εἰς τὴν γῆν, καὶ διὰ τῆς γῆς εἰσδύοντα εἰς τὸν καταχθόνιον κόσμον, ἐδείκνυόν πως τὸν τόπον τῆς φήμης αὐτῶν [1].

33. Ὁ μὲν οὖν Βαβρουβαχάνας, οὗ ὁ ἡνίοχος ἀνῃρέθη ὑπὸ τοῦ Ἀρζούνα, κατέβη ἀπὸ τοῦ ἅρματος, θυμούμενος, ὥςπερ λέων ἀπὸ κορυφῆς ὄρους.

34. Τὰ δὲ βέλη τοῦ Ἀρζούνα, διαῤῥηγνύμενα τοῖς βέλεσι τοῦ Βαβρουβαχάνα, ἔπιπτον ἄπρακτα, καθὼς αἱ φλόγες τοῦ πυρὸς τοῖς ἐκ τοῦ νέφους ὕδασι.

35. Γανωθεὶς δὲ λίαν τὴν καρδίαν ὁ Ἀρζούνας ἐπὶ τῷ δεινῷ πολέμῳ τοῦ υἱοῦ, ἔβαλλε βέλη ἀτόνως καὶ χαύνως.

36. Βληθεὶς δὲ τὸ στῆθος καιρίως βέλει τοῦ Βαβρουβαχάνα, διαταραχθεὶς, ἔπεσεν, ὡς ὄρος ἐληλθὲν σκηπτῷ.

37. Τοῦ μὲν δὴ Ἀρζούνα, τοῦ νικητοῦ τῶν τριῶν κόσμων, καὶ ἀνικήτου καὶ αὐτῷ τῷ Σίβᾳ ἐν πολέμῳ, τρωθέντος βέλει, φωνὴ ἐγένετο ἐξ οὐρανοῦ· « Ἰού! ἰού! »

38. Ὁ δ' υἱὸς, τῆς Σιτραγκαδᾶς, ἰδὼν τὸν πατέρα πεσόντα, ὠλιγοθύμησε, καθὼς τὸ τοῦ ἡλιολίθου πῦρ σβέννυται, ὅταν ὁ Ἥλιος δύῃ.

39. Ἐλθοῦσα δ' ἡ Σιτραγκαδὰ καὶ ἰδοῦσα τὸν ἄνδρα ἑαυτῆς ἀναιρεθέντα ὑπὸ τοῦ υἱοῦ, ὠδύρετο, ἀθυμίαν ἔχουσα καὶ μελαγχολίαν·

40. « Οἴμοι! τί ἐγένετό σοι, ἀγαπητὲ καὶ καλοκἀγαθε, ἐλ- » θόντι εἰς τὴν ἐμὴν οἰκίαν τῆς σεαυτοῦ γυναικός;

41. « Καίπερ μετὰ πολὺ ἐλθὼν, ὦ Κύριε, οὐδὲν εἶπες ἐμοὶ

---

1. Ὅτι ἐν τοῖς τρισὶ κόσμοις ἐστὶν ἡ φήμη αὐτῶν.

» τῇ δούλῃ σου εἰς θεραπείαν προσήκουσαν· ἆρα ὑπνώττεις,
» εὐφρανθεὶς τῇ ξενίᾳ τοῦ υἱοῦ σου; »

42. Τοιαῦτα μεγαλοφώνως ὀδυρομένη, καὶ κλαίειν ποιοῦσα καὶ τοὺς ὄρνιθας, ἀγκαλισαμένη σφοδρῶς τὴν σύνανδρον Οὐλουπῆν, ἐκυλίετο κατὰ γῆς.

43. Ἐλθὼν δ' εἰς αἴσθησιν ὁ Βαβρουβαχάνας, ἐθρήνει κατηγορῶν ἑαυτοῦ, καὶ γνώμην ἔθετο θανεῖν, λίαν ἀχθόμενος.

44. Ὑπὸ δὲ τῆς Οὐλουπῆς τεθεὶς ἐν τῷ στήθει τοῦ ἀνδρὸς λίθος πολύτιμος, ἤνεγκε τὴν ψυχὴν αὐτοῦ, νικήσας τὸν θάνατον.

45. Ἀναστὰς δ' ὥσπερ ἐξ ὕπνου ὁ Ἀρζούνας, εἶδε τοὺς περὶ ἑαυτὸν, ὧν τὰ ἐξ ὀφθαλμῶν δάκρυα τῆς λύπης ἀπεπλύθησαν τοῖς τῆς χαρᾶς δάκρυσι.

46. Πρὸς ὃν εἶπεν ἡ Οὐλουπῆ, ἐνώσασα τὰς παλάμας, ἣ ἦν πηγὴ ἀμβροσίων λόγων· « Μακάριος εἶ, ἄνερ· τοῖς
» γὰρ μακαρίοις ἤττα γίνεται ὑπὸ υἱοῦ.

47. « Ὅτε ὁ Βήσμας ἀνῃρέθη, τοιαύτη ἀρά σοι ἐδόθη παρὰ
» τῶν θεῶν Βασαξῶν· « Ἀναιρεθήτω ὁ Ἀρζούνας ὑπὸ τοῦ
« οἰκείου υἱοῦ· » ἄλλως γὰρ, τίς ἂν εἴη νικητὴς κατὰ σοῦ;

48. « Ἱκετευθέντες δ' ἐκεῖνοι οἱ θεοὶ ὑπὸ τοῦ ἐμοῦ πατρὸς,
» διά τε τὴν πρὸς σὲ ἀγάπην, καὶ διὰ τὴν πρὸς ἐμὲ εὐ-
» σπλαγχνίαν, ἔδωκαν αὐτῷ τοῦτον τὸν πολύτιμον λίθον,
» ὃς ἐστιν ἀναιρετικὸς τοῦ θανάτου, καθὼς ὁ Ἥλιος τοῦ
» ζόφου. »

49. Τοιούτοις λόγοις ἤσθη ὁ Ἀρζούνας· ἀσπασάμενος δ' ἔπειτα ἀμφοτέρας τὰς συνεύνους καὶ τὸν υἱόν, ἀνεχώρησε, καὶ παρακολουθῶν τῷ ἵππῳ, ἐχειρώσατο πᾶσαν τὴν γῆν, μέχρι τῶν ὁρίων τοῦ ὠκεανοῦ.

50. Προστάξας δὲ πᾶσι τοῖς βασιλεῦσι συνελθεῖν εἰς τὴν θυσίαν, ἐπανέζευξε, χαίρων, εἰς τὴν πόλιν Χαστιναπούραν, παρατείνας τὸ κλέος αὐτοῦ.

51. Θυσιαστήριον δὲ δι' ὅλου χρυσοῦν (ὁλόχρυσον) ὑπὸ τοῦ βασιλέως Ἰουδιστίρα ἐποιήθη, καὶ ἐφαίνετο ὡς Ἥλιος ἀναιρετικὸς τῆς νυκτὸς, ἡ ἀνάρμοστός ἐστι ταῖς δωρεαῖς [1].

52. Ἡ μὲν θυσία ἀρχὴν ἔλαβε, χαρὰν ποιοῦσα ταῖς καρδίαις πάντων, καὶ ἐφαίνετο ὡς ἅγιος τόπος, ἔνθα συνέρχονται βραχμᾶνες καὶ βασιλεῖς.

53. Εἷς δὲ χάριν τοῦ βασιλέως Ἰουδιστίρα, ὁ Βεάσας αὐτὸς ἱερὸς ἦν πρῶτος ἐκείνης τῆς θυσίας, ἐπιστατῶν τοῦ τελεσθῆναι αἰσίως.

54. Τὸ σκότος τοῦ κόσμου διεσκεδάσθη τριχῇ, τῷ τε φωτὶ τῆς καθαρᾶς καρδίας τοῦ βασιλέως, καὶ τῇ λάμψει τοῦ πυρὸς τῆς θυσίας, καὶ τῇ μαρμαρυγῇ τοῦ χρυσοῦ τῶν δωρεῶν.

55. Μεταξὺ δὲ τοῦ ἔργου τῆς θυσίας, οἱ μὲν Δεβαρσσαὶ, καὶ οἱ Σίδαι, καὶ οἱ Γανδάρβαι, καὶ οἱ Κιννάραι ᾖδον αἴσια· αἱ δὲ Ἄψαραι ἐχόρευον ἡδέως.

56. Οἱ μὲν Βραχμᾶνες τέλος ἐποίησαν τοῦ ἔργου τῆς θυσίας, ὡς νόμος, τέρψαντες τὸ πῦρ, ὃ ἐξήλειψε τὸ τοῦ βασιλέως ἁμάρτημα, ὅπερ συμπεραίνεται ἐκ τοῦ ἀναδιδομένου καπνοῦ [2].

57. Ὁ δὲ μεγαλόδωρος βασιλεὺς ἐδωρήσατο τῷ Βεάσᾳ πᾶσαν τὴν γῆν, ἣ κεῖται ἐν τῷ μέσῳ τῶν τεσσάρων θαλασσῶν, ὡς ὁ λωτὸς ἐν μέσῳ τῶν ὑδάτων.

58. Δωρησάμενος δὲ καὶ τοῖς Βραχμᾶσιν ἀναρίθμητον χρυσὸν, ἔλαβε πάλιν τὴν γῆν, ἣν ἔδωκε, τοῦ Βεάσα παρακαλέσαντος καὶ οὕτω θελήσαντος.

59. Τηνικαῦτα οἱ Βραχμᾶνες εὐφραίνοντο, ὄντες ἐν μεγάλοις

---

1. Ἐν γὰρ νυκτὶ δωρεαὶ οὐ γίνονται, ἐκτὸς εἰ μὴ ἐν ἐκλείψει σελήνης, ἢ ἐν γεννήσει υἱοῦ.

2. Δηλ. ὁ καπνὸς ἦν τὸ ἐξαλειφθὲν ἁμέρτημα· τὸ γὰρ ἁμάρτημα καὶ πᾶν κακὸν, μέλαν ἐστί.

σωροῖς χρυσοῦ, καθὼς οἱ θεοὶ ἐν ταῖς κορυφαῖς τῆς χρυσῆς Μεράτης.

60. Μετὰ ταῦτα ὁ βασιλεὺς, ὁ ποιῶν πάντα τὰ προσήκοντα, ποιήσας τὴν προσήκουσαν τιμὴν τοῖς βασιλεῦσιν, ἀπέπεμψεν αὐτοὺς, οἳ καὶ ἀπῆλθον οἴκαδε, ἐπαινοῦντες αὐτόν.

61. Μεγάλη δ' εὐωχία ἐγένετο ὑπὸ τοῦ βασιλέως τοῖς συνελθοῦσι Βραχμᾶσιν· ἔνθα ἦν βουτύρου καὶ γάλακτος ποταμοὶ, καὶ λιπαρῶν ἐδεσμάτων σωροί.

62. Ἐτίμησε δ' ὁ βασιλεὺς, ὡς ἔδει, καὶ τὸν Δρυταράστραν, καὶ τὴν Γανδαρὴν, καὶ τὸν Βιδούραν, καὶ τὸν Σανζαΐαν, ὡς θεοὺς, ἐμφανισθέντας ἐκ τῆς ἀρετῆς αὐτοῦ.

63. Ἐνταῦθα ἐξῆλθεν ἐκ τῆς γῆς τοῦ θυσιαστηρίου εἷς ἰχνεύμων, χρυσοῦς κατὰ θάτερον πλάγιον τοῦ σώματος, καὶ περιήρχετο εἰς τὸ μέσον τῶν Βραχμάνων.

64. Τοὺς δὲ περὶ τὸν βασιλέα θαυμάζοντας ἐπὶ τῷ χρυσῷ χρώματι, εἰς θαῦμα μεῖζον ἤγαγεν ὁ ἰχνεύμων αὐτὸς, φωνὴν ἀνθρωπείαν μετὰ θάρρους ἐξερευξάμενος·

65. « Αὕτη ἡ θυσία, ἔφη, ἡ τελεσθεῖσα ὑπὸ τοῦ Βεάσα καὶ τῶν « λοιπῶν βραχμάνων, καὶ τέρψασα τὸν Ἴνδραν, καὶ τοὺς » λοιποὺς θεοὺς, πῶς ἂν ὀλίγην γοῦν ὁμοιότητα λάβοι χοί- » νικι πτισσάνης ;

66. « Αὕτη ἡ εὐωχία, πολυδάπανος μέν ἐστιν εἰς εὐφροσύνην » πως τῶν ὀφθαλμῶν, ὀλιγόκαρπος δὲ, καθὼς τὸ δένδρον » Βάτα, μέγα μὲν σῶμα ἔχει καὶ σκιὰν, μικρὸν δὲ τὸν » καρπόν. »

67. Ἐρωτηθεὶς δὲ ὁ ἰχνεύμων, τίς εἴη αὕτη ἡ χοίνιξ πτισσάνης, « Πάλαι, ἔφη, ἐτύγχανεν ὢν ἐν τῇ Κουρουξέτρᾳ Βραχ- « χμάν τις ἐνάρετος.

68. « Ἐπειδὴ δὲ οὐχ εὗρισκε σταχυολογίαν, καὶ καρπολογίαν, » δι' ἧς ἔζη οὐχὶ μόνον αὐτὸς, ἀλλὰ καὶ οἱ λοιποὶ, οἱ γι- » νώσκοντες αὐτὸν, ἦσαν πάσχοντες· τί παράδοξον ;

» καὶ οἱ ἐχθροὶ γὰρ πάσχουσι τῷ πάθει τῶν ἀγαθῶν.

69. « Ἀφορίας γὰρ οὔσης, καὶ μὴ οὔσης σταχυολογίας καὶ » καρπολογίας ἐν ἁπάσῃ τῇ γῇ, περιερχόμενος, εὕρηκέ ποτε » μίαν χοίνικα πτισσάνης.

70. « Ποιήσας δὲ τὰς νενομισμένας προσφορὰς τῷ πυρὶ καὶ » τοῖς κατοιχομένοις, ἐκάθησε φαγεῖν, καὶ ἰδὼν ἐπαίτην » ἐλθόντα, ἔφη μετὰ χαρᾶς τῇ ἑαυτοῦ γυναικί·

71. « Ἰδοὺ, γύναι, ὁ θεὸς Νόμος ἐχάρη σήμερον ἐκ τῆς πολ- « λῆς ἐγκρατείας, δείξας ἐν τούτῳ τῷ χρόνῳ τοῦ ἀρίστου « τὸν παρόντα ἐπαίτην, ὅτε πάρεισιν ἄλφιτα.

72. « Ὁ βραδύνων δοῦναι τῷ ἀγαθῷ ἐπαίτῃ, εἰ καὶ ἐπαινεῖ « αὐτὸν, ποίᾳ ἐγκρατείᾳ ἐξαλείψειεν ἂν τὸ γεγονὸς ἔγκλη- « μα, διότι μετὰ τοσαύτην βραδυτῆτα ἄχθος αὐτῷ ἔδω- « κε [1]; »

73. « Πληρώσας οὖν τὰ ὄμματα δακρύων χαρᾶς, ἔδωκε πει- » νῶν, τῷ πεινῶντι ἐπαίτῃ τὴν ἑαυτοῦ μοίραν τῆς τροφῆς.

74. « Ἡ δὲ γυνὴ αὐτοῦ, καὶ ὁ υἱὸς, καὶ ἡ γυνὴ τοῦ υἱοῦ, » οὕτω διελογίσαντο· « Δῶμεν καὶ ἡμεῖς τὴν οἰκείαν μοί- « ραν τοῦ ἐδέσματος, ἵν' ὁ ξένος οὗτος, κορεσθεὶς, εὐφρανθῇ. »

75. « Τοιαῦτα οὗτοι διαλογισάμενοι, ἐπειδὴ ἡ πεῖνα ἐκείνου » οὐ κατέπαυσεν ἐκ τῆς μοίρας τοῦ γέροντος, ἔδωκαν αὐ- » τῷ καὶ αὐτοὶ πάντες τὴν ἰδίαν μοῖραν χαίροντες.

76. « Τούτων οὖν τῶν ἀγαθουργῶν τῇ πτισσάνῃ εὐφρανθεὶς » ὁ ξένος, ἔφη· « ὦ μεγαλόψυχε καὶ ἔννομε, ἐγὼ ἤσθην· « λάβε τὸ ἄκρον ἀγαθόν. »

77. « Τοιαῦτα εἰπόντος τοῦ θεοῦ Νόμου, καὶ ἀφάντου γενο- » μένου, οἱ περὶ τὸν Βραχμᾶνα πάντες, ὧν τὰ ἁμαρτήμα- » τα κατεκάησαν, ὡς ξύλα ἐν πυρὶ, ἀνῆλθον εἰς τὸν οὐρα- » νὸν ἐπ' οὐρανίων ὀχημάτων, λαμπρῶν δίκην Ἡλίου.

---

1. Εἰ καὶ ἐπαινεῖ τὸν ἐπαίτην, ἁμαρτάνει ὅμως, διότι βραδύνει δοῦναι.

78. « Ἐπορεύθην δὲ καὶ ἐγὼ εἰς ἐκεῖνον τὸν τόπον ἐκ τῆς » ὁσμῆς τῆς πτισσάνης, ἔνθα χρυσοῦν ἐγένετο τὸ πλάγιον » τοῦ σώματός μου, θίξαν τοῦ ἀπονίπτρου τῶν χειρῶν » τοῦ γευσαμένου ξένου.

79. « Θέλων δὲ γενέσθαι χρυσοῦν καὶ θάτερον πλάγιον τοῦ » σώματός μου, πολλοὺς τόπους, ἔνθα οἱ Βραχμᾶνες εἱ- » στιῶντο, περιῆλθον· ἤδη δ' ἦλθον καὶ ἐνθάδε.

80. « Οὐδ' ὀλίγον ὅμως τοῦ ἑτέρου μου πλαγίου ἐγένετό που » χρυσοῦν εἰς χαρὰν ἐμήν· πῶς οὖν αὕτη ἡ θυσία ὁμοιό- » τητα λάβοι κοινικι πτισσάνης ; »

81. Τοῦ μὲν οὖν ἰχνεύμονος τοιαῦτα φαμένου, καὶ ἀφάντου γενομένου, τοῦ δὲ Ἰουδιστίρα ἀπορήσαντος, καὶ ἐξεστη- κότος, ἔφη ὁ Βεάσας·

82. « Ἐν ἄλλῃ μὲν θυσίᾳ καρδία ἐστὶ καθαρὰ, ἐν ἄλλῃ δὲ » πλοῦτος, ἐν ἄλλῃ δὲ οὐδέτερον· αὕτη δὲ ἡ θυσία σου, » ἡ πάντῃ καθαρὰ, ἁπασῶν ἐστιν ὑπερτέρα.

83. « Τῆς μὲν οὖν θυσίας σοῦ τοῦ Ἰουδισίρα ἁγιωτέρας οὔσης » καὶ τῶν θυσιῶν θεῶν τε καὶ δαιμόνων, οὗτος ὁ ἀνάξιος » ἰχνεύμων ἀνάξια εἴρηκε διά τινα αἰτίαν, συμφέρουσαν αὐτῷ.

84. « Πάλαι ὁ Θυμὸς, ἵνα γνοίη τὴν ἀνοχὴν τοῦ ὁσίου Ζαμα- » δαγνῆ, μορφὴν κυνὸς ἔλαβε, καὶ ἐλάφυξε τὸ ἐν τῇ χύ- » τρᾳ ὀρυζόγαλα, τὸ ἀνῆκον εἰς λοιβὴν καὶ ἐνάγισμα ἐν » ἡμέρᾳ νεκρωσίμῳ.

85. « Ὁ δὲ μέγας τὸν νοῦν Ζαμαδαγνὴς, οὐ κατηράσατο τοῦ κυ- » νὸς, διαλογησάμενος ταῦτα· « Τοῦτο σφάλμα ἐμόν ἐστιν, » ἀλλ' οὐ τοῦ κυνός· ἴδιον γὰρ τῶν κυνῶν, τὸ λαφύσσειν.

86. « Οὗτος οὖν ὁ λίαν ἀτάσθαλος θυμὸς, μὴ λαβὼν ἀρὰν » παρὰ τοῦ ὁσίου, ἐφοβήθη· ἡ γὰρ ἀρὰ τοῦ ἁγίου ἀνδρὸς » ἀπαλλακτικὴ ἐστι τοῦ μεγάλου ἐγκλήματος.

87. « Ἔλαβε δ' ἀρὰν παρὰ τῶν πατρικῶν νεκρῶν τοῦ ὁσίου » τοιαύτην· « Σὺ, λαφύξας τὸ γάλα, τὸ ἀνῆκον, εἰς

» ἡμετέραν χρῆσιν, ἔσο ἰχνεύμων λίαν περιφερόμενος. »

88. » Ἔλαβε δὲ καὶ ταύτην τὴν χάριν παρ' αὐτῶν, εἰπόντων· « Ὅτε καταφρόνησιν ποιήσεις τῆς τελουμένης θυσίας τοῦ 'Ιουδιστίρα, τότε ἀπαλλαγήσῃ πάντως γε τῆς ἀρᾶς. »

89. « Αὐτὸς οὖν ὁ Θυμὸς, ὁ καὶ ἰχνεύμων, ὁ ποιήσας ἐνταῦθα » καταφρόνησιν, ἀπαλλάξας τὴν μεγάλην οἴησιν τοῦ 'Ιου- » διστίρα, τὴν ἐκ τῆς θυσίας γεγενημένην, ἀπηλλάγη καὶ » αὐτὸς ἐκείνης τῆς ἀλόγου φύσεως. »

90. Οἱ μὲν οὖν Βραχμᾶνες, καὶ οἱ βασιλεῖς πάντες, ἀκούσαντες τὴν περὶ τοῦ ἰχνεύμονος ἱστορίαν, ἐθαύμασαν, καὶ ἐχάρησαν κατὰ τὴν καρδίαν.

91. Οὕτως ἡ ἱπποθυσία τοῦ βασιλέως 'Ιουδιστίρα ἐγένετο, ἣ ἐφημίσθη, ἐπειδὴ πολλοὶ ἅγιοι Βραχμᾶνες ἐχάρησαν, καὶ πολλαὶ λοιβαὶ καὶ σπονδαὶ ἐγένοντο, καὶ μεγάλαι δωρεαὶ πρὸς ἀξίους, καὶ πολλῶν πρὸς τούτοις ἁμαρτημάτων ἐξάλειψις, καὶ τῶν μὲν ἀγαθῶν αὔξησις, τῶν δὲ δεινῶν παῦσις.

92. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα, ὁ λίαν ἐγκρατὴς καὶ ἀγαθὸς Ἀμάρας. Εἴληφε τέλος τὸ Δέκατον Τέταρτον Βιβλίον, ὃ διαλαμβάνει τὴν ἱπποθυσίαν, τοῦ μεγάλου Ποιήματος τῆς Βαλαβαράτας, ἥ ἐστιν ὠκεανὸς τῆς μαθήσεως αὐτοῦ τοῦ Ἀμάρα.

Τέλος τῆς Πάρβας,
ἀλλ' οὐ τοῦ Κεφαλαίου*.

---

* Ἐν ᾧ μέχρι τοῦ ΙΓ'. Βιβλίου ὁ συγγραφεὺς διῄρεσε τὸ Ποίημα εἰς Πάρβας, ἤτοι βιβλία, ὑποδιαιρέσας αὐτὰ εἰς Κεφάλαια, ἐνταῦθα, ἐναντίον τῆς πρώτης διαιρέσεως, ἑνώσας τὰ μονοκέφαλα Βιβλ. ΙΔ', ΙΕ', ΙϚ', ΙΖ' καὶ ΙΗ' εἰς ἓν Κεφάλαιον, ὅπερ ἐπιγράφει τεσσαρακοστὸν δεύτερον, ἐννοεῖ ἀντιστρόφως ὑποδιαίρεσιν τοῦ Κεφαλαίου τὰ Βιβλία. (Σ. τ. ἐκδ.).

ΒΙΒ. ΔΕΚΑΤΟΝ ΠΕΜΠΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

δ διαλαμβάνει τὴν ἐν τῇ ἐρήμῳ διαγωγὴν τῶν περὶ τὸν Δρυταράστραν.

93. Τούτου τοῦ Βασιλέως Ἰουδιστίρα κυβερνῶντος τὴν γῆν νομίμως καὶ ὀρθῶς, λύπη ἀνίατος ἦν τοῖς ἐν κόσμῳ ἀνθρώποις, ἐπειδὴ οὐδεὶς ἦν ἐπαίτης [1].

94. Ἐπειδὴ δὲ τὸ ὄνομα αὐτοῦ, μόνον ἀκουόμενον, ἢ μνημονευόμενον, ἀνῄρει τὰ ἁμαρτήματα, διὰ τοῦτο αἱ τελεταὶ πᾶσαι, κατὰ τὴν ἐντολὴν τῆς Βέδας καὶ τοῦ Νόμου, ἐγίνοντο εἰς ἔνδειξιν, ὡς ἔθος, καὶ οὐχὶ εἰς ἀπαλλαγὴν τῶν ἁμαρτημάτων.

95. Προσκυνῶν δὲ ἀεὶ τὸν Δρυταράστραν ὁ Ἰουδιστίρας, καὶ σέβας δεικνύων ἄδολον ἐκ καρδίας, ἐπέταττε τοῖς ἐπιστάταις διδόναι αὐτῷ τὰ ἀνήκοντα εἰς τροφὴν καὶ τροφήν, ὡς προσήκει τοῖς βασιλεῦσιν.

96. Ὁ δὲ Δρυταράστρας μετὰ τῆς γυναικὸς ἑαυτοῦ διῆγεν ἀεί, ὡς ἀσκητὴς, ἀγνώριστος τῷ βασιλεῖ, χαμευνῶν, ὀπώρας ἐσθίων, καὶ σαρκικῆς συνουσίας ἀπέχων.

97. Οὕτω μὲν οὖν τοῦ Βασιλέως Ἰουδιστίρα διοικοῦντος, ὁ

---

1. Τοσαύτη ἦν εὐφορία, ὥστε μηδὲ ἐπαίτην εἶναι· διὸ καὶ ἐλυποῦντο, μηδὲν δίδοντες, ἐπειδὴ οὐδεὶς εἶχε χρείαν.

λαὸς, ἐν εὐπαθείᾳ καὶ ἀνέσει ἐμβεβυθισμένος, οὐκ ἠσθάνοντο τὴν ζωὴν ἑαυτῶν, τεμνομένην ὑπὸ τοῦ χρόνου.

98. Μετὰ δὲ παρέλευσιν δεκαπέντε ἐτῶν ὁ Βήμας διηγήσατο τὰς ἀδικίας τῶν Καουραβῶν· ἀκούσας δ' ὁ Δρυταράστρας, κρείττων θυμοῦ γενόμενος, γνώμην ἔθετο ἀναχωρῆσαι εἰς ἔρημον.

99. Τοῦτο μαθὼν ὁ Ἰουδιστίρας, προσπεσὼν τοῖς ποσὶ τοῦ Δρυταράστρα, ἔφη, δακρυρροῶν· « Μὴ ἀφῇς με μόνον, ὦ » πάτερ, καθὼς ἡ ἔλαφος φοβηθεῖσα ἀφίησι τὸν νεβρόν. »

100. Πρὸς ὃν εἶπεν ὁ Δρυταράστρας· « Δίδωσμοι, εἴ τι αἰτῶ; » Τοῦ δὲ κατανεύσαντος, ὁ Δρυταράστρας ᾔτησεν οἰκεῖν γῆν ἔρημον, προσήκουσαν γέρουσι.

101. Τοῦ δὲ βασιλέως Ἰουδιστίρα παρακαλοῦντος ταπεινῶς τὸν Δρυταράστραν, ἄκυρον ποιῆσαι τοιαύτην γνώμην, ἐπιστὰς ὁ Βεάσας, ἔλεξε λόγον ἀμβρόσιον·

102. « Σὺ, καί περ ἔμφρων ὢν, ὦ βασιλεῦ, διὰ τί ἀνοηταίνεις; » ἡ ταχύτης εἰς τὰ πρακτέα ἐπωφελής ἐστιν· ἰδὲ, ἡ ζωὴ » τοῦ σώματος ἀναλίσκεται, καθάπερ τὸ τοῦ λύχνου » ἔλαιον.

103. « Διὰ τί ἐμποδὼν γίγνῃ τῷ γέροντι, ἐπιθυμοῦντι λα- » βεῖν τὸν καρπὸν τοῦ σώματος, τουτέστι τὴν ἀρετὴν, » τοῦ ὄντος ἐγγὺς θανάτου; Τοῦτο δ' ἂν εἴη ὅμοιον, ὥς » περ εἴτις ἐμποδὼν γίγνοιτο τῷ θέλοντι λαβεῖν τὸν » καρπὸν δένδρου, τοῦ ὄντος ἐγγὺς τοῦ πυρός [1].

104. « Ἐν ὅσῳ ἀναλωθῇ [2] ὁ καρπὸς τοῦ σώματος, τουτέστιν

---

1. Μωρός ἐστιν, ὃς ἐμποδὼν γίγνεται τῷ θέλοντι λαβεῖν τὸν καρπὸν τοῦ δένδρου, τοῦ μέλλοντος κατακαυθήσεσθαι.

2. Ἐν ὅσῳ δηλ. ζῇ ὁ ἄνθρωπος, δεῖ ἔργα ἀγαθὰ ποιεῖν, εἰς τὸ τυχεῖν θείου σώματος, εἰς τὸ ἀπαθανατισθῆναι. Οἱ Ἰνδοὶ φρονοῦσιν, ὡς ὁ ποιήσας καὶ ἔργα ἀγαθὰ ἐν τῇ προτέρᾳ γεννήσει, ἀνθρώπου πάλιν σῶμα

» ἡ ἀρετὴ, ἐν τοσούτῳ ἄλλη ἀρετὴ συνάγεται ὑπὸ τῶν » φρονίμων εἰς κτῆσιν ἄλλου κρείττονος σώματος, καθὼς » ἐν ὅσῳ πληρωθῇ ἡ προθεσμία τοῦ δοθέντος ἐνοικίου, ἄλ- » λα χρήματα συνάγονται ὑπὸ τῶν φρονίμων εἰς τὸ τυ- » χεῖν καλλίονος οἴκου. »

105. Ἐκ τοιούτων λόγων τοῦ Βεάσα κατένευσεν ὁ Ἰουδιστίρας μετὰ λύπης, ἐννοῶν, ὡς ἡ πρὸς τοὺς κρείττονας ὑπακοὴ, ἀγαθόν ἐστιν· ὁ δὲ Δρυταράστρας ἐχάρη.

106. Ποιήσας δ' ἐναγίσματα καὶ δεῖπνα νεκρώσιμα τοῦ Βήσμα καὶ τῶν υἱῶν αὐτοῦ, ὁ Δρυταράστρας συναινέσει τοῦ Ἰουδιστίρα, πολλὰ ἐδωρήσατο, καὶ κατέπαυσε τὴν πενίαν τοῦ κόσμου [1], καθὼς τὸ ὕδωρ κατασβέννυσι τὸ πῦρ.

107. Πολλοῦ δὲ πλούτου καταναλωθέντος ἐν νωκρωσίμοις δείπνοις τοῦ Δουριοδάνα καὶ τῶν λοιπῶν, ὁ Ἀρζούνας ὑδροβόλον νέφος ἐγένετο τῷ ἐξαφθέντι πυροειδεῖ θυμῷ τοῦ Βήμα [2].

108. Λαβὼν δ' ἔπειτα ἄδειαν ὁ Δρυταράστρας παρὰ πάντων τῶν οἰκείων καὶ τῶν πολιτῶν, ἀνεχώρησεν εἰς ἔρημον μετὰ τοῦ νεωτέρου ἀδελφοῦ Βιδούρα καὶ τῆς ἑαυτοῦ γαμετῆς, καθὼς ὁ Ῥάμας μετὰ τοῦ νεωτέρου ἀδελφοῦ Λαξμάνα καὶ τῆς ἑαυτοῦ γαμετῆς.

109. Ἠκολούθησε δὲ τούτους καὶ ἡ Πριτὰ, καὶ περ κωλυομέ-

λαμβάνει· ὁ δὲ μὴ ποιήσας ἔργα ἀγαθὰ, ἀλόγου ζώου φύσιν λαμβάνει ἐν τῇ παλιγγενεσίᾳ, καὶ κατ' ἀναλογίαν τῆς ἧς ἐποίησεν ἀρετῆς ζῇ· ὁ μὲν ποιήσας δηλ. πολλὴν ἀρετὴν, πολὺν χρόνον ζῇ, ὁ δὲ ποιήσας ὀλίγην, ὀλίγον. Ὅστις οὖν ἔλαβε σῶμα ἀνθρώπειον ἐξ αἰτίας τῶν ἐν τῇ προτέρᾳ γεννήσει ἀγαθῶν ἔργων, τούτῳ δεῖ πλείονα ἀγαθὰ ποιεῖν, εἰς τὸ τυχεῖν θείου σώματος μετὰ ταῦτα, εἰς τὸ γενέσθαι ἀθάνατος.

1. Οἱ ἐνδεεῖς ἀνενδεεῖς ἐγένοντο διὰ τῶν δωρεῶν.

2. Ὁ Ἀρζούνας κατέπαυσε τὸν θυμὸν τοῦ Βήμα διὰ τὰ πολλὰ ἀναλώματα.

νη λίαν ταπεινῶς ὑπὸ τῶν υἱῶν, πρὸς δὲ καὶ ὁ Σανζαΐας· ἡ δ' ἔρημος ἐφαίνετο ἐκ τούτων τῶν πέντε, ὥσπερ εἰ εἶχε πέντε αἰσθήσεις.

110. Ἔνθα ἄσκησιν ἤσκει διὰ πολλοῦ ὁ Δρυταράστρας μετὰ πάντων τῶν ἀκολούθων, συνὼν τῷ βασιλεῖ Σαταϊούπα, ὅστις ἐμόναζε καὶ ἡσύχαζεν ἐκεῖ.

111. Τῶν μὲν οὖν περὶ τὸν Δρυταράστραν ἐν θεωρίᾳ ὄντων τοιαύτη, ὡς ἡ ψυχὴ αὐτός ἐστιν ὁ Θεὸς, ὁ δὲ Θεὸς αὐτὴ ἡ ψυχὴ, τὰ σώματα αὐτῶν ἐκ τῶν ἀναφανέντων νεύρων τῇ λειποσαρκίᾳ, ἐφαίνοντο, ὥσπερ εἰ εἶχον ὄφεις περιπεπλεγμένους.

112. Ἐλθόντες δ' οἱ περὶ τὸν Ναράδαν, ἔφασαν, ὡς ἐκεῖνος ὁ τόπος ἅγιός ἐστι, καὶ εὐφράναντες ἐπὶ πολὺ τὸν Δρυταράστραν ἀρχαίαις ἱστορίαις [1], ἀνῆλθον εἰς τὸν οὐρανόν.

113. Ἀφίκετο δ' εἰς ἐκείνην τὴν γῆν καὶ ὁ βασιλεὺς Ἰουδιστίρας μετὰ τῶν γυναικῶν τῶν Καουραβῶν καὶ ἄλλων ἀκολούθων, βουλόμενος προσκυνῆσαι τοὺς περὶ τὸν Δρυταράστραν.

114. Εἰσέδυ δὲ τὸ ἀσκητήριον ὁ καλοκἀγαθος βασιλεὺς μετὰ πάντων τῶν οἰκείων, καταλιπὼν ἔξω τὰ βασιλικὰ παράσημα καὶ πάντα τὸν στρατόν.

115. Προσκυνήσας δ' ἐκείνους τοὺς σεβασμίους, ηὔξησε τὴν ἑαυτοῦ ἀρετὴν, καὶ ῥάνας δάκρυα χαρᾶς, ἐξήλειψε τὰ πάθη πάντα τοῦ κόσμου.

116. Οἱ δὲ περὶ τὸν Δρυταράστραν, οἱ ἔχοντες σῶμα μέλαν καὶ ἰσχνὸν, ἔδωκαν εὐλογίας τῷ βασιλεῖ, τῷ ἔχοντι σῶμα ἁγλαὸν, εὔρωστον, καὶ ἀγαστόν.

117. Ἐρωτηθεὶς δ' ὑπὸ τοῦ βασιλέως ὁ Δρυταράστρας, « Ποῦ » ὁ Βιδούρας ; « ἐκεῖνος, ἔφη, ὦ τέκνον, πορεύεται, ἔνθα

---

1. Ὅτι καὶ ἄλλοι παλαιοὶ βασιλεῖς ἀσκήσει ἐχρήσαντο.

« ἐφίεται, περιπολῶν τὸ δάσος, ἀνεμόσαρκος ὢν, καὶ πο-
« τὲ μὲν θεατὸς, ποτὲ δὲ ἀθέατος. »

118. Ἐν τούτῳ ἦλθεν ἐξαίφνης ὁ Βιδούρας, πλανώμενος εἰς τὴν ἔρημον· καὶ ἰδὼν μακρόθεν ἀνθρώπους πολλοὺς, ἔφευγεν, ὡς ἔλαφος, εἰς τὸ δάσος.

119. Ἔδραμε δὲ κατόπιν αὐτοῦ ὁ βασιλεὺς Ἰουδιστίρας μόνος μετὰ δακρύων· ὁ δὲ ἔφευγεν ἀπ' ἐκείνου πορρωτέρω, καθὼς ὁ πλοῦτος ἀπὸ τοῦ ἀτυχοῦς.

120. Προσκυνήσας δὲ τὸν Βιδούραν ὁ Ἰουδιστίρας, στάντα ἐπὶ ῥίζης δένδρου Σάλα, εἶπε πρὸς αὐτὸν, ἐφιέμενος ἀποκρίσεως· « Ἐγώ εἰμι ὁ Ἰουδιστίρας. »

121. Ἐνατενίζων δὲ, καὶ βλέπων ἀσκαρδαμυκτὶ πρὸς τὸν Ἰουδιστίραν ὁ Βιδούρας, εἰσῆλθεν εἰς αὐτὸν μετὰ τῆς ἑαυτοῦ πνοῆς καὶ τῆς ὁράσεως, καὶ τῶν λοιπῶν αἰσθήσεων, καθὼς ὁ Ἥλιος ἐν τῇ ἐλεύσει τῆς νυκτὸς εἰς τὸ πῦρ μετὰ τῶν ἑαυτοῦ ἀκτίνων [1].

122. Ὁ μὲν οὖν Ἰουδιστίρας πλήρης θαυμαστῆς γνώσεως τῶν ὄντων ἐγένετο, εἰσδύσης εἰς αὐτὸν ὅλης ἐκείνης τῆς μεγάλης ψυχῆς τοῦ Βιδούρα.

123. Ἐπειδὴ δὲ ἐξ οὐρανοῦ φωνὴ ἐγένετο, κωλύουσα τὴν κατάκαυσιν τοῦ σώματος τοῦ Βιδούρα, διὰ τοῦτο οὐδ' ὑπὸ τοῦ πυρὸς τῆς ἀσκήσεως κατεκάη τὸ σῶμα αὐτοῦ [2].

124. Ἀναγγείλας δὲ τοῦτο ὁ βασιλεὺς τῷ Δρυταράστρᾳ, ἦλθε

---

1. Λέγουσιν, ὡς ὁ Ἥλιος ἐν τῇ νυκτὶ εἰσδύει εἰς τὸ πῦρ· διὰ τοῦτο ἐν νυκτὶ τὸ πῦρ μᾶλλον λαμπρόν ἐστιν. — Ὁ Δάρμας, ἀρὰν λαβὼν, ἔλαβε τὸ σῶμα τοῦ Βιδούρα, ἐκ δούλης γεννηθέντος· διὰ τοῦτο ὁ Βιδούρας, ὢν αὐτὸς ὁ Δάρμας, εἰσῆλθεν εἰς τὸν Ἰουδιστίραν, ὃς ἦν υἱὸς τοῦ Δάρμα, δηλ. ἀπέθανε.

2. Λέγουσιν, ὡς πολλοὶ ἀσκηταὶ κατεκάησαν ἐν θανάτῳ ὑπὸ τοῦ πυρὸς τῆς ἀσκήσεως, ἀφθέντος αὐτομάτως.

μετὰ των ἑαυτοῦ τεσσάρων ἀδελφῶν πρὸς τὴν Πριτάν, καθὼς αἱ πέντε αἰσθήσεις εἰς τὴν ἀπόλαυσιν τῶν ἐφετῶν.

125. Ὁπώρας δὲ φαγὼν, καὶ χαμευνίᾳ χρησάμενος καθ' ὅλην τὴν νύκτα, δωρεὰς ἔβρεξεν ἀγαπητὰς τῷ κόσμῳ περὶ τὴν ἕω, καθὼς ὁ Ἥλιος ἀκτίνας.

126. Ἐλθὼν δὲ πρὸς τὸν πατράδελφον Δρυταράσραν, τὸν πολλοῖς ἁγίοις βασιλεῦσι συνόντα, καὶ ἄνευ ἁμαρτιῶν ὄντα, προσεκύνησεν αὐτὸν, εἰπὼν τὸ ἑαυτοῦ ὄνομα.

127. Ἐπέστη δὲ πρὸ τῶν ὀφθαλμῶν αὐτῶν ὁ Βεάσας, ὁ ὢν ἡ ἀμβροσία στίμμις τῶν ὀφθαλμῶν τῆς γνώσεως τῶν ἐν τοῖς τρισὶ κόσμοις.

128. Προσκυνηθεὶς δ' ὑπὸ πάντων, καὶ ὑμνήσας τὴν τελευτὴν τοῦ Βιδούρα πρὸ τοῦ βασιλέως Ἰουδιστίρα, εἶπε πρὸς τὸν Δρυταράστραν· « Ἔστι τις θλῖψις ἐν τῇ καρδίᾳ σου; »

129. Ὁ δὲ ἀνὴρ τῆς θυγατρὸς τοῦ βασιλέως τῆς Γανδάρας χώρας Δρυταράστρας, λόγον ἐξηρεύξατο, ὃς ἦν ἐργὴ τοῦ οὗ ἔπιεν ἀμβροσίου λόγου·

130. « Διὰ πολλοῦ καὶ οἱ ἀγαθοὶ καὶ σπουδαῖοι ἄνδρες εὐ-» φράνθησαν ὑπ' ἐμοῦ μεγάλαις δωρεαῖς, καὶ τὸ σῶμά » μου πολλαῖς τρυφαῖς.

131. « Ἐγὼ εἶδον τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ πάντα ἀκρι-» βῶς διὰ τῶν τεσσάρων αἰσθήσεων, αἳ ἔλαβον μοίραν » τῆς δυνάμεως τῆς ὁράσεως [1].

132. « Ἐγὼ ὑπὸ τῆς σῆς χάριτος, τῆς ποιησάσης με ἀνόρεκτον » πάσης ἡδυπαθείας, ἦχθην εἰς ταύτην τὴν ἔρημον, τὸν » τόπον τῆς ἀπαθείας καὶ τῆς ἁγιότητος.

133. « Οὐδὲν οὖν θλίβει ἐμέ· ἀλλ' ἐπειδὴ ἡ ἀγλαΐα παντὸς

---

1. Εἶδον, εἶπε, καὶ διὰ τοῦτο ἐπήνεγκεν, ὅτι αἱ τέσσαρες αἰσθήσεις ἔλαβον μοίραν τῆς δυνάμεως τῆς ὁράσεως· τουτέστιν ἐτρύφησα τῶν τοῦ κόσμου διὰ τῶν τεσσάρων αἰσθήσεων.

» πράγματος καταλαμβάνεται διὰ τῆς ὁράσεως, διὰ τοῦτο » θλίβει με ἡ μὴ βλεπομένη λαμπρότης τῶν τοῦ γένους » μου. »

134. Τοιαῦτα εἰρηκότος τοῦ Δρυταράστρα, ἔδωκεν αὐτῷ ὁ Βεάσας θεῖον ὄμμα, καθὼς ὁ Θεὸς τὸν *Σικταμαγὴρ* [1] τῷ ἐκ γενέσεως ὄντι πτωχῷ.

135. Ἀπαλλαγεὶς δ' ὁ Δρυταράστρας τοῦ κωλύματος τῆς ὁράσεως, εἶδε μετὰ τῆς ἑαυτοῦ γυναικὸς τὴν ἀγλαΐαν τῶν περὶ τὸν Ἰουδιστίραν, καὶ χαρὰν ἔλαβε μεγάλην.

136. Εἶδε δὲ τῇ προσταγῇ τοῦ Βεάσα τόν τε Δουριοδάναν καὶ τὸν Ἀβημανιοῦν, καὶ τοὺς λοιποὺς ἥρωας ἀμφοτέρων τῶν στρατῶν ἐπὶ τῶν ὑδάτων τῆς Γαγγᾶς, λίαν ἐκλάμπρους.

137. Καί περ βλέπων αὐτοὺς αὐτὸς ὁ εὔφρων, οὐκ ἔσχε πάθος φίλτρου· παρὰ γὰρ τοῖς θεόφροσιν ὅ,τι ἐστὶν αἴτιον τῆς ἀθανασίας, τοῦτό ἐστιν αἴτιον χαρᾶς.

138. Εἰπὼν δὲ τῷ ὁσίῳ Βεάσᾳ, « Τί ὄφελος ἐκ τῆς ὁράσεως, » ἢ ὁρᾷ τὰ ὁρατὰ, καὶ ἐμπόδιον γίνεται τῆς θεωρίας ; » ἔλαβε πάλιν τὴν τυφλότητα.

139. Τῇ δὲ προσταγῇ τοῦ Βεάσα αἱ σώφρονες γυναῖκες, ἀφεῖσαι τὰ ἀνθρώπεια σώματα, ἀνῆλθον εἰς τὸν οὐρανὸν ἐπὶ θείων ὀχημάτων μετὰ τῶν ἑαυτῶν ἀνδρῶν [2].

140. Ἐνταῦθα μείνας ὁ Ἰουδιστίρας ἕνα μῆνα, ἀνεχώρησεν ἐκ τῆς ἐρήμου εἰς τὴν πόλιν, τῇ προσταγῇ τοῦ Δρυταράστρα, καθὼς πάλαι τῇ προσταγῇ του πατρὸς ὁ Ῥάμας ἐκ τῆς πόλεως εἰς τὴν ἔρημον.

141. Διδασκομένη δ' ἡ γῆ ὑπὸ τοῦ Ἰουδιστίρα, τὴν διὰ χει-

---

1. Λίθος πολύτιμος, ὃς δωρεῖται πάντα τὰ ἐφετὰ τῷ ἀνθρώπῳ· ἔστι δὲ παρὰ τῷ Ἴνδρᾳ ἐν οὐρανῷ πρὸς τοῖς ἄλλοις πανδώροις.

2. Τοῦ Δουριοδάνα καὶ τῶν λοιπῶν, οἳ ὡράθησαν ἐπὶ τῶν ὑδάτων τῆς Γαγγᾶς, ὡς εἴρηκεν ἀνωτέρω.

ρῶν πλεῦσιν ἐν τῇ θαλάσσῃ τῆς δικαιοσύνης, ἐλαμπρύνθη τοῖς ἐπαίνοις αὐτοῦ, ὡς λευκοῖς ἀφροῖς [1].

142. Καίποτε ὁ πλανώμενος Ναράδας, ὁ λευκὸς, ὡς ὑδράργυρος, ἦλθεν εἰς τὸ βουλευτήριον τοῦ Ἰουδιστίρα, ὡς ἐνσώματος φήμη [2].

143. Ὑποδεξάμενος δ' εὐλαβῶς ὁ Ἰουδιστίρας τὸν γεγανωμένον τὸ σῶμα Ναράδαν, ἠρώτησεν αὐτὸν περὶ τῶν γερόντων συγγενῶν, τῶν ἐν ἐρήμῳ διαγόντων.

144. Βλεπόμενος δ' ἀτενῶς εἰς τὸ πρόσωπον αὐτὸς ὁ θεσπέσιος ὑπὸ πάντων τῶν παρόντων, εἰς τὸ ἀκοῦσαι τί ἄρα ἐρεῖ, εἴρηκε σκυθρωπῶς·

145. « Ἠγάλλετο ἐκεῖνος ὁ Δρυταράστρας, ὦ βασιλεῦ, μεγάλην » ἄσκησιν ποιῶν, καὶ δι' ὅλον ἔτος ἐσθίων ἄνεμον, ἀφεὶς » πᾶσαν ἄλλην τροφήν.

146. « Ἀθανασίας δ' ἐπιθυμῶν, καὶ μηδὲν ἔργον ποιῶν, ἔρ- » ριψεν εἰς τὸ δάσος καὶ τὸ πῦρ τῆς λατρείας, εἰπών· « Τί ὄφελος ἐκ τούτου; ἔστω μοι μόνη ἡ ἄσκησις, ἡ κα- « τακαίουσα τὰ πάθη. »

147. « ἐξαφθέντος δὲ τοῦ πυρὸς ἐκείνου ἐν μέσῳ ξηρῶν δέν- » δρων τοῦ δάσους, ὁ Δρυταράστρας μετὰ τῆς ἑαυτοῦ γα- » μετῆς καὶ τῆς Πριτᾶς, ἐβυθίσθη εἰς θεωρίαν Θεοῦ, ὡς » εἰς ἄβυσσον ἀμβροσίας.

148. « Τυχόντων δ' ἐκείνων τοῦ ὑψίστου Θείου, διὰ τῆς πρὸς » τὸν Θεὸν θεωρίας [3], τὰ ἀφεθέντα σώματα κατέκαυσε

---

1. Ἐκ τῶν πατάγων τῶν χειρῶν τοῦ κολυμβῶντος γίνεται ἀφρὸς, ὅς ἐστι λευκὸς, ὡς ὁ ἔπαινος· δηλ. ἡ γῆ διφκεῖτο δικαίως.

2. Λευκή ἐστι καὶ ἡ φήμη.

3. Λέγεται ὅτε τις θεωρεῖ τὸν Θεὸν καὶ οὐδεμίαν διαφορὰν βλέπει τῆς ψυχῆς καὶ τοῦ Θεοῦ, ὅτε δηλ. αὕτη ἑνοῦται τῷ Θεῷ.

» τὸ καῖον πῦρ, καὶ μέγαν ῥῶμον ἀποτελοῦν, ὃ διὰ πολ-
» λοῦ ἐσέβοντο.

149. « Ὁ δὲ Σανζαΐας, ὁ ὢν ἰσχνὸς ἐξ ἀσκήσεως, μὴ δυνά-
» μενος φέρειν τὸ ἐπὶ τῇ στερήσει τῶν περὶ τὸν Δρυταράά-
» στραν δεινὸν πάθος, ἐπορεύθη εἰς τὸν Ἰμαόν. »

150. Τοιαῦτα τοῦ Ναράδα ἀγγείλαντος, καὶ ἀναχωρήσαντος, ὁ βασιλεὺς Ἰουδιστίρας, εἰς ὕυθὸν λύπης ἔπεσεν ἐκ τοῦ οὗ εἶχε φίλτρου· τοῖς δὲ κατοιχομένοις χοὰς καὶ ἐναγίσματα ἐποίησε.

151. Πολλοῖς δὲ Βραχμᾶσι δωρεὰς πολλὰς, πολλῆς ἀρετῆς προξένους, ἔδωκεν ἐπ' ὀνόματιτῶν κεκοιμημένων, ἱλαρὸς ὢν τὴν καρδίαν.

152. Ὁ μὲν οὖν διακριτικὸς βασιλεὺς, ἀφεὶς τὴν λύπην, ἣν εἶχεν ἐξ αἰτίας ἐκείνων, ὧν τὰ σώματα ἀφέθησαν διὰ τῆς πρὸς τὸν Θεὸν θεωρίας ἐν ἐρήμῳ, ἐβασίλευεν ἐπὶ πολὺ, χαίρων, ἔχων τὴν διάνοιαν αὐτοῦ προσηλωμένην τοῖς ποσὶ τοῦ Βραχμᾶ, τοῦ Βισνοῦ, καὶ τοῦ Σίβα.

153. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα ὁ ἀγαθὸς καὶ ἐγκρατὴς Ἀμάρας. Ἔλαβε τέλος τὸ Δέκατον Πέμπτον Βιβλίον, ὃ διαλαμβάνει τὴν ἐν τῇ ἐρήμῳ διαγωγὴν τῶν περὶ τὸν Δρυταράστραν, τοῦ μεγάλου Ποιήματος τῆς Βαλαβαράτας, ἣ ἀνασκάπτει τὴν ἄγνοιαν, καὶ οἰκησίς ἐστι τῆς μαθήσεως ἐκείνου τοῦ Ἀμάρα.

Τέλος τῆς Πάρβας,

οὐχὶ δὲ τοῦ Κεφαλαίου.

ΒΙΒ. ΔΕΚΑΤΟΝ ΕΚΤΟΝ.

ΚΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

δ διαλαμβάνει περὶ τοῦ ὑπέρου.

154. Ἐννοήσας δ' ὁ Ἰουδιστίρας τὸ πρόσκαιρον τοῦ σώματος καὶ τοῦ πλούτου, ἔθετο μεγάλην κλίσιν εἰς τὴν πρᾶξιν τῶν τοῦ νόμου, καὶ εἰς τὴν πολυδωρίαν.

155. Οὗτος οὖν ὁ μόνος ὢν φίλος τοῦ Νόμου, τῷ μὲν Νόμῳ ἔδωκε τέσσαρας πόδας [1]· διὰ δὲ τῆς πολυδωρίας ἐποίησε πᾶσαν τὴν γῆν ἄνευ ἐπαιτῶν.

156. Τριάκοντα δὲ καὶ ἓξ ἔτη ἐγένοντο τούτῳ βασιλεύοντι, ὃς, βρέχων εἰς τὴν γῆν ἀεὶ δωρεὰς πολλὰς, ἐλάμβανε τὸν καρπὸν αὐτῶν, τὴν ἀρετήν.

157. Ἐν τούτῳ τῷ χρόνῳ ἦλθον εἰς τὴν πόλιν Δοαραβατὴν, ὡς ἄγγελοι θανάτου, οἱ περὶ τὸν Καουσσικᾶν ὅσιοι ἄνδρες [2], οἷς καὶ ὁ μέγας Ἴνδρας τὸν αὐχένα ἔκλινε.

158. Οἱ δ' ἀπόγονοι τοῦ Βρισνῆ [3], πάροινοι ὄντες, σχηματίσαντες τὸν Σάμβαν [4], ὡς γυναῖκα ἔγκυον, ἠρώτησαν ἐκείνους τοὺς ὁσίους, « Πότερον ἐκ ταύτης ἔσεται ; υἱός, » ἢ θυγάτηρ ; »

---

1. Ἡ ἀλήθεια, ἡ εὐσπλαχνία, ἡ ἀνοχὴ, καὶ ἡ δόσις, τέσσαρές εἰσι πόδες, ἐφ' ὧν ἵσταται ὁ Νόμος.

2. Ὁ Βισβαμίτρας ἦν οὗτος.

3. Ἐκ τούτου κατάγεται ὁ Κρισνᾶς.

4. Υἱὸς ἦν οὗτος τοῦ Κρισνᾶ, πάγκαλος.

159. Εἰπόντες δ' ἐκεῖνοι οἱ ὅσιοι ἄνδρες, ὡς «ὕπερος ἔσεται σιδηροῦς, ὡς ῥάβδος τοῦ Βραχμᾶ, φθοροποιὸς τοῦ γένους,» ἀνεχώρησαν· ἐκ δὲ τοῦ Σάμβα ἐγένετο τοῦτο δὴ ἐκεῖνο [1].

160. Ὑπὸ δέ τινος Ἀλούκα τοὔνομα, ἀποτεφρωθεὶς ἐκεῖνος ὁ ὕπερος ἐκ φόβου, ἐρρίφθη εἰς τὸ ὕδωρ. Γνοὺς δ' ὁ Κρισνᾶς ἐρχόμενον τὸ τέλος τοῦ γένους, ἐπορεύθη εἰς προσκύνησιν ἁγίων τόπων.

161. Τούτου δὲ τὸ ἅρμα, ὁ πολεμικὸς δίσκος, καὶ ὁ ἐν τῇ σημαίᾳ Γαρούδας, ἅπαντα ταῦτα ἄφαντα ἐγένοντο, καθὼς ὁ φειδωλὸς φίλος ἐν τῇ δυστυχίᾳ τοῦ φίλου.

162. Πολλαὶ δὲ Σελῆναι πανταχόθεν ἀνεφάνησαν ἐξαίφνης ἐπὶ τῆς πόλεως καυσικαί, ὡς οὐδέποτε πρότερον, καὶ ἄλλα σημεῖα κακά, ἀρχικὰ αἴτια καταπτώσεως εἰς θάνατον.

163. Ὁ μὲν οὖν Κρισνᾶς, περιερχόμενος τοὺς ἁγίους τόπους, ἦλθε καὶ εἰς τὴν Πραββάσαν· ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ οἱ ἀπόγονοι τοῦ Ἰαδυῦ [2] ἦλθον εἰς ἐκεῖνον τὸν τόπον, ἑλκυσθέντες ὑπὸ τοῦ θανάτου.

164. Ἔνθα ηὐφραίνοντο καὶ ἠγάλλοντο ἐν λειμῶσι χαρίεσι, πίνοντες οἶνον, καθὼς οἱ βομβύλιοι ἐν λωτοῖς, ἐκμυζῶντες μέλι.

165. Τηνικαῦτα λίαν καθηδυπαθοῦντες, καὶ ἐκ παροινίας παρανοοῦντες, οὐκ ἐγίνωσκον ἑαυτοὺς, ὄντας ἐν ταῖς μύλαις τοῦ θανάτου [3] ὡς ἐν χειρομύλαις.

166. Γνώμη δ' ἐγένετο αὐτοῖς πολεμῆσαι ἀλλήλοις ἐν ἐκείνῳ τῷ τόπῳ, ὃς ἦν πλήρης φυτῶν, ἃ ἐξέφυσαν ἐκ τῆς σποδοῦ ἐκείνου τοῦ ὑπέρου.

---

1. Εὑρέθη ἐν τοῖς ἱματίοις αὐτοῦ ὕπερος σιδηροῦς.
2. Ἐκ τούτου κατάγεται ὁ Κρισνᾶς.
3. Ὅτι ἀναιρεθήσονται ἐκ τῆς ἀρᾶς τῶν ὁσίων.

167. Μεταξὺ δὲ τοῦ Σατεκῆ καὶ τοῦ Κριταβάρμα λόγοι ἐγένοντο τοιοῦτοι· ὁ μὲν Σατεκὴς ἔλεγε πρὸς τὸν Κριταβάρμαν· « Σὺ εἶ ὁ φονεὺς ὑπνούντων ἐν νυκτί· » ὁ δὲ πρὸς τὸν Σατεκήν· « Σὺ εἶ ὁ φονεὺς ἥρωος, ὄντος ἐν ἀγωνίᾳ » θανάτου καὶ ἐν θεωρίᾳ [1]. »

168. Τοιούτων λόγων εἰρημένων, οἱ ἀπόγονοι τοῦ Ἰαδοῦ πολεμεῖν ἤρξαντο ἀλλήλοις, μηδενὸς ὄντος τοῦ κωλύοντος, οἱ μὲν ἐκ μέρους τοῦ Σατεκῆ, οἱ δὲ ἐκ μέρους τοῦ Κριταβάρμα, ὅπλοις χρώμενοι τοῖς φυτοῖς.

169. Τὰ μὲν οὖν φυτὰ, δι' ὧν ἔβαλλον ἀλλήλους, ἐγένοντο εὐθέως ὕπεροι, καὶ ἐπλήρωσαν ἀμφότερα τὰ μέρη αἱμάτων, ὀστέων, καὶ σαρκῶν.

170. Ὁ δὲ Κρισνᾶς ἔβλεπεν ἀδιαφόρως ἀναιρουμένους ἐν θαλίᾳ ἐκείνους τοὺς ἥρωας, τὸν Πραδιούμναν, τὸν Σάμβαν, τὸν Σατεκὴν, τὸν Κριταβάρμαν, καὶ ἄλλους.

171. Οὐαί! ἡ γῆ ἐκείνη, ἣ ἦν πρότερον γῆ θαλίας καὶ χοροῦ, ἐγένετο τότε γῆ ἡδεῖα νεκροφάγων ζώων ἀκαθέκτων!

172. Ἡ γενεὰ τοῦ Ἰαδοῦ, ἧς οἱ μὲν ἄνδρες ἀπώλοντο, ἡ δὲ φυλὴ τῶν γυναικῶν ἐλειποθύμει, ἐγένετο, ὡς λίμνη ἐν νυκτὶ, ἐν ᾗ οἱ μὲν βομβύλιοι ἀφανεῖς γίνονται, ἡ δ' ἀγλαΐα τῶν ἡμεροθέων λωτῶν μαραίνεται.

173. Ὁ δὲ Κρισνᾶς τὸν μὲν Δαρούκαν [2] ἀπέστειλεν εἰς τὸ ἀγγεῖλαι ταῦτα τῷ Ἀρζούνᾳ, τῷ δὲ Βάζρᾳ [3] ἐπέταξε φυλάττειν τὰς γυναῖκας ἀπὸ τῶν κλεπτῶν.

174. Αὐτὸς δὲ, ἐπιθυμῶν ἰδεῖν τὸν Βαλαδέβαν, ἐπορεύθη εἰς τὴν Δβαρακὰν, ἐν ᾗ ἡ βοὴ γυναικῶν ὀλολυζουσῶν, ὑπερέβαινε τὸν τάραχον τῆς θαλάσσης.

---

1. Ὁ Βουρισραβᾶς ἦν οὗτος ὁ ἥρως.
2. Δαρούκας, ἡνίοχος τοῦ Κρισνᾶ.
3. Βάζρας, υἱὸς τοῦ Ἀνιρούδα, υἱοῦ τοῦ Πραδιούμνα, υἱοῦ τοῦ Κρισνᾶ.

175. Συντυχὼν δ' ὁ Κρισνᾶς τῷ πατρὶ Βασουδέβᾳ, καὶ λαβὼν ἄδειαν, ἐπορεύθη πρὸς τὸν Βαλαδέβαν [1], οὗ ἐκ τοῦ στόματος λευκὸς ὄφις ἐξῆλθε [2], βλέποντος τοῦ Κρισνᾶ.

176. Οὗτος οὖν ὁ χιλιοκέφαλος ὄφις ὥρμησεν εἰς τὴν θάλασσαν, ὡς ὁ Ἰμαὸς, ἰδεῖν βουλόμενος τὸν Μαϊνάκαν [3].

177. Εἰσέδυ δὲ τὴν θάλασσαν σὺν τοῖς περὶ τὸν Βασουκὴν [4] ὄφεσιν, οἳ ἦλθον εἰς ἀπάντησιν, ὥσπερ βουλόμενος βαστάξαι τὴν γῆν, ἢ ἀπελείφθη ὑπὸ τῶν ἡρώων [5].

178. Τοῦ μὲν οὖν Βαλαδέβα ἀπελθόντος [6] εἰς τὸν τόπον τοῦ Σέσσα, καὶ τιμηθέντος ὑπὸ τοῦ Βαρούνα, ὁ Κρισνᾶς, ἀρνησάμενος τὸν κόσμον, εἰσῆλθεν εἰς τὸ δάσος, ἔνθα καὶ ἀνεπαύετο ἐν θεωρίᾳ.

179. Ἑνωθεὶς δὲ τῷ ἀΰλῳ ἑαυτοῦ φωτὶ διὰ τῆς θεωρίας, τρωθεὶς κατὰ τὸ πέλμα βέλει ὀξεῖ ὑπὸ θηρευτοῦ, νομίσαντος ἔλαφον μέλανα,

180. Εἰσέδυ τὸ ἀΐδιον φῶς, ᾧ ὄνομα *Ναραϊάνα*, τιμώμενος πᾶσι τοῖς θεοῖς, τοῖς Σίδαις, τοῖς Γανδάρβαις, καὶ αὐτῇ τῇ Λαξμῇ.

181. Τοῦ μὲν οὖν Κρισνᾶ, ὃς ἐφώτιζε τὸ πᾶν, δύσαντος δίκην Ἡλίου, ἅπας ὁ κόσμος τεταραγμένος καὶ ζεζοφωμένος ἐγένετο.

182. Ἐν τούτῳ ἀκούσαντες οἱ Πανδοΐδαι παρὰ τοῦ Δαρούκα

---

1. Ὁ Βαλαδέβας, ἀδελφὸς τοῦ Κρισνᾶ, λευκόχρους.

2. Ὁ Σέσσας ἦν οὗτος ὁ ὄφις, οὗ ἀπόῤῥοια ἦν ὁ Βαλαδέβας· οὗτος ὁ Σέσσας μυθεύεται, ὡς βαστάζει τὴν γῆν.

3. Μαϊνάκας, υἱὸς τοῦ ὄρους Ἰμαοῦ, ὃς ἔφυγε καὶ κατέφυγεν εἰς τὸ βάθος τῆς θαλάσσης ἐκ φόβου τοῦ Ἴνδρα.

4. Βασουκὴς, ἕτερος ὄφις, βασιλεὺς τῶν ὄφεων, οἳ οὐκ εἰσὶ Παρεῖαι· ὁ δὲ Σέσσας, βασιλεὺς πάντων τῶν ὄφεων.

5. Οἱ γὰρ ἥρωες ἐβάσταζον τὴν γῆν, οἳ ἀνῃρέθησαν.

6. Ἀποθανόντος δηλ. ὁ γὰρ ἐξελθὼν ὄφις ἦν ἡ ψυχὴ αὐτοῦ.

τὸν ὄλεθρον τῶν ἐκ τοῦ Ἰαδοῦ, λύπην, ἀμηχανίαν, καὶ φόβον ἔσχον, ὡς μείναντες ἀπροστάτευτοι.

183. Τῇ δὲ προσταγῇ τοῦ Ἰουδιστίρα ἐπορεύθη ὁ Ἀρζούνας μετὰ τοῦ Δαρούκα εἰς τὴν Δβαρακὰν, ὀψόμενος τὸν πατέρα τοῦ Κρισνᾶ, περίλυπον ὄντα.

184. Ἐλθὼν δὲ, καὶ ἰδὼν τὴν πόλιν, οὖσαν ἄνευ ἡρώων, ὡς σῶμα φίλου ἄνευ αἰσθήσεων, ἐσχάτην λύπην ἔλαβε.

185. Περιεκυκλώθη δὲ ὑπὸ τῶν γυναικῶν τῶν ἐκ τῆς γενεᾶς τοῦ Βρισνῆ, αἳ θρηνοῦσαι, ἔλεγον· «Ὦ ἄνερ τῆς Σουβα-» δρᾶς, ἡμεῖς αἱ ἄθλιαι πῶς ζήσωμεν;»

186. Ἰδὼν δὲ τὸν Βασουδέβαν, κείμενον κατὰ γῆς, καὶ ἐλεεινῶς λέγοντα, «Ὦ υἱέ! υἱέ! ἔκλαιε καὶ αὐτὸς, πεσὼν κατὰ γῆς, καὶ ἔλεγεν·

187. «Οὐαὶ ἡμῖν! καὶ ὑπὸ τοῦ τυχόντος γὰρ καταβληθησό-» μεθα, ὄντες ἄνευ ἐκείνου τοῦ Κρισνᾶ, οὗ τῇ χάριτι ἐχθροὶ » κραταιοὶ ἐνικήθησαν ὑφ' ἡμῶν, ὡς λέοντες ὑπ' ἐλάφων.

188. « Φεῦ, Κρισνᾶ! φεῦ, Ῥάμα! φεῦ, Σατεκῆ! φεῦ, Πρα-» διούμνα! ποῖ ἐπορεύθητε ὑμεῖς; διὰ τί οὐ συλλαλεῖτε » ἐμοὶ, ἐλθόντι;»

189. Κείμενος δὲ κατὰ γῆς ὁ Ἀρζούνας, θρηνεῖν ἐποίησε καὶ τοὺς ἀθεάτους θεωρητικοὺς [1] τοῖς θρήνοις, ὧν ἠχὼ ἐγίνετο ἐν παντὶ μέρει.

190. Ὅπου δ' ὁ Ἀρζούνας πρότερον διήνυε τὴν νύκτα ἐν ἡδέσιν ἄσμασιν, ἐνταῦθα τότε διενυκτεύρευεν ἐν γυναικείοις θρήνοις· φεῦ τῆς τύχης!

191. Περὶ δὲ τὴν ἕω ἀφῆκε τὸ σῶμα ὁ Βασουδέβας [2], ἕνεκα

---

1. Καὶ οἱ ἀπαθεῖς ἔπαθον ἐκ τοιούτων θρήνων, καί περ ὄντες ἀθέατοι, τουτέστι πορρώτατῳ.

2. Ὁ μὲν Βασουδέβας πατὴρ, ἡ δὲ Δεβακὴ μήτηρ τοῦ Κρισνᾶ.

τῆς διαζεύξεως τοῦ υἱοῦ· ἠκολούθησε δ' αὐτῷ καὶ ἡ Δεβακὴ, καὶ ἄλλαι ὁμοῦ γυναῖκες αὐτοῦ.

192. Τελέσας δ' ὁ Ἀρζούνας τὰ νόμιμα τοῖς κατοιχομένοις, χοάς τε καὶ ἐναγίσματα, παραλαβὼν τὸν Βάζραν, τὸν ἔγγονον τοῦ Κρισνᾶ, καὶ τὰς γυναῖκας, ἀνεχώρησε.

193. Τηνικαῦτα ἡ πόλις τοῦ Κρισνᾶ, ὥσπερ λυπουμένη ἐπὶ τῇ στερήσει τοῦ κυρίου ἑαυτῆς, κατεβυθίσθη εἰς τὸν ὠκεανὸν, θρηνοῦσα διὰ τῶν φωνῶν τῶν ἀνιπταμένων ὀρνέων ἐκ φόβου [1].

194. Πορευόμενος δ' εἰς τὴν Ἰνδραπράστραν ὁ Ἀρζούνας διὰ δάσους δυσκόλου, ἀπείρχθη τῆς ὁδοῦ ὑπὸ τῶν ἐκεῖ οἰκούντων ἀγρίων βουκόλων, βουλομένων συλῆσαι τὰς γυναῖκας καὶ τὰ κοσμήματα.

195. Ἀπιδὼν δ' εἰς ἐκείνους τοὺς βουκόλους μετὰ θυμοῦ, μεγάλα καὶ δεινὰ ῥόπαλα ἔχοντας, μόλις ἔκαμψε τὸ τόξον, θεὶς τὴν χορδήν.

196. Καὶ οἱ μὲν ὀϊστοὶ ἀφανεῖς ἐγένοντο ἐκ τῆς φαρέτρας, καθὼς οἱ χρεῶσται ἀπὸ προσώπου τοῦ δανειστοῦ· ἡ δὲ χορδὴ, καί περ ἑλκομένη, οὐ προσήρχετο τῷ προσώπῳ, καθὼς οὐδὲ ἡ νεόγαμος τῷ ἀνδρί [2].

197. Οὐ μὴν ἀλλὰ καὶ αἱ ἐπῳδαὶ ἐν λήθῃ ἐγένοντο αὐτῷ ἀθρόως ἐν τούτῳ τῷ πολέμῳ, καθὼς αἱ τῆς μαστρωποῦ διδασκαλίαι ἐν λήθῃ γίνονται πρωτοπείρῳ ἑταίρᾳ ἐν τῇ μετ' ἀνδρὸς ὁμιλίᾳ [3].

198. Διαλογιζομένου δὲ τοῦ Ἀρζούνα ταῦτα· « Μῶν ὄνειρον

---

1. Δηλ. αἱ φωναὶ τῶν ὀρνέων, θρῆνοι ἦσαν τῆς πόλεως.

2. Κατ' ἀρχὰς ἡ νεόνυμφος οὐ προσέρχεται τῷ ἀνδρὶ, διὰ τὴν ἣν ἔχει αἰδώ.

3. Διδάσκονται πῶς δεῖ προσφέρεσθαι τοῖς ἑρασταῖς, καὶ ὁποίους ἀκκισμοὺς δεῖ ποιεῖν.

» τοῦτο; ἢ ἄλλος ἐγώ εἰμι; » καὶ βλέποντος, πολλὰς » γυναῖκας ἥρπαζαν οἱ κλέπται.

199. Ἀλλ' αἱ ἐκλεκταὶ καὶ εὐειδεῖς γυναῖκες, φυλαχθεῖσαι ἐκ τύχης, οὐχ ἡρπάγησαν ὑπὸ τῶν κλεπτῶν, καθὼς αἱ χρυσοποιαὶ βοτάναι, οὐκ ἔρχονται εἰς χεῖρας τῶν ἀτυχῶν.

200. Ὁ δ' Ἀρζούνας, νομίζων τὴν ἑαυτοῦ ζωὴν ἀνωφελῆ, ἔκλινε τὴν κεφαλὴν, ὥσπερ προσκυνῶν τὴν γῆν, καὶ δεόμενος αὐτῆς δοῦναι αὐτῷ δίοδον εἰς τὸ δύσαι.

201. Ἀναχωρησάντων δὲ τῶν κλεπτῶν, οἱ ἄνθρωποι ἔλεγον λυπούμενοι· « Βαβαὶ τῆς δυνάμεως τῆς τύχης! ὁ Ἀρ- » ζούνας ὁ νικητὴς τοῦ κόσμου, ἐνικήθη ὑπὸ βουκόλων! »

202. Τοιούτων λόγων ἀκούων ὁ Ἀρζούνας, ἀφίκετο εἰς τὴν Ἰνδραπράστραν πόλιν, μετὰ τῶν ἐξαιρέτων γυναικῶν τῶν ἡρώων τῆς γενεᾶς τοῦ Βρισνῆ, καὶ μετὰ τοῦ Βάζρα καὶ Δαρούκα.

203. Στήσαντος δ' ἐπὶ τοῦ θρόνου τῆς Ἰνδραπράστρας τὸν Βάζραν, καὶ ἀπελθόντος σὺν λύπῃ, ἡ Σαττεβαμὰ καὶ ἄλλαι γυναῖκες τοῦ Κρισνᾶ, εἰσέδυσαν τὸ πῦρ ἐκ λύπης.

204. Ἐπιστὰς δ' ὁ Βεάσας, ἔφη τῷ Ἀρζούνᾳ, ὄντι ἐν ὁδῷ, τῇ εἰς Χαστιναπούραν ἀγούσῃ, καὶ λίαν λυπουμένῳ ἐπί τε τῷ θανάτῳ τοῦ Κρισνᾶ, καὶ ἐπὶ τῇ ἥττῃ, ἣν ἔλαβε παρὰ τῶν βουκόλων·

205. « Μὴ ἔχε μελαγχολίαν, ὦ τέκνον· τίς γὰρ οὐ καταβάλλεται » ὑπὸ τοῦ χρόνου, ὃς ἀφαιρεῖται καὶ φίλους, καὶ συγγενεῖς, » καὶ εὐμορφίαν, καὶ πλοῦτον, καὶ ἀνδρείαν, καὶ κυριότητα;

206. « Ὁ χρόνος κλέπτης ἐστὶν ἀναφανδὸν, ἔχων δύω λύχνους » λαμπροὺς, τὸν Ἥλιον, καὶ τὴν Σελήνην [1], καὶ ἀφαι- » ρεῖται πάντων πάντα, καὶ οὐ καταδαμάζεται οὐδ' ὑπὸ » τοῦ Σίβα, ἢ ἄλλου ὑπάτου Θεοῦ.

---

1. Ὁ μὲν κλέπτης κρυφίως ἁρπάζει καὶ ἐν σκότει· ὁ δὲ χρόνος ἀναφανδὸν καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ· τοῦτο γὰρ δηλοῖ ὁ Ἥλιος καὶ ἡ Σελήνη.

207. «Ὁ χρόνος, οὗ τὸ μὲν θέον ἅρμα ἐστὶ, τὸ πρόσκαιρον
» τοῦ κόσμου, οἱ δὲ τροχοὶ, ὁ Ἥλιος καὶ ἡ Σελήνη, ἐρχό-
» μενος ἐξαίφνης, ὡς κλέπτης, ἁρπάζει πάντων καὶ τὴν
» δόξαν καὶ τὴν πνοήν.

208. «Ὁ φρόνιμος ἄνθρωπος γελῶν, θεωρεῖ, ὡς θεωρὸς, τὸν
» χρόνον, ὅς ἐστι δραματουργὸς τῶν συνεχῶν δεινῶν τοῦ
» κόσμου, καὶ ἀνὴρ τῆς ὀρχηστρίας, τῆς φθορᾶς [1].

209. «Εἰ τὰ ἐν κόσμῳ πράγματα μὴ ἦσαν ἀηδῆ καὶ λυπηρὰ ἐν
» τῷ τέλει [2], τίς ἐποίει ἂν ἄσκησιν καὶ σκληραγωγίαν, ἢ
» τὴν μὲν ἄνεσιν ἔχει μέλλουσαν, τὸν δὲ πόνον παρόντα;»

210. Ἀφίκετο δὲ τελευταῖον ὁ Ἀρζούνας εἰς τὴν Ἐλεφαντό-
πολιν, κατακαιόμενος μὲν τῷ θανάτῳ τῶν ἀπογόνων τοῦ
Ἰαδοῦ ἐκ τῆς πληγῆς τῶν ὑπέρων, καὶ τῇ ἑαυτοῦ ἥττῃ,
ἣν ἔλαβε παρὰ τῶν βουκόλων, ἀναψυχόμενος δὲ τῇ ἀμ-
βροσίᾳ τῶν λόγων τοῦ μεγάλου Βεάσα.

211. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ
καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα, ὁ ἐγκρατὴς καὶ
ἀγαθὸς Ἀμάρας. Ἔλαβε τέλος ἡ δεκάτη ἕκτη Πάρβα, ἥ
ὄνομα *Μουσσάλα* [3], τῆς Βαλαβαράτας, ἥ ἐστιν ὡς μει-
δίαμα τῆς Σαρασβατῆς, τῆς σαλευομένης ἐπὶ τῆς ἄκρας
τῆς γλώττης τοῦ Ἀμάρα, ὡς ἐπὶ παιδιᾶς αἰώρας (κρεμαστῆς).

Τέλος τῆς Πάρβας,

οὐχὶ δὲ τοῦ Κεφαλαίου.

---

1. Οἱ δραματουργοὶ ἔχουσι καὶ γυναῖκας χορευτρίας. — Αἴτιος δηλ. τῆς φθορᾶς, πανδαμάτωρ.

2. Κατὰ μὲν τὴν ἀρχὴν χαρὰν ἔχει ὁ ἄνθρωπος, ὅταν ἔχῃ υἱὸν, ἢ δόξαν, ἢ ἄλλο τοιοῦτον νομιζόμενον ἀγαθόν· ὅταν δὲ τελευταῖον στερχθῇ τούτων, τότε λύπην ἔχει.

3. Μουσσάλα λέγεται ὁ ὕπερος ὅλμου μεγάλου.

ΒΙΒ. ΔΕΚΑΤΟΝ ΕΒΔΟΜΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

ὃ διαλαμβάνει περὶ τῆς ἐξόδου.

212. Ἀκούσας ὁ Ἰουδιστίρας ἐκ τοῦ στόματος τοῦ Ἀρζούνα τὸν θάνατον τῶν ἐκ τῆς γενεᾶς τοῦ Βρισνῆ, φοβηθεὶς τὴν δύναμιν τοῦ πανδαμάτορος χρόνου, γνώμην ἔθετο ἐγκαταλιπεῖν πάντα.

213. Τὴν αὐτὴν δὲ γνώμην ἐχόντων καὶ τῶν ἀδελφῶν αὐτοῦ, τὸ μὲν ἐπιβάλλον τοῖς υἱοῖς τοῦ Δρυταράστρα μέρος τῆς γῆς ἔδωκε τῷ Ἰουϊουτσοῦ [1], τὴν δὲ ἑαυτοῦ γῆν τῷ Παριξίτᾳ.

214. Ἐπέταξε δὲ τῇ Σουβδαδρᾷ φροντίζειν τοῦ Παριξίτα, ἣ ἦν καλοκἀγαθος φύσει, καὶ ἠγαπᾶτο ὑπὸ τῶν Βραχμάνων, καὶ ὑπὸ τῶν βουλευτῶν.

215. Χοὰς δὲ ποιήσας καὶ δεῖπνα νεκρώσιμα τοῖς κατοιχομένοις, καὶ σπονδὰς τῷ ἀσβέστῳ πυρὶ, ἔρριψεν αὐτὸ τὸ πῦρ εἰς τὸ ὕδωρ, ὡς τὸ ἐπιθυμητικὸν εἰς τὸ ἀπαθές [2].

216. Παρηγορήσας δὲ τοὺς πολίτας, λυπουμένους, καὶ ἀσπα-

---

1. Ὁ Ἰουϊτσοῦς υἱὸς ἦν νόθος τοῦ Δρυταράστρα.

2. Ἐρυθρὸν τὸ ἐπιθυμητικὸν, ὡς τὸ πῦρ, λευκὸν δὲ τὸ ἀπαθὲς, ὡς τὸ ὕδωρ· ἔρριψε δὲ τὸ ἱερὸν πῦρ εἰς τὸ ὕδωρ, ἐπειδὴ οὐκ εἶχεν ἔτι τούτου χρείαν.

σάμενος τὴν γῆν, ἐγκαταλιπὼν πάντα, ἐξῆλθε μετὰ τῶν ἀδελφῶν καὶ τῆς Δραουπαδῆς.

217. Ἐλθὸν δὲ τὸ πῦρ, ὥςπερ θυμωθὲν, ἐπειδὴ ἐρρίφθη εἰς τὸ ὕδωρ, ἤτησε καὶ ἔλαβε παρὰ τοῦ Ἀρζούνα τὸ τόξον καὶ τὴν φαρέτραν, ὡς ἀχρεῖος φίλος, ἃ ἔδωκε πρότερον [1].

218. Ἐξελθοῦσι δὲ τούτοις τοῖς ἓξ, ἠκολούθησεν ἓν κυνάριον, καί περ κωλυόμενον, καθὼς τὸ ἔργον ἀκολουθεῖ τῷ νοῒ καὶ ταῖς πέντε αἰσθήσεσιν [2].

219. Ἐπορεύοντο δ' οὗτοι μέσον τοῦ δυτικοῦ καὶ νοτίου μέρους σχολαίως· καὶ ἰδόντες βεβυθισμένην ἐν ὕδασι τὴν Δβαραβατὴν [3], οὐκ ἔπαθον τὴν ψυχὴν, ὡς ἀπαθεῖς.

220. Περιελθὼν δὲ τὴν γῆν μετὰ τῶν ἑαυτοῦ ἀκολούθων αὐτὸς ὁ λαμπρὸς βασιλεὺς, ἀφίκετο εἰς τὸ βόρειον μέρος, ὡς ὁ λαμπρὸς Ἥλιος μετὰ τῶν ἑαυτοῦ ἀκτίνων.

221. Διαβάντες δὲ τὸν χιονώδη Ἰμαὸν, καὶ ὑπερβάντες αὐτὸν τῷ κλέει [4], ἀφίκοντο εἰς τὸ ἀμμῶδες πεδίον· κἄπειτα εἶδον τὴν Μερόην [5], καὶ τὸν Νανδάναν [6], τὸν λειμῶνα τοῦ Ἴνδρα.

222. Ἐν ἐκείνῃ τῇ ὁδῷ, τῇ οὔσῃ ἄνευ ἐρείσματος καὶ ἀντιλήψεως [7], πεσοῦσα ἡ Δραουπαδὴ, καθὼς ἡ γνῶσις τοῦ μωροῦ καταπίπτει ἐν τῷ πρακτέῳ [8], ἀφῆκε τὸ πνεῦμα.

223. Ἐρωτήσαντος δὲ τοῦ Βήμα, «Τίνος ἕνεκα αὕτη ἡ πάντῃ

---

1. Ὅτε ὁ Ἀρζούνας κατέκαυσε τὸ δάσος.
2. Ἔνθα νοῦς καὶ αἴσθησις, ἐκεῖ καὶ ἔργον.
3. Ἡ πόλις τοῦ Κρισνᾶ Δβαρικὰ, λέγεται καὶ Δβαραβατή.
4. Λευκὴ ἡ χιὼν, λευκὸν καὶ τὸ κλέος.
5. Ὄρος μυθευόμενον ὁλόχρυσον, ἐνδιαίτημα τῶν θεῶν.
6. Νανδάνας λέγεται ὁ Παράδεισος τοῦ Ἴνδρα, ὅς ἐστιν ἐπὶ τῆς Μερόης.
7. Ἐν τῇ εἰς οὐρανὸν ἀναβάσει διὰ τοῦ αἰθέρος.
8. Ἀνοηταίνει δηλ. εἰς ὃ δεῖ πράττεσθαι κατὰ τὸν νόμον.

» καθαρὰ, καὶ ἐν θαυμαστῇ οὖσα ἀσκήσει, ὑπνώττει ὕπνον
» μακρὸν, καθὼς ἡ Κουμουδβατὴ [1] ἐν ἡμέρᾳ;»

224. Ὁ Ἰουδιστίρας ἀπεκρίνατο, μηδαμῶς στρέψας τὸ πρόσω-
πον· «Πέπτωκε, καὶ τέθνηκεν, ἐπειδὴ πλείονα κλίσιν εἶ-
» χε πρὸς τὸν υἱὸν τοῦ Ἴνδρα Ἀρζούναν [2].»

225. Πεσόντος δὲ τοῦ Σαχαδέβα, ὁ Ἰουδιστίρας ἀπεκρίνατο
τῷ Βήμᾳ, ἐρωτήσαντι τὴν αἰτίαν· «Οὗτος πέπτωκε διὰ
» τὴν ἣν εἶχε δοκησισοφίαν [3], νομίζων πάντας ἄνους.»

226. Πεσόντος δὲ τοῦ Νακούλα, ἐρωτηθεὶς πάλιν ὁ βασιλεὺς
ὑπὸ τοῦ Βήμα, ἔφη· «Πέπτωκεν οὗτος, ἐπειδὴ ἐφρόνει,
» ὡς εὐειδὴς ἦν, καὶ οὐκ ἠνείχετο παραβληθῆναι οὐδὲ τῷ
» Κάμᾳ [4].

227. Πεσόντος δὲ καὶ τοῦ Ἀρζούνα, ἀπεκρίνατο ὁ Ἰουδιστί-
ρας, ἐρωτηθεὶς ὑπὸ τοῦ Βήμα· «Πέπτωκεν, ἐπειδὴ, νομί-
» ζων ἑαυτὸν ἥρωα, ἤρχετο εἰς τὸ στάδιον τῆς μάχης
» ἀφροντίστως [5].»

228. Εἰπόντος δὲ τοῦ Βήμα, «Ἰδοὺ ἐγὼ πίπτω,» ὁ Ἰουδι-
στίρας ἔφη· «Σὺ τῷ πολυφάγῳ ἔπαρσις ἦν ἐπὶ τῇ δυνά-
» μει τοῦ σώματος· διὰ τοῦτο καὶ σὺ πίπτεις.»

229. Ἀναβαίνων δ' εἰς τὸν οὐρανὸν αὐτὸς ὁ σταθερὸς ἐν τοῖς
τοῦ νόμου, οὐκ ἔστρεψε τοὺς ὀφθαλμοὺς πρὸς τοὺς ἀδελ-
φοὺς, καί περ πίπτοντας.

230. Ἐπακολουθοῦντος δὲ μόνον τοῦ κυνὸς, ὁ στερεόφρων Ἰου-
διστίρας εἶδεν ἔμπροσθεν τὸν Ἴνδραν, ὄντα ἐφ' ἅρματος.

231. Κληθεὶς δ' ὑπὸ τοῦ Ἴνδρα φωνῇ ἡδείᾳ καὶ ἀξίᾳ ἀκούε-

---

1. Κουμουδβατὴ, ὁ νυκτάνθης λωτὸς, ὃς συμμύει ἐν ἡμέρᾳ.
2. Ἔδει τὴν αὐτὴν ἀγάπην ἔχειν πρὸς τοὺς πέντε· διὸ ἄδικος ἦν.
3. Οἰηματίας ἦν καὶ ὑπέροφρυς.
4. Κάμας, ὁ Ἔρως, ὃς ἐστι πάγκαλος.
5. Πάντων δηλ. τῶν ἡρώων κατεφρόνει.

σθαι ὑπὸ μακαρίων, « Ἐλθὲ μόνος εἰς τὴν ἐμὴν πόλιν με-
» τὰ τοῦ σώματος, » ἔφη·

232. « Οὐκ ἐλεύσομαι εἰς τὸν οὐρανὸν ἄνευ τούτου τοῦ κυνός·
» οὐαὶ ἐκείνῳ, ὃς ἐγκαταλείπει ἐν εὐτυχίᾳ τὸν ὑπηρετοῦν-
» τα ἐν δυστυχίᾳ !

233. « Ὁ βομβύλιος, ὁ ἐπιφοιτῶν τοῖς ἄνθεσιν ἐν λειμῶνι, οὐκ
» ἀποδιώκεται, εἰ καὶ μέλας, ὑπὸ τῶν ἀνθέων, ὄντων
» ἐπὶ τῆς κορυφῆς τῶν θεῶν [1].

234. « Ἡ Γαγγὰ οὐ καθαίρει τῷ λουτρῷ τὸν ἀνελόντα βοῦν, ἢ
» Βραχμᾶνα, καὶ τὸν διατεμόντα τὸν φαλὸν τοῦ Σίβα,
» οὐδὲ μὴν ἐκεῖνον, ὃς ἐγκαταλείπει τὸν ἀγαπῶντα καὶ
» συνήθη ὄντα.

235. « Ποῦ δὲ δικαιοσύνη ἐμοί, ἐὰν ἀφῶ τὸν κύνα ; Πόθεν δ'
» οὐρανὸς ἐμοί, ἄνευ δικαιοσύνης ; Οὐχὶ δὲ μόνον ἐμοὶ
» ἔκπτωσις τοῦ οὐρανοῦ γίνεται, ἐὰν ἀφῶ τὸν κύνα, ἀλλὰ
» καὶ σὺ αὐτῷ, ὃς λέγεις ταῦτα. »

236. Τοιαῦτα εἰπόντος τοῦ βασιλέως, ὁ Ἴνδρας ἔφη· « Πῶς
» δ' ἂν ἔλθοι εἰς τὴν ἐμὴν πόλιν ὁ κύων οὗτος, ὃς οὐδὲν
» ἔπραξεν ἀγαθόν ; »

237. « Ἔστω, ἔφη, καὶ τούτῳ τῷ κυνὶ μετὰ τοῦ σώματος οὐ-
« ρανὸς διὰ τῶν ἐμῶν ἀγαθῶν ἔργων. » Τοιαῦτα εἰπὼν,
ἐτιμήθη ὑπὸ των θεῶν, θαυμαζόντων.

238. Ἀφεὶς δὲ τὴν ἑαυτοῦ μορφὴν ὁ κύων, ὃς ἦν αὐτὸς ὁ Δάρ-
μας, καὶ λαβὼν ἀγλαὰν καὶ θείαν μορφὴν, ἠγκαλίσατο
τὸν βασιλέα, καὶ ἔφη, χαίρων·

239. « Χαίρω, ὦ τέκνον, ἐπειδὴ ὡράθη ὑπ' ἐμοῦ ἐν τῷ κυνείῳ
» σώματι ἡ ἀγαθότης σου καὶ δικαιοσύνη σου· ἀνάβα
» τοῦτο τὸ θεῖον ὄχημα· ἔστω σοι οὐρανὸς ἀΐδιος. »

---

1. Διότι ἦν συνήθης αὐτοῖς.

240. Κατὰ τὴν προσταγὴν ταύτην τοῦ πατρὸς, ἀναβὰς τὸ ὄχημα, ὃ ἦν κλίμαξ τῆς ἀρετῆς, αὐτὸς ὁ δικαιότατος, ἦλθεν εἰς τὸν οὐρανὸν ἐνσώματος.

241. Τιμηθεὶς δ' ὑπὸ τῶν θεῶν καὶ ὑπὸ τῶν ὁσίων Βραχμάνων, τοῦ τε Ναράδα καὶ τῶν λοιπῶν, ἠγλαΐζετο ἐν τοῖς ὁσίοις βασιλεῦσιν, ὡς ἡ Σελήνη ἐν τοῖς ἄστρασιν.

242. Ἐλθὼν δ' εἰς τὸν οὐρανὸν, ἔφη τῷ Ἴνδρᾳ· «Ὅπου εἰ-» σὶν οἱ ἐμοὶ ἀδελφοὶ, καὶ ἡ ἐμὴ γυνὴ, ἐκεῖσε ἄγαγέ » με.» — «Μὴ φρόνει ἀνθρώπεια ἐν οὐρανῷ,» ἔφη ὁ Ἴνδρας. Ὁ δὲ, καί περ κωλυόμενος, διϊσχυρίζετο.

243. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα ὁ ἀγαθὸς καὶ ἐγκρατὴς Ἀμάρας. Ἔλαβε τέλος ἡ δεκάτη ἑβδόμη Πάρβα, ἡ καλουμένη *Πρασθάνα* [1], τῆς Βαλαβαράτας, ἡ ἀπαλλάττει τὴν ἄγνοιαν, καὶ εἰκών ἐστι τῆς μαθήσεως ἐκείνου τοῦ Ἀμάρα.

Τέλος τῆς Πάρβας,

οὐχὶ δὲ τοῦ Κεφαλαίου.

---

1. Πρασθάνα λέγεται ἡ ἔξοδος, ἡ ἀναχώρησις.

ΒΙΒ. ΔΕΚΑΤΟΝ ΟΓΔΟΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ,

Περὶ τῆς ἀναβάσεως εἰς οὐρανόν.

244. Ἰδὼν δ' ὁ Ἰουδιστίρας ἐν οὐρανῷ ἔνδοξον τὸν Δουριοδάναν σὺν τοῖς ἀδελφοῖς αὐτοῦ, ἔφη τῷ Ἴνδρᾳ, θυμούμενος·

245. « Προσκύνησις τῷ οὐρανῷ [1], ἔνθα οὗτος ὁ Δουριοδάνας, ὁ » κακοῦργος, καὶ τοῦ κόσμου τύραννος, τιμᾶται ἀνεπηρεά- » στως, ἐπὶ θρόνου ὑψηλοῦ καθήμενος.

246. « Τί δεῖ μοι τούτου τοῦ οὐρανοῦ, ἔνθα οὐκ ἔστι σκέψις » καὶ κρίσις ; ἔστω μοι ἐκεῖνος ὁ οὐρανὸς, ἔνθα πάρεισιν » οἱ ἐμοὶ ἀδελφοί. »

247. Ὁ δ' Ἴνδρας ἔφη ἑνὶ θείῳ διακόνῳ, ταχυτέρῳ καὶ τοῦ νοός· « Δεῖξον τούτῳ τῷ βασιλεῖ τοὺς ἀδελφοὺς, τοὺς ὄν- » τας ἐν ἀνέσει. »

248. Ἦκε δ' ὁ Ἰουδιστίρας δι' ὁδοῦ, ἣ ἐδείχθη ὑπὸ τοῦ θείου διακόνου, εἰς τὸν ᾅδην, ἔνθα ἦν μεγάλη δυσωδία, κολάσεις, δεσμὰ, ὀδύναι, καὶ ἄλλα τοιαῦτα δεινά.

249. Ἐνταῦθα ἤκουσε φωνῆς θλιβερᾶς, καὶ πικρᾶς εἰς τὴν ἀκοὴν, ἐξερχομένης ἐκ στόματος τῶν συγγενῶν, οἳ ἦσαν πεπεδημένοι, καὶ ἐκολάζοντο κολάσεσι πολυειδέσιν.

---

1. Εἰρωνικῶς τοῦτο λέγει.

250. « Ἡμεῖς ἐσμεν οἱ περὶ τὸν Βήμαν· ἐγώ εἰμι ἡ πολυπαθὴς » Δραουπαδή· ἡμεῖς ἀναψυχὴν λαμβάνομεν τῷ ἀέρι τῆς » ἀρετῆς σου· ἀνάμεινον μικρόν τι. »

251. Στὰς δ' ὁ βασιλεὺς ἀκίνητος τοιούτοις λόγοις, ὥςπερ δυνάμει ἐπῳδῆς [1], προξενούσης ἀκινησίαν, κατηγορῶν τῶν κακῶν ἀποτελεσμάτων τῆς τύχης, ἔφη τῷ θείῳ διακόνῳ·

252. « Ἐγὼ ἐνταῦθα μένω σὺν τοῖς οἰκείοις· ὁ μὲν ἅδης οὗτος, » ὡς οὐρανός μοι ἐστὶν, ἡ δὲ Βαϊταρινὴ [2], ὡς Γαγγὰ, οἱ » δὲ πόνοι, ὡς ἀνέσεις.

253. « Εὖ σοι γένοιτο· ἄπιθι. Προσκύνησις [3] τῷ οὐρανῷ καὶ » τοῖς ἐν οὐρανῷ θεοῖς, ἔνθα οἱ μὲν κακοῦργοι τιμῶνται, » οἱ δ' ἀγαθοὶ τὴν φύσιν ἀτιμάζονται. »

254. Τοῦ μὲν οὖν θείου διακόνου ἀκούσαντος, καὶ ἀναχωρήσαντος, ὁ βασιλεὺς εἶδεν ἐνώπιον τὸν Ἴνδραν, καὶ οὐχὶ τὸν ἅδην, οὐδὲ τοὺς ἐν τῷ ἅδῃ.

255. Καθιλαρύνας δ' ὁ τῶν θεῶν ἄρχων αὐτὸν τὸν βασιλέα, ἀποροῦντα τί εἴη τοῦτο, καὶ ἀναψυχόμενον ἡδεῖ ἀέρι, ἔφη·

256. « Ὅ,τι ὀλίγον ψεῦδος εἴρηκας εἰς θάνατον τοῦ διδασκά- » λου Δρόνα, τούτου ὁ καρπὸς, ὁ τόπος τῆς κολάσεως, » ἐδείχθη σοι διὰ τῆς ἐμῆς γοητείας.

257. « Νῦν δ' ἰδὲ ἐν οὐρανῷ τοὺς ἀδελφοὺς, ὄντας ἐν πελάγει » ἀμβροσίας χαρᾶς, καὶ τὴν Δραουπαδὴν πρὸς τούτοις » ἀγλαΐζουσαν τὸν οὐρανόν. »

258. Ἤσθη δὲ τοῖς λόγοις τοῦ Ἴνδρα ὁ Ἰουδιστίρας, καὶ προσταχθεὶς ὑπὸ τοῦ Δάρμα, εἰσέδυ εἰς τὸ καθαρὸν καὶ κα-

---

1. Ἔστι καὶ ἐπῳδὴ, ἡ καταπαύει καὶ βροχὴν, καὶ πῦρ, καὶ πᾶν ἄλλο δεινόν.

2. Βαϊταρινὴ, ποταμὸς ἐν Ἅδῃ ἐξ αἵματος καὶ πύου.

3. Εἰρωνεία τοῦτο.

θαρτικὸν ὕδωρ τῆς οὐρανίας Γαγγᾶς, ὥςπερ εἰς τὴν ἑαυτοῦ ἀρετὴν, ἡ τακεῖσα, μετετράπη εἰς ὕδωρ.

259. Εἰς δὲ χαρὰν τοῦ βασιλέως, ἀντὶ τῶν βομβυλίων, οἱ περὶ τὸν Τουμβαροῦν[1] Γανδάρβαι, ἀφανεῖς ὄντες ἐν συνεχέσι χρυσοῖς λωτοῖς[2], ἔβρεχον ἀμβροσίαν εἰς τὰς ἀκοὰς τοῦ βασιλέως διὰ φωνῶν ἡδέων.

260. Ἀντὶ δὲ φωνῶν τῶν ἐν ὕδασιν ἐλεφάντων, ἦχοι μουσικῶν ὀργάνων, κρουομένων ὑπὸ θείων μουσικῶν ἀφανῶν, ἠκούοντο εἰς χαρὰν ἐκείνου τοῦ βασιλέως.

261. Ἀντὶ δὲ λωτῶν, τῶν σαλευομένων τῷ ἀέρι, Ἄψαραι[3] χοροὺς ἐποίουν εἰς χαρὰν τοῦ βασιλέως, ἐμβεβυθισμέναι τοῖς ὕδασιν, ὧν τὰ πρόσωπα καὶ αἱ χεῖρες μόνον ἔξω ἦσαν τοῦ ὕδατος, ὡς λωτοί[4].

262. Ἡ μὲν οὖν Γαγγὰ, ἐκδύσασα τὸν Ἰουδιστίραν τὴν ἀνθρωπείαν φύσιν, ἐνέδυσεν αὐτὸν τὴν θείαν[5]· ὁ δὲ, προσκείμενος τοῖς ἐν ὕδασι χαροποιοῖς ἄσμασι καὶ χοροῖς, οὐδέν τι ἔγνω[6].

263. Ἠγλαΐζετο δ' αὐτὸς ὁ Ἰουδιστίρας, ὥςπερ λαβὼν σῶμα, ποιηθὲν ἐκ τῶν καθαρωτάτων λειψάνων Ἡλίων καὶ Σελήνων, καὶ Ἐρώτων ἀπείρων αἰώνων, οὓς ὁ χρόνος ἀνέλυσε, καὶ ἐκάθηρεν, ὡς πῦρ[7].

---

1. Τουμβαροῦς, πρῶτος τῶν Γανδαρβῶν, οἵ εἰσι μουσικοὶ θεοί· λέγεται καὶ Τουμβουροῦς.

2. Ἐν τοῖς ὕδασι λωτοὶ φύονται· ἐν δὲ τοῖς τῆς οὐρανίας Γαγγᾶς χρυσοί εἰσι λωτοί· περὶ δὲ τοὺς λωτοὺς βομβύλιοι βομβοῦσιν· ἐκεῖ δὲ μουσικοὶ θεοὶ ἦδον εἰς χαρὰν τοῦ βασιλέως.

3. Ἄψαραι, θεῖαι νύμφαι.

4. Ὁ μὲν καυλὸς τοῦ λωτοῦ ἔνδον ἐστὶ τοῦ ὕδατος, τὸ δ' ἄνθος ἔξω.

5. Τὸ ἀνθρώπειον σῶμα ἐξέδυσε, καὶ ἐνέδυσεν αὐτὸν τὸ θεῖον.

6. Προσέχων τοῖς θείοις ἄσμασι καὶ χοροῖς, οὐκ ἤσθετο ὅπως, ἐκδυθεὶς τὴν ἀνθρωπείαν φύσιν, ἐνεδύθη τὴν θείαν.

7. Καθὼς τὸ πῦρ ἀναλύει καὶ καθαίρει τὸν χρυσὸν, οὕτω καὶ ὁ χρόνος

264. Πορευόμενος δὲ μετέπειτα εἰς τὴν ὁμήγυριν τῶν θεῶν, ὅ,τι ἄξιον δῶρον ἤθελε χαρίζεσθαι τοῖς καθ' ὁδὸν ποιοῦσιν ἄξια θεωρίας καὶ τέρψεως, τοῦτο ἔβλεπεν εἰς τὰς χεῖρας αὐτοῦ ἐρχόμενον αὐτομάτως [1].

265. Ἀφίκετο δ' εἰς τὴν σύνοδον τῶν θεῶν, ὁδηγοῦ ὄντος τοῦ Ἴνδρα, πίνων ὑπερήδιστα διὰ τῆς ἀκοῆς τὸ ἐκ τῆς Ῥαζασσουΐας θυσίας κλέος αὐτοῦ, ὑμνούμενον ὑπὸ τῶν μουσουργῶν θεῶν [2].

266. Ἐνταῦθα εἶδε τοὺς ἀδελφοὺς αὐτοῦ, χαίροντας τοῖς ἄσμασι καὶ τοῖς χοροῖς θείων Νυμφῶν, ὑπερβαίνοντας τῇ λάμψει τὸν Ἥλιον, καὶ ἀγλαΐζοντας τὴν θείαν σύνοδον.

267. Διὰ δὲ τῆς προσταγῆς τοῦ Ἴνδρα εἶδε τὸν μὲν Καρνᾶν καὶ Ἀβιμανιοῦν ἐνόντας τῷ Ἡλίῳ, τὸν δὲ Κρισνᾶν ἐνόντα τῷ φωτὶ τοῦ Βισνοῦ, τὸν δὲ Δρυταράστραν τῷ βασιλεῖ τῶν Γανδαρβῶν, τὸν δὲ Δρόναν τῷ σώματι τοῦ Βριχασπατῆ, τὸν δὲ Βήσμαν τῷ ὀγδόῳ Βασοῦ, καὶ ἄλλους πρὸς τούτοις ἥρωας ἐνόντας ἄλλοις θεοῖς, ὧν ἀπόῤῥοιαι ἦσαν ἐπὶ γῆς, εἰς τὸ ἀφελεῖν τὸ βάρος αὐτῆς.

268. Ἐνταῦθα ἠγάλλετο αὐτὸς ὁ Ἰουδιστίρας, ὁ μέγας βασιλεὺς, ὅμοιος ὢν κατὰ τὴν δόξαν τῷ Χαρισσάνδρᾳ [3],

---

ἀνέλυσε καὶ ἐκάθηρεν ἀπείρους Ἡλίους καὶ Σελήνας, καὶ Ἔρωτας ἀπείρων αἰώνων, ἐξ ὧν, ἀναλυθέντων, καὶ καθαρθέντων, συνέστη τὸ σῶμα λαμπρότατον καὶ εὐειδέστατον· ὁ γὰρ Ἔρως εὐειδής. Σημείωσαι, ὡς ἀπείρους αἰῶνας δοξάζουσι, κατὰ τὰς ἀπείρους κοσμογονίας· ἐν δ' ἑκάστῃ κοσμογονίᾳ, νέος Ἥλιος καὶ νέα Σελήνη, καὶ νέος Ἔρως γίνεται.

1. Τοῦτό ἐστιν οὐρανὸς, τὸ τυγχάνειν εὐθέως οὗ τινος ἐπιθυμεῖ ὁ ἄνθρωπος. Ἔθος δ' ἐστὶ δῶρα χαρίζεσθαι τοῖς ποιοῦσι παιδιὰς, εἰς θεωρίαν καὶ τέρψιν.

2. Οἱ μὲν θεοὶ ὕμνουν, αὐτὸς δ' ἤκουεν ὑπερήδιστα.

3. Χαρισσάνδρας, μέγας βασιλεὺς τῆς Ἀϊοδδεᾶς, ὃς Ῥαζασσουΐαν θυσίαν ἐτέλεσε, καὶ τὸν κόσμον ἠρνήσατο.

καὶ ἔχων περὶ ἑαυτὸν τὸν Βαγηράταν, τὸν Ῥάμαν, τὸν Δηλίπαν, καὶ ἄλλους τοιούτους θαυμαστοὺς ἥρωας.

269. Σεβέσθω, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα ὁ ἀγαθὸς καὶ ἐγκρατὴς Ἀμάρας. Εἴληφε τέλος ἡ Δεκάτη Ογδόη Πάρβα, ἡ καλουμένη *Σβαργαροχάνα* [2], τῆς Βαλαβαράτας, ἥ ἐστιν αὐτὴ ἡ γνῶσις, καὶ ἀνατολὴ τοῦ λαμπροῦ νοὸς ἐκείνου τοῦ Ἀμάρα.

Ἐν τούτοις τοῖς πέντε Βιβλίοις δι' ἑνὸς Κεφαλαίου ἐμπεριέχονται διακόσιοι ογδοήκοντα καὶ εἷς στίχοι, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ Τεσσαρακοστοῦ Δευτέρου Κεφαλαίου τῆς Βαλαβαράτας, ὃ διαλαμβάνει περὶ τῆς ἱπποθυσίας, περὶ τῆς ἐν ἐρήμῳ διαγωγῆς, περὶ τοῦ ὑπέρου, περὶ τῆς ἐξόδου, καὶ περὶ τῆς ἀναβάσεως εἰς οὐρανόν.

---

1. Σβαργαροχάνα, ἀνάβασις εἰς οὐρανόν.

ΒΙΒ. ΔΕΚΑΤΟΝ ΕΝΝΑΤΟΝ.

Η

ΚΕΦΑΛΑΙΟΝ ΤΕΣΣΑΡΑΚΟΣΤΟΝ ΤΡΙΤΟΝ*,

ὃ διαλαμβάνει τὴν βασιλείαν τοῦ Παριξίτα, τὴν ὀφιοθυσίαν τοῦ Ζαραμεζαΐα, κτλ.

1. δοίη ἡμῖν ἐκεῖνος ὁ ὅσιος Βεάσας γνῶσιν, ἐπαγωγὸν τῆς ἀθανασίας· οὗ τὴν ἐν τῇ Μαχαβαράτᾳ ἀμβροσίαν τῆς γλώσσης οἱ πίνοντες ἐκ καρδίας, οὐκ ἐφίενται τῆς χώρας τῶν θεῶν, ἔνθα ἐστὶν ἡ θεία ἀμβροσία.
2. Ἡ δὲ γῆ, ἡ πάσχουσα πάθος τῆς διαζεύξεως τῶν πέντε υἱῶν τοῦ Πανδοῦ, ἰδοῦσα τὸν Παριξίταν, λαμπρὰ ἔχοντα πλεονεκτήματα, καὶ νεανίαν ὄντα, ἐμμανῶς ἠράσθη αὐτοῦ [1], ἀφεῖσα τὸ πάθος.
3. Πῶς οὗτος ὁ βασιλεὺς ἐπαινεθείη ἂν, ὃς τὸ κλέος τῶν προγενεστέρων ηὔξησε τῇ πολυδωρίᾳ, καὶ τῇ θερμουργίᾳ, καθὼς ὁ χρόνος αὐξάνει τὸ δένδρον τῷ ὕδατι, καὶ τῇ θερμότητι τοῦ Ἡλίου [2];
4. Τούτου τοῦ δεινωποῦ ἡ θερμότης, ἡ ἐκ τῶν βελῶν, ἔφερεν

---

* Τοῦτο ἐν τῇ Μαχαβαράτᾳ τέθειται ὑπὸ τοῦ Βεάσα κατ' ἀρχάς· ὁ δὲ Ἀμάρας ἀραρότως τίθησιν ἐνταῦθα, ἐπειδὴ διαλαμβάνει τὴν βασιλείαν τοῦ Παριξίτα, ὃς ἐβασίλευσε μετὰ τὸν Ἰουδιστίραν.

1. Ὡς ἡ γυνὴ ἐρᾷ ἀνδρὸς ἀξίου καὶ νέου.

2. Τὸ πρωτότυπον χάριν ἔχει μεγάλην, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

ἓξ πρόσωπα, διὰ τῶν ἓξ βασιλικῶν τρόπων [1] ὡς ὁ υἱὸς τοῦ Σίβα Σκάνδας [2]. Οἱ δὲ δώδεκα Ἥλιοι ἦσαν ὡς ἑνώτια [3].

5. Τούτου τὸ λευκὸν κλέος ἄδει ἀεὶ ἡ Σελήνη, καί περ πλήρης οὖσα λευκῶν καὶ ἀμβροσίων ἀκτίνων· διὰ τοῦτο ἔρχεται ἡ ἔλαφος εἰς τὴν ἀγκάλην αὐτῆς, καί περ ἐχούσης τὴν κυρτότητα, ὡς ὄνυχας λέοντος [4].

6. Οὗτος ὁ εὔσπλαγχνος ἐξῆγε διὰ τῆς προσηκούσης παιδείας τὸν πεσόντα εἰς βόθρον ἁμαρτημάτων, ἐπειδὴ ἐστερήθη τοῦ λογικοῦ, ἕνεκα τοῦ ἐπιθυμητικοῦ καὶ θυμικοῦ, καθὼς ὁ ἄνθρωπος ἐξάγει διὰ τῆς βακτηρίας τὸν πίπτοντα εἰς βόρβορον, ἐπειδὴ οὐ βλέπει, ἕνεκα τῆς κόνεως, ἢ τοῦ σκότους [5].

7. Οὗτος ὁ φιλοδίκαιος τίνος τὴν καρδίαν οἶκον οὐκ ἐποίησεν, ἣν ἠγόρασε διὰ τῶν ἑαυτοῦ ἀρετῶν; διὰ τοῦτο οὐδεὶς ἐν καρδίᾳ κακόν τι διενοεῖτο, δι' ὑποψίαν, ὅτι τοῦτο ἐκεῖνος γινώσκει [6].

---

1. Ἓξ τρόποι εἰσὶ προσήκοντες τῷ βασιλεῖ· εἰρήνη, πόλεμος, ἐκστρατεία, ἀστρατεία, διχόνοια περὶ τοὺς ἐχθροὺς, καὶ συμμαχία. Οὐ μόνον δηλ. πολεμικὸς ἦν, ἀλλὰ καὶ πολιτικός.

2. Ἐξαπρόσωπος ἐστὶν ὁ Σκάνδας.

3. Ἡ ἐξαπρόσωπος θερμότης αὐτοῦ εἶχεν, ὡς δώδεκα ἑνώτια τοὺς δώδεκα Ἡλίους. Οἱ Ἰνδοὶ λέγοντες δώδεκα Ἡλίους, αἰνίττονται τὰς ἐν τοῖς δώδεκα ζωδίοις φορὰς τοῦ Ἡλίου κατ' ἔτος.

4. Μυθολογοῦσιν, ὅτι ἡ ἐν τῇ Σελήνῃ μελανότης ἔλαφος ἐστιν· ὅθεν πλάττει ὁ ποιητὴς, ὡς ἡ ἔλαφος, ἡ φίλη ἐστὶ τῶν ᾀσμάτων, ἔρχεται εἰς τὴν Σελήνην, θελγομένη τοῖς περὶ τοῦ Παριξίτα ᾄσμασι, μηδαμῶς φοβουμένη καί περ βλέπει τὴν κυρτότητα αὐτῆς, οὖσαν ὡς ὄνυχα λέοντος· κυρτὴ γάρ ἐστιν ἡ διχότομος Σελήνη, ὡς καὶ ὁ ὄνυξ τοῦ λέοντος.

5. Ὁ ποιητὴς παίζει πρὸς τὰς λέξεις· Δάνδα λέγεται ἡ βακτηρία καὶ ἡ παιδεία· ἡ βακτηρία δίδοται εἰς ἀντίληψιν τοῦ πεσόντος.

6. Δηλονότι ἐν ἁπάντων ταῖς καρδίαις ἦν, καὶ διὰ τοῦτο οὐ μόνον ἔργῳ, ἀλλ' οὐδὲ διανοίᾳ κακόν τις ἐποίει.

8. Τούτου ἐν τῇ γῇ οὐκ ἐγινώσκετο ἐξ ἀποδείξεως, οὐδ' ὑπὸ σοφῶν ἀνδρῶν, ὅτι κλέπται εἰσὶ [1], καθὼς γινώσκεται ὑπ' ἐκείνων τῶν σοφῶν, ὅτι Ποιητής ἐστι τοῦ παντὸς, ἀποδεικνυόμενος ἐκ τῶν καθόλου, καὶ κατὰ μέρος αὐτοῦ ποιημάτων.

9. Οὗτος, λατρεύων καθ' ἑκάστην περὶ τὴν ἕω, ἐδέετο τοῦ Σίβα [2], δοῦναι πολλοὺς ἐπαίτας· ὁ δὲ μὴ δυνάμενος ποιῆσαι τοῦτο τὸ αἴτημα, λαβὼν μορφὴν ἐπαίτου ἐπὶ γῆς, ἦλθεν αὐτὸς πρὸς αὐτόν.

10. Τούτῳ τῷ βασιλεῖ Παριξίτᾳ γυνὴ ἐγένετο, Μαδραβατὴ τοὔνομα· ἣν ἰδοῦσα πάνυ εὐειδῆ ἡ θυγάτηρ τοῦ βασιλέως τῶν ὀρέων Ἰμαοῦ, Παρβατὴ, συνέδησε τῷ ἑαυτῆς σώματι τὸ τοῦ Σίβα, τοῦ ἀνδρὸς αὐτῆς [3].

11. Συνευφραινομένου δὲ τοῦ βασιλέως ταύτῃ τῇ λαμπροτέρᾳ ἁπασῶν, οἱ θεοὶ, οἱ εὔφοροι τῶν τοῦ κόσμου μερῶν, μεγάλην χαρὰν ἔλαβον, ταῦτα ἐννοοῦντες· « Οὗτος ὁ βασιλεὺς, » ὁ ὢν ἡμετέρα εἰκὼν [4], ἐγένετο ἐκ τῆς ἡμετέρας ἀγαθῆς » τύχης. »

---

1. Κλοπὴ οὐκ ἐγίνετο, καὶ διὰ τοῦτο οὐκ ἀπεδεικνύετο, ὅτι κλέπται ἦσαν.

2. Ὁ Σίβας δοτήρ ἐστι τῶν ἐφετῶν· ἀλλὰ καὶ οὕτως οὐκ ἠδυνήθη δοῦναι αὐτῷ, ὃ ᾔτησεν, ἐπειδὴ ἅπαντες ἦσαν ἀνενδεεῖς.

3. Ἐνίοτε γράφουσι τὸ σῶμα τοῦ Σίβα ἐξ ἡμισείας θήλυ, αἰνίττοντες διὰ τούτου τὴν φύσιν, ὅτι ἐξ ἄῤῥενος καὶ θήλεος τὸ πᾶν συνίσταται. Ἐνταῦθα δ' ὁ ποιητὴς πλάττει, ὡς ἐξ ἐκείνου τοῦ χρόνου ἐγένετο τὸ σῶμα τοῦ Σίβα ἀῤῥενόθηλυ, καὶ ἐν ταὐτῷ δηλοῖ ὅτι ἡ εὐείδεια τῆς Μαδραβατῆς ὑπερέβαινε τὴν τῆς Παρβατῆς, καὶ διὰ τοῦτο ἐφοβήθη ἡ Παρβατὴ μήπως ἀπατηθείη ὁ Σίβας.

4. Λέγουσιν ὅτι, ὅτε χρίεται βασιλεὺς, εἰσδύουσιν εἰς τὸ σῶμα αὐτοῦ οἱ ἔφοροι τῶν μερῶν τοῦ κόσμου θεοί· διὰ τοῦτο χαρὰν ἔλαβον οἱ θεοὶ, νομίζοντες ὅτι καὶ αὐτοὶ συνευφραίνονται.

12. Ἐν δὲ καιρῷ αὕτη ἡ βασιλικὴ γυνὴ ἔσχεν ἐν γαστρὶ ἔμβρυον, καθὼς ἡ Βραχμάνδα ἔχει ἐν ἑαυτῇ τὸν ποιητὴν Βραχμᾶν, πᾶσαν χάριν ἔχον, καὶ ἱκανὸν ὂν εὐφρᾶναι τοὺς τρεῖς κόσμους.

13. Ταύτης τὸ τῶν μαστῶν ζεῦγος, τὸ ὂν παχὺ, καὶ μελαίνας θηλὰς ἔχον [1], περίλυπον ἦν καὶ περιχαρές· περίλυπον μὲν, ὡς μὴ ἀπολαῦσον τῆς περιπτύξεως τοῦ ἀνδρός [2]· περιχαρὲς δὲ, ὡς μέλλον θρέψειν ἥρωα, μόνον κυβερνήτην τοῦ κόσμου.

14. Ἐπειδὴ δὲ ὁ μητροπάτωρ Ἥλιος, καὶ ὁ πατροπάτωρ φωστὴρ τῆς νυκτὸς, ἡ Σελήνη, ἐνέσταξαν τῷ ἐμβρύῳ τὴν ἰδίαν ἑαυτῶν λάμψιν [3], διὰ τοῦτο τὸ σῶμα ταύτης ἔσχε θερμότητα καὶ ὠχρότητα [4].

15. Αὕτη, ἀποβαλοῦσα μὲν τὰ λοιπὰ κοσμήματα, διὰ τὴν ἀσθένειαν καὶ ἰσχνότητα τοῦ σώματος, φέρουσα δὲ μόνα δύω λιθοκόλλητα χρυσᾶ ψέλλια, ἐφαίνετο ὡς ἡ ἑωθινὴ ὥρα, ὅτε ὁ μὲν Ἥλιος καὶ ἡ Σελήνη ἐμφανεῖς εἰσιν [5], οἱ δ' ἀστέρες ἀφανεῖς.

16. Ἔγκυος δ' οὖσα, περιεπάτει σχολαίως· τοῦτο δ' ἐποίει,

---

1. Ὅταν ἡ γυνὴ ἔγκυος γίνεται οἱ μὲν μαστοὶ παχύνονται, αἱ δὲ θηλαὶ μελαίνονται.

2. Ὅταν ἡ γυνὴ ἐπίτεξ ᾖ, ὁ ἀνὴρ ἀπέχει τοῦ συνεῖναι αὐτῇ.

3. Ἡ Μαδραβατὴ εἶπε τὸ γένος ἐκ τοῦ Ἡλίου· ὁ δὲ Παριξίτας ἐκ τῆς Σελήνης.

4. Ὅταν ἡ ἔγκυος ἐπίτεξ ᾖ, ἀσθενὴς γίνεται καὶ ὠχρά· καὶ ἡ μὲν θερμότης ἀναφέρεται εἰς τὸν θερμὸν Ἥλιον, ἡ δὲ ὠχρότης εἰς τὴν λευκὴν Σελήνην.

5. Ὁ μὲν Ἥλιος κατὰ τὴν ἀνατολὴν, ἡ δὲ Σελήνη κατὰ τὴν δύσιν, μὴ ὄντων ἀστέρων. Ὁ μὲν Ἥλιος καὶ ἡ Σελήνη τὰ ψέλλιά εἰσι· τὰ δ' ἄστρα, τὰ κοσμήματα, οἱ μαργαρίται, καὶ οἱ ἀδάμαντες.

ἵνα μὴ θλίβοιτο λίαν ἡ γῆ διὰ τὸ βάρος, ἡ οὖσα σύνανδρος, καὶ Ῥατναγάρβα, ὡς καὶ αὐτή [1].

17. Οὗτινος δ' ὄρεξιν εἶχε [2], τοῦτο ἦν εὐπόριστον καὶ πρόχειρον διὰ τοῦ πλούτου, διὰ τοῦ κράτους, καὶ διὰ τῆς ἐπῳδῆς, τοῦ ἀνδρὸς αὐτῆς ἰόντος εἰς τοὺς τρεῖς κόσμους, καὶ φίλου ὄντος τῶν θεῶν, τῶν Βραχμάνων, καὶ τῶν ὑπὸ γῆν ὄφεων.

18. Ἠγλαΐζετο δ' αὕτη, λαμπρὰ οὖσα τὸ σῶμα τῇ πληρώσει τῆς ὀρέξεως, καθὼς ἀγλαΐζεται ἡ Κουμουδβατὴ [3], θάλλουσα τῇ ἀνατολῇ τῆς λαμπρᾶς Σελήνης.

19. Ἐγέννησε δ' υἱόν, καθὼς ἡ γαλακτικὴ θάλασσα τὴν Σελήνην, ἐν ἀγαθῇ ὥρᾳ εἰς θεωρίαν τῶν ἀγαθῶν ὀφθαλμῶν τοῦ κόσμου, λαμπρύνοντα πάντα τὰ μέρη τῇ ἄκρᾳ λαμπρότητι τοῦ σώματος.

20. Γεννήσασα δὲ τοῦτον τὸν λαμπρὸν υἱόν, ἐγένετο ἡ πρώτη ἁπασῶν τῶν γυναικῶν· ἐν ᾧ γὰρ μέρει ὁ Ἥλιος ἀνατέλλει, ἆρα ἐκεῖνο οὐ καλοῦσι πρῶτον πάντων τῶν μερῶν;

21. Γεννηθέντος τούτου τοῦ ἐκλάμπρου παιδίου, τοῦ ἔχοντος ἀπόῤῥοιαν πάντων τῶν θεῶν, τῶν ἐφόρων τοῦ κόσμου, πᾶσαι αἱ διαστάσεις τοῦ τόπου χαρὰν ἔλαβον, ἐλπίζουσαι ὅτι συμπαίζουσι νέῳ γεννηθέντι ἀνδρί [4].

22. Τούτου ἐν τῷ σώματι ὄντων τῶν θεῶν, τῶν ἐφόρων τοῦ

---

1. Ὁ βασιλεὺς λέγεται ἀνὴρ τῆς γῆς ἀλληγορικῶς· τῆς δὲ γῆς ὄνομά ἐστι καὶ τοῦτο Ῥατναγάρβα, ὅ ἐστι μεθερμηνευόμενον, ἔχουσα ἐν γαστρὶ κειμήλια· καὶ ἡ βασίλισσα γὰρ εἶχεν ἐν γαστρὶ κειμήλιον τὸ ἔμβρυον, ὡς καὶ ἡ γῆ ἔχει ἐν γαστρὶ κειμήλια, χρυσίον καὶ ἀργύριον, καὶ λίθους πολυτίμους.

2. Ἡ ἔγκυος γυνὴ ὄρεξιν ἔχει παντοίου βρώματος, καὶ παντοίας θεωρίας.

3. Κουμουδβατὴ λέγεται ὁ νυκτάνθης λωτός.

4. Αἱ διαστάσεις τοῦ τόπου, ὡς γυναῖκες.

κόσμου, ὁ Κουβέρας μόνος ἐκαυχᾶτο, ὃς εἶχε τὰ πρωτεῖα, ἐπειδὴ ὁ ἐν οἴκῳ τοῦ βασιλέως θησαυρὸς οὐκ ἐξεκενώθη, καί περ γενομένων πολλῶν δωρεῶν ἐπὶ τῆς γεννήσεως τούτου.

23. Ὄνομα δ' ἐτέθη τῷ παιδίῳ τούτῳ ὑπὸ τοῦ βασιλέως Ζαναμεζαΐας, ὃ δηλοῖ, ὡς παρὰ μὲν τοῖς εὐμενέσιν ἔσται εἰς τιμὴν τοῦ πατρὸς, τοῖς δὲ δυσμενέσιν ἔσεται ὄλεθρος.

24. Πῶς δ' ἂν ἐπαινέσαιμι τὸ γλυκύτατον γάλα τῶν μαστῶν αὐτῆς τῆς γυναικὸς τοῦ βασιλέως, ὃ ἔπινε καὶ αὐτὴ ἡ ἀμβροσία Σελήνη, λαβοῦσα τὸ πρόσωπον τούτου τοῦ παιδίου;

25. Αὐτὸ τὸ βρέφος ἔπινεν ἡδέως διὰ μὲν τῶν ὀμμάτων τὸ μειδίαμα τῆς μητρὸς, διὰ δὲ τῆς τῆς ῥινὸς τὴν εὐωδίαν τοῦ στόματος αὐτῆς, διὰ δὲ τοῦ στόματος τὸ γάλα, διὰ διὰ δὲ τῶν ὤτων τὰς ἡδυλογίας, διὰ δὲ τοῦ σώματος τὰς ἐν ἀμφοτέραις ταῖς χερσὶν αὐτῆς παιδιάς [1].

26. Ὢν δ' ὁ παῖς οὗτος ἐπὶ κινητῆς κλίνης (βαβαλίου) καὶ καὶ βλέπων τὸ πᾶν κινούμενον, ἐβυθίζετο εἰς ὕπνον, ὥςπερ εἰς χαρὰν θεωρίας βαθείας, τοῦ μόνου ἀκινήτου Θεοῦ [2].

27. Ἕρπετο δὲ διὰ τοῦ στήθους, κινῶν χεῖρας καὶ πόδας ἐπὶ γῆς, λαμπρῶς ἐστρωμένης ἐκ μαρμάρων, ὥςπερ κολυμβῶν ἐν τῇ γαλακτικῇ θαλάσσῃ τοῦ κλέους τῆς ὑπερφυοῦς εὐειδίας αὐτοῦ.

28. Βλέπων δὲ τοὺς οἰκείους ἀνισταμένους, ἀνιστάμενος καὶ αὐτὸς ὁμοίως ἐκείνοις, οὐχ ἥπτετο τῶν δακτύλων

---

1. Τὰς ἀπὸ τῆς μιᾶς χειρὸς εἰς τὴν ἑτέραν μεταφοράς.

2. Ὡς ὁ θεωρητικὸς, ἐννοῶν τὰ πάντα ἄστατα, βυθίζεται εἰς θεωρίαν μόνου τοῦ Θεοῦ, ὃς ἐστιν ἀεὶ διαμένων.

αὐτῶν, μήπως, κλείσας τὴν χεῖρα φανείη, ὅτι σκνιπός ἐστι καὶ φειδωλός.

29. Ὅ,τι δὲ ποιῶν τις ἐφαίνετο, τοῦτο εὐθέως ὑπὸ τούτου κατὰ μίμησιν ἐπράττετο [1]· ὅθεν ὑπὸ τῶν θεωρούντων εἰκάζετο, ὡς ἀνείκαστον ἔχει δύναμιν νοός.

30. Ἀληθές ἐστι τὸ ῥηθὲν ἐν τῇ Βέδα, ὅτι ὁ υἱὸς ἄλλος ἐστὶ γεννήτωρ· πῶς γὰρ ἂν ἄλλως ἀπεδίδοτο τοσαύτη στοργὴ τοῦ Παριξίτα καὶ τῆς Μαδραβατῆς πρὸς τοῦτον τὸν υἱόν [2];

31. Ἅπασαι δ' αἱ μαθήσεις, ἰδοῦσαι τῷ τοῦ νοὸς ὀφθαλμῷ τοῦτον τὸν ἄριστον, ἔσπευσαν ἀθρόαι ἐλθεῖν πρὸς αὐτὸν ἐν ταὐτῷ, ἐρίζουσαι ἀλλήλαις [3].

32. Τῶν δ' ἐχθρῶν ἀπολεσθέντων καὶ ὑποταγέντων ἐκ τῆς ἀγαθῆς τύχης τούτου τοῦ παιδὸς, ὁ βασιλεὺς, ἀμέριμνος ὢν, ἐπορεύθη εἰς θήραν, πιεῖν θέλων τὸ κλέος τῶν θελῶν αὐτοῦ [4].

33. Θηρεύων δ' ἐν μέσῳ δρυμοῦ, καὶ διώκων μίαν ἔλαφον, φεύγουσαν μετὰ τὸ τρωθῆναι βέλει, ἐφέρετο τῇ δε κἀκεῖσε διὰ πολλοῦ, καθὼς ὁ ἐπιθυμῶν μὲν πλούτου, ὢν δ' ἄμοιρος τύχης.

34. Ἰδὼν δ' ἕνα ἡσυχαστὴν, Σαμήκαν τοὔνομα, ἐν θεωρίᾳ καὶ ἐχεμυθίᾳ ὄντα, καὶ ἐρωτήσας αὐτὸν περὶ τῆς ἐλάφου, ἔθετο διὰ τοῦ κέρατος τοῦ τόξου περὶ τὸν λαιμὸν αὐτοῦ, μὴ ἀποκρινομένου, ὡς ὅρμον, ἕνα ὄφιν τεθνεῶτα.

35. Ἀναχωρήσαντος δὲ τοῦ βασιλέως, ὁ τοῦ ἀναχωρητοῦ

---

1. Τὸ μιμητικὸν δηλοῖ καὶ τὸ ἀντιληπτικόν.

2. Ἐκ τούτου δηλοῦται, ὡς λίαν ἠγαπᾶτο ὑπὸ τῶν γονέων.

3. Ὡς γυναῖκες πολλαὶ, ἰδοῦσαι πάγκαλον ἄνδρα, ἔρχονται ἀθρόαι πρὸς αὐτὸν ἐν ταὐτῷ· δηλ. ἁπάσας τὰς μαθήσεις ἐν ταυτῷ ἔμαθεν.

4. Τὸ κλέος ὡς νέκταρ.

υἱὸς, ᾧ ὄνομα Σρηγγὴς, ἐλθὼν, καὶ ἰδὼν, ἐρυθριάσας ἐκ θυμοῦ, ἠράσατο οὕτως· « Ὅστις ἔθετο ἐπὶ τοῦ πατρός μου » τὸν ὄφιν, τοῦτον δακέτω μετὰ ἑπτὰ ἡμέρας ὁ ὄφις » Ταξάκας. »

36. Εὐσπλαγχνίᾳ δὲ κινούμενος ὁ ὅσιος Σαμήκας, ἀνήγγειλε τὰ τῆς ἀρᾶς τοῦ υἱοῦ τῷ βασιλεῖ· ὁ δὲ, συγκαλέσας πάντας τοὺς ἐπαοιδοὺς καὶ φαρμακεῖς, ἐφρόντιζε τρόπων τῆς ἑαυτοῦ σωτηρίας.

37. Συμβουλευθεὶς δὲ τοῖς ἐπιλέκτοις ἐπαοιδοῖς, καὶ φαρμακεῦσι, κατεσκευάσατο εὐθέως ὑψηλὸν οἴκημα ἐπὶ τῆς κορυφῆς ἑνὸς στύλου, καὶ ἐλθὼν, ᾤκησεν ἐκεῖ, παντὸς ἄλλου κωλυομένου εἰσελθεῖν.

38. Πέριξ δὲ τούτου τοῦ οἰκοδομήματος τριπλοῦν τεῖχος ἐποίησεν ἐκ λίθων ἀλεξιφαρμάκων, ἐπῳδῶν, καὶ βοτανῶν, ἀδιάβατον ἰοβόλοις ὄφεσιν, οὖσιν ἐν τοῖς τρισὶ κόσμοις.

39. Ἐν δὲ τῇ ῥητῇ ἡμέρᾳ [1], ἐκεῖνος ὁ ὄφις, διεγερθεὶς ὑπὸ τῆς ἀρᾶς τοῦ ὁσίου, ἀφίκετο εἰς τὴν Ἐλεφαντόπολιν, ὡς περ λαβὼν μορφὴν τοῦ πυροειδοῦς θυμοῦ αὐτοῦ τοῦ Ἰάμα, παροξυνόμενος καὶ ὑπὸ τῆς πρὸς τὸν Ἀρζούναν ἀπεχθείας [2].

40. Εἶδε δ' ἐν ὁδῷ ἐκεῖνος ὁ ὄφις Βραχμᾶνά τινα, Κασσέπαν ὀνόματι, ὃς ἐγίνωσκεν ἐπῳδὴν, ἀντίδοτον τῷ ἰῷ τοῦ ὄφεως, καὶ ἤρχετο σπουδαίως εἰς σωτηρίαν τοῦ βασιλέως, πτωχὸς ὢν, καὶ πλούτου δεόμενος.

41. Τούτου δὲ τοῦ Βραχμᾶνος βλέποντος, καύσας ὁ ὄφις δένδρον Βάταν τῷ ἰῷ, ὡς πυρὶ, ἔφη αὐτῷ· « Ἐγώ εἰμι ὁ » Ταξάκας· εἰ δὲ σὺ δύνασαι σῶσαι τὸν βασιλέα, ἀνα» ζώωσον τοῦτο τὸ δένδρον. »

---

1. Ἐν τῇ ἑβδόμῃ.
2. Ὅτε ἔκαυσε τὸ δάσος Κανδάβα.

42. Ὁ δὲ Βραχμὰν ἔδωκεν ἀπόκρισιν τῷ ὄφει, τὴν ἀναζώωσιν τοῦ δένδρου διὰ τῆς ὁράσεως, ὡς ψεκάδος ἀμβροσίας· ὑπὸ γὰρ τῶν μεγαλοφρόνων ἐκτέλεσις τῶν ἀγαθῶν ἔργων γίνεται ἄνευ λόγων.

43. Ἀποπεμφθεὶς δ' ὁ Βραχμὰν παρὰ τοῦ ὄφεως, ὃς ἔδωκεν αὐτῷ πλοῦτον τοσοῦτον, ὅσον οὐχ οἷόν τε ἦν δοθῆναι παρ' ἀνθρώπων, καὶ ὅσον ἤθελεν, ἐπορεύθη οἴκαδε, γνοὺς ἐκ τῶν γεγονότων, ὡς τὸ τέλος τοῦ βασιλέως ἐλήλυθεν.

44. Ἐν δὲ τούτῳ διὰ τῆς προσταγῆς τοῦ Ταξάκα ἦλθον καὶ ἄλλοι ὄφεις πρὸς τὸν βασιλέα, λαβόντες μορφὴν καὶ σχῆμα ἀσκητῶν καὶ μοναστῶν, μηδαμῶς φοβούμενοι καὶ ὑποκρινόμενοι, ὅτι ἔχουσιν ἀλεξιφάρμακον.

45. Ἐδέξατο δ' ὁ βασιλεὺς παρ' αὐτῶν πρὸς ταῖς εὐλογίαις, καρποὺς καὶ ἄνθη, ὥςπερ ἐπιθυμῶν προσενεγκεῖν αὐτὰ τῷ Ἰάμᾳ, τῷ μετ' ὀλίγον ἐμφανισθησομένῳ.

46. Ἰδὼν δ' ἐντὸς μιᾶς ὀπώρας σκώληκα ἐρυθρὸν τὰ ὄμματα καὶ κιρρὸν τὸ χρῶμα, ἔφη τῷ βουλευτῇ· « Δακέτω με » οὗτος ὁ σκώληξ, ὃν ἐγὼ πλαστῶς καλῶ Ταξάκαν, ἵνα » λυτρωθήσομαι τῆς ἀρᾶς. »

47. Τοιαῦτα εἰπόντος τοῦ βασιλέως, κατέκαυσεν αὐτὸν μετὰ τοῦ οἴκου, ὡς πυρί, τῷ ἰῷ ἐκεῖνος ὁ Ταξάκας· καὶ ἀφεὶς μὲν τὴν μορφὴν τοῦ σκώληκος, λαβὼν δὲ τὴν ἑαυτοῦ, ἀνέπτη εἰς τὸν αἰθέρα εὐθέως.

48. Ὁ δὲ υἱὸς τοῦ Παραξίτα Ζαναμεζαΐας, καί περ παῖς ὤν, βασιλεύσας, λαμπρὰν ἐποίησε τὴν γῆν, λαμπρὸς ὤν, ὡς ὁ Ἥλιος.

49. Τὰς δὲ μαθήσεις, ἃς ἔμαθε παρὰ τοῦ διδασκάλου, ἡδυτέρας [1] ἐποίησεν, εἰς χρῆσιν καὶ ὠφέλειαν τῶν ἀνθρώπων [2],

---

1. Αὐτολεξεί, ἀλλοίας.

2. Δηλ. εὐμαθὴς καὶ εὐπαίδευτος ἦν.

καθὼς τὸ νέφος ἡδὺ ποιεῖ τὸ ὕδωρ, ὃ ἔλαβε παρὰ τῆς θαλάσσης, εἰς χρῆσιν καὶ ὠφέλειαν τοῦ κόσμου.

50. Ἔγημε δ' αὐτὸς ὁ βασιλεὺς τὴν θυγατέρα τοῦ βασιλέως τῆς Κασσῆς, Βαπουσταμὰν τοὔνομα, γάμους λαμπροὺς τελέσας.

51. Οἱ δὲ θεοὶ καὶ αἱ θεαί, βλέποντες τοῦτον τὸν καλὸν, καλῇ τοιαύτῃ συνόντα, γλυκὺν ὕπνον οὐκ ἐλάμβανον [1], καθὼς οἱ πάσχοντες καὶ θλιβόμενοι.

52. Ἠγλαΐζετο δ' ὡς ὁ Ἥλιος, ἔχων ὑπὸ τοὺς πόδας αὐτοῦ πάντας τοὺς βασιλεῖς, καὶ εἰς πᾶσαν τὴν γῆν διήκων τῇ ἑαυτοῦ θερμουργίᾳ [2], καὶ δυσαντίβλεπτος πᾶσιν ὤν [2].

53. Ὑπὸ τίνος δ' οὐκ ἐτιμᾶτο καὶ ἠγαπᾶτο, βρέχων ἀμβροσίαν δι' ἡδέων λόγων, καὶ ἀγλαΐζων τὴν γῆν, καθὼς ἡ Σελήνη, ἣ βρέχει ἀμβροσίαν δι' ἀκτίνων, καὶ ἀναθάλλειν ποιεῖ τὴν Κουμουδβατήν [3];

54. Συνοῦσα δὲ τούτῳ τῷ καλῷ ἡ καλὴ Βαπουσταμὰ, ἔτεκεν υἱὸν, Σατανείκαν [4] τοὔνομα, νικητὴν τῶν πολεμίων στρατῶν.

55. Ἀκούσας δ' ὁ νικητὴς τῶν ἐχθρῶν Ζαναμεζαΐας παρὰ τοῦ Βαϊσαμπαϊάνα [5], ὡς ἐκ τῆς Βαϊδεχῆς μετὰ τὴν ἱπποθυ-
56 σίαν υἱὸς, ὥσπερ αὐτὴ ἡ ἀνδρεία ἐνσώματος, ἔσεται τῷ Σατανείκᾳ, Σαχασρανείκας [6] τοὔνομα, ἐχάρη χαρὰν μεγάλην.

---

1. Οἱ μὲν θεοὶ ἐφθόνουν πως, ὅτι ἔχει γυναῖκα πάγκαλον· αἱ δὲ θεαὶ, διότι ἔχει ἄνδρα πάγκαλον.

2. Καθὼς ὁ Ἥλιος ἔχει ὑπὸ τοὺς πόδας αὐτοῦ πάντα τὰ ὄρη, καὶ εἰς πάντα τὸν κόσμον διήκει τῷ ἑαυτοῦ φωτὶ, καὶ δυσαντίβλεπτός ἐστι. Τὸ πρωτότυπον ἔχει χάριν, ἐπειδὴ παίζει πρὸς τὰς λέξεις ὁ ποιητής.

3. Ἢ βρέχει ἀμβροσίαν καὶ ἀναπετεννύει τὴν Κουμουδβατήν.

4. Πολύστρατος, κατ' ἐτυμολογίαν.

5. Ὁ Βαϊσαμπαϊάνας ἦν Βραχμὰν, ὃς προεφήτευσεν.

6. Χιλιόστρατος κατ' ἐτυμολογίαν.

57. Καί ποτε ὄντος ἐν κήπῳ τοῦ βασιλέως Ζαναμεζαΐα, τοῦ εὐφυοῦς καὶ εὐμηχάνου εἰς νίκην τοῦ τριττοῦ κόσμου, προσελθὼν αὐτῷ ὁ ὅσιος Οὐττάνκας, ἔφη·

58. «Πάλαι ὁ διδάξας με τὴν Βέδαν, ᾔτησέ με, χάριν τῆς » ἑαυτοῦ γυναικὸς, ὡς διδασκάλια, δύω ἐνώτια, ἃ ἐφόρει » ἡ Μαδαϊαντὴ, ἡ γυνὴ τοῦ βασιλέως Παουσσέα.

59. « Αἰτήσας δ' ἔγωγε, καὶ λαβὼν τὰ ἐνώτια χάριν τοῦ » διδασκάλου, ἔσπευδον οἴκαδε· θέντος δὲ ταῦτα τὰ ἐνώ- » τια παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ ἐμβάντος εἰς τὸ » λούσασθαι, ὁ Ταξάκας ἀφείλετο αὐτά.

60. « Ἠκολούθησα δὲ παραχρῆμα τῷ Ταξάκᾳ διὰ τῆς ὁδοῦ, » πορευομένῳ εἰς τὴν Πατάλαν, καὶ νικήσας αὐτὸν χάριτι » τοῦ βραχμανικοῦ πυρὸς, ἐπανέλαβον τὰ ἐνώτια.

61. « Μνησικακίαν [1] δ' ἔκτοτε ἔχων κατ' ἐκείνου τοῦ ἅρπα- » γος τῶν ἐνωτίων Ταξάκα, οὐδένα εἶδον βασιλέα κρα- » ταιὸν, ὑφ' οὗ ἐκεῖνος καταβληθήσεται.

62. « Ὁραθέντος δ' ὑπ' ἐμοῦ σήμερον σοῦ τοῦ περιφήμου ἐπὶ » τῇ νίκῃ κατὰ τῶν τριῶν κόσμων, οὕτως ἡ ἐμὴ καρδία » ἐχάρη, ὥστε τὸ ἐξ ἐκείνου τοῦ Ταξάκα ἄχθος ἀνακου- » φισθῆναι.

63. « Ἄνελε, οὖν, ὦ βασιλεῦ, εἰς χαρὰν τοῦ κόσμου αὐτὸν τὸν » Ταξάκαν, τὸν πατρικὸν ἐχθρόν· αὐτὸς γὰρ, δακὼν, » ἀνεῖλε τὸν σὸν πατέρα Παριξίταν.»

64. Ἀκούσας ὁ βασιλεὺς παρὰ τοῦ Οὐττάνκα, ὅτι ὁ Ταξά- κας πατρικός ἐστιν ἐχθρὸς, ἠρώτησε καὶ τοὺς συμβού- λους· καὶ μαθὼν παρ' αὐτῶν τὴν αἰτίαν τῆς ἐχθρας, ἐξε- καύθη θυμῷ.

65. Καλέσας δ' εὐθέως Βραχμᾶνας, θείαν ἔχοντας δύναμιν,

---

1. Αὐτολεξεὶ, ἀπέχθειαν.

καὶ ἱκανοὺς ὄντας κατακαῦσαι τοὺς τρεῖς κόσμους, τελέσαι ἠθέλησεν ὀφιοθυσίαν.

66. Ἔφλεγε δ' ὁ θυμὸς τοῦ βασιλέως, ὃς ἐστιν ἡ φλὸξ τοῦ πυρὸς, εἰσδὺς σωματικῶς πως εἰς τὸ θυσιαστήριον, εἰς τὸ καταφλέξαι τὸ γένος τῶν ὄφεων.

67. Τίνες δ' ὄφεις, ἱκανοὶ ὄντες βαστάζειν τὴν γῆν [1], οὐχ εἱλκύσθησαν ὑπὸ τῶν Βραχμάνων, τῶν ᾀδόντων ἐκφώνως ἐπῳδὰς τῆς Βέδας [2] ;

68. « Ὦ θεὲ Σίβα, (ἔλεγον οἱ ὄφεις) [3], ἡμεῖς ἐσμεν φυσικὰ [4] » κοσμήματά σου· διάσωσον οὖν ἡμᾶς ἐκ τοῦ πυρός· πεί- » θεταί σοι γὰρ, ὡς ἐνὸν τῷ ἐπὶ τοῦ μετώπου ὄμματί σου.

69. « Ὦ Βισνοῦ Κύριε τῆς θυσίας, σὺ ὑπηρετῇ ὑπὸ τοῦ βασι- » λέως ἡμῶν Σέσσα [5], ᾧ σὺ χρῇ, ὡς κλίνῃ, ἀπὸ καθ' ὅ- » λης κόσμου· διὰ τί οὐκ ἀπαλάττεις ἡμᾶς ἀπὸ τῆς θυ- » σίας ταύτης ;

70. « Ὦ ποιητὰ Βραχμᾶ, διὰ τί οὐ διαφυλάττεις ἡμᾶς, τρυ- » χομένους καὶ κακουμένους ὑπὸ τῶν Βραχμάνων ; τὸ τρι- » τημόριον τῆς ποιήσεώς σου [6] ἀπόλλυται, σοῦ βλέποντος.

71. « Ὦ πανόπτα Ἥλιε, πότε ἡμεῖς οὐκ ἐγενόμεθα ἀντὶ ἱμάν- » των ἐν τῷ ἅρματί σου [7] ; διὰ τί οὐ διαφυλάττεις ἡ- » μᾶς ἀπὸ τούτων τῶν Βραχμάνων ;

---

1. Πελώριοι δηλ. ὡς ὁ Σέσσας.

2. Ἅπασαι αἱ λοιπαὶ ἐπῳδαὶ μυστικῶς λέγονται, αἱ δὲ τῆς Βέδας ἐκφωνοῦνται.

3, Οἱ ὄφεις ἐπικαλοῦνται τοὺς θεούς.

4. Ἀχειροποίητα δηλ.

5. Ἐπὶ τοῦ Σέσσα, ὡς ἐπὶ κλίνης, ἀναπαύεται ὁ Βισνοῦς ἐπὶ τῶν ὑδάτων τοῦ ὠκεανοῦ.

6. Ὁ Καταχθόνιος κόσμος, ἐν ᾧ ὄφεις ἐνδιαιτῶνται.

7. Ἀντὶ ἱμάντων ὄφεις ἔχει τὸ ἅρμα τοῦ Ἡλίου, ὡς ἐν τῇ Βέδα δηλοῦται.

72. « Ὦ θεοί, οἱ ἐνδιαιτώμενοι τῇ Μερόῃ, εἰ ἡ γῆ, ἀφεθεῖσα » ὑφ' ἡμῶν, καταβυθισθείη [1] σὺν τοῖς ὄρεσι, ποῦ ὑμῖν σω- » τηρία [2] ; Διατηρήσατε οὖν ἡμᾶς, κλείσαντες τὸ ἑαυτῶν » στόμα, ὅ ἐστιν αὐτὸ τὸ πῦρ [3]. »

73. Τοιαῦτα ἐλεεινὰ λέγοντες οἱ ὄφεις, καὶ βλεπόμενοι μετὰ δακρύων ὑπὸ πάντων ἐκείνων τῶν θεῶν, μὴ δυναμένων διαφυλάξαι αὐτοὺς, ἔπιπτον εἰς τὸ καῖον πῦρ.

74. Τὸ δὲ πῦρ ἐκεῖνο, κατεσθίον τοὺς ὄφεις, τοὺς κατεσθίοντας τὸν ἀέρα, τὸν φίλον αὐτοῦ, ἐφαίνετο, ὥςπερ εἰ ἐκάγχαζε [4] διὰ τῶν ἤχων τῶν διαῤῥηγνυομένων πολυτίμων λίθων, τῶν ἐν ταῖς κορυφαῖς τῶν ὄφεων.

75. Μελανόχροες δ' ὄντες οἱ ὄφεις, καὶ λαμπροὺς λίθους ἐπὶ κορυφῆς ἔχοντες, πηδῶντες εἰς τὸν αἰθέρα ἐκ τοῦ πυρὸς, οὐ διεκρίνοντο ἐν τῷ μετὰ τῶν σπινθήρων καπνῷ [5].

76. Καταφλεγόμενοι δ' οἱ ὄφεις ἐκ τῶν φλογῶν τοῦ πυρὸς τῆς θυσίας, καὶ νέον σῶμα λαμβάνοντες, ἐπορεύοντο εὐθέως εἰς τὸν οὐρανὸν, ὅπερ συμπεραίνεται ἐκ τοῦ ἀνιόντος πυκνοῦ καπνοῦ.

77. Καί τινι ὄφει, ὃς ἐξέπνευσε πρὶν τοῦ πεσεῖν εἰς τὸ πῦρ, διαῤῥαγεὶς τὴν καρδίαν, ἐκ τοῦ βλέπειν τοὺς ὁμογενεῖς ὄφεις καιομένους, ἐγένετο τὰ μετὰ θάνατον νόμιμα ὑπὸ τοῦ πυρός [6].

---

1. Ἐπειδὴ ὑπὸ γῆν εἰσιν οἱ ὄφεις, διὰ τοῦτο μυθολογεῖται, ὡς αὐτοὶ αὐτὴν βαστάζουσι.

2. Δηλονότι ἡμεῖς καταβυθισθήσεσθε, ὡς οἰκοῦντες ἐν τῷ ὄρει Μερόῃ.

3. Τὸ πῦρ λέγεται στόμα τῶν θεῶν· ἐπειδὴ τὰ τῆς θυσίας διὰ τοῦ πυρὸς ἐσθίουσιν οἱ θεοί.

4. Εὐφραίνετο δηλ. ὁ δὲ εὐφραινόμενος γελᾷ καὶ καγχάζει.

5. Μέλας ὁ καπνὸς, ὡς καὶ τὸ σῶμα τῶν ὄφεων· λαμπροὶ οἱ πολύτιμοι λίθοι, ὡς καὶ οἱ σπινθῆρες.

6. Τὰ μετὰ θάνατον νόμιμά ἐστι, τὸ κατακαίεσθαι τὸ σῶμα τοῦ τεθνεῶτος. Τὸ πῦρ δηλ. κατέκαιε καὶ ζῶντας καὶ τεθνεῶτας ὄφεις.

78. Ἕτερος δέ τις μέγας ὄφις ἐξῆπτε μᾶλλον τὸ πῦρ διὰ τοῦ ἰοῦ, ὃν ἔῤῥιπτε, καὶ τοῦ συρισμοῦ, ὃν ἐποίει· τοῖς γὰρ μὴ ἔχουσιν ὦτα ποῦ γνῶσις [1];

79. Τηνικαῦτα καιομένων τῶν ὄφεων ἀφειδῶς, ἡ καρδία τῶν ὀχημάτων τοῦ Σκάνδα καὶ τοῦ Βισνοῦ ἐφοβήθη ἀφορίαν [2].

80. Φόβος δὲ τοῦ πυρὸς οὐκ ἐγένετο τοῖς ὄφεσιν, οἳ ἦσαν ὡς ἰμάντες τοῦ ἅρματος τοῦ Ἡλίου, καὶ ὡς κοσμήματα τοῦ Σίβα [3]· ἐπειδὴ ὑπέφερον, οἱ μὲν τὴν θερμότητα τοῦ Ἡλίου, οἱ δὲ, τὴν τοῦ πυρίνου ὀφθαλμοῦ τοῦ Σίβα.

81. Ποταμοὶ δὲ πολύῤῥειθροι ἐγένοντο ἐκ τῶν ἐρυθρῶν αἱμάτων τῶν ὄφεων, ὧν εἰσβαλλόντων [4] ὁ Ὠκεανὸς φίλτρον ἔσχε [5].

82. Τῶν μὲν οὖν Βραχμάνων θυσάντων πολλοὺς ὄφεις, ὁ βασιλεὺς Ζαναμεζαΐας ἐπέταξε μετὰ θυμοῦ, καὶ τῶν μεγάλων ὄφεων ὁλοκαύτωσιν.

83. Ἐκφωνησάντων δὲ τῶν Βραχμάνων τὴν ἐπῳδὴν εἰς ὁλοκαύτωσιν τοῦ Ταξάκα, φοβηθεὶς ὁ ὀφιομέδων Βασουκὴς, ἔφη τῷ Ἀστείκα, τῷ υἱῷ τῆς ἑαυτοῦ ἀδελφῆς·

84. « Πάλαι ἡ Καδροῦ, ἡ μήτηρ ἡμῶν τῶν ὄφεων, παροξυν-

---

1. Τὸ μὲν φάρμακον, ὡς ἔλαιον, ὁ δὲ συρισμὸς, ὡς φύσημα ἦν. Λέγουσιν, ὡς οἱ ὄφεις οὐκ ἔχουσιν ὦτα.

2. Τοῦ μὲν Σκάνδα ὄχημά ἐστιν ὁ ταώς, τοῦ δὲ Βισνοῦ ὁ Γαρούδας (ἀετὸς), ἀμφότεροι ὀφιοφάγοι.

3. Γεγυμνασμένοι ἦσαν εἰς ἀνοχὴν τοῦ πυρὸς, καὶ διὰ τοῦτο οὐκ ἐφοβήθησαν.

4. Ὡς γυναῖκες τοῦ ὠκεανοῦ λέγονται οἱ ποταμοὶ, οἱ εἰσβάλλοντες εἰς αὐτόν.

5. Καθὼς προσερχομένων τῶν γυναικῶν φίλτρον καὶ ἔρως γίνεται τῷ ἀνδρί.

» θεῖσα ἐκ τῆς παρακοῆς ἡμῶν, ἠράσατο οὑτωσί· « Κατά-
« καυσις εἴη ὑμῖν ἐν ὀφιοθυσίᾳ. »

85. « Ἐρωτηθεὶς δ' ὁ Βραχμᾶς ὑπὸ τῶν θεῶν, « Ἆρα ἅπαντες
« οἱ ὄφεις ἐξίτηλοι γενήσονται ἐκ τῆς μητρικῆς ἀρᾶς ; »
» ἀπεκρίνατο·

86. « Ἡ γυνὴ τοῦ ὁσίου Ζαρατκαροῦ, ἣ ὀνομάζεται Ζαρατκαροῦ,
« καὶ ἀδελφή ἐστι τοῦ Βασουκῆ, γεννήσει υἱόν, ᾧ ὄνομα
« ἔσται Ἀστείκας.

87. « Οὗτος ὁ εἰδήμων τῆς Βέδας Ἀστείκας σώσει τοὺς
« ὄφεις, τοὺς ἀπολειφθέντας ἐκ τῆς κατακαύσεως, ὥσπερ
« σώζεται τὸ ἀπολειφθὲν ὑπὸ τοῦ Ἡλίου σκότος πάσης
« σκιᾶς. »

88. « Ταῦτ' ἄρα, ὦ μεγαλουργὲ υἱὲ τῆς ἐμῆς ἀδελφῆς, ἐλ-
« θὼν ἤδη, ὡς ἀγαθὴ τύχη ἡμῶν, διαφύλαξον τοὺς ὄφεις·
» οὗτος αὐτός ἐστιν ὁ καιρός σου. »

89. Ἀκούσας ὁ μεγαλουργὸς Ἀστείκας τοῦ λόγου τοῦ μη-
τραδέλφου, ἐπορεύθη μόνος ἐπὶ τὴν ὀφιοθυσίαν, εἰς λύτρω-
σιν τῶν ὄφεων.

90. Οἱ δὲ πρόκριτοι τῶν ἐν κόσμῳ Βραχμάνων, ἐπισχόντες
τὰς χεῖρας, ἃς ἀνεῖχον εἰς τὸ ἑλκύσαι τὸν Ταξάκαν, εἶ-
πον τῷ βασιλεῖ·

91. « Ὁ Ταξάκας κατέφυγεν εἰς τὸν Ἴνδραν, τὸν πάππον τοῦ
« πάππου σου [1]· τί οὖν ; ἑλκυστέος καὶ οὗτος σὺν ἐκείνῳ
« τῷ Ταξάκᾳ ; ἢ ἀφετέος ; »

92. « Πρὸς οὓς ἀπεκρίνατο ὁ βασιλεὺς μετὰ θυμοῦ· « Θύσατε
» εὐθέως ἐν τῷ τῆς θυσίας πυρὶ τὸν Ταξάκαν σὺν ἐκείνῳ,
» πρὸς ὃν κατέφυγεν. »

---

1. Ὁ μὲν Ἴνδρας, πάππος ἐστὶ τοῦ Ἀβημανιοῦ, ὁ δ' Ἀβημανιοῦς
πάππος τοῦ Ζαναμεζαΐα.

93. Οἱ δὲ Βραχμᾶνες βλοσυρὸν καὶ φοβερὸν βλέμμα ἔχοντες, ἐξεφώνησαν ἐν τῇ ἀρχῇ τῆς ἐπῳδῆς τὸ ὄνομα τοῦ Ἴνδρα καὶ τοῦ Ταξάκα.

94. Δυνάμει δὲ τῆς ἐπῳδῆς ἐκείνης κατήχθη ἀπὸ τοῦ οὐρανοῦ ὁ Ἴνδρας μετ' αὐτοῦ τοῦ Ταξάκα, θρηνολογούντων πάντων τῶν θεῶν.

95. Ἰδὸν δὲ τὸ πῦρ κατερχομένους τὸν Ἴνδραν καὶ τὸν Ταξάκαν, διαφυλάττοντας τὸ ἄλσος Κανδάβαν ἀπὸ τῆς πυρκαϊᾶς, ἐξήγαγε γλῶσσαν οὐρανομήκη [1].

96. Τηνικαῦτα ἡ μὲν Σακὴ [2] ἔλεγε, θρηνοῦσα· « Ὁποία ἀνδραγαθία ἔσεται, εἰ οὗτος ὁ Ἴνδρας κατακαυθείη, ὅς ἐστιν εἷς τῶν ὀκτὼ θεῶν, τῶν ἐφόρων τῆς γῆς, οἳ ἔνεισι τῷ σώματί σου [3]; »

97. Οἱ δὲ θεοὶ τάδε ἔλεγον· « Ἄφες τοῦτον, ὦ Ζαναμεζαΐα· » εἰ δέ σοι ἔφεσίς ἐστι δεσποτείας τοῦ οὐρανοῦ, ἔστω ἄλ» λος Ἴνδρας κατὰ τὴν προσταγήν σου [4]. »

98. Τοιαῦτα λέγοντος ἐλεεινῶς τοῦ ὁμίλου τῶν θεῶν, ὁ Ταξάκας ἀπελύθη εὐθέως ἐκ τῆς χειρὸς τοῦ Ἴνδρα, τῇ προσταγῇ τῶν Βραχμάνων.

99. Πίπτοντος δὲ τοῦ Ταξάκα εἰς τὸ τῆς θυσίας πῦρ, ὁ Αστείκας ἔστησεν αὐτὸν ἐν τῷ μέσῳ τοῦ αἰθέρος, εἰπών· « Μὴ πέσῃς. » Κἄτα ὕμνησε τὸν βασιλέα·

100. « Εὖ γένοιτο σοὶ τῷ ἐκ τοῦ γένους τοῦ Πανδοῦ καταγο» μένῳ, οὗ τὸ τῆς φήμης πρόσωπον [5], ὅ ἐστιν ἡ Σελήνη » ἀντιλάμπει ἐν οὐρανῷ, ὡς ἐν κατόπτρῳ ἐκ σαπφείρων.

---

1. Φλόγα δηλ. εἰς τὸ κατακαῦσαι αὐτούς.
2. Ἡ παράκοιτις τοῦ Ἴνδρα.
3. Δηλ. σεαυτὸν κατὰ μέρος κατακαύσεις.
4. Δηλονότι ἤτοι σοὶ ἔσο Ἴνδρας, ἢ ἕτερός τις, ὃν θέλεις.
5. Ὡς γυνή ἐστιν ἡ φήμη.

101. « Ἐν ὅσῳ αὕτη ἡ γῆ μένει, ἡ φέρουσα πολλὰ ὑψηλὰ ὄρη,
» ἐν τοσούτῳ, ὦ βασιλεῦ τῆς γῆς, βασιλεύων εἷης διὰ τῶν
» ἀναριθμήτων ἀγαθουργιῶν τοῦ κόσμου [1] ! ὁ γὰρ γεοῦ-
» χος ὄφις ταύτην τὴν γῆν ἐπὶ τῆς σῆς χειρὸς ἔθετο, ἐμ-
» βυθισθεὶς τὸν νοῦν τῇ ἰδίᾳ ἀκοῇ τῆς φήμης σου, τῆς ἀδο-
» μένης ὑπὸ τῶν γυναικῶν τῶν ὄφεων.

102. « Ἐν ὅσῳ ἡ Βέδα, ὡς δάμαλις γαλακτοτροφεῖ, ὡς μόσχους
» τοὺς νεκροὺς, τοὺς θεοὺς, τοὺς ἀνθρώπους, καὶ τοὺς
» ὁσίους Βραχμᾶνας, ὡς τέσαρσι μαστοῖς τῷ Σβαδδὰ,
» Σβαχὰ, Χάντα καὶ Βασσάτᾳ, ἐν τοσούτῳ, ὦ βασιλεῦ,
» εὔφραινε ἐπὶ γῆς τιμαῖς καὶ δωρεαῖς, ὡς βουκόλους
» τοὺς εἰδήμονας τῆς Βέδας, τοὺς χαίροντας ἐφ' οἷς ἔλα-
» βον παρὰ τῶν προγενεστέρων σου [2].

103. « Καὶ ἐν τῷ στόματί σου ἀεί ἐστιν ἡ ἔφορος τοῦ λόγου
» Σαραδβατὴ, καὶ ἐν τῷ Βραχμᾷ· καὶ ἀγλαὸς σὺ *Παδ-*
μασραΐας [3] εἶ, καὶ ὁ Βραχμᾶς· καὶ ἐν τῇ σῇ χειρί ἐστιν
» ἡ τῶν τριῶν κόσμων διοίκησις, καὶ ἐν τῇ τοῦ Βραχμᾷ,
» ὦ κόσμημα τῆς κορυφῆς πάντων τῶν βασιλέων. Διὰ
» μὲν οὖν τούτων τῶν ἀρετῶν ὅμοιος εἶ τῷ Βραχμᾷ· εἴη
» δέ σοι καὶ ἡ πολυχρόνιος ζωὴ τοῦ Βραχμᾶ διὰ τῶν
» ἐμῶν εὐχῶν.

104. « Ἐν δὲ τῇ συντελείᾳ τοῦ αἰῶνος, ὁ μὲν Βισνοῦς ἀνα-
» παυθήσεται ἐν τῷ κλέει σου, ὡς ἐν γαλακτώδει ὠκεα-

---

1. Ὅταν γὰρ ἀγαθὰ πράττῃ ὁ ὑπὸ χεῖρα λαὸς, στερέωσίς ἐστι τῷ βασιλεῖ.

2. Εἴτε γῆν, εἴτε ἄλλο τι κτῆμα ἔλαβον, μὴ ἄφελε, ἀλλὰ προσεπίθες ὀηλ.

3. Παίζει πρὸς τὴν σημασίαν τῆς λέξεως ὁ ποιητής· Παδμασραΐας γὰρ λέγεται ὁ Βραχμᾶς, διότι ἕδραν ἔχει τὸν λωτὸν, ὃς λέγεται Πάδμα. Παδμασραΐας λέγεται καὶ ὁ βασιλεὺς, διότι ἡ Λαξμὴ, ἣ λέγεται Παδμὰ, παρεδρεύει αὐτῷ.

» νῷ [1]· ὁ δὲ Μαρκάνδας [2], λούσεται ἐν τῷ κλέει σου,
» ὡς ἐν τῇ οὐρανίᾳ Γαγγᾷ· εἰ δὲ μὴ πιστεύοις εἰς τοῦτόν
» μου τὸν λόγον, νομίζων, ὡς ποιητικὴ ὑπερβολή ἐστι,
» ζώης ἐπὶ μήκιστον, ὦ ἀναιρέτα τῶν ἐχθρῶν, καὶ εἴη σοι
» προῦπτον ὃ λέγω [3].

105. « Ἐν ὅσῳ ἐν τῷ κόσμῳ, ὡς ἐν κριτηρίῳ, λογομαχοῦντες,
» ἐρίζουσιν, ὁ μὲν Ἥλιος τῇ θερμότητί σου, ἡ δὲ Σελήνη
» τῇ εὐκλείᾳ σου, ἐν τοσούτῳ μένε στερεὸς [4], ὦ βασιλεῦ·
» σὺ γὰρ ὑπὸ τοῦ Βραχμᾶ ἐποιήθης μόνος κριτὴς τοῦ ὀρ-
» θοῦ, καὶ τοῦ μὴ ὀρθοῦ.

106. « Ποῦ ἂν πορευθείη τὸ δίκαιον ἄνευ σοῦ; Ποῦ δέ σοι
» χαρὰ ἄνευ τοῦ δικαίου; Μὴ τοίνυν ἔστω χωρισμὸς ἀμ-
» φοτέρων ὑμῶν, ὦ βασιλεῦ τῆς γῆς.

107. « Φέρε τὸν Νόμον ἐπὶ τῆς κεφαλῆς σου [5], ὃς οὐ δύναται
» περιπατῆσαι ἐνὶ ποδὶ, ἕως οὗ λαβὼν αὐτὸς ὁ Νόμος
» τέσσαρας πόδας, περιπατήσει ἐλευθέρως [6].

108. « Ἕως οὗ ὁ Νόμος ἐστὶν, ἔστι καὶ ὁ τριττὸς κόσμος· ἕως
» οὗ σὺ εἶ, ἔῃ καὶ ὁ Νόμος· ζῆθι οὖν εἰς αἰῶνας αἰώνων, ὦ
» ἀγαθοπάροχε, ὁ ὢν τὸ μόνον ἔρεισμα τῶν τριῶν κόσμων.

109. « Ἐν τούτῳ τῷ κόσμῳ, τῷ ποιηθέντι ὑπὸ τοῦ ποιητοῦ
» Βραχμᾶ, ὁ δίσκος τῆς Σελήνης περιττὸς ἦν ἔμπροσθεν

---

1. Τὸ κλέος λευκόν ἐστιν, ὡς τὸ γάλα, καὶ τὸ ὕδωρ τῆς Γαγγᾶς.

2. Ὁ Μαρκάνδας μυθεύεται ἀείζωος.

3. Τὸ κλέος δηλονότι ἀΐδιον ἔσται· εἰ δ' ἀμφιβάλλοις, ζήσας ὄψει ὃ λέγω.

4. Ζῆθι, δηλ., ἕως οὗ διαμένει ὁ Ἥλιος καὶ ἡ Σελήνη.

5. Ἐν Ἰνδίᾳ τὰ φορτία ἐπὶ κεφαλῆς φέρουσιν.

6. Εἰκονικῶς λέγουσιν, ὡς ὁ νόμος, ὡς βοῦς, ἐν μὲν τῷ πρώτῳ αἰῶνι, τετράπους ἦν, ὅτε ἀλήθεια καὶ δικαιοσύνη ἦν· ἐν τῷ δευτέρῳ τρίπους, ὅτε ἡ ἀλήθεια καὶ δικαιοσύνη ἐμειώθη· ἐν δὲ τῷ τρίτῳ δίπους· ἐν δὲ τῷ τετάρτῳ αἰῶνι τῷ παρόντι μονόπους· ἀνομία γὰρ κυριεύει.

» τοῦ σοῦ ἀγλαοῦ προσώπου [1], καὶ διὰ τοῦτο παρεχαρά-
» χθη, ὡς γραμμὴ ἐκ μέλανος, ὅπερ συμπεραίνεται ἐκ τῆς
» ἧς ἔχει μελανότητος. Ἀλλὰ καὶ ὁ θεὸς Ἔρως ἀμελὴς
» ἐγένετο [2], ὡς ὢν περιττὸς [3], σοῦ ὑποτάξαντος ταῖς οἰ-
» κείαις ἀρεταῖς τοὺς οἰκητὰς τῶν τριῶν κόσμων, ᾧ ἀ-
» ἀγλαὸν κόσμημα τῆς γῆς.

110. « Αὕτη ἡ δικαιοσύνη σου, οἰκοῦσα ἐν γῇ, λούεται συνε-
» χῶς, ὡς ὁ ἀσκητὴς, ἐν τῇ συμμίξει δύω ποταμῶν, γε-
» γενημένων ἐκ τῶν δακρύων τῶν μοιχαλίδων, καὶ τῶν
» γυναικῶν τῶν καταδικασθέντων κλεπτῶν· καὶ θεωροῦ-
» σάσε, τὸν ὄντα ἐν δικαιοσύνῃ, τοιοῦτόν τι κατόρθωμα κα-
» τώρθωσεν, ὥστε καὶ τὸν κόσμον ὅλον δίκαιον ἐποίησεν [4].

111. Ἡ δικαιοσύνη σου, ὦ βασιλεῦ, ἀναβᾶσα τὴν ἀνδρείαν
σου, ὡς ἡ ἀναδενδρὰς τὸ δένδρον, εὐώδη ποιεῖ τὸν κό-
σμον τοῖς σοῖς κλέεσιν, ὡς ἄνθεσι [5], τοῖς φερομένοις ὑπὸ
τῶν ἀναστεναγμῶν τῶν ἐχθρῶν.

---

1. Τὸ πάγκαλον τούτου δηλοῖ· τὸ γὰρ ἀγλαὸν πρόσωπον παραβάλλεται τῇ Σελήνῃ, καὶ ὁ εὐειδὴς τῷ Ἔρωτι, οὗτος δὲ ὑπερτερεῖ καὶ τῆς Σελήνης καὶ τοῦ Ἔρωτος, καὶ διὰ τοῦτο ἡ μὲν Σελήνη παρεχαράχθη ὡς περιττὴ, ὅπερ συμπεραίνεται ἀπὸ τοῦ οὗ ἔχει σπίλου, καθὼς τὸ γεγραμμένον παραχαράττεται, ὡς περιττὸν καὶ ἄχρηστον, διὰ γραμμῆς τοῦ μέλανος.

2. Ὁ δ' Ἔρως ἀμελὴς γίνεται καὶ αὐτὸς, ὡς περιττός· ἀμελὴς γὰρ λέγεται ὁ Ἔρως, ὡς κατακαεὶς ὑπὸ τοῦ Σίβα.

3. Ὁ Ἔρως νικητής ἐστι κατὰ πάντων, θεῶν ἐπουρανίων, ἀνθρώπων ἐπιχθονίων, καὶ δαιμόνων ὑποχθονίων· τούτου δὲ νικήσαντος πάντας, οὐκ ἔστι χρεία τοῦ Ἔρωτος.

4. Καθὼς ὁ ἀσκητὴς, οἰκῶν ἐν μονῇ λούεται συνεχῶς ἐν τῇ συμμίξει δύω ποταμῶν, καὶ θεωρῶν τὸν ἐν πᾶσιν ὄντα Θεὸν, τοιαύτην ἐγκράτειαν ποιεῖ, ὥστε νομίζει τὸν κόσμον ὡς ἑαυτὸν, οὐδεμίαν διαφορὰν ἔχει ἑαυτοῦ τε καὶ τῶν λοιπῶν, καὶ ἑνοῦται τῷ Θεῷ.

5. Ὡς τὰ ἄνθη φέρονται τῇ δὲ κἀκεῖσε ὑπὸ τῶν πνεόντων ἀνέμων· λευκὸν δὲ τὸ κλέος, ὡς τὰ ἄνθη.

112. « Ἐπειδὴ ἡ Λαξμὴ [1] οὔτε παράνοιαν προξενεῖ οὐδενὶ, οὔτε
» ἔχθραν ἔχει πρὸς τὴν ἔφορον τοῦ λόγου Σαρασβατὴν [2],
» οὔτε ἀστάθειαν, ἣν ἔχει ἐκ φύσεως, διὰ τοῦτο δοκεῖ, ὡς
» ἐδιδάχθη ὑπὸ σοῦ τὴν φύσιν σου, καὶ ἐγένετό σοι ὑπεξού-
» σιος, ὡς καὶ ὁ κόσμος.

113. « Τοιοῦτος λόγος κοινός ἐστιν ἐν κόσμῳ, ὡς τὸ πᾶν τοῦτο
» οὐκ ἔσοιτο ἀλλοῖον, οὐδέ ποτε· ὅθεν σὺ ἐν ἑκάστῃ κο-
» σμογονίᾳ [3] χαροποιεῖς τὴν γῆν, λαμβάνων μορφὴν τῆς
» ἀρετῆς· ἐκ δὲ τοῦ μετὰ τῶν δωρεῶν σου ὕδατος, γινομέ-
» νου ποταμοῦ, καὶ ῥέοντος εἰς τὸν ὠκεανὸν, πάλιν γίνον-
» ται τὸ πάνδωρον δένδρον, ἡ πάνδωρος δάμαλις, καὶ ὁ
» πάνδωρος ἀδάμας [4].

114. « Ὦ ἀπόγονε τῆς Σελήνης, καὶ ἀγλαὲ θησαυρὲ τῶν ἀρετῶν,
» ἐπειδὴ σὺ καθ' ἡμέραν δίδως δωρεὰς [5], διὰ τοῦτο ἄπε-
» χε τοῦ διδόναι ὕδωρ σὺν ταῖς δωρεαῖς, ὡς νενόμισται·
» πιόντες γὰρ ἐν ὁδῷ οἱ ἐνδεεῖς ὕδωρ ποταμῶν, γεγενημέ-

---

1. Λαξμὴ λέγεται ὁ πλοῦτος καὶ ἡ δόξα· ἔστι δὲ καὶ ἄστατος φύσει, ἐν οὐδενὶ δηλ. μένει ἐπὶ πολὺ, καὶ παράνοιαν προξενεῖ τῷ ἔχοντι, καὶ ἔχθραν πρὸς τὴν μάθησιν. Σὺ δὲ, ἔχων τὴν Λαξμὴν, πλοῦτον δηλ. καὶ δόξαν, οὔτε ὑπέρφρων τυγχάνεις, οὔτε μισομαθής, καὶ διάμονον ἔχεις πρὸς τούτοις τὸν ὄλβον καὶ τὴν δόξαν· εἰς δὲ τοῦτο ἐμιμήθησάν σε καὶ οἱ λοιποί.

2. Σαρασβατὴ, θεὰ ἔφορος τοῦ λόγου καὶ πάσης μαθήσεως καὶ ἐπιστήμης.

3. Δόγμα ἐστὶν, ὡς οἷα καὶ ὅσα ἐστὶν ἐν τῇ παρούσῃ κοσμογονίᾳ, τοιαῦτα καὶ τοσαῦτα ἔσονται καὶ ἐν τῇ μελλούσῃ, πάλιν δηλονότι σὺ ὁ ἀγαθὸς Ζαναμεζαΐας γινόμενος, εὐφραίνεις τὴν γῆν ἐν ἑκάστῃ κοσμογονίᾳ.

4. Ταῦτα τὰ τρία πάνδωρα ἐγεννήθησαν ἐκ τῆς θαλάσσης.

5. Τὸ πολύδωρον δηλοῖ· τὸ γὰρ ἀργύριον ἢ τὸ χρυσίον, τὸ διδόμενον τοῖς Βραχμᾶσιν, ἐν τῷ ὕδατι τιθέασι, καὶ μεθ' ὕδατος αὐτὸ διδόασι τοῖς Βραχμᾶσι.

» νων ἐξ ἐκείνου το ῦμετὰ τῶν δωρεῶν σου ὕδατος, ἐκβακ-
» χευθέντες, καὶ πόῤῥω γενόμενοι τῆς ταπεινῆς δεήσεως,
» οὐκ αἰτήσουσί σε.

115. « Ὁ μὲν Σίβας, ὁ ἄριστος τῶν φιλοκάλων, φέρει ἀεὶ ἐπὶ
» τῆς κεφαλῆς πὴν λεπτὴν Σελήνην [1]· ὁ δ' Ἥλιος, ὁ ὢν κο-
» λοφὼν τῶν δοτήρων, αὐξάνει καὶ παχύνει αὐτὴν τὴν Σε-
» λήνην ταῖς ἑαυτοῦ ἀκτίσι, καὶ κατὰ πρώτην ἔντευξιν [2]·
» ταῦτα δὲ τὰ δύω ἀγαθὰ προτερήματα ὑπάρχει καὶ ἐνσοί.

116. « Ἡ Λαξμὴ [3], ἡ δοθεῖσα παρὰ σοῦ μετὰ μεγάλης καὶ προσ-
» ηκούσης τιμῆς τοῖς κινητοῖς οἴκοις τῆς Σαρασβατῆς [4], εἰς
» ἀπόσμηξιν τῆς κόνιος [5], τῆς πενίας, οὐδέποτε ἀφίησιν,
» ὡς θεράπαινα τὸ παρίστασθαι αὐτοῖς [6].

117. « Ὑπερτερεῖ ἐν γῇ ἡ καλή σου χεὶρ, ὦ βασιλεῦ, ἡ δωρουμένη
» δωρεὰς πολλὰς πολλοῖς ἐνδεέσι σοφοῖς, χαρᾶς προξένους·
» ταύτην δὲ τὴν πολύδωρόν σου χεῖρα μιμουμένη, ὡς ὁ

---

1. Τὴν λεπτὴν Σελήνην, ὅτε δηλ. κεραή ἐστι καὶ μηνοειδής.

2. Εὐθὺς δηλ. ἐν τῇ πρώτῃ ἐντεύξει καὶ οὐχὶ μετὰ πολὺν χρόνον, ὅτε δηλ. γίνεται σύνοδος τοῦ Ἡλίου καὶ τῆς Σελήνης· ἐκ τῶν ἀκτίνων γὰρ τοῦ Ἡλίου λαμβάνει τὸ φῶς ἡ Σελήνη. Καθὼς δηλονότι ὁ μὲν Σίβας φέρει ἐπὶ τῆς κεφαλῆς ἑαυτοῦ μετὰ τιμῆς τὴν λεπτὴν, τουτέστι τὴν μηνοειδῆ Σελήνην, ὁ δ' Ἥλιος αὐξάνει καὶ παχύνει αὐτὴν ταῖς ἑαυτοῦ ἀκτίσιν, οὕτω καὶ σὺ τιμᾷς τοὺς λεπτοὺς, δηλ. τοὺς πτωχοὺς Βραχμᾶνας, καὶ παχύνεις ταῖς δωρεαῖς, δηλ. πλουτίζεις αὐτοὺς εὐθύς. Παίζει δὲ πρὸς τὰς λέξεις ὁ ποιητής· Δ ι ζ α π α τ ὴ γὰρ λέγεται ἥ,τε Σελήνη καὶ ὁ Βραχμάν.

3. Ἡ τοῦ πλούτου δωρεὰ δηλ., ἡ ἐδόθη ὡς θεράπαινα.

4. Κινητοὶ οἶκοι τῆς Σαρασβατῆς εἰσιν οἱ σοφοὶ καὶ ἑλλόγιμοι ἄνδρες.

5. Καθὼς ἡ θεράπαινα καθαίρει τὸν οἶκον, καὶ ἵσταται ἐνώπιον τῶν δεσποτῶν καὶ ὑπηρετεῖ.

6. Οὕτω πολλὰ δηλονότι λαμβάνουσιν οἱ σοφοὶ παρὰ σοῦ, ὥστε ἀεὶ ἀνενδεεῖς εἰσιν.

» ὑποκριτὴς ἐν δράματι, ἡ Καλπαδρούμα, τὸ οὐράνιον
» δένδρον, πλαστὰ δωρήματα δωρεῖται τοῖς πλαστῶς
» αἰτοῦσι θεοῖς [1].

118. « Σὺ, οὗ τὰ ἐκ τῶν δωρεῶν κλέη τὰ λευκὰ, ὡς μαργα-
» ρῖται, παίζουσιν ἐπὶ τῆς κορυφῆς τῆς Καλπαδρούμας,
» ἅ εἰσι τὰ ἀγλαὰ ἄνθη [2], σὺ πῶς ἂν εἶης ὑμνητὸς, ὦ
» βασιλεῦ, ὁ ὢν ἀναιρέτης τοῦ Καλῆ [3] αἰῶνος, ὡς ὁ λέων
» τοῦ ἐλέφαντος, καὶ τρέφων τὰς τέχνας καὶ ἐπιστήμας,
» ὡς ἡ γῆ τὰ φυτὰ, καὶ βρέχων δωρεὰς τοῖς αἰτοῦσι,
» καθὼς τὸ νέφος ὕδωρ τοῖς λειμῶσι [4] ;

119. Σὺ ὁ γενναῖος ταῦρος φέρεις ἐπὶ γῆς μόνος καθ' ἑκά-
» στην τὸν ζυγὸν τῆς δωρεᾶς· οὐδ' ἀφορᾷς εἰς ἄνεσιν καὶ
» ἐν ἄλσει οὐρανίων δένδρων [5]· οὐδ' ἐπιθυμεῖς κερατίζειν [6]
» καὶ εἰς μέγαν σωρὸν οὐρανίων ἀδαμάντων. Ποῦ δ' ἂν
» ἐπιθυμήσειας συναγελάζεσθαι καὶ οὐρανίαις δαμάλεσιν [7],
» εἰς γένεσιν ἄλλου ὁμοζύγου ταύρου ;

---

1. Ἐπειδὴ ὡς ὑποκριτὴς ὑποκρίνεται, διὰ τοῦτο πλαστὰ δωρεῖται· πᾶν γὰρ τὸ καθ' ὑπόκρισιν γινόμενον πλαστόν ἐστι. Δηλονότι ἡ πολύδωρός σου χεὶρ ἀμίμητός ἐστι καὶ ἀσύγκριτος· καὶ τὸ πολύδωρον οὐράνιον δένδρον κατώτερόν ἐστιν, ἐπειδὴ ὅ,τι δωρεῖται, κατὰ μίμησιν τῆς χειρός σου δωρεῖται, καὶ καθ' ὑπόκρισιν.

2. Τὰ λευκὰ ἄνθη τῆς Καλπαδρούμας τὰ λευκά σου εἰσὶ κλέη.

3. Ὁ ἐνεστὼς αἰὼν ὀνομάζεται Καλὴς, ἐν ᾧ ἀνομία καὶ ἀδικία κυριεύει.

4. Σὺ δηλ. ἔννομος εἶ καὶ δίκαιος, καὶ φιλομαθὴς, καὶ φιλόδωρος.

5. Οὐ μόνον ἐπιγείων δένδρων, ἀλλ' οὐδὲ οὐρανίων. Καθὼς ὁ ταῦρος ἀναπαύεται ὑπὸ σκιὰς δένδρων· δηλ. οὐκ ἄνεσιν ζητεῖς.

6. Καθὼς ὁ ταῦρος κερατίζει εἰς ὄχθον, ὡς εἰς παιδιάν· δηλ. οὐ ζητεῖς παιδιὰς καὶ τρυφάς.

7. Καθὼς ὁ ταῦρος συμμίγνυται δαμάλεσιν, εἰς γένεσιν ὁμοζύγου ταύρου· δηλ. οὐ ζητεῖς ὁμιλίας, οὐ μόνον ἐπιγείων γυναικῶν, ἀλλ' οὐδὲ οὐρανίων Νυμφῶν.

120. « Εἰ εἴποι τις, ὅτι ἄλογα ἦσαν καὶ ἀναίσθητα ταῦτα τὰ » πάνδωρα, ἡ Σουραράτνα [1], ἡ Σουραγαβὴ [2] καὶ ἡ Καλ- » πουδρούμα [3], καὶ διὰ τοῦτο ἐξῆλθον ἐκ τῆς γαλακτώ- » δους θαλάσσης, ὄντος τοῦ μεγαλοδώρου Βαλῆ, πῶς, ὦ « βασιλεῦ, γνόντα πως σὲ γεννηθησόμενον ἐπὶ γῆς [4], ἀνε- » χώρησαν πρότερον εἰς τὴν κορυφὴν τῆς Μερόης [5];

121. « Τίνι συγκρίνω σε, ὦ βασιλεῦ [6]; ὁ μὲν γὰρ μεγαλόδω- » ρος Βαλὴς τοιαύτας δωρεὰς ἐδωρήσατο [7], δι' ὧν κατή- » χθη εἰς τὸν Τάρταρον· σοῦ δὲ διάκρισις τῶν ἀρετῶν [8] » κατὰ τὴν δωρεὰν τῇ Σουραγαβῇ, τῇ Σουραράτνᾳ, καὶ » τῇ Καλπαδρούμα; ἀλλὰ καὶ ὁ φιλόδωρος Καρνᾶς οὐκ » ἔδωκεν ἀσφάλειαν τῷ Ἀρζούνᾳ, χάριν τῆς μητρὸς, καί » περ αἰτησάσης.

122. « Ὦ θεοσεβέστατε, ὦ χαριτόβρυτε πρὸς τοὺς εὐμενεῖς, ὦ » δένδρον, ὃ περιπτύσσεται, ὡς ἀναδενδρὰς, ἡ Λαξμὴ, » ὁ διαῤῥηγνύων τῷ ἀριστερῷ ποδὶ τὰς πύλας τῶν πό- » λεων τῶν πολεμίων βασιλέων, καὶ ὧν μόνη θύρα τῆς » πόλεως τῶν σοφῶν καὶ ἀγαθῶν ἀνδρῶν [9], σοῦ τὰ κλέη » σου οὐκ ἀφίκοντο, τὰ λαμπρύνοντα τὸν οὐρανὸν καὶ τὴν

---

1. Σουραράτνα, οὐράνιος ἀδάμας πάνδωρος.

2. Σουραγαβὴ, οὐρανία δάμαλις πάνδωρος.

3. Καλπαδρούμα, οὐράνιον δένδρον πάνδωρον. Παρὰ τοῖς θεοῖς εἰσι ταῦτα τὰ τρία πάνδωρα.

4. Δηλονότι σὺ μεγαλοδωρότερος εἶ καὶ τοῦ μεγαλοδώρου Βαλῆ.

5. Μερόη, ὄρος χρυσοῦν, ἐνδιαίτημα τῶν θεῶν.

6. Ἀσύγκριτος δηλ. εἶ ταῖς δωρεαῖς.

7. Ἀλόγως δηλ. ἐδωρεῖτο.

8. Κατὰ τὰς ἀρετὰς δηλονότι οὐ δωροῦνται· ἅπασι γὰρ δωροῦνται ἐξ ἴσου.

9. Προστατεύεις δηλ. αὐτῶν, καὶ διὰ τοῦτο σοφίαν καὶ ἀρετὴν μετέρχονται.

» γῆν, καὶ λευκότερα ὄντα τῶν ὑδάτων τῆς Γαγγᾶς;

123. « Ὦ κόσμημα τῆς κορυφῆς τῶν βασιλέων, ἡ φήμη σου [1],
» περιερχομένη τὴν σφαῖραν τῆς γῆς, πηλώδους γενομέ-
» νης ἐκ τῶν δακρύων τῶν γυναικῶν τῶν ἐχθρῶν σου,
» ἐλθοῦσα εἰς τὸν οἶκον τῶν θεῶν, ἔπλυνε τοὺς πόδας αὐ-
» τῆς ἐν τῇ πηγῇ τῆς ἀμβροσίας τῆς Σελήνης· ἐκ δὲ τού-
» του ἐγένετο ἡ ἐν τῇ Σελήνῃ φαινομένη κηλίς.

124. Μηδεὶς εἴπῃ, ὡς ἡ Γαγγὰ ἀφείλετο μοίραν ὀλίγην τῆς
» ὀλίγης ἀγλαΐας τοῦ σοῦ κλέους [2]· αὕτη γὰρ, ἁψαμένη
» τοῦ ποδὸς τοῦ Βισνοῦ, ὅρκον ἐποίησεν, ὡς ἀθῶα ἐστί·
» διὰ τοῦτο καὶ ἔθετο αὐτὴν ἐπὶ τῆς ἑαυτοῦ κορυφῆς περι-
» χαρῶς ὁ Σίβας.

125. « Ὦ ἄριστε τῶν τῆς Σελήνης ἀπογόνων, τοῦ λαμπροῦ σου
» κλέους διελθόντος πάντα τὰ μέρη, ἡ μὲν πλησιφαὴς Σε-
» λήνη ἐλαχίστη ἐγένετο, ὁ δὲ ὄφις Σέσσας ἄτυφος, ὁ δὲ
» Καϊλάσας ταπεινὸς, ὁ δὲ οὐράνιος ἐλέφας εὐτελὴς, ἡ
» δὲ ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα Γαγγὰ μικροπρεπὴς, ὁ
» ὁ δὲ Ἰαμαὸς ἄχαρις [3].

126. « Τοῦ πολλοῦ σου κλέους λαμπρύναντος πάντα τὰ μέρη,
» τοῦ μὲν Ἰμαοῦ καθαίρεσις ἐγένετο, τῆς δ' ἀμβροσίας
» παῦσις [4], τῆς δὲ Σελήνης ἔγκρυψις, τοῦ δὲ Καϊλάσα

---

1. Ἡ φήμη ὡς γυνή· αἱ δὲ γυναῖκες τῆς Ἰνδίας ἁπαξάπασαι μικραί τε καὶ μεγάλαι ἀνυπόδητοι ὁδεύουσιν.

2. Οἱονεὶ ἔλεγεν, ἄλλοι μὲν λέγουσιν, ὡς ἡ Γαγγὰ ἀφείλετο μέρος ὀλίγον τῆς ἀγλαΐας τοῦ σοῦ κλέους, καὶ διὰ τοῦτο ἀγλαὰ καὶ λευκὴ ἐγένετο· ἐγὼ δ' οὐ λέγω τοῦτο· αὕτη γὰρ ἁψαμένη τοῦ ποδὸς τοῦ Βισνοῦ, (καὶ γὰρ ἐκ τοῦ ποδὸς τοῦ Βισνοῦ, ὡς ἐκ πηγῆς, ἐξέρχεται) ὅρκον ἐποίησεν, ὡς ἀθῶα ἐστὶν, οὐκ ἀφείλετο δηλ. — Δηλονότι τὸ κλέος σου λευκότερόν ἐστι τῆς λευχύδρου Γαγγᾶς.

3. Πάντα ταῦτα λευκὰ, λευκότερον ὅμως τὸ σὸν κλέος.

4. Αὐτολεξεὶ, ἀργία.

» τελευτὴ [1], τῆς δὲ γαλακτώδους θαλάσσης κάλυμμα,
» τοῦ δὲ ἀγλαοῦ σώματος τοῦ θείου ἐλέφαντος ἀναίρεσις [2],
» τῆς δὲ Γαγγᾶς ἀπόκρυψις [3].

127. « Ὦ ἄνερ τῆς γῆς, ὁ τριττὸς κόσμος πανταχόθεν ἐλαμ-
» πύνθη τοῖς λαμπροῖς σου κλέεσιν, ἃ τὴν μὲν Γαγγᾶν
» ἐκόσμησαν, τοῦ δὲ Σίβα τὴν λευκότητα ὑπερηύξησαν,
» τὸ δὲ Σάνδανον ἐκαλλώπισαν, τὴν δὲ ἀγλαΐαν τοῦ βα-
» σιλέως τῶν ὄρεων Σέσσα μᾶλλον ἠγλάϊσαν, τὴν δὲ Σε-
» λήνην ἐφώτισαν, τὰς δὲ κορυφὰς τῶν μαρμαρίνων ὀρέων
» ἐφαίδρυναν [4].

128. « Αἱ συνεχεῖς σου εὐφημίαι λαμπρύνουσι τὸ πᾶν, τὸν
» μὲν λευκὸν Σέσσαν ἀφανίζουσαι, τὰς δὲ κορυφὰς τοῦ
» ἀργυροῦ ὄρους Καϊλάσα ὑπερβαίνουσαι, τὴν δὲ Καλπα-
» δρούμαν καταβάλλουσαι, τὸν δὲ ἐκρέοντα ἐκ τοῦ ποδὸς
» τοῦ Βισνοῦ ποταμὸν [5] ὑπερβάλλουσαι, τὴν δὲ Καφούραν
» ἐξευτελίζουσαι, τὸ δὲ γάλα τῆς θείας βοὸς ἀμαυροῦσαι [6].

129. « Ὦ πῦρ τοῦ δένδρου τῆς θλίψεως τῶν ἐνδεῶν, ὅ,τι λέ-
» γεται ὑπὸ τῶν θεολόγων, ὡς ὁ θεὸς Σίβας πανταχοῦ
» ἐστι παρὼν, τοῦτο οὐκ ἔστι ψευδές· οἷς γὰρ ἄνθεσι τι-
» μᾷς τοῦτον τὸν Θεὸν, τὸν πανταχοῦ παρόντα, ταῦτα
» εὐωδίαν παρέχουσιν ἐν ταυτῷ παντὶ τῷ κόσμῳ, ἅ ἐστι
» τὰ πανταχοῦ διήκοντα λευκά σου κλέη [7].

---

1. Αὐτολεξεὶ, θάνατος.

2. Αὐτολεξεὶ, ἀντίῤῥησις.

3. Τὸ νόημα τούτου τοῦ στίχου ὅμοιόν ἐστι τῷ ἀνωτέρῳ· διαφέρει ὅμως τοῖς λέξεσι. Πάντα δηλονότι τὰ λευκὰ ταῦτα οὐδέν ἐστιν ὡς πρὸς τὸ σὸν λευκὸν κλέος.

4. Δηλ. αἱ λευκαί σου εὐφημίαι πάντα ταῦτα ὑπερελεύκαναν.

5. Τὴν Γαγγὰν δηλ. ἡ λευκή ἐστι.

6. Τὸ κλέος σου δηλ. ὑπερτερεῖ πάντων τῶν λευκῶν, καὶ ἀμαυροῖ αὐτά.

7. Τὰ κλέη σου πανταχοῦ ἐστι.

130. « Ἰδὲ, ἐν τῷ τέλει τοῦ κόσμου καὶ ὁ Βραχμᾶς, καὶ ὁ Βισ-
» νοῦς καὶ ὁ Σίβας ὑπνώττει ἐξ ἀνάγκης, κατὰ τὴν φυσι-
» κὴν διάθεσιν τοῦ ἡμερονυκτίου [1]· ἡ σὴ δ' ὅμως φήμη
» καὶ ἐν τῇ πανωλεθρίᾳ οὐχ ὑπνώττει [2]· ποῦ γὰρ ἂν εἴη
» ἡμέρα, ἢ νὺξ αὐτῇ τῇ φήμῃ σου, ἢ φροντίζει, « Πότερον,
« μένει εἰς οἴκησιν ὁ στενόχωρος αἰθήρ ; ἢ οὔ ; »

131. « Τῆς θερμότητός σου πανταχοῦ παρούσης, ὦ ἀπόγονε
» τῆς Σελήνης, ἐγὼ νομίζω, ὅτι τότε ἐν τῇ θαλάσσῃ,
» καὶ τὸ ἐν τῇ Ὀφιοπόλει καυστικὸν πῦρ ἐν τῇ συντελείᾳ
» τοῦ αἰῶνος, τὸ πύρινον ὄμμα τοῦ ἐν οὐρανῷ Σίβα, ἡ
» ἐν τοῖς νεφέλεσιν ἀστραπὴ, καὶ τὸ τοῦ Ἴνδρα ὅπλον, ὁ
» κεραυνὸς, καὶ ὁ Ἥλιος, ταῦτα [3] διανοοῦνται· « Τίς χρεία
« ἡμῶν τό γε νῦν ἔχον [4] ; »

132. « Ὦ βασιλεῦ τῆς γῆς, τὸ μὲν θερμόν σου ὁ Ἥλιός ἐστιν·
» ὁ δ' ἐν τῷ Ἡλίῳ χρυσοειδὴς ἀνδριὰς [5] σὺ αὐτὸς εἶ·
» ὅθεν αἱ λαμπρότητες τῶν κραταιῶν ἐχθρῶν σου ἐν σοὶ
» βυθίζονται [6].

---

1. Καθὼς ἡμέρα ἐστὶ καὶ νὺξ παρὰ τοῖς ἀνθρώποις, οὕτω καὶ παρὰ τοῖς θεοῖς· μία δὲ περίοδος τῶν τεσσάρων αἰώνων, ἢ συνίστανται ἐξ ἐτῶν 432,000,000 μία ἐστὶν ἡμέρα τῶν θεῶν· ἐρχομένης δὲ τῆς νυκτὸς, ὅτε οἱ θεοὶ ἀναπαύονται, γίνεται τὸ τέλος τοῦ κόσμου.

2. Τῷ ἔχοντι φροντίδας οὐκ ἔπεστιν ὕπνος ἐν νυκτὶ, ὅτε ὑπνωτέον ἐστὶ· τουτέστι καὶ ἐν τῇ πανωλεθρίᾳ ἡ φήμη σου διαμένει, καὶ ἀχώρητός ἐστι τῷ αἰθέρι, ὅς ἐστιν ἄπειρος.

3. Πάντα ταῦτα τὰ καυστικὰ κατακαίουσι τὸ πᾶν ἐν τῇ πανωλεθρίᾳ, καὶ ἐκ τοῦ στόματος τοῦ ὄφεως Σέσσα πῦρ ἐξέρχεται.

4. Δηλολονότι καυστικώτερος εἶ πάντων τῶν καυστικῶν.

5. Μυθολογοῦσιν, ὡς ἐν τῷ Ἡλίῳ χρυσοῦς ἀνδριάς ἐστιν, ὅς ἐστιν αὐτὸς ὁ Θεὸς, καὶ ὡς οἱ ἡρωϊκῶς ἐν πολέμῳ θανόντες, εἰς τὸν Ἥλιον εἰσδύουσι· διὰ δὲ τοῦ Ἡλίου, ὡς δι' εἰσόδου, ἔρχονται πρὸς τὸν Θεόν.

6. Ἀφανὴς ὀηλ. γίνεται ἡ λαμπρότης τῶν ἐχθρῶν σου ὡς πρὸς τὴν σήν.

133. « Ὦ ἀπόγονε τῆς Σελήνης, τῆς θερμότητός σου περιερχο-
» μένης τὸν κόσμον γαύρως, τὸ μὲν πύρινον βλέμμα τοῦ
» Σίβα ἐγένετο ἀδρανές, ὁ δὲ κεραυνὸς ἀπέβαλε τὸ θερ-
» μὸν, τὸ δὲ δεινὸν πῦρ τοῦ δάσους ἀπώλεσε τὸ ἰταμὸν,
» ὁ δ' Ἥλιος ἀφῆκε τὴν δεινότητα, τὸ δὲ πῦρ τῆς θα-
» λάσσης οὐκ ἔχει τὸ μεγάλαυχον [1].

134. « Ὦ ἀπόγονε τῶν ἐκ τοῦ Πουροῦ, ὁ ἐν οὐρανῷ Ἥλιος, ἡ
» ἐν τοῖς νέφεσιν ἀστραπὴ, τό,τε ἐν δάσει φλογερὸν, καὶ τὸ
» ἐν θαλάσσῃ δεινὸν πῦρ, ταῦτα πάντα, στερηθέντα τῆς
» οἰκείας θερμότητος ἐκ τῆς σῆς, ἐβυθίσθησαν εἰς δυσφη-
» μίαν [2], ὡς εἰς ἰλὺν μεγάλην καὶ βαθεῖαν.

135. « Ἡ λαμπρότης σου λάμπει ἐν κόσμῳ, ὦ βασιλεῦ, ὥσπερ
» μία λυχνοκαΐα (λυχνοστοιχία), δι' ἧς φῶς λαμπρὸν
» ἔσεται καὶ ἐν τῇ νυκτὶ τοῦ Βραχμᾶ [3].

136. « Ἐν τῇ σῇ βασιλικῇ μορφῇ πάντως γε ἦλθεν ἐπὶ γῆς
» ἐκεῖνο τὸ ἓν καὶ ἀδιαίρετον Θεῖον, οὗ κινουμένου μὲν,
» τὸ πᾶν τοῦτο κινεῖται, ἱσταμένου δὲ, ἵσταται.

137. « Τὰ ὄρη πάντα, φοβούμενα καὶ τρέμοντα ἐκ τῶν ὁπλῶν
» τῶν ἵππων, τῶν παροξυνομένων, ὡς ῥάβδοις, ταῖς προ-
» βοσκίσι τῶν ἐλεφάντων [4] ἐν τῇ ἐκστρατείᾳ εἰς παγκό-
» σμιον νίκην, ἐξῆγον, ὡς οἶμαι, διὰ τῶν πιπτόντων λί-
» θων καὶ διὰ τῶν φωνῶν τῶν ὀρνέων τοὺς καταφυγόντας
» εἰς τὰ σπήλαια πολεμίους βασιλεῖς [5].

---

1. Τὰ θερμὰ δηλ. ταῦτα οὐδέν ἐστιν ὡς πρὸς τὴν σὴν θερμότητα.

2. Ἡ δυσφημία μέλαινα λέγεται· μέλαινα δὲ καὶ ταῦτα, ὁ κυάνεος οὐρανὸς, τουτέστιν ὁ αἰθὴρ, ἡ θάλασσα, καὶ τὸ νέφος, καὶ τὰ δένδρα τοῦ δάσους.

3. Καὶ τότε δηλονότι ἔσεται διαμένουσα καὶ λάμπουσα, ὅτε ὁ Βραχμᾶς ὑπνώττει, ὅτε δηλ. τὸ πᾶν ὄλλυται.

4. Ὁ ἥμισυς στίχος ἔχει συλλαβὰς 42.

5. Τῶν ὀρέων περισειομένων ἔπιπτον λίθοι, καὶ τὰ ὄρνεα ἐκελάδουν.

138. « Ἐν τῇ ἐκστρατείᾳ σου εἰς νίκην κατὰ τοῦ κόσμου, ὁ » μὲν Ἥλιος κατεκαλύφθη κόνει, ὁ δ' ὄφις Σέσσας κατε- » κάμφθη ἐκ τοῦ βάρους τοῦ στρατοῦ, ὁ δ' Ἴνδρας ἐγένετο » Σανκρανδάνας [1], τὸ δὲ πῦρ θερμὸν, ὁ δ' ἰάμας μέλας, ὁ » δὲ ἡγεμὼν τῶν δαιμόνων Νιρῒτὶς, νυκτιπόρος [2]· ὁ δὲ » Βαρούνας εἰσέδυ εἰς τὸ ὕδωρ· ὁ δ' ἄνεμος, οὐδαμοῦ ἵστα- » το [3]· ὁ δὲ Κουβέρας ἐγένετο πλουτοδότης, ὁ δὲ Σίβας » ὀρσίοικος.

139. « Ὦ κραταιὲ, ὁ ἔχων βραχίονας ἰσχυροτέρους καὶ τοῦ κε- » ραυνοῦ, αἷμα ἔσταζεν ἡ γῆ, διάβροχος γεγενημένη μέ- » χρι βάθους, ἐκ τῶν ποταμηδὸν χεομένων αἱμάτων τῶν » ἀναιρεθέντων ὑπὸ σοῦ ἐχθρῶν· ἐκ δὲ τῶν σταλαγμῶν » τοῦ αἵματος φαίνεται αὕτη ἡ ἐρυθρότης, ἥ ἐστιν οἱ » πολύτιμοι λίθοι, οἱ ἐπὶ τῆς κορυφῆς τοῦ βαστά- » ζοντος τὴν γῆν ὄφεως [4], τοῦ βασιλέως τῆς Πα- » τάλας [5].

140. « Εἰ καὶ ἡ ἀπόδειξις ἐξ ἱερῶν καὶ νομίμων βιβλίων » στέργεται ὑπὸ τῶν σοφῶν, οὐκ ἔστιν ὅμως βεβαία· οὐ » γὰρ ὁ δίσκος τοῦ Ἡλίου διερράγη ὑπὸ τῶν ἀναιρεθέντων » ἐχθρῶν σου, καὶ ἀνελθόντων εἰς τὸν οὐρανὸν, ἀλλ' ὁ τῆς

ἐκ δὲ τούτων φοβούμενοι οἱ εἰς τὰ σπήλαια καταφυγόντες ἐχθροί σου, ἐξήρχοντο, καὶ ἔφευγον πάλιν.

1. Σανκρανδάνας, ὅ ἐστι θρηνητικὸς, ὄνομα τοῦ Ἴνδρα· πλάττει δ' ἐν- ταῦθα ὁ ποιητὴς ὡς ἐξ ἐκείνης τῆς ἡμέρας ἔλαβε τοῦτο τὸ ὄνομα· καὶ τὸ πῦρ θερμὸν ἐγένετο, κτλ. ἐφοβήθησαν δηλ.

2. Οἱ δαίμονες νυκτιπόροι λέγονται.

3. Ἐφοβήθησαν δηλ.

4. Τουτέστιν οἱ πολύτιμοι λίθοι, οἱ ἄνθρακες, οἱ ἐπὶ κεφαλῆς τοῦ βα- στάζοντος τὴν γῆν ὄφεως, οἱ σταλαγμοί εἰσι τῆς διαβρόχου γῆς ἐκ τοῦ αἵματος τῶν ἀναιρεθέντων ἐχθρῶν σου.

5. Πατάλα λέγεται ὁ ὑποχθόνιος κόσμος.

» Σελήνης [1]· καὶ γὰρ ἐν αὐτῇ διάῤῥηγμά τι μέλαν φαίνε-
» ται, ὅ ἐστιν ἡ μελανότης ἣν ἔχει.

141. « Ἐν ἑκάστῃ κοσμογονίᾳ σὺ βασιλεὺς γίνῃ τῆς γῆς πάνυ
» ἀγαθὸς, καὶ λαμπρὸς, καὶ ἀπαράμιλλος κατὰ τὰς ἀρε-
» τὰς, εἰς ὄλεθρον πάντων τῶν ἐχθρῶν· ὅθεν ἡ μὲν γῆ
» φρίκην ἔχει διὰ τῶν ὀρέων, ὡς διὰ τριχῶν [2]· ὁ δ' οὐ-
» ρανὸς σείει τὴν κεφαλὴν, ὅπερ συμπεραίνεται ἐκ τῶν κι-
» νουμένων, τοῦ τε Ἡλίου καὶ τῆς Σελήνης, ἅ εἰσιν ὡς
» ἐνώτια.

142. « Τῷ Βραχμᾷ καὶ σοὶ αὐτῷ τοιαύτη ἐστὶ γνώμη καὶ βου-
» λή· ἐκεῖνος μὲν γὰρ τοιαύτην ἔχει γνώμην· « Οὗτοι οἱ
« βασιλεῖς βασιλείαν μεγάλην ποιήσουσι· » σὺ δὲ τοιαύ-
» την ἔχεις βουλήν· « ἐγὼ ἀναιρέσω τούτους τοὺς πολε-
« μίους βασιλεῖς· » ἀλλ' ὁ Βραχμᾶς ἄκυρον ποιεῖ τὴν
» ἐναντίαν γνώμην σου, διδοὺς αὐτοῖς τοῖς ἐχθροῖς σύνε-
» σιν τοῦ προσπεσεῖν τοῖς ποσί σου [3].

143. « Ὦ ἄριστε τῶν ἀπὸ τῆς Σελήνης καταγομένων, ὁ τριτ-
» τὸς κόσμος πλήρης ἐγένετο τῶν διεσπαρμένων δυσφη-
» μιῶν [4] τῶν ἐχθρῶν σου, αἵ εἰσιν αὗται· ἐλέφαντες [5] ἄ-
» νευ ὀδόντων, δένδρα [6], ἄνευ ἀνθέων, νύκτες ἄνευ ἀστέ-

---

1. Οἱονεὶ ἔλεγεν· ἄλλοι μὲν λέγουσιν, ὅτι οἱ ἡρωϊκῶς θανόντες ἐν πο-
λέμῳ, διὰ τοῦ Ἡλίου ἀνέρχονται εἰς τὸν οὐρανόν· ἐγὼ δὲ λέγω ἀποδει-
κνύων, ὅτι διὰ τῆς Σελήνης.

2. Ὁ μὲν φρίττων ὀρθοῖ τὰς τρίχας· τὰ δ' ὄρη ὡς τρίχες εἰσὶ τῆς
γῆς· ὁ δὲ θαυμάζων σείει τὴν κεφαλήν.

3. Ὅταν προσπέσωσι τοῖς ποσί σου, πάλιν βασιλεύουσι καὶ τότε γί-
νεται ἡ γνώμη τοῦ Βραχμᾶ, τὸ προωρισμένον· τοῦτο δὲ δηλοῖ, ὅτι συγ-
γνώμων ἐστὶ τοῖς πταίσασιν, ὅταν μετανοήσωσι.

4. Μέλαινα ἡ δυσφημία.

5. Μελανόχροες οἱ ἐλέφαντες.

6. Κυανᾶ τὰ φύλλα τῶν δένδρων.

» ρων, ὄφεις ἄνευ πολυτίμων λίθων [1], καὶ θάλασσαι ἄνευ
» ἀφρῶν [2].

144. « Ὦ ἄνερ τῆς γῆς, οἱ ἐχθροί σου καταδιωχθέντες εἰς τὴν
» ἔρημον ὑπὸ σοῦ, φαίνονται, ὡς κατακεκαυμένοι τῇ θερ-
» μότητί σου, καὶ ὡς ἑωραμένοι τῷ ἔλοσυρῷ βλέμματι
» τῆς ἀτυχίας, καὶ ὡς ἐμπεπυρισμένοι τοῖς θερμοῖς ἀνα-
» στεναγμοῖς τῶν ἑαυτῶν γυναικῶν, καὶ ὡς κεχραμμένοι
» τὸ σῶμα ταῖς δυσφημίαις, καὶ ὡς μέλανες ταῖς ἑαυ-
» τῶν κακονοίαις [3].

145. « Πρότερον μὲν, οἰκουμένης τῆς τῶν ἐχθρῶν σου πόλεως,
» οἱ τρεφόμενοι καὶ ἥμεροι ὄντες ταῶνες, ἔπληττον διὰ
» τοῦ ῥάμφους τὰς σκιὰς [4] τῶν ὑψηλῶν δωμάτων, νο-
» μίζοντες ὄφεις πολλοὺς, καὶ ἐκ τούτου ἔπασχον· νῦν δὲ,
» κενῆς οὔσης καὶ ἐρήμου, καὶ πολλῶν ὄφεων ἑρπόντων,
» οἱ ταῶνες οὐ τείνουσι τὸ ῥάμφος κατ' αὐτῶν τῶν ὄφεων,
» μὴ ἔχοντες ἀντιπάθειαν, ἕνεκα τῆς ἀπαθείας, ἣν ἔχουσι
» διὰ τὴν φυγὴν τῶν ἑαυτῶν κυρίων.

146. « Ὦ κυβερνῆτα τῆς γῆς, αἱ ὀρειάδες θεαὶ, θλιβόμεναι τῇ
» ἀπουσίᾳ τῶν θεῶν, τῶν ἑαυτῶν συζύγων, γράφουσι γράμ-
» ματα ἐρωτικὰ καὶ εὐνοϊκὰ κατὰ συνέχειαν διὰ τῶν με-
» μιγμένων τῇ στίμμει [5] δακρύων τῶν γυναικῶν τῶν
» ἐχθρῶν σου, ἃ ἐγένοντο λίμναι ἐν ὄρεσιν, εἰς ἃ κατέ-
» φυγον.

147. Οἱ Ποιηταὶ, οἱ ὁδεύοντες εἰς ξένην γῆν, λαμβάνοντες

---

1. Εἰσὶ καί τινες ὄφεις μέλανες· ἐννοεῖ δὲ τοὺς ἐν τῷ καταχθονίῳ κόσμῳ.
2. Κυανὴ ἡ θάλασσα, λευκὸς ὁ ἀφρός.
3. Καθὼς ἡ δυσφημία, οὕτω καὶ ἡ κακόνοια μέλαινα· ἕνεκα δὲ τῶν κακῶν, ἃς ἐμελέτων, μέλανες ἐγένοντο.
4. Μέλαινα ἡ σκιὰ, ὡς καὶ ὁ ὄφις· ὀφιοφάγος δὲ ὁ ταώς.
5. Στίμμις, μέλαινα βαφὴ, δι' ἧς βάφουσι τὰ ὄμματα.

» τὰ φύλλα τῶν Ταλῶν, τὰ τιθέμενα ὑπὸ τῶν γυναικῶν
» αὐτῶν ἐν τοῖς ὠσὶν εἰς κόσμον, λέγοντες ἕκαστος ἑκά-
» στῃ, « Τί τοῦτο; ἐγὼ ποιήσω σοι χρυσοῦν ἐνώτιον, ἐ-
« παινέσας τὸν δισέγγονον τοῦ Ἀρζούνα,» γράφουσί σοι
» ἔπαινον [1] θαυμαστὸν καὶ ἐν ἐρήμῳ διὰ τῶν συμμίκτων
» τῇ στίμμει δακρύων τῶν γυναικῶν τῶν ἐχθρῶν.

148. « Οἱ ἐχθροί σου, ἀφέντες τὰ πέρατα τῆς οἰκουμένης, εἰς
» ἃ κατέφυγον, διὰ τὸν φόβον τῆς προβοσκίδος τῶν ἐλε-
» φάντων, τῶν βασταζόντων τὴν γῆν, νομίζοντες αὐτὴν
» ὡς χεῖρά σου [2], κατέδυσαν διὰ τῶν σπηλαίων, ὡς δι' ὁ-
» δῶν, εἰς τὴν ὑπὸ γῆν Ὀφιόπολιν· ἀλλὰ κἀκεῖ, βλέποντες
» τὸν βασιλέα τῶν ὄφεων ὅμοιον τῇ χειρί σου, φοβούμε-
» νοι, διηπόρουν οἱ πανάθλιοι, ποῖ τράπωνται.

149. « Τρία ταῦτα τὰ νικητικά, ὁ βραχίων σου, ὁ τῶν ὄφεων
» βασιλεὺς, καὶ ἡ προβοσκὶς τοῦ ἐλέφαντος τοῦ Ἴνδρα,
» διαμερισάμενα, ὡς ἀδελφοί, τὸν τριττὸν κόσμον, διοι-
» κοῦσιν αὐτόν [3].

150. « Τοῦ Βισνοῦ ἀναπαυομένου ἐν τοῖς ὕδασι, τὸν τριττὸν
» κόσμον διοικεῖ ὁ τῶν ὄφεων βασιλεὺς, ἡ τῶν γεούχων

---

1. Τουτέστιν ὕμνους γράφουσί σοι οἱ Ποιηταὶ οὐ μόνον ἐν πόλεσιν, ἀλλὰ καὶ ἐν ἐρήμῳ, ἔνθα εὑρίσκουσι φύλλα Τάλας ἀντὶ χάρτου, καὶ ἀντὶ μέλανος σύμμικτα τῇ στίμμει δάκρυα τῶν γυναικῶν τῶν φυγόντων ἐχθρῶν. Τάλα, δένδρον ὑψηλὸν, ὡς Φοίνιξ, οὗ ἐπὶ τῶν φύλλων γράφουσιν ἐν Ἰνδίᾳ· αἱ δὲ γυναῖκες χρῶνται αὐτοῖς τοῖς φύλλοις ἀντὶ ἐνωτίων.

2. Ὁ κραταιὸς καὶ μακρὸς βραχίων ἀπεικάζεται τῇ προβοσκίδι τοῦ ἐλέφαντος καὶ τῷ ὄφει.

3. Δηλ. ὁ μὲν βραχίων σου διοικεῖ τὸν ἐπίγειον κόσμον· ὁ δὲ Σέσσας ὄφις τὸν ὑποχθόνιον, ἡ δὲ προβοσκὶς τοῦ ἐλέφαντος Ἀϊραβάτα τὸν οὐράνιον. Δολιχὸς ὁ ὄφις, δολιχὴ ἡ προβοσκὶς, δολιχὸς καὶ ὁ βραχίων· διὸ καὶ συγκρίνονται ἀλλήλοις.

» ἐλεφάντων προβοσκὶς, καὶ ὁ δολιχὸς κεραυνὸς τοῦ Ἴνδρα,
» ἃ ἔχουσιν ὀλίγην τινα ὁμοιότητα τῷ βραχίονί σου [1].

151. « Πῶς ἂν ὁμοιότητα σχοίη τῷ βραχίονί σου ὁ βασιλεὺς
» τῶν ὄφεων, ὃς πάσχει καὶ ἐκ τοῦ ἄχθους τῆς γῆς, τῆς
» κατακαμφθείσης ὑπὸ τῶν πεσόντων ἐν πολέμῳ ἀναριθ-
» μήτων ἐχθρῶν σου ;

152. « Οὕτω λέγουσιν οἱ ἄνθρωποι· « Τίς δύναται βαστάξαι
« τὴν γῆν, τὴν βασταζομένην ὑπὸ τῶν ὄφεων, ὧν ἡ δύ-
« ναμις ἀπόλλυται νῦν ἐν τῷ πυρὶ τῆς θυσίας ; » Οὗτοι
» ὅμως οὐκ οἴδασιν, ὡς αὕτη ἡ γῆ κρατεῖται τῇ χει-
» ρί σου.

153. « Θυέσθωσαν οὗτοι, ὅ,τε τοῦ οὐρανοῦ δεσπότης Ἴνδρας,
» καὶ ὁ τῶν ὄφεων Ταξάκας· καὶ γὰρ σὺ, ὁ ἔχων τριττὴν
» δύναμιν [2], δυνατὸς εἶ διαφυλάξαι τὸν τριττὸν κόσμον.

154. « Πάσας τὰς θυσίας θεῶν τε καὶ Τιτάνων καὶ βασιλέων
» γελᾷ αὕτη ἡ θυσία σου, ἣ ἐκρίπτει, ὡς ἐκ στόματος,
» πολλὰ τμήματα τῆς Ταμβούλας [3], ἅ ἐστι τὰ πολύτιμα
» λιθάρια, τὰ ἐπὶ τῆς κορυφῆς τῶν ὄφεων, τὰ ἐξαλλόμενα
» ἐν τῷ καίεσθαι.

155. « Ὦ στέφανε τῶν ἀπογόνων τῆς Σελήνης, σὺ τὰ πρωτεῖα
» ἔχεις πάντων τῶν ἐν τοῖς τρισὶ κόσμοις κατὰ τὰς εὐερ-

---

1. Ὅτε δ' ἐκεῖνα διοικοῦσι, πολλῷ μᾶλλον ὁ σὸς βραχίων.

2. Τριττὴ δύναμίς ἐστι τοῦ βασιλέως, ἡ βουλὴ, ἡ στρατιὰ, καὶ ἡ γάζα.

3. Τουτέστι καταγελᾷ καὶ καταφρονεῖ· ὅταν δὲ γελᾷ ὁ ἄνθρωπος, ἀνοίγει τὸ στόμα, καὶ οὕτως ἐκ βίας τοῦ γέλωτος ἐκρίπτει τμήματα τῆς Ταμβούλας, ἣν μασσᾶται. Ταμβούλα δὲ λέγεται μία ἀνδενδρὰς, καὶ τὸ φύλλον αὐτῆς. Ἐν τούτῳ τῷ φύλλῳ τιθέντες ὀλίγην ἄσβεστον καὶ τμήματα Ἰνδικῆς βαλλάνου, ἣ ὀνομάζεται Πούγκα, κοινῶς δὲ Σουπαρὴ, μασσῶνται ἄνδρες τε καὶ γυναῖκες ἐν Ἰνδίᾳ, καθὼς ἐν Ἑλλάδι τὴν μαστίχην· ὁ δὲ χυμὸς γίνεται ἐρυθρός.

» γεσίας [1]· τὸν μὲν γὰρ μολυσμὸν τῆς Σελήνης ἀποκα-
» θαίρεις ταῖς οἰκείαις εὐφημίαις· τὸ δὲ ἐκ τῆς γῆς ἄχθος
» τοῦ ὄρεως Σέσσα ἐλαφρύνεις ταῖς κόνισι, ταῖς ἐξανι-
» σταμέναις ἐκ τῆς κινήσεως τοῦ στρατοῦ σου· τὴν δ' ἔν-
» δειαν τῶν ἀνθρώπων ἀποβάλλεις ταῖς δωρεαῖς.

156. « Ὦ βασιλεῦ τῆς γῆς, φιλόστοργε πρὸς τοὺς οἰκείους,
« στέφανε τῶν ἐνδόξων ἐν λόγοις, ἐν πολέμοις, καὶ ἐν δω-
» ρεαῖς, καὶ ἀναιρέτα τῶν ἐχθρῶν, τίς συγκριθείη ἂν πρὸς
» σέ ; τὰ μὲν γὰρ οὐράνια πέντε δένδρα [2] ἐν τῇ ἄκρᾳ τῆς
» χειρός σου ἐστὶν, ἅ εἰσιν οἱ δάκτυλοί σου· οἱ δὲ θεοὶ
» ὤκησαν ἐν τῇ καρδίᾳ σου διὰ φόβον τῶν ἀντιθέων δαι-
» μόνων.

157. « Αἱ ἀρεταὶ πᾶσαι, εἰσδῦσαι ἐν ταὐτῷ ἐριστικῶς εἰς τὸ
« σῶμά σου διὰ τῶν πόρων, ὡς διὰ θυρῶν [3], λίαν ἀγλαΐ-
» ζουσι πάντα σου τὰ μέλη· διὰ δὲ τούτων τῶν εἰσδυσῶν
» ἀρετῶν, ὦ βασιλεῦ, ὡς διὰ Σεληνῶν, ἐλαμπρύνθης τὰ
» ἐντός· τὸ δ' ἐντὸς σκότος, ἐξελθὸν, φαίνεται ἐπὶ τῶν
» πόρων τοῦ σώματος, ὅ ἐστι τὸ πλῆθος τῶν τρι-
» χῶν [4].

158. Καὶ ὁ Σίβας, ὁ νικητὴς τοῦ θανάτου [5], εἰς τὸ βεβαιῶ-
» σαι τὸ ὃ ἔχει ὄνομα, τὸ, *Παντογνώστης*, ἀριθμῶν τὰς
» ἀρετάς σου, ποιεῖ διὰ τῆς ἑτέρας ἑαυτοῦ μορφῆς, τοῦ

---

1. Ἡ μὲν Σελήνη ἐν τῷ οὐρανῷ, ὁ δὲ Σέσσας ἐν τῷ ὑποχθονίῳ κόσμῳ, οἱ δ' ἄνθρωποι ἐν τῷ ἐπιχθονίῳ.

2. Πέντε εἰσὶ τὰ οὐράνια πάνδωρα δένδρα· Μανδάρα, Παριζάτα, Σαντάνα, Καλπαβρίξα, καὶ Χαρισανδάνα.

3. Δηλ. σὺ λαμπρὸν εἶ ὀχεῖον πασῶν τῶν ἀρετῶν.

4. Τὸ πλῆθος τῶν τριχῶν τοῦ σώματος τὸ σκότος ἐστί· μέλαινα δὲ ἡ θρὶξ, ὡς καὶ τὸ σκότος.

5. Τουτέστιν ὁ ἀθάνατος.

» ἀέρος, ἐπὶ τοῦ ὠκεανοῦ, ὡς ἐπὶ πίνακος, γραμμὰς, αἵ
» εἰσι τὰ κύματα [1].

159. « Οἱ Ποιηταὶ, ὦ πανάριστε, οὐδαμοῦ ἄνεσιν εὑρίσκουσιν,
» οὔτε ἐν κατ' οἶκον παιδιαῖς, οὔτ' ἐν ὑπερῴοις χρυσῶν
» οἴκων, οὔτ' ἐν κλίναις ἀγλααῖς, οὔτε ἐν κοσμήμασιν,
» οὔτ' ἐν κήποις εὐηνέμοις· σκεπτόμενοι γὰρ εὑρεῖν λέξεις
» καὶ νοήματα ἁρμόδια ταῖς ἀρεταῖς σου, διὰ κενῆς περι-
» φέρονται, ὡς παράνοες.

160. « Ὦ ἐνδιαίτημα τῆς ἀνδρείας, ὦ ἀνώτερε πάντων ταῖς
» ἀρεταῖς, ὁ μόνῳ τῷ βλέμματι καίων τοὺς ἀξίους καίε-
» σθαι, τίς δύναμίν ποθεν ἐρανισάμενος, ἔπαινον ἄν σοι
» συμπλέξειεν; Καὶ ὁ Σίβας αὐτὸς, ὁ πάντα εἰδὼς, οὐ
» δύναται συνεῖραί σοι ἐγκώμια· τίνι δ' ἄλλῳ οὐκ ἂν γέ-
» νοιτο αἰσχύνη μεγάλη ἐν ποιήσει ὕμνων εἰς σέ; »

161. Τοῦ μὲν οὖν Ζαναμεζαΐα ἐμβυθισθέντος χαρᾷ, καὶ ἐξε-
ρευξαμένου, « Τί χαρίσωμαί σοι; εἰπὲ, » ὁ Ἀστείκας, ὃς
ἔβρεξεν ἀμβροσίαν εὐχῆς καὶ ἐπαίνου [2], τοσαύτην χαρὰν
ἔσχεν ἐν καρδίᾳ, ὅσην ἔχει ὁ τριττὸς κόσμος· καὶ λυτρώ-
σας τὸν Ταξάκαν, καὶ τοὺς λοιποὺς ὄφεις, χαρὰν ἐποίησεν
αὐτῷ τῷ Ἴνδρᾳ.

162. Αὐτὸς ὁ Ἀστείκας, ὁ υἱὸς τοῦ Ζαρατκαροῦ, διαφυλάττοι
ἀπὸ τοῦ χρόνου, ὡς ἀπ' ὄφεως, τοῦτό μου τὸ ἀξιόλογον
Ποίημα, ἐν ᾧ ἐστι τὸ ὄνομα αὐτοῦ τοῦ Ἀστείκα, ὃς ἔλα-
βε ταύτην τὴν μεγάλην χάριν παρὰ τῶν ὄφεων πάντων,

---

1. Ὁ ἀριθμῶν γραμμὰς σχεδιάζει· ἐνταῦθα δὲ γραμμαί εἰσι τὰ κύ-
ματα, ἃ ἀνίστανται ὑπὸ τοῦ ἀέρος, ὅς ἐστι μορφὴ τοῦ Σίβα, καθὼς καὶ
τὰ λοιπὰ στοιχεῖα· αὐτὸς γάρ ἐστι τὸ πᾶν. Δηλ. αἱ ἀρεταί σου, ὡς τὰ
κύματα ἄπειροί εἰσι, καὶ αὐτῷ τῷ Σίβα ἄγνωστοι, καὶ διὰ τοῦτο ἀριθμεῖ
αὐτὰς καθ' ἑκάστην.

2. Ὡς ἐρρέθη πρότερον.

λίαν χαρέντων· «Ἀκουσθέντος τοῦ χαριτωνύμου ὀνόματός »σου καὶ χρησίμου εἰς ἐπῳδὴν, τὸ φάρμακον ἡμῶν οὐ »κατισχύσει τοῦ ἀνθρώπου [1]. »

163. Στεργέτω, ὡς τέκνον ἑαυτῆς τοῦτό μου τὸ Ποίημα ἡ ἱστορικὴ Μαχαβαράτα, ἧς ἀκούσας ὁ ὑμνολόγος Οὐγρασραβᾶς παρὰ τοῦ Βαϊσαμπαΐανα [2] ἐν τῇ ὀφιοθυσίᾳ τοῦ Ζαναμεζαΐα, ἀφηγήσατο αὐτὴν ἐν τῇ θυσίᾳ τοῦ Σαουνάκα, τοῦ ἀρχηγοῦ πολλῶν ὁσίων, ἐν τῷ ἄλσει Ναϊμίσσᾳ.

164. Σεβέσθω ὁ Ἀμάρας, ὡς βομβύλιος, τὸν λώτιον πόδα τοῦ σοφοῦ καὶ ὀρθοδόξου διδασκάλου Ζηναδάτα. Διαμενέτω ἐς ἀεὶ αὕτη ἡ Βαλαβαράτα, τὸ μέγα Ποίημα, τὸ ποιηθὲν ὑπ' ἐκείνου τοῦ Ἀμάρα, καὶ ἀγλαϊσθὲν εἰς χαρὰν τῆς καρδίας τῶν σοφῶν ἀνδρῶν, ἐν οἷς οἰκεῖ ἡ θεὰ τοῦ λόγου.

Ἐν ταύτῃ τῇ Σάργᾳ, ἣ ὀνομάζεται *Ἀστείκα*, ἐμπεριέχονται διακόσιοι πεντήκοντα ὀκτὼ στίχοι, κατὰ τὸ μέτρον τοῦ Ἀνουστούπα.

Τέλος τοῦ τεσσαρακοστοῦ τρίτου Κεφαλαίου, ὃ ὀνομάζεται *Ἀστείκα*, τῆς Βαλαβαράτας, τοῦ μεγάλου Ποιήματος, τοῦ ποιηθέντος ὑπὸ τοῦ σοφοῦ Ἀμάρα, μαθητοῦ τοῦ σοφοῦ Ζηναδάτα.

---

1. Δηλονότι, ὅστις ἐπικαλέσεταί σε, οὐ βλαφθήσεται ὑπὸ φαρμάκου ὄφεων. Τούτου τὸ ὄνομα ἐπικαλοῦνται οἱ Ἰνδοὶ ὅταν τρέπωνται ἐφ' ὕπνον ἐν νυκτί.

2. Ὁ Βαϊσαμπαΐανας ἀφηγήσατο τὰ τῆς Μαχαβαράτας ἔμπροσθεν τοῦ βασιλέως Ζαναμεζαΐα ἐν τῇ ὀφιοθυσίᾳ.

ΤΕΛΟΣ ΤΗΣ ΒΑΛΑΒΑΡΑΤΑΣ.

ΠΙΝΑΞ

ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ.

				Σελ.
ΠΡΟΛΕΓΟΜΕΝΑ				α′
ΒΙΒΛ. Α′.	Κεφ.	Α′.,	ἐν ᾧ ἱστορία ἐστὶ βασιλέων τεσσάρων ἐν τῇ ἀρχαιογονικῇ δυναστείᾳ	1
—	Κεφ.	Β′.,	ἐν ᾧ ἱστορία ἐστὶν ὀκτωκαίδεκα βασιλέων ἐν τῇ ἀρχαιογονικῇ δυναστείᾳ	27
—	Κεφ.	Γ′.,	ἐν ᾧ ἱστορία ἐστὶν ὀκτωκαίδεκα βασιλέων ἐν τῇ ἀρχαιογονικῇ δυναστείᾳ	47
—	Κεφ.	Δ′.,	ἐν ᾧ ἐστιν ἡ γέννησις τῶν υἱῶν τοῦ Πανδοῦ καὶ τοῦ Δρυταράστρα	74
—	Κεφ.	Ε′.,	διαλαμβάνον περὶ τοῦ αἱρετοῦ γάμου τῆς Δραουπαδῆς	105
—	Κεφ.	Ϛ′.,	ἐν ᾧ ἱστορία ἐστὶ τῆς εἰς ἁγίους τόπους περιηγήσεως τοῦ Ἀρζούνα	126
—	Κεφ.	Ζ′.,	διαλαμβάνει περὶ τοῦ ἔαρος	141
—	Κεφ.	Η′.,	» » περὶ ἀνθολογίας καὶ ὑδροπαιδιᾶς	158
—	Κεφ.	Θ′.,	» » περὶ τῆς ἀνατολῆς τῆς Σελήνης	172
—	Κεφ.	Ι′.,	» » περὶ συνουσίας	190
—	Κεφ.	ΙΑ′.,	» » τὸν καθοπλισμὸν τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα	202
—	Κεφ.	ΙΒ′.,	» » περὶ τῆς πυρπολήσεως τοῦ δάσους Κανδάβα	216
ΒΙΒΛ. Β′.	Κεφ.	Α′.	» » τὸν θάνατον τοῦ Ζαρασάνδα	231

						Σελ.
ΒΙΒΛ. Β′.	Κεφ.	Β′.,	δ διαλαμβάνει		τὴν νίκην κατὰ τῶν τεσσάρων μερῶν τῆς γῆς . . .	248
— —	Κεφ.	Γ′.,	»	»	τὴν βασιλικὴν θυσίαν . .	268
— —	Κεφ.	Δ′.,	»	»	τὴν μῆνιν τοῦ Δουριοδάνα .	280
— —	Κεφ.	Ε′.,	»	»	τὴν ἐξορίαν (ἐξοίκησιν) τῶν Πανδοϊδῶν	294
ΒΙΒΛ. Γ′.	Κεφ.	Α′.,	»	»	τὴν τῶν ἁγίων τόπων προσκύνησιν τοῦ Ἰουδιστίρα .	311
— —	Κεφ.	Β′.,	»	»	τὴν εἰς τὸν Ἰμαὸν ἀνάβασιν τῶν Πανδοϊδῶν	325
— —	Κεφ.	Γ′.,	»	»	τὴν ἔλευσιν τοῦ Ἀρζούνα	340
— —	Κεφ.	Δ′.,	»	»	τὴν ἐμφάνειαν τοῦ Δάρμα	356
ΒΙΒΛ. Δ′.	Κεφ.	Α′,,	»	»	τὴν ἀπόκρυψιν τῶν Πανδοϊδῶν	372
— —	Κεφ.	Β′.,	»	»	τὸν θάνατον τοῦ Κησάκα .	388
— —	Κεφ.	Γ′.,	»	»	τὴν νίκην τῶν Πανδοϊδῶν κατὰ τῶν συλησάντων τὰς ἐκ βορρᾶ καὶ νότου βοῦς τοῦ Βιράτα	397
— —	Κεφ.	Δ′.,	»	»	τὸν γάμον τοῦ Ἀβημανιοῦ	423
ΒΙΒΛ. Ε′.	Κεφ.	Α′.,	»	»	τὸν σύλλογον τῶν στρατῶν	438
— —	Κεφ.	Β′.,	»	»	τὸ δυσθιάθετον τοῦ Δουριοδάνα	458
— —	Κεφ.	Γ′..	»	»	τὴν ἐκστρατείαν τῶν Πανδοϊδῶν	472
— —	Κεφ.	Δ′.,	»	»	τὴν κατασκήνωσιν τῆς στρατιᾶς τῶν Πανδοϊδῶν . .	488
— —	Κεφ.	Ε′.	»	»	τὴν ἔναρξιν τοῦ πολέμου .	498
ΒΙΒΛ. Ϛ′.	Κεφ.	Α′.	»	»	τὸν πόλεμον τῆς πρώτης ἡμέρας	517
— —	Κεφ.	Β′.,	»	»	τὰς ἀνδραγαθίας καὶ τὸν θάνατον τοῦ Βήσμα, μετὰ δέκα ἡμερῶν πόλεμον . .	532
ΒΙΒΛ. Ζ′.	Κεφ.	Α′.,	»	»	τὸν ἐν δυσὶν ἡμέραις πόλεμον τοῦ Δρόνα	573
— —	Κεφ.	Β′.	»	»	τὸν θάνατον τοῦ Ἀβημανιοῦ.	590

			Σελ.
ΒΙΒΛ. Ζ'. Κεφ.	Γ'.	ὁ διαλαμβάνει τὸν θάνατον τοῦ Ζαϊατράτα.	607
— — Κεφ.	Δ'.	» » τὸν θάνατον τοῦ Δρόνα .	640
ΒΙΒΛ. Η'. Κεφ.	Α'.,	» » τὸν θάνατον τοῦ Καρνᾶ . .	666
ΒΙΒΛ. Θ'. Κεφ.	Α'.,	» » τὴν μάχην τοῦ Σαλέα καὶ καὶ τοῦ Ἰουδιστίρα, καὶ τὴν τοῦ Δουριοδάνα καὶ τοῦ Βήμα	688
ΒΙΒΛ. Ι'. Κεφ.	Α'.,	» » τὴν Σαουπτικὰν, τουτέστι τὴν ὑπνοφονίαν, ὡς τὴν Ἰσσικὰν, τουτέστι τὸ κάρφος (Βραχμανσίραν)	713
ΒΙΒΛ. ΙΑ'. Κεφ.	Α'.	» » θρῆνον γυναικῶν	728
ΒΙΒΛ. ΙΒ'. Κεφ.	Α'.	» » περὶ τῶν προσηκόντων τῷ βασιλεῖ, καὶ περὶ τῶν προσηκόντων πράττεσθαι ἐν δεινοῖς καὶ περὶ τῆς θείας γνώσεως	754
ΒΙΒΛ. ΙΓ'. Κεφ.	Α'.,	» » τὴν πρὸς τὸν Ἰουδιστίραν παρηγορίαν καὶ τὴν εἰς οὐρανὸν ἄνοδον τοῦ Βήμα .	782
ΒΙΒΛ. ΙΔ'. Κεφ.	Α'.	» » περὶ τῆς ἱπποθυσίας . . .	792
ΒΙΒΛ. ΙΕ'. Κεφ.	Α'.,	» » τὴν ἐν τῇ ἐρήμῳ διαγωγὴν τῶν περὶ τὸν Δρυταράσραν .	803
ΒΙΒΛ. ΙϚ'. Κεφ.	Α'.,	» » περὶ τοῦ ὑπέρου	812
ΒΙΒΛ. ΙΖ'. Κεφ.	Α'.,	» » περὶ τῆς ἐξόδου	820
ΒΙΒΛ. ΙΗ'. Κεφ.	Α'.,	» » περὶ τῆς ἀναβάσεως εἰς οὐρανόν	825
ΒΙΒΛ. ΙΘ'. ἢ Κεφ.	ΜΓ'.,	» » τὴν βασιλείαν τοῦ Παριξίτα, τὴν ὀφιοθυσίαν τοῦ Ζαναμεζαΐα, κτλ.	830

ΒΙΒΛ. Χ'. Κεφ. Γ'. Ὁ βασιλεὺς τὸν θάνατον τοῦ Σελεύκου. 607
— — Κεφ. Δ'. » τὸν θάνατον τοῦ Δημητρίου. 610
ΒΙΒΛ. Η'. Κεφ. Α'. » τὸν θάνατον τοῦ Κλεομένους . . 666
ΒΙΒΛ. Θ'. Κεφ. Α'. » τὴν μάχην τοῦ Σελεύκου καὶ τοῦ Ἀντιόχου, καὶ τὴν ἧτταν τοῦ Δομετειανοῦ καὶ τοῦ Ἀρσακιανοῦ 693
ΒΙΒΛ. Ι'. Κεφ. Α'. » τὴν Συροπαιονίαν, τουτέστι τὴν Θρακομακεδονίαν, ὡς τὴν Ἰστριανήν, τουτέστι τὸ κράτος (Βραχυπαιονίαν) 713
ΒΙΒΛ. ΙΑ'. Κεφ. Α'. » βρίσιν γενικωτέραν 728
ΒΙΒΛ. ΙΒ'. Κεφ. Α'. » περὶ τῶν περαιτέρω τῆς Βασιλείας, καὶ περὶ τῶν περαιτέρω τῆς Θρᾴκης 752
ΒΙΒΛ. ΙΓ'. Κεφ. Α'. » τὴν ἔφοδον τῶν Ἰουδαίων καὶ τὴν ἐπ' αὐτοὺς παράταξιν καὶ τὴν μάχην ἣν ἐποιήσαντο πρὸς τὸν Δημήτριον 783
ΒΙΒΛ. ΙΔ'. Κεφ. Α'. » περὶ τῶν ἐπὶ Ἰουδαίαν . . . 793
ΒΙΒΛ. ΙΕ'. Κεφ. Α'. » περὶ τῆς ἐξόδου τῶν Ἀσσυρίων . 803
ΒΙΒΛ. ΙΣ'. Κεφ. Α'. » περὶ τοῦ βασιλέως 813
ΒΙΒΛ. ΙΖ'. Κεφ. Α'. » περὶ τῆς ἐξόδου 820
ΒΙΒΛ. ΙΗ'. Κεφ. Α'. » περὶ τῆς κινδύνου εἰς σφαγὴν 833
ΒΙΒΛ. ΙΘ'. Κεφ. ΜΙΓ'. » τὴν ἐπανάστασιν τοῦ Περσέως, τὴν ὁρμωμένην τοῦ Ἀντιόχου, κτγ. 850

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000016277